Ιστέον ὅτι οἱ λυρικοὶ ἐν τοῖς ποιήμασιν αὐτῶν ἐχρῶντο, στροφῇ, ἀντιστροφῇ, καὶ ἐπῳδῷ. στροφῇ μὲν, ὅτι ἀπὸ τῶν δεξιῶν ἐστρέφοντο ἐπὶ τὰ ἀριστερά. ἢ τινι ἀναλογεῖ ἡ τοῦ παντὸς κίνησις, ἀπὸ τῶν ἀνατολικῶν ἐπὶ τὰ δυτικά. δεξιὰ γὰρ καλεῖ ὁ Ομηρος, τὰ ἀνατολικά. ἀριστερὰ δὲ, τὰ δυτικά. ἀντιστροφῇ δὲ, ὅτι ἐκινοῦντο ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιά. ἢ τινι ἀναλογεῖ ἡ τῶν πλανήτων κίνησις, ἡ ἀπὸ δύσεως εἰς ἀνατολάς. ἐπῳδῷ δὲ, ὅτι ἵσταντο ἐν ἑνὶ τόπῳ καὶ ἔλεγον τὰς ᾠδάς. ἢ τινι ἀναλογεῖ ἡ στάσις τῆς γῆς. ἐχρῶντο δὲ καὶ δυάσι καὶ τριάσιν, ὡς ἐστὶ ποιητής. ἤγουν, στροφῇ, καὶ ἀντιστροφῇ, καὶ ἐπῳδῷ. ἢ στροφῇ μόνῃ, καὶ ἀντιστροφῇ. πολλοὶ δὲ καὶ τετράσιν. ἤγουν στροφῇ, ἐπῳδῷ, ἀντιστροφῇ, καὶ πάλιν ἀνομοίῳ ἐπῳδῷ. πεντάσι δὲ, ἤγουν ἐπῳδῷ, στροφῇ, ἐπῳδῷ, ἀντιστροφῇ, ἐπῳδῷ. ἅτινα ἐλέγετο προσῳδικὰ ἐπῳδικά, μεσῳδικά, καὶ παλινῳδικά.

ΑΛΛΩΣ. Περὶ αὐτῶν.

Επειδὴ λυρικός ἐστιν ὁ Πίνδαρος, καὶ πρὸς λύραν ᾄδονται τὰ ποιήματα αὐτοῦ κατὰ τριάδας, στροφὴν, ἀντίστροφον, καὶ ἐπῳδὸν, καὶ ἐκ κώλων τὰ μέλη συνίσαντες· πλὴν ὅσων καὶ ὁποίων ἡ στροφὴ, ἐκ τοσούτων καὶ τοιούτων καὶ ἡ ἀντίστροφος. ἡ δὲ ἐπῳδὸς, ἀνόμοιός ἐστι πρὸς αὐτὰς, καὶ εἰκότως. ἐπεὶ κινουμένοις εἰς τὰ δεξιὰ τοῖς χορευταῖς ᾔδετο ἡ στροφή. εἰς δὲ τὰ ἀριστερὰ ἐκ τῶν δεξιῶν, ἡ ἀντίστροφος. ἡ δὲ ἐπῳδὸς, ἱσταμένοις διεβιβάζετο, εἰς εἰκόνα τῆς τε τοῦ παντὸς κινήσεως ἀπὸ ἀνατολῶν εἰς δυσμὰς, τῆς τε τῶν πλανήτων κινήσεως ἀπὸ δύσεως εἰς ἀνατολὰς, καὶ τῆς τῆς γῆς ἀκινησίας. καὶ οὕτω μὲν ἡ τριαδικὴ μελοποιΐα κατὰ τὰς στροφὰς, τὰς ἀντιστρόφους. καὶ τὰς ἐπῳδούς. ταῦτα δὲ ἐκ κώλων συνίσανται. τὰ δὲ κῶλα, μέτρον διάφορον ἔχουσιν, ἐκ ποδῶν συνιστάμενον.

Περὶ τῶν εἰκοσιοκτὼ ποδῶν.

Ιστέον ὅτι οἱ πάντες πόδες εἰσὶν εἰκοσιοκτώ. τέσσαρες οἱ δισύλλαβοι· ὀκτὼ οἱ τρισύλλαβοι, ἑκκαίδεκα οἱ τετρασύλλαβοι, οἳ δὴ καὶ τέλειον μέτρον καὶ συζυγίαν ἀπαρτίζουσιν· οἱ δ' ἄλλοι πόδες πλὴν τοῦ καθαροῦ δακτύλου, κατὰ διποδίαν εἰς συζυγίαν συνίσανται, καὶ μέτρα λέγονται. ὧν τινων δὴ μέτρων, καὶ αἱ καταλήξεις τέσσαρές εἰσιν· ἀκατάληκτον, τὸ μὴ ἔχον ἔλλειμμα τυχόν. καταληκτικὸν, τὸ κατὰ συλλαβὴν λεῖπον· βραχυκατάληκτον, τὸ κατὰ πόδα δισύλλαβον, ἢ τρισύλλαβον λεῖπον. καὶ ὑπερκατάληκτον, τὸ ἔχον ἐπέκεινα συλλαβήν. ἀλλὰ πρότερον περὶ ποδῶν ῥητέον.

Περὶ δισυλλάβων ποδῶν.

Δισύλλαβοι πόδες, εἰσὶ τέσσαρες. πυρρίχιος ἐκ δύο βραχειῶν. υ υ. οἷον, λόγος. ἴαμβος, ἐκ βραχείας καὶ μακρᾶς. υ -. οἷον, λέβης. τροχαῖος, ἐκ μακρᾶς καὶ βραχείας, - υ. οἷον, ἦτορ. σπονδεῖος, ἐκ δύο μακρῶν. - -. οἷον, ἥρως.

Περὶ τρισυλλάβων.

Τρισύλλαβοι δὲ ὀκτώ. χορεῖος, ὁ καὶ τρίβραχυς. υ υ υ. οἷον, ἄδικος. δάκτυλος, ἐκ μακρᾶς καὶ δύο βραχειῶν - υ υ. οἷον Πίνδαρος. ἀμφίβραχυς, ἐκ βραχείας, καὶ μακρᾶς, καὶ βραχείας. υ - υ. οἷον, ἄμητος. ἀνάπαιστος, ἐκ δύο βραχειῶν καὶ μακρᾶς, υ υ -. οἷον, ἀπάτωρ. βακχεῖος, ἐκ βραχείας, καὶ δύο μακρῶν. υ - -. οἷον, δημήτωρ. ἀμφίμακρος, ὁ καὶ κρητικὸς, ἐκ μακρᾶς, καὶ βραχείας καὶ μακρᾶς. - υ -. οἷον, καικίας. παλιμβάκχειος, ἐκ δύο μακρῶν, καὶ βραχείας. - - υ. οἷον, συγγνωστός. μολοττὸς, ὁ ἐκ τριῶν μακρῶν. - - -. οἷον, πειραιεύς.

Περὶ τετρασυλλάβων.

Οἱ δὲ τετρασύλλαβοί εἰσιν, ἑκκαίδεκα. προκελευσματικὸς, ὁ ἐκ τεσσάρων βραχειῶν, υ υ υ υ, οἷον, ἀνιαρός. παίων πρῶτος, ἐκ μακρᾶς, καὶ τριῶν βραχειῶν. - υ υ υ. οἷον ἡμιόνος. παίων. β'. ἐκ βραχείας καὶ μακρᾶς, καὶ ἑτέρων δύο βραχειῶν. υ - υ υ. οἷον, ἀγχίνοος. παίων. γ'. ἐκ δύο βραχειῶν, καὶ μακρᾶς, καὶ βραχείας. υ υ - υ. οἷον, προσάκοιτος. παίων τέταρτος, ἐκ βραχειῶν τριῶν καὶ μακρᾶς. υ υ υ -. οἷον, προσεκαλῶ. ἰωνικὸς, ἀπὸ μείζονος, ἐκ δύο μακρῶν, καὶ δύο βραχειῶν, - - υ υ. οἷον, κλειτώνυμος. ἰωνικὸς ἀπ' ἐλάττονος, ἐκ δύο βραχειῶν, καὶ δύο μακρῶν. υ υ - -. οἷον, κακοδαίμων. διτρόχαιος. ἐκ μακρᾶς, καὶ βραχείας. καὶ μακρᾶς καὶ βραχείας. - υ - υ. οἷον κλειτόδημος. διίαμβος, ἐκ βραχείας καὶ μακρᾶς, καὶ βραχείας καὶ μακρᾶς. υ - υ -. οἷον δημηγορῶ. ἀντίσπαστος, ὁ ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας. υ υ - υ. ἐξ ἰάμβου καὶ τροχαίου τῶν ἀντισπασμένων ὄντων καὶ ἐξ ἐναντίας, οἷον θεόκλυτος. χορίαμβος, ὁ ἐκ μακρᾶς, καὶ βραχείας, καὶ μακρᾶς καὶ βραχείας. ἡ μακρὰ δὲ, καὶ ἡ βραχεῖα, ἀντὶ χορείου ἐστὶ τριβράχεος. - υ υ -. οἷον, χειρονομῶ.

Περὶ τῶν τεσσάρων ἐπιτρίτων.

Οἱ τέσσαρες ἐπίτριτοι, λέγονται κατὰ λόγους ἀριθμητικούς. ὁ τέταρτος γὰρ τοῦ τρίτου ἐπίτριτος. ἐπειδὴ τοίνυν ἐκ τετραχρόνου σπονδείου καὶ τριχρόνου ἰάμβου, ἢ τροχαίου, σύγκειται ὁ ἐπίτριτος, διὰ τοῦτον ἐπίτριτος λέγεται. καὶ πρῶτος ἐπίτριτός ἐστιν, ὁ ἐκ βραχείας καὶ τριῶν μακρῶν. υ - - -. οἷον, θεοξένων. β'. ἐπίτριτος, ὁ ἐκ μακρᾶς καὶ βραχείας, καὶ δύο μακρῶν. - υ - -. οἷον, τριχορύκλης· τρίτος ἐπίτριτος, ὁ ἐκ δύο μακρῶν καὶ βραχείας, καὶ μακρᾶς. - - υ -. οἷον, αὐτοκράτωρ. τέταρτος ἐπίτριτος, ὁ ἐκ τριῶν μακρῶν καὶ βραχείας. - - - υ. οἷον, εἰρηνάρχος. δισπόνδειος, ὁ ἐκ τεσσάρων μακρῶν. - - - -. οἷον, εἰρηναρχῶ. Ιστέον δὲ ὅτι ἀντιπαθεῖ τῷ τροχαίῳ ὁ ἴαμβος· διὰ τοῦτο καὶ ἀπὸ τῶν τετρασυλλάβων, τινὲς μὲν τῷ τροχαίῳ προσνέμονται, καὶ πρὸς τὰς ἰαμβικὰς συζυγίας ἀπᾴδοντές εἰσι. τινὲς δὲ τῷ ἰάμβῳ, καὶ πρὸς τὰς τροχαϊκὰς συζυγίας οὐ συμφωνοῦσι. ἤγουν· πρὸς μὲν τὸν χορίαμβον, καὶ πρὸς τὸν ἀντίσπαστον, αἱ ἰαμβικαὶ συζυγίαι χρήσιμοι. πρὸς δὲ τοὺς ἰωνικοὺς, οὐκέτι. πρὸς δὲ τοὺς ἰωνικοὺς πάλιν, αἱ τροχαϊκαὶ συζυγίαι, χρήσιμοι. πρὸς δὲ ἐκείνους, οὐκέτι· εἰσὶ δὲ ἰαμβικαὶ συζυγίαι, ἢ δύο ἴαμβοι, ἢ σπονδεῖος, καὶ ἴαμβος. καὶ πλέον οὐδέν. αἱ δὲ τροχαϊκαὶ συζυγίαι, ἢ δύο τροχαῖοι, ἢ τροχαῖος, καὶ σπονδεῖος. πολλάκις δὲ κεῖνται καὶ ἀπὸ τῶν τρισυλλάβων. ἐπὶ γὰρ τοῦ ἰαμβικοῦ, ἐν τῷ πρώτῳ καὶ ἐν τῷ τρίτῳ, καὶ ἐν τῷ πέμπτῳ, ἢ ἴαμβος, ἢ σπονδεῖος, ἢ χορεῖος, ἢ δάκτυλος, ἢ ἀνάπαιστος. ἐπὶ δὲ τῶν ἀρτίων χωρῶν τῆς δευτέρας καὶ τετάρτης, καὶ ἕκτης, ἢ ἴαμβος, ἢ χορεῖος, ἢ ἀνάπαιστος, οὐδέποτε δὲ ὁ ἀπὸ μακροῦ ἀρχόμενος· ἐπὶ δέ γε τοῦ τροχαϊκοῦ, ἐν τῇ δευτέρᾳ, καὶ τετάρτῃ, καὶ ἕκτῃ, ἢ τροχαῖος, ἢ σπονδεῖος, ἢ δάκτυλος, ἢ ἀνάπαιστος, ἢ χορεῖος. ἐν δὲ τῇ πρώτῃ, καὶ γ', καὶ πέμπτῃ, οἱ ἀπὸ μακροῦ ἀρχόμενοι καὶ μόνοι, ἢ τροχαῖος, ἢ δάκτυλος, ἢ σπονδεῖος, οὐδέποτε δὲ ἀνάπαιστος, ἢ χορεῖος. καὶ ταῦτα μὲν περὶ τῶν ποδῶν.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ

ΤΟΥ ΠΡΩΤΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ πρώτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ιζ'. Τὸ πρῶτον, ἀντισπαστικὸν δίμετρον, γλυκώνειον καλούμενον, ἀπὸ τοῦ εὑρόντος αὐτὸ Γλύκωνος. ἔστι δὲ ἀντίσπαστος, καὶ διίαμβος. ἡ γὰρ ἰαμβικὴ συζυγία ὡς ἐξέστη, οἰκεία τῷ ἀντισπαστικῷ. ἡ δὲ τελευταία παντὸς κώλου ἀδιάφορος. υ--υυ-υ-. Τὸ δεύτερον, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ λέγεται καὶ ἰθυφαλικόν. -υ-υυ-υ. Τὸ τρίτον, χοριαμβικὸν δίμετρον καταληκτικόν. ὁ δὲ δεύτερος, διίαμβος, οἰκεία γὰρ ἡ ἰαμβικὴ συζυγία, τῷ χοριάμβῳ· λείπει δὲ συλλαβὴ, διὸ καταληκτικόν. ὅτε δὲ λείπει πούς, βραχυκατάληκτον λέγεται, καὶ ἔστι -υυ-υ-υ. Τὸ τέταρτον, ἀναπαιστικὸν, δίμετρον καταληκτικὸν, ὅπερ καὶ παροιμιακὸν λέγεται. -υυυυυ-υ---. Τὸ πέμπτον, ὅμοιον τῷ β', τοῦ τρίποδα τελείου ὄντος. -υ-υ-υυ. Τὸ ἕκτον, ὅμοιον τούτῳ πλὴν ὁ δεύτερος δάκτυλος. -υ-υυ-υ. Τὸ ἕβδομον, τροχαϊκὸν δίμετρον καταληκτικὸν, ὃ καὶ εὐριπίδειον, καὶ ληκύθιον καλεῖται. ληκύθιον δὲ λέγεται, ἢ διὰ τὸ, τὸ Ἀριστοφάνους σκῶμμα, ἢ διὰ τὸ τοῦ τροχαϊκοῦ βόμβον, ὃν ἐκτελεῖ καὶ τὸ ληκύθιον. ἢ διὰ τὸ τῶν θρηνίων βομβικόν. ὅθεν καὶ Καλλίμαχος τὴν τραγῳδίαν, ληκύθιον μοῦσαν φησίν. -υ-υ-υ-. Τὸ ὄγδοον, τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον, τοῦ δευτέρου δακτύλου ὄντος. -υ-υυ--. Τὸ ἔννατον, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. υ-υ-υ-υ--. Τὸ δέκατον, ἀντισπαστικὸν, ἐπιωνικὸν δίμετρον καταληκτικόν. οὐ λέγεται δὲ ἰωνικὸν, ἀλλ' ἐπιωνικόν. ὁ γὰρ ἀντίσπαστος, πρὸς τὰς ἰαμβικὰς τὴν κοινωνίαν ἔχει. οἱ δὲ ἰωνικοὶ, πρὸς τὰς τροχαϊκάς. ὅθεν ἀσύμφωνοί εἰσιν οἱ ἀντίσπαστοι μετὰ τῶν ἰωνικῶν, καὶ τροχαϊκῶν. καὶ διὰ τοῦτο ἐπιωνικὸν, υ--υ-υ--. Τὸ ἑνδέκατον, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. -υ-υ-υ-υ. Τὸ δωδέκατον, χοριαμβικὸν δίμετρον καταληκτικόν. λειπούσης τῆς ἐσχάτης μακρᾶς. -υυ--υυ. Τὸ τρισκαιδέκατον, προκελευσματικὸν δίμετρον καταληκτικόν. ὅρα δὲ καὶ τὰς ταχυτῆτας, καὶ τὰ κῶλα τῆς στροφῆς καὶ τῆς ἀντιστρόφου, ὅπου εὕρηται κείμενον. τοιοῦτον γὰρ καὶ τὸ προκελευσματικόν. υυυυυυυ. Τὸ ιδ'. ὅμοιον τῷ ἑβδόμῳ. τροχαϊκὸν δίμετρον καταληκτικόν. -υ-υ-υ-. Τὸ ιε'. δίμετρον κατ' ἀντιπάθειαν ὑπερκατάληκτον. ἀντίσπαστος γὰρ καὶ παίων πρῶτος καὶ συλλαβή. ἀντιπαθεῖ δὲ, διότι ὁ ἀντίσπαστος μὲν, συμφωνεῖ τῷ ἰάμβῳ. οἱ δὲ παίωνες, τοῖς τροχαίοις. ἴαμβοι δὲ καὶ τροχαῖοι ἐναντίοι εἰσίν. υ--υυυυυυ-. Τὸ ις'. ἀντισπαστικὸν, μετὰ τροχαϊκῆς συζυγίας τῆς δευτέρας κατ' ἀντιπάθειαν, καὶ ὁ ὕστερος ἀνάπαιστος, καὶ αὐτὸς οἰκεῖος τῷ τροχαίῳ. ὥστε τρίμετρον βραχυκατάληκτόν ἐστιν. υ--υ-υ-υυυ-. Τὸ ιζ', φαλαίκιον ἀπὸ Φαλαίκου τοῦ εὑρόντος καὶ χρωμένου αὐτῷ, ὅταν ὁ πρῶτος μόνος ἐστὶν ἀντίσπαστος. οἱ δὲ ἐφεξῆς ἴαμβοι. ἔστι δὲ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον. υ--υυ-υ-υ-. Ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς τε καὶ ἀντιστροφῆς, μόνη παράγραφος. αὕτη γάρ ἐστι σημεῖον τοῦ τέλους τῶν στροφῶν καὶ ἀντιστροφῶν. Ἰστέον ὅτι πᾶσαι αἱ στροφαὶ καὶ ἀντιστροφαὶ καὶ αἱ ἐπῳδοὶ τοῦ παρόντος ἐπινικίου, ὅμοια καὶ ἰσόμετρα ἔχουσι τὰ κῶλα τῇ πρώτῃ. ὁ αὐτός ἐστι λόγος καὶ ἐπὶ τῶν ἑξῆς. πλὴν τοῦ ιδ'. ἐκεῖνο γὰρ μονόστροφον ὂν, ἐνηλλαγμένην ἔχει τὴν ἀντιστροφήν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς ἔχει κῶλα ιγ'. Τὸ α', ἐκ παίωνος δευτέρου, καὶ ἰαμβικῆς συζυγίας καὶ συλλαβῆς κατὰ ἀντιπάθειαν. ἔστι δὲ δίμετρον ὑπερκατάληκτον. υ-υυυ-υ-. Τὸ δεύτερον, ἰαμβικὸν πενθημιμερές. πλὴν ὁ πρῶτος τρισύλλαβος. υυ-υ--. Τὸ γ', ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ἔχει δὲ καὶ τρισυλλάβους πόδας. υ-υ-υ-υυυυ-. Τὸ δ', ἰαμβικὰ, δύο πενθημιμερῆ καὶ συλλαβή. ἔστι δὲ ὁ πρῶτος, τρίβραχυς χορεῖος. υυυυ-υ--υ-υ-. Τὸ ε'. παιωνικὸν ἐκ παίωνος δευτέρου καὶ ἐξ ἐπιτρίτου τρίτου, καὶ βακχείου. εἰσὶ δὲ οἱ τοιοῦτοι πόδες, οἰκεῖοι τοῖς παίωσιν. υ-υυ--υ-υ--. Τὸ ς', ἀντισπαστικὸν συνάμα ἰαμβικαῖς συζυγίαις οἰκείαις, τρίμετρον. υ--υυ-υ-υ-υ-. Τὸ ζ', ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον. ἔχει δὲ τὴν δευτέραν τροχαϊκὴν συζυγίαν, οἰκείαν τοῖς ἰωνικοῖς. --υυ-υ-υ-. Τὸ η', ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. --υ-υ-. Τὸ θ', ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον βραχυκατάληκτον. --υυ--. Τὸ δέκατον, ἰαμβικὸν δίμετρον ἀκατάληκτον λεγόμενον Ἀνακρεόντειον. ὅλα γὰρ ἄσματα αὐτῷ, τούτῳ τῷ μέτρῳ συνετέθησαν. --υ-υ-υ-. Τὸ ια', ἰωνικὸν δίμετρον ἀκατάληκτον ἀπὸ μείζονος παρατετηρημένον. ἄρχεται γὰρ ἀπὸ βραχείας ὡς γίνεσθαι τὸ πρῶτον. β'. παίωνα. υ-υυ--υυ. Τὸ ιβ', ἐπιωνικὸν διὰ τὸν πρῶτον ἀντίσπαστον, οὐκ οἰκεῖον ὄντα τοῖς ἰωνικοῖς καὶ τοῖς τροχαίοις, ἀλλὰ τοῖς ἰάμβοις. διὰ τοῦτο γὰρ καὶ οὐκ ἰωνικὸν, ἀλλ' ἐπιωνικὸν λέγεται. εἰ δὲ καὶ τροχαϊκὴν τὴν κατακλεῖδα ἔχει, οὐ ξένον. οἱ γὰρ τροχαῖοι, οἰκεῖοι τῷ ἰωνικῷ. υ--υ--υυ-υ-. Τὸ ιγ', χοριαμβικὸν δίμετρον καταληκτικόν. ἔχει γὰρ βακχεῖαν τὴν κατακλεῖδα, οἰκείαν ἰάμβοις καὶ χοριάμβοις. -υυ-υ--. Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ, κορωνίς. --. ἐπὶ δὲ τῆς τελευταίας ἐπῳδοῦ, ἤτοι ἐπὶ παντὸς τοῦ ἄσματος, μόνος ἀστερίσκος. ὃς δηλοῖ ὡς τὸ ᾆσμα τετέλεσται.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

Ἱέρωνι Συρακουσίῳ.] Ἐπιγέγραπται ἐπινίκιος Ἱέρωνι τῷ Γέλωνος ἀδελφῷ, νικήσαντι ἵππῳ κέλητι, τὴν ογ'. Ὀλυμπιάδα. ἢ ὡς ἔνιοι, ἅρματι. συνέβη δὲ αὐτὸν νικήσαντα καὶ τὴν οη'. Ὀλυμπιάδα, ἐν ταύτῃ τελευτῆσαι. τὸ δὲ ὄνομα τοῦ νικῶντος ἵππου, Φερένικός ἐστι. μέμνηται δὲ αὐτοῦ Βακχυλίδης, γράφων οὕτως. Ξανθότριχα μὲν Φερένικον Ἀλφεὸν παρ' εὐρυδίναν πῶλον ἀελλοδρόμον νικήσαντα. ἦν δὲ Ἱέρων Δεινομένους παῖς. Δεινομένους δὲ παῖδες τέσσαρες. Γέλων. Ἱέρων. Πολύζηλος. καὶ Θρασύβουλος. τὸ γένος τύραννος Συρακουσίων τῶν ἐπὶ Σικελίαν. ἔσχε δὲ υἱὸν Δεινομένην. νικήσας δὲ τὰ Ὀλύμπια, ἀνεκήρυξεν ἑαυτὸν Συρακούσιον καὶ Αἰτναῖον, κτίσας τὴν παρακειμένην πόλιν τῇ Σικελίᾳ Αἴτνην, ὁμώνυμον τῷ ὄρει.

ΠΙΝΔΑΡΟΥ
ΟΛΥΜΠΙΑ.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΥΣΙΩ ΚΕΛΗΤΙ. ΕΙΔΟΣ Α.

HIERONI SYRACUSANO EQUO CELETE VICTORI. ODE I.

ARGUMENTUM.

Hæc Ode in laudem Hieronis Regis Syracusanorum, qui in Olympicis vicerat, est conscripta. Eundem prædicat a Justitia, Sapientia, Musices peritia. Præterea equum, quo victoriam retulit, & locum, ubi Olympica certamina agebantur, celebrat. Ab eo loco, nimirum Peloponneso, occasionem arripit digrediendi ad vulgatam de Tantalo & Pelope fabulam; unde ad Hieronem regressus, felicitatem, quæ sequitur Olympionicas, proponit. Postremo, concludit hanc Odam voto; ut Deus gloriam & dignitatem regiam Hieroni tueatur, & Poetam in studio celebrandi victores conservet.

στροφὴ α΄. κώλων ιζ΄.

Ἄριστον μὲν ὕδωρ· ὁ δὲ
Χρυσὸς, αἰθόμενον πῦρ
Ἅτε διαπρέπει νυ-
κτὶ, μεγάνορος ἔξοχα πλούτου·

METAPHRASIS.

Optima quidem est aqua: &
Aurum, ardens ignis
Velut excellit no-
cte, superbas inter divitias:

PARAPHRASIS.

Quemadmodum aqua est elementorum præstantissimum: cæteraque metalla fulgore superat aurum, quod Flammæ instar noctu lucentis coruscat inter divitias, quæ superbum reddunt hominis animum:

NOTÆ.

Ἄριστον] Κράτιστόν ἐστι Gl. MSS. β. γ. 4 Μεγάνορος] Videtur Poëta hoc epitheton (ut alia plura) in laudem opum usurpare. Hic igitur alius sensus contra vet. Interpret. Lat. addatur Schol. sc. Tenui fortunâ virtus non adeo inclarescit ac lautiore: ista animo magno ad excelsa assurgenti obstat, hæc stimulos eidem addit.

Ἐξήγησις παλαιὰ πάνυ ὠφέλιμος.

Ἄριστον μὲν ὕδωρ.] Οὐδὲν ἕτερόν τι αὐτῷ τὸ προοίμιον βούλεται, ἢ τεσσάρων ὄντων τῶν ἱερῶν ἀγώνων συγκριτικῶς ἐπιδοξότερον τὸν Ὀλυμπιακὸν ἀποφῆναι. οἰκειότατα δὲ καὶ τὴν εἰκόνα τῆς συγκρίσεως παρείληφε. τεσσάρων γὰρ ὄντων, ὡς ἔφην, τῶν ἱερῶν ἀγώνων, καὶ αὐτὰ τὰ κοσμικὰ στοιχεῖα ἰσάριθμα ὄντα τοῖς ἀγῶσι παραλαμβάνει. εἶτα τούτων τῶν στοιχείων χρειωδέστερον καὶ διαπρεπέστατον τὸ ὕδωρ παραλαμβάνει, τῇ τῶν φιλοσόφων ἑπόμενος γνώμῃ. οἱ φυσικώτερον κινηθέντες, ἐκ τοῦ ὕδατος ἔφασαν καὶ τὰ ἄλλα τρία στοιχεῖα συνίστασθαι. τὸ μὲν γὰρ αὐτοῦ τὸ λεπτομερὲς, ἀέρα λέγουσι γίνεσθαι· τὸ δὲ παχύτερον εἰς ἑαυτὸ συνιστάμενον, γῆν. ἀποτελεῖν δὲ ἀπολεπτυνόμενον τὸν διάπυρον αἰθέρα, πῦρ. διὰ τοῦτο ἄριστον εἶπε τὸ ὕδωρ. ἐπεὶ δοκεῖ τῆς τῶν ἄλλων γενέσεως αἴτιον εἶναι. τὸ γὰρ αἴτιον τῶν δι' ἑαυτοῦ γινομένων, προὔχον τῶν ἄλλων. ἔνιοι δὲ καὶ τοῦτο προστεθείκασι λέγοντες, ὅτι καὶ πρὸς τὰ λογικὰ καὶ ἄλογα ζῶα, ἀναγκαιότερον εἶναι τὸ ὕδωρ, μάλιστα πρὸς θάλπος. καὶ ὅτι τὰ φυτὰ ἐκ τοῦ ὕδατος τρέφεται· ἡμεῖς δὲ ἐκ τῶν σπερμάτων ζῶμεν, τὰ δὲ σπέρματα οὐκ ἄλλως δύναται ζωογονηθῆναι, εἰ μὴ ὑπὸ τοῦ ὕδατος, εἰκότως τὸ ὕδωρ μεῖζον τῶν ἄλλων στοιχείων. τινὲς δὲ καὶ τὸ Ὁμηρικὸν παραλαμβάνουσιν· Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν. εἰ δὲ ὁ Ὠκεανὸς ποταμὸς καὶ ἡ μήτηρ Τηθὺς ἤγουν ἡ πηγὴ, ἡ δὲ τῶν θεῶν γένεσις ἐκ τοῦ Ὠκεανοῦ γεννᾶται, εἰκότως τὸ ὕδωρ τῶν ἄλλων στοιχείων προτιμότερον. ἀπεδείξαμεν οὖν διὰ πολλῶν, τῶν τεσσάρων στοιχείων προτιμότερον τὸ ὕδωρ πρὸς ταύτην τὴν ἀπόδειξιν, καὶ τὸν Ὀλυμπιακὸν ἀγῶνα, προτιμότερον καὶ κεφαλαιωδέστερον ἀποδείκνυσιν. ἀρχὴ γὰρ τῶν ὅλων κατὰ Θαλῆν τὸ ὕδωρ. τὸ δὲ ἑξῆς τοῦ λόγου ἄριστον μὲν ὕδωρ· ὁ δὲ χρυσὸς διαπρέπει μεγάνορος ἔξοχα πλούτου· ἅτε αἰθόμενον πῦρ διάδηλόν ἐστι νυκτὶ, οὕτως ἐν πλούτῳ χρυσός. [Ἄλλως.] Ἄριστον μὲν ὕδωρ.] τρία ἐν ἀνθρώποις ὁ Πίνδαρος ἄριστα εἶναι λέγει. τὸ ὕδωρ μὲν, εἰς τὸ ζῆν, οὗ ἄνευ βιοῦν ἀδύνατον. εἶτα χρυσὸν ἐν πλούτῳ τῶν ἄλλων χρημάτων ἐμπρέποντα, καθάπερ ἐν τῇ νυκτὶ τὸ πῦρ. πρὸς δὲ δόξαν, τὴν ἐν Ὀλυμπιάσι νίκην. ὁ δὲ νοῦς τοῦ προοιμίου ὅλος τοιοῦτος. ὥσπερ τὸ μὲν ὕδωρ τῶν ἄλλων στοιχείων χρησιμώτερον· ὁ δὲ χρυσὸς τῆς λοιπῆς ὕλης προτιμότερος, οὕτω καὶ ὁ Ὀλυμπιακὸς ἀγὼν προτιμότερος τῶν ἄλλων. καὶ δευτέραν ἀπόδειξιν συγκριτικὴν ποιεῖται, τῶν τοῦ πλούτου χρημάτων ἀξιολογώτερον καὶ τιμιώτερον ἀποδεικνὺς τὸν χρυσόν. εἰ δὲ μὴ ἐβράδυνεν, ἠρκέσθη εἰς τὸν περὶ τῶν στοιχείων λόγον· καίτοι κεφαλαιωδέστερον ὄντα. ἀλλὰ πολύς ἐστιν ἐγκωμιάζων τὸν πλοῦτον, φαμὲν ἡπᾶσθαι αὐτὸν τῆς ἑαυτοῦ φύσεως φιλοχρημάτου τυγχανούσης. ὁ δὲ νοῦς, ὁ δὲ χρυσὸς ἐν ἅπασι τοῖς κτήμασι τοῦ δυνατοῦ πλούτου οὕτω διαλάμπει, ὡς ἐν νυκτὶ πῦρ καιόμενον. [Ἄλλως.] Ἄριστον μὲν ὕδωρ· ὁ δὲ χρυσὸς διαπρέπει μεγάνορος ἔξοχα πλούτου, ἅτε αἰθόμενον πῦρ διάδηλόν ἐστι νυκτὶ, οὕτως ἐν πλούτῳ χρυσός. [Ἄλλως.] σύγκρισις τῶν ἀγώνων πρὸς τὰ στοιχεῖα, ἐξ αὐτοῦ τοῦ προοιμίου. καὶ γὰρ ἐκεῖνα ὃν τρόπον αἴτια τοῦ ζῆν τοῖς ἀνθρώποις εἰσὶ, τὸν αὐτὸν καὶ * τοῦ καλῶς ζῆν. τοὺς μὲν οὖν αἰτίους φησὶν, ἐπειδὴ πρόχειρον καὶ τῶν ἄλλων στοιχείων ἄμεινον τὸ ὕδωρ ἐστὶ, παραβάλλει αὐτὸ τῇ τῶν Ὀλυμπίων νίκῃ, ὡς καὶ αὐτῇ προὐχούσῃ τῶν ἄλλων τεσσάρων. [Ἄλλως.] ὁ δὲ χρυσὸς διαπρέπει τοῦ μεγάλως δυναμένου πλούτου· ἅτε τὸ αἰθόμενον πῦρ ἐν νυκτὶ· ἤγουν ὁ πυρσός· ἀπὸ κοινοῦ τὸ διαπρέπει. [Μεγάνορος.] μεγάνορα εἶπε τὸν πλοῦτον ὡς μὲν ἔνιοι, διὰ τὸ κατασκευάζειν τοὺς κεκτημένους αὐτὸν αὐχηματικοὺς, καὶ ὑπερόπτας. καὶ ὅτι αὐτὸς γίνεται μεγαλήνωρ, διὰ τὸ πολλὰ δύνασθαι κατεργάζεσθαι. νεῦρα γὰρ πολέμου ὁ χρυσός. [Ἄλλως.] μεγάνορος, ἤτοι τοῦ αὐξάνοντος τὰς τύχας τῶν ἀνθρώπων, καὶ ποιοῦντος μείζονα φρονεῖν τῶν καθηκόντων. ἢ ὅτι αὐτομεγάνωρ ἐστὶ, διὰ τὸ, πολλὰ δύνασθαι κατεργάσασθαι.

* Οὔτοι videtur omiss.

Εἰ δ' ἄεθλα γαρύεν	Si vero certamina narrare
Ελδεαι φίλον ἦτορ,	Gestis O charum cor,
Μηκέθ' ἁλίου σκόπει	Ne amplius Sole contempleris
Αλλο θαλπνότερον	Aliud foventius
Εν ἁμέρα φαεννὸν ἄστρον,	Interdiu lucidum astrum,
Ερήμας δι' αἰθέρος.	Desertum per ætherem.
Μήδ' Ολυμπίας ἀγῶνα	Neque, *quam quod est* Olympiæ, certamen
Φέρτερον αὐδάσομεν·	Præstantius dicemus:
Οθεν ὁ πολύφατος	Unde celeberrimus
Υμνος ἀμφιβάλλεται	Hymnus contexitur
Σοφῶν μητίεσσι, κελαδεῖν	Sapientum ingeniis, *ut* cantent
Κρόνου παῖδ', ἐς ἀφνεὰν ἱκομένους	Saturni filium, ad opulentam venientes
Μάκαιραν Ιέρωνος ἑστίαν·	Beatam Hieronis domum:

PARAPHRASIS.

Utque nullum est fervidius in cœlo sidus, quod per vacuum aerem interdiu lucens contempleris: sic anime mi, qui certamina decantare cupis, nullum ex quatuor sacris illis certaminibus tibi videri possit præstantius Olympico, *quod nunc carmine celebres. Unde celeberrimus hymnus à doctis viris contexitur, ut Jovem Saturni filium cauant, quum veniant opulentam & beatam Hieronis domum:*

NOTÆ.

6 Ελδεαι] Επιθυμεῖς ὦ φίλη ψυχή. MSS. Gl. α. β. γ. 7 Μηκέθ' ἁλίου.] Ald. & Pal. C. hab. μηκέτ' ἀελίου. 9 Αμέρα] Pal. C. leg. ἡμέρα. 10 Ερήμας] Gl. α. β. γ. Ανεφέλου αἰέρος. 13 Πολύφατος] Πολύδοξος Gl. α. β. γ. 15 Μητίεσι Steph. at omnes alii —εσσι legunt. 16 Ικόμενοι leg. C. 71. & Bodl. ut & Pal. B. inveniri annotat. Ita & β. γ. Ικομένοις leg. Pal. A. B. & α.

[Εἰ δ' ἄεθλα.] ἆθλα νῦν εἴρηκε, τὰ ἀγωνίσματα. ἔλεγον δὲ οὕτω καὶ τὰ ἔπαθλα. Ομηρος. Ιππῆας τὰ δ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι. ἢ ἄεθλα τὰ ἀγωνίσματα, περιφραστικῶς τοὺς ἀγῶνας. πρὸς ἑαυτὸν δὲ ἐκφέρων, εἶπεν, ὦ φίλον ἦτορ· εἰ δὲ καταλέγειν ἆθλα βούλει, νόμιζε ὡς ἐν ἄστροις ἥλιον φαεινότερον, οὕτως ἐν ἄθλοις τὸν Ολυμπιακὸν ἀγῶνα προτάττειν. [Γαρύεν.] φωνεῖν, καταλέγειν, διακρίνειν, ὑμνεῖν. Δωρικῶς δὲ, τὸ γαρύεν· τοῦ ι ἐκλείψαντος. [Αλλως] γαρύεν λέγει, καὶ ἔστιν ἀποβολὴ τοῦ ι, ὅπερ ἔθος Δωριέων. ἡ δὲ γῆρυς ὅτι ἐπὶ τῆς φωνῆς εἴρηται, συνείσκομεν· καὶ Ομηρος. Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς. ἔθος δέ ἐστι Πινδάρῳ, μὴ οἷς προοιμιάζεται συγκριτικοῖς, τούτοις τὰ συγκρινόμενα εὐθέως ἐπάγειν· ἀλλὰ μεταξύ τινα εἰκόνα ἀποδεικτικὴν τῆς βελτιώσεως παρεντίθεται, καὶ οὕτω τὴν σύγκρισιν ἐπιφέρει. ποιεῖ δὲ τοῦτο, θερμός τις ὤν, καὶ πολλῶς ἐπὶ τὰ νοήματα. [Θαλπνότερον.] θερμότερον, φανερώτερον, φαεινότερον. τῇ γὰρ θέρμῃ καίειν τὸν ἀέρα καὶ φωτίζειν ποιεῖ. [Εν ἁμέρα.] καὶ ἐκ τοῦ καιροῦ τὸ ἄγαν λαμπρὸν τοῦ ἡλίου δείκνυσι, καὶ πρὸς σύγκρισιν τῶν ἄλλων ἄστρων, ἅπινα κατὰ τοῦτον τὸν καιρὸν, ἐξασθενεῖ * φαίνεσθαι· διὸ καὶ ἁρμοδίως ἄστρα ἐπήγαγεν. Ερημον εἶπε τὸν αἰθέρα, διὰ τὸ ἄγαν πυρῶδες· καὶ μὴ πλησιάζειν αὐτῷ ζῶον ἐν τῷ ἀσφαλεῖ. τὸ ἔτι μᾶλλον λέγουσιν, ἀντὶ τοῦ μεγάλως. ὡς Ομηρος. Εριαύχενας ἵππους. τὸ δὲ σαφὲς, οὕτως ἔχει. εἰ δὲ ὦ προσφιλεστάτη ψυχὴ ἀγῶνας φωνεῖν, καὶ διακρίνειν μέλλεις καὶ διακηρύσσειν, μηκέτι τοῦ ἡλίου σκόπει ἕτερον ἄστρον, μήτε θερμότερον μήτε λαμπρότερον διὰ τῆς ἐρήμου αἰθέρος φερόμενον ἐν ἡμέρα· μηδὲ τοῦ Ολυμπιακοῦ ἀγῶνος ἕτερον βελτίονα. [Αστρον.] κακῶς εἶπεν ἄστρον· ἔδει γὰρ εἰπεῖν ἀστέρα. τὰ γὰρ ἐκ πολλῶν συγκείμενα ἀστέρων ζώδια, ἄστρα λέγονται· ὁ δὲ ἥλιος ἀστήρ. τὸ δὲ ὅλον εἰπεῖν, ὥσπερ ἐν ἄστροις ἥλιον εὕροις θαλπνότερον, οὕτως ἐν ἀγῶσι προκρίναις Ολυμπίαν. [Ερήμας δι' αἰθέρος.] ἡ μὲν θάλασσα ἔχει τοὺς ἰχθῦς. ἡ δὲ γῆ τὰ τετράποδα καὶ τὰ ἑρπετά. ὁ δὲ ἀὴρ, τὰ πτηνά. ὁ μέντοι αἰθὴρ, πυρώδης ὤν, οὐκ ἔχει. ἢ ἐρήμης, τῆς μὴ ἐχούσης νέφος· οὐ γὰρ συνίσταται εἰς θερμασίαν. ἢ διὰ τὸ μὴ φαίνεσθαι οἰκούμενον. ἢ ὡς πρὸς ἡμᾶς ἐρήμης, διὰ τὸ ἡσύχιον καὶ ἤρεμον. [Οθεν ὁ πολύφατος.] ἐκ τοῦ Ολύμπου περιβάλλεται ταῖς τῶν σοφῶν μητίεσι· καὶ ὑπὸ πάντων τούτων κατασκευάζεται. ἀμφιβάλλεται δὲ, ἤτοι κοσμεῖται, ἢ περιγράφεται καὶ περιλαμβάνεται· ὥσπερ καὶ Ομηρος. Τορνώσαντο δὲ σῆμα. [Αλλως.] οἷον εἰπεῖν γράφεται, περιβάλλεται. ἔνιοι δὲ προβάλλεται· κοσμεῖται ὁ ὕμνος· ἡ μεταφορὰ ἀπὸ τῶν στεφάνων. [Πολύφατος δὲ,] ὁ πολύφημος. ὁ ὑπὸ πολλῶν φημιζόμενος, καὶ λεγόμενος πολυθρύλλητος. [Κρόνου παῖδα.] ἔστι μὲν τὴν ἑστίαν δέξασθαι Κρόνου, καθότι προήκεται. βέλτιον δὲ, οὕτως δέξασθαι. εἰς τὴν τοῦ Ιέρωνος ἐλθόντας ἑστίαν, τὸν τοῦ Κρόνου παῖδα, τὸν Δία ὑμνεῖν. πιθανώτερον γὰρ τῆς νίκης Ολυμπιακῆς οὔσης, τὸν Ολύμπιον Δία παρὰ τῷ Ολυμπιονίκῃ ἀνυμνεῖσθαι. τὸ δὲ ἐς ἀφνεὰν εἶπεν, ὅτι τὸ ἱπποτροφεῖν πλουσίων. τὸ δὲ ἱκομένους, ἀντὶ τοῦ παραγινομένους. τῇ γὰρ αἰτιατικῇ ἀντὶ ὀρθῆς κέχρηται, ὅπερ οὐκ οἶμαι λόγον ἔχειν.

* Edit. Brubacch. leg. ἐξασθενεῖ φαίνεται, & hab. ad marg. ἐξασθενεῖ τοῦ.

[Θεμιστεῖον.]

ἀντιστροφὴ α΄. κώλων ιζ΄.	Μεταφρ.
Θεμιστεῖον ὃς ἀμφέπει	Justum qui administrat
Σκᾶπτον ἐν πολυμάλῳ	Sceptrum in fœcunda
Σικελίᾳ, δρέπων μὲν	Sicilia, decerpens quidem
Κορυφὰς ἀρετᾶν ἄπο πασᾶν·	Summitates virtutibus ab omnibus:
Αγλαΐζεται δὲ καὶ	Resplendet vero etiam
Μουσικᾶς ἐν ἀώτῳ,	Musicæ in flore,
Οἷα παίζομεν φίλαν	Cujusmodi ludimus amicam
Ανδρες ἀμφὶ θαμὰ	Nos Viri frequenter circa
Τράπεζαν. Αλλὰ Δωρίαν ἀ-	Mensam. Sed Doricam
πὸ φόρμιγγα πασσάλου	Citharam à clavo
Λάμβαν', εἴ τι τοι Πίσας τε	Accipe, si qua tibi Pisæque
Καὶ Φερενίκου χάρις	Et Pherenici gratia *equi*

PARAPHRASIS.

Qui justis sub legibus pecorosæ Siciliæ regnum administrat, virtutes omnes præstabiles perfecte exercens, veluti Fortitudinem, Justitiam, Temperantiam. Præter quas etiam artis Musicæ peritia decoratur, ita ut norit cithara ludere, sicuti nos convivantes circa jucundam mensam frequenter ludimus. Sed Doricam accipe citharam clavo appensam, & cane Pisam, atque Pherenicum Hieronis equum,

NOTÆ.

18 Θεμιστεῖον] Gl. α. Βασιλικόν. 19 Σκᾶπτρον hab. Ald. & Pal. A. B. Bodl. & α. β. 20 Δρέπων] Gl. β. γ. τρυγῶν. 21 Κορυφὰς] Gl. β. γ. hab. τὰ ἐξαίρετα. MS. γ. addit προτιμήματα. Αρετῶν ἀπὸ πασῶν leg. Pal. A. B. Bodl. C. 71. & α. β. γ. 22 Αγλαΐζεται] Gl. α. β. γ. Λαμπρύνεται. Ita & Bodl. in Scholiis & α. β. γ. leg ubi hæc sequuntur ἐν ἀώτῳ μουσικῆς ἀντὶ τοῦ ἐν ἐξαιρέτοις μέλεσι μουσικῆς κατ' ἐκεῖνο τὸ μέρος ὃ παίζομεν οἱ ἄνθρωποι θαμὰ ἀντὶ τοῦ πολλάκις περὶ φίλην τράπεζαν ἀντὶ φιλικὴν, ἤγουν φίλους συνεστιωμένους ἔχουσαν. 23 Μουσικῆς leg. Pal. A. B. C. Bodl. C. 71. & α. β. γ. 24 Juxta veterum morem lyram circumferentium & hospitibus offerentium, quam siquis ex imperitia Musicæ recusasset, indoctior habebatur. 28 Pal. B. leg. Πίσσας.

[Θεμιστεῖον.] Ηρωδιανὸς προπαροξύνει ἀναλογώτερον γάρ· ἀλλ' ἡ χρῆσις παροξύνει. [Αλλως.] θεμιστεῖον, τὸ δίκαιον, παρὰ τὸ θέμις. ἀμφέπει δὲ, τὸ περιέπει. οἱονεὶ θεραπεύει. [Πολυμάλῳ] τῆς εὐδαίμονος ἀπὸ μέρους νοοῖτο. [Δρέπων μὲν] ἀντὶ τοῦ δρεπόμενος. ἀπανθιζόμενος, πασῶν ἀρετῶν τὸ τέλειον, ἀνδρείας, δικαιοσύνης, καὶ τῶν ἑξῆς, αὐτὸ τὸ ἄκρον δρεπόμενος ἁπασῶν τῶν ἀρετῶν· οἱονεὶ, ἀφ' ἑκάστης τὸ ὠφέλιμον καρπούμενος. [Αλλως.] ἀκαταλλήλως τὸ δρέπων, τῷ ἀγλαΐζεται ἐπενήνοχεν· ἐχρῆν γὰρ εἰπεῖν, ἀγλαϊζόμενος. ἵν' ᾖ καλλωπιζόμενος τῷ τῆς μουσικῆς κάλλει, τουτέστι τῆς ᾠδῆς. [Αλλως.] ἀγλαΐζεται δέ· ἀκαταλλήλως τὸ δρέπων τῷ ἀγλαΐζεται. ἐχρῆν γὰρ εἰπεῖν ἀγλαϊζόμενος ἐν τῷ τῆς ᾠδῆς ἄνθει καὶ τῇ ᾠδῇ. ἤτοι μουσικὸς ὤν. ἢ περὶ τὴν μουσικὴν διακείμενος. φίλην δὲ τράπεζαν, ἢ ὅτι κατὰ τὸ ἀναγκαῖον συνεστιῶνται, ἢ ὅτι ἐκ ταύτης αἱ φιλίαι. [Αλλως.] ἀγλαΐζεται δὲ ἐπαγωγικῶς ἀπὸ τῶν καταριθμηθέντων. εἰρηκὼς γὰρ ἀφνειὸς, ἀγαθὸς, δίκαιος, βασιλεὺς, ἐν τῇ ἀρετῇ τὸ δίκαιον, ἐν τῷ πλουτεῖν τὸ νικᾶν, φησὶν, ὅτι κέκτηται καὶ μουσικήν. ἵνα πάσας τὰς βιωτικὰς ἀρετὰς εἴπῃ. [Αλλως.] τῷ εἶναι μουσικὸν, ἢ τῷ διακεῖσθαι περὶ μουσικήν. ὥσπερ φιλίατρος, οὕτως ἐστίν. ἀλλὰ τῷ ἀώτῳ τῆς ᾠδῆς ἄνθει, τουτέστιν ἐν ταῖς ᾠδαῖς. οὐδὲν γὰρ ἕτερον, ἢ μουσικῆς ἄνθος αἱ ᾠδαί. οἷα δὲ ἔφησε, τοῖς περὶ τὸν πότον εἰώθασι λέγεσθαι. ἀγλαΐζεται δὲ καὶ ἐν τῷ τῆς μουσικῆς ἀπανθίσματι, οἱονεὶ πεπαίδευται τὴν μουσικήν. [Οἷα παίζομεν φίλαν.] τὴν φιλοποιόν. οὐ γὰρ ἐχθροὶ εἰς τράπεζαν συνέρχονται. τὸ δὲ παίζομεν, ὡς πρὸς τράπεζαν, οὐ τὸ σπουδαῖον· ἄχαρον γάρ. ὁ δὲ νοῦς, ὁποίαν μάλιστα μουσικὴν οἱ ἄνθρωποι συνεχῶς κατὰ τὰ συμπόσια περὶ τὴν προσφιλῆ τράπεζαν παίζομεν, καθὰ καὶ μετὰ τὴν εὐωχίαν εἶπεν. οὐ γὰρ ἦν σπουδαίου, ἄνευ τοῦ εὐωχεῖσθαι κιθαρίζειν.

ἀμφίβολον οὖν, πότερον ἀγλαΐζεται μουσικῆς ἐν ἀώτῳ μουσικὰ ζητῶν παρὰ τῷ δείπνῳ. ἢ ἐπεὶ λύρα περιεφέρετο τοῖς δειπνοῦσιν, ὡς ἀπερχομένων παιδιᾷ μουσικῇ τῶν εἰς Ἱέρωνα ὕμνων. [Αλλὰ Δωρίαν.] παρ' ὅσον οἱ ὑπὸ τὸν Παρνασὸν οἰκοῦντες Δωριεῖς πρῶτα λέγονται τὸ ὄργανον ἐσκευακέναι. οἱ δὲ παρὰ τὸ δῶρον ἀκούουσιν. ὅτι δὴ τὴν λύραν Ερμῆς, ἀντὶ τῆς τῶν βοῶν κλοπῆς, Απόλλωνι παρέσχεν. οἱ δὲ, ὅτι Δωρικῇ ἁρμονίᾳ ἥρμοσται τῷ Πινδάρῳ ἡ λύρα. ἁρμονίαι δὲ πλείονες, Δώριος, Φρύγιος, Λύδιος. τὸ δὲ ἀπὸ, δύναται μὲν ἀκούεσθαι καὶ πρὸς τὸ, Πασσάλου. ἵν' ᾖ ἀπὸ πασσάλου. δύναται δὲ καὶ πρὸς τὸ, λάμβανε. ἵν' ᾖ ἀπολάμβανε. ἐκ τούτου τὸ ᾆσμα τὸ τῆς ἐγκωμίου γραφῆς, ὑποφαινόμενον εἴη. [Αλλως.] ἀλλὰ Δωρίαν. ὅτι Δωριστὶ συντέτακται ὁ ἐπινίκιος. περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας, εἴρηται ἐν Παιᾶσι. Ποτὶ Δώριον μέλος σεμνότατόν ἐστι. πασσάλου δὲ, ὅτι ἐπὶ πασσάλων ἔκειντο αἱ κιθάραι. καὶ Ομηρος. Πασσάλῳ ἐγκρεμάσας. διὰ τὸ ἑτοίμους εἶναι εἰς τὸ ἀναλαβεῖν. ἢ ὅτι ὡς ἀνάθημα ἔν τινι τόπῳ τοῦ οἴκου ἀνάκειντο. [Πίσας τε.] τὸ Πίσας τε, συσταλτέον διὰ τὸ ἀντίστροφον. οὕτω δὲ, οἱ παρὰ Πινδάρῳ καὶ Σιμωνίδῃ. περὶ δὲ τῆς Πίσης ὅτι ὁ τόπος ἐν Ηλιδι ὑπὸ ὑψηλῶν ὄχθων περιεχόμενος, Πολέμων φησίν. ἔνιοι δὲ ὑποσυγχέουσι τὴν Πίσαν, καὶ τὴν Ηλιν. οὐκ ὀρθῶς δέ. διέστηκε γὰρ ἀπ' ἀλλήλων τὰ χωρία σταδίοις πεντήκοντα. ὠνόμασται δὲ Πίσα, ἀπὸ τῆς Πίσης τῆς Ενδυμίωνος θυγατρός. Αναλάμβανε ὦ Πίνδαρε τὴν Δωρίαν φόρμιγγα, καὶ ὕμνει τὸν Φερένικον ἵππον τοῦ Ἱέρωνος, καὶ τὴν Πίσαν, εἰ ἄρα σοι ἡ τούτων χάρις τὸν νοῦν ηὔφρανεν. [Αλλως.] εἴ τινά σοι ἡ Πίσα καὶ Φερένικος νικήσας παρέσχε λόγων εὐπορίαν. [Καὶ Φερενίκου χάρις.] ὄνομα τοῦ νικήσαντος ἵππου. ὁ δὲ νοῦς, εἴ τι σοι ὦ θυμὲ ἡ τοῦ ἵππου καὶ τῆς Πίσης χάρις, τὸν νοῦν ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν.

Νόον ὑπὸ γλυκυτά-
ταις ἔθηκε φροντίσιν·
Ὅτε παρ' Ἀλφεῷ σύτο, δέμας
Ἀκέντητον ἐν δρόμοισι παρέχων,
Κράτει δὲ προσέμιξε δεσπόταν

ἐπῳδὸς α'. κώλων ιγ'.

Συρακόσιον, ἱπποχάρμαν
Βασιλῆα. Λάμπει
Δέ οἱ κλέος ἐν εὐάνορι Λυδοῦ
Πέλοπος ἀποικίᾳ· τοῦ μεγασθενὴς
Ἐράσσατο γαιάοχος Ποσειδῶν,
Ἐπεί νιν καθαροῦ λέβητος ἔξελεν
Κλωθώ, ἐλέφαντι φαίδιμον
Ὦμον κεκαδμένον.

Animum dulcissi-
mis subjecit cogitationibus:
Cum ad Alpheum concitus proruit, corpus
Non-stimulatum in cursibus exhibens,
Victoriæque admovit Dominum

METAPH.

Syracusium, equis-gaudentem
Regem. Splendet
Autem ei gloria apud generosam Lydi
Pelopis coloniam: quem præpotens
Amavit terram continens Neptunus,
Postquam eum puro lebete exemit
Clotho, ebore *quoad* illustrem
Humerum exornatum.

PARAPHRASIS.

si locus certaminis nobilitate, si equus eximius parta victoria Musam excitavit, & materiam encomii tuæ cogitationi gratam suggessit, quum nuper nullo calcari concitus corporis nervos omnes cursu contendebat, & victoriam peperit domino suo Syracusarum regi, quem equorum studium, & equestre certamen delectat. Cujus nunc gloria splendet in Elide, quo deduxit è Lydia, fortibus viris insignem coloniam Pelops, quem amavit Neptunus terram continens, postquam Deorum commiseratione, is quem pater cæsum epulis apposuerat, in lebetem est conjectus, recoctumque vitæ restituit Clotho, & cui pro humero ab imprudente Cerere absorpto repositus est eburneus præclarus.

NOTÆ.

32 Οτ' ἐπ' Αλφεῷ leg. Pal. B. Σύτο] Gl. C. γ. hab. ἔτρεχε. 33 Ακέντρητον leg. Ald. 35 Συρακύσιον Pal. B. & Crat. leg. MS. Bodl. transfert -μαν in initium sequentis versus. Ita & MS. α. 38 Μεγασθενὴς] Gl. γ. Μεγαλοδύναμος. MS. C. Ισχυρότατος. 39 Ηράσσατο leg. Pal. B. Ποσειδᾶν leg. C. 71. & Pal. C. & Ald. Ideo addit μεγασθενὴς ad indicandam Divinam potentiam & majestatem Neptuni, ut inde honorem Pelopis in Cœlum rapti augeat Poëta. Pelops amari dicitur à Neptuno forsan quia generosus & fortis erat, & veluti Hiero equis gaudens, qui ex terra percussa hujus numinis Tridente exilierunt. 40 Καθαροῦ λέβητος] Hunc lebetem, in quo Pelops restitutus est, vocat purum, per oppositionem ad illum in quo Tantalus eum elixaverat. MSS. Bodl & α. transferunt ultimam Syllabam -λεν in princip. Vers. sequentis: Ald. & Pal. C. leg. ἐξεῖλε. 41 Κλωθώ] Innuit Deos Pelopem vitæ restituere non potuisse, nisi in fatis fuisset. Ελέφαντι] Hinc Eburneus humerus Pelopidis signum militare fuit, ut test. Isacius. & Schol. innuere videtur.

[Ὅτε παρ' Ἀλφεῷ.] ἐν Ἤλιδι. ὁ γὰρ Ἀλφειὸς ἐν Ἀρκαδίᾳ τὰς πηγὰς ἔχει. καὶ ἀπ' αὐτῶν ἀρξάμενος παραρρεῖ καὶ τὴν Ἦλιν. τὸ δὲ, σύτο δέμας, ὥρμα πρὸς τὸν δρόμον. [Ἀκέντητον.] ἀμάστικτον αὐτοῦ τὸ κατὰ φύσιν τάχει τὸ σῶμα κατὰ τὸν ἀγῶνα διαφυλάξας. ἐκ δὲ τούτου, τὸ ταχὺ καὶ πρόθυμον τοῦ ἵππου δηλοῖ. καὶ παρὰ τῷ Ὁμήρῳ. Ἄνευ κέντρου θέουσαι. ἔσυτο δὲ, οὕτως ὥρμησεν, ὡς μὴ δεῖσθαι κέντρου καὶ μάστιγος. [Κράτει δὲ] ἤγουν τῇ νίκῃ. ὁ δὲ νοῦς, ὁ δὲ Φερένικος, ταχύνας ἑαυτὸν κατὰ τὸν ἀγῶνα, τῇ νίκῃ προσέμιξε τὸν ἑαυτοῦ δεσπότην Ἱέρωνα. [Ἱπποχάρμαν.] καλῶς δὲ τὸ ἐπίθετον τῷ βασιλεῖ, διὰ τὸ ἱπποτροφεῖν. ἵνα δείξῃ, ὅτι οὐ τύχης γέγονεν ἔργον τὸ τοῦ Φερενίκου χρήσασθαι, ἀλλ' ἐπιστήμῃ καὶ τῇ περὶ τὸ πρᾶγμα ἐπιμελείᾳ. ἔνιοι δὲ ἀναγινώσκουσι παρεξιόντες τὴν παραλήγουσαν συλλαβὴν τῶν Συρακουσίων καὶ τὴν ἐσχάτην τοῦ ἱπποχάρμαν προσιῶσιν· ἵν' ᾖ, τῶν Συρακουσίων ἱπποχαρμῶν. τὸν γὰρ Ἱέρωνα, οὐκ ἔστι Συρακούσιον ὅτε ἐνίκα. κτίσαντα γὰρ αὐτὸν τὴν Κατάνην, καὶ προσαγορεύσαντα Αἴτναν, ἀπ' αὐτῆς Αἰτναῖον λέγουσιν αὐτόν. εὐήθεις φησὶ Δίδυμος τούτους. τότε γὰρ ὁ Ἱέρων ἦν Συρακούσιος καὶ οὐδὲ ἦν Αἰτναῖος, ὡς φησιν Ἀπολλόδωρος. ὁ δὲ Ἀριστόνικος ἀξιοπίστως Αἰτναῖον ὄντα, Συρακούσιον ὀνομάζεσθαι. [Λάμπει δέ οἱ.] αὐτῷ ἤτοι τῷ ἵππῳ, ἢ τῷ Ἱέρωνι, ὃ καὶ βέλτιον. [Λυδοῦ Πέλοπος.] Πίνδαρος τὸν Πέλοπα Λυδὸν φησιν εἶναι. Ἴστρος δὲ Παφλαγόνα. Ἀντεσίων Ἀχαιὸν ἀπ' Ὠλένου πόλεως. ἧς καὶ Ὅμηρος μνημονεύει. Καὶ Ὤλενον, ἠδὲ Πυλήνην. Λόγος τις τοῖς ἱστορικοῖς ἐπὶ τὸ μυθικώτερον πέπλασται. ὡς οἱ θεοὶ ἐπὶ ἑστίαν ἐκάλεσαν τὸν Τάνταλον εἰς ἔρανον. ὃ ἐστι τὴν εὐωχίαν παρασκευάσαντες. ἐπειδὴ οὖν καὶ αὐτὸς ὁ Τάνταλος τῷ τοῦ ἐράνου τρόπῳ ἀντεισφέρειν * τοῖς θεοῖς εὐωχίαν ἠπόρησεν, ἀσεβοῦς ἐπιχειρήματος πρόφασιν τὸ ἄπορον ἔσχε. διακόψας γὰρ τὸν Πέλοπα, ἐγκαθῆκε λέβητι· καὶ ἑψήσας, τοῖς θεοῖς παρέθηκε. μόνην δὲ Δήμητραν τῶν κρεῶν ἀγνοίᾳ μεταλαβεῖν λέγουσι, τινὲς δὲ, τὴν Θέτιδα. γνωρίσαντα δὲ τὸν Δία, Ἑρμῇ προστάξαι, ἐγκαθεῖναι πάλιν λέβητι τὰ κρέα, καὶ ὑγιῆ τὸν παῖδα ἀποδοῦναι. ὁ δὲ Βακχυλίδης τὸν Πέλοπα τὴν Ῥέαν λέγει ὑγιᾶσαι, καθεῖσαν διὰ τοῦ λέβητος· τῷ δευτέρῳ ἀκουστέον· ἀφ' οὗ καὶ ὑγιὴς ἀνεδόθη. [Εὐάνορι.] ἐν τῇ εὐάνορι ἀποικίᾳ τοῦ Πέλοπος, τουτέστιν, ἐν τῇ Πελοποννήσῳ. γράφεται καὶ ἐποικίᾳ. ταυτὸν δὲ δι' ἀμφοτέρων. ἀποικίαν δὲ, οὐχ ἣν αὐτὸς ἔστειλεν, ἀλλ' ἣν αὐτὸς † ἐστείλατο. τινὲς δὲ εὐάνορι, δοτικὴν ἀντὶ γενικῆς τοῦ εὐάνορος. ἐξ ἀνδρείας γὰρ νικήσας, ἔσχε τὴν Ἦλιν. [Καθαροῦ λέβητος.] ἐν ᾧ συνετίθετο ὁ Πέλοψ. ἀφ' οὗ καὶ ὑγιὴς ἐγένετο, ὅτε τῆς Δήμητρος τὴν ὠμοπλάτην αὐτοῦ φαγούσης κατ' ἄγνοιαν, ἐλεφάντινος ὦμος ἐτέθη αὐτῷ ὑπ' αὐτῆς. [Κλωθώ] μία τῶν μοιρῶν, εἴρηται δὲ, παρὰ τὸ ἐπικλώθειν ἑκάστῳ τὸ πεπρωμένον.

* Τί additur in omnibus Edit. † Ισ. ἔσταλτο.

Καὶ

Ἦ θαύματα πολλὰ,	Certe mirabilia multa,
Καί πού τι καὶ βροτῶν φρένας,	Et nonnunquam etiam hominum mentes,
Ὑπὲρ τὸν ἀληθῆ λόγον	Supra veracem sermonem
Δεδαιδαλμένοι ψεύδεσι ποικίλοις	Variegatæ mendaciis variis
Ἐξαπατῶντι μῦθοι·	Decipiunt fabulæ:
στροφὴ β΄. κώλων ιζ΄.	Metaph.
Χάρις δ', ἅπερ ἅπαντα τεύ-	Gratiaque *Poeticæ*, quæ omnes fa-
χει τὰ μείλιχα θνατοῖς,	cit voluptates hominibus,
Ἐπιφέροισα τιμὰν,	Afferens *dictis* autoritatem,
Καὶ ἄπιστον ἐμήσατο πιστὸν	Etiam incredibile, solertia-fecit credibile
Ἔμμεναι τὸ πολλάκις.	Esse sæpenumero.
Ἁμέραι δ' ἐπίλοιποι,	Dies autem subsequentes,
Μάρτυρες σοφώτατοι.	Testes *sunt* sapientissimi.
Ἔστι δ' ἀνδρὶ φάμεν	Est autem homini dicere
Ἐοικὸς ἀμφὶ δαιμόνων κα-	Conveniens de Diis ho-
λά· μείων γὰρ αἰτία.	nesta: minor enim culpa *est*.
Υἱὲ Ταντάλου, σὲ δ', ἀντί-	Fili Tantali, te vero, con-
α προτέρων, φθέγξομαι,	tra *quam* priores, dicam,

Paraphrasis.

Multa sane miranda scribuntur & dicuntur, ea tamen fabulosa; quæ quanquam falsa sunt, scite tamen mendaciorum fucis oblita mentem magis decipiunt, quam veri sermones afficiunt. Sed hoc gratia poetices efficit, quæ tam artificiose fabulas contexit, ut nihil sit tam insolens, quod non reddat suave, decus afferendo suis fictionibus: ita ut sua solertia credibile sæpe efficiat, quod fidem omnem superat. At cum tempore veritas emergit, & innotescit: verum in fabulis nihil est de Diis proferendum, quod eorum honori detrahat (ut quum à Cerere devoratum Pelopis humerum finxerunt) ne ulla blasphemiæ culpa teneamur. Fili Tantali Pelops, aliter & contra quam priores historici & poetæ, hanc historiam narrabo,

Notæ.

43 Θαύματα πολλά] Gl. MS. α. habet, ὄντως ἄξια θαύματος ταῦτα καλὰ πολύ. Omnes Codd. leg. θαῦμα τὰ πολλά. At Eustath. ad Iliad. γ. leg. θαυματὰ πολλὰ qu. pro θαυμαστά, quem sequitur Schmid. Magis autem sequim. Benedict. cum accent. in antepenult. sic enim sæpe hac voce designant Autores mirabilia. 44 Alii leg. φρένα. Ald. & Pal. C. hab. φάτις. & Schol. habet inter alias lect. φάτιν. 45 Sensus videtur talis: sermones magis quam fert rerum veritas elaborati & exornati fallunt homines elegantium mendaciorum fuco. 48 Τεύχει] Gl. ϛ. κατασκευάζει ἡ ποιητικὴ χάρις. respectu ad δεδαιδαλμένοι Metaphora continuata. Pal. C. hab. ἅτε πάντα 50 Ἐπιφέροισα leg. Pal. A. B. ita & Bodl. & ϛ. 53 Ἐπίλοιποι] Αἱ ἑξῆς Gl. γ. 54 Μάρτυρες leg. Pal. C. 57 Μείων γὰρ αἰτία] Aretius ita explicat, minor est causa, quam quæ Deos deceat, sc. inebriari & comessari. Neander & alii interrogationem faciunt, An minor res est? exigua res est? 58 Ἀντία leg. Steph. in eodem versu.

[Καί πού τι καὶ βροτῶν.] καὶ δὴ οἱ λόγοι εἰσὶ τῶν ἀνθρώπων φησὶν, οἵ τινες ποικίλων λόγων τεχνάσμασιν εἰς τὸ ἀπατῆσαι τοὺς ἀκούοντας πεποικιλμένοι ὑπὲρ τὸν ἀληθῆ λόγον ἐξαπατᾷν δύνανται. ἔνιοι δὲ, φάτιν, ἀντὶ τοῦ τὰς φρένας τῶν ἀνθρώπων ἀπατῶσιν οἱ ψευδεῖς λόγοι. [Ἄλλως.] ἡ τῆς ποιητικῆς, φησὶ, χάρις καὶ τὰ ἄπιστα ποιεῖ πιστά. [Ἄλλως.] οἱ μῦθοι ὑπὲρ τὸν ἀληθῆ λόγον ἰσχύουσι καὶ ἐξαπατῶσι τοῖς δεδαιδαλμένοις ψεύδεσι καὶ ποικίλοις. πολλὰ γὰρ ἀληθῆ νομίζεται ἐκ τῆς φήμης, ὅτε τὸ ψεῦδος προσπλάσσῃ. [Χάρις δ' ἅπερ.] ἡ δὲ χάρις τῆς ποιητικῆς γραφῆς, καὶ τῆς κατὰ τὸν μῦθον ποικιλίας τε καὶ ψυχαγωγίας, ἥτις καὶ τοῖς ἀνθρώποις ἅπασιν εἶναι ἡδέα τὰ πράγματα παρασκευάζει, τὴν παρ' ἑαυτῆς τιμὴν καὶ χάριν ἐπιφέρουσα, πολλάκις καὶ τὸ ἄπιστον πιστὸν νομισθῆναι παρεσκεύασεν. [Ἄλλως.] τὸ ποίημα τὸ πεπλασμένον διαδεχθὲν ὑπὸ πολλῶν πιστὸν ἐγένετο. [Ἁμέραι δ' ἐπίλοιποι.] ὁ δὲ χρόνος, φησὶ, καὶ τὴν ἀλήθειαν προϊὼν, ἀπογυμνοῖ. ἀξιόπιστος ἔλεγχος, καὶ Δημοσθένης. τῷ χρόνῳ δὲ φωρᾶται, καὶ περὶ αὐτὰ χαλάσσει. [Ἔστι δ' ἀνδρί.] ἔστι δὲ καὶ προσῆκον ἀνθρώπῳ τὰ καλὰ περὶ τῶν θεῶν λέγειν. ἐλάττων γὰρ αἰτία. διὰ δὲ τούτου εὐσεβὲς τὸ ἦθος χαρακτηρίζει. ὡς ὅτι δεῖ μηδόλως ἐγκαθιέναι τινὰ εἰς τὸν περὶ τῶν θεῶν λόγον. ἔνιοι δὲ μείων, ἀντὶ τοῦ οὐδὲ ὀλίγη. ὡς Ὅμηρος, ἢ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Πηλεύς, ἀντὶ τοῦ οὐδὲ ὀλίγον. ἵν' ἢ οὐδὲ ὀλίγην ἔχῃ αἰτίαν, τῷ καλὰ λέγοντι περὶ θεῶν. [Ἄλλως.] ἔστι δὲ εἰκὸς ἀνθρώπῳ εὔφημα περὶ θεῶν λέγειν, καὶ μὴ βλασφημοῦντα, λέγειν αὐτοὺς ἀνθρωποφάγους καὶ γαστριμάργους. [Υἱὲ Ταντάλου, σὲ δ' ἀντία προτέρων.] ἐγὼ δέ σε ὦ Πέλοψ ἐναντία ταῖς τῶν προτέρων δόξαις ἐγκωμιάσω· ἀντὶ τοῦ ἐναντία καὶ ἕτερα οἷς εἶπον οἱ πρότεροι ποιηταὶ δοξάσω σε καὶ ἐρῶ. οἱ μὲν γάρ σε ἔθεντο τεθνεῶτα· ἐγὼ δὲ κλαπέντα. [Ἄλλως.] γράψω εἰς σὲ παλινῳδίαν καὶ ἐναντία τοῖς λέγουσί σε κρεανομεῖσθαι.

Ὁπότ' ἐκάλεσε Πα-
τὴρ τὸν εὐνομώτατον
Ἐς ἔρανον, φίλαν τε Σίπυλον,
Ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,
Τότ' Ἀγλαοτρίαιναν ἁρπάσαι,

ἀντιστροφὴ β'. κώλων ιζ'.

Δαμέντα φρένας ἱμέρῳ,
Χρυσέαισί τ' ἀν' ἵπποις
Ὕπατον εὐρυτίμου
Ποτὶ δῶμα Διὸς μεταβᾶσαι·
Ἔνθα δευτέρῳ χρόνῳ
Ἦλθε καὶ Γανυμήδης
Ζηνὶ τωὔτ' ἐπὶ χρέος.
Ὡς δ' ἄφαντος ἔπε-
λες, οὐδὲ ματρὶ πολλὰ μαιό-
μενοι φῶτες ἄγαγον·
Ἔννεπε κρυφᾶ τις αὐτί-
κα φθονερῶν γειτόνων,
Ὕδατος ὅτι τε πυ-
ρὶ ζέοισαν ἀμφ' ἀκμὰν

Quando vocavit Pa-
ter *Tantalus* maxime-legitimas
Ad epulas, charamque Sipylum,
Retributivam Diis cœnam præbens,
Tunc Tridente-inclytum rapuiſſe,

METAPH.

Domitum mentem deſiderio,
Aureiſque in equabus
Supremam late-honorati
Ad domum Jovis tranſtuliſſe:
Quo proxime-priore tempore
Venit & Ganymedes
Jovi idem ad miniſterium.
Ut vero inconſpicuus e-
ras, neque matri multum inqui-
rentes *viri te* adducebant:
Dixit clam aliquis ſta-
tim invidorum vicinorum,
Aquæ quod te i-
gne ferventem circa vehementiam

PARAPHRASIS.

Dicam enim, cum pater tuus legitimas epulas viciſſim præberet Diis apud Sipylum ſuam, te, à Neptuno ob tridentem inſigni, ſuiſſe raptum, illo amore tui accenſo, & in aureis equis ſublatum in cœlum, ut ipſi nectar & ambroſiam miniſtrares, quemadmodum Jovi Ganymedes, qui eundem in uſum ante tua tempora raptus eſt. Quare cum non amplius apud homines conſpicereris, & te quæſitum miſſi à matre viri non inveniſſent, neque reduxiſſent, illico ſumpta hinc occaſione calumniandi, clam dixit aliquis ex vicinis invidis, te ad ignem in lebete

NOTÆ.

60 Ὁπότι κάλεσε leg. Ald. & Pal. A. B. & Bodl. 61 Ἐς εὐνομώτατον leg. MSS. ϐ. γ. & omitt. ἐς in initio ſequentis, in quibus τὸν non invenitur. 63 MS. C. 71. ita totum verſum legit Ἀμοιβαῖα δεῖπνα θεοῖσι. παρέχων. 66 Χρυσέαισί τ' ἀν' ἵπποις] Equabus, quibus præ equis uti in certaminibus ſoleant phaleris aureis ornatis; vel epitheton χρυσέαισι refertur ad equarum præſtantiam & generoſitatem. MS. Pal. C. leg. --αισι κὰν ἵππῳ. Sed α & ϐ, hab. αισιν ἵπποις. Steph --αισιν ἀν' ἵπποις; hæc eſt lectio MSS. Bodl. & γ. 68 Μεταβῆσαι hab. MS. ϐ. 71 MS. Bodl leg. τωὔτ'. 72 MS. ϐ. leg. ἄφατος. 74 MS. Bodl. leg. ἤγαγον. Ita Ald. & Pal. B. & α. ϐ. γ. 78 Ald. & Pal. C. hab. ἐπ' ἀκμάν.

[Σίπυλον.] οἱ μὲν, πόλεως ὄνομα. οἱ δὲ ὄρος περὶ τὴν Λυδίαν, ὅθεν ὁ Πέλοψ. [Χρυσέαισιν.] ἀντὶ τοῦ ἐπὶ χρυσῶν ἵππων. μεταβιβάσαις, μεταγαγών. [Ποτὶ δῶμα Διός.] καθ' ὑπερβατὸν νοείσθω. Γανυμήδης γὰρ πρεσβύτερος Πέλοπος. καὶ ἔστι τὸ ὑπερβατὸν οὕτως. Διὸς δῶμα μεταβᾶσαι δευτέρῳ χρόνῳ, ἔνθα ἦν καὶ Γανυμήδης. ἔξωθεν τὸ πρότερος προσληπτέον. [Ἔνθα δευτέρῳ χρόνῳ.] δευτέρῳ, ἀντὶ τοῦ ὑστέρῳ. προτέρῳ δὲ ἐχρῆν εἰπεῖν. πρεσβύτερος γὰρ Γανυμήδης Πέλοπος. ὡς ἔστιν ἐκ τῶν ἐπιγόνων τεκμήρασθαι. Ἕκτωρ γὰρ καὶ Ἀγαμέμνων. Ἀτρεὺς καὶ Πρίαμος. Πέλοψ, καὶ Λαομέδων. καὶ πάλιν Λαομέδων, οὗ Πρίαμος, οὗ Ἕκτωρ. Πέλοπος γὰρ Ἀτρεὺς, οὗ Ἀγαμέμνων κατὰ τὸν Ἕκτορα. προανήρπαστο οὖν Γανυμήδης Πέλοπος. καθ' ὑπερβατὸν οὖν αὐτὸ ἀκουστέον, ὅπως ἐπὶ τοῦ Πέλοπος λέγηται οὕτως. ὁπότ' ἐκάλεσε πατὴρ ἐπὶ τὸν εὐνομώτατον ἔρανον φίλαν τε Σίπυλον, τότε Ἀγλαοτρίαιναν μεταβᾶσαι δευτέρῳ χρόνῳ, ἔνθα ἦλθε καὶ Γανυμήδης. [Ὡς δ' ἄφαντος.] ὡς δὲ ἀφανὴς ἐγένου, καὶ οἱ ζητοῦντές σε κενοὶ καὶ ἄπρακτοι ὑπέστρεψαν, μὴ ἄγοντές σε τῇ μητρὶ Εὐρυανάσσῃ τὸ ὄνομα, οἱ γείτονες διαδεδώκασιν ὑπὸ τοῦ πατρός σε κατακεκόφθαι τοῖς θεοῖς εἰς εὐωχίαν ψευδῆ λέγοντες. [Κρυφᾶ.] Δωρικῶς ἀντὶ τοῦ κρύφα. ἁρπαγῆναι δέ φασι Πέλοπα ὑπὸ Ποσειδῶνος. εἶτα ἕνα τῶν γειτόνων φθονοῦντα διασκευάσαι τοῦτον τὸν μῦθον, ὡς ἐκρεουργήθη. [Ζέοισαν ἐπ' ἀκμάν.] ἀντὶ τοῦ εἰς ὕδωρ ἀκμαίως ζέον, εἰς θερμόν. καὶ τὰ μέλη τεμόντες ἐμβεβλήκασι· καὶ τὸ τελευταῖον ἐν ταῖς τραπέζαις παρατεθέντες, καὶ μερίδας ποιήσαντες βεβρώκασιν. [Ἄλλως.] ζέοισαν, τὴν ζέσιν τοῦ ὕδατος. ἐπεὶ τὴν αὐτὴν δύναμιν ἔχει τῷ σιδήρῳ τὸ πῦρ.

[Μαχαίρᾳ

Μαχαίρᾳ τάμον κατὰ μέλη,	Ense dissecuissent membratim,
Τραπέζαισί τ' ἀμφιδεύτατα κρεῶν	Mensisque frusta carnium
Σέθεν διεδάσαντο, καὶ φάγον.	Tuarum distribuissent, & comedissent.
ἐπῳδὸς β'. κῶλον ιγ'.	Μεταφη.
Ἐμοὶ δ' ἄπορα, γαστρίμαργον	Mihi vero absurdum, helluonem
Μακάρων τιν' εἰπεῖν.	Beatorum aliquem dicere.
Ἀφίσταμαι. Ἀκέρδεια λέλογχεν	Desisto. Noxa prehendere-solet
Θαμινὰ κακαγόρως. Εἰ δὲ δή τιν' ἄν-	Frequenter maledicos. Si vero sane ullum vi-
δρα θνατὸν Ὀλύμπου σκοποὶ ἐτίμα-	rum mortalem Olympi speculatores hono-
σαν, ἦν Τάνταλος οὗτος. ἀλλὰ γὰρ καταπέ-	rarunt, fuit Tantalus hic. Sed enim con-
πέψαι μέγαν ὄλβον οὐκ ἐδυ-	coquere magnam felicitatem non po-
νάσθη· κόρῳ δ' ἕλεν	tuit: saturitateque accepit
Ἄταν ὑπέροπλον,	Noxam ingentem,
Τάν οἱ Πατὴρ ὑπερκρέμα-	Quam ei pater superpen-
σε, καρτερὸν αὐτῷ λίθον,	dit ipsi, validum *videlicet* lapidem,
Τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν,	Quem semper cogitans *à* capite amoliri,

PARAPHRASIS.

elixatum, dissectisque cultro membratim carnium extremitatibus, ac mensæ appositis, distributum & esum à Diis ad convivium vocatis. Quia vero absurdum est helluonem appellare Deorum aliquem, in hanc non venio sententiam: sed honesta de Diis loquor, ut culpa vacem; ac ne maledicentia damnum capiam. Nam Diis maledixisse sæpe nocet. Quod siquem hominem Dii honore cumulaverunt, fuit hic Tantalus. Sed hac fælicitate uti nescivit, fastusque animum extulit: propter quem in pœnæ irrogationem Jupiter scelerum ultor, ipsius capiti saxum ingens superappendit; quod, cum demovere cupiat, nec tamen possit,

NOTÆ.

80 Ἀμφιδεύτατα] Quidam hunc locum intelligunt de secundis mensis, uti Athenæus l. 14, qui leg. ἀμφὶ δεύτατα i. e. circa secundas mensas, seu convivii exitum. Et hæc opinio verisimilior videtur, quia in secundis mensis apponuntur magnificentissima, inter quæ Tantalus filium haberi voluit. Hanc lectionem confirmant Ald. & Pal. B. Steph. C. 71. Bodl. & γ. 82 Ἄπορα] Pro ἄπορον, uti leg. Ald. & Pal. A. C. i e. Unde extricare nos non possumus MS. Bodl. transfert --γον finale in princip. sequentis vers. 84 Ἀκέρδεια] Qu. Illucrositas (pari ratione intellig. quâ Virgil. Busyrim vocat illaudatum) ad exprimendum damnum gravissimum. Ideo sc. mala non sunt de Diis dicenda, quia maledicos sequitur vindicta. Ἀκέρδειαν leg. Pal C. 85 MSS. Bodl. & α leg. κακηγόρους. Pal. B. & Ald. κακαγόρος. Pal. C. κακάγορος. Pal. A. κακαγόρους. β. γ. κακαγόρως. Εἰ δὲ δὴ] Q. d. Alii ferunt irrogatam esse Tantalo pœnam, propter facinus in Pelopem commissum; sed alia causa assignanda est, sc. fastus, qui rebus secundis uti nescit. 87 Καταπέψαι] Gl. MS. γ. καταχωνεῦσαι. MS. Bodl. conclud. versum cum κα- & transf. --τα ad seq. Metaph. in verbo καταπέψαι sumitur à ventriculo, qui aliquando digerere nequit, sed fastidio præ satietate (pro utraq; enim voce sumitur κόρος) male afficitur. 89 Κόρῳ] Gl. γ. ὑπὸ τῆς πλείστης τιμῆς. 91 C. 71. & β. γ. conclud vers. cum --κρέματ-- transfer. --σε ad seq. 92 Καρτερὸν] Gl. γ. hab. Μέγιστον. MS Bodl. leg. κρατερόν. 93 Αἰεὶ leg. Ald. & Pal. C. Ἀεὶ Cratandr. Κεφαλῆς leg. Bodl. α. β. γ

[Μαχαίρᾳ τάμον.] οἱ Ταντάλου δορυφόροι ἔταμον τῇ μαχαίρᾳ· καὶ μέρος ἑκάστῳ τῶν θεῶν μέλος ἀποδιδόντες ἐν τῇ τραπέζῃ ἔθηκαν. ἔφαγον δεύτατα ὄντα τοῦ σώματι. τουτέστι μετὰ τὸ σῶμα μέλη δεύτερα φαγεῖν ἔθηκαν, χεῖρας, πόδας καὶ τὴν κεφαλήν. [Ἄλλως.] δεύτατα, ἢ τὰ ἔσχατα, ἢ τὰ βεβρεγμένα τῷ αἵματι. [Ἀφίσταμαι.] μακρὰν καὶ πόῤῥω γίνομαι, τοῦ τοιαῦτα περὶ θεῶν λέγειν. τοῦ δὲ ἀκέρδεια ὁ νοῦς, ἀκέρδεια εἴληχε πυκνῶς τοὺς κακηγόρους. ὅπερ ἐστὶν, οἱ κακήγοροι τῶν ἀνθρώπων πυκνῶς ἐν ἀκερδείᾳ εἰσίν. ἢ οὕτως, οἱ κακήγοροι οὐδὲν λελόγχασιν, ἢ ἀκέρδειαν. οἱ οὐδὲν κερδαίνουσι κακηγοροῦντες. τινὲς δὲ τῇ ἐκλείψει τοῦ υ ἐχρήσαντο. κακηγόρους μὲν αὐτοὺς, ἀσεβεῖς καὶ βλασφήμους. [Ἄλλως.] τοὺς κακηγόρους ἀκέρδεια καὶ βλάβη ἐκλήρωσεν. ἀκέρδεια δέ ἐστιν ἡ κακηγορία καὶ ἡ βλάβη, ἣ τοὺς κακηγόρους περιέχει. τοῦ δὲ κακηγόρως, Δωρικὴ ἡ ἀνάγνωσις. ἀεὶ γὰρ ἡ αἰτιατικὴ παρ' αὐτοῖς, κατὰ ἀφαίρεσιν τοῦ υ λαμβάνεται διὰ μόνου τοῦ ω. [Εἰ δὲ δή τινα.] εἰ δὲ δή τινα ἄνδρα ἄλλον οἱ θεοὶ ἐτίμησαν, καὶ μάλιστα τὸν Τάνταλον. [Ἀλλὰ γὰρ καταπέψαι.] κατασχεῖν καὶ ἐν * ἀπολαῦσαι τῆς εὐτυχίας ἀλλ' εὐδαιμονῶν καρτερεῖν οὐκ ἠδυνήθη. [Κόρῳ δ' ἕλεν ἄταν.] διὰ τὸν κόρον μεγάλως ἐβλάβη, λίθῳ παλαίσας. [Ἄλλως.] κόρῳ, τῇ ὕβρει καὶ τῇ ἀλαζονείᾳ. ὑγιῶς δὲ τῇ ῥοπῇ τοῦ ὅλου ἐχρήσατο, τὸ καταπέψαι τὸν κόρον ἐφαρμόσας. διὰ γὰρ τὸν κόρον φησὶ προσείληφε τὴν ἄτην, ἀδυνατήσας κατασχεῖν τὴν εὐδαιμονίαν. τίκτει τοι κόρος ἄτας. ἔνιοι δὲ κόρῳ τῇ πλησμονῇ τῆς τροφῆς. [Τάν οἱ πατήρ.] τὴν ἄτην φησὶν ὑπερεκρέμασεν αὐτῷ. ἄταν δὲ εἶπε τὸν λίθον ὃς ἦν ἄτη. διὸ δὴ παρείληφε τὴν ἀντωνυμίαν. τὸ γὰρ οἱ, ἰσοδυναμεῖ τῷ αὐτῷ. [Ἄλλως.] δι' ἥντινα ἄτην ὁ Ζεὺς ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ ἄτην, ἤγουν λίθον, ἀπήρτησεν· ὥστε τῇ προσδοκίᾳ τοῦ καταπίπτειν τὸν λίθον ἐφ' ἑαυτὸν, τιμωρεῖσθαι. ὅντινα ἐπηρτημένον λίθον ἐπιθυμῶν ἀπὸ τῆς αὐτοῦ κεφαλῆς ἀπώσασθαι, καὶ μὴ δυνάμενος εὐφροσύνης ἀλᾶται. ἀντὶ τοῦ ἐν πόνοις ἐστίν. [Ἄλλως.] Τάν οἱ πατήρ. ἐπικρέμαται αὐτῷ λίθος. εἶτα τοῦτο μενοινῶν, καὶ κατὰ τὴν ψυχὴν ἔχων ὡς ἐπιπεσὼν ὁ λίθος διαφθερεῖ αὐτὸν, τῆς εὐφροσύνης ἀλᾶται· προσδοκῶν ἀεὶ τὴν κεφαλὴν αὐτοῦ βληθήσεσθαι.

* Videtur deesse ἐπιεικείᾳ, εὐσχημοσύνῃ, aut quid tale.

Εὐφροσύνας ἀλᾶται. | Lætitia aberrat.

στροφὴ γ'. κώλων ιζ'. | METAPH.

Ἔχει δ' ἀπάλαμον βίον
Τοῦτον, ἐμπεδόμοχθον
Μετὰ τριῶν τέταρτον
Πόνον· Ἀθανάτων ὅτι κλέψαις
Αλίκεσσι συμπόταις
Νέκταρ ἀμβροσίαν τε
Δῶκεν, οἷσιν ἄφθιτον
Θέσσαν· εἰ δὲ θεὸν
Ανήρ τις ἔλπεταί τι λασέ-
μεν ἔρδων, ἁμαρτάνει.

Habet autem auxilio-carentem vitam
Hanc, & constanter-ærumnosum
Cum tribus quartum
Laborem: Immortalium quoniam furatus,
Æqualibus compotoribus
Nectar ambrosiamque
Dedit, quibus immortalem *ipsum Dii*
Fecerant. Si vero Deum
Vir aliquis sperat quippiam late-
re faciens, fallitur.

PARAPHRASIS.

mœrore & solicitudine semper angitur. Quia etiam nectar, ambrosiamque, quibus Dii fovent immortalitatem, furatus est, ut eam coæqualibus daret compotoribus: non solum ipsi impositum est ut vitam ærumnosam & laboriosam vivat, quum præter illas tres pœnas, esuriendi, sitiendi, standi, quarta adhibita est, scilicet saxum capiti imminens; Sed etiam filius ipsius Pelops, qui Jovis in domo immortalitatem degustaverat, ad mortales homines, mortem suo tempore obiturus, est relegatus. Unde apparuit quam sit hallucinatus, quum se furtum illud Diis insciis commissurum putavit; siquidem illis omnia videntibus fuit conspicuum, & postea vindicatum.

NOTÆ.

95 Ἀπάλαμον leg. Ald. & Pal. C. & ν additur textui in MS. γ. 99 Αλίκεσσι] Gl. γ. Ομήλιξιν hab. 102 Ἔθηκαν αὐτὸν leg. Ald. & Pal. Θέσαν α. β. γ. 103 Λαθέμεν leg. Steph. Λαττέμεν MS. β.

[Ἔχει δ' ἀπάλαμον βίον.] δεινόν. πρὸς ὃν οὐκ ἔστι παραμυθήσασθαι. περὶ οὗ οὐδεὶς δύναται αὐτῷ κατὰ χεῖρα ἐπαγαγεῖν βοήθειαν. [Ἐμπεδόμοχθον.] διηνεκῶς μοχθηρόν. ἠσφαλισμένον τῷ μόχθῳ καὶ τῇ λύπῃ. [Μετὰ τριῶν.] περὶ τῆς τοῦ Ταντάλου κολάσεως ἕτεροι ἑτέρως λέγουσιν. οἱ μὲν γὰρ αὐτόν φασιν ὑποκεῖσθαι Σιπύλῳ τῷ Λυδίας ὄρει. αἰτίαν τινὰ προστιθέντες, ὡς Πανδάρεως ὁ Μιλήσιος ἀποκλέψας τὴν κύνα τῆς Κρήτης, ὃν ὁ Ζεὺς φύλακα τοῦ ἱεροῦ παρέστησε, παρέθετο αὐτὸν τῷ Ταντάλῳ. τὸν δὲ Δία ἀποστεῖλαι Ἑρμῆν πειρώμενον τοῦ ὑποδεξαμένου. τὸν δὲ, μᾶλλον ψευδόμενον ἐπιορκῆσαι, ὡς οὐκ ὄντος παρ' αὐτῷ τοῦ κυνός. καὶ οὕτω τὸν Δία ἐπιθεῖναι κατ' αὐτοῦ Σίπυλον τὸ ὄρος, ὅπερ ἐστὶ τὸν λίθον. οἱ δὲ, ὧν ἐστι καὶ Εὐριπίδης, ὡς ἀκόλαστον ἔχε γλῶσσαν, αἰσχίστην νόσον. Ὅμηρος δὲ αὐτὸν ἑτέρως ὑποτίθησι τιμωρεῖσθαι. Ἑσταότ' ἐν λίμνῃ, ἡ δὲ προσέπλαζε γενείῳ. Στεῦτο δὲ διψάων· πιέειν δ' οὐκ εἶχεν ἑλέσθαι. καὶ τὰ ἑξῆς· πλὴν εἰ μὴ κατὰ Ἀρίσταρχον νόθα εἰσὶ τὰ ἔπη ταῦτα. Ἀλκαῖος δὲ καὶ Ἀλκμὰν, λίθον φασὶν ἐπαιωρεῖσθαι τῷ Ταντάλῳ. ὁ δὲ Ἀλκμὰν, ὅπως ἀνὴρ δ' ἐν ἀσμένοισιν ἀλιτηρὸς ἧστ' ἐπὶ θάκας κατὰ πέτρας, ὁρέων μὲν οὐδὲν, δοκέων δέ. ἐποίησε δὲ καὶ ὁ Ἀρχίλοχος. μηδ' ὁ Ταντάλου λίθος, τὸν δ' ὑπὸ νήσου κρεμάσθη. ἔνιοι δὲ ἀκούουσι τὸν πέτρον, ἐπὶ τοῦ ἡλίου. τὸν γὰρ Τάνταλον, φυσιολόγον γενόμενον, καὶ μύδρον ἀποφήναντα τὸν ἥλιον, ἐπὶ τούτῳ δίκας ὑποσχεῖν. ὥστε καὶ ἐπαιωρεῖσθαι αὐτοῦ τὸν ἥλιον· ὑφ' οὗ δειματοῦσθαι καὶ καταπλήσσεσθαι. περὶ δὲ τοῦ ἡλίου οἱ φυσικοί φασιν ὡς λίθος καλεῖται ὁ ἥλιος. καὶ Ἀναξαγόρου δὲ γενόμενον τὸν Εὐριπίδην μαθητὴν, πέτρον εἰρηκέναι τὸν ἥλιον, διὰ τῶν προκειμένων. Ὁ γὰρ μακάριος κοὐκ ὀνειδίζω τύχας, Διὸς πεφυκὼς, ὡς λέγουσι, Τάνταλος, Κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον, Ἀέρι ποτᾶται, καὶ τίνει ταύτην δίκην. καὶ πάλιν, δι' ἄλλων βῶλον λέγοντα, οὕτως, Μόλοιμι τὰν οὐρανοῦ μέσον καὶ χθονὸς Τεταμένην αἰωρήμασι Πέτραν ἁλύσεσι χρυσέαισι, φερομένην Δίνῃσι, βῶλον ἐξ Ὀλύμπου, Ἵν' ἐν θρηνῳδοῖσιν ἀναβοάσω, Γέροντι πατρὶ Ταντάλῳ. [Ἄλλως.] Μετὰ τριῶν τέταρτον. ἢ ὅτι ἐν ᾅδου μετὰ τριῶν, τέταρτος κολάζεται. Σισύφου, Τιτυοῦ, καὶ Ἰξίονος, ἢ ὅτι μετὰ τριῶν, τῆς πεινῆς, δίψης, ἑστάναι, τέταρτον πόνον τοῦτον ἔχει, τὸ, τῷ λίθῳ κολάζεσθαι. ἢ ὅτι μετὰ τρίτον, κατὰ ἕνα. ἔστι δὲ περὶ σῶμα, περὶ ψυχὴν, περὶ τὰ ἐκτός. ἢ μετὰ τρίτον κολάζεται, οἷς μετέδωκε τοῦ νέκταρος, καὶ ἐξεῖπε τὰ μυστήρια τῶν θεῶν. ὁ οὖν Εὐριπίδης φησὶν, ἀκόλαστον ἔχε γλῶσσαν. ἢ ὅτι τριῶν ὄντων περὶ τότε βασάνων δι' ὧν ἀπώλετο, βρόχου, κωνείου, βαράθρου, οὕτος μετὰ τὸ ἀποθανεῖν, καὶ διελθεῖν τὰ τρία διὰ τοῦ θανάτου, καὶ ἐν ᾅδου κρίνεται. ἔνιοι δὲ ὅτι, τρία λέγονται κοινῶς, καὶ τὰ πρὸς θάνατον συνεργοῦντα. ξίφος, ἀγχόνη, κρημνός. Σοφοκλῆς. Λύσω γὰρ, εἰ καὶ τῶν τριῶν ἓν οἴσομαι. τέταρτον οὖν τούτων μετὰ τῶν τριῶν ὁ Τάνταλος τῶν εἰς τὸν θάνατον συνεργούντων προσείληφε πόνον τὸν τοῦ ὑπερκειμένου λίθου. ἢ ὅτι τεσσάρων μοιρῶν οὐσῶν κατὰ τῆς ἀνθρωπίνης φύσεως· ἢ ὅτι τριῶν μερίδων οὐσῶν κατὰ τοὺς ποιητὰς· καὶ τοῖς μὲν εὐδαίμοσι, μίαν ἐπιδιδοῦσαν ἀγαθὴν· δύο δὲ κακὰς· τοῖς δὲ δυσδαίμοσι, τὰς τρεῖς φαύλας. ὅθεν, καὶ τρεῖς κακοδαίμονας, καὶ τρισαθλίους ἐν τῷ βίῳ τινὰς λέγομεν. ἵν' ᾖ οὖν ὁ νοῦς οὕτως, ὅτι δὴ ὁ Τάνταλος, καὶ μετὰ τὰς τρεῖς ταύτας δυσχερείας, ἃς ὑπέστη κατὰ τὸν ἀνθρώπινον βίον ἐξ ἀνθρώπων γεγονὼς, καὶ τετάρτην ὑφίσταται. καὶ ὅτι ἡ τοιαύτη γνώμη ἀσφαλής ἐστι, μαρτυρεῖ ἡμῖν καὶ ὁ Πίνδαρος ἐν ἑτέροις λέγων, οἶδα προτέρων, ὅτι ἓν παρ' ἐσθλὸν, πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι, ἐν Πυθιονίκαις.

[Τέτικα

Τοὔνεκα προῆκαν υἱὸν
Αθάνατοί οἱ πάλιν
Μετὰ τὸ ταχύποτμον
Αὖθις ἀνέρων ἔθνος.
Πρὸς εὐάνθεμον δ' ὅτε φυὰν
Λάχναί νιν μέλαν γένειον ἔρεφον,
Ετοιμον ἀνεφρόντισεν γάμον,

ἀντιστροφὴ γ'. κώλων ιζ'.

Πισάτα παρὰ πατρὸς εὔ-
δοξον Ιπποδάμειαν
Σχεθέμεν. Αγχι δ' ἐλθὼν
Πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ,
Απυεν βαρύκτυπον
Εὐτρίαιναν· ὁ δ' αὐτῷ
Πάρ ποσὶ σχεδὸν φάνη.
Τῷ μὲν εἶπε· Φίλι-
α δῶρα Κυπρίας ἄγ' εἴ τι
Ποσείδαον ἐς χάριν

Idcirco demiserunt filium
Immortales ei retro
Ad celeri-morti-obnoxiam
Rursus hominum gentem.
In florida autem quando ætate
Lanugo ipsum *quoad* nigrum mentum tegebat,
Paratas animo-revolutavit nuptias,

Μεταφρ.

Ut Pisata à patre glori-
osam Hippodamiam
Haberet. Prope autem progressus
Ad canum mare solus in tenebris,
Inclamabat gravistrepum
Tridente-insignem *Neptunum*: is autem ipsi
Ad pedes prope apparuit.
Cui quidem dixit *Pelops*: Amabi-
lia dona Cypriæ *Veneris* age si quid
O Neptune ad gratiam *tibi*

PARAPHRASIS.

Postea vero demissus ad mortales Pelops, cum ætatem florentem, & maturam attigisset, ejusque mentum nigra barba tegeret, conjugium est meditatus ei paratum, qui Oenomaum vicisset, statuitque Hippodamiam inclytam à patre ipsius Pisæ domino obtinere. Ideoque Neptuni opem imploravit. Solum autem ad mare noctu se contulit, Deumque illum graviter instrepentem, & tridente insignem inclamavit. Qui quidem illico fere ad pedes apparuit. Tum eo viso Pelops conceptis verbis preces fundit: Age Neptune, si tu Veneris es amator,

NOTÆ.

105 Προῆκαν] Gl. C. hab. προέπεμψαν, μετέστρεψαν. 107 Παχύποτμον leg. Pal. A. Gl. MS. C. hab. ἐπ' ὀλίγον ζῶν. 111 Γάμον leg. MS. Bodl. 114 Σχετέμεν leg. C. 71. Pro ἄγχι δ' Pal. C. & Schol. leg. ἐγγὺς δ' Ald. ἔγγυθι δ'. Pal. B. ἄγχι δ'. 117 Ald. hab. εὐρυτρίαιναν. 118 Pal. C. leg. παρ' ποσὶ. Pal. B. παρ' ποσσί. 119 Τῷ δ' εἶπε leg. C. 71.

[Τοὔνεκα προῆκαν υἱόν.] δαιμονίως τὴν ἱστορίαν μετεχειρίσατο. καὶ φησὶν ὅτι διὰ τὴν ἀσέβειαν τοῦ Ταντάλου, οἱ θεοὶ πάλιν ἐξ οὐρανοῦ τὸν Πέλοπα ἀπέστειλαν εἰς ἀνθρώπους. αὐτάρκη εἶναι ἡγούμενοι ταύτην τῷ Πέλοπι τιμωρίαν. καὶ ὅτι πρὸς τοῦτο ὁ λόγος ἐξαρκέσει πρὸς τὸ ἐπὶ τῶν ἀνθρώπων ἐπίθετον, τῆς δυστυχίας τὸ ἄκρατον ἐμφανίζων. [Αλλως.] τοὔνεκα, ἀντὶ τοῦ ἕνεκα. ὡς τ' ἴσον εἶναι, τῷ διὸ δὴ ἀνήρπαστο μὲν ὑπὸ Ποσειδῶνος, τῷ δὲ Ταντάλῳ κλέψαι ταῦτα, τότε χάριν ἐξέβαλον τὸν υἱὸν, εἰς τὸ τῶν θνητῶν γένος. ἡ γὰρ μετὰ, ἀντὶ τῆς εἰς. τουτέστι, διὰ τοῦτο τὸν Πέλοπα πάλιν οἱ θεοὶ ἐξ οὐρανοῦ μετέστησαν εἰς ἀνθρώπους, Ταντάλου δυσσεβήσαντος· πάλιν, εἰς τοὐπίσω. εἰς τὸ ἐξ ἀρχῆς πάλιν τῶν ἀνθρώπων ταλαίπωρον. [Πρὸς εὐάνθεμον.] τὸ τῆς ἀκμῆς ἀνθηρὸν λέγει. ὁ δὲ λόγος, οὕτως. πρὸς τὴν ἀνθηρὰν ἐλθόντι αὐτῷ ἡλικίαν, ὅτε καὶ αἱ τρίχες αὐτοῦ ἔστεφον τὸ γένειον, ἀντὶ τοῦ ὅτε ἀνδρώδης καὶ τέλειος γέγονεν. [Αλλως.] ὅτε αἱ τρίχες αὐτοῦ τὸ γένειον ἐστέφανον μελαίνουσαι. ὅ ἐστιν, ὅτε ἤρχετο γενειᾶν ὁ Πέλοψ μέλαν δὲ τὸ μελανθησόμενον ὑπὸ τῆς λάχνης. [Ετοιμον ἀνεφρόντισεν.] ἐπεὶ πᾶσι παρέκειτο. ἆθλος γὰρ ἦν τῷ νικῶντι. ἢ ὃν αὐτὸς ἑαυτῷ ἡτοίμασεν, ἢ τὸν ὑπὸ τῆς μοίρας αὐτῷ ἡτοιμασμένον. ἢ τοῖς ἡρημένοις κινδυνεύειν ἐκκείμενον. ἀνεφρόντισε δὲ εἶπεν, ἐπεὶ ἠθέλησε γῆμαι τὴν Οἰνομάου Ιπποδάμειαν. εἰπόμενον δ' αὐτὸν προσκαλεῖσθαι τὸν Ποσειδῶνα, ἤτοι ὡς ἐραστὴν, ἢ ὡς τῆς ἱππικῆς προεστῶτα, καὶ δυνατῶς ἔχοντα τέχνῃ πρὸς τὸ ἆθλον συμβαλέσθαι. [Πισάτα παρὰ πατρὸς.] τοῦ Οἰνομάου τῆς Πίσης βασιλεύοντος. [Εὔδοξον Ιπποδάμειαν.] ἤτοι, τὴν συνετήν· ἢ τὴν εὔδοξον, ἀπὸ τοῦ εὖ δοξάζειν. [Εγγὺς δ' ἐλθών.] ἀντὶ τοῦ τε, τὸ δὲ παρέλαβεν. [Απυεν βαρύκτυπον.] ἐφώνει. προσεκαλεῖτο. τουτέστιν, ηὔξατο τῷ Ποσειδῶνι ὁ Πέλοψ. βαρύκτυπον δὲ εἶπε τὸν Ποσειδῶνα, ἀπὸ τοῦ κτύπου τῆς θαλάσσης. [Σχεδὸν,] οὐ χρονικῶς τὸ σχεδὸν, ἀλλὰ τοπικῶς, πρὸς τὴν φωνὴν ἀκούσας τοῦ Πέλοπος. [Τῷ μὲν εἶπεν.] ὁ μὲν, ἀντὶ τοῦ μήν. οὐ γὰρ ἀνταποδίδοται πρὸς αὐτόν. ὁ μὲν εἶπεν· ὁ δὲ ἤκουσε· φίλια δὲ δῶρα Κυπρίας, τὰ προσφιλῆ δῶρα τῆς Αφροδίτης. εἰ εἰς χάριν τινὰ γίνεται· ἀντὶ τοῦ, εἰ χάρις ἐραστοῦ πρὸς ἐρώμενον. ἢ κυπρίας, τοῦ γάμου. ἵν' ᾖ· εἴ τι σοι χάρις ἐστὶ τοῦ ἐμὲ γῆμαι, σύμπραξον ἡμῖν. [Αλλως.] εἰ σὺ κεχαρισμένον ἐστὶ τῆς Ιπποδαμείας, καὶ εἰ μὴ μέλλεις ἐναντιοῦσθαι τῷ ἔρωτι τῷ πρὸς τὴν Ιπποδάμειαν. ταύτην γὰρ φίλια δῶρα τῆς Αφροδίτης εἶπεν. ὁ νοῦς. εἰ τὰ τῆς Αφροδίτης δῶρα ἐρατά σοι καὶ εἰς χάριν γίνεται, ἄγε τὸ τοῦ Οἰνομάου δόρυ πέδασον.

Τέλλεται, πέδασον ἔγχος	Apparent, impedi haſtam
Οἰνομάου χάλκεον·	Oenomai æream:
Ἐμὲ δ' ἐπὶ ταχυτά-	Me vero in velociſſi-
των πόρευσον ἁρμάτων	mis tranſmitte curribus
Ἐς Ἆλιν, κράτει δὲ πέλασον,	Ad Elin, victoriæque admove,
Ἐπεὶ τρεῖς γε καὶ δέκ' ἄνδρας ὀλέσαις	Poſtquam tribus & decem viris interemptis
Ἐρῶντας, ἀναβάλλεται γάμον	Amantibus, differt nuptias
ἐπῳδὸς γ'. κώλων ιγ'.	Μ ε τ α ρ η.
Θυγατρός. Ὁ μέγας δὲ κίνδυ-	Filiæ. Magnum autem pericu-
νος ἄναλκιν οὐ φῶ-	lum imbellem virum
τα λαμβάνει. Θανεῖν δ' οἷσιν ἀνάγκα,	Non occupat. Mori autem quibus neceſſe,
Τί κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ	Quidnam aliquis ignobile ſenium in tenebris
Καθήμενος ἕψοι μάταν, ἁπάντων	Sedens coquat fruſtra, omnium
Καλῶν ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος	Honeſtorum expers? ſed mihi quidem hoc
Ἄεθλος γ' ὑποκείσεται· τὺ δὲ	Certamen ſubjectum-erit: tu vero
Πρᾶξιν φίλαν δίδοι.	Eventum gratum dato.

P a r a p h r a s i s.

& amatoribus, mihi præſertim Hippodamiam ambienti, favens. Oenomai æream haſtam, quo minus me vincat, impedi. Me autem curru velociſſimo vectum in Elidis poſſeſſionem deducito, tuaque manu victoriæ admoveto. Nam profligatis jam tredecim viris, filiæ procis, nuptias ejus protelat. Certe periculum magnum magno præditum animo virum poſtulat. Cum autem ſemel, ſerius, ocyus, ſit cuivis moriendum: quis generoſus animus non malit res periculoſas aggredi, in iiſque ætate media occumbere, quam rerum eximiarum expertem vitam ad ſenium ingloriam prorogare, fruſtraque tædio ſe macerare? Quare hoc certamen pro glorioſis Hippodamiæ nuptiis fortiter ſubibo, licet alea refertum: tu vero gratum eventum impertiri velis.

N O T Æ.

127 Τρεῖς τε leg MS. Bodl. Alii leg ὀλέσαις. 128 Ἀναβάλλεται] Gl. γ. Μακρύνει. Ald. leg Μναστῆρας ἀναβ-- Pal. C. Μνηστῆρας. 129 MSS. Bodl. & α. ϐ. γ. conclud. verſ. cum--κιν-- transfer. δυ-- ad init. ſeq. 132 Ἀνώνυμον] Gl. α. Ἄδοξον. 134 MSS. Bodl. & α. leg. οὗτος. 135 Ἄεθλος leg. MSS. Bodl. C. 71. & γ. 136 Δίδου hab. MSS. Bodl. & ϐ.

[Πέδασον ἔγχος.] κάταξε. ἐμπόδισον τὸ τοῦ Οἰνομάου δόρυ. δόρυ γὰρ μεταχειριζόμενος, ἐδίωκε προηγουμένους τοὺς μνηστῆρας, καὶ συμποδίζων ἀνῄρει. ὥσπερ καὶ Ἀπολλώνιος μαρτυρεῖ. Ἐν δὲ δύω δίφροι πεπονήατο δηριόωντε. Καὶ τοῦ μὲν προπάροιθε Πέλοψ ἴθυνε τινάσσων Ἡνία. σὺν δέ οἱ ἔσκε παραιβάτις Ἱπποδάμεια. Τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἤλασεν ἵππους. Σὺν τῷ δ' Οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπὼς, Ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο, Πίπτεν ἐπασσύμενος Πελοπήϊα νῶτα δαΐξαι. [Κράτει δὲ πέλασον.] τῇ νίκῃ δὲ πέλασον· ἵνα κρατήσω αὐτοῦ. [Ἐπεὶ τρεῖς καὶ δέκα.] καὶ ἐν Θριάμβοις, τὸν αὐτὸν ἀριθμὸν τίθησι τῶν ὑπὸ τοῦ Οἰνομάου ἀναιρεθέντων μνηστήρων. Πέφνε δὲ τρεῖς καὶ δέκα ἄνδρας· τετάρτῳ δ' αὐτὸς πεδάθη. [Τρεῖς τε καὶ δέκα ἄνδρας ὀλέσαις.] οἱ ἀναιρεθέντες οὗτοί εἰσι. Μέρμνης. Ἱππόθοος. Πέλοψ ὁ Ὀπούντιος. Ἀκαρνάν. Εὐρύμαχος. Εὐρύλοχος. Αὐτομέδων. Λάσιος. Χάλκων. Τρικόρωνος. Ἀλκάθους, ὁ Παρθάονος. Ἀριστόμαχος. Κρόταλος. τούτῳ τῷ ἀριθμῷ τῶν ἀπολωλότων μνηστήρων, καὶ Ἡσίοδος, καὶ Ἐπιμενίδης, συμμαρτυρεῖ. τινὲς δὲ οὕτω φασίν. ιε'. Μέρμνην. Ἱππόστρατον. Αἰολοπέα. Πείρανθα. Ἀκαρνᾶνα. Ἱππομέδοντα. Ἀλκάθουν. Εὐρύαλον. Εὐρύμαχον. Κρόταλον. Ἀκρόκομον. Σκόπελον. Λυκοῦργον. Λάσιον. Χάλκωνα. τινὲς δὲ τοὺς δεκατρεῖς, οὕτως. Μέρμνωνα. Ἱππόθοον. Πέλοπα τὸν Ὀπούντιον. Εὐρυμάχολον. Εὐρύχον. Ἱππομέδοντα Λάσιον. Χάλκωνα. Αἴολον. Τρικόρωνον. Ἀκαρνᾶνα. Ἀλκάθουν. Ἀριστόμαχον. ἄλλοι δὲ, ἐξ εἶναι λέγουσι. Τρικόρωνον. Ἀριστόμαχον. Κυριάνοντα. Αἴολον. Πελάγοντα. Κρόνιον. [Ὁ μέγας δὲ κίνδυνος] ὁ περὶ τῆς ψυχῆς. οἷον, οὐδεὶς ἄναλκις ὑπομένει περὶ τῆς ψυχῆς κινδυνεύειν. ἀλλὰ τὸ τοιοῦτον, ἀνδρὸς ἀλκίμου. ὅμοιον τῷ παρ' Ὁμήρῳ. Σοὶ δ' οὐδὲν δέος ἔσ' ἀπολέσθαι. Οὐ γάρ τοι κραδίη μενεδήϊος οὐδὲ μαχήμη. [Ἄλλως.] τὰ δὲ ἐπικίνδυνα τῶν πραγμάτων, οὐ δεῖται ἀτόλμων καὶ ἀθλίων ἀνθρώπων. ἢ οὕτω. τὸν ἀνδρεῖον μέγας κίνδυνος καταλαμβάνει. [Θανεῖν δ' οἷσιν ἀνάγκα.] ἐν δὲ τοῖς ἀνθρώποις, ἐξ ἀνάγκης τὸ θανεῖν. διατί δή τις ἄδοξον τὸ γῆρας ἐν ἀφανείᾳ καὶ ἀδοξίᾳ καθεζόμενος, τήκει καὶ καταναλίσκει, πάντων τῶν καλῶν ἀμέτοχος ὑπάρχων. [Ἄλλως.] οἷς ἀποθανεῖν ἀνάγκη, τί καί τις καθεζόμενος, ὑπὸ τοῦ ἀνωνύμου γήρως ἕψοιτο. τὸ δὲ, ἐν σκότῳ καθήμενος, ἀντὶ τοῦ ἀκινησίᾳ καὶ ἀκλείᾳ καθεστώς. [Ἄλλως.] εἰ δεῖ ἀποθανεῖν τὸν ἄνθρωπον, ἄξιον αὐτὸν γενναίως, ἢ ἀγεννῶς βιώσαντα, τελευτᾶν. ἕψοι δὲ ἀντὶ τοῦ ἕψοιτο· οὐ γὰρ ἕψοι τις τὸ γῆρας, ἀλλ' ἕψεται ὑπ' αὐτοῦ. ἀνώνυμον δὲ, τὸ ἐν ἀπραξίᾳ καὶ ἀκλεὲς ὑπάρχον. [Ἀλλ' ἐμοὶ μὲν.] ἐμοὶ μὲν, ὑπὲρ τοῦ γάμου κινδυνεῦσαι πρόκειται. σοὶ δὲ τῇ γνώμῃ τὸ πέρας ἐπιθεῖναι. [Ἄλλως.] ἐάντε συμπράσσῃς ὦ Πόσειδον ἐάντε μὴ, ἐγὼ ὑπομενῶ τοῦτον τὸν ἆθλον τοῦ γάμου.

[Οἷσ'

Ὡς ἔννεπεν· οὐδ' ἀ-
κράντοις ἐφάψατ' ὦν ἔπεσ-
σι. Τὸν μὲν ἀγάλλων Θεὸς,
Ἔδωκεν δίφρον χρύσεον, ἐν πτεροῖ-
σίν τ' ἀκάμαντας ἵππους.

στροφὴ δ'. κώλων ιζ'.

Ἕλεν δ' Οἰνομάου βίαν,
Παρθένον τε σύνευνον·
Τέκε δὲ λαγέτας ἓξ
Ἀρεταῖσι μεμαλότας υἱούς.
Νῦν δ' ἐν αἱμακουρίαις
Ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθεὶς,
Τύμβον ἀμφίπολον
Ἔχων πολυξενωτάτῳ πα-
ρὰ βωμῷ. Τὸ δὲ κλέος
Τηλόθεν δέδορκε τᾶν Ὀ-

Sic dixit: neque ir-
rita attigit igitur ver-
ba. Eum quidem lætificans Deus,
Dedit *ei* currum aureum, in a-
lisque indefessos equos.

METAPH.

Cepit igitur Oenomai robur,
Virginemque conjugem:
Genuitque duces sex
Virtutum curam-habentes filios.
Nunc autem justa
Magnifica assecutus-est,
Ad Alphei alveum reclinatus, *i. e. sepultus*
Tumulum undique-ambitum
Habens frequentatissimam-hospitibus a-
pud aram. Gloria autem
Eminus conspicitur O-

PARAPHRASIS.

Sic precatus est, nec infectum fuit quod rogavit: sed Deus illum honore cumulaturus, dedit inauratum currum, & indefatigabiles equos temoni junxit. Sic adjutus vicit Pelops Oenomaum, virginemque Hippodamiam duxit uxorem, ex eaque sex populorum duces virtutum studiosos filios suscepit. Nunc vero vita functus, & prope fluvium Alpheum sepultus, magnificis exequiis & parentationibus decoratur, tumulumque habet quem Athletæ ambiunt, situm ad aram, in qua frequentes hospites, qui lusum & spectatum venerunt, sacra faciunt. Unde eminus cernitur gloria, quam obtinent victores Olympicorum certaminum,

NOTÆ.

138 Pal. C. caret. ὦν. Επι— conclud. in Steph. Ald. & MSS. Bodl. Pal. A. B. & α. 140 Εδωκε leg. MS. Bodl. 144 Τέκε το Canteri Cod. leg. Ita MSS. C. 71. β. γ. δ' τέκε λαγέτας Steph. & Schol. & scribitur ad marg. β. 145 Μεμαότας Pal. C. & β. ad marg. hab. 146 Αἱμακυρίαις] Potest hæc vox deriv. ab αἷμα & κύρεις. Solebant enim quotannis ephebi ad sepulchrum Pelopis flagellis cædi, & Pelopi tanquam libationem sanguinem suum profundere. 148 Πόρρω leg. C. 71. 150 MS. β. conclud. vers. cum—ωτάτω, & πα— transfert ad seq. 152 Τηλόθι leg. Bodl. Τῶν MS. α.

[Οὐδ' ἀκράντοις.] ἀντὶ τοῦ, οὐδὲ ἀκράντων ἐπῶν, οὐδὲ ἀτελέστων ἐφήψατο λόγων. παρέσχε γὰρ αὐτῷ ἃ ἐβούλετο. ἐνίκησε γὰρ καὶ ἔλαβε τὴν Ἱπποδάμειαν πρὸς γάμον. [Τὸν μὲν, ἀγάλλων.] τοῦτον μὲν οὖν, φησὶ, τὸν Πέλοπα κοσμῶν καὶ αὔξων, ἔδωκε, φησὶν, αὐτῷ τό, τε χρυσοῦν ἅρμα, καὶ τοὺς ταχεῖς ἵππους. ἀγάλλων, κοσμῶν, ὡς ἤδη ἅτε θεὸς πεπεισμένος περὶ τῆς νίκης. [Α τέκε λαγέτας ἕξ] ἥ τις Ἱπποδάμεια ἔτεκε λαγέτας ἕξ. ἤγουν ἡγεμόνας τῶν λαῶν ἡγουμένους. λέγει δὲ, Ατρέα, Θυέστην, Πιτθέα, Αλκάθουν, Πλεισθένην, Χρύσιππον. [Αλλως.] Ατρεὺς, Θυέστης, Αλκάθους, Ιππαλκμος, Πιτθεὺς, Δίας. ὁ Χρύσιππος, ἐξ Αξιόχης νύμφης, καὶ Πλεισθένης ἐξ ἄλλης. Τινὲς δὲ οὕτως. Ατρέα, Θυέστην, Ιππαλκμον, Πλεισθένην, Πιτθέα, Πέλοπα τὸν νεώτερον. [Νῦν δ' ἐν αἱμακουρίαις.] Βοιωτικὴ ἡ φωνή. Βοιωτοὶ γὰρ αἱμακουρίας, τὰ τῶν νεκρῶν ἐναγίσματα λέγουσιν. ὁ δὲ νοῦς, ὅτι δὲ τοῦ παρόντος ὁ Πέλοψ, ἐναγισμοῖς καὶ θυσίαις τελευτήσας, τιμᾶται παρὰ τοῖς τοῦ Αλφειοῦ ῥεύμασι, περίσημον ἔχων μνῆμα, παρὰ τῷ πολυξένῳ βωμῷ. περιφραστικῶς οὖν ἀπέθανε. [Τύμβον ἀμφίπολον.] τινές φασι μὴ μνῆμα, ἀλλ' ἱερὸν τοῦ Πέλοπος. καὶ πρὸ τοῦ Διὸς αὐτῷ τοὺς Ηλείους θύειν, τοῦ Ηρακλέους πρώτου κατὰ τιμὴν τοῦτο πεποιηκότος. ἀμφίπολον δέ τινες, τὸν περιπολούμενον, ἀλλὰ τὸ ἐν μέσῃ εἶναι τῇ πόλει. οἱ γὰρ οἰκισταὶ, ἐν μέσαις ταῖς πόλεσιν ἐθάπτοντο ἐξ ἔθους. [Αλλως.] ἀμφίπολον, περιπολούμενον. ὡς τῶν ἐπιφοιτώντων, ἀλλὰ τὸ ἄγαν τῆς καλλιεπείας διαπρεπὲς, κύκλῳ περιϊόντων καὶ θεωμένων. ἔνιοι δὲ, ὅτι οἱ δρομεῖς, εἰς τὸν τάφον τοῦ Πέλοπος ἔκαμπτον. [Πολυξενωτάτῳ.] ἔνιοι μὲν οὖν ἐνόησαν ὅτι Πολύξενον φησὶ τὸν βωμὸν τὸν περὶ τῷ τάφῳ τοῦ Πέλοπος, ἀλλὰ τὸ πλῆθος τῶν εἰς τὴν Ολυμπίαν συλλεγομένων ἀγωνιστῶν τε, καὶ θεατῶν. καὶ φασὶ τὸν ἐσώτατα παρὰ τῷ Πέλοπος βωμῷ, Πέλοπα εἶναι. ἔνθα αὐτῷ τὰ ἐναγίσματα γίνεται. ἔνιοι δὲ οὕτως. ὅτι Ιαμβος Απόλλωνος παῖς παρὰ τοῦ πατρὸς τὴν μαντικὴν λαβὼν, περὶ τῆς ἱερωσύνης ἔλεγε τοῖς ἐρωτῶσι. ἀλλὰ γοῦν τὸ πλείστους ξένους τῆς μαντικῆς ἕνεκεν ἀφικνεῖσθαι, πολυξενώτατον εἶπε τὸν βωμόν. καὶ τοῦτον βωμὸν Διὸς καὶ Πέλοπος λέγουσιν οἱ ταύτην τὴν ἐξήγησιν ἐκδεξάμενοι. ἐπεὶ πολλοὶ ξένοι εἰσρέουσιν εἰς τὸν Ολυμπιακὸν ἀγῶνα. βωμὸς γὰρ ἐν Πίσῃ, ἐφ' ὃν θύουσι πάντες οἱ ξένοι. [Τηλόθε δέδορκεν.] ὁ νοῦς· τὸ δὲ τῆς Ολυμπίας κλέος, ἄνωθεν ἀπὸ τῆς τοῦ Πέλοπος οἰκήσεως ὁρᾶται· ὡς ἐκείνου τὸ τέλειον τῷ Ολυμπιακῷ ἀγῶνι προστεθέντος. [Αλλως.] τηλόθε. τὸ τηλόθε, χρονικῶς ἀκουστέον. τὸ δὲ, δέδορκεν, ἀντὶ παθητικοῦ τοῦ δέρκεται. ἵνα ᾖ, ὁρᾶται, ἀπανταχῆ βλέπεται, καὶ ἀκούεται ὁ Ολυμπιακὸς ἀγών. ἰδίως δὲ τὸ, δέδορκεν ἐξενήνοχεν ἀντὶ παθητικοῦ τοῦ βλέπεται, καὶ ἀκούεται, ὅτι μακρόθεν ὁρᾶται τὸ κλέος, καὶ εἰς δεῖξιν πίπτει. [Αλλως.] τηλόθεν δέδορκεν. ἀντὶ τοῦ, πανταχῆ βλέπεται καὶ βοᾶται ὁ Ολυμπιακὸς ἀγών. τὸ γὰρ δέδορκεν, ἀντὶ παθητικοῦ τοῦ, βλέπεται.

λυμπιάδων, ἐν δρόμοις
Πέλοπος, ἵνα ταχυ-
τὰς ποδῶν ἐρίζεται,
Ἀκμαί τ' ἰσχύος θρασύπονοι.
Ὁ νικῶν δὲ, λοιπὸν ἀμφὶ βίοτον
Ἔχει μελιτόεσσαν εὐδίαν,

ἀντιστροφὴ δ'. κώλων ιζ'.

Ἀέθλων γ' ἕνεκεν. Τὸ δ' ἀ-
εὶ παράμερον ἐσλὸν,
Ὕπατον ἔρχεται παν-
τὶ βροτῷ. Ἐμὲ δὲ στεφανῶσαι
Κεῖνον ἱππικῷ νόμῳ
Αἰοληΐδι μολπᾷ
Χρή. Πέποιθα δὲ ξένον
Μή τιν' ἀμφότερα

lympiadum, in curſibus
Pelopis, ubi veloci-
tas pedum certat,
Vigoreſque roboris in-laboribus-audaces.
Qui autem vincit, reliqua in vita
Habet mellitam ſerenitatem,

Metaph.

Præmiorum-victoriæ gratia. Quod autem ſem-
per unoquolibet-die-obvenit bonum,
Id ſummum venit o-
mni mortali. Me autem coronare
Illum equeſtri lege
Æolico cantu
Oportet. Confido enim, *me* hoſpitem
Nullum utraque-ratione-inſtructum

P A R A P H R A S I S.

qui in loco, ubi adverſus Oenomaum cucurrerat Pelops, certare ſolent, & pedum celeritate, & pancratio, in quo vigor roboris, qui audaces ad laborem reddit homines, totus adhibetur. Quicunque autem victoriam conſequitur, reliquam vitam cum dulci animi tranquillitate exigit, quam creat, fovetque perpetua præmiorum recordatio. Fieri autem ſolet ut bonum illud, quod noſtris animis quotidie obverſatur, homini cuivis mortali ſummum veniat. Ex iis autem, qui hoc bonum ſunt conſequuti, oportet ut nunc Hieronem Aeolico, varioque carmine, veluti coronamento decorem, qui recte obſervata certaminis equeſtris lege ſuperavit. Eoque libentius id facio, quod confido me nullum amicum, ex iis qui nunc ſunt, utrumque horum habentem,

N O T Æ.

157 Ἀμφιβίοτον leg. MS. Bodl. 160 Ἐσθλὸν leg. MSS. Bodl. & α. β. γ. 162 MS. α. leg. --τὶ βροτῶν β. βροτοῖς. 163 Ἱππικῷ νόμῳ] Intell. eum fuiſſe victorem lege iſta, quod citra favorem coronam acceperit, exacte obſervato certaminis ritu.

[Ταχυτὰς ποδῶν.] πρῶτον γὰρ εὑρέθη δρόμος τὸ ἄσκημα, καὶ ἡ πρώτη θέσις τῶν Ολυμπίων, δρόμος ἦν τὸ σχῆμα. ταχυτὰς ποδῶν ἐρίζεται ἀκμαί τ' ἰσχύος. ἀπὸ κοινοῦ τὸ ἐρίζεται. ἔνθα πρὸς ἀλλήλας ἐρίζουσιν καὶ φιλονεικοῦσιν αἱ τῶν ἀκμαίων ἰσχύες· αἱ γενναίως πρὸς τοὺς πόνους χωροῦσι. τὸ δὲ ἀκόλουθον αἱ ἀκμαὶ, αἱ ἰσχύες. ἀντὶ τοῦ, ἔνθα καὶ δρόμοι, καὶ πάλαι, καὶ παγκράτια, καὶ πυγμαί. τοῦτο γάρ ἐστι, τὸ, θρασύπονοι ἀκμαὶ ἰσχύος. [Ο νικῶν δὲ,] ἔξωθεν ἐξακουστέον τὸν Ολυμπιακὸν ἀγῶνα. ὁ γοῦν τοῦτον νικῶν, εὔδιον καὶ ἥδιστον λοιπὸν ἔχει βίον. ὡς τοῦ τελείου τῶν ἀγωνισμάτων, ἐν τῷ Ολυμπιακῷ ὄντος ἀγῶνι. καὶ τοῦ νικήσαντος, ἔχοντος τὸ τέλειον τῆς δόξης. [Αλλως.] ὁ νικῶν δὲ, τὸν λοιπὸν αὐτοῦ βίον διάγει ἐν τῇ γῇ, μέλι ῥεούσῃ, ἀντὶ τοῦ ἡδεῖαν ἀνάπαυσιν. [Αλλως.] ἀμφίβολον· πότερον ὁ νικῶν τὰ Ολύμπια, εἰς τὸν μετὰ ταῦτα χρόνον ἐν εὐδίᾳ ἐστὶν ἕνεκα τῶν ἄθλων. οἶδα, ἕνεκα τοῦ νικῆσαι τὰ Ολύμπια, πολλάκι μέντοι εἴωθε δι' ἑτέρας συμφορὰς λυπεῖσθαι; ἢ οὕτως. ὁ νικήσας τὰ Ολύμπια ἕνεκα τῶν ἄλλων ἄθλων ἐν εὐδίᾳ ἐστί. οὐκέτι γὰρ φιλοδοξεῖ. οὐδὲ ἐπιθυμεῖ νικῆσαι ἕτερον ἀγῶνα. [Αλλως.] ὁ νικῶν ἐν εὐδίᾳ διάγει, ἡδόμενος ταῖς νίκαις. [Τὸ δ' ἀεὶ παράμερον ἐσλόν.] οἱ ἄνθρωποι τῶν ἔμπροσθεν πεπραγμένων ἀγαθῶν, οὐκ εἰώθασι μνημονεύειν. ἀλλὰ παρ' ἡμέραν ἢ κακὸν, ἢ καλὸν σκοποῦσιν. ἑκάστῳ οὖν φησι τῶν ἀνθρώπων τὸ παρ' ἡμέραν γινόμενον, κρίνεται μέγιστον εἶναι. [Αλλως.] τὸ δὲ τῶν ἄθλων παραγινόμενον ἀγαθὸν, παρ' ἐκείνην τὴν ἡμέραν τὴν ἐνεστῶσαν· ἐν ᾗ τις ἐνίκησεν, ὕπατον δοκεῖ καὶ μέγιστον ἀγαθὸν, τῷ τετυχηκότι. ἢ οὕτω. τὸ παρ' ἡμέραν γινόμενον. τὰ γὰρ ἐνεστῶτα, τῶν μελλόντων προκρίνεται. [Αλλως.] τὸ δὲ καθ' ἡμέραν καὶ ἀδιαλείπτως παρὰ τοῖς ἀνθρώποις ἀγαθὸν, τοῦτο ἔξοχον καὶ ὑπὲρ ἄνθρωπον γίνεται ἀγαθόν. ἢ οὕτω· τὸ δὲ περὶ τὴν τοῦ στεφάνου ἡμέραν ἀγαθὸν, ὕπατον γίνεται παντὶ ἀνθρώπῳ· ἡ δὲ ἡμέρα, καθ' ἣν τις στέφεται, τιμιωτάτη. [Αλλως.] ἐάν τις πρότερον ἀτυχῇ ἐν τῷ ἄλλῳ βίῳ, καὶ πάλιν ἀτυχήσας νικήσῃ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἐν ᾗ ἐνίκησεν, ἐπιλέλησται τῶν προτέρων ἀτυχημάτων. [Αλλως.] τὸ γὰρ κατὰ προαίρεσιν συμβαῖνον ἀγαθὸν, ὕπατον καὶ μέγιστον γίνεται παντὶ ἀνθρώπῳ. ὥσπερ καὶ ὁ Ιέρων ἐπιθυμήσας νίκης, ἐνίκησε, καὶ ἐγένετο αὐτῷ τοῦτο τὸ παρ' ἡμέραν ἀγαθὸν κατὰ προαίρεσιν τελεσθὲν, ὕπατον καὶ μέγιστον. [Αἰοληΐδι μολπᾷ.] ἤτοι ποικίλῃ. ποικίλα γὰρ τὰ λυρικά. ἢ Θηβαΐα. οἱ γὰρ Αἰολεῖς, ᾤκησαν τὰς Θήβας. τινὲς δέ φασιν, ὅτι ἄνωθεν Αἰολεὺς τὸ γένος ὁ Πίνδαρος. οἱ δὲ, ὅτι Αἰολίῳ ῥυθμῷ διὰ τῆς μουσικῆς κέχρηται τῶν ποιημάτων. [Πέποιθα δὲ ξένον.] ἐμαυτῷ τὸν Ιέρωνα ἐμπεριέχοντα καὶ δύο τῶν καλῶν. ὅ ἐστιν, ἀγαθὸν καὶ δυνάμενον, ὃ βούλεται συντελεῖν. ἑνὶ γὰρ τὸ ἕτερον ἠκολούθηκεν, οὐ τὰ δύο. [Αλλως.] πεπίστευκα δὲ καὶ πέπεισμαι ἀκριβῶς, μηδένα με ἔτι φίλον τῶν νῦν ἀνθρώπων ἐγκωμιάσαι τοῖς ὕμνοις, ἀμφότερα ἔχοντα. καὶ ἐπισήμονα τὰ κατὰ ψυχὴν, καὶ σώματος ἰσχὺν, τοῦτο ἀνδρειότερον. ἅπερ τὰ δύο τῷ Ιέρωνι πάρεστιν. ἔνιοι δὲ κατὰ τοῦ Πινδάρου αὐτὸ ἀκούουσιν. ὅπερ καὶ μᾶλλον διὰ τὰ ἑξῆς ἐπαγόμενα. ἵν' ᾖ, τὸ ἐγκώμιον ἐπ' αὐτῷ κινῶν ὁ Πίνδαρος. καὶ ὁ νοῦς τοιοῦτος. πιστεύω δὲ μηδένα ἄλλον ποιητὴν, ἐπισήμονά τε εἶναι καὶ ἀνδρεῖον, καὶ οὕτω δύνασθαι τοὺς φίλους ἐγκωμιάζειν, ὥσπερ ἐμαυτόν.

[Δαιδα-

Καλῶν τε ἴδριν ἄλλον, ἢ δύ-
ναμιν κυριώτερον,
Τῶν γε νῦν, κλυταῖσι δαιδα-
λωσέμεν ὕμνων πτυχαῖς.
Θεὸς ἐπίτροπος ἐ-
ὼν, τεαῖσι μήδεται,
Ἔχων τοῦτο κῆδος, Ἱέρων,
Μερίμναισιν. Εἰ δὲ μὴ ταχὺ λίποι,
Ἔτι γλυκυτέραν κεν ἔλπομαι

ἐπῳδὸς δ'. κώλων ιγ'.

Σὺν ἅρματι θοῷ κλεΐξειν,
Ἐπίκουρον εὑρὼν
Ὁδὸν λόγων, παρ' εὐδείελον ἐλθὼν
Κρόνιον. Ἐμοὶ μὲν ὦν Μοῖσα καρτερώ-
τατον βέλος ἀλκᾷ τρέφει. Ἐπ' ἄλλοι-
σι δ' ἄλλοι μεγάλοι· τὸ δ' ἔσχατον, κορυ-

Bonarumque *rerum* gnarum alium aut po-
tentia præstantiorem,
Eorum sane *qui* nunc *sunt*, inclytis exor-
naturum hymnorum plicis.
Deus procurator exi-
stens, tuis prospicit,
Habens hanc solicitudinem, O Hiero,
Curis. Si autem non cito *te* destiterit,
Adhuc suaviorem spero

METAPH.

Me illum cum curru celeri decantaturum,
Administram ubi-inveni
Viam verborum, ad apricum veniens
Cronium. Mihi quidem igitur Musa for-
tissimum telum robore nutrit. In ali-
is autem alii magni: supremum vero, in sub-

PARAPHRASIS.

honestarum rerum peritiam, & potentiæ præstantiam, celebri hymnorum artificio ornaturum. Deus, qui res tuas curat, hanc solicitudinem gerit, Hiero, ut, quæ tibi sunt cordi, facile consequaris. Quæ nisi cito defecerit, spero me profectum ad Cronium Olympiæ promontorium soli expositum, & ex victoria, quam celeri quadrijugo curru adeptus fueris, nactum laudis materiam, unde ad verborum copiam via sternitur, suavius carmen decantaturum. Itaque musa robustissimum telum, magnam nimirum componendi carminis facultatem, alit mihi. Hominum autem alii aliis majorem dignitatis gradum obtinent: sed rex ad supremum est evectus, ita ut nemo sit ipso superior.

NOTÆ.

167 ἴδριν] Gl. β. γ. hab. ἔμπειρον κ. ἐπιστήμονα. Ἄλλον καὶ leg. Steph C. 71. ἅμα καὶ Ald. & Pal. C. 173 Τοῦτο τὸ κῦδος leg. C. 71. 176 MSS. Bodl. & α. conclud. cum κλεί-- transfer. --ξειν ad seq. 177 Ἐπίκουρον] Cum Hiero gloria victoriæ quadrijugo curru partæ augeretur, hinc vim Musæ suæ arcessit Poeta. 180 Pal. C. ἐπ' non hab. videtur & Schol. omittere. 181 MS. Bodl. conclud. cum κο— transferens --ρυ-- ad seq. Ita α. β.

[Δαιδαλωσέμεν.] κοσμήσειν πτυχαῖς, τῆς ποιήσεσιν. ἐπεὶ διαιρεῖται εἰς στροφὰς, καὶ ἀντιστροφὰς, καὶ ἐπῳδάς. [Ἄλλως.] ὕμνων πτυχαῖς. τῷ ὕμνῳ κατὰ περίφρασιν. οἰκείως δὲ πρὸς τὸ δαιδαλωσέμεν, καὶ τὸ ποικίλλειν, ὥσπερ ἐπὶ χαλασκευάσματος τὸ πτυχαῖς ἐπήγαγεν. [Θεὸς ἐπίτροπος.] ὁ μὲν φροντιστὴς τῆς σῆς εὐδαιμονίας, ὦ Ἱέρων, ἀδιάπταιστόν σοι τὴν εὐδαιμονίαν φυλάττει. οἱ δὲ πάλιν ἐπὶ τοῦ Πινδάρου. ἐπίτροπος ὁ Θεὸς τῷ ἐμῷ ἔρωτι. καὶ λέγει τὴν Μοῦσαν. Θεὸς ἐπόπτης καὶ διοικητὴς τεαῖσι μήδεται μερίμναις, κῆδος ἔχων τοῦτο, εἰς τοῦτο σπουδάζων τὸ σοῦ προνοεῖσθαι. [Ἄλλως.] Θεὸς ἐπίτροπός σου ὢν, ἔχει τε, καὶ φυλάσσει τοῦτο ταῖς σαῖς μερίμναις ἔμπειρόν τε εἶναι, καὶ τῶν καλῶν δραστήριον· μήδεται δὲ, ἐργάζεταί σε νικητήν. [Εἰ δὲ μὴ ταχὺ λίποι.] εἰ δὲ μὴ ταχέως με ἐπιλίποι ἡ Μοῦσα, καὶ φανερώτερον τὸν λόγον ἐφ' ἑαυτοῦ τίθησιν ὁ Πίνδαρος. οὐκ ἦν γὰρ πρέπον περὶ τῶν ἐγκωμιαζομένων λέγειν, ἐὰν μή σε ἐπιλίποι ἡ εὐδαιμονία, ἀλλὰ μετριώτερόν ἐστιν αὐτὸ λαμβάνειν ἐπὶ τοῦ Πινδάρου· ἐὰν οὖν, φησὶ, μή με ἐπιλίποι ἡ Μοῦσα, δυνήσομαί σοι καὶ αὖθις τεθρίππῳ νικήσαντι γλυκύτερον καὶ ἡδύτερον ὕμνον γράψαι· καὶ ἐγκωμιάσαι σε βοηθὸν τῶν ἐμαυτοῦ ποιημάτων, εὑρίσκων τὴν σὴν νίκην. σοῦ γὰρ νικήσαντος, ἔσται μοι πρόφασις καὶ ὁδὸς, ἀφ' ἧς με δεῖ ἐγκωμιάσαι. [Ἄλλως.] Εἰ δὲ μὴ ταχύ. ἔνιοι οὕτως συνέθηκαν [illegible] ... ν. ἐὰν μή με ὁ βίος ταχέως ἐπιλείψῃ, ἀντὶ τοῦ, ἐὰν μὴ τελευτήσω, ἀλλὰ ζῶ, σὺν τῷ ταχεῖ τεθρίππῳ παραγεγονὼς, εἰς τὸ εὐδείελον Κρόνιον τουτέστι τὴν Ὀλυμπίαν, ἐλπίζω γλυκυτέραν σοι καὶ ἡδίω τῆς νῦν ᾆσαι ᾠδήν· ὁδὸν καὶ πρόφασιν τῶν λόγων μου, τὴν σὴν εὑρίσκων νίκην. τὸ δὲ σὺν ἅρματι παραγεγονὼς οἱονεὶ τεθρίππῳ νικήσαντος ἐν τῇ Ὀλυμπίᾳ· καὶ ἐμοῦ ἐπὶ τοιαύτῃ νίκῃ γράφοντός σου τὸν ὕμνον. [Ἄλλως.] εἰ μὴ ταχὺ λίποι ὁ αἰὼν, ὦ Ἱέρων, καὶ ἅρματί σε νικήσαντα ἐλπίζω ὑμνήσειν. δύναται δὲ καὶ οὕτως ἀκούεσθαι. εἰ δὲ μὴ ταχὺ λίποι ὁ ἐπίτροπός σου δαίμων, ἔλπομαι ἐπίκουρον εὑρὼν ὁδὸν λόγων, ποιήσειν ἐγκώμιον βοηθῶν σου τῇ δόξῃ. [Ἐμοὶ μὲν ὦν·] ἐμοὶ μὲν οὖν δυνάμει ἡ Μοῦσα ἰσχυρότατα μέλη τρέφει τῶν λόγων. ὥστε βάλλειν καιρίως τοῖς ὕμνοις τοὺς νικηφόρους. [Ἄλλως.] ἐγὼ μὲν ἐπὶ μουσικῇ πέποιθα· τὸ ἐμὸν βέλος, ὑπὸ μουσικῆς τρέφεται. σὺ δὲ ἐν τῷ πλουτεῖν μέγας εἶ· τὸ δὲ Κρόνιον, ἀκρωτήριον τῆς Πίσης. περὶ γὰρ τὸν Κρόνιον λόφον ἄγεται τὰ Ὀλύμπια. τὸ δὲ τρέφει, ἀντὶ τοῦ ἀλκὴν αὔξει. [Ἄλλοισι δ' ἄλλοι.] τί μέγα ἐκ ταύτης τῆς προφάσεως, αἰτεῖ τὸν Ἱέρωνα. ἢ ἐπ' ἄλλοις δὲ πράγμασιν εἰσὶν ἄλλοι μεγάλοι. [Τὸ δ' ἔσχατον.] τὸ τελευταῖον, καὶ τὸ πλῆρες, ὥσπερ οὐκ ἔστιν ὑπερβολὴν τοῖς ἀνθρώποις εὑρεῖν, κορυφοῦται, καὶ ὑψοῦται. καὶ ἔστι τοῖς βασιλεῦσιν. ἢ τὸ δὲ μέγιστον τῶν ἄλλων μέγεθος, ἐπὶ τοῖς βασιλεῦσιν ἔχει ηὐξημένην, τὴν ἔξοχον αὐτῷ αὔξησιν.

[Μηκέτι

φοῦται βασιλεῦσι. Μηκέτι	lime-tollitur regibus. Ne amplius
Πάπταινε πόρσιον.	Proſpecta ulterius.
Εἴη σέ τε τοῦτον	Contingat *ſaltem* teque hoc
Ὑψοῦ χρόνον πατεῖν, ἐμέ	In-ſublimi tempus tranſigere, meque
Τε τοσσάδε νικαφόροις	Tantis victoribus
Ὁμιλεῖν, πρόφαντον σοφίᾳ καθ' Ἑλ-	Converſari, conſpicuum ſapientia inter Græ-
λανας ἐόντα παντᾷ.	cos exiſtentem ubique.

PARAPHRASIS.

Idcirco ne longius oculos circumferas, ut dignitatem regia majorem invenias. In cujus ſublimitate utinam reliquum vitæ tempus exigas: ego vero quamdiu vivam, cum tantis victoribus, qualis tu es, converſer, & canendi peritia ubique apud Græcos ſim conſpicuus.

NOTÆ.

183 MS. Bodl. leg. πάπταιν. 187 Σοφίαν leg. MSS. Bodl. C. 71. & Steph. Πρόφαντον Schol. 188 Πάντα leg. Pal. A. B. α. β. γ.

[Μηκέτι πάπταινε.] μηκέτι περίβλεπε καὶ ζήτει τῆς οὔσης εὐδαιμονίας ἐν σοὶ μείζονα. ἔχεις γὰρ τὸ τέλειον. μηκέτι περαιτέρω ζήτει τούτων ὧν ἔχεις, βασιλεὺς γενόμενος. [Εἴη σέ τε τοῦτον.] ὁ νοῦς. εἴη δὲ σὲ μὲν τοῦτον τὸν χρόνον ὃν ζῶμεν, ἐν ὕψει καὶ εὐδαιμονίᾳ διαζῆν, ἐμὲ δὲ τοσαῦτα τοῖς νικηφόροις προσδιαλέγεσθαι, τοῖς ἐγκωμίοις περιφανῆ καὶ ἐπίσημον ὄντα διὰ τὴν σοφίαν, ἐν τοῖς Ελλησιν. [Αλλως.] ἀλλ' εἴη σε τοῦτον τὸν χρόνον ὃν ζῶμεν, μὴ ἀποβαλεῖν τὴν βασιλείαν. ἐμὲ καὶ ἐπινικίους γράφειν καὶ ὑμνεῖν τοὺς νικῶντας. [Ὑψοῦ.] τὸ μὲν ὑψοῦ τὴν εὐδαιμονίαν ηὔξατο. τὸ δὲ πατεῖν, τὸ ζῆν πάλιν ηὔξατο. [Τοσσάδε νικαφόροις.] ἀντὶ τοῦ, τοσούτοις νικηφόροις ὁμιλεῖν, οἷος εἶ σύ. χαίρω δὲ γράφων τοιάδε, καὶ ἔσται τοιαῦτα οἷα ἐπὶ σοῦ. [Πρόφαντον.] φανερὸν καὶ ἔξοχον, ἐν τῇ σοφίᾳ πανταχοῦ κατὰ τοὺς Ελληνας ὄντα.

Τέλος τοῦ πρώτου τῶν Ὀλυμπίων εἰδοῦς.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Πάνυ καὶ αὐτὰ ὠφέλιμα, ὡς ἐξ αὐτῶν ἔστι δῆλον, εἰς τὰ Πινδάρου Ὀλύμπια. Ἢ κατά τινας, Δημητρίου τοῦ Τρικλινίου.

ΟἹ νομίσαντες τὰ σχόλια ταῦτα Δημητρίου εἶναι τοῦ Τρικλινίου, τούτου ἕνεκα οὕτως ὑπέλαβον. εὑρέθη γὰρ ἔν τινι τῶν παρ᾽ ἡμῖν ἀντιγράφων ἐπισημείωσις οὕτω λέγουσα, Ἰστέον ὅτι τὰ γραφέντα περὶ τῶν κώλων ἐν ἀρχαῖς, πάντων τῶν Ὀλυμπίων ἐπινικίων, καὶ τῶν πρώτων μόνου τῶν Πυθίων, παλαιά ἐστι. διωρθώθη δὲ παρὰ τοῦ ἡμετέρου σοφιστοῦ, ἤτοι μυσταγωγοῦ, Κυροῦ Δημητρίου τοῦ Τρικλινίου. τὰ δὲ λοιπὰ τῶν Πυθίων, ἐμετρήθη παρ᾽ αὐτοῦ, πολλῶν τινῶν τῶν καθ᾽ ἡμᾶς σοφῶν εἰς τοῦτο αὐτὸν προτρεψάντων. καὶ ὅσα δὲ ἐν τῇ βίβλῳ ἐγράφη σχόλια σημειώσεις τινὰς ἔχοντα ἐν ταῖς τῶν λέξεων ἐναλλαγαῖς, ἃ καὶ σημεῖον τὰ διὰ μέλανος κεφάλαια ἔχουσι, καὶ τἄλλα τὰ κατ᾽ ἄλλον τρόπον γραφέντα, καὶ ταῦτα τοῦ αὐτοῦ ἐστιν.

Εἰς τὸ ά τῶν Ὀλυμπίων εἶδος.

Ἄριστον μὲν ὕδωρ.] Ἐπειδὴ τέσσαρές εἰσιν ἀγῶνες, Ὀλύμ-
πια, Νέμεα, Ἴσθμια καὶ Πύθια· οἱ μὲν τρεῖς ἐν Πελο-
ποννήσῳ, ὁ δὲ τῶν Πυθίων, ἐν Δελφοῖς γινόμενος. ὧν τὰ μὲν
Ὀλύμπια καὶ Νέμεα, εἰς Δία· εἰς Ποσειδῶνα δὲ τὰ Ἴσθμια·
τὰ δὲ Πύθια, εἰς Ἀπόλλωνα ἐτελεῖτο. ἔστι δὲ καὶ τέσσαρα στοι-
χεῖα, τὰ τὸ πᾶν συνιστῶντα· πῦρ, ἀήρ, ὕδωρ, γῆ. ἐπεὶ
ταῦτα οὕτως ἔχει, βουλόμενος τὸν Ὀλυμπιακὸν ἀγῶνα κρείττω
τῶν τριῶν ἀποδεῖξαι, καὶ δέον οὕτως εἰπεῖν, ὥσπερ τὸ ὕδωρ
κρεῖττον τῶν ἄλλων στοιχείων· ἐπὶ δὲ τῇ συγκείσει ταύτῃ, ἑτέ-
ραν ποιεῖ, λέγων· ὁ δὲ χρυσὸς διαπρέπει καὶ διαλάμπει, ἐξόχως
καὶ ὑπερτάτως τοῦ μεγάνορος καὶ τοῦ τοὺς ἄνδρας μεγίστους κατά
τε νοῦν καὶ ψυχὴν ποιοῦντος νομίζεσθαι πλούτου. ἢ τοῦ μεγα-
λαύχους τούτους ποιοῦντος. πλοῦτον δὲ ἐνταῦθα καλεῖ, τὴν τῶν κτη-
μάτων καὶ θρεμμάτων καὶ τῶν ἄλλων περιουσίαν. θέλων δὲ δεῖξαι
πῶς ὑπερέχει ὁ χρυσὸς τοῦ πλούτου, φησίν. ἅτε καὶ καθὰ πῦρ
αἰθόμενον καὶ καιόμενον καὶ λάμπον ἐν νυκτί. ἄριστον δέ ἐστι
τὸ ὕδωρ τῶν ἄλλων στοιχείων, οὕτω. φασὶ γὰρ οἱ φυσικοί, αἴτιον
τὸ ὕδωρ τῆς τῶν τριῶν οὐσίας εἶναι. καὶ τὸ μὲν λεπτομερέστερον αὐ-
τοῦ, ἀέρα γίνεσθαι. τὸ δὲ παχύτερον εἰς ἑαυτὸ καθιστάμενον,
γῆν· ἀπολεπτυνόμενον δὲ τὸν διάπυρον αἰθέρα· ἤτοι τὸ πῦρ.
[Ἄριστον μὲν ὕδωρ.] τῶν ἄλλων δηλονότι στοιχείων. καὶ γὰρ τὰ
μὲν ὑπερθετικά, ἐπὶ τὰ ὁμογενῆ ἀεὶ τὴν ὑπέρθεσιν ἔχει. καὶ χω-
ρὶς ἐκείνων πολλάκις λέγεται, καὶ ἔχει ταῦτα συνυπακουόμενα,
ὡς ἐνταῦθα τὸ ἄριστον. τὰ δὲ συγκριτικὰ χωρὶς ἐκείνων πρὸς
ἃ τὴν σύγκρισιν ἔχει οὐ δύναται λέγεσθαι, εἰ μὴ ἐπὶ θεοῦ λαμ-
3 βάνοιτο. ὡς τὸ κρεῖττον παρὰ τῇ θείᾳ γραφῇ. [Ἅτε διαπρέ-
πει.] τὸ διαπρέπει λέγεται μεταβατικῶς, μεσιτευούσης ἀεὶ
προθέσεως. οἷον διαπρέπει τόδε ἐπὶ τοῖσδε, ἤγουν διὰ πάν-
των τούτων πρέπει. τουτέστι, παραβαλλόμενον πρὸς πάντα ταῦ-
τα, ἀποκρύπτει αὐτά, καὶ εὐπρεπὲς αὐτὸ μόνον δοκεῖ ἐν αὐ-
τοῖς εἶναι. ἐπὶ πολλὰ δὲ ἀεί, ἢ δυνάμει, ἢ ἐνεργείᾳ ποιεῖται
ταύτην τὴν ἑαυτοῦ μετάβασιν, καὶ οὐδέποτε ἐφ᾽ ἕν. ὑπερθετικοῦ
γὰρ τρόπον τινά, δύναμιν ἔχει. δυνάμει δὲ εἴρηται, διὰ τὰ περι-
ληπτικὰ τῶν ὀνομάτων. οἷον, τὸ χορός· τὸ δῆμος· τὸ πλοῦτος.
ταῦτα γὰρ ἑνικὰ ὄντα τῇ φωνῇ, πληθυντικὰ τῇ δυνάμει εἰσί.
λέγεται δὲ καὶ μόνον κατ᾽ ἐξαίρετον, καθὰ καὶ τὰ ὑπερθετικὰ
ἐνίοτε, ὡς ἐνταῦθα, Αἰθόμενον πῦρ διαπρέπει νυκτί. οὐ γὰρ
πρὸς τὴν νύκτα παραβαλλόμενον εὐπρεπές ἐστι· τοῦτο γὰρ ἀσύνε-
τον λέγειν. ἀλλ᾽ ἐν νυκτὶ καιόμενον διαλάμπει. πρὸς τὰ ἄλ-
λα δηλονότι παρατιθέμενον, ἃ λαμπρότητα ἔχει. οἱ λαμβά-
νοντες εἰς τὸ πλούτου ἔξωθεν τὸ ἐπί, καὶ τὸ ἔξοχα ἀντὶ τοῦ
λίαν λέγοντες, ἀμαθεῖς. ἔστι δὲ ἡ τοιαύτη γενική, πρὸς τὸ
ἔξοχα. τὸ δὲ ἔξοχα, ἀντὶ τοῦ ἐπέκεινα. ὥσπερ οὖν ἐπέκεινα
5 πάντων φαμέν, οὕτω καὶ ἔξοχα. [Εἰ δ᾽ ἄεθλα.] ἆθλον καὶ
βραβεῖον τὸ αὐτό· ὡς λῆμμα καὶ δῶρον. λέγεται δὲ οὕτω τὸ δι-
δόμενον γέρας τῷ νικήσαντι ἀθλητῇ. ἀπὸ μὲν τῶν διδόντων αὐτὸ
βραβευτῶν, βραβεῖον· ἀπὸ δὲ τῶν ἀθλούντων, ἆθλον. ἐνταῦθα
δὲ ἄεθλα λέγει τοὺς ἀγῶνας. εἰκότως εἶπε τὸ ἐν ἁμέρᾳ. ἡλίου
γὰρ ἐν ἡμέρᾳ λάμποντος, οὐδὲν τῶν ἄστρων ὁρᾶται. [Φαεινὸν] 9
ἄστρον, ἀντὶ τοῦ ἀστέρα. διαφέρει ἄστρον καὶ ἀστήρ. ἀστὴρ γὰρ ὁ
μονομερής. ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον. Τὸν
αἰθέρα ἐνταῦθα θηλυκῶς εἶπε, ποιητικῷ ἔθει. [Ἐρήμας δὲ δι᾽ 10
αἰθέρος.] οἱ μὲν φασὶ τοῦ οὐρανίου πυρός, ὥσπερ οὐ πλησιάζει τι τῶν
παρόντων διὰ τὸ αὐτοῦ δαπανητικόν. διὸ καὶ ἔρημός ἐστιν.
ἐγὼ δέ φημι τὸν ἀέρα· ὃς εἰ καὶ πέτονται ἐν αὐτῷ ζῶα, ἀλλὰ
διὰ τὸ μὴ οἰκεῖν ἐνταῦθα, ἔρημός ἐστιν. ἄλλως τε, καί τι τῆς
ἐκείνων ἀλογίας γένοιτ᾽ ἂν χεῖρον, ἐπεὶ τὸ μὲν πῦρ ἄνω ὂν ἡμῖν
οὐχ ὁρᾶται, ἡμεῖς δὲ διὰ τοῦ ἐν τῷ μεταξὺ γῆς, οὐρανοῦ, καὶ ἀέρος
διαφανοῦς ὄντος, ἥλιον, καὶ σελήνην καὶ ἄστρα καταλαμβανόμεθα.
ὅτι δὲ καὶ τὸ αἰθὴρ ἀντὶ τοῦ ἀὴρ εὕρηται, μαρτυρεῖ καὶ Ἀριστο-
φάνης λέγων περὶ τῶν νεφελῶν οὕτως, Ὑμέτερον πατέρ᾽ αἰθέρα,
βιοθρέμμονα πάντων. ἐν γὰρ τῷ ἀέρι καὶ οὐκ ἐν τῷ πυρί, αἱ
νεφέλαι συνίστανται, καὶ ἐστὶ πᾶσι φυτοῖς καὶ ζώοις τὸ ζῆν πα-
ρέχει. [Ἐρήμας δι᾽ αἰθέρος.] παρὰ τοῖς Ἴωσιν οὕτω θηλυκῶς
προφέρεται. ὡς ἡ Κίων καὶ ἡ Μαραθών. οὐ πάντα δὲ τὰ τοιαῦτα
Ἰωνικά ἐστιν· ἐπεὶ καὶ οἱ Ἀττικοὶ πολλὰ τῶν ὀνομάτων ἀρσενι-
κὰ ὄντα, θηλυκῶς ἐκφέρουσι. [Μηδ᾽ Ὀλυμπίας ἀγῶνα.] Ὀ- 11
λυμπία, Πίσα, καὶ Ἦλις, τὸ αὐτό. Ὀλύμπια δὲ οὐδετέρως,
ὁ ἐκεῖ τελούμενος ἀγών. [Αὐδάσομεν,] ὁριστικὸν ἀντὶ ὑπο- 12
τακτικοῦ, ὡς ἐν τῷ· Ἵνα ἴδωμεν ἄμφω. [Ἱκομένοις.] εἰ μὲν ἱκό- 16
μενοι γράφεται, τὸ ἑξῆς ἔχει οὕτως. μηδὲ ἀγῶνα εἴπωμεν
κρείττονα τοῦ ἐν Ὀλυμπίᾳ ἀγῶνος, ἀφικόμενοι εἰς τὴν πλουσίαν
οἰκίαν τοῦ Ἱέρωνος τὴν εὐδαίμονα. τὸ δὲ ὅθεν ὁ πολύφατος,
μέχρι τοῦ Κρόνου παῖδα, διὰ μέσου οὕτως. ὅθεν, ἤγουν ἀπὸ τῆς
Ὀλυμπίας, ὁ ὕμνος ὁ πολὺ κλέος πλέκεται, βουλαῖς σοφῶν,
περιφραστικῶς· ἀντὶ τοῦ ὑπὸ τῶν σοφῶν. ὥστε ὑμνεῖν τὸν παῖδα
τοῦ Κρόνου· τουτέστι τὸν Δία, ὅς ἐστι δεσπότης τοῦ ἀγῶνος. εἰ δὲ
ἱκομένοις, οὕτω. μηδὲ ἀγῶνα εἴπωμεν κρείττονα τοῦ ἀγῶνος τοῦ
ἐν Ὀλυμπίᾳ. ὅθεν ἤγουν ἀπὸ τῆς Ὀλυμπίας ὁ ὕμνος ὁ πολὺ κλέ-
ος πλέκεται ἡμῖν νοήμασι σοφῶν, ὥστε ὑμνεῖν τὸν παῖδα τοῦ Κρό-
νου, ἀφικομένοις εἰς τὴν πλουσίαν οἰκίαν τοῦ Ἱέρωνος τὴν μακα-
ρίαν· τὴν εὐδαίμονα· τουτέστι, τὴν Σικελίαν. ὃς ἤγουν ὁ Ἱέρων,
διέπει βασιλείαν δικαίαν ἐν τῇ Σικελίᾳ τῇ πολυμήλῳ, ἀντὶ
τοῦ, τῇ πολυθρέμμονι. εἰ δὲ ἀγῶνας θέλεις ὑμνεῖν ὦ προ-
σφιλὴς ἐμοὶ ψυχή, μηδὲ ζήτει ἰδεῖν ἐν ἡμέρᾳ ἄλλον τινὰ
ἀστέρα λαμπρότερον, θερμότερον τοῦ ἡλίου δι᾽ ἐρήμου τοῦ αἰθέρος
φερόμενον δηλονότι. ἤγουν μὴ ὑπὸ νεφελῶν κρυπτόμενον. ὅτε
γὰρ ἀσυννεφής ἐστιν ὁ οὐρανός, τότε ἡ τοῦ ἡλίου δείκνυται θερμότης.

[Κρόνου παῖδ' ἐς ἀφνεάν.] οἱ μὲν, πρὸς τὸ ἑστίαν συντάσσου-
σιν. ἐπλανήθησαν δὲ εἰς τοῦτο, διότι ἡ καταρχὰς τὴν οἰκίαν εὑ-
ροῦσα, ἡ ἑστία ἦν, ἥτις ἦν Κρόνου θυγάτηρ. ἀφ' ἧς καὶ τὴν οἰ-
κίαν ἑστίαν λέγομεν. ἐγὼ δὲ Κρόνου παῖδα λέγω τὸν Δία, ὃν
δίκαιον ἐπαινεῖσθαι περὶ τῶν νενικηκότων, διὰ τὸ αὐτοῦ τὴν πα-
νήγυριν εἶναι, εἰς ἣν οὗτοι ἐνίκησαν. πρέπον δὲ καθολικῶς εἰ-
πὼν ἀπὸ τῆς Ολυμπίας ἄρχεσθαι τοὺς ὕμνους ἐν τοῖς σοφοῖς ἐπαι-
νοῦσι τοὺς νικῶντας, ἐπειδὴ ὁ νῦν νενικηκὼς ὁ Ἱέρων ἦν, ὁ
πρὸς τοῦτον τὸν ἔπαινον ἐργαζόμενος, διὰ τοῦτο πρὸς Ἱέρωνα
18 τὸν λόγον ἀπέτεινε. καὶ ἔστι τὸ ἱκομένους, δι' ἑαυτόν. [Θεμιστεῖ-
ον.] τοῦτο ἡ μὲν ἀναλογία προπαροξύνει. ἡ συνήθεια δὲ περισπᾷ,
ἐπικρατεῖ δὲ ἡ συνήθεια, ὡς ἐν τῷ χάρειν. κἀκεῖνο γὰρ ὅσον κατὰ
τὴν ἀναλογίαν, ἐπὶ τῆς παραληγούσης ἂν εἶχε τὸν τόνον. ἀλλ' ἡ
συνήθεια προπαροξυνομένου αὐτὸ, ἐπεκράτησε. [Ος ἀμφέπει,]
διέπει. περιέπειν γάρ ἐστι τὸ φίλον τινὰ κυβερνᾶν καὶ θάλπειν.
διέπειν δὲ τὸ διοικεῖν. ἐνταῦθα δὲ ὁ λόγος, τὸ δεύτερον ἀπαι-
19 τεῖ. [Σκᾶπτον.] σκῆπτρον, ἡ βασιλικὴ ῥάβδος. ἀπὸ ταύτης
δὲ ἐνταῦθα τὴν βασιλείαν θέλει δηλοῦν. τοῦτο δὲ καὶ παρὰ τῷ
πεζῷ λόγῳ ἐστὶν ἐν χρήσει. σκᾶπτον δὲ κατὰ Δωριεῖς τὸ σκῆ-
22 πτρον, ἀποβολῇ τοῦ ρ γινόμενον. [Αγλαΐζεται δέ.] δέον εἰ-
πεῖν ἀγλαϊζόμενος, πρὸς τὸ μέλλον ἀγλαΐζεται εἶπεν. εὕρη-
ται δὲ καὶ παρὰ τοῖς λογοποιοῖς. φησὶ γὰρ ὁ Συνέσιος. Τὰ μὲν
ἄλλα σώφρων καὶ μέτριος, ἐν τῷ καθ' ἑαυτὸν βίῳ γενόμενος.
ἀλλ' ὑπὲρ τῆς εὐγενείας ἀμφισβητῶν, τῷ Κέκροπι διετέλεσε. διὰ
δὲ τοῦ εἰπεῖν ἀγλαΐζεται δὲ καὶ μουσικῆς ἐν ἀώτῳ, ἤτοι μουσι-
κῇ περιφραστικῶς δείκνυσιν αὐτὸν εἰρήνης ἀπολαύοντα, καὶ οὐ
πολέμους ἔχοντα. εἰρηναίας γάρ ἐστι καταστάσεως, μουσικῇ καὶ
24 αὐλοῖς τὴν ψυχὴν θέλγειν. [Οἷα παίζομεν.] ἀντὶ τοῦ κατ'
ἐκεῖνο τὸ μέρος ὃ παίζομεν. ὁμοιωματικὸν ἀναφορικὸν, ἀντὶ ἀνα-
φορικοῦ δεικτικοῦ. τοῦτο δὲ καὶ παρὰ τοῖς κοινοῖς ἐστὶν ἐν χρήσει.
26 τὸ, [Δωρίαν,] οἱ μὲν φασὶν ἱστορικῶς, διὰ τοῦτο ὅτι πρῶτοι οἱ
ἐν Παρνασσῷ Δωριεῖς λύραν ἐπήξαντο. οἱ δὲ μυθικῶς, ὅτι πρῶ-
τος Ερμῆς ταύτην πήξας, Ἀπόλλωνι δῶρον ἔδωκεν. ἧς αὐ-
τοὺς ἐάσας, Δωρίαν νοεῖ τὴν Δώριον· μέλος οὖσαν ἐν τῷ Ἱέρω-
νος ἐπινικίῳ. ἢ ὅτι ὁ ἐπινίκιος Δωριστὶ συντέτακται. εἰσὶ δὲ
ἁρμονίαι τρεῖς· Δώριος, Φρύγιος, Λύδιος. ἀναλάμβανε ὦ
ψυχὴ τὴν Δωρίαν φόρμιγγα, καὶ ὕμνει τὸν Φερένικον ἵππον Ἱέ-
ρωνος, καὶ τὴν Πίσαν, εἰ ἄρα σοι ἡ τούτου χάρις τὸν νοῦν εὔ-
φρανε. Πίσα, χώρα· καὶ Ἀλφειὸς ποταμὸς πλησίον Ἤλιδος,
ἐν Πελοποννήσῳ εἰσί. λέγουσι δέ τινες τὴν Πίσαν καὶ τὴν Ἤ-
λιν πάνυ πλησίον εἶναι, ὅπερ οὐκ ἔστιν ἀληθές. πεντήκοντα γὰρ
στάδια ἀλλήλων διέχουσι. Πίσα δὲ ἐκλήθη, ἀπὸ Πίσης τῆς θυγα-
τρὸς Ενδυμίωνος. ἐλέγετο δὲ ὁ τόπος τοῦ ἀγῶνος, καὶ Πίσα
καὶ Κρόνιος λόφος. τὸ δὲ σύτο παρ' Ἀλφεῷ, καταχρηστικῶς εἶ-
πεν. οὐ γάρ ἐστιν ἐν τῷ τοῦ ἀγῶνος τόπῳ οὗτος ὁ ποταμὸς ἀλλὰ
πόῤῥω. [Αλλὰ Δωρίαν ἀπὸ φόρμιγγα.] Πρὸς τὴν ἑαυτοῦ πά-
λιν ψυχὴν ἀποτείνει τὸν λόγον. ἀλλὰ τὴν τοῖς Δωρίοις μέλεσιν
ἁρμόζουσαν φόρμιγγα, ἀπὸ πασσάλου λάμβανε. καὶ μὴ ἀργῶς
αὐτὴν ἔα κεῖσθαι· ἀλλὰ λάμβανε καὶ κίνει πρὸς τοὺς ἐπαίνους.
εἴ σοι καλά τι τὸν νοῦν ὑπὸ γλυκυτάταις ἐποίησε φροντίσιν.
ἤγουν· τὴν γλυκυτάτην φροντίδα τῶν ἐγκωμίων δηλονότι φρον-
τίζειν ἐποίησε, τὸ ἐπαγωγὸν τοῦ ἀγῶνος τοῦ ἐν τῇ Πίσῃ· καὶ
τῆς ἀρετῆς τοῦ ἵππου τοῦ Φερενίκου. ὅτε αὐτὸς ὁ Φερένικος σύτο,
ἤγουν, ἐσεύετο, ἔτρεχε πλησίον τοῦ Ἀλφειοῦ ποταμοῦ. ἤγουν, ἐν
τῇ Ολυμπίᾳ. τὸ ἑαυτοῦ σῶμα διδοὺς ἐν τοῖς δρόμοις, μὴ δεό-
μενον κέντρου. τῇ νίκῃ δὲ ἔμιξε, τουτέστι νικῆσαι ἐποίησε τὸν
ἑαυτοῦ δεσπότην Ἱέρωνα, τὸν βασιλέα τὸν τῇ ἱππικῇ χαίροντα.
διάδηλον δέ ἐστιν αὐτοῦ κλέος, ἤγουν τοῦ Ἱέρωνος, παρὰ τῇ
ἀποικίᾳ τοῦ Πέλοπος τοῦ Λυδοῦ. ἤγουν, ἣν ἀποικισθεὶς ὁ Πέ-
λοψ τῆς ἑαυτοῦ πατρίδος τῆς Λυδίας, ᾤκησε. τουτέστι τῇ Πελο-
ποννήσῳ, τῇ καλῶς ἐχούσῃ ἕνεκα γενναιότητος ἀνδρῶν. [Οὗ
38 μεγασθενής.] οὗ τινος, τοῦ Πέλοπος δηλονότι, ἐρωτὰ ἔσχεν ὁ
Ποσειδῶν· ὁ μεγάλην ἔχων ἰσχὺν· ὁ τὴν γῆν συνέχων. ἐπεὶ γὰρ
ἐπ' αὐτῷ ἐστὶ τὸ κινεῖν αὐτὴν, ἐπ' αὐτῷ δηλονότι ἐστὶ καὶ τὸ
μὴ κινεῖν. διὸ οὐ μόνον ἐνοσίχθων, ἀλλὰ καὶ ἀσφάλιος καὶ
γαιήοχος ὁ αὐτός. ἠράσθη δὲ αὐτοῦ, ἀφ' οὗ ἐξήνεγκεν αὐτὸν τοῦ
ἱεροῦ διὰ τὴν θυσίαν λέβητος ἡ Κλωθὼ, ἐλεφαντίνῳ ὀστῷ λαμ-
πρὸν ἔχοντα τὸν ὦμον. [Ιπποχάρμαν.] τὸν τῇ ἱππικῇ χαίρον-
τα. καλῶς δὲ τὸ ἐπίθετον τῷ βασιλεῖ διὰ τὸ ἱπποτροφεῖν.
ἵνα δείξῃ ὅτι οὐ τύχης γέγονε τὸ τῷ Φερενίκῳ χρήσασθαι, ἀλλ'
ἐπιστήμης καὶ τῆς περὶ τὸ πρᾶγμα ἐπιμελείας. [Εὐάνορι,] τῇ
εὐδαίμονας ἐργαζομένῃ τοὺς ἄνδρας, διὰ τὰς ἐν Ολυμπίᾳ νί-
κας. ἢ τῇ ἐχούσῃ καλοὺς ἄνδρας καὶ ἀνδρείους. [Μεγασθενής.]
τὰ παρὰ τὸ σθένος καὶ γένος ὀνόματα σύνθετα, κύρια μὲν ὄν-
τα, παροξύνεται. οἷον, Δημοσθένης, Ἀντισθένης, Διογένης,
Θεογένης. ἐπίθετα δὲ, ὀξύνονται. οἷον μεγασθενὴς, ἀσθενὴς, μο-
νογενὴς, εὐγενής. κατὰ ταῦτα καὶ Ἀριστοφάνης καὶ Νικοφάνης, πα-
ροξύνεται κύρια ὄντα. ἀφανὴς δὲ καὶ προφανὴς, καὶ διαφανὴς,
ὀξύνεται, ἐπιθετικῶς λεγόμενα. ὧν τὰ μὲν κύρια, ἀπὸ τοῦ
φαίνειν γίνεται. τὰ δὲ ἐπίθετα, ἀπὸ τοῦ φαίνεσθαι· τὰ δὲ εἰς
τος ἀπὸ τοῦ φαίνεσθαι, πάντα προπαροξύνεται, εἴτε κύρια
εἰσὶν, εἴτ' ἐπίθετα. οἷον ἄφαντος, πρόφαντος, Διόφαντος. Ιστο-
ρία. Τάνταλος τιμώμενος πάνυ παρὰ θεοῖς, καὶ βουλόμενος
αὐτοῖς ἀνταμείψασθαι, σφάττει τὸν ἑαυτοῦ παῖδα Πέλοπα καὶ
δεῖπνον παρατίθησι τοῖς θεοῖς. τῶν ἄλλων οὖν θεῶν ἀποδε-
ξαμένων αὐτὸν τῆς γνώμης καὶ μὴ φαγόντων, Δημήτηρ ἐλθοῦσα
ἐκ τῆς θυγατρὸς ζητήσεως καὶ ἀγνοοῦσα, τὸν ὦμον κατέβρωξεν. ἐμ-
βαλόντες οὖν αὐτὸν οἱ θεοὶ εἰς λέβητα, καὶ ὁλόκληρον αὖθις
συμπήξαντες ἐπεὶ ὁ ὦμος ἀπῆν, ἐλεφάντινον ἀντέθηκαν. διὸ
καὶ οἱ ἀπὸ Πέλοπος καταγόμενοι, τοιοῦτον εἶχον τὸν ὦμον. τὴν
Κλωθὼ δὲ λέγει ἐξελεῖν αὐτὸν ἐκ τοῦ λέβητος, διότι συγκεκλω-
σμένον ἦν αὐτῷ παρὰ τῆς τύχης, αὖθις ἀναζωωθῆναι. ὃ μὴ
δεχόμενος ὁ Πίνδαρος, ἐλέγχει μὲν πρότερον, νῦν δέ φησιν. ἦ
θαῦμα τὰ πολλά. ὅπερ τριπλῶς νοεῖ, οὕτως. ὄντως θαῦμα
ὑπάρχουσι τὰ πολλά. ὄντως πολλὰ θαύματα εἰσίν. ὄντως
θαυματὰ καὶ θαυμαστὰ εἰσὶ τὰ πολλά. [Φαίδιμον ὦμον.] 41
τριπλῶς κεῖται τὸ φαίδιμον. ἢ τὸ κεκαθαρμένον ἀντὶ τοῦ ἔχον-
τα. σύνηθες δὲ τούτοις τὸ τοιοῦτον. [Η θαῦμα τὰ πολλά.] 43
ὄντως ἔκπληξις τὰ πλείω τῶν πραγμάτων. καί που καλά τι
παρασύρουσιν ἔξω τοῦ ἀληθοῦς λόγου τὰς φρένας τῶν ἀνθρώπων,
καὶ λόγοι ψεύδεσι ποικίλοις πεποικιλμένοι. ἡ ἐπαγωγὸς δὲ
δύναμίς ἐστι, τῶν ποιητικῶν δηλονότι λόγων. τῇ ποιητικῇ γὰρ
ἐφεῖται τὰ τοιαῦτα. ἥτις ἅπαντα πρὸς τοὺς ἀνθρώπους πα-
ρασκευάζει τὰ μείλιχα, τὰ εὐπαράδεκτα, τὰ ἡδέα, ἐπι-
θεῖσα αὐτοῖς τιμήν. ἀντὶ τοῦ δύναμιν αἰδοῦς, καὶ τιμῆς
ἀξίαν. ἡ ἐπιφέρουσα τιμὴν ἑαυτῇ δηλονότι, καὶ τὸ ἄπιστον ἀπὸ
τῆς ἑαυτῆς φύσεως, ἐμηχανήσατο πολλάκις πιστὸν τοῦτο εἶναι.
ἀντὶ τοῦ δοκεῖν. αἱ ἡμέραι δὲ αἱ ἔμπροσθεν, γίνονται ἔλεγχοι
σοφώτατοι τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους. Εστι δὲ πρέπον τῷ ἀν-
θρώπῳ εἰπεῖν περὶ τῶν θεῶν καλὰ τουτέστι, λόγους ἀγαθὴν
δόξαν ἔχοντας. ἐλάττων γὰρ οὕτω μέμψις, ἀντὶ τοῦ οὐδεμία.
ἀλλὰ καὶ ἔπαινος μᾶλλον. Μὴ συνάψῃς τὸ θνατοῖς πρὸς
τὸ τεύχει, ὡς τινες οἴονται, ἀλλὰ πρὸς τὸ ἐπιφέρουσα, οὕτως.
ἐπὶ τοῖς θνατοῖς φέρουσα τιμάν. ἤτοι παρ' αὐτῶν τιμωμένη.
τὸ γὰρ ἐν ἀνθρώποις φέρειν τιμὴν, τιμᾶσθαί ἐστι. [Τὸ πολλά- 52
κις.] τὸ τὸ, οὐκ ἔστι κατὰ ἀντιστροφὴν πρὸς τὸ ἄπιστον, ὡς οἴον-
ταί τινες, ἀλλ' εἰπὼν καὶ ἄπιστον ἐμήσατο πιστὸν ἔμμεναι, ἐπι-
φέρει καὶ τὸ, καὶ τοῦτο ὃ ποιοῦσι. καὶ ἔστιν ὅμοιον τῷ παρὰ Σοφο-
κλεῖ. Ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει. εὑρήσεις δὲ καὶ
ἕτερα πολλὰ τοιαῦτα. [Οπότ' ἐκάλεσε πατήρ.] ἀσαφὴς δοκεῖ 60
ὁ λόγος, οὐκ ἔχων τίνα ἐκάλεσεν ὁ Τάνταλος. τὸ ἐπαγόμε-
νον δὲ, λύει τὴν αὐτοῦ ἀσάφειαν. ἐπάγεται γὰρ ἀμοιβαῖα θεοῖσι
δεῖπνα παρέχων. ἀφ' οὗ δῆλον γίνεται, ὅτι τοὺς θεοὺς ἐκάλεσεν.
εἶχε δ' ἂν σαφέστερον, εἰ οὕτως ἂν ἐλέγετο, ὁπότ' ἐκάλεσε πα-
τὴρ τοὺς θεοὺς, ἀμοιβαῖα αὐτοῖς δεῖπνα παρέχων. ἐλλειπτικὸν
δὲ δοκεῖ εἶναι πρὸς τὴν σύνταξιν, τὸ ὅλον χωρίον. καὶ λείπει ἐν
ἔξωθεν τὸ ἄδεται. [Εὐνομώτατον.] δικαιότατον. ἐπεὶ ἀντι- 61
δοὺς ἦν ὧν ὑπὸ θεῶν ἀγαθῶν ἔπαθεν. ἢ τοῦτο λέγει διὰ

τὸ τοὺς θεοὺς ἑστιάτορας εἶναι. τὸ δὲ πᾶν ἔχει οὕτως. ὦ υἱὲ τοῦ
Ταντάλου Πέλοψ. εἶτα προκατάστασιν ἐπάγει τοῦ λόγου. ἀντία
δὲ καὶ ἐναντίως τῶν προτέρων ἱστορικῶν καὶ ποιητῶν φθέγξομαι
καὶ εἴπω, ἁρπάσαι σε τὸν ἀγλαοτρίαιναν Ποσειδῶνα, ἀνὰ ταῖς
χρυσέαις ἵπποις, δαμέντα καὶ τρωθέντα τὰς φρένας, ἱμέρῳ
καὶ τῇ σῇ ἐπιθυμίᾳ. ὥστε μεταβιβάσαι καὶ μετενεγκεῖν, πρὸς
τὸ ὕπατον καὶ τὸ ἐξοχώτατον δῶμα τοῦ Διὸς τοῦ εὐρυτίμου, ὅτε
ἐκάλεσε καὶ συνήγαγεν ὁ σὸς πατὴρ Τάνταλος τοὺς θεοὺς δηλο-
νότι, εἰς τὸν εὐνομώτατον καὶ δικαιότατον ἔρανον, καὶ εἰς τὴν φί-
λην καὶ προσφιλῆ αὐτῷ τῷ Ταντάλῳ Σίπυλον· ἤτοι τὸ
ὄρος ἐν ᾧ κατῴκει. [Υἱὲ Ταντάλου.] ὦ Πέλοψ υἱὲ Ταντάλου,
τὰ περὶ σοῦ δὲ ἐγὼ ἐναντίως τῶν προτέρων ἐρῶ ποιητῶν. ὁπότε
ἐκάλεσεν ὁ σὸς πατὴρ τοὺς θεοὺς εἰς τὴν προσφιλῆ αὐτῷ Σίπυ-
λον, δι' αὐτὸν καὶ τὸν εὐσεβέστατον ἔρανον, ἤγουν τὴν ἀμοιβαίαν δεξίω-
σιν. λέγω δεῖπνα διδοὺς αὐτοῖς, ἀμοιβὴν ἔχοντα τῶν δείπνων ὧν
αὐτοὶ δεδώκασιν αὐτῷ. τότε λέγω ἁρπάσαι σε τὸν Ποσειδῶνα, τὸν
τῇ λαμπρᾷ τριαίνῃ χρώμενον μαλαχθέντα τὸν λογισμὸν ὑπὸ
ἔρωτος, ἐπὶ ἵππων χρυσῶν. ἀντὶ τοῦ ἅρματι χρυσῷ, ὥστε μετα-
69 βιβάσαι πρὸς τὸ ἔξοχον οἴκημα τοῦ Διὸς τοῦ πάνυ τιμίου. [Υστέρῳ
χρόνῳ.] ἔνθα ἀπῆλθεν, ἀντὶ τοῦ ἀπηνέχθη καὶ ὁ Γανυμήδης
πρότερον δηλονότι, ἐπὶ χρείαν τοῦ Διὸς, τὴν αὐτὴν τῇ τοῦ
Ποσειδῶνος. [Ερανος,] τὸ εἰσφερόμενον ὑφ' ἑκάστου τῶν φίλων εἰς
κοινὴν ἀπόλαυσιν. [Σίπυλον,] οἱ μὲν πόλεως ὄνομα ἔφασαν· οἱ
72 δὲ ὄρος περὶ τὴν Λυδίαν. [Ως δ' ἄφαντος ἔπελες.] ἐπεὶ δὲ ἀφα-
νὴς ὑπῆρχες. οὐδὲ πρὸς τὴν μητέρα τὴν σὴν ἤγαγόν σε οἱ πεμ-
φθέντες ὑπ' αὐτῆς ἄνδρες ἐπὶ σὴν ζήτησιν πολλὰ μαιόμενοι,
ἤγουν ζητοῦντες, εἶπέ τις αὐτίκα ἀπὸ τῶν φθονερῶν γειτόνων κρυ-
φίως, ὅτι τε ἐπὶ τὴν ἀκμὴν τοῦ ὕδατος τὴν ζέουσαν ὑπὸ τοῦ
πυρὸς, μαχαίρᾳ ταμόντες σε κατὰ μέλη οἱ περὶ τὸν Τάνταλον
ἐμβεβλήκασι, καὶ ἐν τῇ τραπέζῃ οἱ θεοὶ διεμερίσαντο εἰς μι-
80 κρότατα, καὶ ἔφαγον ἀπὸ τῶν κρεῶν τῶν σῶν. [Αμφιδεύτατα.] ἀπὸ
τῆς πρὸ προθέσεως γίνεται συγκριτικὸν μὲν, πρότερον. ὑπερ-
θετικὸν δὲ, πρῶτον. λέγεται γὰρ τὸ μὲν πρότερον ὅταν ἓν μό-
νον ἐπάγηται. ἢ πολλὰ ἐν μιᾷ τάξει. ἢ ἐν ἑνὶ χρόνῳ. οἷον
πρότερος ὅδε τοῦδε, καὶ πρότερος ὁ δεῖνα ἡμῶν. ἢ τῷ χρό-
νῳ, ἢ τῇ τάξει ἡμῶν. δηλονότι ἐν ἑνὶ χρόνῳ ἢ μιᾷ τάξει
ὄντων. τὸ δὲ α', ὅταν πολλὰ ᾖ ἐπαγόμενα, ἄλλου ἄλλο πρό-
τερον ἐφεξῆς, ἢ κρεῖττον. ἀκολουθεῖ δὲ πρὸς μὲν τὸ πρότερον
τὸ β', μόνον. ἢ πληθυντικῶς τὰ β', κατὰ τὸν εἰρημένον λόγον.
πρὸς δὲ τὸ α', δεύτερον γ', καὶ ἑξῆς. ἀπὸ δὲ τῆς ὑπὸ προ-
θέσεως, γίνεται συγκριτικὸν μὲν, ὕστερον· ὑπερθετικὸν δὲ, ὕ-
στατον. ὧν τὸ μὲν, ἀπαντᾷ πρὸς τὸ πρότερον. τὸ δὲ ὕστατον πρὸς
τὸ πρῶτον, ὅταν ἐπὶ χρόνου ταῦτα λαμβάνηται. ἐπὶ γὰρ τά-
ξεως τὸ ἔσχατον ἀπαντᾷ καὶ τὸ δεύτερον. ὃ καὶ ἐπὶ χρόνου
λαμβάνεται καὶ ἐπὶ τάξεως. ἔστι δὲ δύο ἐξ ἀνάγκης ὑπερ-
θετικὰ χρονικά· τὸ πρῶτον καὶ τὸ ὕστατον. τὸ μὲν, ἐπὶ τῆς
ἀρχῆς· τὸ δὲ, ἐπὶ τέλους. καὶ δύο ὁμοίως, τάξεως τὸ πρῶτον
καὶ τὸ ἔσχατον. τῶν δὲ μέσων τούτων, μόνον τὸ δεύτερον
συγκριτικῶς ἐξ ἀνάγκης προφέρεται. ἐπὶ δὲ τῶν ἄλλων ἁπάν-
των, οὐδεμίαν ἔχει χώραν, οὔτε τὸ συγκριτικὸν, οὔτε τὸ
ὑπερθετικόν. ὁ δὲ Πίνδαρος, καὶ ὑπερθετικὸν ἀπὸ τοῦ δευτέρου
σχηματίζει, τὸ δεύτατον· θέλει δὲ τοῦτο σημαίνειν ταυτὸν
τῷ ὕστατον. ὁ δὲ ἐπὶ σμικρότητος τοῦτο τίθησι. διεδάσαντο γάρ
φησιν, ἀμφιδεύτατα. ἤγουν, εἰς μικρότατα. τὸ δὲ τρίτατος
παρὰ ποιηταῖς, οὐχ ὑπερθετικῶς οὕτω σχηματίζεται, ἀλλ' ὡς
τὸ ὀγδόατος παρ' αὐτοῖς καὶ ἑβδόματος. ἃ κατὰ ἀκολουθίαν λέ-
γεται, τοῦ, τέταρτος καὶ δέκατος καὶ πεντεκαιδέκατος, καὶ τῶν
82 ὁμοίων. [Εμοί δ' ἄπορα.] ἀντὶ τοῦ ἄπορον. τουτέστιν, ὑπ'
οὐδενὸς λογισμοῦ ἐνδεδομένον εἰπεῖν τινὰ ἀπὸ τῶν θεῶν μάρ-
γον τὴν γαστέρα. ἤγουν μαινόμενον. τουτέστιν ἀκρατῆ τῆς γαστρός.
ἀφίσταμαι τούτου τοῦ σκοποῦ. βλάβη γὰρ ἐκληρώσατο κατὰ πολὺ τοὺς
κακηγόρους. τουτέστι, τοὺς βλασφημοῦντας εἰς τοὺς θεούς. ἤγουν
85 βλάβην κληρονομοῦσιν οἱ βλασφημοῦντες εἰς τοὺς θεούς. [Κα-
κηγόρως.] Δωρικὴ ἡ ἀνάγνωσις. ἀεὶ γὰρ ἡ αἰτιατικὴ παρ'
αὐτοῖς διὰ τοῦ ω μεγάλου ἐκφέρεται. τοὺς λύκως γὰρ ὁ Θεόκρι-
τος λέγει. οὐ χρὴ τοίνυν μικρὸν γράφειν τὸ ρως ὡς τισιν ἔδοξε.
μακρὰ γὰρ ἡ τοιαύτη συλλαβὴ ὀφείλει εἶναι. [Κακηγόρως.] τοῦτο
λέγει, ὅτι ὁ κακηγορῶν οὐδὲν ἄλλο κερδίζει, πλὴν τοῦ κακὸς
εἶναι. [Εἰ δέ τινα ἄνδρα.] ἐὰν δὲ ἐτίμησαν τινὰ ἄνθρωπον θνη-
τὸν οἱ ἔφοροι τοῦ οὐρανοῦ, τουτέστιν οἱ θεοὶ, ὁ Τάνταλος ἦν οὗ-
τος. ἀλλ' οὐκ ἐδυνήθη καταπέψαι τὴν μεγάλην ταύτην εὐ-
δαιμονίαν. ἀντὶ τοῦ διοικῆσαι ἐπ' ὠφελείᾳ ἑαυτοῦ. ἀπὸ μεταφο-
ρᾶς τῶν ἐν τῷ στομάχῳ σιτίων. ἃ πεφθέντα μὲν, ὀνίνησι τοὺς
μεταλαμβάνοντας αὐτῶν. ἄπεπτα δὲ μείναντα τοῦ στομάχου μὴ
δυνηθέντος κατεργάσασθαι αὐτὰ, βλάβην οἶδεν ἐπάγειν. ὑπὸ
τοῦ κόρου δὲ, ἤγουν τοῦ ὄγκου τῆς τιμῆς, ἔλαβε βλάβην ὑπερβολι-
κὴν, ἁμαρτὼν εἰς τοὺς θεούς. δι' ἣν ὁ πατὴρ αὐτοῦ ὁ Ζεὺς,
ὑπερεκρέμασεν οἱ, αὐτῷ, τουτέστι κατ' αὐτοῦ, λίθον ἰσχυρὸν,
ἀντὶ τοῦ μέγαν· ὃν ἀεὶ προθυμούμενος ἀπώσασθαι τῆς κεφαλῆς,
πόρρω ἡδονῆς στρέφεται· μὴ δυνάμενος δηλονότι ἀπαλλαγῆναι
αὐτοῦ. Τὸ, οὗτος, ἢ πρὸς τὸ Τάνταλον νοεῖ, ἢ πρὸς τὸ τιμη-
θέντι παρὰ θεῶν, οὕτως. εἰ δέ τινα τῶν ἀνθρώπων οἱ θεοὶ
ἐτίμησαν, οὐκ ἄλλος ἦν ὁ τιμηθεὶς, ἢ ὁ Τάνταλος οὗτος. ἀλλὰ
γὰρ καταπέψαι. ἤγουν κατασχεῖν. οἱ γὰρ πέπτοντες τὴν τροφὴν
καὶ οὐκ ἐμοῦντες, κατέχουσι ταύτην ἐντός. ὄλβον δὲ λέγει, τὴν
παρὰ τῶν θεῶν διδομένην αὐτῷ τιμήν. [Αταν ὑπέροπλον.] 92
ὑπέροπλός ἐστιν ἰσχὺς ἡ νικῶσα τὰ ὅπλα. ἐνταῦθα δὲ ὑπέρο-
πλον λέγει βλάβην μεταφορικῶς, τὴν ὑπερβολικὴν καὶ ἀμή-
χανον. Ιστορία. Αλλοι ἄλλως περὶ τῆς τοῦ Ταντάλου κολάσεως
φασίν. οἱ μὲν γὰρ ἐπικεῖσθαι αὐτῷ τὴν Σίπυλον λέγουσι. Ζεὺς
γὰρ ἀποστείλας Ερμῆν πρὸς αὐτὸν, ἵνα τὴν κύνα λάβῃ, ὃν Παν-
δάρεως ὁ Μιλήσιος φύλακα καθεσάντα τοῦ ἱεροῦ τῆς Κρήτης παρὰ
Διὸς κεκλοφὼς, ἤγαγεν αὐτῷ ἵνα φυλάσσῃ. ἐλθόντος οὖν Ερμοῦ
πρὸς αὐτὸν, καὶ μὴ λαβόντος τὴν κύνα, ἔφασκε γὰρ μὴ ἔχειν,
ὀργισθεὶς ὁ Ζεὺς ἐπέθηκεν αὐτῷ τὴν Σίπυλον. οἱ δὲ λέγουσι διὰ
τὸ ἐξειπεῖν αὐτὸν τὰ θεῖα μυστήρια τοῖς ἀνθρώποις, ἐν ᾅδου
κολάζεσθαι· μέσον ἑστῶτα λίμνης μέχρι τοῦ πώγωνος. ἧς ὁπό-
τε πιεῖν ἤθελε, τὸ ὕδωρ ἐξίστατο. μαρτυρεῖ δὲ καὶ Ομηρος λέ-
γων· Εσταότ' ἐν λίμνῃ· ἡ δὲ προσέπλαζε γενείῳ. Στεῦτο δὲ
διψάων, πιέειν δ' οὐκ εἶχεν ἑλέσθαι. ἑστὼς δὲ ἐν τῇ λίμνῃ καὶ
λίθον ὑπὲρ κεφαλῆς εἶχεν αἰωρούμενον. Ευριπίδης δὲ λέγει, μέ-
σον ἀέρος αὐτὸν τὸν Τάνταλον ἀοράτως κρέμασθαι. καὶ λίθον
ὑπὲρ τῆς ἑαυτοῦ κεφαλῆς αἰωρεῖσθαι. ἀσφαλέστερος δὲ πάντων Ο-
μηρος. καὶ μαρτυρεῖ ἡ παροιμία, Ταντάλου δίψα. δέον δὲ
εἰπεῖν, ἔχει δὲ τοῦτο βίον ἀπάλαμον. λέγω δὴ, τὸ ὑπὲρ κεφα-
λῆς λίθον πειρᾶσθαι φυγεῖν καὶ μὴ δύνασθαι. ὁ δὲ, τοῦτον εἶ-
πε πρὸς τὸν βίον. τὸ δὲ ἐμπεδόμοχθον, ἢ πρὸς τὸ βίον
συναπτέον, ἢ πρὸς τὸ πόνον. [Εχει δ' ἀπάλαμον.] ἔχει δὲ 95
βίον τοῦτον τὸν ὑπὸ τῷ λίθῳ ἀπάλαμον. ἤγουν ἀμήχανον.
πρὸς ὃν οὐκ ἔστι τι μηχανήσασθαι. [Εμπεδόμοχθον,] τουτέστιν 96
ἰσχυρὰν κάκωσιν ἔχοντα. πόνον τέταρτον μετὰ τριῶν ἄλλων. ἤγουν,
τοῦ πεινῆν, τοῦ διψῆν, τοῦ ἑστάναι. διότι κλέψας τὸ νέκταρ, καὶ
τὴν ἀμβροσίαν τῶν θεῶν, ἡλικιώταις καὶ συμπόταις ἔδωκε. δι'
ὧν ἀθάνατον αὐτοὶ τοῦτον ἐποίησαν. εἰ δ' ἀνήρ τις ἐλπίζει
θεὸν λήσειν πράττων τι, ἀποτυγχάνει τοῦ προσήκοντος λογισμοῦ.
[Μετὰ τριῶν.] τοῦ πεινῆν, διψῆν, ἑστάναι. φασὶ δὲ καὶ ἑτέρως 97
τὸ μετὰ τριῶν. ἤγουν μετὰ Ιξίονος, Σισύφου, καὶ Τιτυοῦ. καὶ οὗτοι
γὰρ ἐν ᾅδου κολάζονται. Ιξίων μὲν, ἐν τροχῷ περιφερόμενος διὰ
τὸ ἐρασθῆναι τῆς Ηρας καὶ πρὸς νεφέλην παρεικασθεῖσαν, προσ-
δραμεῖν καὶ μιγῆναι. ὅθεν καὶ ὁ Ιπποκένταυρος γέγονε. Σί-
συφος δὲ, πέτρον μέγιστον εἰς ἀνάντη τόπον βίᾳ κομίζων, καὶ
ὁπότε εἰς ἄκρον ἔλθοι τοῦ τόπου, ἀπολισθαίνοντα, τὸν λίθον αὖ-
θις ἀνάγων. καὶ τοῦτο πάσχων διὰ τὴν ἀπάτην, ἣν ἠπάτησε τὸν
Πλούτωνα. ὁπότε γὰρ θνήσκειν ἔμελλε, παρήγγειλε τῇ γυναικὶ
μὴ θάψαι αὐτόν. τῆς δὲ οὕτω πεποιηκυίας, κατελθὼν αὐτὸς
κατηγόρει πρὸς Πλούτωνα, ὡς ἀμελησάσης αὐτοῦ. καὶ αὐτὴν
αἰτῆσαι, ἀνελθεῖν καὶ κολάσαι αὐτήν. ἐπεὶ ἀνῆλθε, μὴ βου-
λόμενος αὖθις εἰς ᾅδου παραγενέσθαι, ὑφ' Ερμοῦ καταχθεὶς
ἄκων, οὕτω κεκόλασται. Τιτυοῦ δὲ, ὡς κατὰ θεῶν μανέντος,
ὄφεις τὰ σπλάγχνα ὑπτίου κειμένου κατεσθίουσιν· ἀνακαινιζό-

105 μένα ἀεὶ κατὰ τὸ Προμηθέως ἧπαρ. [Τοὔνεκα προῆκαν.] διὰ
τοῦτο ἐπέστρεψαν τὸν υἱὸν αὐτοῦ οἱ θεοὶ ἐπὶ τὸ γένος αὖθις τῶν
ἀνθρώπων, τὸ ἐπ' ὀλίγον ἐν τῇ ζωῇ διαρκοῦν. ὅτε δὲ πρὸς
θαλερὰν ἀναδρομὴν σώματος τελειώσας αὐτὸν σκέπεσθαι ἐποίουν
αὐτοῦ, δηλονότι μέλαν γένειον, γάμον ἀναπολήσας κατὰ νοῦν,
ἐζήτησε προτεθειμένον, τῷ βουλομένῳ λέγω σχεθέμεν. ἤγουν
ἰσχὺν λαβεῖν. τὴν ἀγαθὸν κλέος ἔχουσαν Ἱπποδάμειαν παρὰ
τοῦ πατρὸς αὐτῆς τοῦ Οἰνομάου, τοῦ βασιλεύοντος ἐν τῇ Πίσῃ.
[Ἄγχι δ' ἐλθών.] πλησίον δ' ἐλθὼν τῆς λευκῆς θαλάσσης,
μόνος ἐν νυκτὶ, ἐκάλει τὸν Ποσειδῶνα τὸν βαρύκτυπον, τὸν τῇ χα-
110 λῇ τριαίνῃ χρώμενον. [Λάχναι νιν.] ὅλον καὶ μέρος. τὸ μὲν
νιν, ὅλον· τὸ δὲ γένειον, μέρος· ὥσπερ ἐστὶ καὶ τὸ, Ποῖόν
σε ἔπος φύγεν ἕρκος ὀδόντων. [Ἔρεφον δὲ,] ἀντὶ τοῦ ἐστεφά-
νουν. ὥσπερ γὰρ ὁ στέφανος κύκλῳ τῆς κεφαλῆς ἐστιν, οὕτω καὶ αἱ
τοῦ πώγωνος τρίχες κύκλῳ εἰσίν. [Ἱστορία.] Οἰνόμαος ὁ πα-
τὴρ Ἱπποδαμείας, ἐρῶν αὐτῆς διὰ τὴν τοῦ κάλλους ὑπερβολὴν, καὶ
οὐ θέλων ἐκδοῦναι ταύτην εἰς γυναῖκά τινι, προὐκαλεῖτο πάν-
τας εἰς ἅμιλλαν δρόμου τοὺς θέλοντας αὐτὴν ἐγγυήσασθαι· θαῤ-
ῥῶν τῷ αὐτοῦ ἅρματι, ταχυτάτῳ ὄντι, καὶ μηδένα οἰόμενος
ὑπερβαλέσθαι ἂν αὐτὸν δυνηθῆναι. οὕτω δὲ ἐποίει τὴν ἅμιλλαν.
τῷ μὲν μνηστῆρι ἐδίδου τὴν Ἱπποδάμειαν ἐν τῷ αὐτοῦ ἅρματι
φέρειν, καὶ προηγεῖσθαι τοῦ δρόμου. αὐτὸς δὲ ὄπισθεν ἰὼν, καὶ τῇ
χειρὶ φέρων ἔγχος, ὁπότε ἔμελλε τὸν μνηστῆρα παρελθεῖν, ἔβαλ-
λέ τε τῷ ἔγχει, καὶ ἀνῄρει. τρεῖς οὖν πρὸς τοῖς δέκα
ὀλωλεκὼς, ἡττήθη ὑπὸ Πέλοπος, ὁ γὰρ ἡνίοχος αὐτοῦ τοῦ Οἰ-
νομάου Μυρτίλος, ἐφθάρη χρήμασιν ὑπὸ τοῦ Πέλοπος. ἵνα
περὶ τὰς χοινικίδας τοῦ ἅρματος πανουργεύσῃ τι, καὶ τὸν Οἰνό-
μαον ἐντεῦθεν ἡττηθῆναι παρασκευάσῃ. οὗ γενομένου, Πέλοψ
Ἱπποδάμειαν ἔσχε. τῶν δὲ ἀνῃρημένων τὰ ὀνόματά εἰσι ταῦ-
τα. Μέρμνος· Ἱππόθοος· Πέλοψ Ὀπούντιος· Ἀκαρνάν· Εὐ-
ρύμαχος· Εὐρύλοχος· Αὐτομέδων· Λάσιος· Χάλκων· Τρι-
κόρωνος· Ἀλκάθους, ὁ Παρθάονος· Ἀριστόμαχος· Κρόταλος.
ὧν ταῖς κεφαλαῖς ἔμελλε ναὸν ἀνεγείρειν τῷ Ἄρει. [Τὸ πο-
115 λιᾶς ἁλὸς,] ἢ ἀντὶ τοῦ γεραιᾶς νέει διὰ τὸ εἶναι πρεσβύτερον
τὸ ὕδωρ τῶν ἄλλων στοιχείων ὡς ἔφαμεν, ἢ ἀντὶ τῆς λευκῆς·
λευκαίνεται γὰρ τῇ τῶν κυμάτων περιφορᾷ καὶ δινήσει. [Ὀρφνῃ,] ἡ
νὺξ βαρυτόνως. ὀρφνὴ δὲ νὺξ, ἀντὶ τοῦ σκοτεινὴ ἐπιθετικῶς,
116 ὀξύνεται. [Βαρύκτυπος.] ὁ βαρεῖς κτύπους ἐργαζόμενος. βα-
ρὺ ἐπὶ ὄγκου. ᾧ ἐναντίον τὸ κοῦφον. λέγεται τὸ βαρὺ καὶ ἐπὶ
φωνῆς, καὶ ἔχει ἐναντίον τὸ ὀξύ. ἐνταῦθα ἐπὶ φωνῆς λέγεται
τὸ βαρὺ, ἐν τῇ συνθήκῃ τοῦ βαρυκτύπου. κτύπος δέ ἐστιν, ὁ
118 ἀπὸ συγκρούσεως ἦχος. [Τὸ σχεδὸν,] ὥσπερ ἑρμηνεία ἐστὶ τοῦ παρ'
ποσί. τὸ γὰρ παρὰ ποσὶ εἶναι, πλησίον ἐστὶ εἶναι. [Ὁ δ'
αὐτῷ.] ὁ δὲ εὐθέως παρὰ τοῖς ποσὶν αὐτοῦ ἐφάνη. τούτῳ δὲ
εἶπεν ὁ Πέλοψ. ἄγε ὦ Πόσειδον, ἐὰν κατά τι εἰς χάριν σοι
ὦσιν, ἤγουν κεχαρισμένα, ἀρεστὰ ὦσι τὰ προσφιλῆ δῶρα τῆς
Ἀφροδίτης. τοῦτο δὲ ἴσως ὡς ἐρώμενος αὐτοῦ λέγει, κατάσχες.
ἀνενέργητον ποίησον τὸ ἔγχος τοῦ Οἰνομάου τὸ σιδηροῦν, ᾧ τοὺς
μνηστῆρας συμποδίζων ἀναιρεῖ. ἐμὲ δὲ ἐπὶ ταχυτάτου ἅρμα-
τος παράπεμψον εἰς τὴν Ἦλιν. τῇ νίκῃ δὲ ἔνωσον. τουτέστι
μετ' ἐμοῦ δὲ ποίησον τὴν νίκην. ἐπεὶ τρεῖς καὶ δέκα ἄνδρας
ἀποκτείνας ὁ Οἰνόμαος ἐρῶντας, εἰς τὸ ἐπιὸν παραπέμπει τὸν
τῆς θυγατρὸς αὐτοῦ γάμον. Οἱ μνηστῆρας γράφοντες, οὐκ ἴσασι τὰ
περὶ μέτρων. χρὴ τοίνυν ἐρῶντας γράφειν· ἵν' οἰκεῖον ᾖ τὸ κῶ-
129 λον τῇ στροφῇ. [Ὁ μέγας δὲ κίνδυνος.] ἀντὶ τοῦ τὸ πρᾶ-
γμα ἐφ' ᾧ μέγας ἐστὶ κίνδυνος, οὐ δέχεται ἄνδρα οὐ γενναῖον
τὴν ψυχήν· τουτέστι δειλόν. ἐκείνοις γὰρ οἷς ἐστιν ἀνάγκη ἀποθα-
νεῖν ὁπωσδήποτε, διατί ἄν τις ἐν ἀφανείᾳ καθήμενος, ἀκλεὲς
γῆρας ματαίως ἕψοι. τουτέστι τῷ χρόνῳ πεπαίνων ἑαυτὸν
ἀφέλκοιτο, πάντων τῶν καλῶν ἀμέτοχος ὤν. ἀλλ' ἐμοὶ μὲν οὗ-
τος ὁ ἀγὼν ὑποκείμενος ἔσται, εἰς τὸ ἀγωνίσασθαί με αὐτόν.
132 σὺ δ' ἀπόβασιν πράξεως δίδου προσφιλῆ. [Τί κέ τις.] τὸ
τις, ἀορίστως λεγόμενον, πληθυντικοῦ δύναμιν ἔχει. διὸ πρὸς
136 πληθυντικὸν ἀποδίδοται νῦν. [Πρᾶξιν φίλαν.] ἀντὶ τοῦ ἀπόβασιν
πράξεως προσφιλῆ. πρᾶξις γὰρ ἡ ἐνέργεια, καὶ τὸ ἀποτελούμενον
ἀπὸ τῆς ἐνεργείας. [Ὡς ἔννεπεν.] ἀντὶ τοῦ εἶπεν. [Οὐδ' ἀκράν- 137
τοις.] δέον ἀκράντων εἰπεῖν ἐπῶν· ὁ δὲ πλαγιάσας, ἀκράν-
τοις ἔπεσιν εἶπε, πρὸς τὸ, ἐπί. οὐδὲ λόγων ἐφήψατο ἀδυνά-
των τελεσθῆναι. [Τὸν μὲν ἀγάλλων.] τὸν μὲν τιμῶν ὁ θεὸς, 139
ἔδωκε δίφρον. ἅρμα χρυσοῦν, καὶ ἵππους ὑποπτέρους, ἀντὶ
τοῦ ταχυτάτους. οὐ γὰρ πτερωτοὶ ἦσαν. Ἰστέον ὅτι, τὸ μὲν ἅρμα
Πέλοψ πρῶτος ἔδειξεν, ἐκ Ποσειδῶνος λαβών. τὸ δὲ κέλη-
τα, Βελλεροφόντης, διὰ τὴν πρὸς τὸν Πήγασον ἀνάβασιν.
[Ἀκαμάτους.] ἤγουν, οὐ κοπιῶντας. ἕλε δὲ, ἀντὶ τοῦ καθεῖλε 141
τὴν ἰσχὺν τοῦ Οἰνομάου· περιφραστικῶς. ἀντὶ τοῦ, τὸν Οἰνόμαον
εἷλεν, ἤγουν ἔλαβε καὶ τὴν παρθένον τὴν Ἱπποδάμειαν σύνευ-
νον. ἔτεκε δὲ ἀντὶ τοῦ ἐγέννησεν υἱοὺς ἓξ λαῶν ἡγεμόνας· ἀν-
δραγαθίας ἐν φροντίδι ὄντας· ἀντιστρόφως· ἀντὶ τοῦ οἷς ἀν-
δραγαθίαι ἦσαν ἐν φροντίδι. νῦν δὲ μίγνυται ἐν περιφανέσιν
αἱμακουρίαις. ἤγουν χοαῖς δι' αἱμάτων· ἃς συνήθως ἐτέ-
λουν τοῖς ἀποθανοῦσι. πεσὼν, ἀντὶ τοῦ ταφεὶς, παρὰ τῷ ῥεύ-
ματι τοῦ Ἀλφειοῦ. τύμβον ἔχων περιπολεῖσθαι δυνάμενον. διὰ
τὸ μὴ πλησιάζειν τινὶ παρὰ βωμῷ. ἔνθα πλεῖστοι ξένοι ἀθροι-
ζόμενοι ἠγωνίζοντο. [Τὸ ἕλεν,] οὐ πρὸς τὸ παρθένον κατὰ κοι- 142
νοῦ εἴποις. ἀλλ' ἐνταῦθα μὲν, ἀντὶ τοῦ ἔλαβεν, ἐρεῖς. πρὸς δὲ
τὸ βίαν, ἀντὶ τοῦ ἐκράτησε καὶ ἐνίκησε. [Νῦν δ' ἐν αἱμακου- 146
ρίαις.] κατ' ἐνιαυτὸν πάντες οἱ ἐν τῇ Πελοποννήσῳ ἔφηβοι,
ἐν τῷ τοῦ Πέλοπος τάφῳ, ταῖς μάστιξι ξαινόμενοι, ὥσπερ τινὰ
σπονδὴν, τὸ αὐτῶν αἷμα τούτῳ παρεῖχον. τοῦτο δ' ἐποίουν,
δεικνύντες τὴν τοῦ Ἥρωος δύναμιν, καὶ νομίζοντες μηδὲν ἄλλο
πρὸς αὐτὸν εἶναι δίκαιον, ἢ τοῦτο τελεῖσθαι. Βοιωτῶν φωνὴ, τὸ
αἱμακουρίαις. οὗτοι γὰρ αἱμακουρίας, τὰ τῶν νεκρῶν ἐναγίσματα
λέγουσι. [Τύμβον ἀμφίπολον.] τινὲς φασὶ, μὴ μνῆμα ἀλλ' 149
ἱερεῖον εἶναι Πέλοπος. καὶ πρὸ τοῦ Διὸς ἐν αὐτῷ τοὺς ἀγωνι-
ζομένους θύειν· τοῦ Ἡρακλέους πρῶτον κατὰ τιμὴν τοῦτο πε-
ποιηκότος. ἀμφίπολον δὲ λέγει, ἢ τὸν περιπολούμενον διὰ τὸ
ἐν μέσῃ εἶναι τῇ πόλει. ἐνταῦθα γὰρ οἱ οἰκισταὶ ἐθάπτοντο. ἢ τὸν
περιπολούμενον ὑπὸ τῶν ἀγωνιστῶν. φασὶ γὰρ ὡς ἐν μέσῳ τοῦ στα-
δίου ἦν. [Τὸ δὲ κλέος, τηλόθεν.] τὸ δὲ κλέος τῶν Ὀλυμ- 151
πιάδων δέδορκεν, ἀντὶ τοῦ βλέπεται. περιφανές ἐστιν ἐκ μακρόθεν
ἐν τοῖς δρόμοις. οὓς ἔδραμεν ὁ Πέλοψ ἐρίζων τῷ Οἰνομάῳ,
ὅπου ταχυτὴς ποδῶν ἁμιλλᾶται, καὶ ἀκμαὶ ἰσχύος γενναῖαι καὶ
ἀνδρικαὶ ἐργαζόμεναι. τοῦτο γὰρ τὸ θρασύπονοι. ὁ δὲ νικῶν ἐν
τούτῳ δηλονότι τῷ ἀγῶνι, περὶ τὸν ἐπίλοιπον αὐτοῦ βίον, ἔχει
εὐδίαν. ἤγουν, ἠρεμίαν γλυκεῖαν ἕνεκα βραβείων ἀγῶνος·
τουτέστιν ἡσυχάζει μετὰ γλυκύτητος, οὐ ζητῶν βραβεῖα ἑτέρου
ἀγῶνος. ἅτε δὴ τῶν μεγίστων τετυχηκώς. ἀεὶ δὲ τὸ ἀγαθὸν
τὸ κατὰ τὴν παρεστῶσαν ἡμέραν, ἤγουν τὸ ἐνεστὼς, κράτιστον ἔρχε-
ται, ἀντὶ τοῦ δοκεῖ παντὶ ἀνθρώπῳ. [Εὐδίαν,] ἡσυχίαν. 158
τουτέστι, βέλτιστος παρὰ πάντων νομίζεται. εὐδίαν δὲ εἶπεν
ἐκ μεταφορᾶς τῶν ἐν θαλάσσῃ χειμαζομένων, καὶ πεπαυμένων
τοῦ κλύδωνος. [Τὸ δ' ἀεί.] τοῦτο λέγει. ὅτι εἴ τις τὸν τῆς ζωῆς 159
αὐτοῦ χρόνον καθ' ἑκάστην ἡμέραν παρὰ πάντων τιμᾶται, οὐκ
ἔστι τούτου μεῖζον οὐδέν. [Ἐμὲ δὲ χρή.] ἐμὲ δὲ πρέπει Αἰολί- 162
δι μολπᾷ καὶ ὕμνῳ, στεφανῶσαι ἐκεῖνον τὸν ἐξ Ὀλυμπίας ἐν
νόμῳ ἱππείῳ νενικηκότα κατὰ νόμους. νενομισμένον γάρ ἐστι μὴ
μόνον τοῖς οἰκείοις ποσὶν ἀγωνίζεσθαι πεζῇ, ἀλλὰ καὶ ἱππι-
κῶς. λέγω δὴ, ἐν κέλητι, καὶ δίφρῳ, καὶ τεθρίππῳ. λέγει δὲ
διὰ τὸν Ἱέρωνα. τὸ δὲ Αἰολίδι μολπᾷ, ἢ ἀντὶ τοῦ ποικίλῃ.
ποικίλοι γὰρ οἱ ἐκ λύρας ὕμνοι. ἢ Θηβαίᾳ. οἱ γὰρ Αἰολεῖς
ᾤκησαν ποτὲ Θήβας. ἢ διότι καὶ ὁ Πίνδαρος ἐξ Αἰόλων κατή-
γετο, ὥς φασί τινες. [Ἐμὲ δὲ χρή.] ἐμὲ δὲ πρέπει ἐγκωμιά-
σαι ἐκεῖνον ὃν ὑπεθέμην δηλονότι, τουτέστι τὸν Ἱέρωνα· κατὰ τὸν
νόμον τὸν ἁρμόζοντα τοῖς ἱππικοῖς. διὰ μολπῆς, ἤγουν ᾠδῆς
Αἰολίδος, ἤγουν Θηβαϊκῆς, ἢ Πινδαρικῆς. πέποιθα δὲ μη-
δένα ἄλλον φίλον ἀπὸ τῶν νῦν κατὰ τὰ ἀμφότερα, καὶ καλῶν
ἐμπειρότερον, καὶ κατὰ τὴν ἰσχὺν ἐπικρατέστερον, κοσμήσειν στρο-
φαῖς ὕμνων κλυταῖς. τουτέστι, μετεώρῳ φωνῇ ᾀδομέναις καὶ
ἐξακουομέναις. [Πέποιθα δέ.] τοῦτο καὶ ἐπὶ τοῦ Πινδάρου ὑπὲρ 165
ἑαυτοῦ λέγοντος νοοῦσι, καὶ ἐπὶ τοῦ Ἱέρωνος. καὶ ἐπὶ μὲν τοῦ

Ἱέρωνος

Ἱέρωνος οὕτω. πέποιθα δὲ καὶ θαῤῥῶ μή τινα ἄλλον ξέ-
νον καὶ φίλον ἐμὸν δαιδαλωσέμεν καὶ κοσμῆσαι ἐμὲ, ἐν κλυ-
ταῖς καὶ ἐνδόξοις πτυχαῖς, καὶ περιβολαῖς ἐπαίνων. ἴδειν τε
καὶ ἐπιστήμονα καλῶν καὶ ἀγαθῶν, καὶ δὴ καὶ κυριώτερον
καὶ κρείττονα τῶν νῦν ἀνθρώπων, κατὰ δύναμιν σώματός τε
καὶ πλούτου, ἀμφότερα. τουτέστιν, ἐλπίζω ὡς οὐδένα ἄλλον
ὑμνῆσαι, ἐμπειρίαν τε ἀγαθῶν ἔχοντα, καὶ κρείττονα τῶν
νῦν ἀνθρώπων κατὰ δύναμιν. ἐπὶ δὲ τοῦ Πινδάρου, οὕτω· πέ-
ποιθα δὲ μή τινα ξένον δαιδαλωσέμεν καὶ κοσμεῖν, ἐν
κλυταῖς πτυχαῖς ἐπαίνων, ἴδειν τε καὶ ἐπιστήμονα καλῶν,
ἢ κυριώτερον καὶ κρείττονα τῶν νῦν ἀνθρώπων, κατὰ τὴν
τοῦ λόγου δύναμιν ἀμφότερα. τουτέστιν, ἐλπίζω ὡς οὐδεὶς
τῶν ἀνθρώπων ἐπίσταται οὕτως ἐγκωμιάζειν τοὺς, ὥσπερ ἐγώ·
καλλίστους ἐγκωμίων τύπους εἰδώς· καὶ κατὰ τὴν τοῦ λό-
γου δύναμιν πάντας ὑπερέχων. ἔστι δὲ τὸ καλῶν ἴδεις
καὶ τὸ δύναμιν κυριώτερον ἰσοδυναμοῦντα πρὸς τὰ ἀμ-
φότερα. διὸ καὶ μετ' ἐκεῖνα τοῦτο λέγω κατὰ τὴν σύν-
ταξιν. εἰ καὶ προηγεῖται κατὰ τὴν φράσιν. ἀγνοοῦντες δέ
171 τινες, ὄντα ἔξωθεν λαμβάνουσι. [Θεὸς,] ἤτοι ὁ Ἑρμῆς, ἐὼν
καὶ ὑπάρχων ἐπίτροπος τῆς ἐμῆς τέχνης, μήδεται καὶ
βουλεύεται τὰ ὑπὲρ ἐμοῦ. ἐν τεαῖς καὶ ἰδίαις μερί-
μναις. ἔχων, τοῦτο τὸ βουλεύεσθαι, κῆδος καὶ φροντίδα.
καὶ πάλιν ὁ ἐὼν καὶ ὁ ὑπάρχων ἐπίτροπος σὸς θε-
ὸς, ἐν τεαῖς καὶ ἰδίαις μερίμναις, μήδεται καὶ βουλεύε-
174 ται τὰ ὑπὲρ σοῦ. [Εἰ δὲ μὴ ταχὺ] καὶ ταχέως λίποι,
ἐμὲ μὲν ὁ Ἑρμῆς, σὲ δὲ ὁ σὸς φροντιστὴς θεὸς, ἤγουν,
εἰ μὴ ταχέως τοῦ βίου ἀπέλθωμεν, ἔλπομαι καὶ ἐλπί-
ζω ἔτι καὶ εἰς τὸ ἑξῆς, ἐλθὼν παρὰ τὸν εὐδείελον καὶ
τὸν φανερὸν Κρόνιον λόφον. ἤτοι παρὰ τὴν Ὀλυμπίαν,
κλεΐξειν καὶ ὑμνήσειν σε σὺν ἅρματι θοῷ. εὑρὼν ὁδὸν καὶ
μεταχείρησιν λόγων γλυκυτέραν τῆς νῦν ἐπίκουρον καὶ βοη-
θόν· οὐ γὰρ ἐάσει τὴν σὴν νίκην ὑπὸ λήθης ἀφανισθῆναι.
κρεῖττον δὲ ἐστὶν ὑπὲρ τοῦ Ἱέρωνος μόνου ταῦτα λέγεσθαι.
[Θεὸς ἐπίτροπος.] ὁ θεὸς, ὦ Ἱέρων, ἐπίτροπος ὢν, ἤγουν
τὴν φροντίδα ἀναδεδεγμένος τῶν σῶν μεριμνῶν, τουτέστι
τῶν περὶ σὲ, ἃς ἐγὼ δηλονότι φροντίζω περὶ σοῦ, βου-
λεύεται ἔχων ταύτην τὴν φροντίδα. εἰ δὲ μὴ ταχέως
λίποι, ἔτι ἂν ἐλπίζω δοξάσειν σε, σὺν ἅρματι ταχεῖ.
δι' οὗ σὺ δηλονότι νικήσεις. ἀπελθὼν διὰ τῶν ἐγκωμίων
παρὰ τὸν Κρόνιον λόφον τὸν εὐδείελον, ἤγουν, τὸν μετέωρον
καὶ καλῶς ἔχοντα τοῦ ἡλίου κατὰ τὰ πρὸς ἑσπέραν, καὶ
τὰ περὶ τὴν δείλην ἑῴαν. εὑρὼν βοηθὸν, ὁδὸν λόγων
γλυκυτέραν. [Ἐμοὶ μὲν ὦν.] ἐμοὶ μὲν οὖν ἡ μοῦσα, βέ- 179
λος ἀντὶ τοῦ λόγον τρέφει, τουτέστι, διέπει. φυλάττει
καρτερώτατον κατὰ τὴν ἰσχύν. ἐπ' ἄλλοις δὲ πράγμασιν
εἰσὶν ἄλλοι μεγάλοι. τὸ δὲ μέγιστον τῶν ἄλλων μέγεθος,
ἐπὶ τοῖς βασιλεῦσιν ἐστὶν ηὐξημένον, τὴν ἔξοχον αὐτοῦ
αὔξησιν. Μὴ ἀπόβλεπε πόρσιον, ἤγουν περαιτέρω τὴν
βασιλείαν δηλονότι ἔχων. εἴθε εἴη σέ τε ταύτην τὴν ἐνι-
σταμένην ζωὴν διέρχεσθαι ὕψου. τουτέστιν ἐπὶ μετεώρου σχή-
ματος. καὶ κράτος ἁπάντων ἔχοντος, καὶ ἐμὲ τοσάδε
ἀντὶ τοῦ τοιάδε ὁμιλεῖν τοῖς νικηφόροις, προφανῆ ὄντα
κατὰ σοφίαν πανταχοῦ, κατὰ τοὺς Ἕλληνας. [Τὸ ἔσχατον.] τὸ 181
ἐξοχώτατον. ἤγουν, τὸ τῆς δυνάμεως καὶ εὐδαιμονίας ἀκρό-
τατον οἱ βασιλεῖς ἔχουσιν. [Σοφίᾳ πρόφαντον,] οὐχ ὁμολο- 18[illegible]
γουμένως τοῦτο λέγει καυχώμενος, ἀλλ' εὔχεται τοῦ-
το δοκεῖν. καὶ ἔχει τὴν δύναμιν πρὸς τὸ τοσάδε. δέ-
ον γὰρ οὕτως εἰπεῖν. ἐμὲ δὲ εἴη τοσοῦτον ὁμιλεῖν τοῖς
νικηφόροις. τουτέστι, τοιούτους τοὺς ὑπὲρ αὐτοῦ ὕμνους ποι-
εῖν. ὡς εἶναι πρόφαντον καὶ ὑπέρτατον πανταχοῦ εἰς τοὺς
Ἕλληνας ἐν τῇ σοφίᾳ. πρὸς μετοχὴν τὸν λόγον ἔστρεψε,
καὶ ἀντὶ τοῦ εἰπεῖν εἶναι, ὄντα εἶπεν.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ δευτέρου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ιδ΄. Τὸ α΄, προσοδιακόν. ἤγουν, ἐκ δύο ἰάμβων καὶ δύο τροχαίων. προσοδιακὸν δὲ λέγεται, διότι προσοδεύει τὸ μέτρον. ὡς γίνεσθαι τὸ ἀπ᾽ ἀρχῆς ὅμοιον τῷ ἀπὸ τέλους. υ-υ--υ-υ. Τὸ β΄, Ιωνικὸν δίμετρον καταληκτικὸν, ἀπὸ τροχαϊκῆς συζυγίας ἀρχόμενον, οἰκείας τῷ Ιωνικῷ. ὁ δὲ πρῶτος ποὺς διαλύεται εἰς τετράβραχυν χορεῖον. πολλάκις δὲ, καὶ ὁ δεύτερος. υυυ-υ--υ. Τὸ γ΄, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον. παραδιδοῦσι δὲ οἱ ῥυθμικοὶ, ὅτι ἐν τῷ ἀντισπαστικῷ, ὁ πρῶτος ποὺς τοῦ ἀντισπάστου πρώτου, εἰς πόδας τέσσαρας τοὺς δισυλλάβους μεταλλάσσεται, ὡς καὶ ἐνταῦθα. ὅρα γὰρ ἡ δευτέρα συζυγία, ἰαμβικὴ ἐστὶν οἰκεία τῷ ἀντισπάστῳ. υυ-υυυ-υ-. Τὸ δ΄, χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἀπὸ ἰαμβικῆς συζυγίας ἤτοι τοῦ πρώτου σπονδείου. --υυ-υυ. Τὸ ε΄, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. ὁ δεύτερος χορεῖος. υ-υυυ--. Τὸ ϛ΄, ἀντίσπαστος καὶ συλλαβή. δηλονότι, μονόμετρον ὑπερκατάληκτον. υ--υ-. Τὸ ζ΄, Ιωνικὸν ἀπ᾽ ἐλάσσονος, ἐκ τροχαϊκῆς συζυγίας, τῷ Ιωνικῷ ἀρχόμενον δίμετρον καταληκτικόν. -υ-υυυ-. Τὸ η΄, Ιωνικὸν ἀπὸ μείζονος δίμετρον, ὑπερκατάληκτον. --υυ--υ-υ. Τὸ θ΄, παιωνικὸν δίμετρον καταληκτικὸν πλὴν ὁ α΄, * τρίτος παίων, ὁ δεύτερος πρῶτος παίων, λειπούσης καὶ τῆς † βραχείας. υυυ-υ. Τὸ ι΄, ἀντισπαστικὸν δίμετρον καταληκτικόν. ἄρχεται δὲ ὁ δεύτερος ἀντίσπαστος, ἀπὸ πυῤῥιχίου. υ--υυυ-. Τὸ ια΄, ὅμοιον τῷ ἕκτῳ τῆς στροφῆς. ἤγουν, ἀντίσπαστος, καὶ συλλαβή. υ--υ-υ. Τὸ ιβ΄, ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. υ--υ--. Τὸ ιγ΄, ἰαμβικὸν ἑφθημιμερές. ὁ δὲ τρίτος ποὺς, τρισύλλαβος. --υ-υυυ-. Τὸ ιδ΄, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. υ-υ-υυυ.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η δὲ ἐπῳδὴ κώλων ὀκτώ. Τὸ α΄, χοριαμβικὸν, τρίμετρον βραχυκατάληκτον, ἐξ ἰαμβικῆς συζυγίας, οἰκείας τῷ μέτρῳ. --υ--υυ-υ-. Τὸ β΄, δίμετρον ὑπερκατάληκτον, ἐπιχοριαμβικόν. οὐ χοριαμβικὸν καθαρὸν, ἔχει ἐπιμιξίαν πρὸς τροχαϊκὴν συζυγίαν τὴν πρώτην, ἀνοικείαν τῷ χοριάμβῳ. -υ-υ-υυ--. Τὸ γ΄, ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. ἄρχεται δὲ τὸ δεύτερον μέτρον, ἀπὸ σπονδείου κατὰ τὴν φύσιν τοῦ ἀντισπάστου, ἀλλασσομένου κατὰ τὸν πρῶτον δισύλλαβον πόδα. υ--υ--. Τὸ δ΄, παιωνικὸν δίμετρον ἀκατάληκτον. ὁ α΄, τέταρτος παίων. καὶ ὁ δεύτερος, συμπεπυγμένα ἔχει τὰ δύο βραχέα εἰς ἓν μακρόν. υυυ--υ-. Τὸ ε΄, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δεύτερον χορεῖον ἔχει. υ-υυυ-υ-. Τὸ ϛ΄, ἰαμβικὸν ἐπίμικτον, πρὸς τροχαϊκὰς συζυγίας. ὅπερ ἐλέγετο προσοδιακόν. ἀνοίκειοι γὰρ οἱ πόδες. --υ--υ--υυ-. Τὸ ἕβδομον, ἐπιωνικὸν δίμετρον ἀκατάληκτον. ἐπιωνικὸν δὲ, καὶ οὐκ Ιωνικὸν λέγεται, ὅτι ἐπιμίγνυται ἰαμβικῇ συζυγίᾳ, ἀνοικείᾳ τοῖς Ιωνικοῖς. --υυυ-υ-. Τὸ η΄, ἰαμβικὸν μικτὸν, ἀπὸ τροχαϊκῆς συζυγίας, τρίμετρον καταληκτικόν. -υ--υ υ-υ--.

* Edit. Brubacch. hab. ad marg. Τέταρτος. † Edit. Brubacch. hab. ad marg. ἢ μᾶλλον Κρητικός.

ΘΗΡΩΝΙ

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩ, ΑΡΜΑΤΙ. ΕΙΔΟΣ Β'.

THERONI AGRIGENTINO, CURRU VICTORI. ODE II.

ARGUMENTUM.

Laudatur Theron Agrigentinus Tyrannus, à victoria quam quadrijugo curru in Olympiis est adeptus; item à justitia, liberalitate, fortitudine, & majorum claritudine: quorum fortunam occasione sumpta attingit. Tum digressiones ad Semelen, Inonem, Peleum, Achillem, aliosque intertexit: atque obiter loca Beatorum, & Damnatorum apud inferos designat. Tandem concludit Odam sui carminis, & Theronis liberalitatis laude.

Στροφὴ α'. κώλων ιβ'.

Αναξιφόρμιγγες ὕμνοι,
Τίνα Θεὸν, τίν᾽ Ηρωα,
Τίνα δ᾽ Ανδρα κελαδήσομεν;
Ητοι Πίσα μὲν Διός·
Ολυμπιάδα δ᾽ ἔστασεν Ηρακλέης,
Ακρόθινα πολέμου·
Θήρωνα δὲ τετραορίας
Ενεκα νικαφόρου
Γεγωνητέον ὀπὶ,
Δίκαιον ξένον,
Ερεισμ᾽ Ακράγαντος,

METAPH.

IN-cithara-regnantes hymni,
Quem Deum, quem Heroa,
Quemve Virum celebrabimus?
Sane Pisa quidem Jovis:
Olympiadem vero instituit Hercules,
Primitias-spoliorum belli:
Theronem vero quadrigas
Ob victrices
Celebrandum-est voce,
Justum hospitem,
Columen Agrigenti,

PARAPHRASIS.

Vos ô hymni, qui tanquam citharæ domini, modulos ejus moderamini: quem Deum, quem Heroa, quem Virum sumemus celebrandum? Sane cum Pisa sit Jovi sacra, & ibi Olympicum certamen ejus in honorem instituerit Hercules, offerens primitias spoliorum debellati Augiæ, alterutrius, imo utriusque laudes non abs re caneremus. Sed victoria Theronis me in præsentia totum ad se convertit. Itaque Theronem encomio cohonestandum sumam, & magna voce prædicabo victoriam, quam curru quadrijugo est adeptus vir ille, non solum hac re commendandus, sed ob alias quoque virtutes suspiciendus, ut qui sit justus hospitalitatis observator, patriæ columen & fulcimentum,

NOTÆ.

2 MS.Pal.B.leg. τίνα Θεῶν; 3 Κελαδήσομεν] Gl.MS. γ. Δοξάσομεν καὶ τιμήσομεν. Τίνα ἄνδρα leg.MS.γ. Τίν᾽ ἄνδρα β. 4 Ἤτοι Πίσα] Gl.MS.γ. Διὰ τοῦτο κελαδήσομεν τὸν Δία, Θεὸν ὄντα. β. ὅς ἐστι Θεός. 5 Ολυμπιάδα] Gl.MS. γ. Διὰ τοῦτο κελαδήσομεν τὸν Ηρακλέα, ἥρωα ὄντα. 7 Ακρόθινα] Gl.MS. γ. Εἰς χαρίσματα. 10 Γεγωνητέον] Gl. MS. γ. Αξιόν ἐστιν ὑμνῆσαι διὰ φωνῆς λαμπρᾶς ὄντα ἄνδρα καὶ νικαφόρον. 12 Ἔρεισμα] Gl. MS. α. Ἑδραίωμα.

Θήρωνι Ακραγαντίνῳ.] Γέγραπται Θήρωνι Ακραγαντίνῳ ἅρματι νενικηκότι, τὴν ἑβδομηκοστὴν ἑβδόμην Ολυμπιάδα. ἦν δὲ ὁ Θήρων, ἀνέκαθεν ἀπὸ Οἰδίποδος. ἐκήδευσε δὲ Γέλωνι τῷ τυράννῳ, ἐπιδοὺς αὐτῷ τὴν θυγατέρα Δημαρέτην, ἀφ᾽ ἧς καὶ τὸ Δημαρέτειον προσωνομάσθη νόμισμα. καὶ αὐτὸς δὲ ὁ Θήρων, τὴν Πολυζήλου τοῦ ἀδελφοῦ Ιέρωνος ἔγημε θυγατέρα, καθά φησι Τίμαιος. ἦν δὲ ὁ Θήρων υἱὸς Αἰνησιδάμου. [Αναξιφόρμιγγες ὕμνοι.] οἱ τῆς φόρμιγγος ἀνάσσοντες. πρότερον γὰρ τὰ ᾄσματα συντίθενται· εἶθ᾽ οὕτω πρὸς αὐτὰ καὶ ἡ λύρα ἁρμόζεται. ἢ οὕτως. ὦ ὕμνοι οἱ ὑπὸ τῆς φόρμιγγος ἀνασσόμενοι. πρότερον γὰρ ἔκρουον, εἶτα ἐπῇδον. καὶ τούτου μάρτυς Ομηρος. Ητοι ὁ φορμίζων, ἀνεβάλλετο καλὸν ἀείδειν. ἐμφανίζει δὲ τὸ μουσόληπτον, ὡς ἐπιζητῶν γὰρ τίνα ὀφείλει ὑμνῆσαι, εἶτα καθ᾽ ἑαυτὸν δοκιμάζων. [Αλλως.] ἀναξιφόρμιγγες. [τὴν αἰτίαν δηλοῖ παρ᾽ ἥν. ὁ νοῦς· τρία δὲ δεῖ ἐπαινεῖν, Δία· ὅτι τούτου ἱερὸν ὁ τόπος· Ολυμπιάδα δ᾽ ἔστησεν Ηρακλῆς· διὸ ὑμνητέον αὐτὸν ὡς ἥρωα· ἄνθρωπον δὲ Θήρωνα. τυποῖ δὲ ὁ Πίνδαρος, ὅτι δεῖ καὶ ἐπινίκιον ὑμνεῖν θεὸν, ἥρωα, ἄνδρα. [Ητοι Πίσα μὲν Διός.] ἡ μὲν Πίσα, τοῦ Διός ἐστιν ἱερόν. δι᾽ ἣν, ὑμνεῖν τὸν θεὸν δεῖ. τὸν δὲ Ολυμπιακὸν ἀγῶνα ἔστησεν Ηρακλῆς. ἦν γὰρ κατά τινας παραμεληθείς. [Ακρόθινα πολέμου.] πρὸς Αὐγέαν πολεμήσας τὸν Ηλιδος τύραννον καὶ νικήσας, ἐκ τῆς λαφυραγωγίας τὰς ἀπαρχὰς τῶν λαφύρων προσαγαγὼν, ἔκτισε τὸν ἀγῶνα. [Θήρωνα δέ.] τοῦτον οὖν τὸν Θήρωνα, τεθρίππῳ νικήσαντα, ὑμνήσωμεν. ὁ δὲ νοῦς αὐτοῦ· σεμνύνεται μὲν ὁ Ολυμπιακὸς ἀγὼν, τῷ Διῒ καὶ τῷ καταβεβληκότι τὴν ἀρχὴν Ηρακλεῖ. οὐδὲν δὲ ἧττον, καὶ τρίτον σεμνύνεται Θήρωνι νενικηκότι. [Ερεισμ᾽ Ακράγαντος.] τείχισμα ὄντα τῆς Ακράγαντος. καὶ Ομηρος, Ερκος Αχαιῶν. Ακράγας δὲ πόλις καὶ ποταμὸς Σικελίας.

Εὐωνύμων τε πατέρων	Clarorumque Parentum
Ἄωτον, ὀρθόπολιν·	Florem, rectorem-urbium:
ἀντιστροφὴ α'. κώλων ιδ'.	Metaph.
Καμόντες οἳ πολλὰ θυμῷ,	Qui quum-laboraſſent multum animo,
Ἱερὸν ἔσχον οἴκημα	Sacrum tenuerunt habitaculum
Ποταμοῦ, Σικελίας τ' ἔσαν	Fluvii, Siciliæque erant
Ὀφθαλμός· αἰών τ' ἔφε-	Oculus: vitaque inſeque-
πε μόρσιμος, πλοῦτόν	batur felix, divitiaſ-
Τε καὶ χάριν ἄγων,	que & gratiam afferens,

PARAPHRASIS.

flos clarorum majorum, & ſubditarum urbium rectus moderator. Qui poſtquam relicta patria, ſedes non ſine magno animi labore ſubinde mutaſſent, tandem proximam fluvii ſedem incoluerunt, ſcilicet Agrigentum, ſacro Minervæ templo decoratum: atque ita virtutibus nativis excelluerunt: quæ comite fœlici fato, divitias & gratiam ſortitæ ſunt, ut in Sicilia omnium nobiliſſimi, & illuſtriſſimi cenſerentur.

NOTÆ.

13 Εὐωνύμων] Gl. MS. γ. Ἐνδόξων. 14 Ἄωτον] Gl. MS. α. Ἀπάνθισμα. Ὀρθόπολιν] Gl. MS. α. Εὐθύνοντα τὴν πόλιν. 15 Καμόντες] Gl. MS. γ. Κοπιάσαντες. Inſerit hanc digreſſionem, ut amoliatur calumniam de facinoribus OEdipi, & aliis malis, quibus majores Theronis fuerunt obnoxii, & inter alia, quod patrias ſedes ſubinde mutaſſent. 16 Ἱερὸν οἴκημα] Id eſt vel domus Regia, & quæ præſtat cæteris, uti vox apud Homerum ſæpius uſurpatur; vel urbs Agragas, quæ hoc epitheto inſignitur διὰ τὸ ἐπ' ὠφελείᾳ εἶναι ἀνθρώπων. οὕτω γὰρ καὶ πόλεις ἱερὰς φησὶν [Ὅμηρος] ὡς ἀνθρώπων οὔσας φυλακτικὰς καὶ διὰ τοῦτο θείας τινάς. Verba ſunt Euſtath. ad Il. ι. 17 Σικελίαν τ' leg. MS. ϐ. 18 Ὀφθαλμὸς] Gl. MS. γ. Φῶς καὶ δόξα. α. Ἀσφαλὴς φυλακή. Cicer. ad Attic. *Cur ocellos Italiæ, villulas meas, non video.* Ubi ocellus rem præſtantiſſimam notat. Αἰὼν] Gl. MS. γ. Ζωή. Euſtath. ad Il. δ. Αἰών ἐστι τὸ μέτρον τῆς ἀνθρωπίνης ζωῆς. Αἰὼν δ' ἔφεπεν leg. Schol. 19 Μόρσιμος] Gl. MS. α. Δυστυχής. ſed debet eſſe εὐτυχής· licet in utramque partem accipiatur epitheton μόρσιμος. Euſtath. ad Il. χ. Μόρσιμος, ὁ μοίρᾳ ὑποκείμενος. Χάριν] Gl. MS. α. Εὐφροσύνην.

[Εὐωνύμων τε πατ.] προγόνων. πάνυ δὲ ὑπερβαλλόντως ἐπαίρει τὸ ἐγκώμιον καὶ ἐνδόξων προγόνων, ἐπεὶ ὁ Θήρων ἀπὸ Κάδμου εἶχε τὸ γένος, κατ' ἐπίτασιν αὐτὸν ἄνθος λέγων. [Ὀρθόπολιν.] τὸν τῇ ἑαυτοῦ δικαιοσύνῃ ὀρθοῦντα καὶ σώζοντα τὰς πόλεις, ὡς ἐρυσίπολιν, καὶ σωζόπολιν, ἐνταῦθα, διὰ τὸ ἐνοικῆσαι τὴν Ἀκράγαντα· ὁμώνυμον οὖσαν τῷ ὁμωνύμῳ ποταμῷ Ἀκράγαντι. [Καμόντες οἳ πολλά.] ὁ λόγος καθαρός· ἐπεὶ περὶ τῶν προγόνων τοῦ Θήρωνος· οἳ πρότερον μὲν ἦλθον εἰς Γέλλαν· κἀκεῖθεν, εἰς Ἀκράγαντα. οὐ γὰρ λέγει ὁ Πίνδαρος, ὅτι καμόντες τὴν Ἀκράγαντα ἔκτισαν· ἀλλ' ὅτι καθόλου καμόντες πολλὰ τοῦ Θήρωνος οἱ πρόγονοι, ἔσχον τὴν Ἀκράγαντα. [Ἱερὸν ἔσχον οἴκημα.] ἱερὸν δὲ εἶπεν οἴκημα, τὴν Ἀκράγαντα, διὰ τὸ Ἀθηνᾶς αὐτόθι νεὼν εἶναι περιττῶς ἀγιστευόμενον. ἢ διὰ τὸ, τὴν Ἀκράγαντα τῇ Περσεφόνῃ εἰς τὰ ἀνακαλυπτήρια ὑπὸ Διὸς δοθῆναι. ὅτι δὲ περὶ Ἀκράγαντός ἐστι τῷ Πινδάρῳ ὁ λόγος, σαφὲς ἐκ τῶν περὶ τοῦ πλούτου τοῦ Θήρωνος. δηξιὼν γάρ φησιν. Ἐπί τοι Ἀκράγαντι τανύσαις, Αὐδάσομαι ἐνόρκιον Λόγον ἀλαθεῖ νόῳ, Τεκεῖν μή τιν' ἑκατόν γ' ἐτέων πόλιν Φίλοις μᾶλλον Εὐεργέταν πραπίσιν, ἀφθονέστερον χεῖρα Θήρωνος. Ἱππόστρατος δὲ ἱστορεῖ αὐτὸν πλούτῳ διενηνοχέναι. ἀλλ' οἵγε πρόγονοι τῶν Ἀκραγαντίνων Γελλῷοι, οὐχ' οὕτως * εὐπορήκεσαν, ἀλλὰ καὶ πᾶν τοὐναντίον μόγις καὶ ταπεινῶς διέζων. ἐπὶ φυλακῇ τῆς πόλεως μισθαρνοῦντες. ἔνιοι δέ φασιν ὅτι οἱ τοῦ Θήρωνος πρόγονοι, οὐδόλως εἰς τὴν Γέλλαν κατῆραν· ἀλλ' εὐθὺς εἰς τὴν Ἀκράγαντα ἀπὸ Ῥόδου. ὡς καὶ ὁ Πίνδαρος λέγει. Ἂν δὲ Ῥόδον κατῴκισθεν. ἔνθ' ἀφορμαθέντες, ὑψηλὰν πόλιν ἀμφινέμονται· πλεῖστα μὲν δῶρ' ἀθανάτοις ἀνέχοντες. ἕπετο δ' ἀενάου πλούτου νέφος. [Καμόντες οἳ πολλά.] οἱ πατέρες φησὶ τοῦ Θήρωνος. Ῥόδιοι γὰρ ἦσαν ἄνωθεν, καὶ στάσιν ἐμφύλιον ἀποφεύγοντες, μετῴκησαν τὴν Σικελίαν. καὶ αὐτόθι πρός τινας βαρβάρους πολεμήσαντες, ἔκτισαν τὴν πόλιν. [Ἱερὸν ἔσχον οἴκημα.] Ἀρίσταρχος τὴν πόλιν, οἴκημα ποταμοῦ προσηγορεῦσθαι, φησὶ, διὰ τὸ, ὁμώνυμον εἶναι τῷ ποταμῷ Ἀκράγαντι. τὴν γὰρ ὀνομασίαν ἡ πόλις ἀπὸ τοῦ ποταμοῦ ἔσχεν. Ἀρτέμων δὲ ὁ ἀπὸ Περγάμου, τὴν Γέλλαν οἴεται δεῖν ἀκούειν. καὶ γὰρ ταύτην ὁμώνυμον εἶναι Γέλᾳ τῷ ποταμῷ, τοὺς δὲ Ἀκραγαντίνους, Γελῴων εἶναι ἀποίκους. ὥστε τῶν πατέρων ἄωτον ἐν Γέλλᾳ, ἐπὶ τῶν τοῦ Θήρωνος προγόνων συντετάχθαι. κεφαλαιῶδες δὲ χρῆται τῷδε. τὸ δὲ, καμόντες ἔφη προσήκειν μᾶλλον ἀκούειν, ὑπὲρ τῶν τὴν Γέλλαν ἐκτικότων, ἀλλ' οὐ τὴν Ἀκράγαντα. οἱ μὲν γὰρ, ἀπὸ τοῦ ῥᾴστου συνῳκίσθησαν. οἱ δὲ, χαλεπῶς καὶ μόλις. Ἀντίφημος γὰρ ὁ Ῥόδιος, καὶ Ἔντιμος ὁ Κρὴς, οἵ τινες εἰς Γέλλαν στείλαντες ἀποικίαν, πρότερον μὲν, περὶ τὴν συναγωγὴν ἔκαμον οὐ μετρίως, συναθροίζοντες τοὺς ἐκ Πελοποννήσου καὶ Ῥόδου καὶ Κρήτης, εἰς τὸ περὶ τὸν διάπλουν, εἶτα περὶ τὸν οἰκισμὸν, καὶ πάλιν διαγωνισάμενοι πρὸς τοὺς Σικανούς. Μενεκράτης δέ φησι, ληρεῖν τὸν Ἀρτέμονα. μὴ γὰρ καμεῖν τοὺς περὶ Ἀντίφημον περὶ τὴν ἀποικίαν, ἀλλὰ μᾶλλον κατὰ εὐπέτειαν πολλὴν αὐτοῖς πάντα συμβεβηκέναι. περὶ τίνων οὖν λέγει καμόντες οἳ πολλά; περὶ τῶν Θήρωνος προγόνων. τούτους γὰρ Θηβαίους ἀνέκαθεν ἀπὸ Κάδμου εἶναι. Κάδμου γὰρ, Πολύδωρος· τοῦ δὲ, Αἵμων. τοῦτον δὲ ἐν κυνηγεσίῳ ἐμφύλιόν τινα ἀποκτείναντα, Ἀθήναζε ἀποστῆναι. τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν ἀποστάντας σὺν τοῖς Ἀργείοις, Ῥόδον κατοικῆσαι. καὶ μετὰ ταῦτα, ἐλθεῖν εἰς Ἀκράγαντα. καὶ μέχρι Θήρωνος, εἰκοσιεπτὰ γενεὰς συναριθμεῖσθαι. ἴσως οὖν πρὸς ταῦτα ἀφορῶν ὁ Πίνδαρος, φησί· Καμόντες οἳ πολλὰ θυμῷ, Ἱερὸν ἔσχον οἴκημα Ποταμοῦ. οἴκημα δὲ ποταμοῦ τὴν πόλιν εἶπε, διὰ τὴν ὁμωνυμίαν. λείπει δὲ, ἡ ἐπὶ, ἵνα ᾖ τὸ ἐπὶ τοῦ ποταμοῦ οἴκημα ἔσχον τὴν πόλιν. [Σικελίας τ' ἔσαν ὀφθαλμός.] οἱονεὶ, τὸ ἐξαίρετον καὶ λαμπρότερον ἦσαν τῆς Σικελίας. ἀξιολογώτερον γὰρ ἐν σώματι ὁ ὀφθαλμός. ἵν' εἴπῃ, περίβλεπτοι ἦσαν. [Αἰὼν δ' ἔφεπεν.] ἐπηκολούθησε δὲ τὴν εὐδαιμονίαν ἐπιπέμπων ταῖς γνησίαις αὐτῶν ἀρεταῖς. ἢ οὕτως. εὔμοιρος βίος ἐπηκολούθησεν αὐτοῖς, ἐκ πεπρωμένης τινὸς, ὡς καὶ παρ' Ὁμήρῳ· Μοιρηγενὲς ὀλβιόδαιμον.

* Εὐπόρησαν ad marg. Edit. Brubacch.

[Γνησίαις

Γνησίαις ἐπ' ἀρεταῖς.
Αλλ' ὦ Κρόνιε, παῖ Ρέας,
Εδος Ολύμπου νέμων,
Αέθλων τε κορυφὰν,
Πόρον τ' Αλφεοῦ,
Ιανθεὶς ἀοιδαῖς,
Εὔφρων ἄρουραν ἔτι πα-
τρίαν σφίσιν κόμισον

ἐπῳδὸς α'. κώλων η'.

Λοιπῷ γένει. Τῶν δὲ πεπραγμένων
Εν δίκᾳ τε καὶ παρὰ δίκαν,

Nativas ad virtutes.
Sed O Saturnie, fili Rheæ,
Sedem Olympi gubernans,
Certaminumque summitatem,
Meatumque Alphei,
Exhilaratus hymnis,
Propitius agrum porro pa-
trium illis cura

METAPH.

Postero generi. Factorum autem
Justeque & præter jus,

PARAPHRASIS.

Quorum hæreditaria terra cum per seriem nepotum ad Theronem usque descenderit, oratum te velim Jupiter Saturni & Rheæ fili, qui cœlum, qui Olympicum certamen omnium præstantissimum, & meatum Alphei regis, ut hisce meis hymnis cum delectatione exauditis, benevolentiam tuam posteris, scilicet Theroni & Xenocrati testeris, conservato ipsis natali & hæreditario solo: adeo ut nullis inimicorum odiis, nullis vicinorum bellis inde expellantur; Quod non ita pridem contingere potuisset, cum inter se dissiderent Theron & Hiero: inter quos si quid jure vel injuria

NOTÆ.

23 Νέμων] Gl. MSS. α. β. Διοικῶν, κυβερνῶν. 25 Πόρον τ' Αλφεοῦ] Quod Jovem πόρον Αλφεοῦ νέμειν dicit, respicit vel ad consecrationem Elidis, & potissimum Olympiæ, ad quam Alpheus fluit, Jovi factam: vel potius ad ritum illum, quo Elei cineres solius Alphei aquis mixtos & subactos, Jovis Olympii aræ pro lectorio inducere solebant, unde Jovi dilectissimus Alpheus fuit. Pausan. Eliac. prior. 26 Ιανθεὶς] Gl. MS. α. γ. Εὐφρανθεὶς. 28 Σφίσι leg. MSS. β. γ. 29 Πεπραγμένων] Gl. MS. γ. Συμβάντων ἔργων, ἢ τὰς κακοπαθείας, ἃς ὑπέστησαν καὶ ἐν τῇ Ρόδῳ καὶ ἐν τῇ Σικελίᾳ. 30 Εν δίκᾳ τε καὶ παρὰ δίκαν] Gl. MS. γ. καὶ μετὰ δικαιοσύνης καὶ ἔξω δικαιοσύνης.

[Γνησίαις δὲ] ἰδίαις. γνήσια γὰρ τὰ ἴδια ποιήματα. καὶ τὰ ἐκ καμάτων, καὶ οὐκ ἐξ ἐπιστάκτων. ἢ γνησίαις ἀρεταῖς, ταῖς ἐκ γένους συγγεγεννημέναις αὐτῷ. [Αλλ' ὦ Κρόνιε παῖ.] ὁ νοῦς· ὦ Ζεῦ τὸν οὐρανὸν κατοικῶν καὶ τὸ, καὶ τὸ, ἡσθεὶς τούτοις τοῖς ὕμνοις, αὔξησον ἔτι, καὶ ἐπιπλέον ἀσφαλῶς αὐτοῖς τὴν πατρῴαν γῆν διαφύλαξον. [Νέμων] οἰκῶν. καὶ Ομηρος. Οἵτ' ἀμφ' ἄρμ' ἐνέμοντο. ἀντὶ τοῦ ᾤκουν. [Εὔφρων.] καλῶς διανοούμενος. εὐμενὴς ὢν, ἔτι καὶ ἐπιπλέον τὴν πατρῴαν γῆν αὔξησον τῷ λοιπῷ γένει. λέγει δὲ αὐτῷ τῷ Θήρωνι. ἔτι, ἵνα τῇ προτέρᾳ εὐδαιμονίᾳ, ἔτι καὶ τοῦτο ὁ Ζεὺς παράσχῃ. [Κόμισον.] αὔξησον. εὔχεται τοὺς ἀπογόνους Θήρωνος, ἄρχειν τῶν Ακραγαντίνων. [Λοιπῷ γένει.] τῷ περὶ Θήρωνα, καὶ Ξενοκράτην ἀδελφούς. συγγενεῖς δὲ οὗτοι Ιέρωνος, τοῦ Αἰτναίων βασιλέως. [Τῶν δὲ πεπραγμένων.] ὁ Θήρων θυγατέρα ἑαυτοῦ ἐξέδωκε πρὸς γάμον Πολυζήλῳ τῷ ἀδελφῷ Ιέρωνος· ὃς πεμφθεὶς ἀπὸ Ιέρωνος πολεμῆσαι τοῖς περιοίκοις Σικελιώταις βαρβάροις, ἔπαυσε τὸν πόλεμον χωρὶς τῆς τοῦ Ιέρωνος γνώμης. καὶ διὰ τοῦτο ἐν ὑποψίᾳ ἦν. Θρασυδαίου δὲ τοῦ Θήρωνος υἱοῦ πείσαντος τὸν Πολύζηλον ἐπιθέσθαι τῷ Ιέρωνι, ὑπισχνουμένου αὐτοῦ τοῖς πράγμασι συναντιλήψεσθαι, γνοὺς ὁ Ιέρων, ἐκεῖνον αἱρήσειν τὸν Ακράγαντα, καὶ Θήρωνα καὶ Θρασυδαῖον. μελλόντων δὲ τῶν φίλων, ἔπεμψε Σιμωνίδης ὁ Λυρικὸς πρὸς αὐτὸν συμβουλεύων, ἐκταράξαι μᾶλλον καὶ βουλόμενος, τῷ μηνύειν τὴν μέλλουσαν αὐτῶν προδοσίαν ἔσεσθαι, καὶ τοὺς παραδιδόντας. ὁ δὲ εὐλαβηθεὶς, ἐξεχώρησε τῶν πραγμάτων τῷ Ιέρωνι. ὕστερον δὲ ἀπέλαβεν ἀπ' αὐτοῦ τὴν τυραννίδα· καὶ διελύθησαν τὴν ἔχθραν. ὡς καὶ κηδείαν τινὰ πρὸς ἀλλήλους ποιήσασθαι· ἀδελφὴν Θήρωνος, Ιέρωνος λαβόντος γυναῖκα. ὅθεν ὁ Πίνδαρος, παρεμφαίνεσθαι παραινεῖ τὰ π[...]γενημένα. [Αλλως. τῶν δὲ πεπραγμένων.] ζητεῖται, δι' ἣν αἰτίαν εὐξάμενος τῷ Θήρωνι τὰ κάλλιστα, κατάπαυσιν τῶν πραχθέντων δεινῶν αἰτεῖται τὸν Δία. καὶ ὁ μὲν Αρίσταρχός φησι, διὰ τὸ κεκμηκέναι τοὺς τοῦ Θήρωνος πατέρας κατὰ τὴν Ρόδον, τῶν πραγμάτων στασιαζομένων. καὶ οὕτω τὴν μετοικίαν εἰς τὴν Σικελίαν στειλαμένων. ὁ δὲ Δίδυμος, τὸ ἀκριβέστερον τῆς ἱστορίας ἐκτίθεται, μάρτυρα Τίμαιον τὸν συντάξαντα τὰ περὶ τῆς Σικελίας, προφερόμενος. ἡ δὲ ἱστορία, οὕτως ἔχει. Θήρων ὁ τῶν Ακραγαντίνων βασιλεὺς, Γέλωνι τῷ Ιέρωνος ἀδελφῷ ἐπικηδεύσας, γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην. ἀφ' ἧς καὶ τὸ Δημαρέτειον νόμισμα ἐν Σικελίᾳ. τοῦ δὲ Γέλωνος τελευτᾷν τὸν βίον μέλλοντος, Πολύζηλος ἀδελφὸς, τὴν στρατηγίαν καὶ τὴν γαμετὴν τοῦ ἀδελφοῦ διαδέχεσθαι, κατὰ τὰς Γέλωνος προστάξεις. ὥστε τὸ Θήρωνος εἰς Γέλωνα κῆδος, εἰς τὸν Πολύζηλον μετατεθεῖσθαι. λαμπρῷ δὲ καὶ περιβλέπτῳ τυγχάνοντι κατὰ τὴν Σικελίαν, Ιέρων φθονήσας ὁ ἀδελφὸς, καὶ πρόφασιν σκεψάμενος τὸν πρὸς Συβαρίτας πόλεμον, ἀπελαύνει τῆς πατρίδος. ἀλλὰ καὶ τοῦτον κατώρθωσε τὸν πόλεμον ὁ Πολύζηλος. ὁ δὲ μὴ φέρων, γυμνότερον αὐτοῦ κατηγορεῖν ἐπειρᾶτο νεωτερισμοῦ· καὶ οὕτω τὸν Θήρωνα ὑπεραγανακτήσαντα θυγατρὸς ἅμα καὶ γαμβροῦ, συρρῆξαι πρὸς Ιέρωνα πόλεμον παρὰ Γέλᾳ τῷ Σικελιωτικῷ ποταμῷ· οὗ Καλλίμαχος μέμνηται. οἱ δὲ, Γέλα ποταμῷ ἐπικείμενον ἄστυ, μή γε μὴν εἰς βλάβην, μὴ δὲ εἰς τέλος προχωρῆσαι τὸν πόλεμον. φασὶ γὰρ τότε Σιμωνίδην τὸν λυρικὸν περιτυχόντα, διαλῦσαι τοῖς βασιλεῦσι τὴν ἔχθραν. τούτοις οἰκείως τοῖς φθάσασιν εὔχεσθαι τῷ Διΐ φησὶ τὸν Πίνδαρον ὁ Δίδυμος, ὥστε λοιπὸν αὐτοῖς εἰρηναῖον εἶναι τὸν βίον. ἡ οὖν διάνοια, αὕτη. σὺ μὲν ὦ Ζεῦ παράσχοις πάντα τὰ κάλλιστα. καὶ πρὸς τῇ οὔσῃ εὐδαιμονίᾳ, πλείονα δοίης ἀγαθά. εἰ δέ τι ἐν τοῖς φθάσασι χρόνοις συμβέβηκεν ἄτοπον, εἴτε δικαίως, εἴτε μὴ, τοῦτο οὐχ' οἷόν τέ ἐστιν, οὔτε αὐτῷ τῷ χρόνῳ, ὥστε μὴ γεγενημένον ποιῆσαι. τὸ γὰρ γενόμενον, ἀγένητον ποιῆσαι, ἀδύνατον. ἴσως δὲ λήθη ἄν τις γένοιτο τῶν κακῶν, ἀγαθῆς μοίρας διαδεξαμένης.

[Οὐδ'

Αποίητον, ὐδ' ἂν	Infectum, ne quidem
Χρόνος ὁ πάντων πατὴρ	Tempus omnium parens
Δύναιτο θέμεν, ἔργων τέλος.	Possit efficere, operum finem.
Λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.	Oblivio autem sorte cum felici fieri-potest.
Εσλῶν γὰρ ὑπὸ χαρμάτων,	Bonis enim à gaudiis,
Πῆμα θνάσκει παλίγκοτον, δαμασθὲν,	Malum perit odiosum, superatum,
στροφὴ ϐ'. κώλων ιδ'.	ΜΕΤΑΡΗ.
Οταν Θεοῦ μοῖρα πέμπῃ	Quando Dei numen mittit
Ανεκὰς ὄλϐον ὑψηλόν.	Eminus beatitatem excelsam.
Επεται δὲ λόγος εὐθρόνοις	Congruit autem sermo in-bona-sede-locatis
Κάδμοιο κόραις, ἔπα-	Cadmi filiabus, pas-
θον αἳ μεγάλα. Πένθος	sæ-sunt quæ magna. Luctus
Δὲ πιτνεῖ βαρὺ	Vero concidit gravis
Κρεσσόνων πρὸς ἀγαθῶν.	Potioribus à bonis.
Ζώει μὲν ἐν Ολυμπίοις,	Vivit quidem inter cœlites,
Αποθανοῖσα βρόμῳ	Interempta fragore

PARAPHRASIS.

factum est, quamvis non possit, ne temporis quidem longinquitate fieri infectum: oblivio tamen cum rebus secundis conjuncta, efficiet ut nulla odia inter ipsos viguisse videantur. Nam quum adversæ fortunæ fœlicitas, mæstitiæ lætitia succedit, malorum molestia superata supprimitur. In primis quum divina providentia mutata vice, fœlicitatem ad fastigium evexerit. Quæ mea sententia Cadmi filiabus convenit: & quam sit vera comprobatur exemplo Inus, & Semeles, quæ post graves calamitates, absorpto & obruto infortunio à bonis præstantioribus, omnis noxæ expertes sibi videntur fuisse. Quarum altera, nimirum Semele, longis capillis decora, quanquam fulmine fuit extincta, vivit inter cœlestes Deos

NOTÆ.

31 Αποίητον] Gl. MS. ϐ. Ανιέργαστον. 34 Εὐδαίμονι conclud. vers. & Γένοιτ' ἂν est integrum membrum in MS. α. 35 Χαρμάτων] Gl MS ϐ. Τέρψεων. Εσθλῶν habent omnes fere codices impressi, & MSS. Pal. A. ϐ. γ. C. 71. & Pal. B. antequam ab alio θ fuerit insertum. Legendum potius ἐσλῶν, quia priorem corripi oportet. Etsi autem post ι, σλ est: nihilominus corripi potest, vel quia τὸ σ alias lenissima litera est: vel quia Pindarus peculiariter hanc literam exosus fuit, nec tam pro litera, quam pro sibilo saltem & aspiratione agnovit; odioque hujus literæ carmen ἄσιγμον composuisse dicitur. Eadem dictio primam & alibi corripit. 38 Ανεκὰς] Lex. Pindar. exponit ὑψόθεν ἢ ἄνωθεν. Docet etiam idem interdum valere ac ἀνέκαθεν i. e. παρὰ προσδοκίαν seu πόῤῥω τῆς ἐλπίδος. Pal. C. hab. ἀνεϐᾶσα, quod Schol. ejus expon. ὑψωθεῖσα. Sed metri ratio reclamat; licet forsan sensus facile admitteret; sc. quando supremum istud Divinum fatum, quod tribuit singulis sortem suam, homines pervadens, (quo sensu accipitur verbum ἀναϐαίνω apud Homer.) & altius evectum & ascendens, vulgus mortalium minus respicit; sed maximæ Fortunæ bona claris viris (quales fuere Theronis majores) largitur. Schmid. interpret. Quando fatalis periodus malorum, quæ in splendidis familiis haud raro grassantur, elapsa est. Per ὄλϐον non intell. Divitias, sed beatitatem istam, quæ post expiatam noxam sero tandem cœlitus contingit. 39 Εὐθρόνοις] Quæ meliore fortuna usæ, qu. in throno felicitatis collocatæ fuerunt.

[Οὐδ' ἂν χρόνος.] τῶν πεπραγμένων ἔργων τὸ τέλος ἀποίητον καὶ ἀγένητον θέμεν, οὐδ' ἂν ὁ πάντων πατὴρ χρόνος δύναιτο. ἀλλὰ ἀδύνατον. καὶ Ομηρος. Οὐ δέ τι μῆχαρ, Ρεχθέντος κακοῦ ἔστ' ἄκος εὑρεῖν. [Λάθα δὲ πότμῳ.] τῶν δὲ κακῶν γένοιτο ἂν λήθη, διαδεξαμένης εὐδαιμονίας. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὅτι οἱ περὶ Θήρωνα, τὸ ἀνέκαθεν δεδυστυχήκασιν. ἀλλ' εἰς λήθην αὐτῶν ἐξέπεσεν ἡ δυστυχία διὰ τὴν ἐπισυμβᾶσαν εὐτυχίαν. [Εσλῶν γὰρ ὑπὸ χαρμάτων] ὑπὸ γὰρ τῆς χαρᾶς τῶν γεγενημένων ἀγαθῶν, τὸ κακὸν ἀφανίζεται. καὶ τὸ παλίγκοτον καὶ ἄτοπον δαμασθὲν καὶ ἀναιρεθὲν ὑφ' ἡδονῆς θνήσκει, μάλιστα ὄλϐου ἐπιγινομένου ὑψηλοῦ ἐκ θείας μοίρας. [Πῆμα θνάσκει] τὸ δὲ τραχὺ πῆμα, νικᾶται ὑπὸ τῆς ἀγαθῆς χαρᾶς, καὶ ἀφανίζεται· ὁπόταν εἰς ὕψος τὴν εὐδαιμονίαν ἀναφέρῃ ἡ μοῖρα· καὶ ὅταν τὴν εὐδαιμονίαν εἰς ὕψος ἄγῃ. [Επεται δὲ λόγος.] οἰκειότατα πρὸς τὴν γνώμην ἑαυτοῦ, καὶ τὸ παράδειγμα ἐκφέρει. μᾶλλον δὲ λαμϐάνει ὅτι τοὺς προδυστυχήσαντας εὐδαιμονία διαδέχεται. ὥσπερ καὶ τὰς Κάδμου θυγατέρας. ὁ αὐτὸς γὰρ λόγος καὶ ἐπ' αὐτῶν ἁρμόζει. αὗται γὰρ τὸ μὲν πρότερον εἰς τοιαύτην δυστυχιῶν ὑπερϐολὴν ἐληλύθασιν, ὥστε καὶ βαρυκαῖς ὑποθέσεσι χορηγίαν παρασχεῖν. ἀλλ' ἐφάμιλλος καὶ εὐδαιμονία τὰς κόρας διεδέξατο. τούτων δὲ μέμνηται, ἐπεὶ ὁ Θήρων, εἰς Λάϊον ἀνάγει τὸ γένος. [Αλλως.] Επεται δὲ λόγος. τουτέστιν ὁ λόγος ἀκολουθεῖ καὶ ταῖς τοῦ Κάδμου κόραις. μεγάλων γὰρ κακῶν τυχοῦσαι, πάλιν ἐκ μεταϐολῆς μεγάλων ἀγαθῶν ἐκοινώνησαν. οὐ δὲ τῶν Κάδμου θυγατέρων τὸ παράδειγμα φέρει. ἄνωθεν γὰρ Θηϐαῖος. [Εὐθρόνοις.] τοῦτο πρὸς τὴν διαδεξαμένην εὐτυχίαν ἀκουστέον. [Επαθον αἳ μεγάλα.] Ινώ. Σεμέλη. Αὐτονόη. Αγαυή. ἐπεὶ καὶ αὗται παθοῦσαι ἐν ἀρχῇ, ὕστερον ἔτυχον τῆς ἐκ θεῶν τιμῆς. [Πιτνεῖ δέ.] καταπίπτει. τὸ δὲ βαρὺ πένθος, πίπτει καὶ ἀφανίζεται τῶν κρεισσόνων διαδεξαμένων ἀγαθῶν. [Ζώει μὲν ἐν Ολυμπίοις.] ηὐτύχησε πρὸς τὴν τῆς εὐτυχίας ὑπερϐολήν. ὅτι δοκήσει μὲν, τέθνηκεν ἡ Σεμέλη τῷ βρόμῳ τοῦ πυρὸς τοῦ κεραυνίου. ζῇ δὲ νῦν συνδιατρίϐουσα τοῖς οὐρανίοις θεοῖς.

[Φιλεῖ

Κεραυνοῦ, τανυέθει-
ρα Σεμέλα· φιλεῖ
Δέ μιν Παλλὰς αἰεί,
Καὶ Ζεὺς πατὴρ μάλα· φιλεῖ
Δὲ Παῖς ὁ κισσοφόρος.

Fulminis, passis crini-
bus Semele: amat
Autem eam Pallas semper,
Et Jupiter pater valde: amat-
que Puer hederiger.

ἀντιστροφὴ β'. κώλων ιδ'.

Μεταφ.

Λέγοντι δ' ἐν καὶ θαλάσσα,
Μετὰ κόραισι Νηρῆος
Αλίαις, βίοτον ἄφθιτον
Ινοῖ τετάχθαι, τὸν ὅ-
λον ἀμφὶ χρόνον. Ητοι
Βροτῶν κέκριται
Πεῖρας οὔ τι θανάτου,
Οὐδ' ἀσύχιμον ἁμέραν
Οπότε παῖδ' Αλίου
Ατειρεῖ σὺν ἀγαθῷ
Τελευτάσομεν.

Ajunt autem & in mari,
Cum filiabus Nerei
Marinis, vitam immortalem
Inoni constitutam-esse, o-
mne per tempus. Sane
Mortalium cognitus-est
Terminus nullus mortis,
Neque quietis-datorem diem
Quando filium Solis
Incorrupto cum bono
Conficiemus.

PARAPHRASIS.

eamque Pallas amat semper, amat etiam valde Jupiter Palladis pater: amat & Bacchus ejus filius, qui sacram sibi hederam gestat. Alteri, nimirum Inoni, in Nereidum choro, ut ajunt, vitam immortalem vivere concessum est. Quæ postquam cum Melicerta aufugisset, cumque eo se in mare præcipitem dedisset, Neptuno Veneris precibus exorato, in Leucotheam marinam Deam est conversa. Hinc humanæ vitæ vanitatem collige, & variabilis fortunæ instabilitatem. Ac sane ut neque mortis nostræ tempus compertum habemus: sic neque novimus an per totum vitæ curriculum, non interrupto bono fruentes, ad tranquillum usque diem, mortem nimirum, exigemus.

NOTÆ.

46 Τανυέθειρα] Gl. MS. γ. Μακρόθριξ. Ita vocatur Semele, quod passis ac longioribus quam cæteræ Deæ crinibus pingeretur. 48 Παλλὰς αἰεὶ] Gl. MS. γ hab. διὰ τὰ περὶ αὐτῆς εἰρημένα. Post hunc versum annotat Schol. appositum fuisse hoc κῶλον, Φιλέοντι δὲ μοῖσαι, quod etiam Ald. & MSS. Pal. A. B. C. & Bodl. & ζ. γ. nisi quod hæc duo leg. μοῖσαι· vel quia à Poëtis admodum fuit decantata. vel propter Heliconem montem Bæotiæ Thebis vicinum; vel quia facilis est transitus à Pallade ad Musas, & Deæ illius imperium Musas includit. Verum Demetrius Triclinius & Schmid. resecuere membrum istud, ut quod faciat Strophen hanc secundam uno colo reliquis abundantiorem. Vide not. ad vers. ultimum hujus εἴδους. 50 Κισσοφόρος] Hedera attribuitur Baccho, quia ebrietati in capite gesta resistere dicitur. 54 MS. γ. conclud. vers. cum τὸν, transfer. ὅ-ad seq. 56 Βροτῶν κέκριται] Βροτῶν γε leg. MSS. ζ. γ. Bodl. & Steph. & Benedict. 60 Ατειρεῖ] Gl. MS. α. Αδαμάστῳ. Schol. leg. ἀτηρεῖ. 61 Τελευτάσομεν] Gl. MS. α. τεθνήξομεν. γ. Διαβιβάσομεν.

[Φιλεῖ δέ μιν Παλλάς.] τοῦτο οἱ μὲν, ἁπλῶς διὰ τὴν ἐν θεοῖς διατριβὴν, λέγουσιν· οἱ δὲ, ὅτι ὡς ἐπιχωρεία θεός. ἄγαλμα γὰρ αὐτῆς ὁ Κάδμος ἱδρύσατο ἐν Ογκαις, κώμη τῆς Βοιωτίας. Ογκαία οὖν ἡ Αθηνᾶ τιμᾶται. [Φιλέοντι δὲ μοῖσαι.] οἱ μὲν, διὰ τὰ περὶ αὐτῆς τοῖς ποιηταῖς εἰρημένα. οἱ δὲ, διὰ τὸν Ελικῶνα, ὅς ἐστι τῆς Βοιωτίας. αὗται οὖν ἐπιχώρειοι, καὶ ἔστι περιττὸν τὸ κῶλον πρὸς τὴν ἀντίστροφον. ὅθεν καὶ ἡμεῖς οὐ γεγράφαμεν ἐν τῷ κειμένῳ. πᾶσαι γάρ εἰσιν, ιδ'. ὁμοῦ κώλων αὕτη δὲ μόνη, δεκαπέντε εὑρίσκεται ἔχουσα. [Λέγοντι δ' ἐν καὶ θαλάσσᾳ] φασὶ δὲ καὶ τὴν Ινὼ Κάδμου θυγατέρα, μετὰ τῶν θυγατέρων τοῦ Νηρέως, ἐν τῇ θαλάσσῃ διὰ παντὸς τοῦ χρόνου ἄφθαρτον οὖσαν, διάγειν καὶ τετάχθαι. αὕτη δὲ ἡ Λευκοθέα, Νηρηῒς γενομένη, οὕτω γὰρ, ἤγουν Λευκοθέα καλεῖται. ἡ γὰρ Ινὼ, μεταξὺ Βοιωτίας καὶ Αττικῆς φυγοῦσα ἦλθεν εἰς τὸν Ισθμόν. καὶ ἐκεῖθεν ἥλατο εἰς τὴν θάλασσαν. μαρτυρεῖ δὲ καὶ Ομηρος. Τὸν δ' εἶδεν Κάδμου θυγάτηρ, καλλίσφυρος Ινὼ, Λευκοθέη. ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα. Νῦν δ' ἁλὸς πελάγεσσι θεῶν ἐξέμμορε τιμῆς. [Ητοι βροτῶν.] ἀντὶ τοῦ δή. ἵνα ᾖ ἡ ἀρχὴ τοῦ λόγου οὕτω. τῶν δὴ βροτῶν οὐκ ἔστιν οὐδὲν κεκειμένον πέρας θανάτου. τοῖς ἀνθρώποις γὰρ ἄδηλον πότε συμβήσεται ὁ θάνατος. [Αλλως.] τοῖς ἀνθρώποις τὸ τέλος τοῦ θανάτου, κατ' οὐδὲν σαφές ἐστιν. ἢ οὕτω. τοῖς ἀνθρώποις τὸ τέλος τοῦ βίου, κατ' οὐδὲν σαφές ἐστιν. οὐ δὲ ποδαπὴν τὴν ἐπιοῦσαν ἕξουσιν ἡμέραν, ἴσασι. [Πέρας οὔ τι κέκειται.] οὐδὲ τοῦτο διακεκειμένον ἐστὶν οὐδὲ ἀναμφισβητήσιμον καὶ ἑστηκὸς, ποίαν ἡμέραν εἰρηναίαν καὶ ἀγαθὴν διάξομεν. παῖδα δὲ ἡλίου, τὴν ἡμέραν. ἐπεὶ ὁ ἥλιος τὴν ἡμέραν γεννᾷ ἀνατέλλων. [Οὐδ' ἀσύχιμον.] ἥσυχον, ἀπράγμονα, εὐτυχῆ. οὐδέποτε ἐν εὐτυχίᾳ ἐσόμεθα ἀθορύβως καὶ ἀταράχως. ἐν τῷ τοῦ ζῆν χρόνῳ, οὐδέ ποτε διατελέσομεν ἡμέραν ἥσυχον. ἡμέρα δὲ ἡσύχιος, ἡ τοῦ θανάτου. ἐπεὶ ἐν αὐτῇ θανόντες, ἡσυχάζομεν. [Ατειρεῖ σὺν ἀγαθῷ] ἀβλαβεῖ. ἀκαταπονήτῳ. ἀνεμποδίστῳ. ὁπότε σὺν τῷ ἀβλαβεῖ ἀγαθῷ τελευτήσομεν.

D [Ροαὶ

Ῥοαὶ δ' ἄλλοτ' ἄλλαι	Fluxus autem alias alii
Εὐθυμιᾶν τε μέτα καὶ	Lætitiarumque &
Πόνων, ἐς ἄνδρας ἔβαν.	Laborum, ad viros transierunt.
ἐπῳδὸς β'. κώλων η'.	Μ ε τ α φ ρ.
Οὕτω δὲ Μοῖρ', ἅ,τε πατρώϊον	Sic enim fortuna, quæ paternam
Τῶν δ' ἔχει τὸν εὔφρονα πότμον	Horum habet jucundam sortem
Θεόρτῳ σὺν ὄλβῳ,	Divinitus-profecta cum felicitate,
Ἐπί τι καὶ πῆμ' ἄγει	Aliquam etiam cladem inducit
Παλιντράπελον ἄλλῳ χρόνῳ,	In-contrarium-versam alio tempore,
Ἐξ οὗ περ ἔκτεινε Λάϊον μόριμος υἱὸς	Ex quo interfecit Laium fatalis filius
Συναντόμενος, ἐν δὲ Πυ-	Obviam-factus, inque Py-
θῶνι χρησθὲν παλαίφατον τέλεσεν.	thone oraculum antiquum perfecit.
στροφὴ γ'. κώλων ιδ'.	Μ ε τ α φ ρ.
Ἰδοῖσα δ' ὀξεῖ' Ἐριννὺς,	Intuita autem acris Erinnys,
Πέφνεν ἑοῖ σὺν ἀλλαλο-	Interfecit ei per mutuam-
φονίᾳ γένος Ἀρήϊον.	cædem sobolem bellicosam.

P a r a p h r a s i s.

Siquidem alias aliæ mutationes rerum contingunt, ut modo bonorum voluptate fruantur, modo malorum molestia crucientur homines. Eam vicissitudinem, in recta tui generis linea invenies. Nam fatum quod lætam sortem suis atavis, cum opulentia divinitus immissa, impertivit, alio tempore fortunam plane contrariam cum damno excitavit. Idque ex quo Oedipus fatalis Laii filius, patrem incognitum in via obvium interfecit, & responsum in Pythone, de suscipienda prole patri datum complevit, & ad exitum perduxit. Quod scelus acribus oculis intuita Erinnys, Eteoclem & Polynicem parricidæ Oedipi filios, de regno alternatim tenendo diffidentes, & litem singulari certamine dirimere intendentes, bellicosos viros cæde mutua peremit.

N O T Æ.

63 Εὐθυμιᾶν leg. MS. Bodl. 64 Ἐς ἄνδρας] Not. Aret. & Schmid. Pindarum à muliebri sexu Cadmeidum transire ad virilem Cadmi posterorum, in quo ostendit etiam graves calamitates reperiri. 65 Οὕτω] Id est, pari ratione, ut de fœminis intelleximus. Ἅ,τε πατρώϊον] Habens hanc paternam i. e. à patre Cadmo usque ad se derivatam sortem. 66 Ἔχει] Gl. MS. γ. φυλάσσει. Τὸν δ' leg. MSS. α. β. γ. 67 Θεόρτῳ] Gl. MS. γ. θεοκινήτῳ. MS. γ. ex his duobus 67, 68 unum κῶλον efficit. Ad verbum transfertur divinitus excitata; ab ὄρω concito. Θεόρτῳ δὲ leg. Schol. 69 Ἄλλῳ χρόνῳ] Ut personæ distinguantur tempore. 70 Μόριμος υἱὸς] Periphrasi hac OEdipum notante utitur, ne nomen ejus exprimere cogatur (ne exprobrare videatur) & factum quodammodo in fatum refert, ut & ipsum non nihil mitiget. 71 Πυθῶνι] Η Πυθὼν, ut & Πυθώ, olim fuit nomen urbis illius Phocidis, quæ postea Delphorum nomen accepit à Delpho Apollinis filio, teste Pausan. lib. 10. Hoc loco accipitur pro Templo Delphico vel Pythico. 73 Ἰδοῖσα leg. Steph. Ὀξεῖ'] Ad verbum, acuta, i. e. severa, ultrix scelerum: Quo sensu Sophocl. OEdip. Col. Erinnyas δεινώπας vocat. Orpheus: δειναὶ γὰρ κατὰ γαῖαν Ἐριννύες εἰσὶ βεβηκυῖαι. Lonicer. qui redd. torvum videns, forte secutus fuit lect. Ἰδοῖσα ὀξὺ, quam Pal. B. habet. 74 Πέφνεν] Gl. MSS. α. γ. Ἐφόνευσεν β. τεθνάναι ἐποίησεν. Ἔπεφνε leg. MS. C. 71. Οἱ leg. MS γ. Σὺν ἀλλαλοφονίᾳ intell. eo modo, quo Olymp. α΄. σὺν ἅρματι.

[Ῥοαὶ δ' ἄλλοτ' ἄλλαι.] ῥεύματα δὲ ἀλλοῖα καὶ ἀλλεῖα, μετ' εὐθυμιῶν καὶ μετὰ μόχθων, εἰς τοὺς ἀνθρώπους ἀνέρχεται. θέλει δὲ εἰπεῖν ὅτι, οὐχ' οἷόν τέ ἐστιν ἀνθρώπους ὄντας, ἀεὶ ἐν εὐθυμίᾳ διάγειν, ἀλλὰ πάντως, καὶ ἀτόποις ἐντυγχάνειν, ἀνάγκη. [Ἄλλως.] ῥεύματα, μεταβολαὶ, αἱ τῆς τύχης φοραὶ, ἄλλοτε εἰς ἄλλους ἀνθρώπους μεταβαίνουσιν. ἢ εὐθυμίαν, ἢ πόνον παρέχουσαι. [Οὕτω δὲ μοῖρ', ἅ,τε.] ἕως τοῦ ἄλλῳ χρόνῳ. ἐνταῦθα ἡ ἀνταπόδοσις τῆς διανοίας καὶ ἧς ἐξέθετο γνώμης. οὕτω δὴ, καὶ κατὰ τὸν αὐτὸν τρόπον τὰ ῥεύματα τῆς τύχης, ἄλλοτε ἄλλως φέρεται ἐπί τε καλῶν καὶ κακῶν, καὶ οὐκ ἔστιν ἐπίμονα, ὥς τε δείκνυσι ἐκ τῶν κατὰ Θήρωνα γένους. τοῦτο μὲν γὰρ, εὔφρονα καὶ καλλίστην γένεσιν ὑπέδειξεν ἀπὸ προγόνων. ἐκ τούτου, τοὺς θεοὺς ἀνωρθωκέναι αὐτοῦ τὴν εὐδαιμονίαν. ἐπάγει δέ τι καὶ πῆμα ἐναντιώτατον τῷ ἀγαθῷ ἐστιν ὅτε. ἀφ' οὗ πήματος ἔστι θεάσασθαι κακῶς διατεθὲν καὶ τὸ Λαΐου γένος. ὃν δὴ συμβέβηκεν, ὑπὸ τοῦ ἰδίου παιδὸς φονευθῆναι Οἰδίποδος· ἐν ὁδῷ περιτυχόντα κατὰ τὴν Φωκίδα. καὶ ἐπὶ πέρας ἀγαγεῖν, τὸ, πρότερον αὐτῷ χρησμοδοτηθέν. Μὴ σπεῖραι παίδων ἄλοκα δαιμόνων βίᾳ. ὁ δὲ Θήρων τὴν συγγένειαν ἔχει, πρὸς τὸ γένος τὸ τοῦ Οἰδίποδος, καὶ διὰ τοῦτο οἰκείως τοῖς περὶ αὐτὸν ἐχρήσατο λόγοις. πῶς δὲ συγγενὴς ἐστιν, εἰρημένον ἑξῆς. ἑρμηνεύεται δὲ καὶ οὕτως. οὕτω δὴ ἅτε πατρῷον, ὃν τρόπον κατὰ τῶν προγόνων τῶν περὶ τὸν Θήρωνα κατέχει τὸν εὔφρονα πότμον ἡ τύχη, καθάπερ τὸ πατρῷον κατέχει. τουτέστι τῶν Καδμίδων. [Ἐπί τι καὶ πῆμ' ἄγει] ἐπάγει δὲ ἡ μοῖρα καὶ κακόν τι ἐναντίον ἑτέρῳ χρόνῳ. ἵν' ᾖ, ἔστιν ὅτε καὶ κακῶν πεῖραν ἡ μοῖρα δίδωσιν. εἶτ' ἐκ παραδείγματος. τοιγαροῦν καὶ τὸ γένος Λαΐου τάδε ἔπαθεν. [Θεόρτῳ δέ.] ὑπὸ θεοῦ ὀρθουμένῳ, ἀσφαλεῖ. [Παλιντράπελον δὲ,] ἀντεστραμμένον. ἡ δὲ ὅλη διάνοια, οὕτως ἔχει. ἡ ἀπὸ τοῦ γένους μοῖρα τῶν περὶ τὸν Θήρωνα εὔφρονα πότμον καὶ ὄλβον ὃν ὁ θεὸς ὁρίνει καὶ δίδωσιν, ἐπάγει τι καὶ ἀντεστραμμένον πῆμα ἐν ἄλλῳ χρόνῳ. [Μόριμος υἱός.] ἤτοι ὁ κατὰ μοῖραν αὐτῷ γενόμενος. ἢ ὁ μόρον ἐπενεγκών. ὁ δὲ χρησμὸς ὁ δοθεὶς Λαΐῳ, δημώδης. [Ἐν δὲ Πυθῶνι χρησθέν.] τοῦτο δὲ χρησθὲν πάλαι φησί. τὸ δὲ μαντεῖον τὸ δοθὲν τῷ Λαΐῳ κατὰ τὴν Πυθῶνα παρ' Ἀπόλλωνος· τοῦτον πατροκτονήσας, εἰς πέρας ἤγαγεν ὁ Οἰδίπους. [Ἰδοῦσα δ' ὀξεῖ' Ἐριννύς.] ἤτοι ὀξέως βλέπουσα. ἢ ὀξέως τιμωρουμένη, ἐσύγησεν, ὥστε ἀλληλοφονίαν γενέσθαι τῶν γένους αὐτοῦ. Ἐτεοκλῆς γὰρ καὶ Πολυνείκης, ἀλλήλους ἀνεῖλον. τοῦτο δὲ ὀξέως θεασαμένη ἡ Ἐριννὺς, τὸ γεγονὸς, ὑπὸ Οἰδίποδος, ἀνεῖλεν αὐτοῦ τὸ γένος, καὶ δι' ἀλλήλων χωρῆσαι ἐποίησε. λέγει δὲ Ἐτεοκλέα καὶ Πολυνείκην.

Λείφθη δὲ Θέρσανδρος ἐ-
ριπόντι Πολυνείκει,
Νέοις ἐν ἀέθλοις,
Ἐν μάχαις τε πολέμου
Τιμώμενος, Ἀδραστιδᾶν
Θάλος ἀρωγὸν δόμοις.
Ὅθεν σπέρματος ἔχον-
τα ῥίζαν, πρέπει
Τὸν Αἰνησιδάμου
Ἐγκωμίων τε μελέων
Λυρᾶν τε τυγχανέμεν.

ἀντιστροφὴ γ'. κώλων ιδ'.

Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς
Γέρας ἔδεκτο. Πυθῶνι
Δ' ὁμόκλαρον ἐς ἀδελφεὸν,
Ἰσθμοῖ τε, κοιναὶ χάρι-
τες ἄνθεα τεθρίππων

Relictus-est autem Therſander in-
terempto Polynici,
Renovatis in certaminibus,
In pugniſque belli *Epigonorum*
Honoratus, Adraſtidum
Germen auxiliare domui.
Unde ſeminis haben-
tem radicem, decet
Æneſidami *filium*
Laudumque carmina
Lyraſque conſequi.

METAPH.

Olympiæ etenim ipſe
Præmium accepit. Delphis
Vero conſortem in fratrem,
Inque-Iſthmo, communes grati-
æ flores quadrigarum

PARAPHRASIS.

occiſo autem Polynici ſuperſtes fuit Therſander, ex Argia Adraſti filia natus, qui in juvenum tutis certaminibus, & periculoſis belli conflictibus honorem eſt conſequutus. Et Adraſti avi materni familiæ fuit vindex, quando cum Diomede facta in Thebanos expeditione, uterque parentibus illatam injuriam ultus eſt. Ex cujus ſtirpe originem ducentem Theronem, Aeneſidami filium, decet conwenitque à me poeta carmen encomiaſticum, ac lyræ accommodandum obtinere. Nam in Olympia victoriam quadrigis eſt adeptus & præmium inde reportavit. Præterea in Pythiis & Iſthmiis, communi ſtudio educati equi ab ipſo ejuſdemque hæreditatis conſorte fratre, communem etiam utrique, victoriæ quadrijugo curru,

NOTÆ.

76 Λείφθη δὲ] Id eſt, tanquam vindex paternæ injuriæ. Pal.B. omitt. δὲ. Ἐριπόντι] Gl. MS. γ. Ἀποθανόντι. Ἐρίπω ſignif. activ. everto: tamen in Aor. 2. neutraliter invenitur pro cecidi. 78 Νέοισ' ἀέθλοισιν leg. Steph. Νέοις ἀέθλοις MS. C. 71. Bello renovato ab Ἐπιγόνοις, eo nimirum, quod olim inter patres geſtum fuerat. 80 Ἀδραστιδᾶν leg. Steph. & Bened & Schol. Ἀδραστιδᾶν Pal A Ἀδραστιδᾶν C.71. Ἀδραστιδᾶν MS. Bodl. 81 Θάλος] Gl. MS. γ. τὸ γέννημα, ὁ κλάδος. Ἀρωγὸς leg. MSS. β γ. 82 Ὅθι leg MS. Bodl. Ἔχοντι leg. Steph & Schol. MSS. Bodl. C. 71. β. γ. ſc. Εὐώνυμοι πατέρες Θήρωνος. Nos ſecuti Schmid. leg. ἔχοντα refer. ad τὸν Αἰνησιδάμου. 90 MSS. β. γ. leg. χάριτες in eodem membro. 91 Ἄνθεα] Gl. MS. β. τὰς ἀρετάς.

[Λείφθη δὲ Θέρσανδρος.] τὸ ἑξῆς. ἐλείφθη δὲ τοῦ Πολυνείκους πεσόντος, Θέρσανδρος, Ἀνδρότιμος, Ἄλαστος. ὁ δὲ Θέρσανδρος ἐν Μυσίᾳ τρωθεὶς ὑπὸ Τηλέφου, τελευτᾷ. [Ἄλλως.] ἐλείφθη δὲ λοιπὸν ὁ υἱὸς, Πολυνείκους ἀναιρεθέντος, Θέρσανδρος. ὅς τις αὐτῷ ἐξ Ἀργείας, τῆς Ἀδράστου θυγατρὸς, γέγονεν. [Νέοις ἀέθλοις.] ἐν τοῖς ἀκινδύνοις ἀγωνίσμασι, καὶ πρέπουσι νέοις. λέγει δὲ τοῖς διὰ ἀγῶνος, ἐν μάχαις τε, καὶ ἐν πολέμοις, ὁ τίμιος καὶ γενναῖος τυγχάνων. [Ἀδραστεΐδαν] ἐνταῦθα ἀντὶ ἑνικοῦ, πληθυντικὸν ἐξήνεγκεν. ἔστι γὰρ Ἀδραστεΐδος. ἐκ μιᾶς γὰρ τῆς Ἀδράστου θυγατρὸς Ἀργείας, γέγονε. τὸ δὲ Ἀδραστεΐδαν, οὐ περισπαστέον. ἔστι γὰρ θηλυκόν. καὶ ἔχει τὴν εὐθεῖαν Ἀδραστεῒς, Ἀδραστεΐδων. τὸ γὰρ ἀρσενικὸν περισπᾶται. οἱ Ἀδραστίδαι τῶν Ἀδραστιδῶν. [Θάλος ἀρωγὸν δόμοις.] τὸ βλάστημα τοῦ Ἀδράστου γένους. ἀπὸ γὰρ Θερσάνδρου καὶ Κάδμου οἱ πρόγονοι τοῦ Θήρωνος. ἐπεὶ Θέρσανδρος καὶ Διομήδης οἱ ἐπίγονοι ἐπιστρατεύσαντες ταῖς Θήβαις, τῶν προαναιρεθέντων πατέρων ἐξεδίκησαν τὸν φόνον. [Ὅθεν σπέρματος ἔχοντι.] ἀφ' οὗ γένους τοῦ Θερσάνδρου, ἔχουσι τὴν ῥίζαν οἱ περὶ Θήρωνα. τὸ δὲ γένος Λαΐου καὶ Οἰδίποδος, ὁ Θήρων οὕτω κατάγει. Λαΐου, Οἰδίπους· τούτου, Πολυνείκης· οὗ, Θέρσανδρος· οὗ, Τισαμενὸς· οὗ, Αὐτεσίων· οὗ, Θήρας· οὗ, Σάμος. οὗτος ἔσχεν υἱοὺς δύο, Τηλέμαχον καὶ Κλύτιον. ὧν ὁ μὲν Κλύτιος, ἔμεινεν ἐν Θήρᾳ τῇ νήσῳ· ὁ δὲ Τηλέμαχος κατῴκει ἐν χώρᾳ, ὅθεν συλλέξας δύναμιν, ἔρχεται εἰς Σικελίαν· καὶ κρατεῖ τῶν τόπων· ἐξ οὗ, Χαλκιοπεύς· οὗ, Αἰνησίδαμος· οὗ, Θήρων. [Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς] ἀντὶ τοῦ ἐν Ὀλυμπίᾳ ἐνίκησεν. ἔσχε δὲ καὶ κοινὰς πρὸς τὸν ἀδελφὸν Ξενοκράτην νίκας, ἐν Ἰσθμῷ καὶ Πυθοῖ. ἐξ ἑνὸς γὰρ οἴκου πρὸς ἱπποτροφίαν διδόντες, καὶ ἀπὸ κοινῶν χρημάτων ἀμφότεροι καὶ τὰς νίκας ἐνεγράφοντο. καὶ οἱ μὲν, βούλονται ἀκούειν οὕτως. οἱ κοινοὶ αὐτῶν ἵπποι νικήσαντες, ἀμφοτέροις παρεσχήκασι κοινὴν καὶ τὴν δόξαν. οἱ δὲ, ὅτι ἐν τοῖς κοινοῖς ἵπποις ἀμφότεροι, ἕκαστος ἰδίᾳ ἐν αὐτοῖς τοῖς ἵπποις, ἐνίκησε τέθριππον, ὃ καὶ μᾶλλον. [Ὁμόκλαρον ἐς ἀδελφεὸν,] ἤτοι διὰ τὴν συγγένειαν φησὶν, ἢ ὡς ὁμοῦ ἱπποτροφούντων αὐτῶν καὶ ἀγωνιζομένων. καὶ ὁμοῦ νικησάντων Ἴσθμια τεθρίππῳ. φησὶν οὖν ὅτι ἐν Ἰσθμῷ αἱ χάριτες τῆς νίκης τῆς ἐν τῷ τεθρίππῳ κοινὰ ἦγαγον αὐτοῖς τὰ ἄνθη τῶν στεφάνων. ἀπὸ σελίνων γὰρ τὸ στέμμα. ἢ οὕτως. αἱ δὲ χάριτες αἱ ἐν Πυθῶνι καὶ Ἰσθμῷ, τὰ ἄνθη τῶν τεθρίππων, εἰς αὐτὸν καὶ τὸν ἀδελφὸν ἤνεγκαν.

Δυωδεκαδρόμων	Duodecim-cursus-conficientium
Ἄγαγον. Τὸ δὲ τυχεῖν,	Deduxerunt. Assequi autem *victoriam*,
Πειρώμενον ἀγωνίας,	Experientem certamen,
Παραλύει δυσφρόνων.	Liberat à tristibus *curis*.
Ὁ μὰν πλοῦτος ἀρεταῖς	Divitiæ sane virtutibus
Δεδαιδαλμένος,	Exornatæ,
Φέρει τῶν τε καὶ τῶν	Afferunt horumque & illorum
Καιρὸν, βαθεῖαν ὑπέχων	Opportunitatem, profundam sustinentes
Μέριμναν ἀγροτέραν,	Curam indagatricem *rerum honestarum*,
ἐπῳδὸς γ'. κώλων ι'.	METAPH.
Ἀστὴρ ἀείζηλος, ἀλαθινὸν	Stella *existentes* insignis, verum
Ἀνδρὶ φέγγος. Εἰ δέ μιν ἔχει	Homini lumen. Si autem eas habet
Τὶς, οἶδεν τὸ μέλλον,	Aliquis, novit *is* futurum,
Ὅτι θανόντων μὲν ἐν-	Quod mortuorum quidem il-
θάδ' αὐτίκ' ἀπάλαμνοι φρένες	lic statim intractabiles mentes
Ποινὰς ἔτισαν. Τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ	Pœnas luant. Quæ vero in hoc Jovis imperio

PARAPHRASIS.

duodecies ad metam circumacto partæ, gloriam compararunt. Res autem est jucunda, & ad dispellendam molestarum curarum nubem valida, suscepti certaminis successus. Nec parum accedit opis ex opibus, viris virtute præditis: quarum subsidio eorum generosus animus ad res præclaras capessendas excitatur magis, unde occasionem & opportunitatem variarum rerum oblatam amplectitur (cujus luculentum præbes exemplum, quum tu ad virtutem natus, & opibus instructus, equos aluisti, Olympia decertasti, quæ sequuta est victoria, comitata corona, perennis honor additus.) Sic comite virtute opulentia dat res præclaras indagare. Ac tum homini verum lumen affert, adeo ut quemadmodum stella præfulgida noctu micat inter sydera: sic ille inter divites cæteros sit maxime conspicuus. Hujusmodi autem divitiarum possessor novit quid post vitæ hujus curriculum sit futurum: nimirum impias animas, quæ se inemendabiles in hac vita præbuerunt, scelerum pœnas post mortem expendere: & apud inferos judicem esse,

NOTÆ.

94 Πειρώμενον] Gl. MS. γ. Δοκιμάζοντα. 95 Δυσφρόνων] Pal. C. pro textu arripuit Schol. Δυσφροσυνᾶν. MSS. β. γ. leg. Δυσφρονᾶν, & ad marg. hab. δυσφρόνων. 98 Φέρει] Gl. MS. α. Προτείνει. Τῶν τε καὶ τῶν] Gl MS γ. τῶν φανερῶν καὶ ἀφανῶν πραγμάτων. 99 Βαθεῖαν] Gl. MS. γ. Φροντίδα. 100 Μέριμναν] Gl. MS. α. Σκέψιν. γ. Γνῶσιν. Ἀγροτέραν] Lonicer. interpret. severam, qu. ἀγριωτέραν. Philipp. etiam asperam. 101 Ἀείζηλος] Gl. MS. γ. Φανερός. Ita etiam interpret. Aret. qu. ἀείδηλος ζ pro δ posito. Ita etiam MSS Bodl. & α. β. γ. δηλονότι ἀστὴρ ὢν διάδηλος, ἀληθινὸν φῶς ἀνθρώπῳ. Ἀείζηλος à ζῆλος æmulatio, signif. valde æmulandus, & excellens. Ἀλαθινὸν] Aliqui leg. Ἐτήτυμον, ut Rom. Edit. notat. quod & Edit. Brubacch. Ald. & Pal. C. ἐτυμώτατον. 103 Οἶδε leg. Steph. 104 Ὅτι θανόντων μὲν] Hæc verba usque ad finem hujus μέλους non tam παλιγγενεσίαν Pythagoricam sapiunt, quam animæ humanæ immortalitatem & pœnas post hanc vitam notant. q. d. si quis habet divitias, easque virtutibus exornat, ille plus aliis pietati studet: quando quidem ex scriptis eruditorum quasi in futurum prospicit, & novit impiorum scelera, dum adhuc vivunt, condemnari; ubi vero mortui sunt, apud inferos, graviter puniri. 105 Ἀπάλαμνοι] Gl. MS. γ. Ἀπαίδευτοι. Intellige quæ ingenia mortuorum hic non fuerunt viribus rationis subacta, nec sanabilia. Hæc vox signif. apud Hesiodum Ἐργ. ά. ignavum i. e. παλάμη vel manu carentem.

[Τὸ δὲ τυχεῖν πειρώμενον.] τὸ δὲ ἐπιτυχεῖν καὶ νικῆσαι ἀποπειρώμενον ἀγῶνος, τῶν δυσκόλων φροντίδων τῶν ἐπὶ τῇ νίκῃ, ἀπολύει [Ὁ μὰν πλοῦτος.] ὁ νοῦς· ὁ δὲ πλοῦτος οὐ μόνος ὢν κατ' ἑαυτὸν, ἀλλὰ καὶ ἀρετῇ κεκοσμημένος, χωρείως τῶν τε ἑαυτοῦ ἀγαθῶν καὶ τῆς ἀρετῆς ἀπολαύει, συνετὴν ἔχων τὴν φροντίδα πρὸς τὸ ἀγορεύειν τὰ καλά. τούτων γὰρ τὸ ἕτερον, καθ' ἑαυτὸ οὐχ ἡδύ. ὡς καὶ Καλλίμαχος. Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν, Οὔτ' ἀρετὴ, ἀφένοιο. δίδου δ' ἀρετήν τε καὶ ὄλβον. καὶ ἡ Σαπφὼ, Πλοῦτος ἄνευ ἀρετῆς, οὐκ ἀσινὴς πάροικος. ἡ δὲ ἐξ ἀμφοτέρων κρᾶσις, εὐδαιμονίας ἔχει τὸ ἄκρον. τοῦτο προσεῖναι τῷ Θήρωνι μαρτυρεῖ. [Ὅτι θανόντων μέν·] ἕως ἐχθρᾷ λόγον φράσαις ἀνάγκᾳ, ἐγκρίνει τὴν παλιγγενεσίαν. λέγει οὖν. εἴ τις οἶδε τὸ μέλλον, ὅτι οἱ μὲν ἐν τῷ ζῆν ἁμαρτάνοντες, ἐν ᾅδου κολάζονται, οἱ δὲ ἐν ᾅδου, ἐν τῷ ἡμετέρῳ βίῳ ἐν τῇ τοῦ Διὸς ἀρχῇ. ταύτην γὰρ εἶπε τὴν ὑποκείμενον τῷ οὐρανῷ τόπον. καὶ ἐάν τις ἐν τοῖς τρισὶν ἀναβιώσεσιν ἃς ὑφίσταται ἀναμάρτητος εἰς τὰς τρεῖς ἑκατέρωθεν μείνῃ, τοῦτόν φησιν εἰς τὰς τῶν μακάρων νήσους προπέμπεσθαι. τὸ δὲ περὶ τῆς παλιγγενεσίας, ἀρχαιότερόν ἐστι. παραδίδοται γὰρ ἔτι ἀνέκαθεν. ὡς Ὅμηρός φησιν. Νῦν μὲν, μήτ' εἴης βουγάϊε μήτε γένοιο. προῶτος δ' † ἔδωκε τούτῳ τῷ δόγματι χρῆναι Πυθαγόρας. τὸ δὲ ἀπάλαμνοι φρένες, συναπτέον τὸ ἐνθάδε. ὅτι τῶν ἐνταῦθα ἀδίκων, ἀπάλαμνοι φρένες αὐτίκα καὶ εὐθέως τελευτήσαντες, τιμωρείας καὶ ποινὰς ἐκεῖ δεδώκασιν. [Ἀστὴρ ἀείζηλος.] ὁ μετ' ἀρετῆς πλοῦτος, ὡς ἀστήρ ἐστιν ἔκδηλος ἀληθινὸν φῶς τοῖς ἀνθρώποις. [Φέρει τῶν τε, καὶ τῶν.] τῶν αὐτοῦ καλῶν, καὶ τῆς ἀρετῆς. ἢ τῶν ἐπὶ τῇ ἀθλήσει καμάτων ἐκείνων φησὶ, καὶ τούτων τῶν καλῶν. [Εἰ δέ μιν ἔχει] εἰ δέ τις τοῦτον ἔχει τὸν πλοῦτον, ὁρᾷ καὶ πρὸς τὸ μέλλον, ὅτι τῶν ἀδίκων τελευτησάντων, τιμωρεία καὶ κρίσις παρὰ τοῖς ἀποιχομένοις πᾶσιν ἐστὶν, οὐκ ἂν αὐτῷ εἰς ἀδικίαν ἐχρήσατο. [Διὸς ἀρχᾷ.] Διὸς ἀρχὴν φησι, τὴν ζωὴν καὶ τὴν ἄνω διαγωγήν· φησὶν οὖν, ὅτι τὰ ἐν τοῖς ζῶσιν ἁμαρτήματα, κατὰ γῆς δικάζει τίς. λέγει δὲ, τὸν Πλούτωνα τιμωρεῖσθαι αὐτούς. λείπει τὸ, διδοὺς τῇ ἐχθρᾷ ἀνάγκῃ, εἰπὼν τὸν λόγον τῆς τιμωρείας· ἐχθρᾷ δὲ τοῖς πονηροῖς.

† Potius ἔδοκε.

[Κατὰ

Αλιτρὰ, κατὰ γᾶς δικά-
ζει τις, ἐχθρᾷ λόγον φράσαις ἀνάγκᾳ·

Scelera *fiunt*, *ea* ſub terra judi-
cet aliquis, inviſa jus dicens neceſſitate:

στροφὴ δ'. κῶλον ιδ'.

Ισον δὲ νύκτεσσιν αἰεὶ,
Ισα δ' ἐν ἁμέραις ἅλι-
ον ἔχοντες, ἀπονέστερον
Εσθλοὶ νέμονται βίο-
τον, οὐ χθόνα ταράσσον-
τες ἀλκᾷ χερῶν,
Οὐδὲ πόντιον ὕδωρ,
Κεινὰν παρὰ δίαιταν· ἀλ-
λὰ παρὰ μὲν τιμίοις
Θεῶν, οἵτινες ἔχαι-
ρον εὐορκίαις,
Αδακρυν νέμονται
Αἰῶνα· τοὶ δ' ἀπροσόρα-
τον ὀκχέοντι πόνον.

Μεταφρ.

Æque autem noctibus ſemper,
Æque & in diebus ſo-
lem habentes, minus-laborioſam
Boni degant vi-
tam, non terram turban-
tes robore manuum,
Nec marinam aquam,
Inanem propter victum: ſed
Apud quidem honoratos
Deorum, quicunque gau-
debant fide-juriumjurandorum,
Illacrimabili fruuntur
Ævo: illi vero aſpectu-horren-
dum tolerant laborem.

ἀντιστροφὴ δ'. κῶλον ιδ'.

Οσοι δ' ἐτόλμασαν ἐς τρὶς
Εκατέρωθι μείναντες,

Μεταφρ.

Quicunq; vero ſuſtinuerunt in tertiam-vicem
Alterutribi manentes,

Paraphrasis.

qui nulla gratia infirmandam judicii neceſſitatem & ſententiam pronuntians pœnas illis infligit. Bonis contra, bene eſſe, quibus noctu pariter, pariterque interdiu Solis perpetua fax lucem præbet: atque ab omni labore immunem vitam degunt: neque ipſis opus eſt robore manuum terram colere, & navicularium exercere, quo vitata pauperie neceſſarium victum comparent. Iidemque fideli juramento, & pietate delectati, apud Plutonem & Proſerpinam honoratos Deos omni mœrore vacuum ævum tranſigunt. Alii vero, nimirum mali & impii, pœnis viſu horrendis addicti, graviſſimum ſuſtinent cruciatum. Quicunq; autem ad tertiam uſq; metempſychoſin, in utroq; loco

NOTÆ.

107 Κατὰ γᾶς leg MS. α. 108 Τις] Neminem notat, ut graviorem metum incutiat. Pal. A. hab. ἐχθρᾷ ἀνάγκα, ad quæ inferri oporteret φράσαισα. hab. & ſign. interrog. 110 Αλιον] Gl. MS. γ. φῶς ἄδυτον. 111 Απονέστερον] Gl. MS. γ. Αθλιβον καὶ ἄλυπον. 112 Εσθλοὶ leg. Steph. Pal. C. leg. Εσθλοὶ δὲ δέρκονται contra metrum. 114 Αλκᾷ χερῶν] Ald. & Pal. C. arrepto Scholio leg. ἐν χερὸς ἀκμᾷ. 116 Κεινὰν παρὰ δίαιταν] Propter fugam egeſtatis. Pal. C. leg. κεινάν. 117 Παρὰ τιμίοις Θεῶν] Lonicer. interpr. apud colendos Deos. 118 MS. α. conjungit 118 & 119 κῶλα. 122 Οκχέοντι] MSS. β. γ. Schol. Οκχος λέγεται τὸ ὄχημα καὶ τὸ μετέχον τοῦ ὀχήματος, ἤγουν βόες, ἵπποι, ἡμίονοι, οἵτινες ὑφίστανται τὸ ὄχημα, ὥσπερ καὶ [quæ ſeq. etiam inveniuntur in MS. Bodl.] ἄδικον ἡ ἀδικία λέγεται, καὶ τὸ μετέχον τῆς ἀδικίας. Steph. & alii ὀχέοντι, ſed metri ratio reclamat. 123 Τρὶς] Hæc vox poteſt accipi pro numero indefin. 124 Μείναντες] Gl. MS. γ. Βαστάσαντες.

[Κατὰ γᾶς.] ὑπὸ γῆν τουτέστι κατ' ᾅδου. ὑφίσταται δὲ ἐν ᾅδου τινὰ Ανάγκην ὀνόματι. καὶ ταύτῃ παραδίδωσι τοὺς ἀσεβεῖς. [Ισα δ' ἐν ἁμέραις.] ἴσον ἡμῖν τοῖς χρόνοις ἐπιβάλλει ὁ ἥλιος, καὶ τοῖς ἐν ᾅδου δικαίοις. οὐκ ἐπὶ τῶν ἀδίκων δὲ ὁ λόγος ἀλλ' ἐπὶ τῶν δικαίων. φησὶν οὖν, ὅτι τὸν ἥλιον ἔχουσι τοῦτον καθ' ὃν ἐπιβάλλει αὐτοῖς χρόνον, ἀπονέστερον διάγοντες. [Οὐ χθόνα ταράσσοντες.] οὔτε γεωργοῦντες, οὔτε πλέοντες, διὰ τὸ κενὰ αὐτοῖς εἶναι τὰ τῆς διαίτης. [Αλκᾷ χερῶν.] τῷ καρπῷ τῷ ἐπὶ τῆς χειρός. τινὲς δὲ ἀκούουσιν ἀλληγορικῶς οὔτε πολεμοῦντες κατὰ γῆν, οὔτε ἀλλήλοις στόλους ἐπάγοντες κατὰ θάλασσαν· οὔτε ναυμαχοῦσι. [Κεινὰν παρὰ δίαιταν] διὰ τὴν κενὴν καὶ ἄπορον δίαιταν. λέγει δὲ τὴν πενίαν. οὐδὲ γὰρ περὶ τὴν αἰτίαν τῆς πενίας. οἵ τινες οὖν φησὶν ἔχαιρον τοῖς δικαίοις, ἀπόνως καὶ ἀβασανίστως καὶ ἀδακρυτὶ διάγουσιν. [Οσοι δ' ἐτόλμασαν ἐς τρίς.] ὅσοι δὲ τρίτον ὑπέμειναν ἐν ἑκατέρῳ τόπῳ μείναντες. ἔντε τῷ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ἀπέχεσθαι τῶν ἀδίκων ἔργων καὶ δίκαια πράσσειν, ἐστάλησαν τὴν ὁδὸν ἔταξεν ὁ Ζεὺς, τὴν μακάρων νῆσον ὀνομάζουσιν· ἣν δὴ Κρόνου Τύρσιν προσηγόρευσαν. [Αλλως.] ὅσοι δὲ ἐκαρτέρησαν μέχρι τριῶν ἐμψυχώσεων εἰς ἑκάτερα τὰ μέρη, εἴς τε τὸ ἐν ᾅδου μετὰ θάνατον, εἴς τε τὸ τῆς ζωῆς χρόνον δίκαιοι γενέσθαι, δικαίως καὶ τὴν ψυχὴν ὁσίαν φυλάξαι, οὗτοι ἐστάλησαν εἰς τὴν ἔταξεν ὁ Ζεύς. ὅ ἐστιν, εἰς τὰς μακάρων νήσους, ἔνθα Κρόνος ἔχει τὴν ἐκεῖ κατοίκησιν. ἐν αἷς νήσοις πλησίον οὔσαις τοῦ ὠκεανοῦ, αἱ πλεῖσται καὶ ἥδιστοι αὖραι τέρπουσι, πνέουσαι. καὶ τὰ ἐν αὐταῖς ἄνθη, ὡς χρυσὸς στίλβει. τὰ μὲν, ὄντα ἐκ τῆς γῆς. τὰ δὲ, ἐκ τῶν δένδρων τῶν ἐν τῇ χέρσῳ. τὰ δὲ, ἐκ τῆς τῶν ὑδάτων ἀπορροίας τεθρέμμενα. οἷον εἰ, ῥόδα, ὑάκινθος, ἴα. ταῦτα γὰρ, ὕδατι τρέφεται. ἐξ ὧν ἀνθέων οἱ δίκαιοι ταῖς ἑαυτῶν χερσὶν, ὅρμους πλέκουσι καὶ στεφάνους. ἐνδείκνυται δὲ τὸ ὑπερβάλλον τῆς τέρψεως. τὴν δὲ τῆς μετεμψυχώσεως γνώμην Πυθαγόρας πρῶτος εἰσηγήσατο. ᾧ νῦν ὁ Πίνδαρος ἀκολουθεῖ.

 [Ψυχὰν,

Απὸ πάμπαν ἀδίκων ἔχειν	Ab injustis omnino abstinere
Ψυχὰν, ἔτειλαν Διὸς	Animam, *illi* peragere-soleant Jovis
Οδὸν παρὰ Κρόνου τύρ-	Viam ad Saturni propugna-
σιν· ἔνθα μακάρων	culum. Ubi beatorum
Νᾶσον ὠκεανίδες	Insulam oceanitides
Αὖραι περιπνέουσιν· ἄν-	Auræ perspirant: flo-
θεμα δὲ χρυσοῦ φλέγει,	resque aurei ardent,
Τὰ μὲν χερσόθεν, ἀπ' ἀ-	Alii à-terra, à pul-
γλαῶν δενδρέων,	chris arboribus *alii*,
Υδωρ δ' ἄλλα φέρβει·	Aqua autem alios alit:
Ορμοισι τῶν χέρας ἀνα-	Ex-quibus *factis* monilibus manus im-
πλέκοντι καὶ στεφάνοις,	plicant & coronis *capita*,
ἐπῳδὸς δ'. κώλων η'.	METAPH.
Βουλαῖς ἐν ὀρθαῖς Ραδαμάνθυος,	Decretis in rectis Rhadamanthi,
Ον πατὴρ ἔχει Κρόνος ἑτοῖ-	Quem pater habet Saturnus idone-
μον αὐτῷ πάρεδρον,	um sibi assessorem,
Πόσις ὁ πάντων Ρέας	Maritus Rheæ omnium
Υπέρτατον ἐχοίσας θρόνον.	Supremam habentis sedem.
Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·	Peleusque & Cadmus inter hos curantur:

PARAPHRASIS.

commorati, in mundo dum vixerunt, in domo Plutonis, postquam vita functi sunt, omnino ab injustis facinoribus abstinuerunt, & justitiæ morumque honestati studuerunt: viam, quam instituit Jupiter ad Saturni urbem, qua beatorum ad insulam perveniendum, peregerunt, ubi refertam omnigenis deliciis vitam degunt animæ beatorum. Nam locum illum lenes oceani auræ perflant, & flores aureo colore micantes ornant: quorum alii ab humo, alii pulchris ab arboribus producuntur, alios aqua educat: unde monilia, corollasque componunt, quibus manus læti involvunt & implicant, ex recto Rhadamanthi judicis decreto, quem pater Saturnus, Rheæ supremam omnium Deorum sedem occupantis maritus sibi ascivit, & habet promptum assessorem. In hac beatorum insula recensentur Peleus & Cadmus:

NOTÆ.

125 Εχειν] Gl. MS. γ. Αποχωρίζειν. 126 Ετειλαν] Pal. C. leg. Εστειλαν. 128 Μακάρων] Gl. MS. γ. Αγίων. 129 Νᾶσον] Gl. MS. γ. τὸ Ηλύσιον πεδίον. MS. Bodl. leg. Νᾶσος, pro νῆσος Dor. Ita & C. 71. quod etiam hab. υ recenti manu additum. Ita & Casaubon. & Pal. A. nisi quod perperam α acuit. 130 Αὖραι] Gl. MSS. α. β. γ. Αἱ πνοαί. Περιπνέουσιν] Casaub. mavult Περιπνεῦσιν. 132 MS. γ. conclud. vers. cum ἀπ' transfer. ἀ-- ad sequ 135 MS. α. leg. χερσί. 136 Στεφάνοις leg. Pal. A. C 137 MS. C. 71. leg. βουλαῖς ὀρθαῖς. 138 Κρόνος] Ald. & Pal. C. leg. γᾶς perperam. 139 Πάρεδρον] Gl. MS. γ. Πλησίον αὐτοῦ καθήμενον. 140 Πόσις ὁ πάντων] Alii πόσις ἁπάντων leg. 141 Υπέρτατον] Pal. C. leg. Υπατον, & post ἐχοίσας inserit παῖς. 142 Πηλεύς τε καὶ Κάδμος] Hisce exemplis animum vult addere Theroni, ut horum vestigia ingressus, eo etiam aliquando perveniat. MS. C. 71. leg. Εν τοῖσι ἀλέγονται, licet manu recenti emendetur.

[Ψυχὰν, ἔτειλαν.] ἐτελείωσαν. περὶ τὴν Κρόνου βασιλείαν ἐτελείωσαν, ἤνυσαν, ἐπορεύθησαν, Διὸς δὲ ὁδὸν, ἣν ἔταξε τοῖς δικαίοις. τὴν τοῦ Διὸς δεδειγμένην αὐτοῖς. ἢ τὴν ὑπὸ τοῦ Διὸς νομοθετηθεῖσαν. λέγει δὲ παρὰ τοῦ Διὸς κεῖσθαι τοῦτον. τὸν γὰρ ἑκατέρωθεν μείναντα ἀναμάρτητον, εἰς τὰς τῶν μακάρων νήσους πέμπεσθαι. [Τὰ μὲν χερσόθεν.] διέστειλεν ἀπὸ τῶν δένδρων, τὰ κατὰ γῆν βλαστήματα. τουτέστι, τὰ χρείαν ἔχοντα ἀρδεύεσθαι. [Ορμοισι τῶν χέρας.] ὅρμοις. ἀντὶ τῆς αἰτιατικῆς, τῇ δοτικῇ ἐχρήσατο. ὅρμοις οὖν λέγει τοῖς ἑλίγμασιν, οἷς τὰς κεφαλὰς στεφανοῦνται καὶ τὰς χεῖρας. ὅρμοισι, τοῖς ἐνέρμασιν οἷς τὰς χεῖρας στεφανοῦνται καὶ τὰς κεφαλάς. ἢ τῶν ἀνθῶν ταῖς χερσὶν ὅρμους ἀναπλέκουσι καὶ στεφάνους. [Βουλαῖς ἐν ὀρθαῖσιν.] ὡς τοῦ Ραδαμάνθους τοῦτο τοῖς δικαίοις παρεχομένου. ὑφίσταται γὰρ αὐτῷ τῶν μακάρων ἄρχοντα νήσων. ἢ ὡς τούτων μεταλαβόντων φύσεως δαιμονίας. οἵ τινες ὀρθοὶ κατὰ βουλὴν καὶ δίκην, τὸν τρόπον ἔχοντες ὡς καὶ ὁ Ραδάμανθυς. ἢ συγχωροῦντος τοῦ Ραδαμάνθυος. ἕτος γὰρ † δικαιονομεῖ τοῖς ἐν ᾅδου. ἢ οὕτω βουλαῖς ἐν ὀρθαῖσι Ραδαμάνθυος. ὁ γὰρ Ραδάμανθυς † διακονεῖ τοῖς κάτω, ὑπηρετῶν τῷ Κρόνῳ. [Ον πατὴρ ἔχει Κρόνος.] τὸν δίχα τῆς κληρώσεως ἐλθόντα. ὅν τινα Ραδάμανθυν ὁ πατὴρ πάντων Κρόνος, ὁ τῆς Γῆς παῖς· ὁ ἀνὴρ τῆς τὸν ὕπατον ἐχούσης θρόνον Ρέας, ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον. [Πηλεύς τε καὶ Κάδμος.] συγκαταλέγονται δὲ ἐν τούτοις τοῖς δικαίοις, ὅ, τε Κάδμος καὶ ὁ Πηλεύς. [Εν τοῖσιν ἀλέγονται.] ἀριθμοῦνται, συγκαταλέγονται ἐν τοῖς εὐσεβέσι τοῖς κατοικοῦσι τὰς τῶν μακάρων νήσους. καὶ τὸν Αχιλλέα δὲ ἡ μήτηρ τεθνηκότα, αὐτόθι ἤγαγεν. ἐπειδὴ τὴν Διὸς τὴν ψυχὴν ἔπεισεν ἱκεσίαις.

† Ed. Brubacch. leg. Διακονεῖ in utroque loco, sed hab. ad marg. Δικαιονομεῖ corr. MS.

[Αμαχον,

Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ
Ζηνὸς ἦτορ λιταῖς ἔπεισε, μάτηρ.

στροφὴ ε'. κώλων ιδ'.

Ὃς Ἕκτορ' ἔσφαλε, Τροίας
Ἄμαχον ἀστραβῆ κίο-
να· Κύκνον τε θανάτῳ πόρεν·
Ἀοῦς τε παῖδ' Αἰθίο-
πα. Πολλά μοι ὑπ' ἀγκῶ-
νος ὠκέα βέλη
Ἔνδον ἐντὶ φαρέτρας
Φωνᾶντα συνετοῖσιν· ἐς
Δὲ τὸ πὰν, ἑρμηνέων
Χατίζει. Σοφὸς ὁ πολ-
λὰ εἰδὼς φυᾷ·
Μαθόντες δὲ, λάβροι
Παγγλωσσίᾳ, κόρακες ὣς,
Ἄκραντα γαρύετον,

Achillemque *eo* transtulit, postquam
Jovis cor precibus persuasit, mater.

METAPH.

Qui Hectorem prostravit, Troiæ
Inexpugnabilem firmam colu-
mnam: Cycnumque letho dedit:
Auroræque filium Æthio-
pem. Multæ mihi sub cubi-
to celeres sagittæ
Intra sunt pharetram
Sonantes intelligentibus: ad
Vulgus autem, interpretibus
Indigent. *Is demum est* sapiens, qui mul-
ta scit naturæ-sagacitate:
At discendo-rem-assecuti, vehementes
Loquacitate, ceu corvi,
Irrita garriunt,

PARAPHRASIS.

eoque mater Thetis, corde Jovis precibus exorato, transtulit filium Achillem. Qui Hectorem prostravit, inexpugnabilem & inconcussam Troiæ columnam, qua stante, ut staret, qua ruente, ut rueret Ilium, erat in fatis. Qui Cycnum etiam, & Memnonem Aethiopiæ regem, Tithoni & Auroræ filium interfecit. Reconditæ sunt in mente mea peracutæ, promptæque inventiones multæ ad encomiasticos hymnos qui à doctis solummodo intelliguntur, apud vulgus interprete opus habent. Atque hæc poetices facultas qua polleo, à naturali solertia promanat, quæ omni artis adminiculo præpollet. Ac sane doctus dici debet, & reipsa talis est, quem naturæ solertia multarum rerum cognitione munivit. Qui vero sunt usi doctoribus, non tam solida scientia valent: ac nihilominus multiloquio vehementes naturæ doctis irrito clamore non cedunt: similesque sunt corvis qui quanquam partibus omnibus aquilæ sunt impares,

NOTÆ.

144 Λιταῖς] Gl. MS. γ. Παρακλήσεσιν. 146 Ἄμαχον] Gl. MS. α. Δύσμαχον, ἀκαταγώνιστον. γ. Ἀκαταπόνητον. 152 Φωνᾶντα] Gl. MS. γ. Συμφωνοῦντα. Pal. C. & B. leg. Φωνάεντα. Pal. A. Φωνήεντα. 156 Λάβροι] Gl. MS. γ. Στόμασι ἀνεῳγμένῳ βοῶσιν ἀτελεύτητα. 157 Παγγλωσσίᾳ] Canter. mavult leg. Παγγλωσσίαν. Quod ab Aristide citari Conr. Rittersh. annotat. Παγγλωσσίᾳ leg. MSS. α. β. γ.

[Ἄμαχον, ἀστραβῆ κίονα.] μεταφορικῶς εἶπεν. ἀστραβὴς δὲ λέγεται ὁ ἰσχυρὸς, καὶ μὴ ῥαδίως συστρεφόμενος. ἄστρεπτον καὶ ἀμετακίνητον, καί ἐστι κατὰ μετάθεσιν τοῦ ε εἰς τὸ α καὶ ἀποβολὴν τοῦ λ. ἔστι γὰρ ἀστρεβλῆ οἷον ἄστρεπτον ἀστραβῆ. [Κύκνον τε θανάτῳ πόρε.] παραδέδωκε τὸν Ποσειδῶνος καὶ Σκαμανδροδίκης. οἱ δὲ, Ἀρπάλης. Κύκνοι δὲ, δύο. ὁ μὲν, Ἄρεος. ὁ δὲ, Ποσειδῶνος. καὶ τὸν μὲν Ἄρεος κακῶς τὰ περὶ Θεσσαλίαν διαθέντα, Ἡρακλῆς ἀπέκτεινε. τὸν δὲ Ποσειδῶνος, Ἀχιλλεὺς στρατευσάμενον καὶ συμμαχοῦντα τοῖς Τρωσίν. [Ἀοῦς τε παῖδ' Αἰθίοπα.] τὸν Μέμνονα, τὸν Τιθωνοῦ τοῦ Λαομέδοντος, καὶ Ἡμέρας. ταῦτα δὲ λέγουσιν, οἱ τὰ μεθ' Ὅμηρον γράψαντες οὕτω. Τιθωνῷ γίνονται ἐξ Ἡμέρας παῖδες δύο· Μέμνων καὶ Ἡμαθίων. καὶ Μέμνων μὲν, ἀνῃρέθη ὑπ' Ἀχιλλέως. Ἡμαθίων δὲ, ὑπὸ Ἡρακλέος. κατὰ τὴν ἀπέλασιν τῶν Γηρυόνου βοῶν. [Ὠκέα βέλη.] τροπικὸς ὁ λόγος. βέλη δὲ τοὺς λόγους εἴρηκε διὰ τὸ ὀξὺ καὶ καίριον τῶν ἐγκωμίων. φαρέτρης δὲ, τῆς διανοίας. τὸ δὲ ὑπ' ἀγκῶνος, ὡς πρὸς τὸ φαρέτρας ἀκουστέον. οὕτω καὶ ὁ βουκόλος· Ὑπωλένιόν τε φαρέτραν λέγει. [Ἑρμηνέων χατίζει] εἰς δὲ τὸ κοινὸν καὶ εἰς τοὺς πολλοὺς καὶ χυδαιοτέρους ἐρχόμενοι, ἑρμηνείας χρῄζουσιν. ἤτοι περὶ τῶν ποιημάτων ἑαυτοῦ διαλέγεται. οἶδε γὰρ ὅτι πολλῇ ἱστορίᾳ κέχρηται, καὶ σχήμασιν ἐξηλλαγμένοις καὶ φράσει ποικίλῃ. ἔχει γὰρ ὑπερβατὰ πολλά. τὰ ποιήματα οὖν φησὶ τὰ ἐμὰ ἑρμηνέων χρῄζει. οἷον οὐδέν ἐστιν ὃ μὴ χρῄζει ἑρμηνέων. αὐτὸς γὰρ οὐ δύναται διὰ τὸ πλῆθος ἐξειπεῖν πάντα. ὅμοιον δέ ἐστι τῷ, Πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω. [Σοφὸς ὁ πολλὰ εἰδώς.] ὁ λόγος γνωμικός. καὶ σοφός ἐστιν, ὁ πολλὰ ἐπιστάμενος ἐκ φύσεως. ὁ φύσιν πρός τι ἔχων. τῶν γὰρ μανθανόντων οἱ ἐκ φύσεως ἔμπειροι, βελτίους. ἐπειδὴ καὶ πρεσβυτέρα τῶν μαθημάτων ἡ φύσις. οἱ δὲ ἀπὸ μαθήσεως βουλόμενοι ἠχεῖν, καὶ ἐκ πολλῶν συνείροντες. ὃν τρόπον καὶ οἱ κεκράκται κόρακες καὶ μάτην φλυαροῦντες, ἀτελῆ καὶ περιττὰ καὶ ἀσύνετα φθέγγονται. πρὸς τὸν συνετὸν καὶ θεῖον ὄρνιν τοῦ Διὸς τὸν ἀετὸν, ἀντιβοῶντες. ἀποτείνεται δὲ πρὸς τὸν Βακχυλίδην. γέγονε γὰρ αὐτῷ ἀνταγωνιστὴς τρόπον τινὰ καὶ εἰς τὰ αὐτὰ καθῆκεν. [Ἄκραντα γαρύετον.] οἱ φύσει χρώμενοι, λαμπροί. οἱ δὲ μαθόντες ἄκραντα γαρύειν, ἥσσονές εἰσι τῶν καθ' αὑτοὺς ὅτι δήποτε μαθόντων ἢ ἐπισταμένων. τὸ δὲ γαρύετον, κακῶς. οὐδὲ γὰρ ἐπὶ δυϊκοῦ βούλεται ἡ λέξις· οὐδὲ ὑπὲρ δύο κοράκων, ἀλλ' ὑπὲρ πολλῶν. ὥσπερ κόρακες φιλονεικοῦσι πρὸς ἀετὸν, οἱ διδακτοὶ, πρὸς τοὺς φύσει αὐτοδιδάκτους. αἰνίττεται δὲ εἰς Σιμωνίδην.

ἀντιστροφὴ έ. κώλων ιδ'.

Διὸς πρὸς ὄρνιχα θεῖον.
Επεχε νῦν σκοπῷ τόξον
Αγε θυμέ. Τίνα βάλλομεν
Εκ μαλθακᾶς αὖτε φρε-
νὸς εὐκλέας ὀϊστοὺς
Ιέντες; Επί τοι
Ακράγαντι τανύσαις,
Αὐδάσομαι ἐνόρκιον
Λόγον ἀλαθεῖ νόῳ,
Τεκεῖν μήτιν' ἑκατόν
Γε ἐτέων πόλιν,
Φίλοις ἄνδρα μᾶλλον
Εὐεργέταν πραπίσιν, ἀ-
φθονέστερόν τε χέρα,

ἐπῳδὸς έ. κώλων ή.

Θήρωνος. Αλλ' αἶνον ἔβα κόρος
Οὐ δίκᾳ συναντόμενος, ἀλ-
λὰ μάργων ὑπ' ἀνδρῶν

METAPH.

Jovis ad avem divinam.
Intende nunc *ad* ſcopum arcum
Age anime *mi.* Quemnam petimus
Autem ex benevola men-
te glorioſa tela
Mittentes? Sane in
Agrigentum intendens,
Dicam juratum
Sermonem veraci mente,
Progenuiſſe nullam centum
Intra annos urbem,
Amicis virum magis
Beneficum ex-corde, lar-
gioremque manu,

METAPH.

Therone. Verum laudem invaſit inſolentia
Non juſte occurrens, ſed
Furioſis à viris

PARAPHRASIS.

ea tamen non ſunt minus feroces & audaces. His ergo dotibus inſtructus, anime mi, ad inſtitutum redi. Quis ille eſt ad quem celebris noſtra laudatio ex benevola mente proficiſcens collimat? Ego directo ad Agrigentum ſermone, veraci mente deierabo illam civitatem centum abhinc annis ex quo eam extructam eſſe conſtat, neminem tuliſſe, qui animo ad benefaciendum amicis eſſet propenſiore, & manu largiore, quam Theron. Cui hæc virtus, unde gloriam conſequebatur, furioſorum quorundam, Capyos ſcilicet & Hippocratis conſobrinorum, invidiam conflavit: qua perciti injuſte in ipſum inſolentes egerunt: ac non ſolum maledictis lumen hoc virtutis obſcurare voluerunt:

NOTÆ.

160 Επεχε] Gl. MSS. β. γ. Εντεινε. 165 Ακράγαντι] MSS. α. & Bodl. leg. Ακράγαντα. Ita & Pal. A. B. 167 Αλαθεῖ νόῳ] Gl. MS. γ. Οτι ὑπολαμβάνω. 168 Τεκεῖν] Gl. MS. α. Γεννῆσαι. 169 Schol. in pag. 22 leg. Γ' ἐτέων. 170 Schol. in p. 22. omitt. ἄνδρα. 172 Αφθονέστερον] MS. γ. Τὸ α ἐστὶν ἐπιτατικὸν καὶ οὐκ ἀρνητικόν. Schol. in p. 22. omitt. τε & leg. χεῖρα. 173 Εβα] Ald. & Pal. C. leg. Επέβα.

[Επεχε νῦν.] μεθέλκων ἑαυτὸν φησὶν ἐπὶ τὸν σκοπὸν ἔστησα τὸ τόξον. ἔπεχε νῦν σκοπῷ. ἀπέστρεψε τὸν λόγον πρὸς ἑαυτὸν καὶ φησίν, ὅτι, ἐπάνελθε εἰς τὴν ἐξ ἀρχῆς σου σκοπὸν καὶ τὴν σπουδὴν τὴν περὶ τοὺς Θήρωνος ἐπαίνους. δι' ὅλου γὰρ τὴν τοῦ τόξου ἐφύλαξε τροπήν. τὸ δὲ τίνα βάλλομεν, τίνα ἔχομεν θαυμάσαι ἐκ τῆς ἰδίας διανοίας. τίνα βάλλομεν δηλονότι σκοπὸν τὸν νικηφόρον. μή ποτε δὲ βέλτιον ἀκούειν σκοπὸν, τὴν Ακράγαντα. καὶ γὰρ ἐπιφέρει ἐπί τοι Ακράγαντι τανύσαις. ἐκ τούτου σημαίνει τὸν εὔκαιρον καὶ εὔστοχον λόγον. [Εκ μαλθακᾶς αὖτε φρενός.] τοῦτο εἶπε θεραπεύων τὸ σκληρὸν τοῦ λόγου. τὸ γὰρ ἀπὸ τόξου βαλεῖν, ὡς φησὶ, δύσφρονός ἐστι κατὰ τῶν βαλλομένων. τὸ οὖν προσηνοῦς καὶ οὐ πολεμικῆς διανοίας. [Επί τοι Ακράγαντι τανύσαις.] τοῦτο, ὡς ἐν συννοίᾳ γενόμενος, καὶ μαθὼν τίνα ὀφείλει ἐγκωμιάσαι, φησίν· ὅτι ἐπὶ τῇ Ακράγαντι τῇ πόλει τοῦ Θήρωνος λέγει τὸ τόξον· ὅ ἐστι τὸν λόγον τείνειν. [Αὐδάσομαι ἐνόρκιον.] λόγον ὄμνυμι ἔνορκον, καὶ ἀληθέστατον. ἵνα δείξῃ τὸ πιστὸν ὧν λέγει. περὶ γὰρ ὧν τις πέποιθεν, ὅρκοις διϊσχυρίζεται. τί δέ φησιν, ὄμνυμι, μή τινα πόλιν ἄλλην πρὸ ὅλων ἑκατὸν ἐτῶν, τεκεῖν τοιοῦτον ἄνδρα. μὴ δὲ ἄλλον εἰς εὐεργεσίαν τῶν φίλων * προχειρότερον, ἢ πρὸς ἐπίδοσιν χρημάτων, ἀφθονέστερον τοῦ Θήρωνος. [Αλλ' αἶνον ἔβα κόρος.] τὴν ᾠδὴν ταύτην ἔγραψεν ὁ Πίνδαρος, τοῦ Θήρωνος πολεμοῦντος διὰ τὴν πρὸς Ιέρωνα κηδείαν. κόρος δὲ, ὕβρις μετὰ ἀδικίας. τὸ δὲ χαρακτηριστικόν φησι τοῦ Θήρωνος, ἐπέβησε πολλοὺς εἰς ὕβριν· δηλονότι αὐτοὺς προσηγάγετο. ἐπεὶ οἱ προδιδόντες αὐτὸν, Ιέρωνι φίλοι ἦσαν. δύναται δὲ τοῦτο καὶ εἰς τοὺς περὶ Κάπυν τείνειν. οἳ ἐπεστράτευσαν αὐτῷ. μὴ ὑπομένοντες αὐτὸν οὕτως ὁρᾷν λαμπρὸν ὄντα. ἐπειδὴ οὖν τῷ Θήρωνος ἐπαίνῳ, ὁ φθόνος ὑπαντήσας οὐ κατὰ δίκην, οὐδὲ ὃν δεῖ τρόπον. [Αλλως.] Κάπυς καὶ Ιπποκράτης Θήρωνος ἦσαν ἀνεψιοί. οὗτοι πολλὰ ὑπ' αὐτοῦ εὐεργετηθέντες, ὡς ἑώρων ηὐξημένην αὐτοῦ τὴν τυραννίδα, φθονοῦντες πόλεμον ἤραντο πρὸς αὐτόν. ὁ δὲ, συμβαλὼν αὐτοῖς περὶ τὴν Ιμέραν, ἐνίκησεν. [Εβα κόρος.] τὸν ἔπαινον, τὴν δόξαν τοῦ Θήρωνος. κόρος δὲ, ὕβρις. [Αλλως.] τοῦτο ὥσπερ ἀγανακτῶν ἐφ' οἷς ἀδίκως λελύπηται φησὶν ὁ Πίνδαρος. καὶ φησὶν ὅτι, ἀλλὰ τὸν ἔπαινον τοῦ Θήρωνος, ἐπειδὴ ἤδη κόρος. ἀντὶ τοῦ ἱκανῶς ἤδη φθονηθεὶς, ἐπὶ τοῖς θαύματος ἀξίοις. αἰνίττεται δὲ, τὴν γενομένην αὐτῷ πρὸς Ιέρωνα ἔχθραν.

* Videtur omiſſ. μᾶλλον.

[Τὸ

Τὸ λαλαγῆσαι θέλων,
Κρύφον τε θέμεν ἐσθλῶν κακοῖς
Ἔργοις. Ἐπεὶ ψάμμος ἀριθμὸν περιπέ-
Ἐκεῖνος ὅσα χάρματ' ἄλ- [φευγεν·
λοις ἔθηκεν, τίς ἂν φράσαι δύναιτο;

Obstrepere volens,
Occultationemque afferre bonorum, *per* mala
Facta. Quoniam arena numerum refugit:
Ideo ille quot gaudia ali-
is *benefaciendo* fecerit, quis recensere possit?

P A R A P H R A S I S.

sed etiam male factis, indicto videlicet bello, extinguere tentarunt. Interim quemadmodum maris arenam nemo numerarit, sic neque quot beneficiis alios exhilararit, recensere possis.

N O T Æ.

176 Λαλαγῦσαι] Gl. MS. α. Λυπῆσαι, τρύξαι. 177 Κρύφον] Alii Κρύφιον, ut & Pal. B. C. Ἐσθλῶν] Ald. & Pal. A. C. leg. ἐσλῶν, & Schol. τῦ C. exponit ἀγαθῶν. Κακοῖς Ald. omisit. 179 Χάρματα] leg. C. 71. 180 Τίς ἂν φράσαι δύναιτο;] MSS. Ϭ. γ. Φασί τινες ὑπὸ τοῦ Πινδάρου τοῦτο, διὰ τὴν μάχην, τὴν πρὸς Ἱέρωνα, ἕνεκα Πολυζήλου ὅντινα Πολύζηλον ἐκβληθέντα ὑπὸ Ἱέρωνος ἀπὸ Συρακουσῶν ὑπεδέξατο ὁ Θήρων. ἱστέον δὲ καὶ τοῦτο, ὅτι Κάπυς καὶ Ἱπποκράτης ἦσαν ἀνεψιοὶ Θήρωνος· οἵ τινες πολλὰ ὑπ' αὐτοῦ εὐεργετηθέντες ἤρξαντο πόλεμον πρὸς αὐτόν, φθονοῦντες ὅτι ἑώρων ηὐξημένην τὴν βασιλείαν αὐτοῦ· ὁ δὲ συμβαλὼν αὐτοῖς ἐνίκησε. Notandum quod numerus κώλων in MSS. Bodl. & α. recenseatur ad fin. εἴδους sc. στίχων ρπβ'. licet MS. Bodl. numerum nostrum uno tantum colo sc. Φιλέοντι δὲ μοῖσαι MS. α. nec uno excedat, quippe quod duo κῶλα conjungit.

[Τὸ λαλαγῆσαι θέλων.] λαλαγῆσαι λέγει, τὸ θορυβῆσαι τῷ λόγῳ. [Κρύφον.] Ἀρίσταρχος, χωρὶς τοῦ ι γράφει κρύφον. καὶ ἀποδίδωσι κρύψιν. ὁ κόρος κρύψιν θέλων καὶ ἀφανισμὸν θεῖναι τοῖς τῶν ἐσθλῶν καλοῖς. καὶ ἡ ἀντίστροφος δὲ οὕτως ἀπαιτεῖ. [Ἀλλὰ μάργων] ὑπὸ γὰρ μανιωδῶν τινῶν καὶ ἀνοήτων ἐφθονήθη· αὐτὸ θορύβῳ τινὶ καὶ ματαίᾳ φλυαρίᾳ κρύψαι καὶ σβέσαι βουληθέντων, τὸ ἐκ τῶν καλλίστων αὐτοῦ ἔργων ἀγαθόν. [Ἐπεὶ ψάμμος.] παραβολικῶς. λέγει γάρ, ὥσπερ ἡ ψάμμος οὐκ ἂν ἀριθμῷ περιληφθείη, οὕτως ἀμέτρητος Θήρων ταῖς εὐποιΐαις.

Τέλος τοῦ δευτέρου τῶν Ὀλυμπίων εἴδους.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ β' τῶν Ὀλυμπίων εἶδος.

ἈΝαξιφόρμιγγες ὕμνοι.] οἱ τῆς φόρμιγγος ἀνάσσοντες.
πρῶτον γὰρ τὰ ᾄσματα συντίθενται. εἶτ', οὕτω
πρὸς αὐτὰ καὶ ἡ λύρα ἁρμόζεται. ἢ ὦ ὕμνοι, οἱ ὑπὸ
τῆς φόρμιγγος ἀνασσόμενοι. πρῶτον γὰρ ἔκρουον. εἶτα τὰ
ᾄσματα ἐπῇδον. ὡς φησιν Ὅμηρος, Ἤτοι ὁ, φορμίζων, ἀνε-
βάλλετο καλὸν ἀείδειν. [Ἄλλως.] Ἀναξιφόρμιγγες ἤγουν ἄνα-
κτες τῆς φόρμιγγος. ὑπουργὸς γὰρ ἡ φόρμιγξ τῶν ὕμνων. καὶ
πρὸς αὐτοὺς αὕτη ἁρμόζεται. καὶ τοὔνομα δὲ ἐνέργειαν δη-
λοῖ ἀεί, καὶ οὐδέποτε πάθος. ὡς τὸ ἀλεξίκακος καὶ παυ-
σίκακος, καὶ πλήξιππος. καὶ ἀλεξιάρη παρ' Ἡσιόδῳ. [Τίνα
θεὸν] βουλόμενος καὶ ἥρωα καὶ ἄνθρωπον ὑμνῆσαι, ἵν' ἀπο-
ρίαν σχῇ πρὸς τὸ φανερὰν τὴν ἑαυτοῦ καταστῆσαι γνώμην, ἐν
ἐρωτήσει σχηματίζει τὸν λόγον. ποιεῖται δὲ τὴν ἐρώτησιν πρὸς
τὴν ἑαυτοῦ μοῦσαν τὴν συντιθεῖσαν τοὺς ὕμνους. τοὺς ὕμνους γὰρ
τίθησιν ἀντὶ τῆς δυνάμεως τῆς συντιθείσης αὐτούς. εἶτα οὐ
γυμνὰ ἐπάγει τὰ ὀνόματα τῶν ὑμνηθησομένων, ἀλλὰ μετὰ
τῶν αἰτιῶν δι' ἃς αὐτοὺς ὑμνεῖν βούλεται, ἵνα καὶ τὸ προσ-
ῆκον ἀποδιδοῖτο τοῖς ἐγκωμιαζομένοις. φησὶ γάρ· ὦ ὕμνοι
ἄνακτες τῆς φόρμιγγος, τίνα θεὸν μέλλομεν ὑμνήσειν, τίνα
4 ἥρωα, τίνα δὲ ἄνθρωπον. ἡ [Πίσα μὲν] δή ἐστι τοῦ Διὸς ἱερά.
ὥστε ὑμνητέον ἐστὶ θεὸν τὸν Δία. τὴν Ὀλυμπιάδα δέ, ἤγουν
τὸν ἀγῶνα τὸν ἐν Πίσῃ, ὁ Ἡρακλῆς ἔστησε. τουτέστι συγκρο-
τεῖσθαι ἐποίησεν. ἀκρόθινα πολέμου, ἀντὶ τοῦ ἐξαίρετον ἀνά-
θημα, ὃ παρέσχεν ὁ πόλεμος. ὃς ἐπολεμήθη δηλονότι αὐ-
τῷ πρὸς Αὐγείαν, ἐπεὶ οὐκ ἐδίδου αὐτῷ τὸν συμπεφωνη-
μένον τῆς ἐξαιρέσεως τῆς κόπρου τῶν θρεμμάτων αὐτοῦ μισθόν.
5 πρέπον δὴ οὖν δηλονότι καὶ ἥρωα ὑμνεῖν τὸν Ἡρακλέα. [Ὀλυμ-
πιάδα δ' ἔστασεν Ἡρακλέης.] Ἱστορία ὅπως Ἡρακλῆς τὰ Ὀ-
λύμπια ἔστησεν. Ἡρακλῆς στερηθεὶς τῶν μισθῶν, οὓς ὑπέσχετο
αὐτῷ δοῦναι Αὐγείας ὁ τῆς Ἤλιδος βασιλεὺς διὰ τὴν τῆς
κόπρου ἐκφόρησιν, ἐστράτευσε κατ' αὐτοῦ μετὰ τὸ τετελεσ-
τηκέναι τοὺς δώδεκα ἄθλους, καὶ πόλεμον συνάψας καὶ τοῦ-
τον ἀνῃρηκώς, τήν τε πόλιν Ἦλιν λαμβάνει, καὶ ἐκ τῶν σκύ-
λων πανήγυριν ἔστησεν, εἰς τιμὴν τοῦ Διός. [Θήρωνα δέ,] 8
τὸν Θήρωνα δὲ ἐνδέχεται μέλεσιν ὑμνεῖν. τοῦτο γὰρ τὸ γεγω-
νητέον ὅτι. ἕνεκα τετρασρείας, ἀντὶ τοῦ, ἀγῶνος δι' ἅρμα-
τος νικηφόρου. δίκαιον ξένον. τουτέστι δίκαιον ὄντα κατὰ τὴν
φιλίαν τῶν ξένων. [Ἔρεισμα,] ἤγουν στήριγμα. ἀσφάλειαν τῆς 12
Ἀκράγαντος. καὶ εὐκλεῶν πατέρων ἐξαίρετον υἱόν. ἀπὸ τοῦ
Κάδμου γὰρ κατήγετο. [Ὀρθόπολιν,] τουτέστι συνιστῶν καὶ ἀνορ- 14
θοῦντα * πόλεις ἐπιτήδειον. Ἱστορία. Φασὶν Αἵμονα τὸν Κάδμου
ἔκγονον ἀποκτείναντά τινα ἐμφύλιον, ἐκ Θηβῶν Ἀθήναζε
παρακεχωρῆσθαι. τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν μετανα-
στάντας Ῥόδον σὺν Ἀργείοις οἰκῆσαι. καὶ μετὰ ταῦτα στάσε-
ως αὐτοῖς ἐνταυθοῖ γενομένης, εἰς Σικελίαν ἐλθόντας, Ἀκρά-
γαντα κτίσαι πολλὰ καμόντας περὶ τὴν κτίσιν, διὰ τὸ ὑπὸ
τῶν ἐκεῖ κωλύεσθαι. ἄρχοντες δὲ τῆς ἀποικίας στειλαμένων, Ἀν-
τίφημος καὶ Ἔντιμος ἦσαν. ὧν μετὰ εἰκοστὴν ἑβδόμην γενεὰν
Θήρων ἐστὶ γέγονεν. ἱερὸν δὲ οἴκημα ποταμοῦ λέγει τὴν Σι-
κελίαν. ἐπειδὴ ἐντὸς αὐτῆς ποταμὸς Ἀκράγας ὁμώνυμος
τῇ πόλει, ἢ Γέλλας ὁμώνυμος τῇ ἐκεῖ πόλει Γέλλᾳ ῥέει.
ἱερὸν δέ, ἢ τὸ μέγα, ἢ τὸ ἔχον ἱερά. ἢ ὅτι ἡ ἐν Σι-
κελίᾳ Ἀκράγας, Περσεφόνῃ ἐδόθη παρὰ Διὸς εἰς τὰ ἀνα-
καλυπτήρια. [Καμόντες οἱ πολλὰ] οἵ τινες, οἱ πατέρες 15

* Ir. ἀνορθοῦν τὰς πόλεις.

αὐτοῦ

αὐτοῦ δηλονότι, πολλὰ κατὰ τὴν ψυχὴν καμόντες, ἤγουν πολλὰ
λυπηθέντες, πολλὰ ἀγωνιάσαντες πρότερον ἐν τοῖς ἀπὸ
Ῥόδου εἰς Γέλλαν, εἶτα ἐκεῖθεν εἰς Ἀκράγαντα μετοική-
σεσιν, ἱερὸν ἔχον οἴκημα ποταμοῦ· ἤγουν τὴν Ἀκράγαντα.
ἣν παρὰ τῷ ποταμῷ ἱδρύσαντο τῷ Ἀκράγαντι. ἱερὸν δὲ
διὰ τὸ εἶναι αὐτόθι νεὼν τῆς Ἀθηνᾶς. ἢ ὅτι εἰς ἀνακαλυ-
πτήρια ὑπὸ τοῦ Διὸς ἐδόθη τῇ Περσεφόνῃ. τῶν ἐν τῇ Σι-
κελίᾳ τε ἦσαν ὀφθαλμὸς, ἀντὶ τοῦ οἱ περιφανέστατοι, καὶ ἡ-
γεμονικώτατοι. βίος τε ἐπηκολούθει εὐτυχὴς, πλοῦτόν τε καὶ
ἐπαγωγὸν δύναμιν ἐπάγων, ἀρεταῖς γνησίαις· ἤγουν οἰκείαις
22 τῷ γένει αὐτῶν. [Ἀλλ' ὦ Κρόνιε, παῖ,] ἀλλ' ὦ Ζεῦ ἐν
τῷ Κρονίῳ λόφῳ τιμώμενε, παῖ τῆς Ῥέας. ὁ διοικῶν τὸ
ἔδαφος τοῦ οὐρανοῦ περιφραστικῶς, ἤγουν τὸν οὐρανόν. καὶ τὴν κο-
ρυφὴν τῶν ἄθλων. τουτέστι, καὶ τὰ ἐξαίρετα ἆθλα τὰ ἐν Ὀλυμπίᾳ
διδόμενα, καὶ τὸ ῥεῦμα τοῦ Ἀλφειοῦ, ἤγουν τὸν Ἀλφειόν. τερφθεὶς
τοῖς παροῦσιν ὕμνοις, εὔφρων ἀντὶ τοῦ ἀσμένως ἐπὶ πλέον
ἐπιμελείας ἀξίωσον τὴν πατρικὴν αὐτῶν ἄρουραν, ἀντὶ τοῦ
τὴν γῆν. χάριν τοῦ ἐπιλοίπου γένους αὐτῶν. τὸ δὲ τέλος
τῶν πεπραγμένων ἐν δίκᾳ τε καὶ παρὰ δίκαν, ἤγουν δικαί-
ως καὶ ἀδίκως, τουτέστιν ἐν παντὶ τρόπῳ, ἀποίητον· ἤγουν μὴ
γεγενημένον, οὐδὲ ὁ χρόνος ὁ πάντων πατὴρ, δύναιτο ἂν
ποιῆσαι. λήθη δὲ τῶν πεπραγμένων γένοιτο ἂν, σὺν τύχῃ εὐ-
τυχεῖ. ὑπὸ γὰρ τέρψεως ἀγαθῶν βλάβη δαμασθεῖσα, θνή-
σκει ἀντὶ τοῦ ἀποκρύπτεται, ἐκπίπτει τῆς μνήμης· παλίγκοτος
γινομένη δηλονότι. ἤγουν, εἰς τοὐπίσω τὴν ἐπιμονὴν τῆς λύ-
37 πης τοῦ κακοῦ τρέπουσα. [Ὅταν θεοῦ μοῖρα,] ἤγουν, εὐτυχία.
τουτέστιν, ὅταν θεὸς πέμπῃ μεγάλην εὐδαιμονίαν ἀνεκὰς·
ἤγουν, εἰς παράτασιν χρόνου μακράν. ἐπειδὴ τὸ γένος
πλῆθός ἐστι, διὰ τοῦτο εἶπε τὸ, σφίσιν. ἔστιν οὖν τὸ μὲν
κόμισον, πρὸς τὸ, λοιπῷ γένει. τὸ δὲ πατρίαν, πρὸς τὸ
σφίσιν. ἵν' ᾖ τὴν πατρικὴν αὐτοῖς γῆν. τῷ λοιπῷ δὲ
γένει νοεῖ, ἤτοι ἀπὸ γένους τοῦ Θήρωνος, ἢ τῷ Θήρωνι, καὶ
τοῖς περὶ αὐτὸν, ὃ καὶ κρεῖττον· δέον δὲ εἰπεῖν εὔφρονα
πρὸς τὸ ἄρουραν, εὔφρων εἶπε, πρὸς τὸ κόμισον. λέγει δὲ
ὅτι, εἰ καὶ οἱ πατέρες τοῦ Θήρωνος, πολέμοις καὶ στάσεσιν
ἐχρήσαντο, ἀλλ' εἰρηναίαν τὴν ζωὴν Θήρωνι, καὶ τοῖς περὶ
αὐτὸν ποίησον. Ἱστορία. Ὁ Θήρων οὗτος, Ἀκραγαντίνων βα-
σιλεύων, Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπικηδεύσας, γάμῳ
συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην. τοῦ δὲ Γέλωνος
τελευτήσαντος, Πολύζηλος ὁ ἀδελφὸς αὐτοῦ, τὴν βασιλεί-
αν, καὶ τὴν γαμετὴν αὐτοῦ διαδέχεται. λαμπρῷ δὲ ὄντι
αὐτῷ κατὰ τὴν Σικελίαν, Ἱέρων ὁ ἀδελφὸς φθονήσας, καὶ
προφασισάμενος τὸν πρὸς Συβαρίτας πόλεμον, ἐξάγει τοῦτον
τῆς νήσου. κατωρθωκότος οὖν καὶ τοῦτον τὸν πόλεμον Πολυζή-
λου, ὁ Ἱέρων οὐκ ἔχων ὅ,τι καὶ γένοιτο, πρὸς αὐτὸν ἐπε-
ρᾶτο νεωτερίζειν. Θήρων οὖν ὑπεραγανακτήσας θυγατρὸς ἅμα
καὶ γαμβροῦ, συνάξαι πρὸς Ἱέρωνα ἠβούλετο πόλεμον. ὃν
Σιμωνίδης ὁ Λυρικὸς καταπαύει διαλλάξας, ὡς καὶ κηδεί-
αν πρὸς ἀλλήλους ποιήσασθαι, Ἱέρωνος λαβόντος τὴν τοῦ
Θήρωνος ἀδελφήν. φασὶ δέ τινες τὸ, πεπραγμένων, ἀντὶ
τῶν συμβάντων τοῖς προγόνοις καμάτων. ἄνω γὰρ εἶπε, Κα-
μόντες οἳ πολλὰ θυμῷ. τὸ θεοῦ, ἢ πρὸς τὸ ὄλβον οὕτω,
τὸν ὄλβον τοῦ θεοῦ. ἤτοι τὴν παρὰ θεῶν ἀνθρώποις εὐδαι-
μονίαν, ἢ πρὸς το μοῖρα. οἱ γὰρ θεοὶ τοῖς ἀνθρώποις
τὴν μοῖραν ἐκπέμπουσιν. Ὁμηρικὸς ζῆλος τὸ, εὐθρόνοις.
ἐκεῖνος γὰρ τοῖς ἐπιθέτοις κοσμεῖ τὰς γυναῖκας. ἤγουν,
Λευκώλενος Ἥρα, καὶ Γλαυκῶπις Ἀθάνα, καὶ Ἀργυρόπεζα
39 Θέτις. [Ἕπεται δὲ λόγος.] ἀκολουθεῖ δὲ οὗτος ὁ λόγος,
ἤτοι ἁρμόζει, ταῖς θυγατράσι τοῦ Κάδμου ταῖς νῦν ἐνδόξῳ
τάξει ἱδρυμέναις, αἵτινες ἔπαθον συμφορὰς μεγάλας. τὸ
πένθος δὲ τὸ μέγα, ἠφανίσθη τῆς μνήμης ὑπὸ τῶν ἀγα-
θῶν τῶν ἐπικρατεστέρων. ζῇ μὲν ἡ Σεμέλη ἡ ἐπιπολὺ τεταμ-
μένας ἔχουσα τὰς θρίχας, ἐν τοῖς θεοῖς τοῖς τὸν Ὄλυμ-
πον οἰκοῦσι. τουτέστιν, ἐν * ι μετὰ τῶν θεῶν διατριβῇ, ἀποθα-
47 νοῦσα τῷ βρόμῳ τοῦ κεραυνοῦ, ἀντὶ τοῦ κεραυνῷ. [Φιλεῖ δὲ]
αὐτὴν ἡ Ἀθηνᾶ ἀεὶ, διὰ τὸν πατέρα αὐτῆς τὸν Κάδμον
ἱδρύσασθαι αὐτῇ ἄγαλμα ἐν Ὄγκαις κώμῃ τῆς Βοιωτίας. ὅθεν
Ὀγκαία Ἀθηνᾶ λέγεται, ὡς Κυλλήνιος Ἑρμῆς. καὶ ὁ Ζεὺς
ὁ πατὴρ πάντων, φιλεῖ αὐτὴν καταπολύ. φιλεῖ δὲ αὐτὴν
καὶ ὁ παῖς αὐτῆς ὁ κισσοφόρος· ἤγουν, ὁ Διόνυσος, ᾧ ἐστιν
ὁ κισσὸς ἀφιερωμένος. λέγουσι δὲ τετάχθαι, ἤγουν κεκυρῶ-
σθαι, καὶ τῇ Ἰνοῖ τῇ ἀδελφῇ αὐτῆς κατὰ πάντα τὸν χρόνον,
διατριβὴν ἄφθαρτον ἐν τῇ θαλάσσῃ σὺν ταῖς θυγατράσι
τοῦ Νηρέως ταῖς θαλασσίαις. Ἱστορία. Ἡ τῆς Σεμέλης ἱστο-
ρία δήλη. ὅτι ἐγκυμονοῦσα Διόνυσον, Ἥρας ὑποβολαῖς εἰ-
ποῦσα τῷ Διῒ μετὰ κεραυνοῦ ἐλθεῖν πρὸς αὐτὴν, κατεκαύ-
θη, καὶ πρὸς οὐρανὸν ἀνῆλθε, Διὸς ἐξῥαψαμένου τῷ μηρῷ τὸν
Διόνυσον, ἄχρις ἂν ὁ προσήκων ἔλθῃ καιρός. λέγεται δὲ
φιλεῖσθαι αὐτὴν ὑπὸ τῆς Ἀθηνᾶς, ἢ ὅτι εἰς οὐρανοὺς ἀνῆλ-
θεν, ἢ ὅτι Θηβαία ἐστίν. ἐν Θήβαις ἱερὸν Ἀθηνᾶς, Ὄγκας
καλουμένης Φοινίκων γλώττῃ. ¶ Δημητρίου τοῦ Τρικλινίου.
¶ Περιττὸν ἦν ἐνταῦθα τὸ κῶλον τὸ, Φιλέοντι δὲ μοῖσαι.
τῶν γὰρ ἄλλων στροφῶν, καὶ ἀντιστροφῶν, ἀνὰ ιδ' ἐχουσῶν κῶ-
λα, αὕτη μόνη πεντεκαίδεκα εἶχεν, ὅπερ ἦν ἄτοπον. οὐ γὰρ
ἐν ἑτέροις τοιοῦτό τι εὕρηται. διὸ ἐξεβλήθη παρ' ἐμοῦ. ὡς
καὶ ἐν τοῖς βιβλίοις τῶν ἄλλων ποιητῶν, πολλὰ περιττὰ
ὄντα. οἶμαι δὲ ὡς οὐδεὶς ἡμᾶς μέμψαιτο, τοιαῦτα πε-
πονηκότας, ἀλλ' ἐννοήσας ὡς οὕτω ταῦτα βέλτιόν ἐστιν ἔχειν,
θαυμάσειεν ἂν μάλιστα τῆς σπουδῆς. [Ἤτοι βροτῶν κέκριται.] 55
πεφανέρωται. ἤγουν, οὐδεὶς οἶδεν, ἢ χρηστὸν, ἢ τοὐναντίον,
τὸ τῆς ζωῆς αὐτοῦ πέρας ἐπέλθῃ. ἀλλ' οἱ μὲν πρὶν εὐτυ-
χοῦντες, ἐγγὺς θανάτου δεδυστυχήκασι. οἱ δὲ τοὐναντίον.
[Ἄλλως.] ὄντως τὸ τέλος τοῦ θανάτου τῶν ἀνθρώπων, ἤγουν,
ὃ ὁ θάνατος ἐπάγει, οὐδαμῶς ἐστι διακεκριμένον, τουτέστι
γνώριμον, ὁποῖον ἔσται δηλονότι. ἤγουν, ὁ θάνατος τοῖς
ἀνθρώποις ἄδηλός ἐστι καὶ ἄγνωστος. οὐδὲ ὁπότε ἀνύσομεν
ἡμέραν ἡσυχίας, ἤγουν, ἀναπαύσεως μετέχουσαν. παῖδα Ἡλίου
λέγω σὺν ἀγαθῷ, μὴ ὑπὸ κακοῦ τινὸς καταπονουμένῳ, κέ-
κριται δηλονότι. ἡμέραν δὲ ἡσυχίας τὸν θάνατον λέγει. ἐπεὶ
ἐν αὐτῷ θανόντες, ἡσυχάζομεν. παῖδα δὲ Ἡλίου τὴν ἡμέ-
ραν καλεῖ, ἐπεὶ ὁ Ἥλιος ἀνατέλλων, τὴν ἡμέραν γεννᾷ.
[Ῥοαὶ δέ.] ῥεύματα δὲ τύχης, ἄλλοτε ἄλλα εἰς τοὺς ἀν- 62
θρώπους ἔβησαν. ἀντὶ τοῦ, ἔρχονται καὶ μετὰ τέρψεων, καὶ
λυπῶν. [Οὕτω δὲ μοῖρα.] οὕτω δὲ ἡ μοῖρα καὶ ἡ τύχη, ἥτις
ἔχει καὶ συνέχει τὸν εὔφρονα, καὶ εὐφραντικὸν πότμον τὸν πα-
τρῷον, καὶ τὴν εὐδαιμονίαν. τῶνδε, ἤτοι τῶν προγόνων τῶν
σῶν, ὄλβῳ καὶ εὐδαιμονίᾳ θεόρτῳ, καὶ θεοπέμπτῳ. ἐκ γὰρ θε-
ῶν τὰ ἀγαθὰ τοῖς ἀνθρώποις παραγίνεται, ἄγει καὶ ἐπί τι
πῆμα παλιντράπελον ἐν ἄλλῳ χρόνῳ· λέγω δὴ τὸ τοῦ Οἰ-
δίποδος. λέγει δὲ ὅτι ἡ μοῖρα ἡ φύσιν ἔχουσα μεταβάλ-
λειν ἅπαντα, τὴν ἄνωθεν ἐκ θεῶν ἐπελθοῦσαν τοῖς σοῖς
προγόνοις εὐδαιμονίαν, ἐπὶ δυστυχίαν μετέβαλεν. ἔχει δὲ
λόγον τὸ πατρῷον, καὶ πρὸς τὸ πῆμα συνάψαι. ἤγουν,
πρὸς πατρικὸν ἄγει πῆμα. διὰ τὸ τοῦ Οἰδίποδος πάθος,
ὃ καὶ ἐπάγει. Οὕτω δὲ ἡ μοῖρα ἥ τις συνέχει τὴν πατρῴαν
τύχην τούτων, ἡδεῖαν σὺν ὄλβῳ, ἤγουν, εὐδαιμονίᾳ ὑπὸ
θεοῦ ὡρμημένῃ, ἄλλῳ χρόνῳ, ἀντὶ τοῦ, κατά τινα χρόνον,
καὶ ἐπί τινα βλάβην ἄγει παλιντράπελον, ἤγουν, ἐπὶ τὸ
ἐναντίον τετραμμένην· ἐξ ἐκείνου τοῦ χρόνου, ἀφ' οὗ ἔκτεινε
τὸν Λάϊον ὁ υἱὸς αὐτοῦ ὁ ἐκ μοίρας δαίμονος τεταγμένος,
ἀποκτενεῖν αὐτὸν συναντήσας. τὸν παλαιὸν δὲ χρησμὸν,
τὸν χρησθέντα ἐν τῇ Πυθῶνι, τελεσθῆναι ἐποίησεν. [Ἰδοῖ-
σα δέ.] ἰδοῦσα γὰρ ὀξέως ἡ ἔφορος τῶν ἀδικουμένων θε- 73
ὸς φονευθῆναι ἐποίησε τὸ γένος. ἤγουν, τοὺς υἱοὺς αὐτοῦ τοῦ Οἰ-
δίποδος δηλονότι. τοὺς ἀρηΐους, τουτέστι, τοὺς πολεμικοὺς καὶ
γενναίους. ἢ τοὺς ὑπὸ τοῦ Ἄρεος καταγομένους, δι' ἀλληλοφονί-
ας. πεσόντος δὲ τοῦ Πολυνείκους, ἤγουν, φονευθέντος, ὑπε-
λείφθη ὁ Θέρσανδρος ὁ υἱὸς αὐτοῦ, τιμώμενος ἐν ἀγῶσι νέοις
ἁρμόζουσι, καὶ ἐν μάχαις πολέμου, βλάστημα τῶν Ἀδραστιδῶν·
ἀντὶ τοῦ, τῆς Ἀδραστίδος. τουτέστι τῆς θυγατρὸς τοῦ Ἀδράστου βοη-

θὸν

ξὸν τῶν δόμων. οὗτος γὰρ σὺν τῷ Διομήδει ἐπιστρατεύσας
ταῖς Θήβαις, ἐξεδίκησε τὸν τοῦ πατρὸς αὐτοῦ φόνον. ὅθεν, ἤγουν
ἀπὸ τοῦ Θερσάνδρου, ἔχουσι ἀρχὴν τοῦ σπέρματος, τουτέστι, τοῦ
75 γένους, οἱ περὶ τὸν Θήρωνα δηλονότι. [Ἀρήϊον.] πολεμικόν.
ἤγουν, τὸ ἐξ Ἄρεος καταγόμενον. ἐξ Ἀφροδίτης γὰρ καὶ Ἄρεος
81 Ἁρμονία ἡ προμήτωρ αὐτῶν. [Ἀρωγὸν δόμοις.] τοῖς πατρι-
κοῖς, ἤτοι ταῖς Θήβαις. ὕστερον γὰρ μετὰ Διομήδους ἐπιστρα-
τεύσας, αὐτὰς παρεστήσατο, ἐκδικήσας τὸν αὐτοῦ πατέρα, ἢ ἀρω-
82 γὸν δόμοις, ἤτοι τῆς αὐτοῦ βασιλείας ὑπέρμαχον. [Ὅθεν.] ἤγουν
ἀπὸ τοῦ Θερσάνδρου, οὕτως. ἐκ Λαΐου, Οἰδίπους. Οἰδίποδος,
Ἐτεοκλῆς καὶ Πολυνείκης· Πολυνείκους, Θέρσανδρος· οὗ, Τι-
σαμενός· οὗ, Αὐτεσίων· οὗ, Θήρας· οὗ, Σάμος. οὗτος ἔσχεν υἱοὺς
δύο, Τηλέμαχον καὶ Κλύτιον. ὧν, ὁ μὲν Κλύτιος ἔμεινεν ἐν
Θήρᾳ τῇ νήσῳ· ὁ δὲ Τηλέμαχος κατῴκει ἐν χώρᾳ. ὅθεν
συλλέξας δύναμιν, ἔρχεται εἰς Σικελίαν, καὶ κρατεῖ τῶν τό-
πων. ἐξ οὗ, Χαλκιοπεὺς· οὗ, Ἐμμενίδης· οὗ, Αἰνησίδαμος, ὁ τοῦ
83 Θήρωνος πατήρ. [Πρέπει τὸν Αἰνησιδάμου] υἱὸν τὸν Θήρωνα τυγ-
χάνειν ἐγκωμιαστικῶν τε μελῶν καὶ λυρῶν· ἀντὶ τοῦ καὶ λυρι-
κῶν μελῶν. κατὰ μὲν γὰρ τὴν Ὀλυμπίαν αὐτὸς βραβεῖον ἐδέ-
ξατο. ἐν τῇ Πυθῶνι δὲ καὶ τῇ Ἰσθμοῖ κοινῶν ἵππων χάρι-
τες εἰς τὸν ἀδελφὸν αὐτοῦ, τὸν ἐν τῷ αὐτῷ κλήρῳ ὄντα, ἄνθη
ἤγαγον· ἀντὶ τοῦ τὰ ἐξαίρετα· τὰς νίκας τῶν δυωδεκαδρό-
μων τῶν ἁρμάτων. δωδεκάκις γὰρ περιέρχεται τὸν δρόμον τὰ τέ-
93 λεια ἅρματα. [Τὸ δὲ τυχεῖν] τινὰ ἀγωνίας, ἀντὶ τοῦ νίκης ἐν
ἀγῶνι πειρώμενον· τουτέστι, ζητοῦντα τυχεῖν αὐτῆς, παραλύει
ἀντὶ τοῦ ἀπολύει, ἐλευθεροῖ τῶν ἀλγεινῶν. εὔφρον τὸ ἡδύ. δύσ-
φρον τὸ ἐναντίον· ἤγουν τὸ ἀλγεινόν. ὁ δὲ πλοῦτος ὁ πεποι-
κιλμένος ἀρεταῖς, τουτέστιν ὁ τῶν ἀρετῶν πλοῦτος, διδάσκει τὸ
ἔγκαιρον τῶν, καὶ τῶν, ἀρίστως ἀντὶ τοῦ πάντων, ἤτοι τῶν ἀγα-
θῶν, καὶ λυπηρῶν, διάνοιαν διδοὺς βαθεῖαν, ἤγουν συνετήν,
ἀγρευτέραν, τουτέστιν, ἀγρευτικὴν τῶν καλῶν. ἀστὴρ ὢν δηλονό-
τι ἀρίζηλος· φῶς ἀνθρώπῳ ἀληθινόν. τοῦτο λέγει ὅτι αἱ τῷ
Ξενοκράτει κατορθωθεῖσαι νῖκαι, διὰ τεσσάρων εἴς τε τὰ Πύ-
θια καὶ τὰ Ἴσθμια καὶ τοῦ Θήρωνος εἰσίν. ἢ ὅτι τοὺς ἵππους
κοινοὺς ἐκέκτηντο. μεθ' ὧν μόνος Ξενοκράτης ἀπελθών, ἐνί-
κησεν. ἢ ὅτι τοῦ Ξενοκράτους στεφάνων καὶ Θήρων μετέχει. εἰ γὰρ
τὰ τῶν φίλων κοινά, πόσῳ γε δὴ μᾶλλον τὰ τῶν ἀδελφῶν. [Τὸ
δὲ τυχεῖν.] τὸ δὲ πειρώμενον ἀγωνίας, ἤτοι ἀγωνιζόμενον κα-
τορθῶσαι τὸν ἀγῶνα καὶ νικῆσαι, τοῦτο γάρ ἐστι τὸ τυχεῖν, πα-
ραλύει καὶ ἐκβάλλει τὸν νικήσαντα τῶν δυσφρόνων. ἤτοι τῶν πρὶν
προσόντων αὐτῷ ἀλγεινῶν, ἢ δυστυχιῶν. ἡ γὰρ τῆς νίκης λαμ-
πρότης, λήθην τῶν ἔμπροσθεν τίθησι. εἰκότως δὲ δύσφρονα τὰ
ἀλγεινὰ λέγει, ἢ τὴν δυστυχίαν. ἥτε γὰρ δυστυχία καὶ ἡ λύπη, καὶ
τὸ συνετώτατον τοῦ λελογισμένου κατάγει. τοῦτο δὲ λέγει εἰς τὸν
αὐτὸν σκοπὸν, εἰς ὃν ἔμπροσθεν ἔλεγε· τῶν δὲ πεπραγμένων ἐν
δίκᾳ, καὶ τὰ ἑξῆς. ὁ πλούτῳ κεκοσμημένος καὶ ἀρεταῖς κα-
τάκοσμος οὔτε ὑπὸ τῆς ἐπελθούσης αὐτῷ εὐτυχίας ἐπαίρεται,
οὔτε ὑπὸ δυστυχίας χαυνοῦται. διὸ δεῖ τῷ πλουτοῦντι καὶ ἀρετῆς,
εἰ μέλλει καλῶς τὸν ἅπαντα αἰῶνα διάξειν. φησὶ δὲ καὶ Καλ-
λίμαχος, Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέ-
ξειν, Οὔ τ' ἀρετὴ ἀφένοιο. δίδου δ' ἀρετήν τε καὶ ὄλβον.
καὶ Σαπφώ. Ὁ πλοῦτος ἄνευ ἀρετῆς, οὐκ ἀγαθὸς σύνοικος. ἡ
δ' ἐξ ἀμφοτέρων κρᾶσις, εὐδαιμονίας ἔχει τὸ ἄκρον. τοῦτο
102 προσεῖναι τῷ Θήρωνι μαρτυρεῖ. [Εἰ δέ μιν ἔχει.] εἰ γὰρ ἔχει
τις αὐτὸν, ἤγουν τὸν τῆς ἀρετῆς πλοῦτον, οἶδε τὸ μέλλον, ὅτι τῶν
θανόντων μὲν αἱ φρένες αἱ ἀπάλαμνοι. τουτέστι αἱ ἀδιόρθωτοι,
αἱ ἀπαιδαγώγητοι, πρὸς ἃς οὐκ ἔστι μηχανήσασθαί τι. ἐνθάδε
αὐτίκα, ἀντὶ τοῦ τάχιστα τιμωρίας ἔτισαν. ἀντὶ τοῦ ὑπέχουσι. τὰ
δὲ ἁμαρτήματα τὰ ἐν ταύτῃ τῇ ἡγεμονίᾳ τοῦ Διός, ἤγουν τὰ
ἐν τῷ κόσμῳ, ὑποκάτω τῆς γῆς κολάζει τις· ἤγουν ὁ Πλού-
των, ἀπόφασιν δοὺς ἀνάγκης ἐχθρᾶς, τοῖς κολαζομένοις δηλο-
104 νότι. Τὸ [Ἐνθάδε,] πρὸς τὸ ἀπάλαμνοι συναπτέον. τὸ δὲ αὐ-
τίκα, πρὸς τὸ ἔτισαν, οὕτως. αἱ ἀπάλαμνοι καὶ βίαιοι φρένες
τῶν θανόντων, ἤγουν οἱ συκοφάνται καὶ οἱ πονηροὶ καὶ βίαιοι ἐν
τῷ βίῳ, ἀποθανόντες ποινὰς ὧν ἥμαρτον ἔτισαν καὶ ἀπέδωκαν
αὐτίκα ἐν ᾅδου. [Διὸς ἀρχᾷ.] Διὸς ἀρχὴ ὁ οὐρανὸς καὶ ὁ κό- 106
σμος. Ποσειδῶνος θάλασσα, καὶ πάντα τὰ ὕδατα. Πλούτω-
νος, τὰ ὑπὸ γῆν καὶ ὁ Τάρταρος. [Ἀνάγκᾳ.] ἀνάγκην 108
λέγει τὴν ἀπόφασιν. συνάπτε δὲ τὸ ἐχθρᾷ ἀνάγκᾳ πρὸς τὸ δικά-
ζει, τοῦ δὲ φράσας διὰ μέσου ὄντος, δικάζει τις. τῇ ἐν ἐχθρᾷ
καὶ ἀποτόμῳ ἀνάγκᾳ. φησὶ τὸν λόγον, καὶ τὴν τῆς καταδίκης ἀπόφα-
σιν. εἰκότως δὲ εἶπε τὸ ἐχθρᾷ καὶ τὸ ἀνάγκᾳ. τὸ μὲν ἀνάγκᾳ.
διότι ἀπαραίτητόν ἐστι τὸ ἐκεῖ δικαστήριον. τὸ δὲ ἐχθρᾷ, διότι
οὐδεὶς ἐκεῖ φίλος. ἀλλ' ἕκαστος ἐκ τῶν ἔργων δικάζεται καὶ κατα-
κρίνεται. οἱ δὲ ἐσθλοὶ καὶ ἀγαθοὶ ἔχοντες αἰεὶ καὶ πάντοτε ἥλι-
ον ἐπίσης ἐν ἡμέραις καὶ νυξὶ, τουτέστιν ὅσον καιρὸν ἡμεῖς
ἔχομεν ἡμέραν καὶ ὅσον νύκτα, ἐκεῖνοι ἀεὶ ἐλλαμπόμενοι, νέ-
μονται βίον ἀπονέστερον τοῦ ἐν τῷ βίῳ. [Ἶσον δὲ νύκτεσσιν.] 109
ον δὲ ἀγαθοὶ ἐπίσης ἐν ταῖς νυξίν. ἐπίσης δὲ ἐν ταῖς ἡμέ-
ραις ἥλιον ἔχοντες, ἤγουν ἀεὶ ἐν φωτὶ ὄντες, ἀπονέστερον, ἀν-
τὶ τοῦ ἄπονον, ἀκοπίαστον ζωὴν νέμονται· τουτέστι διάγουσιν. οὐ
χθόνα ταράσσοντες διὰ τῆς ἰσχύος τῶν χειρῶν. ἤγουν, οὐ γεωρ-
γοῦντες. οὐδὲ τὸ τῆς θαλάσσης ὕδωρ ταράσσοντες. ἤγουν, οὐδὲ
ναυτιλίᾳ χρώμενοι διὰ ματαίαν τροφήν. οἷα κάμνουσιν ἐν τῇ
παρούσῃ ζωῇ οἱ ἄνθρωποι, ἵνα βίον πορίσωνται. ἀλλὰ παρὰ
μὲν τοῖς τιμίοις ἀπὸ τῶν θεῶν, ἤγουν τοῖς ἐν ᾅδου, τῷ Πλούτω-
νι δηλονότι καὶ τῇ Περσεφόνῃ, ἄλυπον βίον διάγουσιν ἐκεῖνοι,
οἵτινες ἔχαιρον εὐορκίαις· τουτέστι τρόποις εὐσεβέσι καὶ δικαίοις.
οἱ δὲ, ἤγουν οἱ τῆς ἑτέρας μερίδος, οἱ κακοὶ δηλονότι καὶ ἀπαι-
δαγώγητοι ἔχοντες γνώμας, πόνον ὀκχέοντι, τουτέστιν ὑφίσαν-
ται. ἀπὸ μεταφορᾶς τῶν ὀχημάτων. ἀπροσόρατον, ἤγουν μέ-
γαν, καὶ οὐ προσβλέπεσθαι δυνάμενον. μεταφορικῶς ἀντὶ τοῦ
ἀνύποιστον. δέον εἰπεῖν κενῶς, καὶ ματαίως γὰρ οἱ ἄνθρωποι
περὶ τὸ ζῆν σπεύδουσιν. ἐπεὶ καὶ τὸ ζῆν μάταιον, κεινὰν εἶπε
πρὸς τὸ δίαιταν. [Ὀκχέοντι.] ὄκχος γὰρ τὸ ὄχημα. ὡς ἐν 122
ἄλλοις οὗτος. Ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ βάσομεν ὄκχον.
[Ὅσοι δ' ἐτόλμησαν.] ἔνιοι φασὶ, τὴν κατὰ Πυθαγόραν παλιγ- 123
γενεσίας μνημονεύειν. οὗτος γὰρ τὰς ψυχὰς εἰς ἕτερα σώματα
εἰσδυούσας, φησὶν ἀναβιοῦσθαι. [Ἄλλως.] Τῷ τῆς μετεμψυχώ-
σεως δόγματι καὶ Πίνδαρος κέχρηται, ἀρχὴν ἐξ Ὁμήρου ἔχων.
λέγει γὰρ ἐκεῖνος, Μήτ' εἴης βουγάϊε, μήτε γένοιο. ὁ Πυθα-
γόρας ἐκδεξάμενος, πλατύτερον εἰς μέσον ἐξενήνοχεν. ὅτι δὲ
καὶ Πλάτων τῶν τοῦτο πιστευόντων ἦν, μαρτυρεῖ Φαίδων. ὃ δὲ
λέγει, τοιοῦτόν ἐστιν. ὅσοι δὲ τῶν ἀνθρώπων ἐτόλμησαν καὶ ἠθέλη-
σαν ἔχειν τὴν ψυχὴν ἄπο καὶ μακρὰν τῶν ἀδίκων πάμπαν καὶ
παντελῶς, μείναντες ἐς τρὶς καὶ ἐκ τρίτου ἑκατέρωθι. ἤγουν
ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ, ἔτειλαν καὶ ἐπορεύθησαν Διὸς
ὁδόν. ἤγουν, ἣν αὐτοῖς ὁ Ζεὺς ἔταξε. παρὰ τὴν τύρσιν καὶ
τὴν πόλιν τοῦ Κρόνου. ἤγουν ἐν ταῖς τῶν μακάρων νήσοις. ἐγί-
νετο δὲ ἡ ἐκ τρίτου διαγωγὴ καὶ ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ,
εἰς δόκιμον ἀκριβές· αἱ δὲ τῶν μακάρων νῆσοι ἐν τῷ ὠκεανῷ
εἰσίν· ὥς φησιν Ὅμηρος. Ὠκεανὸς δ' ἀνίησι παραψυχὴν ἀνα-
ψύχειν Ἀνθρώπους. [Ὅσοι δ' ἐτόλμησαν] ὅσοι δὲ ἐτόλμησαν,
τουτέστιν ὑπέμειναν μέχρι τρίτης μετεμψυχώσεως ἐν ἑκατέ-
ροις τοῖς μέρεσιν, ἤγουν ἐνταῦθα καὶ ἐν τῷ ᾅδῃ μείναντες
ἀπέχειν τὴν ψυχὴν, τουτέστι κεχωρισμένην ἔχειν τῶν ἀδικιῶν,
ἔτειλαν ἀντὶ τοῦ ἐστείλαντο. ἤγουν ἐπορεύθησαν τὴν τοῦ Διὸς ὁδόν.
ἣν ὁ Ζεὺς δηλονότι αὐτοὺς πορεύει. λέγω παρὰ τὴν πόλιν τοῦ
Κρόνου, τουτέστι, παρὰ τὴν πόλιν ἔνθα ὁ Κρόνος ἔχει τὴν οἴκησιν.
ἔνθα τὰς νήσους τῶν μακάρων αἱ τοῦ ὠκεανοῦ αὖραι περιπνέ-
ουσιν. ἀντὶ τοῦ ἔνθα αἱ τῶν μακάρων εἰσὶ νῆσοι, ὑπὸ τῶν αὐρῶν τοῦ
ὠκεανοῦ περιπνεόμεναι. [Ἄνθεμα δὲ χρυσοῦ φλέγει.] ἄνθη 130
δὲ χρυσοῦ λαμπρότατα λάμπει. τὰ μὲν, ἀπὸ τῆς γῆς, ἀπ'
ἀγλαῶν, ἀντὶ τοῦ εὐθαλῶν, δένδρων. ἄλλα δὲ τρέφει τὸ ὕδωρ.
ἀφ' ὧν ἀναπλέκουσι ταῖς χερσὶ τοὺς περιτραχηλίους κόσμους καὶ
στεφάνους, κατὰ τὰς κρίσεις τὰς δικαίας τοῦ Ῥαδαμάνθυος. ὃν ὁ
πατὴρ πάντων ὁ Κρόνος, ἔχει παρακαθήμενον ἑαυτῷ ἕτοιμον,
τουτέστιν ἀχώριστον, ὁ ἀνὴρ τῆς Ῥέας τῆς ἐχούσης θρόνον ὑψηλότα-
τον πάντων. [Ὅρμοισι τῶν.] τοῦτο οὕτω λέγε. τῶν καὶ ἀφ' ὧν 135
ἀναπλέκουσι τὰς χεῖρας ἐν ὅρμοις, καὶ ἐν στεφάνοις, τὰς ἑαυτῶν

κεφαλὰς δηλονότι. καὶ ἔστιν ὅμοιον τῷ παρ' Εὐριπίδῃ. Μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον, μὴ λαμπρὸς αἰθήρ. τὸ
138 πνεῦμά μου δηλονότι. [Ον πατήρ.] ὅν τινα Ῥαδάμανθυν ἔχει πάρεδρον καὶ συγκάθεδρον, ἕτοιμον καὶ πρόχειρον καὶ αὐτόκλητον, ὁ πατὴρ πάντων Κρόνος ὁ πόσις καὶ ὁ ἀνὴρ τῆς Ῥέας, τῆς
141 ἐχούσης θρόνον ὑπέρτατον καὶ ἔξοχον πάντων. [Πηλεύς τε καὶ Κάδμος.] ὁ Πηλεύς τε καὶ ὁ Κάδμος ἐν τούτοις, τοῖς τῶν μακάρων νήσοις λαχοῦσιν, οἰκεῖν δηλονότι, συγκαταλέγονται. καὶ τὸν Ἀχιλλέα ἤνεγκεν, ἀντὶ τοῦ πεμφθῆναι ἐποίησεν ἡ μήτηρ αὐτοῦ ἡ Θέτις. ἐπεὶ διὰ δεήσεων ἔπεισε τὴν ψυχὴν τοῦ Διός. ὅς, ἤγουν ὁ Ἀχιλλεύς, ἔσφηλεν ἀντὶ τοῦ κατέστρεψε τὸν Ἕκτορα τὸν ἀκλινῆ κίονα τῆς Τροίας τὸν ἄμαχον. τουτέστι τὸν ἀνυπόστατον ἐν ταῖς μάχαις. καὶ τὸν Κύκνον τὸν τοῦ Ποσειδῶνος δηλονότι, τῷ θανάτῳ παρέσχεν. ἤγουν ἐθανάτωσε· καὶ τὸν παῖδα τῆς Ἡμέρας τὸν Μέμνονα, τὸν ἀπὸ Αἰθιοπίας. εἰκότως εἶπε τὸν Ἕκτορα κίονα. ἐκεῖνος γὰρ ἦν ἔρεισμα τῆς Τροίας. οὐ παρόντος, εὐθὺ σαθρὸν τὸ
147 Ἴλιον εἰσήκει. Ἱστορία. [Κύκνον τε θανάτῳ πόρε.] δύο Κύκνοι ἐγένοντο. ὁ μὲν Ἄρεος υἱός· ὃς ἐν Θετταλίᾳ τοὺς παριόντας λοχῶν, καὶ ἀποκτείνων, καὶ βουλόμενος ταῖς κεφαλαῖς ναὸν ἀνεγεῖραι τῷ πατρί, ὃν Ἡρακλῆς ἀπέκτενεν· ὁ δὲ Ποσειδῶνος παῖς ἔχων καὶ συμμαχῶν τοῖς Τρωσίν, ἱστάμενος ἐν στενῷ τῆς ἐκεῖ θαλάσσης· καὶ οὐκ ἐῶν τοὺς Ἕλληνας ἀποβῆναι· ὃν Ἀχιλλεὺς
148 ἀπέκτεινεν. [Ἀοῦς τε παῖδα.] Τιθωνοῦ καὶ Ἡμέρας δύο παῖδες γίνονται· Μέμνων καὶ Ἠμαθίων· ὧν ὁ μὲν ἀνῃρέθη ὑπ' Ἀχιλλέως. Ἠμαθίων δὲ ὑφ' Ἡρακλέους· κατὰ τὴν ἀπελασίαν τῶν Γηρυόνου βοῶν. ἐμυθεύσαντο δὲ αὐτοὺς Ἡμέρας εἶναι παῖδας, διὰ
149 τὸ Αἰθίοπας ὄντας, λευκοὺς καὶ ὡραίους εἶναι. [Πολλά μοι ὑπ' ἀγκῶνος.] πολλὰ βέλη ταχέα ὑποκάτω τοῦ ἀγκῶνός μου εἰσίν, ἔνδον τῆς βελοθήκης φωνᾶντα. ἤγουν φωνὴν ἀφιέναι δυνάμενα συνετοῖσιν, παρὰ τοῖς φρονίμοις· ἀντὶ τοῦ, πολλὰ νοήματα ὀξέα ἐν τῇ ψυχῇ μου εἰσὶ ζῶντα παρὰ τοῖς φρονίμοις. ὡς ὅτι πᾶσι δὲ ἑρμηνέων ἔχει χρείαν. φωνήεντα, τὰ φωνὴν ἀφιέναι δυνάμενα. φωνήεντα δὲ γράμματα, τὰ φωνεῖσθαι μόνον δυνάμενα, κατ' ἐναντιότητα τῶν συμφώνων. ἃ σὺν
154 τοῖς φωνήεσιν ἀεὶ ἐκφωνεῖται, καὶ οὐδέποτε μόνα. [Σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ·] ἀντὶ τοῦ φύσει. τουτέστιν ἀπὸ φύσεως. φυὴ ἡ ἀναδρομὴ τοῦ σώματος. ἐνταῦθα δὲ φυᾷ, ἀντὶ τοῦ φύσει. οἱ μαθόντες δέ, ἀντὶ τοῦ οἱ ἀπὸ μαθήσεως δὲ εἰδότες, καὶ οὐκ ἀπὸ φύσεως, πρὸς τὸν ἔχοντα δηλονότι τὴν ἰσχὺν ἀπὸ φύσεως, ὥσπερ κόρακες, λάβροι γαρύετον· ἀντὶ τοῦ κράζουσιν ἀπέραντα. παγγλωσσίᾳ, τουτέστι συγκεχυμέναις φωναῖς, πρὸς τὸν θεῖον ὄρνιθα
160 τοῦ Διός. ἤγουν τὸν ἀετόν. [Ἔπεχε νῦν σκοπῷ.] ἀντὶ τοῦ, ἐπίσχων ἤδη εὔθυνε ὦ θυμὲ κατὰ τὸν σκοπὸν τὸ τόξον. ἀντὶ τοῦ χαλιναγωγῶν τὸν λόγον, ἀπὸ τῆς ἔξω τοῦ καιροῦ, ὅτι τὴν προκειμένην ὑπόθεσιν ἀπότεινε. φυᾷ, ἤγουν ἐκ φύσεως καὶ οὐκ ἀπὸ μαθήσεως ὄντα. τοιοῦτος δὲ ἐγώ, πάντα ῥήμασι καταποικίλλων τὰ ποιήματα, καὶ φράσει ποικίλῃ, καὶ πολλοῖς ἄλλοις, ἃ οἴκοθεν καὶ οὐκ ἀπὸ μαθήσεως ἐξεῦρον καὶ ἐμηχανησάμην. οἱ δὲ μαθόντες γαρύετον καὶ βοῶσιν ἄκραντα καὶ ἀτελείωτα. λάβροι καὶ σφοδροὶ ἐν παγγλωσσίᾳ καὶ πολυλογίᾳ, ὥσπερ κόρακες πρὸς τὸν θεῖον ὄρνιθα τοῦ Διός· ἤγουν ἐμέ. τουτέστιν, οἱ μὲν ἄλλοι ποιηταί, λέγει δὲ διὰ τὸν Βακχυλίδην, ἐπεὶ γὰρ ἀντήριζεν αὐτῷ, περιττολόγοι εἰσὶν ἐν τοῖς αὐτῶν ποιήμασι καὶ ἄκραντα λέγουσιν. ἐγὼ δὲ τὸ προσῆκον πανταχοῦ τηρῶ. καὶ οὐκ ἐκφέρομαι τοῦ εἰκότος. ὥστε ἐκεῖνοι μέν, τοιοῦτοι ὄντες, κόρακές εἰσιν ὡς πρὸς ἐμέ. ἐγὼ δὲ ἀετός. ὅσῳ γὰρ ἀετὸς κόρακος κρείττων, τοσοῦτον ἐγὼ τούτων βελτίων. εἰκότως εἶπε, τὸ μαλθακῶς πρὸς ἀντιδιαστολὴν τοῦ τόξου. τὸ μὲν γὰρ σκληρόν ἐστι καὶ πικρίαν ἐμποιοῦν, πρὸς οὓς πέμπει τὰ βέλη. αὕτη δέ, εὐφροσύνης αἰτία τοῖς ἐγκωμιαζομένοις καθίσταται. [Αὐδάσομαι.] ἤγουν λέξω ἐν ἀληθεῖ νόῳ, λόγον ἐνόρκιον, καὶ μετὰ ὅρκου, μὴ τεκεῖν καὶ γεννῆσαι πόλιν ἑκατὸν ἐτῶν καὶ χρόνων τινὰ ἄνδρα ἐν ταῖς πραπίσι καὶ φρονήσεσιν εὐεργέτην τοῖς φίλοις μᾶλλον καὶ πλειονότερον τοῦ Θήρωνος, καὶ ἀφθονέστερον καὶ δαψιλέστερον κατὰ τὴν χεῖρα, ἤτοι τὸ διδόναι. εἰ μὲν τό, τινὰ πρὸς τὸ ἄνδρα συνάψῃς πόλιν ἑκατὸν ἐτῶν, νοήσεις τὴν Ἀκράγαντα. ἐν γὰρ τῇ πεντηκοστῇ Ὀλυμπιάδι ἐκτίσθη. Θήρων δὲ ἐν τῇ ἑβδομηκοστῇ ἐνίκησεν. ἐπειδὴ οὖν εἴκοσιν Ὀλυμπιάδες διὰ μέσου εἰσίν, ἡ δὲ Ὀλυμπιὰς διὰ πέντε χρόνων ἐγίνετο, ἑκατὸν χρόνων ἀριθμὸς γίνεται. πεντάκις γὰρ εἴκοσιν ἑκατόν. εἰ δὲ πρὸς τό, πόλιν τὸ τινὰ συνάψεις, ἀορίστως εἴποις τὸ πόλιν. τοῦτο δὲ ποιῶν, μὴ λάβῃς πρό, ἢ ἕως, εἰς τὸ ἑκατὸν ἐτῶν. ἀλλὰ χωρὶς τούτων λέγε, τινὰ πόλιν ἑκατὸν ἐτῶν. εἰ γὰρ ἀεὶ τὸν κόσμον οἱ χρόνοι, ἐν δὲ τῷ κόσμῳ αἱ πόλεις, καλῶς ἂν ἔχοι λέγειν, καὶ τὰς πόλεις τῶν χρόνων. νόει δὲ τὸν λόγον, καὶ ὅτι μέλλοντος, καὶ παρῳχημένου. τὸ γὰρ τεκεῖν οὐ μόνον μέλλοντα χρόνον δηλοῖ. μέλλων γὰρ δεύτερος τὸ τεκεῖν, ἀλλὰ καὶ παρῳχημένον. τεκεῖν γὰρ καὶ ἀντὶ τοῦ τέξαι, καὶ ἀντὶ τοῦ τέξειν φαμέν. [Ἄγε θυμέ.] 161
ἄγε εἰπὲ ὦ θυμέ, ἤγουν ὦ ψυχή, τίνα βάλλομεν, ἤγουν τοξεύομεν, οἰστοὺς πέμποντες ἐνδόξους. ἀπὸ ἡμέρου καὶ φιλικῆς φρενός. τουτέστι, τίνα ἐγκωμιάζομεν. ὅτι τὸν Ἀκράγαντα τάνυσον, ἤγουν, ἕλκυσον τὸ τόξον δηλονότι. ἀντὶ τοῦ ὅτι τὴν Ἀκράγαντα ἀπότεινε τὸν λόγον. [Αὐδάσομαι.] ἀντὶ τοῦ λέγω. 166
διαβεβαιώσομαι λόγον σὺν ὅρκῳ κατὰ ἀληθῆ διάνοιαν, μηδένα ἄλλον ἄνδρα ἐφ' ἑκατὸν ἐτῶν, ἤγουν ἐντὸς ἑκατὸν ἐνιαυτῶν, τεκεῖν τὴν πόλιν εὐεργέτην πρὸς τοὺς φίλους [* Φρονήσεσι] του- 171
τέστι, διὰ τῆς ἑαυτοῦ φρονήσεως μᾶλλον· ἀφθονέστερόν τε κατὰ τὴν χεῖρα. ἀντὶ τοῦ κατὰ τὴν δωρεάν. τουτέστι, μεγαλοδωρότερον τοῦ Θήρωνος. εἰκότως εἶπε τὸ κόρος. ὥσπερ γὰρ ὁ κόρος παραβολὴν τοῦ στομάχου καὶ διαφθορὰν ἐργάζεται. ἔστι δ' ὅτε καὶ ὀργανικὴ βλάβη ἐντεῦθεν γίνεται. οὕτω καὶ ὅτι τὸν αἶνον τοῦ Θήρωνος. ἤτοι τὸ ἐκ τῶν μεγάλων εὐεργεσιῶν γινόμενον αὐτῷ θαῦμα, ἐπῆλθε κόρος καὶ φθόνος. Κάπυς γὰρ καὶ Ἱπποκράτης, καίτοι πολλὰ ὑπὸ Θήρωνος εὐεργετηθέντες, ὅμως ὡς ἑώρων αὐτοῦ τὴν ἀρχὴν αὐξομένην φθονήσαντες μετέστησαν πρὸς Ἱέρωνα, καὶ πόλεμον ἐγείραντες, κατ' αὐτοῦ ἐπεφέροντο τὴν ἀρχὴν καθαιρεῖν. ἀλλ' οὐδὲν ἠδυνήθησαν ὧν ἐβούλοντο πρᾶξαι. [Ἀλλ' 173
αἶνον ἔβα κόρος.] ἀλλὰ ὅτι τὸν ἔπαινον, ἀντὶ τοῦ κατὰ τὸν ἔπαινον ἄξιον καλῶν τοῦ Θήρωνος, ἐκινήθη κόρος. ἀντὶ τοῦ ὕβρις ἀπὸ ἀγανακτήσεως. οὐ σὺν τῷ δικαίῳ συναντῶν, τουτέστι συμβαίνων. ἀλλ' ὑπ' ἀνδρῶν μάργων, ἤγουν μανικῶν, φθονερῶν. θέλων διὰ τὸ θορυβῆσαι, κρύφιον ποιῆσαι, ἀντὶ τοῦ κρύφιον, τουτέστι κεκρυμμένον, ἄδοξον τῶν ἀγαθῶν, τουτέστι, διὰ τῶν κακῶν ἔργων· ἢ ἀφανισμὸν ποιῆσαι τοῖς καλοῖς ἔργοις τῶν ἀγαθῶν ἀνθρώπων. [Ἐπεὶ ἡ ψάμμος ἀριθμὸν περιπέφευ- 178
γεν.] ἀντὶ τοῦ, διαπέφευγεν, ὅσα ἐκεῖνος, ἤγουν ὁ Θήρων, χάρματα, τουτέστιν, ἡδέα, τερπνά, χάριν ἄλλων ἐποίησε, τίς ἂν δύναιτο φράσαι, ἤγουν εἰπεῖν, διηγήσασθαι. τὸ ἐπεὶ ψάμμος ἁρμόζεται τῇ ἐννοίᾳ, πρὸς τὸ φίλοις εὐεργέτην. τὸ δὲ ἀλλ' αἶνον μέχρι τοῖς ἔργοις, διὰ μέσου παρεμβατικώτερον εἴρηται. καὶ τίς ἂν φράσαι καὶ ἐξειπεῖν δύναιτο τὰ χάρματα, καὶ τὰς ἐκ τῶν εὐεργεσιῶν χαράς, ὅσα ἐκεῖνος ὁ Θήρων τοῖς καλοῖς ἔδωκεν. ἐπεὶ ἡ ψάμμος τῆς θαλάσσης περιπέφευγε τὸν ἀριθμόν. ἤτοι οὐ δύναται, τί ἐστιν, ἀριθμεῖσθαι. τουτέστιν, ὥσπερ ἡ ψάμμος ἀναρίθμητός ἐστιν, οὕτω καὶ αἱ τούτου πρὸς ἀνθρώπους εὐεργεσίαι.

* Schol. leg. Φρονήσεσι pro πραπίσι, quam vocem metri ratio non fert.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΤΟΥ ΤΡΙΤΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

Τοῦ τρίτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων θ'. Τὸ α', ἐγκωμιολογικὸν, καταληκτικόν. ἤγουν, ἀπὸ δύο πενθημιμερῶν, προτέρου δακτυλικοῦ, καὶ δευτέρου ἰαμβικοῦ. † οὕτω δὲ ἐλέγετο, παρόσον τούτῳ τῷ ῥυθμῷ ἐγκώμια συνετίθεντο τοῖς παλαιοῖς. -υυ-υυ---υ-. Τὸ β', προσοδιακὸν, δίμετρον ἀκατάληκτον. λέγεται δὲ προσοδιακὸν, ὅτι ταῖς προσόδοις, καὶ * προσενέξεσι, προσετερπέσθαι. σύγκειται δὲ ἐξ Ἰωνικοῦ, ἀπὸ μείζονος καὶ χοριάμβου. --υυ-υυ-. Τὸ γ', προσοδιακὸν δίμετρον. εἷς γὰρ καὶ παρ' ἕνα, οἱ τοιοῦτοι πόδες κεῖνται. --υυ-υυ---υυ. Τὸ δ', προσοδιακὸν † δίμετρον ὑπερκατάληκτον. διατί πλεονάζει τοῖς προσοδιακοῖς, διότι εἰς θεοξένια ἦν ἡ ᾠδή. ἐν οἷς καὶ αἱ πρόσοδοι, ἐξ ἀνάγκης ἀκόλουθοι. --υυ-υυ-υ. Τὸ ε', προσοδιακὸν τρίμετρον καταληκτικὸν, ἀπὸ τροχαϊκῆς συζυγίας, ἀντὶ τοῦ ἀπ' ἐλάττονος Ἰωνικοῦ, ὅπερ ἐστὶ καὶ ἀνακλώμενον. ἀπὸ γὰρ τοῦ τέλους πρὸς τὴν ἀρχὴν Ἰωνικὸν ἀπὸ μείζονος, καθὼς ἦσαν καὶ τὰ πρότερα προσοδιακὰ ὀρθά. -υ---υυ-υυ-. Τὸ ς', ἰαμβικὸν πενθημιμερές. --υ--. Τὸ ζ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. -υ---υ--. Τὸ η', ὅμοιον τῷ πρώτῳ ἐγκωμιολογικὸν, καταληκτικόν. -υυ-υυ---υ-. Τὸ θ', στησιχόρειον, ἐκ μόνων ἐπιτρίτων δευτέρων. ἡ δὲ πρώτη συζυγία καὶ τέταρτον λαμβάνει, διαλυομένου τοῦ πρώτου μακροῦ, εἰς δύο βραχέα. -υ---υ---υ--.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η δὲ ἐπῳδὸς κώλων καὶ αὐτὴ ἐννέα. Τὸ α', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. -υ---υ--. Τὸ β', δακτυλικὸν πενθημιμερές. -υυ-υυ-. Τὸ γ', προσοδιακὸν τρίμετρον καταληκτικὸν ἀνακλώμενον, ἀρχόμενον ἀπὸ τροχαϊκῆς συζυγίας ἀντὶ τοῦ ἀπ' ἐλάσσονος Ἰωνικοῦ. -υ---υυ-υυ-. Τὸ δ', Ἰωνικὸν δίμετρον ἀκατάληκτον. --υ---υ-. Τὸ ε', προσοδιακὸν ἀνακλώμενον. ἀπὸ χοριάμβου δίμετρον ἀκατάληκτον. -υυ-υυ-υ. Τὸ ς', ἐγκωμιολογικὸν καταληκτικὸν, ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. -υυ-υυ---υ-. Τὸ ζ', ἐγκωμιολογικὸν πλῆρες, ἀκατάληκτον. -υυ-υυ---υ-υ. Τὸ η', δακτυλικὸν πενθημιμερές. ἐν δὲ τῇ πρώτῃ ἐπῳδῷ, ἡ δὰς μακρὰ, συναίρεσιν ἔπαθε τῶν βραχέων. ἅπερ εἰσὶ, τὸ μὲν ἓν, τοῦ δακτύλου. τὸ δὲ ἕτερον, ἡ συλλαβή. -υυ-υυ-. Τὸ θ', στησιχόρειον δίμετρον, ὑπερκατάληκτον, ἐξ ἐπιτρίτων δευτέρων. -υ---υ--υ--.

† Edit. Brub. ad marg. λιπούσης συλλαβῆς. * Ed. Brub. προξενήσεσι ἢ προσπέξεσι. † Ed. Brub. ad marg. τρίμετρον.

ΤΩ ΑΥΤΩ ΘΗΡΩΝΙ ΕΙΣ ΘΕΟΞΕΝΙΑ. ΕΙΔΟΣ Γ'.

EIDEM THERONI IN THEOXENIA. ODE III.

ARGUMENTUM.

Occasionem hujus encomii præbuerunt equi Theronis victoriam consequuti: quod ei nuntiatum est quum Theoxenia celebraret. Hinc Pindarus Theronem à corona equorum, & victoriæ loco prædicat. Deinde per digressionem narrat quomodo Hercules ab Hyperboreis oleam impetrarit: & locum in Elide certaminibus Olympicis consecratum oleis ornarit: quomodo etiam aureis cornibus insignem cervam apud Hyperboreos captam in Peloponnesum transtulerit.

στροφὴ α'. κώλων θ'.	Μεταφρ.
Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν,	Tyndaridisq; hospites-amantibus placere,
Καλλιπλοκάμῳ θ' Ἑλένᾳ,	Pulchricomæque Helenæ,
Κλεινὰν Ἀκράγαντα γεραίρων, εὔχομαι,	Inclytum Agrigentum honorans, opto,

PARAPHRASIS.

Instituo inclytum Agrigentum ornare, eximia laude Theronis equos pedibus indefessos celebrando:

NOTÆ.

1 Φιλοξείνοις καὶ leg. Steph. Sic Castorem & Pollucem nominat, vel quia festum Θεοξενίων instituerant, vel quia plurimorum hominum conventu ad illa sacra delectabantur. 2 Καλλιπλοκάμῳ] Gl. MS. α. Καλλιτρίχῳ. 3 Κλεινὰν leg. MSS. Bodl. β. γ.

Τῷ αὐτῷ εἰς θεοξένια.] Οἱ Διόσκουροι κατὰ ἐντολὴν Ἡρακλέους διατεθειμένοι τὸν Ὀλυμπιακὸν ἀγῶνα ὡς ἐνομοθέτησεν Ἡρακλῆς. τούτοις γὰρ εἰς θεοὺς ἀναχωρῶν Ἡρακλῆς, τὴν τῶν Ὀλυμπιακῶν ἀγώνων φροντίδα καὶ ἐπιμέλειαν ἐνεχείρισεν. οὗτοι ἀφ' ἑαυτῶν μετενόησαν πανήγυριν θεοξένια. παρὰ τὸ δοκεῖν, τότε ξενίζειν τοὺς θεούς. θύοντος οὖν τοῦ Θήρωνος εἰς θεοξένια, ἐν τοσούτῳ ἠγγέλθη αὐτῷ καὶ ἑτέρων αὐτοῦ ἵππων νίκη. καὶ εἰς τοῦτο γράφει ὁ ποιητής. ζητεῖται δέ· διατί μὴ Διῒ ηὔξατο ᾧ τὸ ἔτος ὁ ἀγὼν ἀνάκειται, ἢ Ἡρακλεῖ τῷ καταβολεῖ, ἀλλὰ Διοσκούροις; φαμὲν οὖν πρῶτον, ὡς τὸ παρὸν εἰσὶν αὐτοὶ οἱ διοικοῦντες τὸν ἀγῶνα. ἔπειτα ὅ,τε Ζεὺς καὶ Ἡρακλῆς. ὁ δὲ Ἀρίσταρχος φησὶ, παρὰ τοῖς Ἀκραγαντίνοις διὰ τιμῆς εἶναι τοὺς Διοσκούρους. καὶ πατρίῳ ἔθει καὶ νῦν αὐτὸν γράφεσθαι. ὁ δὲ Δίδυμος, ἰσοειδέστερον λέγει. καὶ φησὶ, διὰ τὸ τὸν Θήρωνα ἄνωθεν Ἀργεῖον εἶναι. τιμῶνται δὲ κατὰ τὸ Ἄργος καὶ τὴν Πελοπόννησον οἱ Διόσκουροι. [Τυνδαρίδαις τε.] ὁ νοῦς. τὸν ἔνδοξον Ἀκράγαντα τιμῶν, καὶ ἐν αὐτῇ τὸν ὕμνον τελειῶν καὶ ὀρθῶν τὸν ἐπὶ τῇ τῶν Ὀλυμπίων νίκῃ, ὅστις ὕμνος ἄωτόν ἐστι καὶ κόσμος τῶν ἀκαμαντοπόδων ἵππων τοῦ Θήρωνος, εὔχομαι ἀρέσαι τοῖς Διοσκούροις καὶ τῇ Ἑλένῃ.. διατί δὲ τούτοις εὔχεται ἀρέσαι; διὰ τὸ εἰς φιλοξένια γράφειν· ἀντέστραπται δὲ ἡ τάξις. καὶ δοκεῖ τῇ συγχύσει ἀσάφειαν εἰργάσθαι. ἐπεὶ ἡ ἀκόλουθος ἑρμηνεία, οὕτως ἐστί. Κλεινὰν Ἀκράγαντα γεραίρων Ὀλυμπιονίκαν ὕμνον ὀρθώσας, Θήρωνος ἀκαμαντοπόδων ἵππων ἄωτον, εὔχομαι ἁδεῖν Τυνδαρίδαις τε φιλοξένοις, καλλιπλοκάμῳ θ' Ἑλένᾳ.

Θήρωνος ὀλυμπιονίκαν	Theronis Olympicum-victorem *celebrantem*
Υμνον ὀρθώσαις, ἀκαμαντοπόδων	Hymnum dirigens, pedes-indefatigatorum
Ιππων ἄωτον.	Equorum florem.
Μοῖσα δ' ὅυτω ποι παρέστα	Musa autem sic sane astitit
Μοι νεοσίγαλον εὑρόντι τρόπον,	Mihi novum commento modum,
Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ	Dorico vocem adaptandi cothurno
ἀντιστροφὴ α'. κώλων θ'.	Μεταγη.
Αγλαόκωμον. Επεὶ χαίταισι μὲν	Choream-ornantem. Quoniam jubis quidem
Ζευχθέντες ἔπι στέφανοι,	Innexæ coronæ,
Πράσσοντί με τοῦτο θεόδματον χρέος,	Exigunt à me hoc divinitus-structum debitum,
Φόρμιγγά τε ποικιλόγαρυν,	Citharamque varie-sonantem,
Καὶ βοὰν αὐλῶν, ἐπέων τε θέσιν,	Et sonum tibiarum, carminumq; structuram,
Αἰνησιδάμου	Aenesidami
Παιδὶ συμμίξαι πρεπόντως·	Filio commiscere decenter :
Α,τε Πίσα με γεγωνεῖν· τᾶς ἄπο	Pisaque me celebrare *victorem exigit* : à qua
Θεύμοροι νίσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί,	Divinitus-data veniunt in homines carmina,
ἐπῳδὸς α'. κώλων θ'.	Μεταρη.
Ω τινι κραίνων ἐφετμὰς	Cuicunque exequens jussa
Ηρακλέος προτέρας,	Herculis antiqua,

PARAPHRASIS.

quos illi renuntiatum est victoriam Olympicam reportasse, cum Theoxenia agitaret, quorum sacrorum cum fuerint authores Castor & Pollux, ipsis, necnon Helenæ sorori, hoc carmine placere opto. Musa autem mihi sic astitit, nova varietate admirandum in Theoxenia scribendi commento modum, ut carmen vocemque, qua ornatur chorea, Dorico numero accommodaverim. Etenim equorum Theronis victoria ob quam implicatæ sunt illorum jubis corollæ, exigit à me ut debitum hoc encomium, afflatu Musarum contextum in gratiam Theronis Aenesidami filii proferam, quod ad citharam diversas voces exprimentem, ad tibiarum cantum, & vivæ vocis modulationem decenter aptetur. Quinetiam hoc ipsum exigit Pisa, à qua ad victores homines redundat non vulgaris gloria, quam divina poetarum carmina decantant. Ad eos nimirum quibus incorruptus certaminis arbiter

NOTÆ.

5 Υμνον] Gl. MS. α. Επαινον. Ορθώσαις] Gl. MS. γ. Ανεγείρας. 6 Αωτον] Gl. MS. γ. Εὐκοσμίαν. 7 Pal. C. leg. ὅυτω τοι. 8 Νεοσίγαλον] Gl. MS. γ. Ενδοξον signif. pulchritudinem habentem. Ο σιγαλόεις est artificiose factus, adeo ut aspectantes silere & mirari faciat. 9 Πεδίλῳ] Gl. MS. γ. Ηχῳ. 10 Αγλαόκωμον] Gl. MS. γ. Λαμπροτάτην. 11 Ζευχθέντες ἔπι] Vel sumitur pro ἐπιζευχθέντες χαίταισι, equorum scil. vel ipsius Theronis, non obstante plurali qui sæpe pro singulari ponitur αὐξητικῶς· ἔπι accentum habet in penultima, quia ponitur post vocem, quam regit, sc. χαίταισι. 12 Θεόδμητον leg MS. Bodl. 17 Γεγωνεῖν] Gl. MS. γ. Φωνεῖν, sc. προάγει. 18 Θεύμοροι ἀοιδαί] Gl. MS. γ. Ψαλμῳδίαι. Propter victorias divinitus datas. Νέοντ' leg MS. Bodl 19 Ω τινι] Pro οἷς τισι, per Synthesin; & restrictionem ne quis putet omnibus accidere. Εφετμὰς] Gl. MS. α. Προστάξεις. γ. ὡς ἐκεῖνος παρήγγειλεν.

[Μοῖσα δ' ὅυτω μοι παρέστα.] ὅυτω μοι παρέστηκε μοῦσα, ἐὰν τοῖς Διοσκούροις ἀρέσω, ἢ ὅυτω μοι ἐρχέσθω ἡ μοῦσα, ὥστε με Δωρίδι διαλέκτῳ, νεοποίκιλον ἐξαγγεῖλαι ὕμνον. [Νεοσίγαλον εὑρόντι τρόπον.] νεοποίκιλον ἐπινοήσαντι ὑπόθεσιν, τὸ γράψαι εἰς θεοξένια. [Δωρίῳ φωνὰν] τρεῖς ἁρμονίαι, Δωρία, Φρυγία, Λυδία. πεδίλῳ δὲ, τῷ ῥυθμῷ. ἀπὸ δὲ τοῦ περιέχοντος, τὸ περιεχόμενον. τὴν βάσιν οὖν εἶπε πρὸς τῷ Δωρίῳ μέλει ἐναρμόσαι. [Αγλαόκωμον. ἐπεὶ χαίταισι.] χαίταις, οὐ ταῖς τῶν ἵππων διὰ τὸ νικᾶν, ἀλλὰ ταῖς τῶν μελλόντων στέλλειν τὸν κῶμον, ὃν ἤμελλον ᾄδειν. ἐκώμαζον γὰρ ὑμνοῦντες τὴν νίκην. καὶ οὐκ ἀπιθάνως στοχάζονται ὅτι ἴσως εἰς Διοσκούριον ὁ κῶμος ἤδετο καὶ ἡ πομπὴ, διὰ τὴν πρὸς Διοσκούρους τοῦ Θήρωνος οἰκειότητα. [Ζευχθέντες ἔπι στέφανοι.] ζευχθέντες γὰρ οἱ στέφανοι ταῖς τῶν ἵππων θριξὶν, ἀπαιτοῦσι μὲν τὴν θεοκατασκεύαστον ὕμνον τὴν ἐκ μουσῶν. ὥστε πρὸς τὴν ποικιλόφωνον κιθάραν, καὶ τὴν ἡδεῖαν τῶν αὐλῶν ἠχὴν, τοὺς ἐμοὺς εὐπρεπῶς ἁρμόσαι λόγους εἰς χάριν τοῦ Αἰνησιδάμου παιδὸς Θήρωνος. ἢ συμβαλεῖν τῇ λύρᾳ καὶ τῷ αὐλῷ, τὸν Αἰνησιδάμου παῖδα Θήρωνα. σύμψαλμα δὲ τὸ γινόμενον. [Α,τε Πίσα με γεγωνεῖν.] ἥ,τε Πίσα με ἀπαιτεῖ, μὴ ἠρεμεῖν, ἀλλὰ ὑμνεῖν καὶ βοᾶν. ἢ τὸ ἑξῆς πράσσοντί με γεγωνεῖν. [Τᾶς ἄπο.] ἀφ' ἧς δὴ Πίσας, αἱ ἀπὸ θεῶν μεριζόμεναι ἀοιδαὶ καὶ ᾠδαὶ ἐπὶ τοὺς ἀνθρώπους, παραγίνονται ἐπὶ τοὺς νικῶντας ἀνθρώπους. [Ω τινι κραίνων ἐφετμάς.] ἀπὸ τοῦ πληθυντικοῦ, μετέπεσεν εἰς τὸ ἑνικόν. τούτῳ φησὶν ἀκολουθοῦσιν αἱ ᾠδαί. ᾧ τινι τελειῶν τὰς ἐντολὰς κατὰ τοὺς νόμους τοῦ Ηρακλέος, ὁ δίκαιος καὶ ἀληθὴς ἑλλανοδίκης, ὁ Ηλεῖος ἀνὴρ, ἐπὶ τῆς κεφαλῆς ἐπάνω τῶν ὀφθαλμῶν, τὸν στέφανον περιβάλλει τὸν ἀπὸ τῆς ἐλαίας τοῦ κοτίνου.

[Αἰτωλὸς

Ἀτρεκὴς Ἑλλανοδίκας βλεφάρων	Justus certaminum-Græciæ-judex palpebras
Αἰτωλὸς ἀνὴρ ὑψόθεν	Ætolus vir supra
Ἀμφὶ κόμαισι βάλοι γλαυ-	Circumposuerit comis glau-
κόχροα κόσμον ἐλαίας. Τάν ποτε	cicolor decus olivæ. Quam quondam
Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεικεν	Istri ab umbrosis fontibus asportavit
Ἀμφιτρυωνιάδας,	Amphitryoniades,
Μνᾶμα τῶν Οὐλυμπίᾳ κάλλιστον ἄθλων,	Monumentum Olympiæ pulcherrimum certa- [minum,
στροφὴ β'. κώλων θ'.	Metaph.
Δᾶμον Ὑπερβορέων πείσαις, Ἀπόλ-	Populo Hyperboreorum persuaso, Apol-
λωνος θεράποντα. Ὅγε	linis cultore. Ipse
Πιστὰ φρονέων, Διὸς αἴτει πανδόκῳ	Amica cogitans, Jovis petiit omnes-recipienti
Ἄλσει σκιαρόν τε φύτευμα,	Luco umbrosamque plantam,
Ξυνὸν ἀνθρώποις στέφανόν τ' ἀρετᾶς.	Communemque hominibus coronam virtutis.
Ἤδη γὰρ αὐτῷ,	Jam enim *ab* ipso,
Πατρὶ μὲν βωμῶν ἁγισθέν-	Patri aris consecra-

Paraphrasis.

vir Aetolus, seu Eleus, antiqua Herculis mandata exequens, in decus & ornamentum supra palpebras capiti circumposuit coronam glauci oleastri: quem celebris ille Amphitryonis filius, ab Istri fontibus, qui hoc arborum genere aliisque consiti obumbrantur, olim attulit, ut esset pulcherrimum monumentum Olympicorum certaminum. Postquam oratione sua ita flexit Hyperboreorum Apollinis cultorum animos, ut petitionem impetrarit. Nam ille benevolo erga eos animo affectus plantam hanc petiit, ut ea consereret Jovis delubrum, quo confluentes undiq; hospites recipiuntur, cujus ex frondibus, communis hominibus umbra, & strenuis certaminum victoribus corona pararetur.

Notæ.

22 Ὑψόθεν refertur ad βλεφάρων. 23 Βάλῃ leg. MS. C. 71. & Bodl. 25 Ἔνεικεν] MS. γ. Ἔφερεν. 27 Κάλλιστων. Steph. leg. 28 Πείσαις] Gl. MS. γ. Καταπείσας. 29 Ὅγε] Pal. C. leg. Λόγῳ. 30 Πιστὰ] Gl. MS. γ. φιλικά. Αἴτει] Ab αἰτίω. Steph. leg. αἰτεῖ. 32 Στέφανόν τ' ἀρετᾶς] Gl. MS. γ. Τῶν νικώντων ἐν τῷ ἀγῶνι. 34 Ἁγισθέντων] Gl. MS. γ. Καθιερωθέντων. γ. 6. rejiciunt ἁγισθέν- in initium seq. versus.

[Αἰτωλὸς δὲ] ἀντὶ τοῦ Ἠλεῖος. Ὄξυλος γάρ τις εἰς τῶν Αἰτωλῶν, ἡνίκα ἐπὶ τὴν Πελοπόννησον Ἡρακλεῖδαι ἠπείγοντο, καθηγήσατο αὐτοῖς τῆς ὁδοῦ. ἀντιδόσεως δὲ τρόπῳ τινὶ, τὴν Ἠλείων ἡγεμονίαν παρ' αὐτῶν λαμβάνει. παρ' οὗ λοιπὸν οἱ Ἠλεῖοι, Αἰτωλοὶ ὠνομάσθησαν. διὰ τοῦτο οὖν, Αἰτωλὸς ἀνὴρ ὁ Ἠλεῖος. [Ἄλλως.] Αἰτωλὸς ἀνὴρ ὁ Ἠλεῖος, ἤτοι ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος, ὃς ἦν Ἠλεῖος. ἀποκτείνας δὲ Ἄπιν ἐν τοῖς ἐπ' Ἀζᾶνι ἄθλοις ἔφυγεν εἰς τὴν πρότερον Κουρῆτιν, Αἰτωλίαν δὲ ὕστερον ἀπ' αὐτοῦ κληθεῖσαν. ἢ ἀπὸ Ὀξύλου· ὃς ἦν, Αἰτωλοῦ τοῦ Ἀνδραίμονος. διεῖλε δὲ τοῖς Ἡρακλείδαις, τὴν Πελοπόννησον, καὶ διὰ τοῦτο ἐδωρήσαντο αὐτῷ ἐξαίρετον τὴν Ἦλιν. [Τάν ποτε Ἴστρου.] ἥν τινα ἐλαίαν ποτὲ ἀπὸ Ἴστρου ποταμοῦ τῶν συσκίων πηγῶν, ἐκόμισεν ὁ τοῦ Ἀμφιτρύωνος παῖς Ἡρακλῆς, μνημεῖον ἐσόμενον τῶν ἐν τῇ Ὀλυμπίᾳ ἄθλων. [Ἴστρου ἀπὸ σκιαρᾶν πηγᾶν.] τὰς πηγὰς τοῦ Ἴστρου, ἐν Ὑπερβορέοις ὑποτίθεται. Ἴστρος δὲ ποταμὸς, διὰ πολλῶν ἐθνῶν τῆς Εὐρώπης χωρεῖ. ἔχει δὲ τὰς πηγὰς, ἐν τῇ τῶν Ὑπερβορέων χώρᾳ. ὃς νῦν Δάνουβις λέγεται. σκιερὰς δέ φησι πηγὰς, ἤτοι τὰς βαθείας, ἢ τὰς σκιαζομένας τῇ περὶ αὐτὰς τῶν ἐλαιῶν φυτείᾳ. [Μνᾶμα τῶν Ὀλυμπίᾳ.] σύμβολον στέμμα τῶν ἱερῶν ἀγώνων. ἔστι, Ὀλυμπίων, κότινος· Πυθίων, δάφνη· Νεμέων, σέλινον χλωρόν· Ἰσθμίων, σέλινον ξηρόν. [Δᾶμον Ὑπερβορέων.] πείσας τὸν δῆμον τὸν τῶν Ὑπερβορέων, δοῦναι τὸν κότινον. ὅστις δῆμος, θεράπων ἦν τοῦ Ἀπόλλωνος καὶ θρησκευτὴς αὐτοῦ. τοὺς Ὑπερβορέους, τοῦ Τιτανικοῦ γένους Φερένικος φησὶν εἶναι, γράφων οὕτως. Ἀμφί θ' Ὑπερβορέων οἵτ' ἔσχατα ναιετάουσι, Ναῷ ὑπ' Ἀπόλλωνος, ἀπείρητοι πολέμοιο. Τοὺς μὲν ἄρα προτέρων ἐξ αἵματος ὑμνήσουσι, Τιτήνων βλαστόντας ὑπὸ δρόμον αἰθρήεντα Νάσσασθαι Βορέαο γύην Ἀειμαασὸν ἄνακτα. [Πιστὰ φρονέων.] φιλικῶς διανοούμενος, καὶ πείθων λόγῳ. ἢ πιστὰ, πιστικά. οὐ γὰρ πειθοῖ καὶ οὐ βίᾳ. διὸ καὶ ἔπεισεν αὐτούς. [Πανδόκῳ] τῷ πάντας ὑποδεχομένῳ, διὰ τὸ εἰς τοὺς ἀγῶνας πολλοὺς ἀπιέναι. [Ἄλσει, σκιαρόν τε.] οὐκ ἄν τις ἐνταῦθα ἐναντιωθείη τῷ Πινδάρῳ, τῷ τὸ ἔτι ἀφύτευτον χωρίον ἄλσος ὀνομάζοντι. ἔλεγον γὰρ πᾶν χωρίον ἀφιερωμένον θεῷ, κἂν ψιλὸν φυτῶν ᾖ, ἄλσος. ὡς καὶ Ὅμηρος. Ὀγχηστόν θ' ἱερὸν, Ποσιδήιον ἀγλαὸν ἄλσος. οὐ γὰρ Ὀγχηστὸς δένδρεσι κομᾷ, ἀλλὰ ἱερός ἐστι. [Ξυνὸν στέφανον.] κοινὸν πᾶσιν ἀνθρώποις φύτευμα, καὶ στέφανον τῶν ἀρετῶν. [Ἄλλως.] κοινὸν γενέσθαι φύτευμα τοῦ τε ἄλσους τοῦ Διὸς, καὶ τῶν στέφανον τῶν ἀρετὴν ἐχόντων ἀνδρῶν. [Ἤδη γὰρ αὐτῷ.] ἤδη γὰρ αὐτῷ τῷ Ἡρακλεῖ, καὶ οἱ βωμοὶ τοῦ Διὸς, θυσίας καὶ ἐναγισμάτων ἐπεπλήρωντο, καὶ ἡ σελήνη πλήρης οὖσα καὶ ὁλόκληρος τῷ φωτὶ πρὸς τὴν ἑσπέραν καὶ τὴν νύκτα ἀντιλάμπουσα, τὸν καιρὸν παρεῖχε τῆς κρίσεως τοῦ ἀγῶνος. ἐν γὰρ τῇ ἑκκαιδεκάτῃ τῆς σελήνης, ὁ Ὀλυμπιακὸς ἀγὼν τελεῖται. δεῖ δὲ τὸ πρότερον, δεύτερον νοεῖν· καὶ τὸ δεύτερον, πρῶτον. οὐ γὰρ δὴ θυσίαι ἐγίνοντο πρότερον, εἶτα οὕτως ἡ διχόμηνις ἔλαμπεν, ἀλλὰ πρότερον ἡ ἡμέρα τῆς πανσελήνου παρεγίνετο. εἶτα οὕτως αἱ θυσίαι καὶ τὰ λοιπὰ τοῦ ἀγῶνος ἐτελοῦντο. ὁ δὲ λόγος. ἤδη γὰρ τῶν βωμῶν τοῦ πατρὸς αὐτοῦ Διὸς πληρωθέντων θυσιῶν, ἀντὶ τοῦ, σεβασθέντων ταῖς θυσίαις, καὶ ἐναγίσματα λαβόντων.

[Διχόμηνις]

των, διχόμηνις ὅλον χρυσάρματος	tis, plena totum aureo-curru vecta
Εσπέρας ὀφθαλμὸν ἀντέφλεξε μήνα,	Vespere oculum ex-opposito-accendit Luna,
ἀντιστροφὴ β'. κῶλον θ'.	METAPH.
Καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν,	Et magnorum certaminum sanctum judicium,
Καὶ πενταετηρίδ' ἁμᾶ	Et quinquennalem-periodum simul
Θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Αλφεοῦ.	Instituerat divinis in præcipitiis Alphei.
Αλλ' οὐ καλὰ δένδρε' ἔθαλλε	Verum non pulchras arbores producebat
Χῶρος ἐν βάσσαις Κρονίου Πέλοπος.	Locus in vallibus Saturnii Pelopis.
Τούτων ἔδοξε	Horum visus-est
Γυμνὸς αὐτῷ κᾶπος ὀξεί-	Vacuus ei hortur acu-
αις ὑπακουέμεν αὐγαῖς ἀλίου.	tis obedire radiis solis.
Δὴ τότ' ἐς γαῖαν πορεύειν θυμὸς ὥρμαι-	Sane tunc in terram ablegare animus impu-
ἐπῳδὸς β'. κῶλον θ'.	METAPH.
ν' Ιστρίαν νιν. Ενθα Λατοῦς	lit Istriam ipsum. Ibi Latonæ
Ιπποσόα θυγάτηρ	Equorum-agitatrix filia

PARAPHRASIS.

Jam enim plenilunium instare: quo quum aureo curru vecta luna vesperi, toto orbe illustratur, victimis honorandæ sibi sunt Jovis patris aræ. Et ferendum sanctum atque incorruptum judicium magnorum certaminum, quæ instituto à se quinquennio mox erant celebranda in Elide prope Alphei divini fluvii præcipitia. At in convallibus Cronii collis Pelopis unde spectantur athletæ, nullas virere arbores ad loci decus & commoditatem. Ideoque cum illud solum nudum, nulla umbra gratum esse videretur; sed receptis solaribus radiis ferveret, sibi in mentem venisse ut in regionem Istrianam, hoc est Scythicam, proficisceretur. Hic Diana Latonæ filia equorum agitatrix,

NOTÆ.

35 Διχόμηνις ὅλον.] Periphrasis plenilunii. Η μήνη in plenilunio appellatur διχόμηνις à μὴν mensis, quia tunc mensis Synodici medietas una est elapsa, altera adhuc restat, quasi luna mensem æqualiter dividens in duas partes; ἀντέφλεξεν ὅλον ὀφθαλμὸν ἑσπέρας vespere illustravit plenum orbem; vel ὀφθαλμὸν refertur ad ἑσπέρας, ut sit, oculum vesperæ, quia vesperam illuminat. 37 Αγνὰν] Gl. MSS. α. γ. Καθαρὰν. Hoc judicium 16 die Mensis Εκκαιδεκαταῖος, i.e. proximo die post plenilunium primum, de certatoribus fiebat. 38 Αμ[...] leg. MS. Bodl. & alii. 39 Ζαθέοις] Gl. MSS. α. γ. Τοῖς θαυμαστοῖς. Κρημνοὶ sunt prærupti margines littorum & riparum. 40 Εθαλλεν leg. MSS. C. 71. α. β. γ. Lucus iste Jovi jam destinatus nondum erat arboribus densus. 41 Βάσσαις Πέλοπος] Intell. Peloponnesum. 42 Εδοξεν leg. MSS. Bodl. α. β. γ. 43 Γυμνὸς leg MS. Bodl. 44 Υπακουέμεν] Gl. MS. γ. Καρτερεῖν. & sic intell. homines ἐν κάπῳ certantes radiis solis, h. e. ab æstu languescere. Vel quia locus esset ἄσκιαστος hæc dicit. 46 Ιστριανὴν leg. Steph. & MS. Bodl. Cujus lectionis meminit Scholiastes. 47 Ιπποσόα leg. MSS. β. γ.

[Διχόμηνις] ἡ σελήνη, ἐπεὶ ἐν τῇ πανσελήνῳ ὁ Ολυμπιακὸς ἀγὼν ἄγεται. καὶ τῇ ἑκκαιδεκάτῃ γίνεται ἡ κρίσις. καὶ αὐτὴ εἰς δύο καταμερίζεται· εἴς τε τὴν αὔξησιν, καὶ λεῖψιν τοῦ φωτός. [Αλλως] ὅτι πανσελήνῳ ἄγεται ὁ Ολυμπιακὸς ἀγών. περὶ δὲ τοῦ εἰς Υπερβορέους παραγγελθέντος, Ηρακλῆς διατέθεικε μίαν Ολυμπιάδα μηδέπω ἀποδεδειγμένην τοῦ στεφάνου. βούλεται δὲ εἰπεῖν, ὅτι ψιλὸς καὶ ἄσκιαστος ἦν ὁ τόπος, ὥστε ὅλον τὸν ὀφθαλμὸν τῆς σελήνης καταλάμψαι τοὺς βωμούς. γίνεται δὲ ὁ ἀγών, ποτὲ μὲν διὰ τεσσαράκοντα ἐννέα μηνῶν. ποτὲ δὲ διὰ πεντήκοντα. ὅθεν καὶ ποτὲ μὲν, τῷ Απολλωνίῳ μηνὶ, ποτὲ δὲ, τῷ Παρθενίῳ ἐπιτελεῖται. χρυσάρματον δὲ εἶπε τὴν σελήνην, διὰ τὸ πρὸς τὸ μεγαλοπρεπέστερον τὴν εἰκόνα διατιθέμενος. [Αλλως.] ὅλον ὀφθαλμὸν τῆς νυκτός. τὸ σκοτῶδες πληροῦσα ἡ σελήνη κατελάμπρυνε. [Καὶ μεγάλων ἀέθλων.] ἢ διὰ τὴν τῶν ἑλλανοδικῶν ἐπιμέλειαν, ἢ διὰ τὴν σύγκρισιν. [Καὶ πενταετηρίδ' ἁμᾶ.] ἔθηκε δὲ ὁμοῦ τοῖς εἰρημένοις, καὶ χρόνον πενταετηρικὸν αὐτὸν εἶναι τάξας. πάντων οὖν, φησι, γινομένων τῶν μεγάλων ἄθλων, λοιπὸν τὴν ἁγνὴν καὶ ἀδωροδόκητον κρίσιν, ἔθηκε τὸν ἀγῶνα, ὥστε διὰ τοσούτου τελεῖσθαι, καὶ ἐν τόπῳ, τῇ Ηλιδι. ἐκεῖ γὰρ ὁ Αλφειὸς ποταμός. [Αλλ' οὐ καλά.] τὸ ἀλλὰ ἀντὶ τοῦ δέ. ἐκ δὲ τοῦ παρεπομένου, τὴν δόσιν τοῦ στεφάνου δηλοῖ, ὅτι μήπω ἦν. [Κρονίου Πέλοπος.] ἤτοι ὅτι ἀπὸ Κρόνου εἶχε τὸ γένος ὁ Πέλοψ. Πλουτὼ γὰρ, θυγάτηρ Κρόνου. ἧς, Τάνταλος ὁ πατὴρ Πέλοπος. ἵνα οὖν εἴπῃ ὅτι οὔπω ἦν τὸ τοῦ κοτίνου φυτὸν ἐν ταῖς βήσσαις καὶ τοῖς τόποις τοῦ Πέλοπος τοῦ Κρονίου. τῆς Πελοποννήσου γὰρ ἦν ἡ Ηλις. ἢ ἁπλούστερον οὕτως. ὅτι ὁ χῶρος τοῦ Πέλοπος ὁ ἐν ταῖς βήσσαις τοῦ Κρονίου, οὐδέποτε εἶχε τὸ φυτόν. Κρόνιον δὲ ὄρος, πλησίον. [Τούτων ἔδοξε.] τούτων τῶν φυτῶν γυμνὸς ὢν ὁ κῆπος καὶ ὅλος ὁ τόπος, ἔδοξε καὶ ἐδόκει ὑπακούειν ταῖς ὀξείαις αὐγαῖς τοῦ ἡλίου, ἀντὶ τοῦ εἶναι κατάθερμος καὶ πυρώδης καὶ ἄσκιαστος. [Γυμνὸς αὐτῷ κᾶπος.] κᾶπος κυρίως, ὁ περιπνεόμενος ἀνέμοις τόπος, ὅθεν κάπας τὰς φάτνας καλεῖσθαι. διὰ τὸ περιπνέεσθαι ὑπὸ τῶν ἵππων, τῷ πνεύματι ἀνασπώντων τὴν τροφήν. [Θυμὸς ὥρμαινεν.] διὰ τοῦτο παραγγελθέντος προεθυμήθη εἰς τὴν γῆν τοῦ ἱεροῦ ποταμοῦ εἰς τὴν Σκυθίαν. ἐν ᾗ Σκυθίᾳ, ἡ Αρτεμις αὐτὸν ὑπεδέξατο ἐλθόντα, ἡνίκα αὐτὸν τοῖς προστάγμασι καὶ ταῖς ἀγγελίαις τοῦ Εὐρυσθέως ὑπουργεῖν ἡ πατρὸς ἀνάγκη παρεσκεύαζεν, ἐπὶ τῷ τὴν ἔλαφον ἀγαγεῖν, ἥνποτε ἡ Ταϋγέτη ἀνέθηκε τῇ Ορθωσίᾳ Αρτέμιδι. [Ιστρίαν νιν.] ἐὰν διὰ τῶν δύο νν Ιστρίαν νιν, τὴν Σκυθίαν ἀκουστέον. ἐὰν δὲ διὰ τοῦ ἑνὸς, ἡ Ιστρία Αρτεμις αὐτὸν τὸν Ηρακλέα ὑπεδέξατο. Ιστρία δὲ ἡ Αρτεμις, ἤτοι ἀπὸ τοῦ Ιστρου. ὃν γὰρ τιμῶσιν αἱ Αμαζόνες αἳ τιμῶσι μάλιστα τὴν θεόν, ἢ ἀπὸ Ταύρων ἔθνους Σκυθικοῦ περιοικοῦντος τὸν Ιστρον. παρ' οἷς ὁμοίως τιμᾶται ἡ Αρτεμις. τοὺς δὲ, ἀναγινώσκειν Ιστριανήν. ἵν' ᾖ τὴν Ιστριανὴν γῆν.

[Εὖ

Δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δει-
ρᾶν, καὶ πολυγνάμπτων μυχῶν·
Εὖτέ μιν ἀγγελίαις Εὐ-
ρυσθέος ἔντυ' ἀνάγκα πατρόθεν
Χρυσόκερων ἔλαφον θήλειαν ἄξον-
θ'· ἅν ποτε Ταΰγετα,
Ἀντιθεῖσ' Ὀρθωσίᾳ, ἔγραψεν ἱεράν.

Excepit venientem Arcadiæ à ju-
gis, & varie-flexuosis recessibus:
Quando eum jussibus Eu-
rysthei adornabat necessitas à-patre *profecta*
Auricornem cervam fœminam adductu-
rum: quam olim Taygeta,
Dedicans Orthosiæ, inscripsit sacram.

στροφὴ γ'. κώλων θ'.

Τὰν μεθέπων, ἴδε κἀκείναν χθόνα,
Πνοιαῖς ὄπιθεν Βορέα
Ψυχροῦ. Τόθι δένδρεα θαύμαινε σταθείς,
Τῶν νιν γλυκὺς ἵμερος ἔχεν,
Δωδεκάγναμπτον περὶ τέρμα δρόμου
Ἵππων φυτεῦσαι.
Καί νυν ἐς ταύταν ἑορτὰν
Ἵλαος ἀντιθέοισι νίσεται
Σὺν βαθυζώνου διδύμοις παισὶ Λήδας.

METAPH.

Hanc insequens, vidit & illam terram,
Flatus à-tergo Boreæ
Frigidi. Ibi arbores admirabatur stans,
Quarum eum dulce desiderium habebat,
Duodecies-inflexum circa terminum curriculi
Equorum plantare.
Nuncque ad hanc festivitatem
Propitius divinis accedit
Cum profunde-cinctæ geminis filiis Ledæ.

PARAPHRASIS.

excepit eum cum ex Arcadia veniret, quæ altis montium jugis & depressis convallibus constat. Idque cum obeundo Eurysthei mandata, paterno decreto illis obligatus, cum Junoni concessisset ut natu posterior priori inserviret, aureis cornibus insignem cervam fœminam captaret, Eurystheo in Græciam adducendam, quam Taygeta olim Dianæ consecrarat, quod ab ea in cervam mutata Jovis libidinem effugisset. Dum autem eam insequebatur cervam, vidit Hyperboreorum regionem à tergo Boreæ venti sitam. Tunc obstupefactus constitit, conspiciens egregias arbores: eumque simul invasit dulcis cupido iis conserendi ambitum stadii Olympici ubi duodecies circum metam currus flectuntur à certatoribus. Idemque nunc Hercules cum divinis Ledæ decenter cinctæ filiis Castore & Polluce, benignus ad hanc, quæ fit à Therone, Theoxeniorum celebritatem accedit.

NOTÆ.

51 Εντυ'] Gl. MSS. β. γ. Διήγειρε. Πατρόθεν] Προῦθεν leg. Schol. 54 Ορθωσίᾳ] Αρτέμιδι sic dictæ, quia Taygetam ex cervæ forma in pristinam humanam restituit. 55 Ἴδε] Ald. & MSS. Pal. A. B. & Bodl. leg. ἴδεν. 56 Ὀπιθεν leg. Steph. Βορέαο leg. MS. α. 58 Ἐχε leg. Steph. 61 Καί νυν leg. propter metrum. 62 Νίσεται leg. MSS. α. β. γ. Νίσσεται MSS. Bodl. & C. 71.

[Εὖτέ μιν ἀγγελίαις.] διὰ ἀγγέλου γὰρ καὶ κήρυκος ἐκέλευεν, ὁ Εὐρυσθεὺς τοῦ Κοπρῆος. Ομηρος. Ος Εὐρυσθῆος * ἀέθλων, Ἀγγελίης † ἴχνεσκε βίῃ Ηρακληείῃ. [Ανάγκα πατρόθεν.] διὰ τὰ ἐν τῷ τ' τῆς Ιλιάδος ὁ Ζεὺς πρὸς τὴν Ηραν, Σήμερον ἄνδρα φόως δὲ μογοστόκος Εἰλείθυια. καὶ τὰ ἑξῆς. διὰ τοῦτό φησι πατρόθεν ἀνάγκα. [Χρυσόκερων ἔλαφον.] ὅτι ἐπιμελῶς οἱ ποιηταὶ τὴν θήλειαν ἔλαφον, κέρατα ἔχουσαν εἰσάγουσι. καθάπερ καὶ τὴν θηλάζουσαν τὸν Τήλεφον, γράφουσι καὶ πλάττουσι. τέτακται δὲ καὶ παρὰ Ανακρέοντι, Αγαν ὥς οἷά τε νεβρὸν νεοθηλέα γαλαθηνὸν· ὅς τ' ἐν ὕλαις κεροέσσης ὑπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη. Ζηνόδοτος δὲ μετεποίησε, διὰ τὸ ἱστορεῖσθαι τὰς θηλείας κέρατα μὴ ἔχειν, ἐροέσσης εἰπών. οἱ μέντοι ποιηταὶ πάντες, κέρατα ἐχούσας ποιοῦσιν. ὅτι δὲ συμβαίνει καὶ εἰκός ἐστιν ἐνίας ἔχειν, ἐκεῖθεν δῆλον· ὅτι τῶν ἐλεφάντων οἱ μὲν ἐξ Αἰθιοπίας καὶ Λιβύης πάντες σὺν ταῖς θηλείαις, ὀδόντας ἔχουσιν, ὥς τινές φασι. καθὰ καὶ Αμμιανὸς ἐν τῷ περὶ ἐλεφάντων φησί. τῶν δὲ Ινδικῶν αἱ θήλειαι, χωρὶς ὀδόντων εἰσίν. [Αν ποτε Ταΰγετη.] αὕτη Ατλαντος θυγάτηρ. ἀφιέρωσε δὲ τὴν ἔλαφον τῇ Αρτέμιδι. λέγεται γὰρ ὅτι, ἡνίκα Ηρακλῆς παρέχειν αὐτὴν Εὐρυσθεῖ, τότε εὑρέθη ἐπὶ τοῦ τραχήλου αὐτῆς γεγραμμένον. Ταϋγέτη ἱερὰν ἀνέθηκεν. [Ἀντιθεῖσ' Ὀρθωσίᾳ.] Ορθωσία ἡ Αρτεμις παρὰ τὸ Ορθώσιον. ὅπερ ἐστὶν ὄρος Αρκαδίας. ἔστι γὰρ ὄρος Αρκαδίας Ορθιον. ἀφ' οὗ καὶ ἡ θεὸς, Ορθία, καὶ Ορθωσία καλεῖται. ἤτοι, τῇ ὀρθούσῃ τὰς γυναῖκας, καὶ εἰς σωτηρίαν ἐκ τῶν τοκετῶν ἀγούσῃ. [Τὰν μεθέπων.] ταύτην ἐπιδιώκων τὴν ἔλαφον, ἐθεάσατο καὶ τοὺς Υπερβορέους ψυχροτάτους τόπους, καὶ τὴν Σκυθίαν. ἔνθα στὰς, ἐξεπλάγη τὰ δένδρα τῆς ἐλαίας, καὶ αὐτὸν ἐπιθυμία ἔλαβε φυτεῦσαι ἀπ' αὐτῶν περὶ τοὺς τοῦ σταδίου τόπους τοῦ ἱππικοῦ. [Καὶ νῦν ἐς ταύταν ἑορτάν.] τὴν τοῦ νικηφόρου πανήγυριν καὶ εὐωχίαν. εἰώθασι γὰρ εὐωχεῖσθαι. τὴν εὐωχίαν γὰρ, ἑορτὴν εἶπε. φησὶ γὰρ ἔρχεσθαι εἰς τὴν τοῦ Θήρωνος ἑστίαν, τόν, τε Ηρακλῆν καὶ τοὺς Διοσκούρους, ἐπεὶ ἐξένιζεν αὐτοὺς ὁ Θήρων. [Ἀντιθέοισι νίσεται.] καὶ νῦν ἥξει ἐπὶ τῇ παρούσῃ πανηγύρει τοῦ Θήρωνος ὁ Ηρακλῆς, ἅμα τοῖς ἰσοθέοις τῆς Λήδας παισὶ Διοσκούροις· τούτοις γὰρ ἐπέτρεψε διατιθέναι τὸν ἀγῶνα Ηρακλῆς, αὐτὸς λοιπὸν εἰς θεοὺς ἀναχωρῶν.

* Apud Hom. leg. ἀνάκτος. † Apud Hom. leg. οἴχνεσκε.

[Ανδρῶν

ἀντιστροφὴ γʹ. κώλων θʹ.

Τοῖς γὰρ ἐπέτραπεν οὔλυμπόνδ' ἰὼν,
Θαητὸν ἀγῶνα νέμειν,
Ἀνδρῶν τ' ἀρετᾶς πέρι, καὶ ῥιμφαρμάτου
Διφρηλασίας. Ἐμὲ δ' ὦν πα
Θυμὸς ὀτρύνει φάμεν, Ἐμμενίδαις
Θήρωνί τ' ἐλθεῖν
Κῦδος, εὐίππων διδόντων
Τυνδαριδᾶν· ὅτι πλείσταισι βροτῶν
Ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,

ἐπῳδὸς γʹ. κώλων θʹ.

Εὐσεβεῖ γνώμα φυλάσσον-
τες Μακάρων τελετάς.
Εἰ δ' ἀριστεύει μὲν ὕδωρ, κτεάνων
Δὲ χρυσὸς αἰδοιέστατον·
Νῦν γε πρὸς ἐσχατιὰν Θή-
ρων ἀρεταῖσιν ἱκάνων, ἅπτεται
Οἴκοθεν, Ἡρακλέος σταλᾶν. Τὸ πόρσω

METAPH.

His enim mandavit in-cœlum proficiſcens,
Celebre certamen adminiſtrare,
Virorumq; de virtute,& rapide-currus-agente
Aurigatione. Me igitur
Animus impellit dicere, Emmenidis
Theronique veniſſe
Gloriam, equeſtribus dantibus
Tyndaridis: quoniam plurimis mortalium
Hoſpitalibus eos accedunt menſis,

METAPH.

Religioſa mente obſervan-
tes Beatorum ſolennes-ritus.
Si autem excellit quidem aqua, divitiarum
Vero aurum venerabiliſſimum *eſt*:
Nunc utique ad extremum The-
ro virtutibus perveniens, attingit
E-domo, Herculis columnas. Quod ulterius

PARAPHRASIS.

Nam cum in cœlum ad Deos aſcenſurus eſſet, his commiſit gubernationem ſpectabilis hujus certaminis, in quo virium corporis, & fortitudinis ſpecimen edunt athletæ, & currus, qui à velocibus equis trahuntur, agitant aurigæ. Quare me animus impellit ad dicendum, toti Emmenidarum tribui, ut & Theroni gloriam obtigiſſe, quam equis inſignes heroes Caſtor & Pollux impertiverunt: quo ſe gratos præberent ob præſtitum ſibi officium, quum pluribus, quam alii mortales, ſacrificiis & menſis hoſpitalibus Emmenidæ ſeu Agrigentini, & Theron ipſos adeant. Adeo religioſe debitas Diis ſolennitates obſervant. Ut autem aqua inter elementa primatum obtinet, & inter divitias pretioſiſſimum eſt aurum: Theron extremos virtutis limites aſſecutus, Herculis ad columnas, nempe ad culmen præſtantiæ domeſticis virtutibus inſtructus pervenit: Quare ſicuti non licet ipſi,

NOTÆ.

64 Ἰὼν] Gl. MS. γ. πορευόμενος. 71 Πλείσταισι βροτῶν] Superlativo utitur pro Comparativo Poetice. 72 Ξενίαις] Gl. MS. α. φιλοφροσύναις. Αὐτοὺς] Gl. MS. γ. τοὺς ἀγωνιστάς. 74 Φυλάσσοντες Μακάρων τελετὰς leg. MS. γ. in uno verſu. 76 Αἰδοιέστατος leg. MSS. ϐ. γ. 79 Τὸ πόρσω] Gl. MS. γ. Ἀγνωστόν. Schol. leg. Πρόσω.

[Ἀνδρῶν τ' ἀρετᾶς.] καὶ τὰ περὶ τῆς τῶν ἀνδρῶν ἀρετῆς διοικεῖν αὐτοῖς ἐπέτρεψε τοῖς Τυνδαρίδαις. τὸ δὲ ῥιμφαρμάτου, τῆς ταχέα καὶ ὀξέα ἅρματα ἐχούσης. [Ἐμὲ δ' ὦν πα.] ἀμφότεροι οἱ σύνδεσμοι παραπληρωματικοί. καὶ ἐν τῷ Θήρωνί τε ἐλθεῖν, ὁ τε. [Ἐμμενίδαις.] Ἐμμενίδαι φατρεία Θήρωνος ἐν Σικελίᾳ. λέγει δὲ τοῖς Ἀκραγαντίνοις. Τηλεμάχου καταλύσαντος τὸν τῶν Ἀκραγαντίνων τύραννον Φάλαριν, παῖς γίνεται Ἐμμενίδης. οὗ, Αἰνησίδαμος. οὗ, Θήρων καὶ Ξενοκράτης. Θήρωνος δὲ, Θρασυδαῖος. Ξενοκράτους δὲ, Θρασύβουλος. [Ξενίαις ἐποίχονται.] ἡ γινομένη θυσία τοῖς Διοσκούροις, ξενισμὸς λέγεται. ταῖς γινομέναις θυσίαις· τοῖς Διοσκούροις ὑπ' αὐτῶν, ὡς εὐσεβῶν ὄντων. ἀγαθῇ οὖν γνώμῃ καὶ συνειδήσει οἱ Ἐμμενίδαι τὰς θυσίας ἀεὶ πληροῦσιν. [Εἰ δ' ἀριστεύει μὲν ὕδωρ.] εἰ δὲ τὸ ὕδωρ μὲν τῶν λοιπῶν στοιχείων προτετίμηται, καὶ τοῦ πλούτου ὁ χρυσὸς, καὶ τῶν ἀγώνων ὁ Ὀλυμπιακὸς, δῆλόν ἐστιν ὅτι πρὸς τὸ τέλος τῆς ἀρετῆς ὁ Θήρων παρεγένετο νικήσας. καὶ αὐταῖς τρόπον τινὰ ταῖς Ἡρακλείαις στήλαις προσεπέλασεν. [Ἄλλως·] Καθολικῶς πάντα εἰπών. ὥσπερ οὖν φησι τὸ ὕδωρ ἀριστεύει πάντων, οὕτω καὶ Θήρων ἀριστεύει τῶν ἀνθρώπων.

[Ἄλλως.] εἰ δὲ τὸ ὕδωρ τῶν ἄλλων στοιχείων διαφέρει, καὶ ὁ χρυσὸς τοῦ πλούτου. νῦν δὲ ὁ Θήρων πρὸς τὸ ἔσχατον καὶ ἄκρον τῆς νίκης ἱκάνων, ἅπτεται ταῖς οἴκοθεν ἀρεταῖς, τῶν Ἡρακλέους στηλῶν. καὶ τὸ πόρσω ἐστὶ βροτοῖς σοφοῖς ἄβατον, καὶ ἀσόφοις. οὐδαμῶς οὖν αὐτὸ τὸ πόρσω διώξω. καὶ μεῖζον ζητήσω τοῦ Ὀλυμπιακοῦ ἀγῶνος. πρὸς ἐσχατιὰν δὲ ἀρεταῖσιν, εἰς ἄκρον ἥκει ἀρετῆς· τοῦ Ὀλυμπιακοῦ ἀγῶνος στέφανον τετυχηκώς. [Ἡρακλέος στηλᾶν.] ὁ Ἡρακλῆς, ἡνίκα ἐπὶ τὰς Γηρυόνου βοῦς εἰς τὴν Ἐρυθρὰν λεγομένην νῆσον πρὸς τῷ ὠκεανῷ παρεγένετο, πᾶσαν διεξελθὼν τὴν πλεομένην θάλασσαν, ἐβούλετο προσωτέρω χωρεῖν. εἶτα χάος εὑρὼν καὶ ζόφον, ἔστησε στήλας. δι' ὧν ἐμήνυσε τὸ τέλος τῆς θαλάσσης· ὡς μηδὲν εἶναι περαιτέρω πλωτόν. πρὸς τοῦτο οὖν ἡ διάνοια ἀποδίδοται. ὅτι, ὁ νικήσας Ὀλύμπια μηδὲν ζητείτω πλέον. ἔχει γὰρ τὸ τέλος τῆς εὐδαιμονίας. ὥσπερ τὸ τέλος τῆς θαλάσσης αἱ Ἡρακλέους στῆλαι ἐν τόπῳ Γαδείρων. [Οἴκοθεν, Ἡρακλέος.] διὰ τῶν οἰκείων ἀρετῶν. [Τὸ πρόσω] τὸ ἐπέκεινα τῶν στηλῶν. τὸ γὰρ περαιτέρω τῶν Ἡρακλείων στηλῶν χωρεῖν, οὔτε σοφὸς, οὔτε μὴ σοφὸς ζητήσειεν ἄν. ἀλλ' οὐδὲ αὐτὸς ἐγὼ τὸ τοιοῦτο διώξω. εἴην γὰρ ἂν κενός τις καὶ ἀπαίδευτος.

Δ' ἐστὶ σοφοῖς ἄβατον,	Vero est sapientibus inaccessum,
Κἀσόφοις. Οὔ μιν διώξω. Κεινὸς εἴην.	Et stolidis. Non sane persequar. Vanus essem.

PARAPHRASIS.

parta Olympiaca victoria, ulterius in via virtutis progredi: sic non pluribus laudibus ipsum prosequar. Nam summa laude proposita, alias qualescunque congerere hominis inepti esset.

NOTÆ.

80 Σοφοῖς] Gl. MS. α. Φρονίμοις. 81 Οὔ μιν] Rom. Ed. hab. ad marg. καὶ οὔ μιν. Διώξω] Gl. MS. γ. Ἐρευνήσω. Add. etiam εἰ ἐρευνήσω. Κεινὸς] Gl. MS. γ. Δωλός. Schol. etiam leg. κεῖνος. Εἴην] Schol. leg. εἴη.

[Κεῖνος εἴην.] ὁ τῶν δυνατῶν ἐφιέμενος, καὶ μὴ ἀδυνάτων ἐρῶν. ἔνιοι δὲ ἀναγινώσκουσι, κεινὸς εἴην. ἵν' ᾖ, ἐὰν διώξω τὰ ἀδύνατα, κενὸς εἴην. ἤγουν ἄφρων. ὡς ἀδυνάτων ἐφιέμενος. [Ἄλλως.] περὶ τοῦ κεῖνος εἴην. ἐπιστήσας τις λογισμῷ, καὶ δῆλον ὅτι τὰ εὐκτικὰ τῶν ῥημάτων ὅτε μὲν κυρίως εὐκτικά εἰσι, καὶ εὐχὴν περιέχουσιν, ἄνευ συνδέσμου τινὸς προσφέρονται. τοῦ ἂν δηλαδὴ, ἢ τοῦ εἰ, ἢ ἑτέρου ὑποτακτικοῦ μορίου. ὁπηνίκα δὲ ἀντὶ ὑποτακτικῶν λαμβάνονται, τὰ εἰρημένα μόρια συμπροσφερόμενα ἔχουσι, τὸ κεινὸς ὥσπερ διορθούμενος, κεῖνος ἔγραψεν. ἵν' οὕτως εὐκτικῶς τὸ εἴην ἀποδοθῇ, καὶ ἀναχθῇ τὸ νόημα πρὸς τὸν Θήρωνα. εὐχομένου δηλαδὴ τοῦ ποιητοῦ, τὸ γενέσθαι κατὰ Θήρωνα, καὶ μὴ πλέον τι. καλῶς μὲν οὖν ὁ ἀνὴρ ἐπεστάτησεν, ὡς ἐπίβολος ἄριστος τῆς γραμματικῆς τέχνης. τοῦτο δὲ μόνον ἠγνόησεν, ὅτι ἡ γραμματικὴ ἐπὶ μόνῃ τῇ κοινῇ διαλέκτῳ τὸ κράτος ἔχει, καὶ δι' αὐτὴν συνεστάθη. πρὸς γὰρ τὰς ἄλλας τὰς Δωρίδα φημὶ, καὶ Αἰολίδα, καὶ Ἀττικὴν, καὶ Ἰάδα, λίαν ἔχει ἀσυντελῶς. διὰ τοῦτο ἐπὶ μὲν τῆς κοινῆς κανόνας ἀπαιτούμεθα. ἐπὶ δὲ τῶν ἄλλων, μόνα ἰδιώματα. ἤγουν, τόδε ἰδίωμα Δωριέων, καὶ τόδε Ἀττικῶν. Ἰστέον οὖν ὅτι τὸ κεινὸς εἴην, Δωρικῶς κείμενον παρὰ τῷ Πινδάρῳ ἐστίν. ὃς τὰ πλείω Δωριστὶ γράφει. οἱ δὲ Δωριεῖς ὀλιγοφραδεῖς, καὶ συλληπτικοί. ὡς δῆλον ἀπὸ τοῦ χρὴ, καὶ χρεών. ὧν τὸ μὲν χρὴ ἀντὶ τοῦ χρεὼν ἐστὶ συντεθέν. διὸ καὶ τοῦ [ἐστὶ,] τὸν τόνον ἔχει. τὸ δὲ χρεὼν, ἀπὸ τοῦ χρεὼν ἦν. διὸ καὶ περισπᾶται). εἴπῃς οὖν καὶ τὸ εἴην ἂν συλληπτικῶς, καὶ Δωρικῶς, ὡς τῆς συλλαβῆς τῆς ἢν ἐπελθούσης τῇ ἂν καὶ ἀρκούσης καθ' ἑαυτῆς, καὶ τοῦ συνδέσμου παρὰ τῷ Δωριεῖ.

Τέλος τοῦ τρίτου τῶν Ὀλυμπίων εἴδους.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ τρίτον τῶν Ὀλυμπίων εἶδος.

Ἀναχωρῶν εἰς θεοὺς Ἡρακλῆς, τοῖς Διοσκούροις τὸν Ὀλυμ-
πιακὸν ἀγῶνα ἐπέτρεψε τελεῖν. οὗτοι δὲ πρὸς τούτῳ
καὶ ἑτέραν ἑορτὴν ἐξεῦρον. ἣν διὰ τὸ πρὸς πάντας τοὺς θεοὺς γίνε-
σθαι, Θεοξένια ἐκάλουν. οἱονεὶ ξενίαν καὶ τράπεζαν τῶν θε-
ῶν. θύοντι οὖν Θήρωνι καὶ ἑορτάζοντι τὰ Θεοξένια, ἠγγέλθη
ὡς ἐν Ὀλυμπίᾳ οἱ αὐτοῦ ἵπποι ἐνίκησαν. διὰ τοῦτο οὖν ὁ ποιη-
τὴς εὔχεται τοῖς Διοσκούροις καὶ τῇ αὐτῶν ἀδελφῇ Ἑλένῃ,
ὡς καταστήσασι πρώτοις τὴν τῶν Θεοξενίων ἑορτήν. λέγει οὖν
γεραίρων καὶ τιμῶν τὴν κλεινὴν Ἀκράγαντα, ὀρθώσας καὶ ἐγεί-
ρας καὶ ἀνυψώσας ὕμνον τοῦ Θήρωνος Ὀλυμπιονίκην· καὶ ἐκ
τῆς Ὀλυμπίας αὐτῷ κατασταθέντα. ἄωτον, ἀπάνθισμα τῶν καρ-
πῶν τῶν ἵππων αὐτοῦ τῶν ἀκαματοπόδων, εὔχομαι ἁδεῖν
καὶ ἀρέσκειν τοῖς υἱοῖς τοῦ Τυνδάρεω Διοσκούροις· τοῖς φιλο-
ξένοις, καὶ τοῖς φιλοῦσι τοὺς ξένους, καὶ τῇ αὐτῶν ἀδελφῇ, τῇ
καλλιπλοκάμῳ Ἑλένῃ. [Φιλοξένοις.] φιλοξένους λέγει αὐτοὺς,
διὰ τὸ συστῆσαι τὴν ἑορτὴν τὰ Θεοξένια, εἰς ἣν πολλοὶ ξένοι
συνέρρεον καὶ φιλοφρονήσεως ἠξιοῦντο. [Τυνδαρίδαις τε.] τοῖς
Διοσκούροις εὔχομαι ἀρέσκειν, τοῖς φιλοξένοις, καὶ τῇ Ἑλένῃ
τῇ καλλιπλοκάμῳ. τιμῶν τὴν ἔνδοξον Ἀκράγαντα. διὰ τὸ ἀνε-
γεῖραι ὕμνον Ὀλυμπιονίκας ὑμνοῦντα ἄωτον λέγω, ἤγουν κό-
σμον ἐξαίρετον τῶν ἵππων τοῦ Θήρωνος. τῶν μὴ καμνόντων
τοὺς πόδας ἐν τοῖς δρόμοις. ἐπίνοια δὲ ἐγκωμίων μοι πα-
ρέστη, ἤγουν ἐπῆλθε. τοῦτον τὸν τρόπον ἐξευρόντι, τουτέστιν ἐπι-
8 νοήσαντι τρόπον. [Νεοσίγαλον] ἤγουν, καινοτέραν ἀγλαΐαν
ἔχοντα. ᾆσμα λαμπρὰν συνιστῶν χορείαν ἐναρμόσαι Δωρίῳ
ῥυθμῷ. ἐπεὶ εἰσπράττουσι μὲν ἐμὲ, ἤγουν ἀπαιτοῦσιν οἱ στέ-
φανοι οἱ ἐπὶ ταῖς χαίταις τῶν ἵππων ζευχθέντες. τουτέστι συν-
δεδεμένοι, τεθέντες. τοῦτο τὸ χρέος τὸ θεόδμητον, ἤγουν τὸ
ὑπὸ τῶν μουσῶν κατασκευαζόμενον. λέγω φόρμιγγά τε ποικι-
λόφωνον καὶ βοὴν αὐλῶν· καὶ συνθήκην ἐπῶν συμμίξαι πρε-
πόντως. ἤγουν, συναρμόσαι, συμβαλεῖν ταῦτα ἀλλήλοις,
χάριν τοῦ παιδὸς τοῦ Αἰνησιδάμου τοῦ Θήρωνος. καὶ ἡ Πίσα δὲ
εἰσπράττεταί με γεγωνεῖν, ἀντὶ τοῦ ὑμνεῖν, αὐτὸν δηλονότι.
ἧς ἄπο. ἤγουν ἀφ' ἧς, θεόδωροι, ἤγουν ὑπὸ θεῶν κε-
κληρωμένοι, ἔρχονται πρὸς ἀνθρώπους ὕμνοι ἐπινίκιοι. θεοδώ-
ρητοι δὲ, ὅτι οἱ θεοὶ τὰς νίκας δωροῦνται, δι' ἃς οἱ ὕμνοι.
[Δωρίῳ πεδίλῳ.] ὥσπερ ὁ ποὺς τῷ πεδίλῳ ἁρμόζεται, οὕτω 9
φησὶ καὶ τὸν ὕμνον τοῦ Θήρωνος ἁρμόσαι Δωρικῇ ἁρμονίᾳ. τρεῖς
δὲ ἁρμονίαι. Δώριος, Λύδιος, Φρύγιος. ποικιλωτέρα δὲ τῶν
δύο ἡ Δώριος. [Ὧ τινι κραίνων.] πρότερον ἀνθρώπους πλη- 19
θυντικῶς εἰπὼν, εἰς ἑνικὸν ἀπέδωκε τὸ, ᾧ τινι. ᾧ τινι ἀν-
θρώπῳ κραίνων καὶ τελειῶν τὰς προτέρας καὶ παλαιὰς ἐφετ-
μὰς καὶ ἐντολὰς τοῦ Ἡρακλέους. ἀνὴρ Αἰτωλὸς, Ἠλεῖος, ἑλλανο-
δίκης, καὶ τῶν ἐκεῖ ἀγωνιζομένων Ἑλλήνων κριτὴς ἀτρεκὴς, καὶ
ἀληθὴς, καὶ ἀπροσωπόληπτος. ἀμφιβάλλει ἂν καὶ θήσῃ περὶ
ταῖς κόμαις ὑψόθεν τῶν βλεφάρων κόσμον γλαυκόχροα ἐλαίας.
ἤτοι στέφανον ἐξ ἐλαίας γλαυκῆς εἰς κόσμον καὶ τιμήν. δέον
δὲ εἰπεῖν γλαυκόχροος πρὸς τὸ ἐλαίας, ἤτοι γλαυκὸν εἶδος
ἐχούσης, γλαυκόχροα εἶπε πρὸς τὸ, κόσμον. Ἰστορία. [Αἰτω- 22
λὸς ἀνήρ.] Ὀξυλός τις ἀνὴρ εἷς τῶν Αἰτωλῶν, ἡνίκα ἐπὶ τὴν
Πελοπόννησον οἱ Ἡρακλεῖδαι ἠπείγοντο, καθηγήσατο αὐτοῖς
τῆς ὁδοῦ. ἀντιδόσεως δὲ τρόπῳ τὴν Ἠλείων ἡγεμονίαν παρ' αὐτῶν
λαμβάνει. ἐξ οὗ οἱ Ἠλεῖοι, Αἰτωλοὶ ὠνομάσθησαν. διὰ τοῦτο
οὖν Αἰτωλὸς ἀνὴρ εἶπεν, ἀντὶ τοῦ Ἠλεῖος. ἀγνοοῦντες δέ τινες
τὸ ἀνὴρ, ἀντὶ τοῦ ὁ Ὀξυλος νοοῦσιν. ὅπερ ἄτοπον. ἐκεῖνος γὰρ ἦν,
ὁ καταρχὰς τιθέμενος τὸν ἀγῶνα ἑλλανοδίκης καταστὰς ὑφ'
Ἡρακλέους.

Ηρακλέους. ὕστερον δὲ κατὰ διαδοχὴν, ὃς ἂν ἐδόκει προύχειν
ἀληθείᾳ καὶ γνώμῃ δικαιοτάτῃ, εἰς τὴν ὑπηρεσίαν ταύτην ἐχει-
ροτονεῖτο παρὰ τοῦ δήμου. [Ω τινι κραίνων.] πληθυντικοῦ
δύναμιν ἔχει τὸ, ᾧ τινι. διὸ καὶ πρὸς πληθυντικὸν ἀποδίδο-
ται. καὶ πάντα ὅσα ἀορίστως λέγεται, οὐκ ἀνοικείως ἔχει πρὸς
πληθυντικὰ ἀποδίδοσθαι. πάντα γὰρ πληθυντικῶν ἔχει δύνα-
μιν. [Ω τινι κραίνων.] οὗ τινος ἂν ὑψόθεν, ἀντὶ τοῦ ὕψους,
ἀνωτέρω τῶν βλεφάρων ἐπὶ ταῖς κόμαις βάλῃ στέφανον ἀπὸ
ἐλαίας. ὑπόλευκον τὴν χρόαν. ἀπροσωπόληπτος ἑλλανοδίκης,
ἀνὴρ Αἰτωλὸς, ἀντὶ τοῦ Ηλεῖος· πληρῶν τὰς ἐντολὰς τοῦ Η-
ρακλέους τὰς προτέρας, ἀντὶ τοῦ τὰς ἀρχαίας. τουτέστιν, ἃς τὴν
ἀρχὴν ἐκεῖνος ἐνετείλατο. ἥν τινα, ἤγουν τὴν ἐλαίαν, ὁ Ηρα-
κλῆς ὁ υἱὸς τοῦ Αμφιτρύωνος ἤνεγκε ποτὲ, ἀπὸ τῶν πηγῶν τοῦ
Ιστρου τοῦ ποταμοῦ τῶν σκιερῶν. ἤγουν τῶν ὑπὸ δένδρων σκιαζο-
μένων, ἤγουν τῶν βαθειῶν, μνημόσυνον κάλλιστον ἐσομένην
δηλονότι τῶν ἀγώνων τῶν ἐν Ολυμπίᾳ. ἤνεγκε δὲ αὐτὴν, πείσας
τὸν δῆμον τῶν Υπερβορέων. τουτέστι τὸν ἐν τοῖς Υπερβορέοις, ἔνθα
25 ἦσαν αἱ ἐλαῖαι, τὸν θεράποντα τοῦ Απόλλωνος. [Ιστρου ἀπὸ σκι-
αρῶν.] ἔστι ὁ ποταμὸς, ἐν Υπερβορέοις ἔχει τοῦ ῥεύματος τὴν
ἀρχήν. σκιαρῶν δὲ πηγῶν, τῶν ὑπὸ ἐλαιῶν καὶ ἄλλων δένδρων
σκιαζομένων. [Τάν ποτε.] τὰν, καὶ ἥν τινα ἐλαίαν ὁ Αμφι-
τρυωνίδης καὶ ὁ υἱὸς τοῦ Αμφιτρύωνος ὁ Ηρακλῆς, πείσας τὸν δῆ-
μον τῶν Υπερβορέων τὸν θεράποντα τοῦ Απόλλωνος, ἤτοι τοὺς
ἐκεῖ ὄντας ἄνδρας, τοὺς τὸν Απόλλωνα τιμῶντας, ἤνεικε καὶ
ἐκόμισεν ἀπὸ τῶν σκιαρῶν πηγῶν τοῦ ποταμοῦ τοῦ Ιστρου, κάλλι-
στον μνῆμα καὶ ἐνθύμησιν καὶ μαρτύριον τῶν ἐν Ολυμπίᾳ ἀγώ-
νων. ἐκ γὰρ τοῦ κοτίνου, Ολυμπιονίκας δηλοῦται. ἔστι ἤγουν ὁ
Ηρακλῆς πιστὰ φρονέων αὐτοῖς, ἤτοι φίλος ὢν αὐτοῖς, καὶ οὐ
διὰ μάχης ἰών· ᾔτησε ταύτην δηλονότι τὴν ἐλαίαν, καὶ φύ-
τευμα σκιερὸν τῷ πανδόκῳ καὶ πάντας δεχομένῳ τοὺς Ελληνας
ἄλσει τοῦ Διὸς, ἤτοι τῷ Διῒ ἀφιερωμένῳ τεμένει. λέγω δὴ,
τῷ ἐν Ολυμπίᾳ τόπῳ, καὶ ξυνὸν καὶ κοινὸν στέφανον ἀρετῆς
τοῖς ἀνθρώποις. ἤγουν δι' οὗ πάντες οἱ νικῶντες στεφανοῦνται.
26 [Αμφιτρυωνιάδας.] τοῦτο κατὰ πλεονασμὸν τοῦ α. διὰ τὸ μέ-
τρον. τὸ γὰρ ἀκόλουθον, Αμφιτρυωνίδης ἐστίν. ἄλσος δὲ οὐ μόνον
ὁ κατάφυτος τόπος, ἀλλὰ καὶ ὁ τοῖς θεοῖς ἀνακείμενος κατα-
χρηστικῶς. ἐπειδὴ πάντες οἱ κατάφυτοι χῶροι τοῖς θεοῖς ἀνε-
τίθεντο. ἴσθι ὅτι πᾶν χωρίον τοῖς θεοῖς ἀφιερωμένον κἂν
ψιλὸν φυτῶν ᾖ, ἄλσος καλεῖται. ὡς Ομηρος. Ογχηστόν θ'
ἱερὸν Ποσιδήιον ἀγλαὸν ἄλσος. οὐ γὰρ Ογχηστὸς δένδρεσι κο-
29 μᾷ, ἀλλ' ἱερός ἐστιν. [Ος γε πιστὰ φρονέων.] ὅς τις, ἤγουν
ὁ Ηρακλῆς, πιστὰ, τουτέστι φιλικὰ, φρονῶν αὐτοῖς, ᾔτησε χά-
ριν τοῦ ἄλσους τοῦ Διός. ἤγουν τοῦ ἀνατεθειμένου τόπου τῷ Διΐ.
τοῦ παντοδαποὺς ἀνθρώπους ὑποδεχομένου. φύτευμά τε σκιᾶς
ποιητικὸν, κοινὸν τοῖς ἀνθρώποις, καὶ στέφανον τῆς ἀρετῆς τῶν νι-
κώντων ἐν τῷ ἀγῶνι. φύτευμα δὲ λέγει καὶ στέφανον, τὴν ἐλαίαν·
ὡς φυτευθησομένην καὶ εἰς στεφάνους συντελέσουσαν. ταυτὸ λέ-
γων, ὥσπερ εἰ ἔλεγεν, ᾔτησε τὴν ἐλαίαν χάριν τοῦ ἄλσους τοῦ
Διὸς, ἵνα ποιήσῃ αὐτοῖς ἐν αὐτῷ φυτείαν, σκιᾶς ποιητικὴν
κοινὴν τοῖς ἀνθρώποις, καὶ χρήσεται αὐτῇ καὶ εἰς στεφάνους τῆς
33 ἀρετῆς τῶν νικώντων ἐν τῷ ἀγῶνι. [Ηδη αὐτῷ.] τῷ αὐτῷ,
μὴ μόνον πρὸς τὸ ἁγισθέντων, ἀλλὰ καὶ πρὸς τὸ πατρὶ
συναπτέον. ἵν' ᾖ, τῷ πατρὶ αὐτῷ καὶ αὐτοῦ, Ηρακλῆς πρὸ τοῦ
τὴν ἐλαίαν ἐξ Υπερβορέων ἐνηνοχέναι, μίαν Ολυμπιάδα τετέ-
λεκεν. ἐτελεῖτο δὲ ἡ Ολυμπιακὴ πανήγυρις, ἐν πανσελήνῳ.
τόδε γάρ ἐστι λύσις τοῦ ἀντιπίπτοντος. εἴποι γὰρ ἄν τις αὐτῷ· τί-
νος χάριν τὴν ἐλαίαν ἐκόμισε; φησὶ γοῦν. ἤδη γὰρ καὶ τότε
τῶν βωμῶν τῷ πατρὶ ἤτοι τῷ Διῒ ἁγισθέντων, καὶ τελεσθέντων,
καὶ ἐναγίσματα λαβόντων, αὐτῷ καὶ ὑπ' αὐτοῦ τοῦ Ηρακλέους,
ἡ χρυσάρματος μήνη καὶ σελήνη, ἀντέφλεξε καὶ ἀντέλαμψεν
ὅλον ὀφθαλμὸν τῆς ἑσπέρας. ποταπὴ διχόμηνις καὶ πανσέλη-
νος, ὅτε δέ ἐστιν ἡ σελήνη πανσέληνος, δίχα κόπτει τὸν μῆνα.
ἐν γὰρ τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς, τοῦτο γίνεται. ὥσπερ
φαμὲν ἡ λαμπὰς ἐν νυκτὶ φῶς ἀστράπτει. οὕτω καὶ τὸ ἀντέφλεξεν
ὅλον ὀφθαλμὸν τῆς ἑσπέρας. τουτέστι, διαφανῆ ἐποίησε. τὸ δὲ
ὀφθαλμὸν λέγει, ἐπειδὴ τὸ τῆς νυκτὸς φῶς τοὺς ἐν νυκτὶ πο-
ρευομένους βλέπειν ποιεῖ, καὶ ἀπροσκόπτως τὴν πορείαν ἐργά-
ζεσθαι. μὴ λάβῃς πρὸς τὸ διχόμηνις τὸ οὖσα ἔξωθεν. δέον
γὰρ διχόμηνος εἰπεῖν. διχόμηνις εἶπε, πρὸς τὸ μήνη. λέ-
γεται δὲ μήνη, διότι τοὺς μῆνας αὐτὴ ἐργάζεται, μειουμένη καὶ
πάλιν νεουμένη. ἤδη γὰρ ὑπ' αὐτοῦ, ἤγουν τοῦ Ηρακλέους, τοῦ
βωμοῦ μετὰ τοῦ πατρὸς αὐτοῦ τοῦ Διὸς ἁγισθέντος, τουτέστι δι'
ἐναγισμάτων σεβασθέντος, ἡ πανσέληνος σελήνη ἡ χρυσάρμα-
τος, ὁλόκληρον τὸν ἑαυτῆς ὀφθαλμὸν λαμπρῶς, ἀντέφλεξεν
ἐπὶ τῆς ἑσπέρας. ἀντὶ τοῦ, δεδυκότος τοῦ ἡλίου, αὐτὴ τὸν ἑαυ-
τῆς ὀφθαλμὸν, λαμπρῶς ἀντέθηκε. λέγεται δὲ ὁ λόγος ἀν-
τιστρόφως. ἀντὶ τοῦ, ἤδη γὰρ τῆς πανσελήνου σελήνης τῆς χρυσαρμά-
του ὁλόκληρον τὸν ἑαυτῆς ὀφθαλμὸν ἀντιφλεξάσης ἐπὶ τῆς ἑσπέ-
ρας, ὁ βωμὸς μετὰ τοῦ πατρὸς αὐτοῦ, τουτέστι τοῦ Ηρακλέους, δι'
ἐναγισμάτων ὑπ' αὐτοῦ ἐτιμήθη. μετὰ γὰρ τὴν πανσέληνον αἱ θυ-
σίαι ἐπὶ τῷ βωμῷ φασὶν ἐτελοῦντο. καὶ μεγάλων ἀγώνων ἁγνὴν
κρίσιν. ἤγουν ἀδωροδόκητον, ἀπροσωπόληπτον. καὶ πενταετη-
ρίδα ἅμα, κατίστησεν αὐτὸς δηλονότι ὁ Ηρακλῆς, ἐπὶ τοῖς
κρημνοῖς τοῦ Αλφειοῦ ποταμοῦ τοῖς ἄγαν θείοις. [Αλλ' οὐ κα- 40
λά.] ἀλλ' οὐ καλὰ δένδρα θάλλοντα εἶχεν ὁ χῶρος ὁ ἐν
ταῖς βήσσαις ἤτοι ταῖς κοιλάσι, ταῖς καταδύσεσι τοῦ Κρονίου
λόφου τοῦ Πέλοπος. [Τούτων] ἤγουν τῶν δένδρων, γυμνὸς ὢν ὁ 43
κῆπος, τουτέστιν ὁ μετέωρος τόπος, καὶ ὑπὸ τῶν ἀνέμων κα-
ταπνεόμενος, ἔδοξεν αὐτῷ, τῷ Ηρακλεῖ δηλονότι, ὑπακούειν
ταῖς ὀξείαις αὐγαῖς τοῦ ἡλίου. ἀντὶ τοῦ εἰς πεῖραν ἔρχεσθαι τῶν
σφοδρῶν ἀκτίνων τοῦ ἡλίου. τότε δὴ ἐφρόντιζεν ἡ ψυχὴ αὐτοῦ,
περιφραστικῶς ἀντὶ τοῦ αὐτὸς, πορεύεσθαι εἰς τὴν γῆν τὴν περὶ
τὸν Ιστρον ποταμόν. Απορήσειεν ἄν τις ἐνταῦθα, πῶς τὸ κῆπος
λέγει μὴ ὄντων δένδρων; Καὶ φαμὲν ὥσπερ ἄνω εἰρήκει τὸν
αὐτὸν τοῦτον τόπον ἄλσος. οὕτω καὶ τοῦτο, ἢ τοῦτον κῆπον λέ-
γει Πίνδαρος, ὡς πρὸς τὸν καιρὸν αὐτοῦ, ἢ ἐπειδὴ κάπος καὶ
ἡ φάτνη λέγεται. ἔτρεχον δὲ ἐν τούτῳ τῷ τόπῳ οἱ ἵπποι, κα-
πὸς ἀποτελοῦντες ἐκ τῶν μυκτήρων. [Ενθα Λατοῦς.] ἐνταῦθα 46
ναὸς ἦν αὐτῆς τῆς Αρτέμιδος. οὗ καὶ Ιφιγένεια ὑπ' αὐτῷ ἁρπα-
γεῖσα κεκόμισται. οἰκείως ἔχει τὸ, μυχῶν πρὸς τὸ, δειρῶν.
ἔνθα γὰρ ὄρη, καὶ φάραγγες καὶ κρημνοί. [Ενθα Λατοῦς.] ἔνθα ἡ
θυγάτηρ τῆς Λητοῦς ἡ Αρτεμις ἡ Ιπποσόα. τουτέστιν, ἡ τοὺς ἵπ-
πους σοβοῦσα. ἤγουν διεγείρουσα εἰς δρόμον. ἤτοι ἡ ἱππική,
ἐδεξιώσατο αὐτὸν ἐλθόντα ἀπὸ τῶν ἐξοχῶν, καὶ τῶν μυχῶν ἤγουν
τῶν καταδύσεων τῶν πολυστρόφων τῆς Αρκαδίας, ὁπηνίκα ἡ ἀνάγ-
κη ἡ ἀπὸ τοῦ πατρὸς αὐτοῦ τοῦ Διὸς παρεσκεύαζεν αὐτὸν διὰ τῶν
προσαγμάτων τοῦ Εὐρυσθέως τῶν δι' ἀγγέλων αὐτῷ προσταττο-
μένων. δι' ἀγγέλων γάρ φασι προσέταττεν αὐτῷ Εὐρυσθεὺς ἃ
προσέταττε. τὴν ἔλαφον τὴν θήλειαν τὴν χρυσόκερων ἄξοντα.
ἣν ἡ Ταϋγέτη ἡ τοῦ Ατλαντος θυγάτηρ ἀνατιθεῖσα Αρτέμιδι
τῇ Ορθωσίᾳ, ἐπέγραψεν ἱερὰν αὐτῆς δηλονότι. εἰκότως εἶπε
τὸ, ἀγγελίαις. διὰ γὰρ μηνυμάτων ἐπέταττεν αὐτῷ τοὺς
ἄθλους τελεῖν. ἐδεδίει γὰρ αὐτὸν αὐτοπροσώπως θεᾶσθαι. Ιστο-
ρία. [Ανάγκη πατρόθεν.] ὅτε Αλκμήνη τὸν Ηρακλέα ἐκυοφόρει, 51
τότε φασὶ τὴν Ηραν φθονοῦσαν Αλκμήνῃ διὰ τὰς τοῦ Διὸς συνου-
σίας, ἐλθοῦσαν πρὸς τὸν Δία αἰτῆσαι αὐτὸν παρασκευάσαι τὸν
πρῶτον τεχθήσεσθαι μέλλοντα, κύριον ἔσεσθαι τοῦ ὕστερον τε-
χθησομένου. κατανεύσαντος οὖν τοῦ Διὸς, Ηραν ἐν τάχει ποιῆσαι
τὸν Εὐρυσθέα γεννηθῆναι. λέγει οὖν τὴν τοῦ Διὸς πρὸς Ηραν κατά-
νευσιν, ἀνάγκην. ὕστερον δὲ Ηρακλῆς ὑπὸ Ηρας μανεὶς, ἐλθὼν
εἰς Απόλλωνα καὶ χρώμενος αὐτῷ περὶ τῆς νόσου, ἤκουσε παρ'
αὐτοῦ μὴ ἂν πεπαῦσθαι τῆς νόσου, εἰ μὴ προσελθόντα τῷ Εὐ-
ρυσθεῖ ποιεῖν ὅσα ἂν ἐκεῖνος κελεύῃ. Ιστορία. [Αν ποτε Ταϋ- 53
γέτα.] Ταϋγέτη ἡ Ατλαντος θυγάτηρ ὑπὸ Διὸς ἐρασθεῖσα,
μετεβλήθη εἰς ἔλαφον ὑπ' Αρτέμιδος, καὶ οὕτω τὸν γάμον ἐξέ-
φυγεν. ὕστερον δὲ ὑπ' αὐτῆς πάλιν ἐπανῆλθεν εἰς ἄνθρωπον.
τούτων οὖν ἀμειβομένη τῇ Αρτέμιδι, ἔλαφον ἀνατίθησιν αὐτῇ
χρυσῷ κεκοσμημένην τὰ κέρατα, ἐν οἷς ἐπέγραψε· Ταϋγέτη
ταύτην ἀφιεροῖ Αρτέμιδι. ἣν ἀγαγεῖν ὑπ' Εὐρυσθέως Ηρα-
κλῆς ἐπετάχθη. ὅθεν διώκων αὐτὴν, μέχρις Υπερβορέων ἀφῖκτο.

ἀφ'

54 ἀφ' οὗ τὴν ἐλαίαν εἰς Ολυμπίαν ἤγαγε. τὸ δὲ [Αντιθεῖσα·] ἤγουν
ἀναπιθεῖσα κατὰ συγκοπὴν, ἤγουν ἀνθ' ἑαυτῆς θεῖσα. Ορθωσία, τῇ ἐν Ορθωσίῳ ὄρει Αρκαδίας τιμωμένῃ Αρτέμιδι. ἤγουν τῇ ὀρθούσῃ τὰς γυναῖκας ἐν τῷ τοκετῷ. ἔφορος γὰρ λοχείας. Ορθωσία ἡ Αρτεμις παρὰ τὸ Ορθώσιον ὅπερ ἐστὶν ὄρος Αρκαδικόν. ἔστι δὲ καὶ Ορθιον ὄρος Αρκαδίας. ἀφ' οὗ καὶ ἡ θεὸς Ορθὶς καὶ Ορθωσία καλεῖται. ἤγουν ἡ ὀρθοῦσα τὰς γυναῖκας καὶ εἰς σωτηρίαν ἐκ τοῦ τοκετοῦ ἄγουσα. [Τὰν μεθέπων.] ταύτην διώκων, εἶδε καὶ ἐκείνην τὴν γῆν τὴν τὰς ἐλαίας ἔχουσαν. ὄπιθεν τῆς πνοῆς τοῦ Βορέου τοῦ ψυχροῦ. ἤγουν, κατὰ τὰ Υπερβόρεια μέρη. ὅπου σταθεὶς ἐθαύμαζε τὰ δένδρα. ὧν γλυκὺς ἵμερος καὶ ἔρως ἔλαβεν αὐτὸν ὥστε φυτεῦσαι ἀπ' αὐτῶν δηλονότι περὶ τὸ τέρμα τοῦ δρόμου τῶν ἵππων. τὸ
59 [Δωδεκάγναμπτον.] ἤγουν, ὃ δωδεκάκις οἱ ἀγωνιζόμενοι τεθρίπποις περιήρχοντο. ἢ δωδεκάγναμπτον, τὸ ιβ' γναμπτῆρας ἔχον. ἐπειδὴ καὶ ιβ' δρόμους ἐποίει τὸ τέλειον ἅρμα τῶν ἵππων. τὸ δὲ πωλικὸν, η'.
61 [Καὶ νυν ἐς ταύταν.] καὶ δὴ εἰς ταύτην τὴν ἑορτὴν, ἤγουν εἰς τὰ Θεοξένια, εὐμενὴς ἔρχεται ὁ Ηρακλῆς σὺν τοῖς δυσὶ παισὶ τῆς Λήδας τῆς βαθυζώνου. ἤγουν τῆς πολυτελεῖ ζώνῃ ποτὲ χρωμένης. ἤγουν, τῆς πλουσίας. καθὰ λέγεται καὶ βαθὺς πλοῦτος ὁ πολὺς, ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, τουτέστι τῆς
62 δασείας. [Τοῖς ἀντιθέοις.] ἤγουν τοῖς ἰσοθέοις. τουτέστι τοῖς Διοσκούροις. τούτοις γὰρ ἐπέτρεψεν. ἤγουν ἐπὶ τῇ ἐξουσίᾳ γὰρ τούτων ἔδωκεν, εἰς τὸν οὐρανὸν αὐτὸς ἀπερχόμενος, νέμειν, ἤγουν διοικεῖν, τὸν θαυμαστὸν ἀγῶνα. περί τε τῆς ἀρετῆς, ἤγουν τῆς δυνάμεως τῆς ἐμπειρίας τῶν ἀνδρῶν, καὶ τῆς διφρηλασίας, ἤγουν τῆς
66 σπουδαίας κινήσεως τῶν δίφρων· [Τῆς ῥιμφαρμάτου.] τουτέστι,
68 δι' ἧς ἡ ταχυτὴς τῶν ἁρμάτων δείκνυται. [Εμμενίδαις.] Εμμενίδαι πατρεία Θήρωνος ἐν Σικελίᾳ. Τηλέμαχος γάρ τις καταλύσας τὴν Φαλάριδος τυραννίδα ἐν Ακράγαντι, τὴν βασιλείαν ἐκτήσατο. οὗ παῖς γίνεται Αἰνησίδαμος, ὁ Θήρωνος πατήρ. [Εμὲ δ' ὦν πα θυμός.] ἐμὲ δ' οὖν ἡ ψυχὴ διεγείρει εἰπεῖν δόξαν ἐλθεῖν τοῖς Εμμενίδαις, ἤγουν τῇ πατρείᾳ τοῦ Θήρωνος, τουτέστι τοῖς Ακραγαντίνοις καὶ τῷ Θήρωνι· τῶν Τυνδαριδῶν, ἤγουν, τῶν Διοσκούρων τῶν εὐίππων, τουτέστι τῶν ἐπὶ καλῶν ἵππων ὀχουμένων, διδόντων αὐτὴν δηλονότι, διότι αὐτοὺς ἐπέρχονται· ἤγουν δεξιοῦνται διὰ τραπεζῶν ξενοδοχικῶν πάνυ πλειόνων τῶν ἄλλων ἀνθρώπων. ἀντὶ τοῦ τραπεζῶν, ἃς οἱ ἄλλοι οὐ ποιοῦσιν ἄνθρωποι. ἢ οὕτω. διότι αὐτοὺς δεξιοῦνται, διὰ πλείστων τραπεζῶν πρὸς ἀνθρώπους ξενοδοχικῶν. κατὰ εὐσεβῆ προαίρεσιν φυλάσσοντες. ἤγουν τηροῦντες, τιμῶντες τὰς ἑορτὰς τῶν θεῶν. [Οτι πλείσταισι] πάνυ πλείοσι τῶν ἄλ- 71
λων ἀνθρώπων. ὅτι ἐπ' αὐτοὺς τοὺς Διοσκούρους οἱ πρόγονοι τοῦ Θήρωνος καὶ αὐτὸς ὁ Θήρων, οἴχονται καὶ πορεύονται ἐν πλείσταις ἀνθρώπων ξενίαις τραπέζαις. τουτέστιν, ὡς οὐδένες ἀνθρώπων θυσίαις καὶ πανηγύρεσιν αὐτοὺς τιμῶσι, φυλάσσοντες καὶ τηροῦντες τὰς τελετὰς καὶ τὰς ἑορτὰς τῶν Μακάρων ἐν εὐσεβεῖ γνώμῃ. τουτέστιν εὐσεβεῖς ὄντες, καὶ περὶ τὰς τῶν θεῶν τιμὰς ἀσχολούμενοι. [Εἰ δ' ἀριστεύει μὲν ὕδωρ.] εἰ δὲ ἄρι- 75
στον μέν ἐστι τὸ ὕδωρ τῶν ἄλλων δηλονότι στοιχείων, τῶν κτημάτων δὲ ὁ χρυσός ἐστιν αἰδοιέστατον κτῆμα δηλονότι, ἤγουν τιμιώτατον. τὸ γὰρ πλεῖστα αἰδοῦς ἄξιον, τιμιώτατον πάντως. νῦν γε ὁ Θήρων πρὸς τὴν ἐσχατιὰν ἤγουν τὸ ἀκρότατον καταλαμβάνων, ἅπτεται ταῖς οἴκοθεν ἀρεταῖς, τουτέστι ταῖς γνησίαις, ταῖς οἰκείαις τῷ γένει αὐτοῦ. [Αλλως. Οἴκοθεν.] ἀφ' 79
ἑαυτοῦ καὶ οὐκ ἀπὸ τύχης πατέρων, ὡς ἕτεροι. [Ηρακλέος στηλᾶν.] τῶν στηλῶν τοῦ Ηρακλέους. τοῦτο δέ φησιν, ἐπειδὴ ἐνίκησε τὰ Ολύμπια, τὸν κράτιστον ἀγῶνα τῶν ἄλλων. τὸ πόρσω δὲ, τουτέστι τὸ πόῤῥω, ἀντὶ τοῦ * τὰ περαιτέρω ἄβατόν ἐστι καὶ ὑπὸ τῶν σοφῶν καὶ ὑπὸ τῶν ἀσόφων, οὐ μὴν διώξω. ἤγουν, οὐ ζητήσω. τουτέστιν ὅσον τὸ κατ' ἐμὲ, οὐκ ἂν ἐδίωξα. κενὸς, ἤγουν μάταιος ἂν εἴην, εἰ ἐζήτησα τοῦτο δηλονότι. ἄβατον, τὸ μὴ πρέπον πατηθῆναι. καὶ ὃ οὐ διελθεῖ τις· καὶ ὃ οὐ δύναταί τις διελθεῖν. ἤγουν τὸ ἀδιεξίτητον. ἐνταῦθα κατὰ τὸ γ'. λέγεται σημαινόμενον. [Ηρακλέος στηλᾶν.] ἃς ἐν Γαδείροις ἔστησεν, ὅτε πρὸς ζήτησιν τῶν Γηρυόνου βοῶν ἀφίκετο. ὅτι δὲ οὐκ ἔστιν ἐπέκεινα τούτων ἐλθεῖν, ἡ παροιμία δηλοῖ. Παροιμία. τὰ πέρα Γαδείρων, οὐ περατά. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ὥσπερ τῶν Ηρακλείων στηλῶν οὐκ ἔστιν ἐπέκεινά τι, οὕτω καὶ Θήρων εἰς τὸ ἀκρότατον τοῦ θαύματος ἰὼν, οὐκ ἂν ἔχοι πορρωτέρω ἐλθεῖν. πάντες γὰρ καὶ σοφοὶ καὶ ἄσοφοι, μὴ εἶναι ταύτης ἔτι μείζω εὐδαιμονίαν εἴποιεν. ὥστε καὶ αὐτὸς, εἰ πλέον τι ζητοίη πρὸς τὴν ἑαυτοῦ ἔπαινον, μάταιος ἂν εἴη.

* MS. Bodl. leg. τό.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟῦ τετάρτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ιε΄. Τὸ α΄, προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἀνακλώμενον. υυ-υ-υυ--. Τὸ β΄, ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. υυ-υυ-. Τὸ γ΄, ἰθυφαλικόν. ὅπερ ἐστὶ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. -υ-υ-υ. Τὸ δ΄, Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, τῆς πρώτης μακρᾶς ἀναλυομένης. υυ-υυ--υυ--. Τὸ ε΄, Ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐπίμικτον πρὸς τροχαϊκὴν συζυγίαν. --υυ-υ--. Τὸ ς΄, Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. --υυ--υυ--. Τὸ ζ΄, λογαοιδικόν, ἐξ ἀναπαίστου καὶ ἰάμβου, καὶ συλλαβῆς. τὸ δὲ λογαοιδικὸν εὕρηται καὶ ἐν δακτύλοις. ἤγουν, ῥυθμὸς ἐν λογογράφοις οἰκείως καὶ ἀοιδοῖς συγκείμενος. ὁ δάκτυλος ἀοιδοῦ. ὁ τροχαῖος, λογογράφου. ὅτε γοῦν εἰσὶ δάκτυλοι καὶ ὁ ὕστερος τροχαῖος, τότε λογαοιδικὸν λέγεται. ὥσπερ καὶ ἐνταῦθα· οἱ ἀνάπαιστοι, ἀοιδοῦ. ὁ ἴαμβος, λογογράφου. εἰ δὲ σπονδεῖοι εἰσί, μὴ ξενίσῃ. οἱ γὰρ σπονδεῖοι, σύμπτυκτοι ἀνάπαιστοι λέγονται. ὡς καὶ τὰ εἰς σωτῆρα Χριστὸν τῆς ὡραιοπυλιώτην, ἐπὶ τῆς μαρμάρου ἄνω τῶν ἔξωθεν πυλῶν, ὅπου ἐζωγράφηται Ἰουστινιανός, καὶ ὁ μέγιστος Κωνσταντῖνος. ------υ--. Τὸ η΄, Φερεκράτειον, λειπούσης τῆς τελευταίας συλλαβῆς, ἤγουν, ἐξ ἐπιτρίτων. -υ-υ--. Τὸ θ΄, ἰαμβικόν, ἑφθημιμερές. υ-υ---. Τὸ ι΄, ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. ἐπιωνικὸν δὲ λέγεται, καὶ οὐκ Ἰωνικόν, ὅτι ἰαμβικὴν πρώτην συζυγίαν ἔχει, ἀνοικείαν τοῖς Ἰωνικοῖς. καὶ πάλιν ὕστερον, ἴαμβον. --υ--υ--υ-. Τὸ ια΄, τροχαϊκὸν δίμετρον ἀκατάληκτον, διαλυθέντων τῶν ποδῶν. υυ-υυ--υ--. Τὸ ιβ΄, Ἰωνικὸν δίμετρον, ὑπερκατάληκτον. υυ---υ-υ-. Τὸ ιγ΄, Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. --υυ--. Τὸ ιδ΄, Ἰωνικὸν δίμετρον καταληκτικόν, πρὸς τροχαϊκὴν ἐπίμικτον. υ-υυ-υ-. Τὸ ιε΄, ἰαμβικὸν πενθημιμερές. υ-υ--.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η δὲ ἐπῳδὸς, κώλων ιβ΄. Τὸ α΄, Ἰωνικὸν δίμετρον ἀκατάληκτον. κειμένης ἔμπροσθεν συλλαβῆς, μεμιγμένον τοῖς τροχαίοις. --υυ-υ-υ. Τὸ β΄, χοριαμβικὸν δίμετρον καταληκτικόν. ἔχει δὲ κατακλεῖδα οἰκείαν ἰαμβικήν. -υυ-υ--. Τὸ γ΄. ἰαμβικὸν δίμετρον καταληκτικόν. υ-υ-υυυ-. Τὸ τέταρτον, προσοδιακόν *, ἀπὸ τροχαίου ἀναλυομένου δίμετρον ὑπερκατάληκτον. ---υ-υυ--. Τὸ ε΄, δίμετρον ὑπερκατάληκτον ἐπὶ χοριάμβῳ, ἀπὸ τροχαίου ἀναλυόμενον. υυυ-υ--υ--. Τὸ ς΄, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. υ-υυυυ-. Τὸ ζ΄, δακτυλικὸν δίμετρον καταληκτικόν. -υυ-υυ-υ. Τὸ η΄, περιοδικόν. οἷον, ἴαμβος διπλοῦς, καὶ ἐξ ἀρχῆς, καὶ ἐκ τέλους ἀρχόμενος. --υ--υ-υ. Τὸ θ΄, περιοδικὸν τροχαϊκόν, ἀπὸ ἰάμβου, καταληκτικόν. υ--υ-υ-. Τὸ δέκατον, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. υ-υυυυ-. Τὸ ια΄, τροχαϊκὸν ἐπίτριτον. τῆς πρώτης ποδὸς ἀναλυομένου. ἔτι δὲ καὶ τοῦ δευτέρου. υυ-υυυ-υ--. Τὸ ιβ΄, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. υ-υ-υ-.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

Ψαύμιδι Καμαριναίῳ. Γέγραπται ἡ ᾠδή, Ψαύμιδι Καμαριναίῳ, νικήσαντι τὴν ὀγδοηκοστὴν δευτέραν Ὀλυμπιάδα τεθρίππῳ παιδὶ Ἄκρωνος. Καμάρινα δὲ πόλις Σικελίας.

* Ed. Brub. hab. ad marg. περιοδικόν.

ΨΑΥΜΙΔΙ

ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩ, ΙΠΠΟΙΣ. ΕΙΔΟΣ Δ'.

PSAUMIDI CAMARINÆO, EQUIS. ODE IV.

ARGUMENTUM.

Laudatur Psaumis Camarinæus à victoria Olympica, quam adeptus est equis, ab hospitalitate, pacis studio, amore in Rempublicam, & alendorum equorum cura. Demum historia Ergini Clymeni filii canitiem excusat.

στροφὴ α'. κώλων ιε'.

Ελατὴρ ὑπέρτατε βροντᾶς
Ακαμαντόποδος
Ζεῦ. Τεαὶ γὰρ ὧραι
Υπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς
Ελισσόμεναί μ' ἔπεμψαν,
Υψηλοτάτων μάρτυρ' ἀέθλων.
Ξείνων δ' εὖ πρασσόντων, ἔσαναν
Αὐτίκ' ἀγγελίαν
Ποτὶ γλυκεῖαν ἐσλοί.

METAPH.

Vibrator altissime tonitrus
Pedibus-indefatigati
Jupiter. Tuæ enim horæ
Cum variæ-citharæ cantu
Revolutæ me miserunt,
Sublimissimorum testem certaminum.
Amicis autem bene agentibus, congaudent
Statim nuncium
Ad dulce boni.

PARAPHRASIS.

Summe Deorum Jupiter, qui tonitrua vel ocyssimo fragore crepantia volvis & impellis (quandoquidem illæ tuæ cœli janitrices horæ, volventibus annis Olympiadem tibi sacram revexerunt: meque Olympicorum certaminum summe præstantium testem miserunt, ut victorem Psaumidem, encomio cithara varios edente modulos canendo, prædicem: cujus virtutem illaudatam præterire non debeo, cum sim ejus amicus: & sit virorum bonorum audito dulci nuntio rei ab amicis feliciter gestæ, gestire protinus gaudio, eisque animo invidia vacuo gratulari.)

NOTÆ.

Ελατὴρ] Gl. MS. γ. Διώκτα. Exordium ducit à voto Jovi facto pro Psaumide. 2 Ακαμαντόποδος] Gl. MS. γ. Τῆς ἰσχυρόποδος. α. κόπου χωρίς. 3 Τεαὶ] Aliqui parenthesin signant. Sed cum Schmid. accipimus hæc ut αἰτιολογίαν, quare Jovem invocet, omissa parenth. ut & Ald. & MSS. Pal. A. Bodl. α. β. γ. & C. 71. 9 Εσλοί leg. Steph.

Ελατὴρ ὑπέρτατε βροντᾶς.] ἐπειδὴ ὁ ἀγὼν Ολυμπιακός, τοῦτον δὲ ὁ Ψαῦμις ἐνίκησεν, εἰκότως ἐξ αὐτοῦ τοῦ Διὸς ποιεῖται τὸ προοίμιον τοῦ † ἐπινίκου. οἱ νεώτεροι δὲ, ἅρματα τῆς βροντῆς τῷ Διῒ εἶναι διδόασι. καὶ λέγουσιν, ὦ ἡνίοχε Ζεῦ. ἡ δὲ ἀκολουθία. ὦ Ζεῦ καθ' ὑπέρτατον, ὅστις τὴν Αἴτναν κατέχεις τὴν οὖσαν ἵππον, καὶ πίεσμα, καὶ βάρος τοῦ Τυφῶνος. Αἴτνη, ὄρος Σικελίας. οἰκειότατα δὲ· Σικελιώτης γὰρ ὁ νικηφόρος. ὅτι καὶ ἡ Καμάρινα, πόλις Σικελίας. καὶ ἡ Κατάνη ὕστερον Αἴτνη ἐκλήθη. [Αλλως. Βροντᾶς.] τὴν βροντὴν ὁ Πίνδαρος, ὡς ἵππον ὑφίσταται τοῦ Διός. διὸ καὶ ἀκαμαντόποδα αὐτὴν εἶπεν· ἤτοι δὲ ὑπέρτατε Ζεῦ εἶπεν, ἢ ὑπέρτατε ἐλατὴρ τῆς βροντῆς, ἀκαμαντόποδος δὲ, τῆς * στερεᾶς καὶ μὴ καμούσης τοὺς πόδας. [Ζεῦ. Τεαὶ γὰρ ὧραι.] τὸ ἑξῆς. Ζεῦ, τεαὶ γὰρ ὧραι ἑλισσόμεναί με ἔπεμψαν ὑψηλοτάτων μάρτυρ' ἀέθλων, ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς. ἵν' ᾖ, αἱ γὰρ σαὶ ὧραι τῶν ἐνιαυτῶν ἔπεμψαν. Ομηρος. Περιτελλομένων ἐνιαυτῶν. μάρτυρα δὲ, ἀντὶ τοῦ ὑμνητήν. διὰ γὰρ τῶν ποιημάτων καὶ ὕμνων, ἐκδηλότεροι οἱ νικῶντες καὶ ἀΐδιος ἡ μαρτυρία. τὸ δὲ ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς, τῇ ὑπό, ἀντὶ τοῦ μετὰ κέχρηται. ἵν' ᾖ μετὰ ποικιλοφορμίγγων ᾠδῶν, ἔπεμψάν με αἱ τεαὶ ὧραι. ποικιλοφόρμιγγα δὲ εἶπεν, ἐπειδὴ σὺν μουσικοῖς ὀργάνοις αὐλῷ τε καὶ κιθάρᾳ, ᾖδον. τῇ δὲ ὑπό, ἀντὶ τοῦ μετά, καὶ Ομηρος κέχρηται. Δαΐδων ὕπο λαμπομενάων. ἀντὶ τοῦ μετὰ δαΐδων. [Αλλως.] Διὸς ὥρας, τὰς Ολυμπιάδας λέγει. περισσὸς δὲ ὁ γὰρ σύνδεσμος. ὅτι αἰτία ἐστὶ τοῦ ποικίλλειν τὴν φόρμιγγα. [Ξείνων δ' εὖ πρασσόντων.] ξείνων, φίλων, ἔσαναν ἀντὶ τοῦ ἐχάρησαν, ἀπὸ τῶν σαινόντων ζώων. ἤτοι δὲ τὸ ἑξῆς, προσέσαναν τὴν ἀγγελίαν, ἢ πρὸς τὴν ἀγγελίαν ἔσαναν καὶ ἐχάρησαν. ἡ δὲ διάνοια πρὸς τὴν τῶν εὖ πρασσόντων ἀγγελίαν φίλων ἐχάρησαν οἱ ἀγαθοί. ἢ οὕτω. τὴν δὲ τῶν εὖ πρασσόντων φίλων ἀγγελίαν γλυκεῖαν οὖσαν, ἱλαρῶς οἱ ἀγαθοὶ φίλοι προσδέχονται. τοῦτο δὲ, ὡς πρὸς ἑαυτὸν ὁ χορὸς ᾄδεται, ἐπὶ τῇ τοῦ νενικηκότος εὐπραγίᾳ, ὡς ἂν γνωρίμου. [Αλλως.] ἔσαναν, ἐχάρησαν, ὁ δὲ νοῦς. τῶν φίλων εὐδαιμονούντων, εὐθέως οἱ γνήσιοι καὶ ἀγαθοὶ ἑταῖροι, ἥσθησαν ὑπὸ τῶν γλυκειῶν ἀγγελιῶν μαθόντες.

† Ισ. ἐπινίκου. * Ισ. στερεᾶς.

[Ιπον

Ἀλλ' ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις,	Sed O Saturni fili, qui Ætnam habita
Ἶπον ἠνεμόεσσαν ἑκατογ-	Onus ventosum centi-
κεφάλα Τυφῶνος ὀβρίμου,	cipitis Typhonis robusti,
Οὐλυμπιονίκαν	Olympicam-victoriam-celebrantem
Δέκευ χαρίτων ἕκα-	Suscipe gratiarum cau-
τι τόνδε κῶμον,	sa huncce chorealem-hymnum,
ἀντιστροφὴ α'. κώλων ιϛ'.	ΜΕΤΑΡΗ.
Χρονιώτατον φάος εὐρυ-	Diuturnissimum lumen præ-
σθενέων ἀρετᾶν.	potentium virtutum.
Ψαύμιδος γὰρ ἥκει	Psaumidis enim venit
Ὀχέων· ὃς ἐλαίᾳ στεφανωθεὶς	*In* curribus; qui olea coronatus
Πισάτιδι, κῦδος ὄρσαι	Pisatide, decus excitare
Σπεύδει Καμαρίνᾳ. Θεὸς εὔφρων	Satagit Camarinæ. Deus propitius
Εἴη λοιπαῖς εὐχαῖς. Ἐπεί μιν	Sit reliquis *ejus* votis. Quoniam illum
Αἰνέω, μάλα μὲν	Laudo, valde quidem
Τροφαῖς ἕτοιμον ἵππων,	Alturis idoneum equorum,
Χαίροντά τε ξενίαις πανδόκοις,	Gaudentemq; hospitalitatibus omnium-exceptricibus,
Καὶ πρὸς ἡσυχίαν φιλόπολιν	Et ad tranquillitatem reip.-amicam
Καθαρᾷ γνώμᾳ τετραμμένον.	Sincera mente conversum.

PARAPHRASIS.

Rogo te fili Saturni, Jupiter, qui ventis expositam Aetnam tenes, cujus onere jacet obrutus centiceps ille Typhon validus, quem fulmine sub eum montem detrusisti, accipe & boni consule Gratiarum causa chorealem hunc hymnum virtutibus præpotentibus perenne allaturum lumen ei, qui Olympia nomini tuo sacra vicit. Etenim hic hymnus curru Psaumidis vehitur, scilicet ejus laudes canit, qui coronam Oleastri Elei, quadrigarum ob victoriam consecutus, magnam Camarinæ patriæ gloriam affert. Cui, quemadmodum hunc successum optanti favit Deus, utinam & in reliquis votis sit propitius: quandoquidem eximiis virtutibus præditus refulget. Nam vehementi alendorum equorum studio tenetur: hospitalitate gaudet, qua quemvis, excluso nemine, dignatur, est reipublicæ amantissimus, & ad pacem patriæ tuendam educatus.

NOTÆ.

10 Αλλ' ὦ] Gl. MSS. 6. γ. τὸ σχῆμα ἐπανάληψις. MS. Bodl. leg. ἀλλά. Schol. leg. Κρόνε παῖ. Winshemius interpretatur: Tu Jupiter coleris in Ætna & es vicinus Psaumidi, qui colit Camarinam. Vicini autem boni delectantur vicinorum bona fortuna. Ego adfero tibi hymnum testem victoriæ vicini tui. Quare illum boni consule. 11 Ιπον] Alii leg. ἰπνόν. Est autem ἰπνὸς, καπνοδόχη, furnus, caminus, ut sit Ætna qu. infumibulum, per quod Typhœus ignes in Terræ-motibus efflet. MS. Pal. B. leg. Ἵππον. Ηνεμόεσσαν] i. e. excelsum. Εκατογκεφάλα] Schol. observat alios fingere Typhœa aliis in locis jacere, præter Ætnam in Sicilia, ubi Pindarus & eum secutus Ovid. lib. 5. Met. hunc Gigantem puniri canunt: quanquam totam Siciliam ejus corpori, Ætnam capiti impositam Ovid. describat. Sed forsan † Σικελίᾳ in Schol. debet legi Κιλικίᾳ: aliter nihil novi afferret, quippe qui antea Pindar. dicere docuisset τῷ Τυφῶνι ἐπικεῖσθαι τὴν Αἴτνην. Vide locum Strabonis lib. 13. p. 626. Ed. Casaub. ubi & in Syria esse scribit. Εκατογκεφάλης autem dicitur, ut prodigiosior Typhonis sit narratio, q. d. qui tantum ignis evomit, quantum per centum fauces evomi posse videatur. 12 Τυφῶνος] Gl. MS. γ. Ορους. Cum alias in Τυφώς, &c. υ plerumque corripiatur: & hic & Pyth. α'. producitur. Ald. leg. ὀμβρίμου. 13 Οὐλυμπιονίκαν] De re non de persona. 14 Δέκευ] Ald. & Pal. C. leg. δέξαι, sc. Scholion. Χαρίτων] Potest intell. amicitiæ nostræ causa; ἕκατι enim idem est, quod ἕνεκα. Εκατι Schol. Ald. & Pal. C. præfigunt δ'. 16 Χρονιώτατον] Gl. MS. γ. Πολυχρόνιον. Horat. l. 4. od. 8. *Neque Si chartæ sileant quod bene feceris, Mercedem tuleris* ---- & postea, *Dignum laude virum musa vetat mori*, & plura ejusmodi. 18 Ψαύμιος leg. Ald. & Pal. A. B. C. & α. 6. γ. Ηκει] Gl. MS. α. Ερχεται. γ. Επαινος δηλονότι. Ald. & Pal. C. hab. ἵκει. 20 Ορσαι] Gl. MS. γ. Διεγεῖραι. 21 Εὔφρων] Gl. MS. γ. Εὐφραντικός. 22 Λοιπαῖς εὐχαῖς] Votum inserit pro secuturis victoriis aliis. Sternit sibi viam ad confutationem de canis, ob quos tantum abest ut existimet hanc victoriam ei impossibilem fuisse, ut etiam plures alias ei in posterum promittat, ex sententia Winshemii. 24 Ιππων] Gl. MS. γ. ἐν τῇ ἀθλήσει τῇ ἱππικῇ. Ιππου leg Ed. Steph. & aliæ. 27 Τετραμμένον i. e. educatum, leg. Ed. Steph. & aliæ.

[Ἶπον ἠνεμόεσσαν.] ὁ μὲν Πίνδαρος, τῷ Τυφῶνι φησὶν ἐπικεῖσθαι τὴν Αἴτνην. ὁ δὲ Καλλίμαχος, τῷ Εγκελάδῳ. ἔνιοι δὲ ἐν Πιθηκούσαις φασὶ τὸν Τυφῶνα. ἄλλοι, ἐν Φρυγίᾳ. οἱ δὲ, ἐν † Σικελίᾳ· οἱ δὲ ἐν Αἰγύπτῳ, ὡς καὶ Ηρόδοτος. οἱ δὲ ἐν τῷ ὄρει τῷ κατὰ Βοιωτίαν. [Δέκευ χαρίτων.] ἀντὶ τοῦ, κεχαριτωμένων. ὁ δὲ τε σύνδεσμος, περιττός. ἔστι γὰρ τὸ ἑξῆς. ἀλλὰ Κρόνου παῖ, δέξαι χαρίτων ἕκατι, τόνδε κῶμον, ἐπὶ τῇ Ολυμπιακῇ νίκῃ γεγραμμένον. ὅστις ἐπὶ τῆς τῶν νικησάντων ἀρετῆς, χρονιώτατον φάος. σβέννυται γὰρ τὰ καλὰ ἔργα, μὴ ἔχοντα ποιητικὴν φωνὴν μάρτυρα. τὸ δ' ἑξῆς. χαρίτων τ' εὐρυσθενέων ἕκατι. [Ψαύμιδος γὰρ ἥκει.] ἥκει γὰρ ἐπὶ τῶν ὀχέων τοῦ Ψαύμιδος. τίς; ὁ ὕμνος, ἐλαίᾳ στεφανωθεὶς, παρασκευάζει τῇ ἑαυτοῦ πατρίδι Καμαρίνᾳ, στέφανον καὶ δόξαν φέρων. [Θεὸς εὔφρων εἴη.] εὐμενής. μετὰ ταύτης οὖν τῆς δόξης, εἴη αὐτῷ ταῖς λοιπαῖς εὐχαῖς εὐμενὴς ὁ Θεὸς, ἐπειδὴ ἄξιος ἐπαίνου μοι δοκεῖ εἶναι, διὰ τὸ εἶναι αὐτὸν λίαν πρόθυμον ἐπὶ τὸ ἱπποτροφεῖν. καὶ ὅτι φιλόξενός ἐστι, πάντας δεξιούμενος. εἰς τὸν μετὰ ταῦτα οὖν χρόνον, Θεὸς εὔφρων αὐτῷ γένοιτο. [Αλλως.] εὐχαῖς τοῦ νικηφόρου ὁ Ζεὺς, φησὶν, εἴη εὔφρων ἐπὶ ταῖς λοιπαῖς, ἐπειδὴ τὰ περὶ τῆς νίκης ἐτέλεσε. [Φιλόπολιν.] εἰσὶ γάρ τινες οἱ ἐν ταῖς στάσεσι διάγοντες, φιλοπόλιδες ὄντες. τὸν οὖν Ψαῦμιν φιλόπολιν φησὶν εἶναι, πρὸς τῷ καὶ ἥσυχον ὑπάρχειν.

[Οὐ

Οὐ ψεύδεϊ τέγξω	Non mendacio tingam
Λόγον. Διάπειρά τοι	Sermonem. Experientia utique
Βροτῶν ἔλεγχος.	Mortalium *est* argumentum.
ἐπῳδὸς κώλων ιβ'.	**Metaph.**
Α περ Κλυμένοιο παῖδα	Quæ Clymeni filium
Λαμνιάδων γυναικῶν	Lemniadum fœminarum
Ελυσεν ἐξ ἀτιμίας.	Liberavit à probro.
Χαλκοῖσι δ' ἐν ἔντεσι νικῶν	Æreis enim in armis vincens
Δρόμον, ἔειπεν Υψιπυλείᾳ,	Curſum, dixit Hypſipylæ,
Μετὰ στέφανον ἰών·	Ad coronam *accipiendam* vadens:
Οὗτος ἐγώ· ταχυτᾶτι	Ille ego *ſum*: celeritate
Χεῖρες δὲ καὶ ἦτορ ἴσον.	Autem manus & cor æquantur.
Φύονται δὲ καὶ νέοις	Naſcuntur enim & juvenibus
Εν ἀνδράσι πολιαὶ	In viris cani
Θαμὰ, καὶ παρὰ τὸν ἁλικίας	Sæpe, etiam præter ætatis
Εοικότα χρόνον.	Congruum tempus.

PARAPHRASIS.

Ego igitur, dum virum bonum vera ſimplicitate laudem, nullatenus mentiar. Quod vulgi illius humanitatem experti teſtimonium comprobat. Nam experientia ſatis ſuperque arguit, quales ſint homines. Quæ nunc oſtendit Pſaumidem, quanquam erat ante annos canus non minus fuiſſe fortem & ad Olympia aptum, ſiquidem victoriam reportavit. Ut & Ergini canos præmaturos, nihil vegetis juvenilium annorum viribus detraxiſſe arguit: quum in ſtadium ingreſſus, præter opinionem omnium vicit: & Lemniacarum mulierum irriſionem eluit: ita ut admiratæ ſint eum, quem ex canitie ad certamen non idoneum judicabant. Qui cum in armis æneis Zeten, & Calain juniores curſu ſuperaſſet: & ad petendam ab Hypſipyla coronam ſe conferret, ei dixit: Ego, quem deſpiciebatis ob canitiem, ea ſum pedum celeritate non expectata, quam facto periculo vidiſtis. Mearum etiam manuum vires animi alacritati reſpondent. Nec mirum eſt me ætate florenti robuſtum ſimul eſſe, & capillis canum, ex quibus me annoſiorem, ac proinde infirmiorem conjiciebatis. Nam canities juvenilem comam ſæpe inficit, quamvis id accidat præter ætatis decorum.

NOTÆ.

29 Λόγον] Gl. MS. γ. Επαινον. 30 Ελεγχος] Gl. MS. γ. ἡ ὑπὸ τῆς ἀληθείας ἐλεγχή. Ελεγχος proprie eſt judicium veritatis contra mendacia. Et nemo judicare potuiſſet Pſaumidem canum viciſſe, niſi id edito ſpecimine omnes noſſent. 32 Γυναικῶν leg. MSS. C. γ. 34 Χαλκεοῖσιν Ed. Steph. leg. Ed. Brubacch. hab. ad marg. Χαλκέοισι. 35 Υψιπύλεια leg. MS. C. 71. 37 Ταχυτᾶτι leg. MS. γ. 38 Ισον leg. MS C. 71. 40 Ανδρέσσιν hab. MS. C. 71.

[Οὐ ψεύδεϊ τέγξω.] οὐκ εἰς ὑπερβολὴν τραπήσομαι ψευσάμενος. ἤτοι οὐ κρύψω τὸν λόγον τῷ ψεύδει. κρύπτεται γὰρ τ' ἀληθῆ ὑπὸ τῶν ψευδῶν. ἢ οὕτως. οὐ ποιήσω τὸν λόγον ἀσθενέστερον· ἀπὸ μεταφορᾶς τῶν βρεχομένων. ταῦτα γὰρ ἀσθενέστερα γίνεται. οὐ μιανῶ οὖν, φησὶν, οὐδὲ βρέξω τὸν λόγον μου ψεύδει. ἀντὶ τοῦ οὐ ψεύσομαι, περὶ τῶν ἐγκωμίων τῶν τοῦ Ψαύμιδος λέγων. [Διάπειρά τοι βροτῶν ἔλεγχος.]. πάρεστι διαπειράσαι τὸν Ψαῦμιν καὶ γνῶναι. [Αλλως.] ἡ πεῖρα, τῶν ἀνθρώπων ἔλεγχος ἀκριβής. καὶ ὁ τούτου πειραθεὶς, εἴσεται ὅτι οὕτως ἔχει. παράδειγμα δὲ τοῦ δεῖν τῇ πείρᾳ τ' ἀληθὲς ἐξετάζειν, τὸν Εργῖνον παρέλαβε. λέγων. [Α περ Κλυμένοιο παῖδα.] Εργῖνος γὰρ ὁ Κλυμένου παῖς ἀγωνιζόμενος ἐν τῷ ἐπιταφίῳ ἀγῶνι Θόαντος μετὰ τῶν Αργοναυτῶν, καὶ γελασάντων ἐπὶ τῷ παρ' ἡλικίαν ἀθλεῖν αὐτὸν, αὐτῇ τῇ πείρᾳ τοῦ ἀγῶνος, ἔδειξε νικήσας ὡς εἶχεν ἰσχύος. ἐνίκησε δὲ τοὺς Βορεάδας. ἐλθόντων γὰρ εἰς τὴν Λῆμνον τῶν Αργοναυτῶν, δοκεῖ Υψιπύλη ἡ Θόαντος θυγάτηρ, θεῖναι τὸν γυμνικὸν ἀγῶνα, καὶ ὁ Εργῖνος ἠγωνίσατο. ὡς δὲ γελώμενος ὑπὸ τῶν Λημνιάδων ὅτι πολιὸς ὢν, νέοις ἐσπούδασε διαγωνίσασθαι, ἐνίκησε, φύσει πολιὸς ὑπάρχων. ὅθεν δῆλον, ὡς καὶ αὐτὸς ὁ Ψαῦμις ἤδη πολιὸς ὢν, ἐνίκησε. [Λαμνιάδων γυναικῶν.] καὶ ὁ Καλλίμαχος· Εργῖνος Κλυμένου ἔξοχος ἐν σταδίῳ. ἥτις διάπειρα, τὸν Κλυμένου παῖδα ἀπέλυσε τῆς ἀτιμίας τῶν ἐν Λήμνῳ γυναικῶν. ἡ δὲ ἱστορία τοιαύτη. Υψιπύλης ἀγῶνα ἐπιτελούσης ἐπιτάφιον Θόαντι τῷ πατρὶ, Λημνίων βασιλεῖ, συμβέβηκεν ἀπιόντας ἐπὶ τὸ χρυσοῦν δέρας τοὺς Αργοναύτας, ἐκεῖσε γενέσθαι· καὶ προτραπέντας εἰς τὸν ἀγῶνα ἀγωνίσασθαι. εἷς οὖν ἦν αὐτῶν ὁ Εργῖνος, νεώτερος μὲν τῷ χρόνῳ, περιπόλιος δὲ τὴν κόμην, ὡς μὴ ἱκανὸς ἀγωνίσασθαι διὰ τὴν ὄψιν τῶν πολιῶν, ἐγελᾶτο ὑπὸ τῶν γυναικῶν, καὶ ἐπεκερτομεῖτο. ὡς δὲ διὰ τῶν ἔργων ἐδείχθη ὑπερβαλλόμενος τοὺς ἀγωνιστάς· ἧσαν δὲ οἱ τοῦ Βορέου παῖδες Ζήτης, καὶ Κάλαϊς· ἐπαύσατο ἡ γινομένη χλεύη κατ' αὐτοῦ. καὶ τοὐναντίον ἐθαυμάσθη. διὰ τοῦτο οὖν λέγει τὴν πεῖραν πεπαυκέναι τῆς ὕβρεως τῆς κατ' αὐτοῦ, τὰς Λημνιάδας γυναῖκας.

Τέλος τοῦ τετάρτου τῶν Ολυμπίων εἰδοῦς.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ τέταρτον τῶν Ολυμπίων εἶδος.

Ελατὴρ ὑπέρτατε βροντᾶς.] ἐπειδὴ ἡ τοῦ Ψαύμιδος νίκη
ἐν Ολυμπίᾳ ἐγένετο, τὰ δὲ Ολύμπια τῷ Διῒ ἀνάκειται,
εἰκότως τοῦτο ἐπιβοᾶται. εἰπὼν δὲ, ἐλατὴρ ὑπέρτατε βροντᾶς,
καὶ πολλὰ διὰ μέσου προθεὶς, πάλιν ἐπαναλαμβάνει τὸν αὐτὸν
λόγον, καὶ φησίν. ἀλλ᾽ ὦ Κρόνου παῖ. ἐκ δὲ τοῦ εἰπεῖν ἐλατὴρ τῆς
βροντῆς, διοικητὴν αὐτὸν τῶν οὐρανίων πάντων φησίν. [Αλ-
λως.] Ελατὴρ ὑπέρτατε βροντᾶς. ὡς ἐπὶ ἵππου κέχρηται τῷ
λόγῳ. ἴσως δὲ οὐχ᾽ ἅρμα τοῦ Διὸς βούλεται τὴν βροντὴν ὑποτι-
θέναι, ἀλλὰ μεταφορικῶς τίθησι τὰ ὀνόματα, ἵν᾽ ᾖ ὁ λόγος
οὕτως. ὦ Ζεῦ ὑψηλότατε ἐλατὴρ τῆς βροντῆς τῆς ἀκαμαντόποδος.
ἀντὶ τοῦ, ὃς κινεῖς τὴν βροντὴν τὴν ἐπιπλεῖστον διϊκνουμένην χω-
3 ρεῖς ἀτονίας. [Τεαὶ γὰρ ὧραι.] διὰ μέσου ταῦτα τίθησι κα-
τασκευαστικὰ τῆς ἐπενεχθησομένης ἀξιώσεως. ἃ ἐπεὶ εἶδεν ἐπι-
πολὺ παραταθέντα, ἐπαναλαμβάνει τὸν πρὸς τὸν Δία λόγον.
εἶτα ἀποδίδωσι τὴν ἀξίωσιν. αἱ σαὶ γὰρ ὧραι, ἤγουν, αἱ περίοδοι
τῶν Ολυμπιάδων αἱ σοὶ ἀνατεθειμέναι, ἑλισσόμεναι, ἤγουν
ἐπανακυκλούμεναι, ἔπεμψάν με μετ᾽ ᾠδῆς ποικίλων μελῶν
φόρμιγγος, μάρτυρα, ἤγουν ἀγγελέα, ὑμνητὴν ὑψηλοτάτων
ἀγώνων. φίλων γὰρ εὖ πρασσόντων, ἀντὶ τοῦ, εὐτυχησάντων,
νικησάντων, ἔσαναν, ἀντὶ τοῦ ἐτέρφθησαν, πρὸς τὴν ἀγγελίαν τὴν
4 γλυκεῖαν οἱ ἀγαθοί. Οἱ τὸ, [Υπὸ ποικιλοφόρμιγγος,] ἀντὶ τοῦ
μετὰ ποικιλοφόρμιγγος λέγοντες, καὶ τὴν ὑπὸ ἀντὶ τῆς μετὰ λαμβά-
νοντες καὶ πρὸς τὸ ἔπεμψαν συνάπτοντες, οὔ μοι δοκοῦσι κα-
λῶς λέγειν. πρὸς γὰρ τὸ, μάρτυρα, ἐστὶν ἡ συνάφεια. οὕτω.
μάρτυρα ἀέθλων ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς, ἤγουν ὑπὸ
τῆς ἐμῆς ποιήσεως δήλους τοὺς ἄθλους τοῖς ἑξῆς καταστήσοντα.
μαρτυροῦσι γὰρ οἱ ὕμνοι τοῖς ἑξῆς ἀνθρώποις, τὰ πάλαι γινό-
μενα. πρὸς οὖν τοῦτο, καὶ τὸ ὑπὸ ποικιλοφόρμιγγος συνάπτε.
10 [Αλλ᾽ ὦ Κρόνιε παῖ] ἀλλ᾽ ὦ Ζεῦ, παῖ τοῦ Κρόνου, ὃς οἰκεῖς τὴν
Αἴτνην, τὸν πιεσμὸν τὸν ἐπιπολὺ τοῦ ἀέρος ἐπηρμένον, καὶ ὑπὸ
τῶν ἀνέμων καταπνεόμενον, τοῦ Τυφῶνος τοῦ ἰσχυροῦ, τοῦ ἑκατὸν κε-
φαλὰς ἔχοντος, δέχου τοῦτον τὸν μετὰ χορείας ἔπαινον, τὸν ἐπὶ τῷ
Ολυμπιονίκῃ τελούμενον· ἕνεκα τῶν χαρίτων τοῦ νενικηκότος
16 δηλονότι. Φῶς ὄντα [Χρονιώτατον.] τουτέστιν ἐπὶ πλεῖστον χρόνον
διαμένον, ἀρετῶν μεγάλων τὴν δύναμιν. ἕνεκα γὰρ τῶν ἁρμάτων
τοῦ Ψαύμιδος ἥκει, ἐφ᾽ ὧν δηλονότι πολλὴ ἐδείχθη ἰσχύς. ὅστις,
ἤγουν ὁ Ψαῦμις, στεφάνῳ ἀπὸ ἐλαίας Πισάτιδος, ἤγουν Ολυμ-
πιακῆς, στεφανωθεὶς, τουτέστι νικήσας τὸν ἀγῶνα τῶν Ολυμπίων,
δόξαν, σπεύδει ὄρσαι, ἀντὶ τοῦ ἐπιθεῖναι, τῇ Καμαρίνᾳ τῇ ἑαυτοῦ
πατρίδι. Ο Τυφὼς ἐν Σικελίᾳ ἐκεραυνώθη ὑπὸ τοῦ Διὸς,
† ὑποκειμένου τῷ ὄρει τῇ Αἴτνῃ. ἔνθεν πῦρ ἔξω ῥεῖ. φασὶ δὲ,
ὡς ἐκεῖ καθήμενος Ηφαιστος, μυδροκτυπεῖ. λέγει οὖν τὴν Αἴτνην
τοῦ Τυφῶνος ἶπον. τουτέστι, τιμωρίαν καὶ κόλασιν. ἴπω γὰρ καὶ
ἴπτω, τὸ βλάπτω, ἐξ οὗ καὶ ἲψ, εἶδος σκώληκος. Τὸ, κῶμον,
πρὸς τὸ Ολυμπιονίκαν συναπτέον οὕτω. δέχου εὐμενῶς τὸν
Ολυμπιονίκαν κῶμον, χρονιώτατον καὶ διηνεκὲς φάος, καὶ ἀπό-
δειξιν τῶν εὐρυσθενέων, καὶ ἐκ μεγάλης ἰσχύος γινομένων ἀρετῶν
τοῦ νικητοῦ, ἕκατι, καὶ χάριν τῶν χαρίτων τῶν ἐκ ποιητικῆς. τουτέστι,
τὴν εὐφημίαν τοῦ Ψαύμιδος. ἥτις, ἐκ τοῦ ποιητικῶς λέγεσθαι καὶ
συντίθεσθαι, ἀπόδειξις εἰς τὸν λοιπὸν χρόνον ἔσται, τῆς τῶν πεποι-
ηκότων ἀρετῆς. [Θεὸς εὔφρων εἴη.] ὁ θεὸς εἴθε εὐμενὴς εἴη 21
ταῖς εὐχαῖς αὐτοῦ ταῖς ἐπὶ τοῖς ἔμπροσθεν. ἐπεὶ ἐπαινῶ αὐ-
τὸν· ἀντὶ τοῦ, οἶδα μάλα μὲν ἕτοιμον· τουτέστι, πρόθυμον πρὸς
τροφὰς ἵππων. [Χαίροντά τε,] ἤγουν προσκείμενον, ξενοδοχίαις 25
πανδόχοις, ἤγουν πάντας ὑποδεχομέναις. οὐδένα ἀποστρεφο-
μέναις· [Και πρὸς ἡσυχίαν] προσφιλῆ τὴν πόλεων ἀποβλέποντα, 26
σὺν ἀδόλῳ γνώμῃ. οὐ διὰ ψεύδους μολυνῶ τὸν λόγον. τουτέστιν,
οὐκ ἀποκρύψομαι τὴν ἀλήθειαν. ἡ πεῖρα ἐστὶν ἡ φανεροῦσα τοὺς ἀν-
θρώπους, ὑφ᾽ ἧς καὶ οὗτος δηλονότι δειχθήσεται. ἥτις ἔλυσεν
ἐκ τοῦ γέλωτος τῶν γυναικῶν τῶν ἐν τῇ Λήμνῳ, τὸν παῖδα τοῦ
Κλυμένου τὸν Εργῖνον. ἐν ὅπλοις γὰρ χαλκοῖς, ἤγουν σιδηροῖς,
νικῶν δρόμον, εἶπε τῇ Υψιπύλῃ ἐπὶ τὸν στέφανον ἐρχόμενος.
οὗτος ἐγὼ, ἐκεῖνος δηλονότι, ὃν ἀπηξιοῦτε. [Χεῖρες δὲ καὶ ἦτορ ἴσον] 38
αἱ χεῖρες δὲ καὶ τὸ ἦτορ, ἀντὶ τοῦ, αἱ πράξεις καὶ ἡ προθυμία, ἐν ἴσῃ
ἀκμῇ κατὰ ταχυτῆτα. φύονται δὲ καὶ ἐν ἀνδράσι νέοις, λευκαὶ τρί-
χες θαμὰ, ἀντὶ τοῦ πολλάκις. καὶ ἔξω τοῦ χρόνου τῆς ἡλικίας τοῦ πρέ-
ποντος, ταῖς πολιαῖς δηλονότι. Υψιπύλεια ἡ Υψιπύλη, ὡς
Πηνελόπεια παρ᾽ Ομήρῳ, ἡ Πηνελόπη. [Χεῖρες δὲ καὶ ἦτορ ἴσον.]
τὸ τοιοῦτο καὶ παρὰ τοῖς κοινοῖς δύναται εἶναι ἐν χρήσει. οἷον,
σὺ καὶ ὁ σὸς πατὴρ ὅμοιος. ἔχει δὲ ὁμοίως, τὸ * Δαμήτας καὶ
Δάφνις ὁ βουκόλος. πλὴν ὅτι ἐκεῖ μὲν, τὸ βουκόλος ἀπὸ κοι-
νοῦ λεγόμενον, ἀρκοῦν ἦν ἐντελῆ ποιῆσαι τὸν λόγον. ἐνταῦθα δὲ
λέγεται μὲν ἀναγκαίως τὸ ἴσον ἀπὸ κοινοῦ, κατὰ ἀναλογίαν τοῦ
‡ προρρηθέντος. μένει δὲ ἔτι ἀτελὴς ὁ λόγος. τὸ γὰρ ἴσον ἀεὶ,
πρὸς ἕτερον λεγόμενον, ἀπαιτεῖ τὴν ἑαυτοῦ θέσιν, καὶ † ἐλλει-
πῶς ἔχει, ἕως ἂν ᾖ μόνον. ἀποδεδομένης δὲ αὐτῆς, ἐντελὴς
ὁ λόγος * γράφεται, ἔχων οὕτως. αἱ χεῖρες δὲ ἴσαι τῇ προ-
θυμίᾳ, ἴση ταῖς χερσίν. ἐξ ἀνάγκης γὰρ ἡ ἰσότης ἑκατέρων
περὶ ἑκάτερα αὐτὰ ταῦτα χωρεῖ, μὴ κειμένου ἑτέρου, ἐφ᾽ ὃ
ἂν αὐτῆς ἀπόδοσις γένοιτο.

† Ις. ὑποκείμενος. * Omnia MSS. hab. τῷ Δαμοίτας. ‡ MSS. Bodl. & α. hab. Προσρηθέντος. β. γ. προρρηθέντος. † Omnia MSS. hab. ἐλλιπῶς.
* Eadem MSS. hab. γίνεται.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΤΟΥ ΠΕΜΠΤΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

Το ε', εἶδος τῆς στροφῆς, ἔχει περιόδους ἁπλᾶς ἑαυταῖς συμφωνούσας· οὐ γάρ ἐστιν ἐπῳδὸς ἡ τρίτη. ἐκ κώλων δέ ἐστι ιθ'. Τὸ α', δακτυλικόν, τρίμετρον καταληκτικόν, εἰ σπονδεῖον ἐκλαμβάνεις τὸν ὕστερον. εἰ δὲ τροχαῖον, καταληκτικόν. ---υυ--† υ. Τὸ β', Ἰωνικὸν ἀπ' ἐλάσσονος. τῆς α' συζυγίας τρίτον παίωνα ἐπιδεξαμένης. ὅπερ γίνεται, ἐπὶ τοῦ Ἰωνικοῦ. υυ-υ--υυ. Τὸ γ', ἰθυφαλλικὸν παρὰ μίαν συλλαβήν. * -υ-υ--υ-υ-υ. Τὸ δ', δακτυλικὸν πενθημιμερές. -υυ-υυ-. Τὸ ε', ἰθυφαλλικόν. -υ-υυ-. Τὸ ς', ἀναπαιστικόν. σύγκειται δὲ, ἐκ δύο ἀναπαίστων καὶ βακχείου. ὅπερ περιέχει τὰ ἀναπαιστικὰ ὡς καταληκτικά. υυ-υυ-υ--υ-. Τὸ ζ', ἰθυφαλλικόν. -υ- υ-υ. Τὸ η', Φερεκράτειον καταληκτικόν. ὁ ὕστερος βακχεῖος. ---υυ--. Τὸ θ', προσοδιακὸν ἐκ τοῦ ἀπ' ἐλάσσονος καὶ χοριάμβου. ‡ υυ---υυ-. Τὸ ι', δακτυλικὸν δίμετρον ἀκατάληκτον. ---υυ. Τὸ ια', δακτυλικὸν πενθημιμερές. -υυ-υυ-. Τὸ ιβ', ἰθυφαλλικόν. -υ-υ-υ. Τὸ ιγ', ὅμοιον τῷ ἕκτῳ. ἀναπαιστικόν. υυ-υυ-υ--υ-. Τὸ ιδ', ἰθυφαλλικόν. -υ-υ-υ. Τὸ ιε', δίμοιρον ἔπους. ---υυ-υυ†. Τὸ ις', ἰθυφαλλικόν. -υ-υ-υ. Τὸ ιζ', δίμοιρον ἔπους. * ---υυ-υυ. Τὸ ιη', ἐγκωμιολογικόν. παρὰ τὰς τελευταίας συλλαβάς. τὸ γὰρ πλῆρες, δακτυλικὸν πενθημιμερὲς, καὶ ἕτερον πενθημιμερὲς, ἰαμβικόν. οὗ τὸ ἐναντίον ἰαμβέλεγος λέγεται. ‡ -υυ-υυυ-υ-. Τὸ ιθ', ἰθυφαλλικὸν, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. -υ-υ-υ-.

† Ις. ἡ omitt. * Ita corr. Schmid. τὸ γ'. ---υ-. ‡ Τὸ θ'. υυ-υ---υ-. † Add. τῷ ιε'. -υυ. * Corr. Τὸ ιζ'. -----υυ-υ-. ‡ Τὸ ιη'. -υυ--υ---υ-.

ΤΩ ΑΥΤΩ	EIDEM
†ΨΑΥΜΙΔΙ, ΤΕΘΡΙΠΠΩ,	PSAUMIDI, QUADRIGIS,
ΑΠΗΝΗ, καὶ ΚΕΛΗΤΙ.	RHEDA-MULARI, & CELETE.
ΕΙΔΟΣ Ε'.	ODE V.

ARGUMENTUM.

Prædicatur triplex victoria Psaumidis, qui circiter 82. Olympiade victor evasit celete, curru mulari, & quadrigis: unde patriæ & parentibus peperit gloriam: neque fuit ingratus erga Deos, quos sacris honoravit. Postea preces Jovi offert Poëta pro Camarinæ, & Psaumidis fœlicitate.

στροφὴ κώλων ιθ'.	METAPH.
Ὑψηλᾶν ἀρετᾶν, καὶ	Celsarum virtutum, &
Στεφάνων ἄωτον γλυκύν,	Coronarum florem suavem,
Τῶν Οὐλυμπίᾳ,	Quæ *sunt* Olympiæ,
Ὠκεανοῦ θύγατερ,	O Oceani filia,

PARAPHRASIS.

O *Camarina palus, Oceani filia, accipe animo hilari hoc dulce encomium celsarum virtutum, quarum specimina in Olympiis eduntur, & coronarum, quæ victoribus tribuuntur.*

NOTÆ.

Scholiastes annotat hoc εἶδος ἐν τοῖς ἐδαφίοις i.e. in originalibus exemplaribus non fuisse, ideoque sunt qui nothum illud judicent, præsertim cum & ἐπῳδὸς desit, & altera στροφὴ sua ἀντιστροφῇ careat. Verum cum & Stylus arguat, & Didymi ὑπομνήματα Pindaricum agnoscant: non est admodum, quod de Autore dubitemus. Quia vero ἐπῳδὸς abest, προσῳδικὸν hoc εἶδος aliqui statuunt. Sed rectius alteram στροφὴν ἀντιστροφῆς destitutam, ἐπῳδὸν esse dicemus, non obstante, quod metrorum & colorum ratio cum στροφῆς & ἀντιστροφῆς sit eadem; uti & Nem. δ' videre est. Hæc Schmidius. Et certe nihil est, cur quis aliter sentiat, cum copia Pindarica & λέξις per totum hoc εἶδος diffundatur, & saltem fateri oportet ab optimo Pindari imitatore istud esse compositum, si sub alio quopiam nomine circumferatur. Ideo nec in MSS. quas vidimus, distinctionis aut dubitationis nota apparet, neque Σχόλια Νεωτέρων hujus rei mentionem faciunt. † Ψαύμιδι omittitur in MS. Bodl. 2 Στεφάνων ἄωτον] Gl. MS. γ. Επαινον. Per στεφάνους intell. victorias, quorum præmium erant στέφανοι.

Τῷ αὐτῷ Ψαύμιδι.] Γέγραπται ἡ ᾠδὴ τῷ αὐτῷ Ψαύμιδι, τεθρίππῳ, καὶ ἀπήνῃ, καὶ κέλητι νενικηκότι, τὴν ὀγδοηκοστὴν δευτέραν Ὀλυμπιάδα. αὕτη ἡ ᾠδὴ, ἐν μὲν τοῖς ἐδαφίοις οὐκ ἦν. ἐν δὲ τοῖς Διδύμου ὑπομνήμασιν, ἐλέγετο Πινδάρου. [Ὑψηλᾶν ἀρετᾶν.] ὁ νοῦς. λέγει πρὸς τὴν Καμάριναν τὴν Ὠκεανοῦ. ἦν ὁμώνυμος ἡ πόλις καὶ ἡ λίμνη. τὸν ὕμνον δὲ ἄωτον στεφάνων καὶ ἀρετῶν εἶπεν, ἐπεὶ οἱ νικῶντες ἐκ τοῦ ὑμνεῖσθαι, εὐκλεεῖς γίνονται. Ἀρίσταρχος δὲ ἀκούει Ὠκεανοῦ θυγατέρα, Καμάριναν τὴν λίμνην, ἀφ' ἧς καὶ τὴν πόλιν ὀνομάσθαι. Ἀρτέμων δὲ, πρὸς τὴν Ἀρέθουσαν τὸν λόγον εἶναί φησιν. αὕτη δὲ, ἐν Συρακούσαις κρήνη. ἔχει δὲ ἡ Ἀρέθουσα καὶ πᾶσα κρήνη τὰς πηγὰς ἀπὸ Ὠκεανοῦ. βέλτιον δὲ ὡς Ἀρίσταρχος. [Ἄλλως.] Καμάρινα ἡ πόλις τοῦ Ψαύμιδος καλεῖται, καὶ λίμνη πλησίον αὐτῆς κειμένη. οἱ μὲν οὖν φασι τῇ πόλει τὸ ὄνομα ἐτέθη ἀπό τινος οὔσης νύμφης. οἱ δὲ ἐκ τινος Ὠκεανοῦ θυγατρὸς ἀμφοτέρης, ὡς Ἡσίοδος· Τρεῖς γὰρ μυρίαι εἰσὶ τανύσφυροι Ὠκεανίδες. πρὸς θυγατέρα οὖν τοῦ Ὠκεανοῦ τὴν Καμάριναν λέγει. ὦ τοῦ Ὠκεανοῦ θύγατερ Καμάρινα, δέχου τὸ γλυκὺ ἄωτον. λέγει δὲ τὸν ὕμνον τὸν ἐν Ὀλυμπίᾳ, τῶν ὑψηλοτάτων ἀρετῶν καὶ τῶν στεφάνων τῆς τε Ἀπήνης καὶ τοῦ Ψαύμιδος, δέχου δὲ τὸ τοιοῦτο δῶρον φαιδρῷ προσώπῳ.

[Ἀκαμαν-

Καρδίᾳ γελανεῖ,
Ακαμαντόποδός τ' ἀπήνας δέκευ,
Ψαύμιδός τε δῶρα.
Ος τὰν σὰν πόλιν αὔξων,
Καμάρινα, λαοτρόφον,
Βωμοὺς ἓξ διδύ-
μους ἐγέραρεν ἑορ-
ταῖς Θεῶν, μεγίσταις
Υπὸ βουθυσίαις, ἀέθλων τε πεμ-
πταμέροις ἁμίλλαις,
Ιπποις, ἡμιόνοις τε, μοναμπυκί-
ᾳ τε. Τὶν δὲ κῦδος
Αβρὸν νικήσας ἀνέθηκε, καὶ
Ον πατέρ' Ακρων' ἐκάρυξε, καὶ
Τὰν νέοικον ἕδραν.

Corde hilari,
Indefatigatæque mularis-rhedæ accipe,
Psaumidisque dona.
Qui tuam urbem amplificans,
O Camarina, populorum-altricem,
Aras sex gemi-
nas honoravit fe-
stis Deorum, maximis
Cum boum-immolationibus, ludorumq; quin-
que-dierum certaminibus,
Equis, mulabusque, unoque-fræ-
no. Tibi autem gloriam
Pulchram victor dicavit, &
Suum patrem Acronem proclamavit, &
Recens-habitatam sedem.

PARAPHRASIS.

Cujus doni tibi author est Psaumis, re mulari vehiculo præclare gesta, qui tuam urbem populo frequenti alendo accommodam sua virtute decorans & amplificans, sex duodecim Deorum aras festis diebus honoravit, oblatis multorum boum sacrificiis, & per dies quinque agitatis quadrigis, mulari curru, & equo celete, qui unico fræno regitur: ac tibi gloriam eximiam, parta victoria, prout quodpiam donarium dicavit: fecitq; ut cum suo, patris nomen à præcone pronuntiaretur, & civitatis, quam sibi incolendam recens instaurarat, postquam à Syracusanis olim fuerat vastata.

NOTÆ.

6 Ακαμαντόποδος] Gl. MS. γ. Ισχυρόποδος. α. ταχυδίφρου. 7 Ψαύμιδός τε δῶρα] Ψαύμιος leg. MSS. α. Pal. A. B. C. & Ald. Vel active, δῶρα, quæ Psaumis tibi offert, gloriam nimirum victoriarum in te redundantem, & sacrificia à victoribus offerri solita; vel passive, δῶρα, quibus Psaumis à me afficitur, hymnum videlicet victorias ipsius celebrantem. 9 Λαοτρόφον] Vel populosam; vel populum bene alentem & conservantem, partim rerum necessariarum ad victum εὐπορίᾳ, partim legum bonitate & æquitate. 12 Εορταῖς μεγίσταις] Alii μεγίσταις ad ἑορταῖς referunt, & intelligunt Olympia omnibus aliis præstantiora: alii ad βουθυσίαις, & intelligunt ἑκατόμβην. 16 Τιν δὲ leg. MSS. β. γ. licet τὶν δὲ ad marg. habeant. 17 Αβρὸν] Teneram, i. e. recens partam gloriam.

[Ακαμαντόποδος ἀπήνας.] ἁμάξης. ἀπήνη δέ ἐστιν, ἅρμα, ἐξ ἡμιόνων ζευχθέν. εἰθισμένον δὲ ἵπποις ἀγωνίζεσθαι, Ασάνδρασος ἐπετήδευσε καὶ ἡμιόνοις ἀγωνίζεσθαι. χρόνος δέ τις οὐ μακρός, ἀλλὰ δεκαετὴς τοῦτο διέλυσε. διελύθη γὰρ περὶ τὴν ὀγδοηκοστὴν ἐννάτην Ολυμπιάδα. ἀκαμαντόποδος δὲ, τῆς κατὰ τὸν δρόμον ἀκοπιάστου ἀπήνης. [Ψαύμιδός τε δῶρα.] ὅστις Ψαῦμις, ὦ νύμφη Καμάρινα, τὴν σοὶ ὁμώνυμον πόλιν ἐπαίρων καὶ δοξάζων τὴν εὐδαίμονα καὶ πολυάνθρωπον Καμάριναν, τοὺς λεγομένους Διδύμους βωμοὺς ἐν τῇ Ηλιδι ἓξ, ἐκόσμησε βουθυσίαις ὑπὲρ τὰς ἑορταῖς τῶν θεῶν τὰς μεγίσταις. οἱ γὰρ νικῶντες, ἔθυον ἐν τοῖς ἓξ βωμοῖς. [Βωμοὺς ἕξ.] Ηρόδωρός φησι τὸν Ηρακλέα ἐν Ολυμπίᾳ ἱδρύσασθαι δώδεκα θεῶν ἀγάλματα. συμβώμους δὲ αὐτοὺς ποιῆσαι ἓξ βωμοὺς κατασκευάσας. [Αλλως.] Ολυμπιάσι βωμοί εἰσιν ἓξ Δίδυμοι τοῖς δώδεκα θεοῖς ἀνιδρυμένοι. ἑνὸς ἑκάστου βωμοῦ, δύο θεοῖς καθοσιωμένου. πρῶτος, Διὸς καὶ Ποσειδῶνος. δεύτερος, Ηρας καὶ Αθηνᾶς. τρίτος, Ερμοῦ καὶ Απόλλωνος. τέταρτος, Χαρίτων καὶ Διονύσου. πέμπτος, Αρτέμιδος καὶ Αλφειοῦ. ἕκτος, Κρόνου καὶ Ρέας, ὥς φησιν Ηρόδωρος. [Πεμπταμέροις ἁμίλλαις.] ἐπειδὴ ἐπὶ πέντε ἡμέραις, ἤγετο αὐτὰ τὰ ἀγωνίσματα ἀπὸ ἑνδεκάτης, μέχρις ἑκκαιδεκάτης. ἡνίκα οὖν ἐτελεῖτο τὰ ἆθλα τῶν πενθημέρων ἀγώνων, ἐγέραιρον τοὺς βωμούς. ἐκόσμησε δὲ τοὺς βωμοὺς, νικήσας ἵπποις, τεθρίππῳ, ἡμιόνοις, καὶ κέλητι. [Μοναμπυκίᾳ,] μονοχαλίνῳ· νοητέον δὲ ἑνὶ ἵππῳ τῷ λεγομένῳ κέλητι. ἄμπυξ μὲν γὰρ κυρίως, ἀνάδημα τῆς κεφαλῆς τί, καὶ λῶρος χρυσῷ καὶ λίθοις πεποικιλμένος. ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσι. μεταφορικῶς δὲ, καὶ οἱ διάχρυσοι χαλινοὶ, ἄμπυκες λέγονται. ὡς Ομηρος. Χρυσάμπυκας ἵππους. καὶ ἀλλαχοῦ. Αμπυκα κεκρύφαλον ἠδὲ πλεκτὴν ἀναδέσμην. [Τὶν δὲ κῦδος.] σοὶ δὲ, ὦ νύμφη Καμάρινα, τὴν ἐκ τῆς νίκης δόξαν ἀνέθηκεν. ἀντὶ τοῦ, σοὶ χάριν ὁμολογεῖ ἐπὶ τῇ νίκῃ. ἔτι γε μὴν, καὶ τὸν αὐτοῦ πατέρα τὸν Ακρωνα ἀνεκήρυξεν. ἐν γὰρ τῷ ἀγῶνι οἱ νικῶντες ἀπὸ πατέρων ἀνηγορεύοντο, καὶ ἀπὸ προγόνων, καὶ πόλεων. τὴν νέοικον οὖν ἕδραν ἀνηγόρευσεν, τὴν πόλιν αὐτοῦ τὴν νεωστὶ ἱδρυνθεῖσαν. κτίζεται μὲν γὰρ ἡ Καμάρινα, τεσσαρακοστῇ πέμπτῃ Ολυμπιάδι. ἐπικρατησάντων δὲ τῶν Συρακουσίων, πορθεῖται τῇ νζ'. Ολυμπιάδι, εἶτα ἐν τῇ πέ. Ολυμπιάδι τῷ μεταξὺ χρόνῳ, καθ' ὃν ἐνίκησεν ὁ Ψαῦμις, ἀνακτίζεται. εἰκότως οὖν αὐτὴν νέοικον ὀνομάζει. [Τὰν νέοικον ἕδραν.] Ιπποκράτης ὑπὸ τὸν τῶν Γελώων τυράννου ἀνῃρέθη. εἶτα ὑπὸ Γέλωνος συνῳκίσθη ἡ Καμάρινα κατὰ τὴν μβ'. Ολυμπιάδα, ὥς φησι Τίμαιος. διὸ καὶ νέοικον ἕδραν εἶπε τὴν πόλιν. ἡ δὲ ἅλωσις αὐτῆς ἐγένετο, κατὰ τὴν Δαρείου τοῦ Υστάσπου στρατείαν. Φίλιστος δέ φησιν ὅτι ἐν τῇ τρίτῃ, Γέλων Καμάριναν κατέστρεψεν. Ιπποκράτης δὲ πολεμῶν Συρακουσίοις, καὶ πολλοὺς αἰχμαλώτους λαβὼν ὑπὲρ τοῦ ἀποδοῦναι ἔλαβε τὴν Καμάριναν καὶ συνῴκισεν αὐτήν. οἶδεν οὖν ὁ Πίνδαρος συνῳκισμένην τὴν Καμάριναν.

[Ικὰν

ἀντιστροφὴ κώλων ιθ΄.

Ἱκὼν δ᾽ Οἰνομάου καὶ
Πέλοπος παρ᾽ εὐηράτων
Σταθμῶν, ὦ πολι-
άοχε Παλλὰς, ἀεί-
δει μὲν ἄλσος ἁγνὸν
Τὸ τεὸν, ποταμόν τε Ὤανον, ἐγ-
χωρίαν τε λίμναν,
Καὶ σεμνοὺς ὀχετοὺς, Ἵπ-
παρις οἷσιν ἄρδει στρατὸν,
Κολλᾷ τε σταδί-
ων θαλάμων ταχέως
Ὑψίγυιον ἄλσος,

Μεταφρ.

Veniens autem Oenomai &
Pelopis ab amabilibus
Stationibus, O urbium-
conſervatrix Pallas, canens-ce-
lebrat quidem lucum ſacrum
Tuum, fluviumque Oanum, pa-
triamque paludem,
Et venerandos canales, Hip-
paris quibus aquas-ſuppeditat populo,
Agglutinatque ſtabili-
um domorum celeriter
Altam ſylvam,

Paraphrasis.

Præterea cum ex Elide, jucunda Oenomai & Pelopis ſtatione reverſus eſt, ô Camarinæ urbis Dea tutelaris Minerva, ſanctum tuum lucum celebravit, fluviumque Oanum, & Camarinam paludem, venerandoſque canales, per quos labens Hipparis civitatem irrigat, & ligna deportat, unde excelſarum & ſtabilium ædium multitudo Camarinæis facile compingitur:

Notæ.

20 Ἱκὼν] Ἐλθὼν leg. MSS. Bodl. α. β. γ. C. 71. & Pal. A. B. & quoſdam ita legere Romana & Brubacch. Editt. notant. 21 Εὐχεράτων leg. MS. β. & eadem lectio invenitur in γ. ſi excipias accentum quem habet in penultima. Gl. ejus ἐπιθυμητικῶν oſtendit ſolum errorem eſſe ſcribæ. Et forſan ibi debet legi ἐπιθυμητῶν, uti apud Schol. invenitur. 22 Πολιάοχε] Dicitur Minerva πολιοῦχος & per reſolutionem Doricam πολιάοχος. Dicta fuit & Πολιὰς, quaſi dicas Urbana, quam etiam peculiariter coluerunt Athenienſes, ut Pauſan. in Atticis teſtatur, ſicut Lacedæmonii πολιοῦχον, teſte eodem in Laconicis. Niſi enim prudentia & fortitudo in civitatibus vigeat, nec pace nec bello conſervari poſſunt. Eſt vero Πολιοῦχος Patronus, ſeu Præſes Urbis, qualis Minerva fuit Camarinæ. 25 Ὤανον] Schol. leg. Ὤανιν, & Οαν. & Ed. Brub. notat. alias vocari Ὤνιν. 27 Σεμνοὺς] Idem ſignificat ac ἱεροὺς, cum ſit urbis ſeu domus epitheton. Vide Olymp. β΄. 16. 28 Ἄρδει] Gl. MS. γ. Ποτίζει. 29 Κολλᾷ] Gl. MS. γ. Κατασκευάζει. Ligna enim hujus fluminis alveo advecta, & in ædes formata, ejuſdem beneficio quaſi conglutinata & compacta videantur. 31 Ἄλσος θαλάμων] Intelligit ipſam ædificiorum ſtipatam ſeriem & multitudinem quæ ex intervallo aſpicienti gratiſſima eſt. Ideo Lucum dicit non Sylvam, in Luco enim arbores juxta ordines conſitæ ſunt, ideoque valde ſpectabiles habentur in locis editis.

[Ἱκὼν δ᾽ Οἰνομάου.] ἀπὸ τῆς Πίσης. περιφραστικῶς ἀπὸ τῆς Πελοποννήσου ἐλθὼν, ὅτι καὶ ὁ Οἰνόμαος ἐν Ὀλυμπίᾳ ᾤκει. ἱκὼν δὲ, ἀντὶ τοῦ παραγενόμενος. [Ἄλλως.] ἱκὼν δ᾽ Οἰνομάου. ἕως τόνδε δᾶμον ἀστῶν. ὁ νοῦς. ἐλθὼν δὲ ἐκ τοῦ ἀγῶνος καὶ τῆς Πίσης νικήσας. ὑμνεῖ δὲ τὸ σὸν ἄλσος, ὦ πολιοῦχε Ἀθηνᾶ· ἀντὶ τοῦ σε ὑμνεῖ. ὑμνεῖ δὲ καὶ τὸν ποταμὸν Ὤανιν καλούμενον, καὶ τὴν ἐγχωρίαν λίμνην Καμάριναν. ὑμνεῖ δὲ καὶ τοὺς ὀχετοὺς τοῦ Ἱππάριδος ποταμοῦ. ὅστις τοῖς μὲν ὀχετοῖς αὐτοῦ ἄρδει τὸν ὅλον ὄχλον καὶ τὸν τόπον, προσκολλᾷ δὲ καὶ προστίθησιν, ἀδιαλείπτως ἄλσος μέγα, καὶ τόπον πολύν τε καὶ ὑψηλὸν, ὡς δύνασθαι καὶ θαλάμους ἐξ αὐτοῦ, καὶ μεγάλας ποιεῖν οἰκίας. ἄγει δὲ τὸν δῆμον αὐτῶν εἰς φῶς καὶ χαρὰν, ἐξ ἀμηχανίας καὶ εὐπορίας πάντα παρέχων. λέγεται γὰρ καὶ ναυσίπορος εἶναι καὶ πολύϊχθυς. καὶ ὁ μὲν Ἀρίσταρχος βούλεται οὕτω. θαλάμων κατασκευαστὸν Ἵππαριν τῇ Καμαρίνῃ παρέχειν. φασὶ γὰρ ὅτι διὰ μέσης ῥέων τῆς Καμαρίνης τῇ πλημμυρίᾳ ἀναπλάσσει γῆν. ἀφ᾽ ἧς πλινθεύοντες οἱ Καμαριναῖοι οἰκοδομοῦσι τὰς οἰκίας. προσπλάσσει δὲ γῆν ὡς ὁ Ἀχελῷος ταῖς Ἐχινάσι, καὶ ὁ Νεῖλος τῇ Αἰγύπτῳ. ὁ δὲ Δίδυμος οὐ τοῦτο βούλεται. οὐ γάρ φησι τοσοῦτον πλημμυρεῖν ὡς δύνασθαι τῇ νεωστὶ κατασκευασθείσῃ πόλει τοσοῦτον παρέχειν πηλὸν πρὸς πλινθοποιΐαν, ἀλλὰ τοῦτο φησὶν, ὅτι ὁ ποταμὸς διὰ μέσης τῆς ὕλης ῥεῖ. εἶτα κόπτων τῶν Καμαριναίων τὰ ξύλα, εἰς κατασκευὴν δίδωσι οἰκημάτων, ἀμηχανούντων δὲ πρὸς τὴν καταγωγὴν, ὑποδέχεσθαι, καὶ τῷ πολλῷ ῥεύματι κατάγειν εἰς τὴν πόλιν. οὕτω καὶ τὸ ταχέως τῷ λόγῳ προσκεῖσθαι φαμέν.

[Παρ᾽ εὐηράτων σταθμῶν.] ἐπεράστων οἴκων. νῦν γὰρ καταχρηστικώτερον σταθμῶν τῶν οἴκων λέγει ἀπὸ τῆς Ὀλυμπίας. [Πολιάοχε Παλλάς.] Καμαριναίων θεὸς ἡ Ἀθηνᾶ. καὶ διὰ πλείστης τιμῆς παρ᾽ αὐτοῖς οὖσα ἡ θεὸς, καὶ Ἀθήναιον ἐπίσημον ἐν Καμαρίνῃ. τούτῳ δὲ εἰώθει ὁ κῶμος ἄγεσθαι ἐπὶ τῇ νίκῃ, καὶ ὕμνος ᾄδεσθαι. [Ποταμόν τε Ὤανιν.] ποταμὸς ἐν Καμαρίνῃ Ὤανις. τοὺς δὲ ἱεροὺς ποταμοὺς ἄλση εἰώθασι λέγειν. [Ἵππαρις.] ποταμὸς οὗτος ἐν Καμαρίνῃ. ἔστι δὲ αὐτοῦ τοῦ ῥεύματος τὸ μέν τι, γλυκὺ, τὸ δὲ, ἁλμυρόν. διὸ καὶ Πίνδαρον εἰρηκέναι σεμνοὺς ὀχετοὺς ἀνατέλλοντα. [Κολλᾷ τε σταδίων.] εὖ ἑστώτων, ἑδραίων. ὅτι προσχώννυσι καὶ προστίθησι τινὰ τῇ πόλει γῆν. κολλᾷ γοῦν, ἀντὶ τοῦ προσαναπλάσσει. τὸ δὲ σταδίων θαλάμων ἄλσος, ἀντὶ τοῦ πρὸς οἰκοδομὴν ἐπιτήδειον οἴκων. [Ἄλλως.] Ἀρίσταρχός φησιν, ἰλὺν καταφέρειν τὸν Ἵππαριν ὡς καὶ τὸν Νεῖλον. ἐκ δὲ τῆς ἰλύος, κατασκευάζεσθαί φησιν ἄλση. κυρίως γὰρ ἀκούεσθαι τὰ ἄλση. οὐκ ἔστι δὲ, ἀλλ᾽ ὑψίγυια ἄλση τοὺς οἴκους φασὶ, παρὰ τὸ ἑστάναι· ὡς τὰ ἄλση. ἄλσος δὲ θαλάμων, τὸ πλῆθος τῶν οἴκων, τουτέστιν αὐτὴν τὴν πόλιν. ὡσεὶ ἔλεγε, δένδρων ἄλσος. σταδίων δὲ, τῶν ἑδραίων. ὁ οὖν Ἵππαρις κολλᾷ καὶ προστίθησι περὶ τῇ πόλει τοὺς θαλάμους. καθὸ δι᾽ αὐτοῦ εἰσκομίζεται τὰ πρὸς κατασκευὴν ὑπουργήματα, καὶ διὰ τοῦτο αἴτιος τοῦ τὰς οἰκίας κατασκευάζεσθαι. μεσόγειος γάρ ἐστιν ἡ χώρα. [Ἄλλως.] θάλαμος κυρίως ἐστὶν οἶκος, ἐν ᾧ κατακλείονται αἱ νυμφευόμεναι, ὅτι θάλλουσαι τῇ ἡλικίᾳ συνέχονται γάμῳ. καταχρηστικῶς δὲ νῦν ὅλας τὰς οἰκίας, θαλάμους εἶπεν ὁ Πίνδαρος.

[Αἰεὶ

Απ' ἀμηχανίας ἄγων ἐς φάος	A consilii-inopia producens in lucem
Τόνδε δᾶμον ἀστῶν.	Huncce populum civium.
Αἰεὶ δ' ἀμφ' ἀρεταῖσι πόνος δαπά-	Semper autem circa virtutes labor sum-
να τε μάρναται, πρὸς	ptusque militant, adversus
Εργον κινδύνῳ κεκαλυμμένον.	Opus periculo tectum.
Εὖ δὲ ἔχοντες, σοφοὶ καὶ πολί-	Voti autem compotes, sapientes etiam ci-
ταις ἔδοξαν ἔμμεν.	vibus videri-solent esse.
ἐπῳδὸς κώλων ιθ΄.	Μεταφ.
Σωτὴρ ὑψινεφὲς Ζεῦ,	O Servator in-altis-nubibus Jupiter,
Κρόνιόν τε ναίων λόφον,	Saturniumque inhabitans collem,
Τιμῶν τ' Αλφεὸν	Honoransque Alpheum
Εὐρὺ ῥέοντα, Ιδαῖ-	Late fluentem, Idæ-
όν τε σεμνὸν ἄντρον,	umque venerandum antrum,
Ικέτας σέθεν ἔρχομαι, Λυδίοις	Supplex tibi venio, Lydiis
Απύων ἐν αὐλοῖς,	Sonans in tibiis,
Αἰτήσων πόλιν εὐα-	Petiturus urbem strenui-
νορίαισι τάνδε κλυταῖς	tatibus hancce illustribus

Paraphrasis.

ab inopia videlicet gloriæ suos cives in lucem sua virtute, suisque præmiis ducens, ad quæ capessenda nulli labori, nullis sumptibus pepercit. Siquidem ei qui virtutem in isto certamine exercet, labor est exantlandus, sumptusque faciendi, quorum ope, quicquid inest & delitescit periculi, superetur: adeo reportata victoria summopere expetita, civibus sapiens videbatur: quando quidem quicunque voti fit compos, sapiens existimatur à vulgo, qui consilia successu, & facta eventu metitur. Cæterum ad te me converto, Servator Jupiter, qui homines in omni periculo tueris, qui supra nubes in cœlo habitas, & Cronium collem incolis, fluviumque Alpheum late fluentem, Idæumque, ubi educatus es, venerabile antrum honoras: tibiq; supplico, Lydiis modulans tibiis, suavissimoque cantu preces concipiens, ut hanc urbem Camarinam generosis fortium virorum factis, ob quæ bene audiat,

Notæ.

32 Αμηχανίας] Gl. MS. γ. Αδυναμίας. Ex difficultate vehendi ligna ad urbem, hac commoditate, Camarinæos celebres faciens. Pal. C. leg. ὑπ' ἀμαχανίας, sed supra ὑ signavit ἀ. 34 Αρεταῖς leg. Schol. Πόνος δαπάνα τε] Sine labore & sumptibus nemo virtutes solet ostendere; nam *Haud facile emergunt quorum virtutibus obstat Res angusta domi.* 35 Μάρναται] Gl. MS. γ. Διαγωνίζονται. Εργον conclud. hoc κῶλον in MSS. β. γ. 36 Κεκαλυμμένον] Gl. MS. γ. Περικυκλούμενον. Opus, quod sub periculis sustinendis quasi latet, ita ut, nisi pericula contemnantur, non perfici possit. Intell. honores Olympionicarum, quos nemo poterat adire, qui in summo esse discrimine non audebat. Schol. leg. κεκαλυμμένα. 44 Ικέτας] Gl. MS. β. Παρακλήτωρ σοῦ. γ. παρακαλέσων. Λυδίοις αὐλοῖς] Præter harmonias tres præcipuas, Doricam, Æolicam, & Jonicam, barbaræ quædam Græcis innotuerunt Lydia & Phrygia, postquam Lydi & Phryges una cum Pelope in Græciam venerunt, teste Athenæo lib. 14. Et Pausan. in Bœot. scrib. Amphionem Thebanum modos Lydios à Lydiis didicisse, primumque chordas tres ad quatuor antea inventas addidisse. 45 Ηπύων leg. MSS. C. 71. & Bodl. 46 Εὐανορίαισι] Gl. MSS. β. γ. Ανδραγαθίαις. 47 Τάν γε leg. MS. α.

[Αἰεὶ δ' ἀμφ' ἀρεταῖσιν.] ὡμολόγηται ὅτι ἕνεκα τοῦ κτήσασθαι ἀρετὴν καὶ πόνους τις καὶ μεγάλας δαπάνας καταβάλλεται. καὶ πρὸς πᾶν ἔργον ἐπικίνδυνον ἀπομάχεται ἡ δαπάνη καὶ ὁ πόνος. κινδύνῳ δὲ κεκαλυμμένον εἶπε νῦν, ἐπειδὴ οὐ μόνον ἄδηλος ἐστι τοῖς τὰ ἑαυτῶν δαπανῶσιν ἡ ἐν Ολυμπίᾳ νίκη, ἀλλ' ὅτι καὶ πλεῖστοι τῶν ἀγωνιζομένων ἀπέθανον ἐν τῷ σταδίῳ. τοῦτο δὲ οὐκ ἔστι πρόδηλον. οὐδὲ γὰρ πᾶσι συμβαίνει. ἀλλὰ κεκάλυπται ὁ τοιοῦτος κίνδυνος τῇ ἀδηλίᾳ. ἐνδείκνυται δὲ ὅτι οὐ μικρόν ἐστι νικῆσαι Ολύμπια. [Εὖ δὲ ἔχοντες.] εὖ δὲ πράξαντες οἱ ἀρετῆς ἀντιποιούμενοι, ὅ ἐστιν, ἐπιτυχόντες οἱ νικήσαντες, καὶ σοφίας δόκησιν ἔχουσιν. [Αλλως.] οἱ ἐνάρετοι καὶ πονοῦσιν ἅμα καὶ ἀναλίσκουσιν, ἕνεκα τοῦ ἀρετὴν κτήσασθαι. ἢ οὕτω· παρὰ σοὶ Ψαῦμι ἕνεκα τῶν ἀρετῶν ὁ πόνος τῇ δαπάνῃ μάχεται· καὶ γὰρ δαπανᾷς καὶ ταλαιπωρεῖς. [Σοφοὶ καὶ πολίταις.] οἱ γοῦν εὐδαιμονήσαντες καὶ καλῶς διαπράξαντες κατὰ τὸν βίον, ἤδη πως καὶ σοφοὶ καὶ λόγιοι ἔδοξαν εἶναι παρὰ τοῖς πολίταις. [Σωτὴρ ὑψινεφές.] Αττικῶς ἀντὶ τοῦ ὑψινεφὴς Ζεῦ. ὅστις σωτὴρ τυγχάνεις καὶ τὸν ἐν ὕψει νεφελῶν κράτιστόν τε λόφον κατοικεῖς τοῦ Κρόνου. [Τιμῶν τ' Αλφεόν.] τιμῶν, καταξιῶν καὶ τὸν Αλφεὸν ποταμόν. ἀπὸ δὲ μέρους τὴν Ηλιν λέγει διὰ τὸν ἀγῶνα. [Ιδαῖόν τε σεμνὸν ἄντρον.] τὸ Κρητικὸν ὄρος. ἔνθα ἀνετράφη ὁ Ζεὺς ὑπὸ τῶν Κουρήτων φρουρούμενος. ἄντρον δὲ τὸ σπήλαιον λέγει. μέμνηται δὲ τῆς ἀναστροφῆς τοῦ Διὸς καὶ ὁ Καλλίμαχος ἐν ὕμνοις. [Ικέτας σέθεν.] ἡ ἀνταπόδοσις τῆς ἐπικλήσεως, ὦ Ζεῦ, ἱκέτης σου ἔρχομαι. ἵν' ᾖ, ἱκετεύω σε, ὦ Ζεῦ. [Λυδίοις ἀπύων.] ἀντὶ τοῦ βοῶν, ᾄδων. αἰτήσων σε φησὶν, ὦ Ολυμπιονίκα Ψαῦμι, καὶ σὲ τοῖς ἵπποις ἐπιτερπόμενον, εὔθυμον ἔχειν γῆρας, καὶ φέρειν σε ἐπὶ τελευτὴν υἱῶν παρισταμένων. [Αλλως.] Λυδίοις ἀπύων ἐν αὐλοῖς. βοῶν, ᾄδων. ἢ ὅτι αἱ λεγόμεναι γλωσσίδες τῶν αὐλῶν ἐν Λυδίᾳ γίνονται, ἢ ὅτι τοὺς μετὰ Πέλοπος ἐλθόντας πρώτους αὐλητὰς, οἱ Ελληνες ἐμιμήσαντο. γλυκὺ δὲ τὸ Λύδιον μέλος. ἔρχομαι οὖν αἰτήσων σε διὰ Λυδίου μελῳδίας, ὥστε σε ταύτην τὴν πόλιν τὴν Καμαρίναν ταῖς εὐφημίαις, καὶ ταῖς εὐανδρίαις αὔξειν καὶ ἀγάλλειν. εὐθυμίαις δὲ Λυδίαις Λυδιστὶ ἡρμοσμέναις.

[Σέτ'.

Δαιδάλλειν· σὲ τ᾽ Ὀλυμπιόνικε, Ποσειδανίοισιν ἵπποις
Ἐπιτερπόμενον, φέρειν γῆρας εὔθυμον, ἐς τελευτάν,
Υἱῶν, Ψαῦμι, παρισταμένων. Ὑγίεντα δ᾽ εἴ τις ὄλβον
Ἄρδει, ἐξαρκέων κτεάτεσσι, καὶ
Εὐλογίαν προστιθεὶς· μὴ ματεύσῃ Θεὸς γενέσθαι.

Ut ornes: tuque Olympice-victor, Neptuniis equis
Gaudens, feras senectutem tranquillam, in finem *vitæ usque*,
Filiis, O Psaumi, adstantibus. Sanam autem si quis felicitatem
Irrigat, contentus possessionibus, &
Laudem adjungens: ne quærat Deus fieri.

PARAPHRASIS.

ornes: utque tu, Psaumi Olympionice, præstantissimis equis gaudens, læta & jucunda senectute fruaris, quæ te filiis astantibus ad finem usque vitæ comitetur. Lætitiæ autem argumentum tibi tuæ fortunæ præstantia suppeditat, quæ ea est, ut tuæ sorti merito acquiescas. Et certe siquis, ut tu, justas augeat divitias, possessione præsentium interea contentus, hisque laudem famamque honestam adjungat, fastigium fœlicitatis attigit: adeo ut cum mortalis intra mortalium rerum limites se continere debeat, ipsi quærendum non sit, ut Deus fiat.

NOTÆ.

50 Ποσειδωνίοισιν leg MSS. Bodl. & C. 71. & Pal. A. B. Schol. in Pal. C. exponit ταχυτάτοις. 52 Τελευτὰν leg. MS. γ. 53 Υἱῶν παρισταμένων] Quibusdam videtur filiorum bonum statum, valetudinem, & vitam à Poëta innui. 54 Ὑγίεντα ὄλβον] Potest intell. sanitatem. 55 Ἐξαρκῶν leg. MSS. Bodl. & α. & Pal. A. B. C. Gl. MS. α. ἀντὶ ἐξαρκούμενος, καὶ ἔστιν ἀλλοίωσις κατὰ διάθεσιν. 57 Μὴ ματεύσῃ θεὸς γενέσθαι] Id est, Nolis omnes felicitatis apices in hac vita petere; siquidem Deorum est, non hominum, ex omni parte beatos esse: sed his esto contentus.

[Σέ τ᾽ Ὀλυμπιόνικε.] πάλιν ἀπέστρεψε τὸν λόγον πρὸς τὸν Ψαῦμιν. καί σε ἦλθον αἰτήσων, ὦ τὰ Ὀλύμπια νενικηκώς, ταῖς ἵπποις ἐπιτερπόμενον. Ποσειδανίοισι δέ, ἐπεὶ φίλιππος ὁ θεός· μέχρι τῆς τελευτῆς σου τοῦ βίου διάγειν ἐν εὐθυμίᾳ, καὶ τὸ γῆρας τοῖς καλοῖς τέρπειν. [Υἱῶν, Ψαῦμι, παρισταμένων.] παρεστώτων σοι, ὦ Ψαῦμι, καὶ υἱῶν. ἴσως δέ, ὡς πρὸς τέλειον ἄπαιδα. ἢ ὡς ἐπιθυμοῦντα ἀρρένων παίδων, ἢ ὡς λοιπὸν παρεστώτων αὐτοῦ καὶ παίδων [Ὑγίεντα δ᾽ εἴ τις ὄλβον.] τὴν μεθ᾽ ὑγείας εὐδαιμονίαν. ὁ δὲ νοῦς. ὁ δὲ τὸν πλοῦτον καὶ τὴν εὐδαιμονίαν αὔξων ἐν ἑαυτοῦ, καὶ οὕτως ἐπαρκῶν τῇ περιουσίᾳ, καὶ διοικῶν τὴν ὕπαρξιν, ὥστε καὶ εὐφημίας αὐτοῦ προσγενέσθαι, οὗτος μὴ ζητείτω ἔτι καὶ θεὸς γενέσθαι.

Τέλος τοῦ πέμπτου τῶν Ὀλυμπίων εἴδους.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ πέμπτον τῶν Ὀλυμπίων εἶδος.

Γέγραπται ὁ ἐπινίκιος πρὸς αὐτοῦ Ψαύμιδι, νικήσαντι κέλητι, ἀπήνῃ, καὶ τεθρίππῳ, τὴν ὀγδοηκοστὴν δευτέραν Ὀλυμ-
4 πιάδα. [Ὠκεανοῦ θύγατερ.] ἐπεὶ δὲ ἐστὶν ὁ Ψαῦμις ἐκ Σικελίας, ἐνταῦθα δὲ πόλις Καμάρινα καὶ λίμνη, διὰ τοῦτο πρὸς τὴν ἔφορον τῆς λίμνης νύμφην Καμάριναν ποιεῖται τὸν λόγον. ἥντινα νύμφην παῖδα Ὠκεανοῦ καλεῖ, διὰ τὸ πάντας ποταμοὺς καὶ πάσας πηγὰς ἐντεῦθεν τὴν ἀρχὴν ἐσχηκέναι. τὸ δὲ [Ἄωτον,] καὶ εἰς τὸ ἀρετῶν, καὶ εἰς τὸ στεφάνων, καὶ εἰς τὸ ἀπήνης, λέγει. ἔστι δὲ τὸ ἄωτον, καὶ τὸ δῶρα, ταυτόν. ἄωτον δέ, ἤτοι καρπόν. καρπὸς γὰρ τῶν ἀρετῶν καὶ τῶν στεφάνων, ὁ ὕμνος. ὃς τοῖς δεχομένοις αὐτὸν γλυκύς ἐστιν. [Ἄλλως. Ὠκεανοῦ θύγατερ.] Ὠκεανοῦ θυγατέρα τὴν Καμάριναν λέγει τὴν λίμνην. ἀφ᾽ ἧς ἡ πόλις ἡ Καμαρίνα ὠνομάσθη, ἡ πατρὶς τοῦ Ψαύμιδος. ὦ θύγατερ τοῦ Ὠκεανοῦ Καμαρίνα, δέχου σὺν καρδίᾳ γελανεῖ, ἤγουν εἰρηναίᾳ, φαιδρᾷ, τῶν ὑψηλῶν ἀρετῶν καὶ τῶν στεφάνων τῶν ἐν Ὀλυμπίᾳ, καὶ τοῦ ἐξ ἡμιόνων ἅρματος. τοῦ μὴ κάμνοντος τοὺς πόδας ἐν τοῖς δρόμοις, τὸν ἄωτον. ἤγουν τὸν ἐξαίρετον κόσμον. τουτέστι, τὸν ὕμνον τὸν γλυκύν, καὶ τὰ δῶρα τοῦ Ψαύμιδος. τουτέστι καὶ τὸ δῶρον, ὃ σοι δωρεῖται ὁ Ψαῦμις. αὐτὸν δὲ λέγει τὸν ὕμνον. ὃν δῶρον φησὶ τοῦ Ψαύμιδος πρὸς αὐτήν, ἐπεὶ τῆς πατρίδος αὐτοῦ ἐστιν αὐτή, καὶ συναπολαύει τοῦ εἰς αὐτὸν ἐπαίνου.
[Ὃς τὰν σάν.] ὅστις, ὁ Ψαῦμις, ἐν ταῖς μεγίσταις ἑορταῖς τῶν 8
θεῶν, καὶ ἐν ταῖς τῶν ἄθλων ἁμίλλαις ταῖς πεμπταμέροις. ἤγουν, τοῖς διὰ πέντε ἡμερῶν γινομένοις Ὀλυμπίοις, αὔξων καὶ δοξάζων τὴν σὴν λαοτρόφον Καμάριναν πόλιν, ὦ νύμφη. ἐν ἵπποις καὶ τεθρίππῳ, καὶ ἐν ἡμιόνοις καὶ ἀπήνῃ, καὶ ἐν μοναμπυκίᾳ καὶ μονοχαλίνῳ κέλητι γέραρε, ὑπὸ βουθυσίαις, τοὺς διδύμους καὶ τοὺς διπλοῦς ἐξ βωμοὺς τῶν δώδεκα θεῶν. οἷς † Ποσειδῶνος, Ἥρας καὶ Ἀθηνᾶς, Ἑρμοῦ καὶ Ἀπόλλωνος, Χαρίτων καὶ Διονύσου, Ἀρτέμιδος καὶ Ἀλφειοῦ, Κρόνου καὶ Ῥέας. ὧν δώδεκα μὲν ἀγάλματα Ἡρακλῆς, ὅτε τὸν Ὀλυμπιακὸν ἀγῶνα ἐτίθει, ἐποίη-
σεν. [Ἐξ δὲ βωμούς.] ἵνα ἐν ἑνὶ βωμῷ δύο θεοὶ τιμῶνται. εἰς 10

† Supple Διὸς καὶ, licet hæc verba desint in MSS. æque ac Edit.

οἷς

οὓς ὁ νικήσας ἐν Ὀλυμπίᾳ θυσίας προσήνεγκε μετὰ τὴν νίκην, ὥσπερ
χάριν ἀποδιδούς. τὸ δὲ μεγίσταις ἑορταῖς θεῶν, ἢ τῇ μεγίστῃ
ἑορτῇ τοῦ Διὸς τῇ Ὀλυμπιάδι νοητέον. οὐκ ἔστι γὰρ μείζων ταύτης
οὐδεμία ἄλλη· ἢ διὰ τοὺς δώδεκα θεοὺς τοὺς ἐκεῖ ὄντας, ὡς εἰ-
πομεν, τοῦτο λέγει. ἡ γὰρ τοῦ Διὸς πανήγυρις, καὶ ἐκείνων ἦν. ἐπεί-
δὴ καὶ πᾶσι τούτοις θυσία προσήγετο παρὰ τῶν νικώντων. ἤρχε-
το δὲ ἡ πανήγυρις, κατὰ τὴν δεκάτην τοῦ μηνός. καὶ ἐτελεῖτο μέχρι
καὶ τῆς ἑκκαιδεκάτης· ἐν ᾗ τὰ ἆθλα ἐδίδοτο. [Ος τὰν τάν.]
ὅστις, ἤγουν ὁ Ψαῦμις τὴν ἀπὸ σοῦ ὠνομασμένην πόλιν τὴν Καμα-
ρίναν κατὰ μεταπλασμὸν, ἀντὶ τοῦ τὴν Καμαρίναν τὴν ἐπιτηδείαν
εἰς τροφὴν λαῶν, αὔξων. ἤγουν ὑψῶν, μεγαλύνων· τοὺς ἓξ βω-
μοὺς τοὺς ἐν τῇ Ἤλιδι· οὓς ὁ Ἡρακλῆς κατεσκεύασε τοὺς Διδύ-
μους. ἕκαστος γὰρ αὐτῶν δυσὶ θεοῖς ἦν ἀφιερωμένος. ἐτίμησε
κατὰ τὰς ἑορτὰς τῶν θεῶν· ἤγουν κατὰ τὸν καιρὸν τῶν ἑορτῶν, διὰ
βουθυσιῶν μεγίστων, καὶ δι᾽ ἁμιλλῶν ἐπὶ πέντε ἡμέρας ἁμιλλη-
θεισῶν ἀγώνων. ἐπὶ τοσαύτας γὰρ ἡμέρας ἐτελεῖτο ὁ Ὀλυμπια-
15 κὸς ἀγών· [Ιπποις.] ἤγουν δι᾽ ἵππων γινομένων † αὐτῶν τῶν
ἁμιλλῶν. τουτέστι δι᾽ ἅρματος ἱππικοῦ. καὶ δι᾽ ἡμιόνων. ἤγουν,
καὶ δι᾽ ἅρματος ἡμιόνων, καὶ διὰ μοναμπυκίας. τουτέστι, δι᾽
ἑνὸς χαλινοῦ. ἀντὶ τοῦ, καὶ δι᾽ ἑνὸς ἵππου τοῦ λεγομένου κέλητος.
[Αλλως.] ἐπειδὴ ἐπὶ πέντε ἡμέρας ἐγίνετο τὰ Ὀλύμπια ἀπὸ ια΄.
μέχρι ις΄. ἡνίκα γοῦν ἐτελεῖτο τὰ ἆθλα τῶν πενθημέρων ἀγώ-
νων, ἐγέραιρε τοὺς βωμοὺς, νικήσας. Τὸ δὲ [Πεμπταμέροις] ποιη-
τικὸν διὰ τὸ ἀμετάβλητα ἔχειν τὰ ψιλὰ δασέος ἐπαγομένου.
ὁ τρόπος δὲ ἐστὶ τῶν Ἰώνων ἐστὶ, διὰ τὸ ἀπὸ τοῦ πέμπτου συγκεῖ-
σθαι. ἀλλ᾽ ἔχει ὑπὸ τοῦ κοινῶν τοῦ τοιούτων συντιθεμένων. οὔτοι
γὰρ πενθημίμερον λέγουσιν ἀπὸ τοῦ πεντάς, καὶ τριήμερον ἀπὸ τοῦ
τριάς, καὶ ἑπταήμερον ἀπὸ τοῦ ἑπτάς. ὅτι δὲ ἀπὸ τοῦ τριὰς καὶ πεν-
τὰς, καὶ ἑπτὰς ταῦτα, ἀλλ᾽ οὐκ ἀπὸ τοῦ τρία καὶ ἑπτὰ, δῆλον
ἀπὸ τοῦ τετραημέρου, καὶ ἑξαημέρου, καὶ ὀκταημέρου. ἐφ᾽ οἷς ἡ συν-
θήκη ἐξ ἀνάγκης, ἀπὸ τοῦ τετρὰς καὶ ἑξὰς καὶ ὀκτὰς δείκνυται.
Ἄμπυξ κυρίως κόσμος τις χρυσῷ καὶ λίθοις πεποικιλμένος.
ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσιν. ἀφ᾽ οὗ κατὰ μεταφο-
19 ρὰν καὶ οἱ διάχρυσοι χαλινοὶ, ἄμπυκες λέγονται. [Νέοικον
ἕδραν] λέγει, τὴν Καμαρίναν. ἐπειδὴ ἐν τῇ τεσσαρακοστῇ πέμπτῃ
Ὀλυμπιάδι κατ᾽ ἀρχὰς κτισθεῖσα, ἐν τῇ πεντηκοστῇ ἑβδόμῃ, ὑπὸ
Συρακουσίων ἐπικρατησάντων τοὺς αὐτὴν ἔχοντας, κατέστραπτο.
εἶτα ἐν τῇ ὀγδοηκοστῇ δευτέρᾳ Ὀλυμπιάδι μεταξὺ τοῦ χρόνου
21 καθ᾽ ὃν Ψαῦμις ἐνίκησεν, ἀνεκτίσθη. [Πέλοπος σταθμῶν.]
ἐνταῦθα γὰρ οὗτος Οἰνόμαον ἐνίκησε. καὶ ὕστερον τελευτήσας,
ἐτάφη. εὐηράτων δὲ, ἤγουν ἐπιθυμητῶν. ἐνταῦθα γὰρ ἐπιθυ-
μοῦσι πάντες νικῆσαι. διὸ καὶ πᾶσι καλλίω ἐπιθυμίαν ἐμβάλλου-
σι. [Τὶν δὲ κῦδος.] σοὶ δὲ τῇ Καμαρίνῃ, δηλονότι τῇ λίμνῃ,
δόξαν ἁβρὰν ἀντὶ τοῦ λαμπρὰν νεάζουσαν, ἀνέθηκε νικήσας. καὶ
τὸν ἑαυτοῦ πατέρα τὸν Ἄκρωνα ἀνεκήρυξεν. ἀντὶ τοῦ ἀνακηρυχθῆναι
ἐποίησε, καὶ τὴν καθέδραν αὐτοῦ τὴν νεωστὶ οἰκισθεῖσαν· τουτέστι, τὴν
Καμαρίναν τὴν πόλιν. ἐπαναστρέψας δὲ μετὰ νίκης ἀπὸ τῶν καλῶν
καὶ ἐπεράστων σταθμῶν, ἀντὶ τοῦ οἴκων, τοῦ Οἰνομάου καὶ τοῦ Πέλο-
πος, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας. ὦ Παλλὰς, ἡ συνέχουσα τὴν πόλιν,
τὴν Καμαρίναν δηλονότι, ἀείδει μὲν, ἤγουν ὑμνεῖ, τὸν σὸν ναὸν τὸν
ἁγνὸν· καὶ τὸν ποταμὸν τὸν Ὤανον· καὶ τὴν λίμνην τὴν ἐγχωρίαν,
ἤγουν τὴν Καμαρίναν· καὶ τὰ σεβάσμια ῥεύματα· δι᾽ ὧν ὁ Ἵπ-
παρις ὁ ποταμὸς ἄρδει τὸν στρατόν. ἀντὶ τοῦ, τὸν λαὸν τῆς Καμαρί-
29 νης. [Κολλᾷ τε ὁ Ἵππαρις.] ἤγουν προστίθησί τε ἀεὶ καὶ αὔ-
ξει ταχέως, ἀντὶ τοῦ ῥαδίως, ‡ ὑψίγυιον ἄλσος θαλάμων στα-
δίων. ἀντὶ τοῦ μετέωρον πλῆθος οἰκημάτων στερρῶν. κατά-
γων τοῖς ἑαυτοῦ ῥεύμασι τὰ ὑπὸ τῶν Καμαριναίων εἰς κατα-
σκευὴν οἰκημάτων τεμνόμενα ξύλα, καὶ ἄγων τοῦτον τὸν δῆμον
τῶν πολιτῶν, τουτέστι τῶν Καμαριναίων, ἀπὸ τῆς ἀμηχανίας τῆς οὔσης
αὐτοῖς ἕνεκα τῆς καταγωγῆς τῶν ξύλων εἰς φῶς· ἀντὶ τοῦ εἰς μη-
χανήν. Ἱστορία. Ἵππαρις ποταμὸς ἐν Σικελίᾳ πλησίον Καμα-
ρίνης· τοσοῦτος τῷ ῥεύματι, ὡς καὶ ναυσίπορος εἶναι. ἔχει δὲ τὰς
πηγὰς ἔκ τινος ὄρους ἐν Σικελίᾳ δένδρα πολλὰ ἔχοντος.
τέμνοντες οὖν ἐνταῦθα οἱ Καμαριναῖοι ξύλα πρὸς οἰκοδομίαν,
ἐμβάλλουσιν ἐν τῷ ποταμῷ. ὁ δὲ, τῷ αὐτοῦ ῥεύματι φέρει αὐτὰ
πρὸς τὴν πόλιν. ὅθεν λαμβάνοντες χρῶνται. ἔχει δὲ καὶ πλεί-
στους ἰχθῦς. διὰ γοῦν τὸ ῥεῖν αὐτὸν, ἐπὶ συμφέροντι τῆς πόλεως,
σεμνοὺς τοὺς αὐτοῦ ὀχετοὺς ἐκάλεσε. καὶ κολλᾷ καὶ ἐπιφέρει ταχέ-
ως ἄλσος ὑψίγυιον θαλάμων καὶ οἴκων σταθερῶν καὶ ἑδραίων·
τουτέστι κατάγει ταχέως πρὸς τὴν πόλιν, ἃ ἐν τῷ ὄρει οἱ Κα-
μαριναῖοι τέμνουσι ξύλα. δι᾽ ὧν ἑδραιοτάτους οἴκους ἐργάζονται.
ὑψιγυίων δὲ δέον εἰπεῖν πρὸς τὸ θαλάμων, ἤτοι διωρόφων καὶ
τριωρόφων οἴκων, ὑψίγυιον εἶπε πρὸς τὸ ἄλσος. ἢ ὑψίγυιον
ἄλσος λέγει, ἀντὶ τοῦ ὑψηλὰ καὶ μεγάλα ξύλα. [Αἰεὶ δ᾽ ἀμφ᾽ 34
ἀρεταῖς.] ἤγουν ὁ χρηστόν τι κατορθῶσαι θέλων, καὶ κόπῳ καὶ
χρημάτων δαπάνῃ χρῆται. τὸ δὲ μάρναται, ἀντὶ τοῦ ἀγωνί-
ζεται. τοῦτο δὲ λέγει ὑπὲρ τοῦ Ψαύμιδος, αἰτίαν ἔχοντος πρὶν
* στέφθαι τῇ νίκῃ, ὡς παρὰ τοῦ δέοντος ἱπποτροφοῦ. [Εργον κιν- 36
δύνῳ.] τοῦτο λέγει ἐπειδὴ τὸ τῆς νίκης τέλος οὐ μόνον ἄδηλόν
ἐστιν, ἀλλὰ καὶ ἐπικίνδυνον· πολλοὶ γὰρ τῶν ἐν τοῖς σταδίοις
ἀγωνιζομένων, πρὶν νίκης ἐπιτυχεῖς γενέσθαι, ἀπέθανον.
ἢ τὸ μέγεθος τῶν ἀγώνων οὐκ ἐνεγκόντες, ἢ ὑπὸ τῶν ἀνθαμίλλων
κατενεχθέντες. διὸ καὶ ὁ Ἡσίοδος εἰκότως τὴν πρὸς ἀρετὴν
φέρουσαν ὁδὸν τραχεῖαν προσεῖπεν. [Αἰεὶ δ᾽ ἀμφ᾽ ἀρεταῖς.]
ἀντὶ τοῦ, ἐπ᾽ ἀριστείαις, τουτέστιν ἕνεκα ἀριστειῶν, κόπος καὶ ἀνα-
λώματα μάρναται, ἀντὶ τοῦ ἁμιλλᾶται. ἤγουν, ἐπίσης συμβάλ-
λεται πρὸς πᾶσαν ἐργασίαν † ὑπὸ κινδύνων οὖσαν κεκαλυμμένην.
τουτέστιν ὑποψίαν ἔχουσαν κινδύνου. οἱ εὖ δὲ ἔχοντες, ἤγουν οἱ
εὐτυχοῦντες, τουτέστιν οἱ νικῶντες, καὶ σοφοὶ τοῖς πολίταις ἐνο-
μίσθησαν εἶναι. [Σωτὴρ ὑψινεφὲς Ζεῦ] ὦ Ζεῦ σωτὴρ ὑψινεφὲς, 39
ἤγουν ὁ τὴν διατριβὴν ἄνω ἐπὶ τῶν νεφελῶν ποιούμενος. καὶ ὁ
οἰκῶν τὸν λόφον τὸν Κρόνιον. ἤγουν τὴν Πίσαν. καὶ ὁ ἔνδοξον ποι-
ῶν, τῇ αὐτόθι δηλονότι οἰκήσει, τὸν Ἀλφειὸν τὸν ποταμὸν τὸν
πλατέως ῥέοντα, καὶ ὁ τιμῶν ἀπὸ κοινοῦ τὸ σπήλαιον τὸ σεβά-
σμιον τὸ τῆς Ἴδης, τοῦ ὄρους τοῦ ἐν τῇ Κρήτῃ. ἱκέτης ἔρχομαι
σὸς ἐν Λυδίοις αὐλοῖς ἀπύων, ἀντὶ τοῦ ὑμνῶν, αἰτήσων σε
δαιδάλλειν, τουτέστι κοσμεῖν τήνδε τὴν πόλιν, ἤγουν τὴν Κα-
μαρίναν, εὐανορίαις. ἤτοι εὐδοξίαις ἀνδραγαθημάτων.
κλυταῖς, τουτέστιν, ἐπιπολὺ ‡ διηκούσαις, τῇ φήμῃ. [Ιδαῖον.] ἤγουν 4[illegible]
Κρητικόν. Ἴδη γὰρ ὄρος καὶ ἐν Κρήτῃ, ἔνθα Ζεὺς ἀνετράφη Κου-
ρήτων ἠχούντων, ἵνα μὴ γνοίη Κρόνος αὐτὸν κλαίοντα. Λυ-
δίοις αὐλοῖς λέγει, ἢ διότι τοὺς μετὰ Πέλοπος ἐκ Λυδίας ἐλ-
θόντας αὐλητὰς πρώτους Ἕλληνες ἐμιμήσαντο, ἢ ὅτι οἱ Λύ-
διοι αὐλοὶ γλυκύτεροι καὶ ποικιλότεροι τῶν ἄλλων εἰσίν. [Σέ τ᾽ 4[illegible]
Ὀλυμπιόνικε.] πρὸς τὸν Δία τὸν λόγον τείνων, ἐπέστρεψε πρὸς
τὸν Ψαῦμιν. δέον γὰρ οὕτως εἰπεῖν, αἰτῶ σε, ὦ Ζεῦ, κοσμεῖν τὴν
πόλιν. καὶ τὸν Ψαῦμιν εὐθύμου γήρως ἐπιτυχῆ ποιῆσαι. ἐπεὶ δὴ
πρὸς τοῦτον ἐποίει τὸν ὕμνον, φέρειν σε εἶπεν, ἀντὶ τοῦ ἔχειν
γῆρας εὔθυμον· τὸ δὲ Ποσειδωνίοις εἶπεν, ἢ διότι Ποσειδῶν
πρῶτον Πέλοπι ἅρμα ἐνεχείρισεν ὡς πρόσθεν εἴρηκε, ἢ τὸ Πο-
σειδωνίοις, ἀντὶ τοῦ ταχέσι καὶ γαύροις. τοιαύτη γὰρ ἡ τῆς θα-
λάττης ὁρμή. [Σέ τ᾽ Ὀλυμπιόνικε.] σέ τε, ὦ Ψαῦμι Ὀλυμ-
πιόνικε, τὸν ἐπιτερπόμενον ἵπποις Ποσειδωνίοις, ἀντὶ τοῦ, ἀρίστοις,
ἔχειν γῆρας ἄλυπον μέχρι τοῦ τέλους τοῦ βίου σου. [Υἱῶν σοι πα- 5[illegible]
ρισταμένων.] εἴ τις δὲ ἄρδει, ἀντὶ τοῦ, αὔξει πλοῦτον ὑγίεντα, τουτέ-
στιν * ὑγιεινὸν, ὑγείας μετέχοντα. ἐξαρκῶν, ἀντὶ τοῦ ἐπαρκούμενος,
ἤγουν βοηθούμενος ὑπὸ χρημάτων, καὶ εὐλογίαν, τουτέστιν ἔπαι-
νον, προστιθεὶς, μὴ ζητήσῃ θεὸς γενέσθαι. [Υγίεντα δ᾽ εἴ τις.]
τοῦτο λέγει, ὅτι ἐάν τις μεθ᾽ ὑγείας ἀπολαύει τῶν ὄντων· μηδα-
μόθεν ἁρπάζων ὥσπερ ἕτεροι, ἀλλὰ νίκαις ἑαυτὸν, ὥσπερ ὁ
Ψαῦμις, κοσμῶν, μὴ τούτου μεῖζον ζητήσῃ. οὐκ ἔστι γὰρ
κρείττων ταύτης εὐδαιμονία ἑτέρα, οὐδ᾽ ἡ τῶν θεῶν. ἢ
τὸ ὑγίεντα, ἀντὶ τοῦ, δίκαιον. ἵν᾽ ᾖ τὸ ἐξαρκέων κτεάτεσσι,
τούτου μεθερμηνευτικόν.

† MSS. Bodl. & α. hab. γενομένων αὐτῷ ‡ MSS. α. β. γ. ut & Editt. Steph. & Rom. hab. ὑψίγυιον. * Ισ. στέφθαι. † MSS. leg. κινδύνου.
‡ Editt. leg. διοικούσαις, at διηκούσαις ex MSS. reposuimus. * Υγιείας hab. Editt.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΕΚΤΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

Η στροφὴ καὶ ἀντιστροφὴ, κώλων ια΄. Τὸ α΄, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δὲ * χρυσέας, ἀμφίμακρος, ἢ ἀνάπαιστος. -υ-υ---υ-. Τὸ β΄, προσοδιακὸν δίμετρον ἀκατάληκτον. --υυ-υυ-. Τὸ γ΄, προσοδιακὸν τρίμετρον ἀκατάληκτον. πρῶτος χοριαμβικοῦ δευτέρου, Ἰωνικοῦ τρίτου, χοριάμβου. -υυ-υυ---υυ-. Τὸ δ΄, ἐγκωμιολογικόν. -υυ-υυ---υ--. Τὸ ε΄, Εὐριπίδειον, ἢ ληκύθειον. -υ---υ-. Τὸ ς΄. προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. --υυ-υυ--. Τὸ ζ΄, ἰαμβέλεγος. ἔστι δὲ καὶ τοῦτο ἀπὸ δύο πενθημιμερῶν. τὸ δὲ ἰαμβικὸν πενθημιμερὲς πρότερον κεῖται. καὶ ὕστερον τὸ δακτυλικὸν, ὃ καὶ ἐλεγεῖον λέγεται. ἀμετάβλητον ἀκατάληκτον. --υ---υυ-υυ-. Τὸ η΄, ἴαμβος, τρίμετρος. υ-υ---υ---υ-. Τὸ θ΄, ὅμοιον τῷ ς΄. οἱονεὶ προσοδιακόν. --υυ-υυ--. Τὸ ι΄, ἐγκωμιολογικὸν, λειπούσης τῆς ἐσχάτης. -υυ-υυ---υ- Τὸ ια΄, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον· --υ---υ--.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ. Ἡ δὲ ἐπῳδὸς κώλων ιδ΄.

Τὸ α΄, ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν. -υυ-υυ---υ-. Τὸ β΄, προσοδιακὸν δίμετρον ἀκατάληκτον. --υυ-υυ-. Τὸ γ΄, στησιχόρειον τῷ Πινδαρικῷ ἰδιώματι. ὁ γὰρ τελευταῖος ἀντὶ τροχαίου, ἴαμβον ἔχει. -υ---υ---υυ-. Τὸ δ΄, ἀναπαιστικόν. ἤγουν δύο ἀνάπαιστοι, μονόμετρον ἀκατάληκτον. υυ-υυ-. Τὸ ε΄, Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. --υυ--υυ-. Τὸ ς΄, Ἰωνικὸν μονόμετρον, ὑπερκατάληκτον. ἢ ἀναπαιστικὸν δίμετρον, ἢ μονόμετρον. ὡς θέλεις γὰρ τοὺς ἀναπαίστους λαμβάνεις. --υυ-. Τὸ ζ΄, ἰαμβικὸν δίμετρον ἀκατάληκτον, --υ--υ-. Τὸ η΄, Εὐριπίδειον. -υ---υ-. Τὸ θ΄, προσοδιακὸν δίμετρον ἀκατάληκτον. --υυ-υυ-. Τὸ ι΄, δακτυλικὸν πενθημιμερές. -υυ-υυ-. Τὸ ια΄, προσοδιακὸν δίμετρον ἀκατάληκτον. --υυ-υυ-. Τὸ ιβ΄, δακτυλικὸν τρίμετρον. -υυ-υυ--. Τὸ ιγ΄, προσοδιακὸν, ἀπὸ χοριάμβου ἀνακλώμενον. -υυ-υυ--υ-. Τὸ ιδ΄, στησιχόρειον. -υ---υ---υ--.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

Ἀγησίᾳ Συρακουσίῳ. Γέγραπται ἡ ᾠδὴ ὡς μὲν ἔνιοι, Ἀγησίᾳ Συρακουσίῳ. ὡς δὲ ἔνιοι, Στυμφαλίῳ υἱῷ Σωστράτου, ἀπήνῃ. κατελύθη δὲ ἡ ἀπήνη ὥς τινές φασιν, ὀγδοηκοστῇ πέμπτῃ Ὀλυμπιάδι· κατ' ἐνίους δὲ, ὀγδοηκοστῇ ἕκτῃ.

* In scansione facienda est συνίζησις in dictione χρυσέας, ut fiat Spondæus: non autem est Anapæstus vel Amphimacrus, ut vult Scholiastes. Id vero patet ex comparatione cum cæteris στροφαῖς & ἀντιστροφαῖς hujus odæ.

ΑΓΗΣΙΑ ΣΥΡΑΚΟΥΣΙΩ, ΑΠΗΝΗ. ΕΙΔΟΣ ς΄.

AGESIÆ SYRACUSANO, RHEDA-MULARI. ODE VI.

ARGUMENTUM.

Constat hæc Oda Agesiæ Syracusani laudibus sumptis à victoria quam vehiculo mulari est adeptus, à genere, à majoribus Iamidis, à vaticinio, unde ipsum cum Amphiarao confert. Præterea Aeneæ chori magistro præscribit, quid facere debeat: & vim sui carminis breviter commendat. Tandem voto concludit, quo petit, ut Deus præsentem Agesiæ fortunam tueatur.

Στροφὴ α΄. κώλων ια΄.

Χρυσέας ὑποστάσαντες εὐ-
τειχεῖ προθύρῳ θαλάμου
Κίονας, ὡς ὅτε θαητὸν μέγαρον,

ΜΕΤΑΦΡ.

Aureas supponentes bene-
murato vestibulo domus
Columnas, velut quando præclaras ædes,

PARAPHRASIS.

Quemadmodum qui magnificum construunt ædificium, aureas columnas bene munito domus vestibulo subjiciunt;

NOTÆ.

1 Εὐτείχεϊ] Gl. MS. α. Εὐερκεῖ. Ald. & MSS. Pal. B. & C. γ. hab. εὐτυχεῖ. MSS. C. γ. conclud. hoc κῶλον cum εὐτυ-- MS. Bodl. leg. εὐτυχεῖ. 3 Μέγαρον] Notat Athenæus lib. 5. τὰ μέγαρα apud Homerum semper usurpari pro ædibus magnificentioribus. Schol. MSS. C. γ. hæc hab. Ἰστέον ὅτι θάλαμος, μέγαρον, μέλαθρον διαφέρουσι· θάλαμος μὲν λέγεται ἀπὸ τοῦ θάλλειν τοὺς δύο νεονύμφους· ἔν τινι λέγομεν δὲ πᾶσιν· μέγαρον δὲ λέγεται τὸ παλάτιον. καὶ πᾶν οἴκημα ὑψηλόν. ἀντὶ ἀπὸ τοῦ μέγα αἴρεσθαι, ἤγουν ὑψοῦσθαι· μέλαθρον δὲ λέγεται ὁ οἶκος, ἐν ᾧ μαγειρεύουσι, ἤγουν τὸ μαγειρεῖον, ἀπὸ τοῦ μελαίνειν τὴν αἰθάλην, διὰ τοῦ καπνοῦ δηλονότι.

Χρυσέας ὑποστάσαντες.] ἀλληγορεῖ ὁ ποιητὴς, ὡς ἐπὶ οἰκίας μεγαλοπρεποῦς τὸν λόγον παρασκευάζειν τὸν ἐπινίκιον διατιθέμενος. παραβάλλει δὲ προπυλαίῳ μὲν τὸ προοίμιον. τῷ δὲ μεγάρῳ τὸν ὅλον ὕμνον. ἑαυτὸν δὲ, τῷ κατασκευάζοντι. ὁ δὲ νοῦς, τοιοῦτος. ὕμνον πήξομεν, ὥσπερ θαητὸν μέγαρον, χρυσέας κίονας ὑποστάσαντες τῷ προθύρῳ τοῦ θαλάμου. ὥσπερ ἐπὶ τὸ προοίμιον. καὶ ὥσπερ θαυμαστὸς ἄξιον μέγαρον, ἢ οἶκον κατασκευάσαντες τὸ πρόθυρον ἀξιοπρεπῶς ποιοῦμεν, οὕτω καὶ τοῦ ὕμνου τὸ προοίμιον, πήξομεν ἀξιόλογον. [Ἄλλως. Χρυσέας.] τιμίας νῦν κίονας ὑποθήσοντες. δηλοῖ δὲ νῦν προοίμιον. ὡς καὶ Ὅμηρος. Ἔχει δέ τε κίονας αὐτὸς Μακρὰς· αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν. [Ὡς ὅτε θαητόν.] θαυμαστὸν παρὰ τὴν θέαν.

[Πάξομεν.]

Πάξομεν. Ἀρχομένου δ' ἔργου, πρόσωπον
Χρὴ θέμεν τηλαυγές. Εἰ
Δ' εἴη μὲν Ὀλυμπιονίκας,
Βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν
Πίσᾳ, συνοικιστήρ τε τᾶν κλεινᾶν Συρα-
κουσᾶν, τίνα κεν φύγοι ὕμνον
Κεῖνος ἀνήρ, ἐπικύρσαις ἀφθόνων
Ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς;

ἀντιστροφὴ α'. κῶλον ια'.

Ἴστω γὰρ ἐν τούτῳ πεδί-
λῳ δαιμόνιον πόδ' ἔχων
Σωστράτου υἱός. Ἀκίνδυνοι δ' ἀρεταὶ,
Οὔτε παρ' ἀνδράσιν, οὔτ' ἐν ναυσὶ κοίλαις,
Τίμιαι. Πολλοὶ δὲ μέ-
μνανται, καλὸν εἴ τι ποναθῇ.
Ἀγησία, τὶν δ' αἶνος ἕτοιμος, ὃν ἐν
δίκᾳ ἀπὸ γλώσσας Ἄδραστος μάντιν Οἰ-

Pangemus. Auſpicantes autem opus, frontem
Decet facere longe-ſplendidam. Si
Vero ſit Olympicus-victor,
Aræque fatidicæ præfectus Jovis in
Piſa, & incola nobilium Syra-
cuſarum, quemnam effugiat hymnum
Ille vir, incidens invidia-carentium
Civium in amabiles cantiones?

Μεταφρ.

Sciat enim in hoc calce-
o felicem pedem ſe-habere
Soſtrati filius. Sine-periculis vero virtutes
Neque inter homines, neque in navibus cavis,
Pretioſæ *ſunt*. Multi autem memine-
runt, præclarum ſi quid elaboratum-fuerit.
Ageſia, tibi vero laus parata, quam ju-
ſte lingua Adraſtus vatem Oi-

PARAPHRASIS.

quoniam par eſt, ut qui opus iſtiuſmodi inchoant, aſpectum eminus conſpicuum, & frontem præfulgidam primo faciant. Sic ego eximium moliens encomium, & laudis argumentum præſtabile tractans, proœmium illuſtre adhibere debeo. Et certe cum vir ille, quem prædicandum ſuſcipio, Olympia vicerit, & fatidicæ Jovis aræ, quæ eſt in Elide, ſit præfectus, & inclytas Syracuſas incolat, quam laudem non conſequatur amabilibus hymni cantionibus, idque nactus cives qui hoc bonum illi non invideant. Etenim ſciat Soſtrati filius Ageſias, laudes haſce ſibi competere ob divinam virtutem, qua præditus eſt, quamque laboribus celebrem reddidit. Siquidem virtutes, quæ vel in terra, vel in mari cum periculo exercentur, magno in pretio habentur: & multi rerum præclare geſtarum meminerunt. Cæterum, Ageſia, tibi convenit ea laus, quam merito Adraſtus olim ore proprio de Amphiarao vate

NOTÆ.

4 Πάξομεν] Gl. MS. γ. Κτίσομεν. Ἀρχομένου] Omnes Codd. leg. Ἀρχομένῳ. Schmid vero repoſuit ὀρχομένου ex Luciani Hippia, ubi locus citatur. Uſitatum autem eſſe locutionis genus Autori noſtro ex comparatione cum aliis locis ſimilibus cuivis patebit. 5 Θέμεν] Themiſtius (orat. 9. περὶ τῶν ἠτυχηκότων ἐπὶ Οὐάλεντος) Θέσθαι ſcribit. 8 Βωμῷ leg. MSS. C. γ. Συνοικιστὴς leg. Steph. & Schol. quam lect. hab. Schol. MSS. Bodl. & α. C. 13 Δαιμόνιον] Gl. MS. α. Περισσόν. γ. εὐτυχές. Add. ad Schol. Δαιμόνιον indicare poſſe vaticinandi donum, propter quod Ageſiam Pindarus celebrat. Πόδ'] Gl. MS. γ. Θεμέλιον. 17 Μέμνανται leg. MS. Bodl. *Olim meminiſſe juvabit*; quum præteritorum laborum ſemper ſit jucunda recordatio, cum apud alios, tum præcipue apud eum, qui labores ſuſtinuit. 19 Δίκᾳ] Gl. MS. γ. Μετὰ δικαιοσύνης ἰδίας, quod etiam leg. δίκῃ. Μάντιν Οἰκλείδαν] MSS. omnia hab. Οἰκλ-- per διάλυσιν. Vegetius cenſet acto cuniculo, terra ſub pedibus ſubruta, Amphiaraum periiſſe: ſicut Capaneum non fulmine, ſed olla incendiaria injecta.

[Πάξομεν.] κυρίως μὲν τὸ πῆξαι, ἐπὶ τῆς τῶν ξύλων ἁρμογῆς λέγεται. νῦν δὲ καταχρηστικῶς, ἐπὶ τῆς, κατασκευάσομεν. [Ἀρχομένου δ' ἔργου.] ὁ δὲ, ἀντὶ τοῦ γάρ· ἡ γὰρ ἀκολουθία. παντὸς γὰρ ἔργου, φησὶν, ἀρχομένου, περίβλεπτον καὶ ἐξαίρετον δεῖ ποιεῖν τὸ τῆς προσόψεως. ἤτοι τὴν εἰσβολὴν καὶ τὴν ἀρχὴν, λαμπρὰν καὶ ἐπίσημον. [Εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας.] λοιπὸν περὶ τοῦ Ἀγησίου φησίν. εἴ τις ἐν, ὃν τρόπον οὗτος, Ὀλυμπιονίκης εἴη, καὶ προφήτης τοῦ κατὰ Πίσαν καὶ Ὀλυμπίαν μαντείου, καὶ συνῳκηκὼς τὰς Συρακούσας, τίνα διαφύγῃ ἂν ὁ τοιοῦτος ὕμνον; ἀλλὰ δὲ παντὸς ἂν τύχῃ τῶν πολιτῶν γε δὴ τυχὼν ἀφθόνων ἐν τῷ ὑμνεῖσθαι. τοῦτο δὲ προσέθηκεν ἐπειδὴ οἱ πολῖται κατὰ φύσιν ἀλλήλοις φθονοῦσι. [Βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ.] παρόσον ὁ Ἀγησίας ἱερεὺς ἦν τοῦ ἐν Πίσῃ μαντικοῦ βωμοῦ, τοῦ τῷ Διῒ ἀνιερωμένου. μαντείῳ δὲ, ἀντὶ τοῦ, μαντικῷ. [Συνοικιστήρ τε.] τοῦτο δὲ, οὐκ ἀληθές. οὐ γὰρ οὗτος συνῴκισε τὰς Συρακούσας, ἀλλὰ πρὸς ἐγκώμιον εἴληφεν. ἀπὸ γὰρ ἐκείνων ὁ Ἀγησίας τῶν συνοικισάντων. [Ἄλλως.] Σωστράτου υἱὸς ὁ Ἀγησίας. ὁ δὲ νοῦς. εἰ δὲ ἐν τῷδε βέβηκας τῷ τρόπῳ ὁ τοῦ Σωστράτου παῖς Ἀγησίας τὰ θεῖα τὰ προειρημένα ἔχων, Ὀλυμπιονίκης, καὶ ταμίας τοῦ Διὸς βωμοῦ, καὶ συνοικιστὴς Συρακουσίων. [Πεδίλῳ] δὲ καὶ τὰ ἑξῆς εἶπεν, ἵν' εἴπῃ ὅτι προσήρμοσε αὐτῷ τὰ προειρημένα, δαιμονίως καὶ ἐξαιρέτως. ὡσανεὶ πέδιλον τῷ ποδὶ τουτέστιν ὁ ὕμνος. [Ἀκίνδυνοι δ' ἀρεταί.] Ἡσίοδος δὲ λέγει. Τῆς δ' ἀρετῆς ἱδρῶτα, θεοὶ προπάροιθεν ἔθηκαν. ὁ δὲ λέγει, ὅτι αἱ ἀρεταὶ, αἱ χωρὶς πόνων καὶ κινδύνων, οὐκ εἰσὶ τίμιαι οὔτε παρὰ τοῖς ἄλλοις ἀνθρώποις, οὔτε παρὰ τοῖς θαλαττεύουσιν ἁπλῶς. εἰ μὴ καὶ ναυμάχος τις εἴη. παραμυθεῖται δὲ αὐτὸν, ἐπειδὴ μετὰ μόχθου πολλοῦ ἐνίκησε. [Πολλοὶ δὲ μέμνανται.] ταῦτα δὲ ὡς κάλλιστα παρὰ τοῖς πολλοῖς μνημονεύεται, τὰ μετὰ πόνων ἀγαθὰ συμβαίνοντα δικαίως. [Τίν δ' αἶνος ἕτοιμος.] σοὶ δὲ, ὦ Ἀγησία, πρόχειρος καὶ ἁρμόδιος ὁ ἔπαινος καὶ πρέπων, ὁ ὑπὸ τοῦ Ἀδράστου ῥηθεὶς τοῦ Ταλαοῦ παιδὸς, εἰς τὸν μάντιν Ἀμφιάραον τὸν Οἰκλέους υἱόν. ὃν διασπᾶσα καὶ ἡ γῆ ἐδέξατο ἅμα τῷ ἅρματι ἐν Ὠρωπῷ τῆς Βοιωτίας κινδυνεύειν μέλλοντα. περὶ οὖ μάντεως Ἀμφιαράου ὁ τοῦ Ταλαοῦ παῖς Ἄδραστος εἶπεν ὅτι συναθροισθῶσιν οἱ τῶν ἑπταπύλων νεκροὶ ἐν Θήβαις. καὶ ἐφθόντο ἑπτὰ πυρκαϊαί. ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς, καὶ τὰ ἑξῆς.

[Ἑπτὰ

κλεΐδαν ποτ' ἐς Ἀμφιάρειον	clidem olim in Amphiaraum
Φθέγξατ', ἐπεὶ κατὰ γαῖ' αὐτόν τέ νιν,	Prolocutus-est, postquam terra ipsumque,
Καὶ φαιδίμας ἵππους ἔμαρψεν.	Et insignes equas absorpsit.
ἐπῳδὸς α'. κῶλον ιδ'.	ΜΕΤΑΦΡ.
Ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν τελεσθέντων, Ταλαϊονίδας	Septem enim postea rogis cadaverum extructis, Talaionides
Εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος·	Dixit apud Thebas tale aliquod verbum:
Ποθέω στρατιᾶς	Desidero exercitus
Ὀφθαλμὸν ἐμᾶς, ἀμφότερον,	Oculum mei, pariter,
Μάντιν τ' ἀγαθὸν,	Vatemque bonum,
Καὶ δουρὶ μάρνασθαι. Τὸ καὶ	Et hasta ad-pugnandum. Quod etiam
Ἀνδρὶ κώμου δεσπότᾳ	Viro hymni *bujus* domino
Νῦν πάρεστι Συρακοσίῳ.	Nunc adest Syracusio.
Οὐ φιλόνεικος ἐών,	Non contentionum-amator existens,
Οὔτ' ὦν δύσερις τις ἄγαν,	Neque rixosus quidam valde,
Καὶ μέγαν ὅρκον ὀμόσσαις,	Et magnum jusjurandum juratus,

PARAPHRASIS.

Oicli filio pronuntiavit, postquam & ipse, & insignes ejus equi à terra sunt absorpti Jovis commiseratione, ne cum aliis heroibus in Adrasti expeditione adversus Thebanos periret. Cum enim Thesei opera Adrastus Talai filius cadavera cæsorum à Thebanis obtinuisset, & septem rogos ad septem urbis portas, quibus singulis objectus erat exercitus, ad ea cremanda extruxisset, nec ullibi Amphiaraum videret: desidero, inquit ille, oculum mei exercitus, qui est utrumque, & vates eximius, & bello strenuus. Quæ laus tibi Syracusano viro encomii mei Domino nunc convenit. Nam arte vaticinandi, & militia es clarus: siquidem vaticinii in Elide, & fortitudinis in bello cum Hierone specimen edidisti. Unde ego qui nec sum contentiosus, nec ullo modo rixosus, te his rebus Amphiarao esse similem, magno juramento palam testari ausim;

NOTÆ.

20 Ἀμφιάρηον leg. MSS. Pal. A. B. C. Bodl. & C. 71. & quædam Editt. 21 Κατὰ γαῖ' ἔμαρψεν] Schol. τῆ ϛ. hab. σύνηπτε τὸ κατὰ μετὰ τῷ ἔμαρψεν. 24 In Editt. Rom. & Brubacch. hic versus notatur χ. Ad illud vero referuntur quædam in Schol. Ad κῶλον 79 hujus ᾠδ. hæc annot. à docto quodam viro in Edit. qua usi fuimus, Brubacch. χ nota videtur apud veteres Grammaticos, quam apud eos Poëtarum locos appingere solebant, qui aliquid observatu dignum ob insolentiam ac novitatem continere videbantur, sive in verbis sive in sensu. Hæc ille, & plura, quæ invenias in vulgatis Lexicis. H. Steph. in litera χ. fusius de hac nota disserit. Tom. 2. fol. VII. Lexici. 25 Ἐν Θήβαις γε leg. Pal. C. i. e. in agro Thebano, ubi exercitus Argivorum, à Thebanis cæsos sepeliendi potestatem ab iisdem Thebanis Thesei opera impetravit. Τοιοῦτον Atticum est pro τοιοῦτο. 27 Ὀφθαλμὸν] Qui prævidit fata Argivorum in eo bello, & cum adversa intelligeret, expeditionem eam detrectavit: quanquam postea Eriphyles uxoris, Adrasti sororis dolo ad bellum hoc fuit pertractus: ideoque Deorum miseratione terra absorptus creditur, ne cum cæteris trucidaretur. 28 Μάντιν τ' ἀγαθὸν, καὶ δουρὶ μάρνασθαι] Hom. Il. γ. Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής. 29 Τὸ καὶ] Lonicer. & Aret. τὸ pro τοῦτο more Poëtico volunt positum, & conjungunt cum κώμου, ut sit τὸ κώμου hoc laudis Attice pro οὗτος ὁ κῶμος. Alii τὸ accip. pro ὃ Artic. subj. ut hæc sit constructio, τὸ καὶ πάρεστι νῦν Συρακοσίῳ, δεσπότᾳ κώμου. Omnia MSS. nostra punctum hab. post τὸ. 30 Δεσπότᾳ κώμου] Cui sacer est hic hymnus. 31 Νῦν πάρεστι Συρακοσίῳ leg. Ald. & MSS. Pal. A. B. C. Bodl. & ϛ. Πάρεστι Συρακοσίῳ. γ. Sed metri ratio adversatur. 32 MSS. ϛ. γ. & C. 71 transponunt verba 32 & 33 κῶλ. & leg. Οὐ δύσερις τις ἐών, Οὔτ' ὦν φιλόνεικος ἄγαν. Ita & Ald. nisi quod Οὔτι δύσερις ἐὼν in priore colo legat; metro & sensu eodem manente. Ita & Pal. C. nisi quod τις addatur. Pal. A. pro ὦν hab. ὤν. & B. fecit ὦν ex ὤν. Ex metri ratione patet Schol. potius sensum quam lect. respexisse, quando hab. Οὔτι φιλόνεικος ἐών. Aretius ad Agesiam hæc verba refert, quæ Poëta forsan de se loquitur.

[Ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν τελεσθέντων.] ἐπισωρευθέντων. ἤτοι καταριθμηθέντων. ἵνα καὶ τὸ ἑξῆς τοῦ λόγου οὕτως ἔχῃ. καταριθμήσας γὰρ ὁ Ἄδραστος τοὺς νεκροὺς, καὶ λείποντα τὸν Ἀμφιάραον εὑρὼν, εἰκότως δυσφορήσας τὸν λόγον ἀπεφθέγξατο. [Ἄλλως. Ἑπτὰ δ' ἔπειτα.] Ζητεῖται πῶς ἑπτὰ φησὶ τὰς πυράς. ἀδύνατον γάρ. ἠφάνιστο γὰρ ὁ Ἀμφιάραος. Ἄδραστος δὲ ζῶν, εἰς Ἄργος ἀπέφυγε. Πολυνείκης δὲ, ἄταφος ἔῤῥιπτο, ὡς ἐπιστρατεύσας τῇ πατρίδι. ὥστε τῷ ἀληθεῖ λόγῳ, τέσσαρας εἶναι τὰς πυρκαϊὰς τῶν τεθνηκότων. Ἀλλ' ἐπιλυτέον οὕτως. ὅτι τὰς πυρὰς ὁ Πίνδαρος, οὐ καταριθμεῖται πρὸς αὐτοὺς τοὺς στρατηγοὺς, ἀλλὰ τὰ τούτων στρατεύματα. ἑπτὰ γὰρ τάξεις στρατευμάτων περὶ τὰς ἑπτὰ πύλας τῶν Θηβῶν, μάχην συνεστήσαντο. καὶ οὕτω τῶν ἐν ἑκάστῃ πύλῃ τεθνηκότων στρατιωτῶν, φησὶ γενέσθαι τὰς ἑπτὰ πυρκαϊάς. [Ἄλλως.] τὸ σημεῖον χ', ὅτι ἑπτὰ πυρὰς φασὶ τῶν ἑπτὰ μὴ ἀποθανόντων. Ἀμφιάραος γὰρ, κατεπόθη σὺν ταῖς ἵπποις ἐν Ὠρωπῷ πόλει τῆς Βοιωτίας. [Στρατιᾶς ὀφθαλμόν.] ἤτοι τὸν ἐν πολέμῳ περίβλεπτον. ἢ τὸν προορᾶν δυνάμενον τὰ μέλλοντα ὡς μάντιν. καὶ δι' ἀμφότερα φησὶν αὐτὸν ποθεῖν. εἷς δὲ τὸ μάντις, καὶ πολεμιστὴς ἀπὸ κοινοῦ τὸ ἀγαθός. ὅπερ ἔξεστιν εἰπεῖν καὶ τῷ Ἀγησίᾳ τῷ δεσπότῃ τοῦ ὕμνου. τί δὲ αὐτῷ πάρεστιν, ὃ καὶ τῷ Ἀμφιαράῳ· καὶ μάντις καὶ ἀνδρεῖος τὰ ἐν μάχαις. [Κώμου δεσπότᾳ.] τῷ Ἀγησίᾳ. φησὶ γὰρ τὸν Ἀγησίαν μεθ' Ἱέρωνος στρατευσάμενον πολλοὺς πολέμους κατωρθωκέναι, μαντείᾳ καὶ ἀρετῇ. [Οὔτε φιλόνεικος ἐών.] ἐγὼ γάρ φησιν οὔτε φιλόνεικος, οὔτε δύσερις τις πάνυ ὤν, καὶ τὸν μέγιστον ὅρκον ὀμόσαιμι· μαρτυρῶν τῷ Ἀγησίᾳ, ὃ καὶ ἐπὶ τοῦ Ἀμφιαράου λέγεται. εὔχομαι δὲ ἐπιτρέψαι μοι τὰς Μούσας συνεργῆσαι. εἰκότως δὲ ἐπιτραπῆναι παρὰ τῶν Μουσῶν εὔχεται. ἐπειδὴ, οὐδὲν ἁρμοστὸν ποιητῇ τὸ ὀμνύειν ἐγκωμιάζοντι.

Τοῦτό γέ οἱ σαφέως μαρτυρή-	Hocce ei diserte testifica-
σω· μελίφθογγοι δ' ἐπιτρέψοντι Μοῖσαι.	bor: mellisonæ vero permittent Musæ.
στροφὴ ϛ'. κώλων ια'.	Metaph.
Ω Φίντις, ἀλλὰ ζεῦξον ἤ-	O Phintis, junge jam
δη μοι σθένος ἡμιόνων	mihi robur mularum
Ἡ τάχος, ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ	Quam celerrime, ut via in pura
Βάσομεν ὄκχον, ἵκωμαί τε πρὸς ἀνδρῶν	Ducamus currum, veniamque ad virorum
Καὶ γένος. Κεῖναι γὰρ ἐξ	Etiam genus. Illæ enim præ
Ἀλλᾶν, ὁδὸν ἁγεμονεῦσαι	Aliis, viæ duces esse
Ταύταν ἐπίστανται, στεφάνους ἐν Ὀλυμ-	Hujus norunt, coronas in Olym-
πίᾳ ἐπεὶ δέξαντο. Χρὴ τοίνυν πύλας	pia postquam acceperunt. Decet igitur portas
Ὕμνων ἀναπιτνάμεν αὐταῖς.	Hymnorum patefacere ipsis.
Πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον,	Ad Pitanam vero juxta Eurotæ meatum,
Δεῖ σάμερόν γ' ἐλθεῖν ἐν ὥρᾳ.	Oportet hodie venire tempestive.

PARAPHRASIS.

nec quæ dulci voce canunt musæ mihi refragabuntur. At anime mi, qui meas actiones ut auriga dirigis, jam mihi junge robustas mulas, hoc est, præclarum argumentum canendi, quod victrices mulæ tibi præbent, accipe, ut quam celerrime per puram viam currum ducamus, hoc est, insignibus versibus hymnum contexamus, & usque ad progenitorum virorum genus ascendamus. Nam solæ illæ ex omnibus mulæ norunt mihi viam sternere ad Agesiæ majorumque ejus encomium: quandoquidem parta Olympica victoria coronatæ sunt. Itaque hymnorum via illis est patefacienda. Atque oportet, ut hodie etiam hac oblata occasione, repetam rem altius ab origine majorum Agesiæ, & accedam ad Pitanam Eurotæ fluvii Laconici filiam.

NOTÆ.

36 MSS. ϐ. γ. ἐπιτίρψοντι, & eorum Gl. hab. Συμφωνήσουσι. 37 Schol. leg. Ἀλλ' ὦ Φίντις, cui metrum repugnat. Usitatum vero est Græcis, præsertim poëtis, statim post compellationem vocem ἀλλὰ subjicere. 39 Ald. leg. ἢ τάχος, Doricum. Κελεύθῳ καθαρᾷ] Via ab obstaculis libera. Apud Hom. Il. Θ. v 491. & Ψ. v. 61. ἐν καθαρῷ est in loco vacuo. Winshem. 40 Βάσομεν] Schmid. scrib. in Schol. Triclinii haberi βάσαμεν ad Olymp. ϐ. p. 3. sed non invenimus. Steph. & alii leg. βάσωμεν. Ὄκχον] Gl. MS. γ. Ἅρμα. 42 Ἀλλᾶν leg. MSS. γ. & Pal. B. licet prius ἄλλαν scripserit, quod una cum ἀλλᾶν lect. Pal. C. Doricum est pro ἄλλων. Ἁγεμονεῦσαι] Gl. MS. γ. Περιπατῆσαι. Forte alludit ad equos, qui excusso sessore ipsi curriculum perfecerunt, quæ est conjectura Schmid. 43 Ἐν non inven. in MS. C. 71. 44 Πύλας ὕμνων κ. λ.] i. e. illas in amplissimum laudum & hymnorum campum immittere. 45 Ἀναπιτνάμεν leg. MS. C. 71. 47 Ald. leg. Δεῖ. Ald. & Pal. A. B. C. omitt. γ'. Uti & Schol.

[Τοῦτό γέ οἱ σαφέως μαρτυρήσω.] τοῦτο αὐτὸ μαρτυρήσω, τὸ προδεδηλωμένον. ὅτι εἰς πάντα ὁ Ἁγησίας παραπλήσιος ἦν τῷ Ἀμφιαράῳ. [Ω φίντις, ἀλλὰ ζεῦξον.] ὁ νοῦς. ἀλλ' ὦ φίντις ζεῦξον ἤδη τὰς ἡμιόνους μοι. ἐρωτικῷ δὲ λόγῳ χρῆται. δοκῶν γὰρ προσκαλεῖσθαι τὸν ἡνίοχον, τὴν ἑαυτοῦ ψυχὴν σπουδάσαι πρὸς τὸν ὕμνον προτρέπεται. καὶ φησίν. ἀντὶ τοῦ, γλυκεῖα μοι πρόφασις, ἢ ἔστω μοι ἀφορμὴ τοῦ ὕμνου. φίντις δὲ, ὁ ἡνίοχος καὶ τὰ ἅρματα τῶν ἡνιόχων. [Ω φίντις.] Δωρικῶς ἐσχημάτισται. εἴη δ' ἂν κατὰ τὴν ἡμετέραν διάλεκτον, φίλτις. οἱ Δωριεῖς γὰρ, μεταπιθέασι τὸ λ, εἰς ν ὅταν ᾖ εἴτε τ, εἴτε θ. [Ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ.] ἵνα ἐπιβιβάσωμεν ἐν καθαρᾷ ὁδῷ τὸ ὄχημα. ἀλληγορεῖ δὲ νῦν περὶ τοῦ ὕμνου λέγων. ἵνα διὰ καθαρᾶς λεωφόρου τὸν ὕμνον ἐπιβιβάσαντες, τῷ ὀχήματι χρησώμεθα. [Ἀλλως.] ὄφρα κελεύθῳ. ἀλληγορεῖ καὶ φησίν. ἵνα δικαίᾳ καὶ καθαρᾷ ὁδῷ τῇ τῶν λόγων, ἐπιβήσωμεν τὸ ὄχημα. ἀντὶ τοῦ ὑμνήσωμεν καὶ προσηκόντως. καὶ ἵνα πρὸς τὸ γένος ἵκωμαι τῶν ἀνδρῶν. λέγει δὲ τῶν προγόνων τοῦ Ἁγησίου. ἵκωμαι δὲ ἐν αὐταῖς διὰ τῶν ἐγκωμίων. ἐκεῖναι γὰρ αἱ ἡμίονοι τοῦ Ἁγησίου, παρὰ τὰς ἄλλας πάσας ἐπίστανται καὶ δύνανται ἡγεμονεῦσαι ταύτην τὴν ὁδόν. ποίαν ὁδόν, τὴν τῶν ὕμνων. ἐπειδὴ τοὺς ἐν Ὀλυμπίᾳ στεφάνους ἐδέξαντο. [Ἱκωμαί τε πρὸς ἀνδρῶν.] τὸν καὶ σύνδεσμον, ὑπερβιβαστέον, καὶ πρὸς τὸ τῶν ἀνδρῶν γένος παραγένωμαι. τουτέστι, μνημονεύσω καὶ τῶν προγόνων αὐτοῦ. ἀνέφερε δὲ ὁ Ἁγησίας εἰς τοὺς Ἰαμίδας τὸ γένος. ἔνιοι δὲ τὸν καὶ σύνδεσμον, περισσὸν δέχονται. ἵν' ᾖ, ἵκωμαί τε πρὸς τὸ τῶν ἀνδρῶν γένος. [Ἐξ ἀλλᾶν.] παρὰ τὰς ἄλλας πάσας, ἀντὶ τοῦ ὑπὲρ πάσας τὰς λοιπάς. αὗται γὰρ παρὰ τὰς ἄλλας πάσας τὰς ἀγωνισαμένας νικήσασαι προσκαλοῦνται τὸν ὕμνον. [Ἐπεὶ δέξαντο.] ἀντὶ τοῦ, τοὺς στεφάνους, οὓς ἔλαβον. ἐπειδὴ καὶ αὗται αἱ ἡμίονοι, στεφάνοις ἐβάλλοντο καὶ ἄνθεσι. [Πύλας ὕμνων.] ἐνέμεινε τῇ τροπῇ καὶ φησὶ προσήκει τὰς πύλας τῶν ὕμνων ἀνοίγειν ταῖς ἡμιόνοις. [Πρὸς Πιτάναν δέ.] Πιτάναν νῦν, τὴν ὁμώνυμον πόλιν λέγει τῇ ἡρωΐδι, ἐπικειμένην ταῖς ὄχθαις τοῦ Εὐρώτα ποταμοῦ. προσέθηκε δὲ παρ' Εὐρώτα πόρον, ἐπεὶ τῆς Αἰολίδος ἐστὶν ἡ Πιτάνη, αὕτη δὲ ἡ Πιτάνη ἡ τοῦ Εὐρώτα, πρόγονός ἐστι τῶν Ἰαμιδῶν. ταύτης γὰρ καὶ Ποσειδῶνος, Εὐάδνη. Εὐάδνης δὲ καὶ Ἀπόλλωνος, Ἴαμος ὁ μάντις. τῆς Πιτάνης δὲ ὁμώνυμος ἡ πόλις. Εὐάδναι δὲ, δισσαί. μία μὲν, ἡ Ποσειδῶνος καὶ Πιτάνης. ἑτέρα δὲ, Ἴφιδος ἦν καὶ Ἰανείραν λεγομένην, φασὶν Εὐάδνην ἀπερμάδας διὰ τὸ πλῆθος τῶν ἐθνῶν, ὧν ἔδωκε Καπανεύς. ἡ δὲ Λακωνικὴ Πιτάνη Εὐρώτα τοῦ ποταμοῦ γενεαλογεῖται). πρὸς Πιτάναν, καὶ παρ' Εὐρώτα πόρον, ὁ Ἁγησίας ἦν Ἀρκὰς καὶ Ἀργεῖος, ὡς ἀπὸ Ἰάμου, ὄντα. Πιτάνη γὰρ γέγονεν Εὐρώτα Λακωνικοῦ ποταμοῦ. ἡ συνελθὼν Ποσειδῶν, ἐγέννησεν Εὐάδνην τινά. αὕτη τὸ γεννηθὲν, ἐκπέμπει λαθραίως εἰς Ἀρκαδίαν τρέφεσθαι παρὰ Αἰπύτῳ τῷ Ἐλάτου παιδί. ταύτην τὴν Εὐάδνην ἐν ἀκμῇ γενομένην, διακορεύσας ὁ Ἀπόλλων, καὶ ἔτεκεν Ἴαμον. ἀφ' οὗ οἱ Ἰαμίδαι μάντεις κατὰ Πῖσαν. εἰς οὓς τὸ γένος ἀνάγει ὁ Ἁγησίας. καὶ οὕτως εὑρίσκεται ὡς ἀπὸ μὲν τῆς Πιτάνης, Ἀργεῖος. ὡς δὲ ἀπὸ Ἰάμου καὶ Εὐάδνης τῆς ἐν Ἀρκαδίᾳ, Ἀρκάς. [Δεῖ σάμερον ἐλθεῖν.] δεῖ σήμερόν φησι κατὰ τὸν ὡρισμένον καιρὸν τὸ ἐγκώμιον ἐλθεῖν ταχέως καὶ ἐπὶ τῆς Πιτάνης εἰπεῖν, τῆς τοῦ Εὐρώτα ποταμοῦ θυγατρός.

Ἡνιόχου τοῦ Ἁγησίου κύριον

[Ἀ τοι

ἀντιστροφὴ ϛʹ. κῶλον ιαʹ.

Ἁ τοι Ποσειδάωνι μι-
χθεῖσα Κρονίῳ, λέγεται
Παῖδ' ἰοβόστρυχον Εὐάδναν τεκέμεν.
Κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις.
Κυρίῳ δ' ἐν μηνὶ πέμ-
ποισ' ἀμφιπόλους, ἐκέλευσεν
Ἥρωϊ πορσαίνειν δόμεν Εἰλατίδᾳ
Βρέφος γ', ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαι-
σάνᾳ, λάχε τ' Ἀλφεὸν οἰκεῖν.
Ἔνθα τραφεῖσ', ὑπ' Ἀπόλλωνι γλυκεί-
ας πρῶτον ἔψαυσ' Ἀφροδίτας.

METAPH.

Quæ Neptuno mi-
sta Saturnio, dicitur
Filiam violaceis-capillis Euadnen peperisse.
Occultavit autem virgineum fœtum sinibus.
Justo autem in mense able-
gans famulos, jussit
Heroi curare ut-darent Elatidæ
Infantem, qui viris Arcadibus imperabat Phæ-
sanæ, sortitusque-fuerat Alpheum accolere.
Ibi educata, sub Apolline dul-
cem primum degustavit Venerem.

ἐπῳδὸς ϛʹ. κῶλον ιδʹ.

Οὐδ' ἔλαθ' Αἴπυτον ἐν παντὶ χρόνῳ,
Κλέπτοισα θεοῖο γόνον.
Ἀλλ' ὁ μὲν Πυθῶνα δ', ἐν θυμῷ πιέσαις
Χόλον οὐ φατὸν ὀ-
ξείᾳ μελέτᾳ, ᾤχετ' ἰὼν

METAPH.

Neque latuit Æpytum in omni tempore
Celans Dei semen.
Sed ipse ad-Pythonem, in animo premens
Iram ineffabilem a-
cri cura, abiit vadens

PARAPHRASIS.

Quæ cum usa fuisset Neptuni Saturni filii concubitu, ex eo pulchram filiam Euadnen dicitur peperisse. Sed hujusmodi corruptæ virginitatis partum in gremio occultavit. Nono autem mense, qui partui est præstitutus, enixa misit famulas ad Æpytum regem Arcadum Elati filium: & jussit ut ei educandam traderent infantem. Quæ Phæsanæ, ubi Alpheum qui inde in Elim descendit, incolere sortitus est Æpytus, educata Euadne, ab Apolline primum amata est & compressa. Sed non semper latuit Æpytum Euadnes furtum, quanquam se esse ex Deo gravidam celare volebat. Quo cognito, gravem iram in animo cum acri cura prudenter comprimens:

NOTÆ.

48 Ποσειδάωνι leg. Pal. C. Bodl. Schol. Steph. & alii metro reclamante. 50 Ἰοβόστρυχον] Gl. MS. γ. Μελανότριχα. Alii leg. ἰοπλόκαμον, quod & Pal. C. Schol. pro textu arrepto. 51 Κρύψαι leg. Steph. & alii, quorum memin. Schol. Νεωτ. forsan Schol. in textum suffecto. Verum in Indicativo legendum esse metri ratio indicat cum consensu MSS. uti & mox subjicitur ἐκέλευσεν in Indicativo. 52 Κυρίῳ] Similiter Oppian. in Κυνηγ. l. 3. V. 156. Πρὶν τοκετοῖο μολεῖν ὥρην, πρὶν κύριον ἦμαρ, Νηδύος ἐξέθορε, βιάσατο δ' Εἰλειθυίας. Videtur tamen, ut Schmid. observat. aliquibus utrobique legendum κυρίῳ & κύριον. 55 Ald. & MSS. Pal. A. B. C. Bodl. & α. omitt. γ'. 61 Πιέσαις] Gl. MSS. ϛ γ. Κρατήσας. 63 Ἰὼν] Gl. MS. γ. Βαδίζων.

[Ἁ τοι Ποσειδάονι.] ἥτις μιγεῖσα τῷ Ποσειδῶνι Πιτάνη, λέγεται τὴν ἰοπλόκαμον, ἀπὸ μέρους τὸ πᾶν, καλὴν Εὐάδνην τεκεῖν. καὶ διαλαχεῖν ἐγκυμονοῦσαν, καὶ κρύψαι τὴν ὠδῖνα τῆς ἑαυτῆς δοκούσης παρθενίας. παρθένιοι δὲ λέγονται παῖδες, οἱ κρύφα τικτόμενοι παρὰ τῶν νομιζομένων παρθένων εἶναι. οὕτω τε καὶ Ὅμηρος, ἐν τῷ καταλόγῳ τῶν Ἀχιλλέως νηῶν φησί. Τῆς δ' ἑτέρης Εὔδωρος ἀρήϊος ἡγεμόνευε Παρθένιος. [Ἄλλως. Ἁ τοι Ποσειδάονι.] πρὸς τὴν ἱστορίαν. ὅτι φησὶ τὸν Ποσειδῶνα Πιτάνῃ μιχθέντα, λάθρα γεννῆσαι Εὐάδνην. ἐκ ταύτης δὲ καὶ Ἀπόλλωνος, Ἴαμος. ἀφ' οὗ οἱ Ἰαμίδαι. [Κυρίῳ δ' ἐν μηνί.] ὁ νοῦς. τῷ κυρίῳ δὲ μηνὶ τοῦ τίκτειν, ἀποστείλασα θεράποντας, ἐκπέμπει τὸ βρέφος πρὸς τὸν βασιλέα τῶν Ἀρκάδων Αἴπυτον, Ἐλάτου παῖδα. [Ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ.] τὴν Φαισάναν πάντες μὲν ὑπομνηματισταὶ, τῆς Ἀρκαδίας εἶναι πόλιν ἐξεδέξαντο. ὁ δὲ Δίδυμός φησι τῆς Ἤλιδος αὐτὴν εἶναι. καὶ ὑπεραπολογεῖται τοῦ ῥητοῦ οὕτως. ὅτι ποτὲ οἱ Ἀρκάδες, καὶ τῆς Ἤλιδος ἐβασίλευον κατὰ τὸν χρόνον τοῦ Αἰπύτου. οἱ δὲ βουλόμενοι τὴν Φαισάναν Ἀρκαδικὴν εἶναι, τὸ περὶ Ἀλφεοῦ, οὕτως ἐπιλύονται. ὅτι διὰ Φαισάνης ἔχει ὁ Ἀλφειὸς τὰ ῥεύματα. φέρεται γὰρ ἐξ Ἀσέας, κώμης Ἀρκαδικῆς. ὅτι αἱ πηγαὶ τοῦ Ἀλφειοῦ, ἐξ Ἀσέας τῆς Ἀρκαδικῆς εἰσί. καὶ μεταποιοῦνται αὐτοῦ οἱ Ἀρκάδες. [Ἄλλως. Ἄνασσε Φαισάνᾳ.] ὁ νοῦς. ὅστις Αἴπυτος βασιλεύων τῆς Ἀρκαδίας, καὶ ἔχων ὑφ' ἑαυτὸν τὴν Φαισάναν, ἔλαχε κατοικεῖν ἐν ταῖς ἀρχαῖς τοῦ ποταμοῦ. ἄρχεται γὰρ τὰ ῥεῖθρα ἐν Ἀρκαδίᾳ, ἐν Ἤλιδι δὲ ἐκλάμπει πολύς. [Πρῶτον ἔψαυσ'.] δαιμονίως τὸ ἔψαυσεν. ὡς ἐπὶ θείας ἀφροδισίας συνόδου ἔταξε. τὸ δὲ ὅλον, διεφθάρη ὑπ' Ἀπόλλωνος· ἢ τῆς γλυκείας πρῶτον τοῦ Ἀπόλλωνος συνουσίας μετέσχε. λάθρα τεκοῦσα ἡ Πιτάνη, ἀπέστειλεν, εἰς Ἀρκαδίαν Αἰπύτῳ. τὸ δὲ ἐκ συντυχίας συμβὰν, ἐκ προνοίας λέγει γεγενῆσθαι. τὴν γὰρ Εὐάδνην ἐκτεθεῖσαν, Αἴπυτος εὑρὼν, ἔλαβε. [Οὐ δ' ἔλαθεν.] οὐκ ἠδυνήθη δὲ λαθεῖν τὸν αὐτὴν θρέψαντα Αἴπυτον, δεξαμένη γόνον θεοῦ. [Ἐν θυμῷ πιέσαις χόλον.] κατὰ ψυχὴν καί τοι δεινὴν οὖσαν τὴν ὀργὴν, λογισμῷ κατασχὼν, καὶ περὶ τῆς ἀληθοῦς γνώσεως οὐκ ἐκφῆναι τὸ δεινὸν βουληθεὶς, καί τοι πάνυ χαλεπαίνων εἰς τὸ τοῦ Πυθίου Ἀπόλλωνος μαντεῖον ἐπορεύετο· γνωσόμενος περὶ τοῦ ἀτλήτου καὶ ἀτόπου τῆς διαφθορᾶς πάθους. ὀξείᾳ δὲ μελέτῃ, τῆς μεγάλης φροντίδος. μελέτας γὰρ, τὰς φροντίδας λέγουσιν.

Μαντευσόμενος,	Oraculum-consulturus,
Ταύτας περ' ἀτλάτου πάθας.	Hoc de intolerando casu.
Α δὲ φοινικόκροκον	Illa vero punicea-trama-intextam
Ζώναν καταθηκαμένα,	Zonam deponens,
Κάλπιδά τ' ἀργυρέαν,	Urnamque argenteam,
Λόχμας ὑπὸ κυανέας	Dumos inter opacos
Τίκτε θεόφρονα κοῦρον·	Peperit divina-mente-præditum puerum:
Τᾷ μὲν ὁ Χρυσοκόμας πραΰμη-	Cui quidem Auricomus placi-
τίν τ' Ἐλευθὼ συμπαρέστασέν τε Μοίρας.	damque Lucinam adstare-fecit Parcasque.
στροφὴ γ'. κώλων ια'.	Metaph.
Ηλθε δ' ὑπὸ σπλάγχνων ὑπ' ὠ-	Prodiit autem ex visceribus sub labo-
δῖνός τ' ἐρατᾶς Ιαμος	re-partus amabili Jamus
Ες φάος αὐτίκα. Τὸν μὲν κνιζομένα	In lucem statim. Quem quidem dolore-affecta
Λεῖπε χαμαί· δύο δὲ γλαυκῶπες αὐτὸν	Reliquit humi: duo vero cæsii ipsum
Δαιμόνων βουλαῖσιν ἐ-	Deorum consiliis e-
θρέψαντο δράκοντες, ἀμεμφεῖ	nutriverunt dracones, inculpato
Ιῷ μελισσᾶν, καδόμενοι. Βασιλεὺς	Veneno apum, curam-adhibentes. Rex
Δ' ἐπεὶ πετραέσσας ἐλαύνων ἵκετ' ἐκ	Autem postquam petricosa equitans rediit ex

PARAPHRASIS.

nec malum hoc, donec vera rei notitia plenius esset instructus, patefacere volens, Apollinis oraculum consuluit quid sibi vellet intolerabilis hic corruptæ virginis casus. Atque interim illa soluta virginea zona, parturiendo prævias prænunciasque aquas, & sanguinem cum fœtu fundens, peperit sub opaco dumeto filium divina mente præditum, utpote vatem eximium futurum. Et ad facilem, fœlicemque partum auricomus Apollo Lucinam & Parcas obstetrices constituit. Tunc autem ex visceribus per amabilem partum Jamus statim in lucem venit: quem, suæ virginitatis florem sibi decerptum esse dolens, & inde ignominiam metuens, humi relictum deseruit. Sed duo cæsiis oculis dracones, Apollinis patris & Neptuni avi consilio ac providentia, suscepta

NOTÆ.

65 MSS. β. γ. leg. ἀτλάντου. 66 Φοινικόκροκον] Gl. MS. γ. Κοκκινόβαφον. MS. γ. leg. ἡ δέ. 71 Τῇ μὲν leg. MSS. β. γ. 72 Ald. Ed. Scholion pro textu leg. Εἰλείθυιαν παρέσ-- Partic. τε verbo annectitur, cum duo nomina conjungere debeat, uti Horat. in Carm. Sæculari: *Ut cantus referatque ludos*, pro *Ut cantus ludosque* referat. 73 Alii leg. ἦλθεν δ'. 76 Γλαυκῶπες] Gl.MS. α. Εὐόφθαλμοι. 78 Αμεμφεῖ] Gl.MS. γ. Επαινετῷ. 79 Καδόμενοι] Gl. MS. α. Φροντίζοντες. Hoc κῶλον etiam notatur χ, de qua vid. Not. ad v. 23. hujus ᾠδ. Alii κηδόμενοι. 80 Πυθῶνος πετραέσσας] Fuit Urbs Delphorum, quavis parte in clivum petricosum resupinata, ut scrib. Paus. in Phoc. Sic Hom. πετρήεσσαν nominat Il. α. Sic autem olim appellata fuit, uti Schmid. observat.

[Α δὲ φοινικόκροκον.] ἡ Εὐάδνη. φοινικόκροκον, τὴν ἐκ φοινίκης κρόκης ὑφασμένην. [Λόχμας ὑπὸ κυανέας.] τοῦ ἄνθους καὶ καταπύκνου τοῖς φυτοῖς τόπου. κυανέας, ἤτοι τὰς βαθείας, ἢ παρὰ τὴν τῶν ἴων χροιάν. [Τίκτε θεόφρονα κοῦρον.] τὸν Ιαμον. ὅτι μάντις τὴν τέχνην. ὁ δὲ νοῦς. ἡ δὲ Εὐάδνη, τὴν ἐκ φοινικῆς κρόκης ζώνην λύσασα, καὶ ἀποθεμένη τὴν κάλπιν, οὕτω λοιπὸν ἔτεκεν ἐν συσκίῳ τόπῳ τὸν ἐσόμενον θεόφρονα παῖδα. λέγει δὲ τὸν Ιαμον, ἀφ' οὗ τὸ γένος ἔχει ὁ Αγησίας. [Πραΰμητίν τ' Ἐλευθώ.] πρᾳεῖαν, εὐμενῆ. [Τᾷ μὲν ὁ Χρυσοκόμας.] τῇ Εὐάδνῃ ἀποκυούσῃ παρέστησεν ὁ χρυσοκόμης Απόλλων, τὴν Εἰλείθυιαν κεχαρισμένα φέρουσαν, καὶ τὰς Μοίρας. ἡ δὲ ἔνδειξις, οὐ μόνον περὶ εὐτοκίας, ἀλλὰ καὶ καλλίστης γενέσεως τοῦ παιδός. [Ηλθε δ' ὑπὸ σπλάγχνων.] ἕως κηδόμενοι. ὁ νοῦς τοιοῦτος. ἐγεννήθη δὲ ἐξ ἐπεράστου ὠδῖνος ὁ Ιαμος. καὶ ἦλθεν εἰς τὸ φῶς. εὐθέως τοῦτον οὖν τίκτουσα καὶ ἐπιλυπουμένη, καταλέλοιπεν ἐπὶ τῇ γῇ ἡ Εὐάδνη. δύο δὲ αὐτὸν φοβερώτατοι δράκοντες θεῶν βουλήσει ἀνέθρεψαν, ἀβλαβῆ ἰὸν προσφερόμενοι· ἵνα λέγῃ τὸ μέλι. [Ες φάος αὐτίκα.] εὐθέως ἀκολούθως, ὡς ἀπὸ εὐμενεστάτης Εἰλειθυίας ῥᾳδίαν καὶ ἄμοχθον τὴν ὠδῖνα ἐποιήσατο. [Τὸν μὲν κνιζομένα.] δοκεῖ τὸ κνιζομένα, ἐναντίον εἶναι πρὸς τὴν τῆς Εἰλειθυίας εὐμένειαν. καὶ ἴσως τὴν μετρίαν αἴσθησιν τοῦ ἀλγηδόνος ὑποφαίνει κνισμὸν ὀνομάζων. ἡ κνιζομένη, λυπουμένη· ἤλγει μὲν γὰρ ὡς μήτηρ, στέργουσα τὸ τέκνον. κατελείπετο δὲ αὐτὸ ἐπὶ τῆς ἐρημίας, βουλομένη λαθεῖν. [Δαιμόνων βουλαῖσιν·] ἤτοι καθόλου τῶν θεῶν ἀκουστέον, ἢ εἰς Απόλλωνα καὶ Ποσειδῶνα ἀνακτέον. τὸν μὲν πατέρα· τὸν δὲ προπάτορα. [Αμεμφεῖ ἰῷ.] ἀμεμφῆ ἰὸν εἶπε τὸ μέλι. ὁ γὰρ ἰὸς, μοχθηρίαν τινὰ ὑποφαίνει. ὡς ἐπὶ δρακόντων δὲ τὸν ἰὸν εἶπεν. ἀποβάλλει γὰρ ὁ δράκων ἰόν. βουλῇ δὲ θεῶν, ὡς μελισσῶν ἄνθος ἡδὺ φαίνεται, καὶ οὗτος ὡς μέλι. [Αλλως.] ἠστειάσατο. εἰπὼν, ἀντὶ τοῦ ἰοῦ, μέλι προσιέναι. τὸ δὲ σημεῖον χ', ὅτι ἰὸν μελισσᾶν εἶπε διὰ τὸ ἀφίεσθαι ὑπ' αὐτῶν. φησὶ δὲ τὸν Ιαμον ὑπὸ δρακόντων μέλιτι τραφῆναι. [Βασιλεὺς δ' ἐπεὶ πετραέσσας.] τῆς τραχείας. τὸ δὲ ἑξῆς πετραέσσας Πυθῶνος· ὁ δὲ νοῦς. ἐπειδὴ οὖν ἦλθεν ἐκ τοῦ μαντείου ὁ βασιλεὺς Αἴπυτος, ἀνήρετο πάντας τοὺς ἐν τῇ οἰκίᾳ, περὶ τοῦ γεννηθέντος παιδὸς ὑπὸ τῆς Εὐάδνης.

[Πέρι

Πυθῶνος, ἅπαντας ἐν οἴκῳ
Εἴρετο παῖδα, τὸν Εὐάδνα τέκοι·
Φοίβου γὰρ αὐτὸν φᾶ γεγάκειν

ἀντιστροφὴ γ'. κώλων ια'.

Πατρὸς· περὶ θνατῶν δ' ἔσε-
σθαι μάντιν ἐπιχθονίοις
Ἔξοχον· οὐδέποτ' ἐκλείψειν γενεάν.
Ὣς ἄρα μάνυε. Τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι,
Οὔτ' ἰδεῖν εὔχοντο, πεμ-
πταῖον γεγενημένον· ἀλλ' ἐγ-
κέκρυπτο γὰρ σχοίνῳ βατιᾷ τ' ἐν ἀπει-
ράτῳ, ἴων ξανθαῖσι καὶ παμπορφύροις
Ἀκτῖσι βεβρεγμένος ἁβρὸν
Σῶμα· τὸ καὶ κατεφάμιξεν καλεῖ-
σθαί μιν χρόνῳ σύμπαντι μάτηρ

ἐπῳδὸς γ'. κώλων ιδ'.

Τοῦτ' ὄνυμ' ἀθάνατον. Τερπνᾶς δ' ἐπεὶ
Χρυσοστεφάνοιο λάβεν

Pythone, omnes in domo
Rogabat de-puero, quem Euadne peperisset:
Phœbo enim ipsum dicebat genitum-esse

Metaph.

Patre: supra homines vero futu-
rum vatem in-terra-agentibus
Eximium: neq; unquam defecturam progeniem.
Sic sane indicabat. Illi autem nec audivisse,
Nec vidisse asseverabant, *quantumvis* quin-
to-abhinc-die natus-esset: sed occulta-
tus erat enim junco rubetoque in immen-
so, violarum flavis & purpureis
Radiis madefactus tenerum
Corpus: propterea etiam promulgavit vo-
cari ipsum tempore omni mater

Metaph.

Hoc nomine immortali. Suavis vero postquam
Auro-coronatæ accepit

Paraphrasis.

derelicti infantis cura, eum melle à favis apum subducto nutriverunt. Interim rex in equo ex petricosa Pythone reversus, omnes domesticos interrogabat, ubi esset puer, quem Euadne pepererat. Eum enim esse ab Apolline patre prognatum. Et omnium mortalium fore in terris vatem præstantissimum, neque unquam sobolem ejus defecturam. Sic utique accepti responsi monita referebat. Sed ejus famuli constanter asseverabant se nec audisse nec vidisse infantem, idque etsi quintus jam esset dies ex quo erat in lucem editus. Neque enim id scire poterant: siquidem Euadne clam enixa fœtum in junco, dumetoque magno occultarat, ubi tenerum ipsius corpus flavarum & purpurearum violarum splendentium rore madebat. Ac propterea promulgavit mater, ut in perpetuum vocaretur Jamus, immortali nomine. Postquam vero puberem ætatem attigit, quæ ob suam venustatem suavis est, & delectabilis:

Notæ.

84 MSS. C. γ. leg. ἔσεσθαι in uno versu. 86 MS. C. 71. conclud. vers. cum ἐκλείψειν. 87 MS. C. 71. leg. Τοιταὶ, init. sc. hujus κώλ. 88 Εὔχοντο] Gl. MS. α. Ωμνυον. Hæc vox indicat simplicem in verbis veritatem. 90 Pal. C. leg. ἐγκρύπτετο, metro reclamante. 93 Κατεφάμιξεν] Gl. MS. γ. Εκήρυξεν. Καλεῖσθαι] Gl. MS. γ. ἀπὸ τοῦ ἀμεῖν (ὃ δηλονότι τὸ θερίζειν) ἐκ (ὅ ἐστιν ἄνθη) λέγεται Ιαμός. 95 Αθάνατον] Gl. MS. γ. Αἰώνιος. α. Διαιωνικός. Pal. B hab. commune ὄνομ'. 96 Χρυσοστεφάνοιο] Gl. MS. γ. τῆς περιεζωσμένης χρυσοῦν στέφανον.

[Περὶ θνατῶν.] περισσῶς ὑπὲρ πάντας ἀνθρώπους. ἔλεγε γὰρ αὐτὸν ἐκ πατρὸς Απόλλωνος γεγονέναι, καὶ περισσῶς ὑπὲρ πάντας γενήσεσθαι μάντιν ἀνθρώπους. καὶ μηδέποτε αὐτοῦ τὸ γένος διαλείψειν. [Τοὶ δ' οὔτ' ὦν.] οἱ κατ' οἶκον τοῦ Αἰπύτου θεράποντες εἶπον. τὸ γὰρ εὔχοντο, ἀντὶ τοῦ εἶπον οἱ Λάκωνες χρῶνται. [Οὔτ' ἰδεῖν εὔχοντο.] ἕως τοῦ τ' ὄνομ' ἀθάνατον· ὁ νοῦς. ἔκειτο δὲ ὁ παῖς, βεβρεγμένος καὶ κεκαλυμμένος ταῖς τῶν ἴων ἀκτῖσι καὶ καταδεδροσισμένος. διόπερ καὶ τὴν κλῆσιν τὴν τοῦ Ιάμου αὐτῷ ἡ μήτηρ ἔθετο ἀπὸ τῆς τῶν ἴων αἰτίας. ἀθάνατον δὲ εἶπεν ὀνομάσθαι αὐτὸν, ὡς ἀπὸ τῶν χρησμῶν. εἶπε γὰρ ἀνωτέρω, οὐδέποτε ἐκλείψειν τὴν γενεὰν αὐτοῦ. [Πεμπταῖον γεγενημένον.] τοῦτο οὐχ ὡς ἀπὸ τῶν οἰκετῶν. οὐ διδόαμεν γὰρ αὐτοῖς τὸ εἰδέναι· ἢ καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν ἀφ' οὗ γέγονεν διϊσχυρίσασθαι. ἀλλὰ ῥητέον, ἐκ τοῦ ποιητικοῦ προσώπου τὸ τοιοῦτον λέγεσθαι. οἱ οὖν οἰκέται τοῦ Αἰπύτου ἐρωτώμενοι ἔλεγον μήτε ἑωρακέναι, μήτε ἀκηκοέναι. εἶτα ὁ ποιητὴς ἀφ' ἑαυτοῦ. καὶ ταῦτα πεμπταῖον ἤδη ὂν τὸ παιδίον. [Βατιᾷ τ' ἐν ἀπειράτῳ.] βατιὰν εἶπε, τὸν βάτον. ὅ ἐστιν ἀκάνθης εἶδος. καὶ τὸν Ιαμον ἐτυμολογεῖ. ἀπειράτῳ δὲ, ἐν δρυμῷ μεγάλῳ. [Παμπορφύροις ἀκτῖσιν.] ἀκτῖνας λέγει, τὰς ἀποπιπτούσας ἀπὸ τῶν ἀνθέων δρόσους. ἢ λαμπηδόνας τῶν ἀνθῶν. [Τὸ κατεφάμιξεν.] ἀντὶ τοῦ διὰ τὸ, τοῖς ἴοις δροσίζεσθαι αὐτὸν, ἀστείως καὶ Ιαμον καλεῖσθαι. [Τοῦτ' ὄνυμ' ἀθάνατον.] διὰ τὸ τοὺς Ιαμίδας ἀθανάτους ἀπ' αὐτοῦ καλεῖσθαι. [Τερπνᾶς δὲ ἥβας.] ὅτι ἐν ταύτῃ μάλιστα τὰ ἡδέα τοῖς ἀνθρώποις γίνεται. [Αλλως. Τερπνᾶς δ' ἐπεὶ χρυσοστεφάνοιο.] ὁ νοῦς. ἐπειδὴ δὲ ἐν ἀκμῇ ἡλικίας ἐγένετο, καὶ τὸν καρπὸν τοῦ χρόνου ἐπέτυχε, λέγει δὲ τὰ γένεια, τότε δὴ παραγενόμενος εἰς τὸν Επίδαυρον, ηὔξατο. ἐν μέσῳ γὰρ Ηλιδος καὶ Αρκαδίας ἡ Επίδαυρος. ὧν ἡ μὲν Αρκαδία, τὴν ἀρχὴν· ἡ δὲ Ηλις, τὰ πρὸς ταῖς ἐκβολαῖς οἰκεῖται τοῦ ποταμοῦ. ἐνταῦθα οὖν εἰς τὴν Επίδαυρον ἐπικαλέσατο τόν τε ἑαυτοῦ πρόγονον Ποσειδῶνα, καὶ τὸν τοξοφόρον καὶ ἔφορον τῆς θείας Δήλου τὸν Απόλλωνα, τὸν ἑαυτοῦ πατέρα.

[Λαοτρόφον.]

Καρπὸν ἥβας, Ἀλφεῷ μέσσῳ καταβὰς,
Ἐκάλεσε Ποσει-
δᾶν᾽ εὐρυβίαν ὃν πρόγονον,
Καὶ τοξοφόρον
Δάλου θεοδμάτας σκοπὸν,
Αἰτέων λαοτρόφον
Τιμάν τιν᾽ ἑᾷ κεφαλᾷ,
Νυκτὸς ὑπαίθριος. Ἀν-
τεφθέγξατο δ᾽ ἀρτιεπὴς
Πατρία ὄσσα, μετάλλα-
σέν τέ μιν· Ὄρσο τέκνον, δεῦρο πάγ-
κοινον ἐς χώραν ἴμεν, φάμας ὄπισθεν.

στροφὴ δ´. κῶλον ια´.

Ἵκοντο δ᾽ ὑψηλοῖο πέ-
τραν ἀλίβατον Κρονίου·
Ἔνθα οἱ ὤπασε θησαυρὸν δίδυμον

Fructum pubertatis, in Alpheum medium de-
[scendens
Vocavit Neptu-
num late-potentem suum progenitorem,
Et arcitenentem
Deli divinitus-factæ speculatorem,
Petens publicam
Honorem quendam suo capiti,
Noctu sub-dio. Re-
spondit autem veridica
Paterna vox, inquisi-
vitque eum: Surge fili, age omnibus-com-
munem in regionem venias, post vocem.

Μεταρη.

Venerunt autem alti *ad* pe-
tram excelsam Cronii:
Ubi ei præbuit thesaurum geminum

PARAPHRASIS.

& flavam lanuginem, qua velut aurea corona mentum ejus, & genæ circundarentur, pubertatis fructum accepit, ad Epidaurum, quæ urbs media est inter Arcadiam, & Elidem, ad Alpheum descendit, & Neptunum avum late potentem, & patrem Apollinem arcu insignem, dominumque & custodem Deli à Jove conditæ, quum è mari emersit ejus jussu, ut ibi pareret Latona, noctu sub dio invocavit, postulans, ut sibi dignitatem regiam impertiret. Tum paterna vox veridica, quæsito compellatoque filio, respondit his verbis. Surge fili, huc ades, meamque vocem à tergo sequere, ut eamus in Olympiam, quæ olim futura est toti Græciæ communis, quum instituta erunt ab Hercule certamina, ad quorum spectaculum ex universa Græcia confluent. Itaque venerunt ad excelsum alti Cronii promontorium: ubi pater dedit ipsi geminam

NOTÆ.

97 Ἀλφεῷ μέσσῳ] Schmid. censet ipsum Alpheum esse intelligendum potius quam Epidaurum, uti Schol. hab. quum situs Epidauri sive Argolicæ, sive Laconicæ non respondeat. 99 Ald. & Pal. C. leg. Ποσειδᾶν᾽ Dorice. Εὐρυβίαν] Gl. MSS. α. ϛ. γ. Μεγαλοδύναμον. 101 Σκοπὸν] Gl. MS. γ. Φύλακα MS. C. 71. leg. Σκηπτὸν. Alii leg Θεοδμάτας. 102 Schol. leg. Λαοτρόφον. Ita & Steph. Lonicer. & Aretius. i. e. Active Populos alentem. Schol. vero & Schmid. Passive etiam intell. ut sit publico nomine data τιμὴ, à populo decreta & quasi enutrita, ut in electionibus, maxime in democratiis, fit. 108 Pal. C. leg. Χώραν. Ita & Schol. Νεωτ. Φάμας ὄπισθεν] Philipp. & Lonicer. interpret. Propter famam, longe aliter quam Schol. 110 Schol. Νεωτ. leg. ἠλίβατον. uti & Schol. in MSS. ϛ. γ. cujus ἔτυμον vide in Schol. Alii ἀλίβατον uti MSS. ϛ. γ. Alii ἠλίβατον, ut Schol. in MSS. Bodl. & α.

[Λαοτρόφον.] τὴν τρεφομένην ὑπὸ τῶν λαῶν ἐπισήμην ἑαυτοῦ αἰτῶν. [Ἄλλως. Λαοτρόφον τιμάν.] βασιλικὴν ἀρχήν. ᾧ καὶ Ὅμηρος λέγων πρὸς τοὺς βασιλέας, ποιμένας λαῶν ὀνομάζει. αἰτῶν οὖν τινὰ τιμὴν τὴν ἀπὸ πολλῶν, ἐν πολλοῖς ὄχλοις ὑπάρξαι αὐτοῦ τῆς κεφαλῆς. [Νυκτὸς ὑπαίθριος.] οἰκεῖος δὲ καὶ ὁ καιρὸς πρὸς θείαν ἐπίκλησιν. ηὔχετο οὖν φησιν αἰτῶν καὶ παρακαλῶν νυκτὸς ὑπαίθριος. ἀρχαιότατος δὲ ὁ τρόπος τῆς εὐχῆς. [Ἀρτιεπὴς πατρία ὄσσα] ἡ ἀληθὴς καὶ ἀψευδής. ἡ δὲ ἀρτιεπὴς καὶ ἀληθὴς φωνὴ τοῦ πατρὸς αὐτοῦ, πρὸς τὰς εὐχὰς ἀντεφθέγξατο. ὄσσα δὲ, ἡ φωνή. [Μετάλλασέν τέ μιν.] ἐὰν μὲν ἐπὶ τοῦ Ἀπόλλωνος, νοεῖσθαι δεῖ οὕτως. ἐπεζήτησέ τε αὐτὸν καὶ ἐν φροντίδι ἔσχεν, ὅπως τὰ μέλλοντα προλέγειν παράσχῃ αὐτῷ. ἐὰν δὲ ἐπὶ τοῦ Ἰάμου, ὅτι τῆς φωνῆς ἀκούσας τοῦ Ἀπόλλωνος, ἐπεζήτησεν αὐτὸν, ὥστε καὶ κατ᾽ ὄψιν αὐτὸν εὐτυχῆσαι τῆς θέας τοῦ θεοῦ. τὸ δὲ μετάλλασεν, ἐὰν λάβωμεν ἀντὶ τοῦ ἀνηρώτησεν, ἀκύρως κεῖται. μεταλλῆσαι γάρ ἐστι τὸ ζητεῖν, ὡς ἐπὶ τῶν μετάλλων. [Ἄλλως. Μετάλλασέν τέ μιν.] ἰδίως κέχρηται τῇ λέξει. μεταλλῆσαι γάρ ἐστι τὸ ζητῆσαι ἀπὸ τῶν μετάλλων. νῦν δὲ, ἐπ᾽ οὐδενὸς τοιούτου τέταχεν. ἀλλὰ ἀντὶ τοῦ ἐφθέγξατο καὶ προσεῖπε καὶ οἱονεὶ ἐφιλοφρονήσατο. Ἔνιοι δὲ οὕτως. ἐπεὶ ἀφανὴς ἦν ὁ Ἀπόλλων τῷ Ἰάμῳ. μόνη δὲ φωνῇ προσεῖπεν αὐτὸν, ἐφθέγξατο μὲν ὁ Ἀπόλλων. ὁ δὲ Ἴαμος, ἐζήτησε τὸν φθεγξάμενον, τίς ἦν. τὸ δὲ ἑξῆς λεγόμενον, ἐφθέγξατο· ὄρσο τέκνον δεῦρο. ταῦτα παρὰ Ἀπόλλωνος πρὸς Ἴαμον. ἄγε δὴ ἀνίστασο παῖ, ἀπέλθωμεν εἰς τὴν ἐσομένην ὕστερον πολύκοινον καὶ πολυπληθῆ χώραν. λέγει δὲ τὴν Ὀλυμπίαν. ὡς δὲ θεὸς, μάντις ἀκριβής ἐστιν εἰς τὰ μέλλοντα. [Φάμας ὄπισθεν.] τῇ ἐμῇ φωνῇ ἐπικατακολούθει. Ὁμηρικῶς δέ. Χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς. [Πέτραν ἀλίβατον.] τὴν ὑψηλήν. καὶ ἤτοι ἐφ᾽ ἧς τῷ βαίνοντι ἐστιν ἀλιτεῖν διὰ τὸ ὕψος, ἢ ἐφ᾽ ἧς ἀνατέλλων πρῶτον ὁ ἥλιος βαίνει. ὁ δὲ νοῦς· ὅρμησον ὦ τέκνον, καὶ ἐλθὲ εἰς τὴν πολύκοινον ἐσομένην χώραν, κατακολουθῶν τῇ ἡμετέρᾳ φωνῇ. παρεγένετο δὲ εἰς τὴν ὑψηλὴν πέτραν τοῦ Κρονίου. ἐν ᾧ Κρονίῳ, παρέσχεν αὐτῷ διπλοῦν θησαυρὸν μαντείας. [Πλειστόβροτον] δὲ, παρ᾽ ἣν πλεῖστοι τῶν ἀνθρώπων ἀθροίζονται. [Θησαυρὸν δίδυμον.] ἕνα μὲν, τὸ κατὰ τὸ παρὸν εὐθέως φωνὴν ἀκούειν ψευδῶν ἀνεπίγνωστον. ὕστερον δὲ καὶ παρὰ τῷ βωμῷ, τοῦ Διὸς μαντεύεσθαι ἐκ τῆς τοῦ πυρὸς ἀναδόσεως. [Ἄλλως. Ἔνθα οἱ ὤπασε θησαυρὸν δίδυμον,] ἕως τὸ, βωμῷ. ὁ νοῦς. ἐδίδου δὲ ὁ Ἀπόλλων τῷ Ἰάμῳ, δίδυμον θησαυρὸν τῆς μαντείας. τότε μὲν, φωνῆς κατακούειν ἀληθοῦς. ὅτε δὲ ὁ ἰσχυρὸς Ἡρακλῆς, τὸ τῶν Ἀλκαϊδῶν βλάστημα τύχῃ ἐλθὼν εἰς Ὀλυμπίαν, καὶ κτίσῃ τῷ αὐτοῦ πατρὶ πανδοκώτατον καὶ πολυάνθρωπον πανήγυριν. καὶ τὸν νόμον καὶ θεσμὸν τῶν μεγίστων Ὀλυμπιακῶν ἄθλων, ἐπὶ τῷ τοῦ Διὸς ὑψηλοτάτῳ βωμῷ. τότε Ἴαμον ἐκέλευσεν ὁ Ἀπόλλων, χρηστήριον θέσθαι. καὶ μαντεῖον τὸ διὰ τῶν θυμάτων. [Ἄλλως.] μαντεῖον ἦν ἐν

Ὀλυμπίᾳ

Μαντοσύνας· τόκα μὲν, φωνὰν ἀκούειν
Ψευδέων ἄγνωστον· εὖ-
τ' ἂν δὲ θρασυμάχανος ἐλθὼν
Ἡρακλέης, σεμνὸν θάλος Ἀλκαϊδᾶν,
Πατρός θ' ἑορτάν τε κτίσῃ πλειστόμβροτον,
Τεθμόν τε μέγιστον ἀέθλων,
Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ· τότ' αὖ
Χρηστήριον θέσθαι κέλευσεν.

ἀντιστροφὴ δ'. κώλων ια'.

Ἐξ οὗ πολύκλειτον καθ' Ἑλ-
λανας γένος Ἰαμιδᾶν
Ὄλβος ἅμ' ἕσπετο. Τιμῶντες δ' ἀρετὰς,
Ἐς φανερὰν ὁδὸν ἔρχονται. Τεκμαίρει
Χρῆμ' ἕκαστον. Μῶμος ἐκ
Δ' ἄλλων κρέμαται φθονεόντων,
Τοῖς, οἷς ποτε πρώτιστον περὶ δωδέκατον
Δρόμον γ' ἐλαυνόντεσσιν αἰδοία πο-
τιστάζει χάρις εὐκλέα μορφάν.

Divinationis: tunc quidem, vocem audire
Mendaciorum nesciam: quan-
do vero audax-rerum-machinator veniens
Hercules, nobile germen Alcaidarum,
Patrisq; festum instituerit plurium-mortalium.
Ritumque maximum certaminum,
Jovis in suprema ara: tunc autem
Oraculi-sedem collocare jussit.

ΜΕΤΑΡΗ.

Ex quo *tempore* inclytum inter Græ-
cos genus Jamidarum
Felicitas una secuta-est. Colentes vero virtutes,
In claram viam veniunt. Indicat
Opus quemque. Reprehensio autem
Ex aliis impendet invidentibus,
Iis, quibus olim primum circa duodecimum
Cursum *equos* agentibus veneranda ad-
stillat gratia gloriosam formam.

PARAPHRASIS.

vaticinandi facultatem: unam quidem ex arte per πυρομαντείας: *alteram ex* ὀρνιθοσκοπίας. *Jussitque tunc ut suam vocem mendacii nesciam audiret: & quum Hercules Alcæi avi venerandum germen, Heros ad res gerendas audacissimus, & animo confidentissimus, celebritatem Jovis patris instituisset in Olympia, quo spectatorum conflueret infinita multitudo, ritumque certaminum condidisset, tunc in summa Jovis ara cortinam oraculis collocaret. Quod cum fecisset Jamus, ab eo tempore, celebre Jamidarum genus sequutæ sunt divitiæ. Siquidem qui virtutem colunt, in viam honoribus, omnibusque bonis apertam ingrediuntur. Cæterum quod quisque facit, qualis quisque sit, indicio certo declarat. Sed tamen rei bene gestæ reprehensio ab invidis proficiscitur, cum in alios, tum in eos etiam quibus equos agitantibus, stadio duodecies in Pisa dextre decurso, & victis Olympiis, gratia veneranda, quam præstat victoria, gloriosum vultum præbet: quemadmodum tibi evenit.*

NOTÆ.

112 Τόκα μὲν] Prior Thesaurus, quem statim dedit, donum nimirum vaticinandi. 114 Alii omitt. δὲ, uti nostræ Editt. licet tum metri, tum contextus ratio requirat, τόκα μὲν, &c. εὖτ' ἂν δὲ, κ. λ. ut observ. Schmid. 115 Θάλος leg. MS. γ. Ἀλκαϊδᾶν leg. MS. Bodl. Ita & Pal. B. 116 Πατρὶ leg. Pal. C. & Ald. Πλειστόμβροτον. Pal. A. & Schol. 118 Pal. C. τότ' αὐτοῦ. Ald. τότ' αὐτοῖ. Pal. B. omitt. τότ' αὖ. 120 Πολύκλειτον] Gl. MSS. β. γ. πολυδόξαστόν ἐστι. Vates, qui Jamidæ dicebantur, & quorum apud Historicos passim fit mentio, ab Jamo hoc oriundi, ab eodem Jamo & Apolline divinandi peritiam quasi hæreditariam accepisse credebantur, ut ex hoc loco Pindari Pausan. in Eliac. poster. annotat. 122 Pal. C. post Ἰαμιδᾶν punctio distinguit, & leg. ὄλβος δ' ἅμ' ἕσπετο. 124 Μῶμος δ' ἐξ leg. Schol. & MS. α. omitt. δὲ in init. seq. 126 Ald. leg. πρώτοις. Περὶ δωδέκατον δρόμον] Duodecimus, utpote ultimus, victoriæ judex erat. Alii leg. ἐπί. 127 Ald. & MSS. Pal. A B. C. Bodl. & α. omitt. γ'. 128 Ποτιστάξῃ leg. Pal. C. & alios ita legere Edit. Brubacch. notat. Εὔκλεια μορφὴν leg. MS. γ. i. e. favorem & admirationem.

Ὀλυμπίᾳ· οὗ ἀρχηγὸς γέγονεν Ἴαμος, τῇ διὰ τῶν ἐμπύρων μαντείᾳ. ᾗ καὶ μέχρι τοῦ νῦν Ἰαμίδαι χρῶνται. ἀναλαμβάνοντες γὰρ τὰ τῶν ἱερείων δέρματα, ἐπιτιθέασιν εἰς τὸ πῦρ, καὶ οὕτω μαντεύονται. ἔνιοι δὲ οὕτω φασί. τεμνομένοις δέρμασι, μαντεύεσθαι αὐτούς. λαμβάνοντες γὰρ τὰς βύρσας τῶν ἱερείων ἔσχιζον. καὶ κατὰ τὰ σχίσματα, ἐμαντεύοντο, ἀφορῶντες εἰς τὴν τομὴν, πότερον εὐθεῖα ἐστὶν, ἢ οὔ. [Ψευδέων ἄγνωστον.] ἀληθῆ. ἄγνωστος δὲ ψευδέων, ἡ τῶν θεῶν φωνή. ἄλλοι δέ φασιν, ὀρνέων. [Σεμνὸν θάλος,] τὸ βλάστημα, τῶν Ἀλκαϊδῶν. φησὶ δὲ, τὸ τοῦ Ἀμφιτρύωνος. ἐκεῖνος γὰρ Ἀλκαίου παῖς. ἔνιοι μέντοι, αὐτὸν τὸν Ἡρακλέα Ἀλκαῖον καλεῖσθαι βούλονται. μετονομασθῆναι δὲ Ἡρακλῆ, Ἀπόλλωνος τοῦτο χρησμοδοτήσαντος. [Πλειστόμβροτον.] παρ' ἣν πλεῖστοι τῶν ἀνθρώπων ἀθροίζονται· τοῦ κατὰ τὴν Ὀλυμπίαν μαντικοῦ βωμοῦ τοῦ Διός. [Ἐξ οὗ ὄλβος Ἰαμιδῶν ἕσπετο.] ἰδίως τῇ φράσει ἐχρήσατο. ἀφ' οὗ δὴ χρόνου τὸ ἐνδοξότατον γένος τῶν Ἰαμιδῶν εὐδαιμονία ἠκολούθησεν. ἀντὶ δοτικῆς τὴν ἀκολουθίαν ἐχούσης πρὸς τὸν λόγον. ἀφ' οὗ τῷ τῶν Ἰαμιδῶν γένει, ὁ ὄλβος ἠκολούθησε καθ' Ἕλληνας. [Τιμῶντες δ' ἀρετάς·] ἤτοι καθόλου γνωμικὸς ὁ λόγος, ἢ ἐπὶ τῶν Ἰαμιδῶν. οἱ δὲ Ἰαμίδαι τὰς ἀρετὰς τιμῶντες, ἀεὶ εἰς ἐπίδοξον ὁδὸν βίου ἔρχονται. [Τεκμαίρει χρῆμ' ἕκαστον.] ἑκάστῳ γὰρ τῶν ἀνθρώπων τεκμαίρει καὶ μηνύει τὸ οἰκεῖον πρᾶγμα· ὡς Ὅμηρον ἡ ποίησις, καὶ Δημοσθένην ἡ ῥητορική. λείπει τὸ, ἐγὼ τοίνυν διὰ τοῦτο ἐπαινῶ. ὁ δὲ λόγος, γνωμικός. [Μῶμος δ' ἐξ ἄλλων.] φθόνος δὲ καὶ ψόγος ἐξ ἄλλων τινῶν. ἐκ τοῦ φθονεροῦ ἐπικρέμαται τούτοις, οἷς ἂν ποτε κατὰ τὴν Ὀλυμπίαν περὶ τὸν δωδεκάκυκλον δρόμον ἀγωνισαμένοις καὶ νικήσασιν, καὶ οἷς ἂν ἡ ἐκ τῆς νίκης χάρις, ἔνδοξον τὴν ὄψιν παράσχῃ. [Ἄλλως.] ὁ νοῦς. ἐκ τῶν ἄλλων φθονούντων, μῶμος ἐπικρέμαται τοῖς τετυχηκόσι τῶν τιμῶν τούτων. οὗτοι, οἱ μήτε τετυχηκότες, τοὺς τυχόντας διαμωμοῦνται· ὡς μηδενὸς ἀξιολόγου τετυχηκότας. [Αἰδοία ποτιστάζει.] ἐπεὶ οἱ νικῶντες, δοκοῦσιν εὐειδεῖς εἶναι· ἐπιχαρίτους ποιεῖ τοὺς νικῶντας.

Εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄρος,
Ἁγησία, μάτρωες ἄνδρες
ἐπῳδὸς δ'. κώλων ιδ'.
Ναιετάοντες, ἐδώρησαν Θεῶν
Κάρυκα λιταῖς θυσίαις
Πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως,
Ὃς ἀγῶνας ἔχει,
Μοῖράν τ' ἀέθλων, Ἀρκαδίαν
Τ' εὐάνορα τι-
μᾷ· κεῖνος, ὦ παῖ Σωστράτου,
Σὺν βαρυγδούπῳ πατρὶ,
Κραίνει σέθεν εὐτυχίαν.
Δόξαν ἔχω τιν' ἐπὶ
Γλώσσᾳ ἀκόνας λιγυρᾶς,
Ἅ μ' ἐθέλοντα προσέλκει
Καλλιρρόοισι πνοαῖς. Ματρομά-
τωρ ἐμὰ Στυμφαλὶς εὐανθὴς Μετώπα,

Si autem vere sub Cyllenes monte,
O Agesia, materni-majores viri
METAPH.
Habitantes, donaverunt Deorum
Præconem supplicibus sacrificiis
Sæpe sane multis Mercurium religiose,
Qui certamina gubernat,
Sortemque præmiorum, Arcadiam-
que viris-insignem hono-
rat: *utique* ille, O fili Sostrati,
Cum gravistrepo patre,
Perficit tuam felicitatem.
Opinionem habeo quandam in
Lingua cotis acutæ,
Quæ me volentem attrahit
Pulchrifluos ad flatus. Avia-mater-
na mea Stymphalis florida Metope *est*,

PARAPHRASIS.

Si autem, Agesia, avi tui materni sub Cyllenes monte habitantes pietatis studio, Mercurium Deorum præconem, qui certamina gubernat & præmiorum sortem regit, & viris insignem Arcadiam, in qua præcipue se coli animadvertit, honorat, multis frugalibus sacrificiis crebro donaverunt: ille memor accepti à tuis majoribus honoris, tibi, Agesia Sostrati fili, cum Jove patre graviter tonante fœlicitatem perficit. Subit animum cogitatio, quæ me impellit, & attrahit mea sponte jam satis propensum, ad texendum hymnum, ad lyræ argutæ musicam, quæ me cotis instar exacuit, & ad pulchrifluos tibiæ flatus canendum. Stymphalica Metope Ladonis Arcadiæ fluvii filia, & Asopi fluminis Thebani conjux, ac proinde Thebes mater, avia mea est materna,

NOTÆ.

129 Κυλλάνοις leg. MS. Bodl. ὄρεις leg. Ald. & MS. α. ὄρεις. hab. MSS. γ. C. 71. & Pal. A. B. C. 131 Δώρησαν leg. Schol. 134 Ἔχει] Gl. MS. γ. Κρατεῖ. 139 Κραίνει] Κρίνει leg. MS. C. 71. 140 Δόξαν ἔχω τιν leg. Schol. Νιωτ. ex interpretatione ejus apparet. q. d. incidit mihi acuta quædam cogitatio de te. Laudat vero carmina sua, ut Agesias intelligat, suas virtutes non vulgaribus, sed summis præconiis celebratum iri: & merito hoc fit ex sententia Loniceri. 141 Ἀκόνας λιγυρᾶς] Intell. virtutem Musicæ & Lyricæ, quod instar cotis acuat animos. 142 Προσέρπει leg. Ald. & Pal. A. B. C. & Bodl. α. β. γ. sc. Schol. pos. pro textu. 143 Καλλιρρόοισι πνοαῖς] Intell. tibiarum concentum. 144 Στυφαλὶς leg. Pal. A. Εὐανθεῖς leg. MS. C. 71.

[Εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄρος.] Κυλλήνη ὄρος Ἀρκαδίας, ἱερὸν Ἑρμοῦ. φησὶ δὲ, ὅτι, εἰ δὴ ἀληθῶς οἱ τοῦ Ἁγησίου πρόγονοι τὴν Κυλλήνην κατοικοῦντες, τὸ τῆς Ἀρκαδίας ὄρος, ἐτίμησαν διὰ δώρων καὶ θυσιῶν πολλῶν πολλάκις τὸν κήρυκα τῶν θεῶν τὸν Ἑρμῆν, τὸν τῶν ἀγώνων διαπράζοντα, καὶ τὰς μερίδας τῶν ἄθλων κεκληρωμένον· τὸν τὴν Ἀρκαδίαν τιμῶντα, τοῦτον ἂν εἴποιμεν καὶ νῦν, ὦ Σωστράτου παῖ, σὺν τῷ ἑαυτοῦ πατρὶ, τελειοῦντά σοι τὴν ἐπὶ τῇ νίκῃ εὐδαιμονίαν. [Ἁγησία.] σημειῶσαι, ὅτι κατὰ μητέρα, Ἀρκὰς ἦν ὁ Ἁγησίας. [Δώρησαν θεῶν κάρυκα.] ἀντὶ τοῦ ἐδωρήσαντο τῷ κήρυκι τῶν θεῶν, ἢ χοροῖς ἐτίμησαν αὐτόν. [Ὃς ἀγῶνας ἔχει.] ἐναγώνιος γὰρ ὁ θεός. ἢ ὅτι κήρυξ, κήρυξ δὲ καὶ ἐν ἀγῶσιν· ἢ ὅτι τῆς πάλης εὑρετής. [Δόξαν ἔχω.] ἕως τοῦ, ἐπικτεν. ὁ νοῦς. ἔχω τινὰ καὶ ἑτέραν δόκησιν οὕτω με προτρεπομένην λέγειν περὶ σοῦ. ὡσανεὶ τῆς ἀκόνης τὸ ὀξύνειν δυναμένης τὸ παραθηγόμενον. ἥτις δόκησις, θέλοντί μοι, καὶ βουλομένῳ, προσέρπει καὶ προσπίπτει ὑπὸ ταῖς τῶν αὐλῶν πνοαῖς, καὶ τῶν ἤχων. διὰ πνοῆς γὰρ ὁ ἦχος ἐκφέρεται. ἥτις δόκησίς ἐστι, τὸ ὑμνεῖν σε ἐκ τῆς ἐμῆς προγόνου Μετώπης· ἀπὸ Στυμφήλου πόλεως Ἀρκαδικῆς· ματρομάτορα δὲ, τὴν Μετώπην λέγει ὁ Πίνδαρος, οὕτω. θυγάτηρ μὲν γὰρ ἦν Μετώπη, Λάδωνος τοῦ τῆς Ἀρκαδίας ποταμοῦ. γυνὴ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ. ἐκ ταύτης γέγονε νύμφη τις Θήβη· ἀφ' ἧς ἡ πόλις. Θηβαῖος δὲ ὁ Πίνδαρος. διὰ τοῦτο ματρομάτορα ἰδίᾳ λέγει τὴν Μετώπην. [Ἀκόνας λιγυρᾶς.] ἀκόνην ὀξεῖαν φησὶ τὴν μουσικήν. λιγὺς γὰρ νῦν ὁ ὀξύς. καὶ Ὅμηρος. Θερσίτ' ἀκριτόμυθε λιγύς περ ἐὼν ἀγορητής, Ιλιαδ. οὐ γὰρ ἔνι χαριστὸν ἀκριτα λέγοντα, ἡδὺ ὦ ἐστί. [Ἄλλως.] ἀκόνης τινὸς δόκησιν ἔχω ἐπὶ γλώσσης. ὅ ἐστι παρακονῶμαι. ἢ οὕτως. ἡ δόκησις, ἀκόνημα, ὃ δοκῶ παρὰ τῶν ἀνδρῶν, τοῦτό μοι ἀκόνη ἐστὶν ἡ παροξύνουσά με καὶ παρορμῶσα. ἢ οὕτω. τῆς λιγυρᾶς ἀκόνης ἔχω δόκησιν ἐπὶ τῆς γλώσσης. ἥτις κραίνει τῆς εὐτυχίας τὴν δόκησιν. ὁ δὲ νοῦς. ὀξὺς ὤν, ὀξύτερος γίνομαι, παρ' ἀκόνης τῆς δοκήσεως θηγόμενος. [Ματρομάτωρ.] ἡ τῆς μητρὸς τῆς ἐμῆς μήτηρ. πῶς δὲ, ὁποιόντες δείξομεν. λιγυρᾶς δὲ νῦν τῆς ὀξείας. [Καλλιρρόοισι.] ταῖς ἀπὸ τῶν ὀργάνων ἀναφερομέναις τῶν μετ' αὐλοῦ ὕμνων. [Στυμφαλὶς εὐανθὴς Μετώπα.] Μετώπη, Ἀσωποῦ μὲν ἦν γυνή. μήτηρ δὲ Θήβης. ἀφ' ἧς ἡ πόλις Θήβη προσηγορεύθη. διὰ τὴν οἰκειότητα οὖν φησιν ὁ Πίνδαρος τὴν πρὸς ἐμὲ τῆς Μετώπης, ἥτις Θήβης μήτηρ τῆς ἐμῆς πατρίδος· ἕλκεταί με ἡ Μετώπη Ἀρκὰς οὖσα. τὴν δὲ Μετώπην φασὶ γήμαντα Ἀσωπὸν τὸν Ὠκεανοῦ, Λάδωνος οὖσαν θυγατέρα, τεκνῶσαι, Κέρκυραν, Αἴγιναν, Σαλαμῖνα, Θήβην, Ἀρπίνναν, Νέμεαν. εὐανθὴς δὲ Μετώπα, ἡ ἀκμαία, καὶ ἀνθηρά. ἵν' ὁ λόγος ἐπὶ τῆς νύμφης ἀκούηται. [Ἄλλως.] Στύμφηλος ὑπόκειται τῇ Κυλλήνῃ· ἔστι δὲ τῆς Ἀρκαδίας. οἱ δὲ κατὰ τὴν μητέρα πρόγονοι τοῦ Ἁγησίου, Στυμφήλιοι εἰσίν. Φιλόστεφανος δὲ ἐν τῷ περὶ Κυλλήνης, φησὶ Κυλλήνην καὶ ἑλίκων * θρέψαι. ἐναγωνίου δὲ ὄντος τοῦ θεοῦ, φησὶν ὅτι οἱ περὶ τὸν Ἁγησίαν διὰ τὴν συγγένειαν, ἐπειδὴ καὶ ὁ Ἑρμῆς ἐν Ἀρκαδίᾳ, εἰκότως νικῶσιν.

* Ed. Brub. hab. aster.

[Πλάξιππον

στροφὴ εʹ. κώλων ιαʹ.

Πλάξιππον ἃ Θήβαν ἔπι-
κτεν, τᾶς ἐρατεινὸν ὕδωρ
Πίομαι, ἀνδράσιν αἰχματαῖσι πλέκων
Ποικίλον ὕμνον. Ὄτρυνον νῦν ἑταίρους,
Αἰνέα, πρῶτον μὲν Ἥ-
ραν Παρθενίαν κελαδῆσαι·
Γνῶναί τ' ἔπειτ', ἀρχαῖον ὄνειδος ἀλα-
θέσιν λόγοις εἰ φεύγομεν, Βοιωτίαν
Ὗν. Ἐσσὶ γὰρ ἄγγελος ὀρθὸς,
Ἠϋκόμων σκυτάλα Μοισᾶν, γλυκὺς
Κρητὴρ ἀγαφθέγκτων ἀοιδᾶν.

METAPH.

Equorum-agitatricem quæ Theben pepe-
rit, cujus amabilem aquam
Bibo, viris bellicosis nectens
Varium hymnum. Hortare nunc socios,
Ænea, primum quidem Juno-
nem Partheniam ut-celebrent:
Considerentq; deinde, antiquum probrum ve-
ris rationibus an effugerimus, Bœotiam
Suem. Es enim nuncius rectus,
Pulchricomarum scytale Musarum, suavis
Temperator valde-sonantium carminum.

PARAPHRASIS.

quæ Theben equorum agitatricem peperit, in qua jucunde vescor & vivo, carmine componens eximia encomia bellicosis viris. Cæterum, Ænea chori institutor, hortare tuos socios, ut primum quidem Junonem, quæ in Parthenio monte colitur, tecum celebrent: deinde recte canendo notum faciant, nos vetus illud in stupidam ignorantiam probrum, scilicet Bœoticam suem, vera ratione effugere. Tu enim es hujusmodi, ut quemadmodum Lacones per scytalam arcana sua suis Imperatoribus misso fideli nuntio significabant: sic Musæ pulchricomæ, tibi tanquam bono chori magistro mysteria sua commiserint, ita ut sis vas & promus melodiæ carminum, ex quibus valde sonantibus gloria ad me redundat.

NOTÆ.

147 Ἀνδρέσσι leg. MS. C. 71. Hoc κῶλον conclud. αἰχματαῖσι in eo MS. 150 Ἥραν Παρθενίαν] vel παρθενίαν. i. e. virginalem seu puellarem. Hoc enim nomen habuit Juno in Stymphalo à Temeno educata, ut diceretur παῖς seu παρθένος, quamdiu nimirum virgo fuit. Vide Pausan. in Arcad. 152 Ἀλαθέσι leg. Editt. Steph. & aliorum, & MSS. α. β. γ. 154 Σκυτάλα Μοισᾶν] Internuncius secretorum Musarum, qu. delectus ab iis, cui secreta committere vellent. 155 Κρητὴρ est vas grandius in quo vina miscebantur, & mixta inde in pocula infundebantur. Metaph. pro temperatore aut moderatore, scil. artifice moder. hymnorum cantus. Ἀγαφθέγκτων] i. e. magna voce decantatarum. Ἀοιδᾶν leg. MS. γ.

[Πλάξιππον ἃ Θήβαν.] ταύτης οὖν τῆς Μετώπης. λέγει δὲ νῦν τοῦ ὁμωνύμου ποταμοῦ τῇ ἡρωΐδι· ὅτι δὲ ἡ Μετώπη τῆς Ἀρκαδίας ποταμὸς, Καλλίμαχος ἱστορεῖ ἐν ὕμνοις. Πολύστιόν τε Μετώπην. [Ἄλλως. Στυμφαλὶς εὐανθής.] Στύμφηλος γὰρ πόλις Ἀρκαδίας. Ὅμηρος. Στύμφηλόν τ' εἶχον, καὶ παρ' Ῥασίην ἐνέμοντο. ματρομάτορα δὲ λέγει τὴν Μετώπην ὁ Πίνδαρος οὕτω. Μετώπη θυγάτηρ μὲν Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμοῦ. γυνὴ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ. ἥτις Μετώπη, ἐγέννησε τὴν ἱππικὴν Θήβην. κατὰ ἀναφορὰν τῶν ἐνοικούντων ἐν ταῖς Θήβαις. [Πίομαι, ἀνδράσιν,] ἕως τοῦ ὕμνον. ἀνδράσι νῦν, τῷ τε Ἀγησίᾳ, καὶ τοῖς τούτου προγόνοις. τὸ δὲ πλέκων, ἤτοι πρὸς τὸ ποικίλον καὶ διάφορον τῆς φθογγῆς. λέγουσι γὰρ καὶ στροφὰς ᾠδῆς. ἢ ὡς ἐπὶ στεφάνου μουσικῆς. ὁ δὲ λόγος. ὦ τῆς ἐμῆς πατρίδος Ἀρκαδικῆς Μετώπη. λέγει δὲ, τοῦ ποταμοῦ γεύσομαι, τῶν ὕμνων· καὶ εἰς τὸ ἐγκώμιον ἀναλήψομαι. αὐτῷ τε τῷ Ἀγησίᾳ καὶ τοῖς τούτου ἀνδρείοις καὶ πολεμικωτάτοις προγόνοις τὸν ποικίλον καὶ πολύφθογγον ὕμνον διαπλέκων καὶ συντιθείς. [Ὄτρυνον νῦν ἑταίρους Αἰνέα.] ἀποστρέφει τὸν λόγον πρὸς τὸν Αἰνέαν τὸν χοροδιδάσκαλον. Αἰνέας γὰρ ἐστὶ χοροδιδάσκαλος. ᾧ ἐχρήσατο διὰ τὸ αὐτὸν ἰσχνόφωνον εἶναι. καὶ μὴ δύνασθαι ἐν τῷ δημοσίῳ δι' ἑαυτοῦ καταλέγειν τοῖς χοροῖς. ὥσπερ οἱ πλείους καὶ μεγαλόφωνοι τῶν ποιητῶν ἀγωνιζόμενοι ἐποίουν δι' ἑαυτῶν, διδάσκοντες τοὺς χορούς. ἀπέστρεψεν οὖν τὸν λόγον ὁ Πίνδαρος πρὸς τὸν Αἰνέαν, λέγων· παρόρμησον νῦν, ὦ Αἰνέα, τοὺς ἑταίρους τοὺς ἐν τῷ χορῷ, ὥστε ὑμνῆσαι πρῶτον μὲν τὴν Ἥραν. ἔπειτα δὲ γνωρίσαι τοῖς λόγοις ποίησον αὐτοὺς, εἰ κατὰ τὸν ἀληθῆ λόγον, ἐκφεύγομεν τὸ ὄνειδος τῶν Βοιωτῶν. καὶ τὴν παροιμίαν τὴν λεγομένην, Βοιωτία ὗς. ἡ δὲ παροιμία, ἐντεῦθεν. Ὕαντες, ἔθνος βάρβαρον ἀρχαῖον, κατῴκησαν τὴν Βοιωτίαν. οὕστινας ἐκ διαφθορᾶς τοῦ ὀνόματος, ἀντὶ τοῦ Ὕαντας λέγειν, Ὗς ἐκάλουν. ὥστε καὶ τοῖς ὕστερον, διαδοθῆναι τὴν λέξιν ἐπὶ τῶν Βοιωτῶν. καὶ λοιπὸν νομισθῆναι, διὰ πολλὴν ἀλογίαν καὶ ἀγροικίαν, οὕτως ἐξ ἀρχαίου αὐτοὺς κεκλῆσθαι. τούς τε βουλομένους εἰς ἀπαιδευσίαν ἐπισκώπτειν τινὰς, τοῦτο λέγειν, Βοιωτία ὗς. ὁ δὲ νοῦς. παρόξυνον ἐπὶ τοῦ παρόντος τοὺς χορευτὰς, ὦ Αἰνέα, πρῶτον μὲν τὴν Ἥραν τὴν ἐν τῷ Παρθενίῳ ὄρει Παρθενίαν ἀνυμνῆσαι, καὶ γνῶναι ἀληθέσι λόγοις διὰ τοῦ ὕμνου ποίησον τοὺς ἀκούοντας, εἰ ἀποφεύγομεν ἐκεῖνο τὸ ὄνειδος, ὃ ἀμουσίας ἕνεκα, ἡμῖν τοῖς Βοιωτοῖς περιστρέφεται. ὑπάρχεις γὰρ τῶν Μουσῶν ἄγγελος ὀρθὸς καὶ ὑποφήτης. καὶ τύπον τινὰ, σκυτάλη καὶ σκῆπτρον τούτων τυγχάνεις, καὶ κρατὴρ ἡδὺς τῶν ὕμνων. ἀντὶ τοῦ, μουσικώτατος γὰρ εἶ. [Ἥραν Παρθενίαν.] τὴν ἐν τῷ Παρθενίῳ ὄρει τῆς Ἀρκαδίας τιμωμένην· ἵν' ᾖ, τὴν ἐν Ἀρκαδίᾳ· οὕτως δὲ καὶ ἐν Ἄργει τιμᾶται Ἥρα. [Εἰ φεύγομεν Βοιωτίαν ὗν.] διὰ τὴν ἀγροικίαν καὶ τὴν ἀναγωγίαν, τὸ παλαιὸν οἱ Βοιωτοὶ, ὕες ἐκαλοῦντο. καθάπερ καὶ αὐτὸς ἐν τοῖς Διθυράμβοις· Ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔλεγον. καὶ Κρατῖνος. Οὗτοι δ' εἰσὶν, συοβοιωτικὸν πεζοφόρον γένος ἀνδρῶν. [Ἠϋκόμων σκυτάλα Μοισᾶν.] τῶν εὐκόμων Μουσῶν, ἀξιόλογος ἄγγελος καὶ κῆρυξ. σκυτάλην γὰρ, ἐκ τοῦ συμβεβηκότος λέγουσιν. ὡς καὶ Ἀρχίλοχος. Ἀχνυμένη σκυτάλη. ἡ δὲ σκυτάλη τοιοῦτόν ἐστι. Λάκωνες κήρυκας διαπεμπόμενοι, ξύλον μελαίνοντες, περιείλισσον λευκῷ ἱμάντι, καὶ περιέγραφον τῷ τε ἱμάντι, καὶ τῷ ξύλῳ. εἶτα, ἐπέλυον ὥστε τὴν ἀκολουθίαν τῆς γραφῆς μὴ σώζεσθαι, εἰ μὴ προστεθείη πάλιν ὁ ἱμάς. καὶ οὕτω διὰ μὲν ἑτέρου, τὸν ἱμάντα· διὰ δὲ ἑτέρου, τὸ ξύλον ἀπέστελλον. οἱ δὲ, ὅτι ξύλον τι στρογγύλον· ὥσπερ εἰς δύο ποιοῦντες, τὸ μὲν ἥμισυ, κατεῖχον αὐτοί· τὸ δὲ ἕτερον, ἐδίδουν τῷ στρατηγῷ τῷ ἐκπεμπομένῳ εἴς τινα πόλιν. εἶτα εἰ ἐβούλοντο δηλῶσαι αὐτῷ περὶ ἀπορρήτων, ἱμάντι περιειλίσσοντες ὃ εἶχον αὐτοὶ ξύλον, ἐπέγραφον. ὅντινα δεχόμενος ὁ ἁρμοστὴς, περιείλει ᾧ εἶχεν ἐκείνος ἀποκόμματι, καὶ οὕτως ἀνεγίνωσκεν. ἦσαν δὲ ἁρμοσταὶ Λακεδαιμονίων εἴκοσιν. Ἄλλοι δὲ, ὅτι ἐχρῶντο πλατείαις σκυτάλαις οἱ Λάκωνες, ἐγγράφοντες αὐταῖς τὰς ἐπιστολάς. καὶ ἐγκλείοντες εἰς σκύτινα ἀγγεῖα, καὶ οὕτω σφραγίζοντες.

ἀντιστροφὴ ε'. κώλων ια'.

Εἶπον δὲ, μεμνᾶσθαι Συρα-
κουσᾶν τε, καὶ Ὀρτυγίας·
Τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων,
Ἄρτια μηδόμενος, φοινικόπεζαν
Ἀμφέπει Δάματρα, λευ-
κίππου τε θυγατρὸς ἑορτὰν,
Καὶ Ζηνὸς Αἰτναίου κράτος. Ἁδύλογοι
Δέ μιν λύραι, μολπαί τε γινώσκοντι. Μὴ
Θραύσοι χρόνος ὄλβον ἐφέρπων.
Σὺν δὲ φιλοφροσύναις εὐηράτοις
Ἁγησία δέξαιτο κῶμον,

Μεταφ.

Jube autem, meminiſſe Syra-
cuſarumque, & Ortygiæ:
Quam Hiero ſincero ſceptro adminiſtrans,
Recta meditans, rubripedem
Colit Cererem, alboſque-haben-
tis-equos filiæ feſtum,
Et Jovis Ætnæi potentiam. Suaviſonæ
Autem eum lyræ cantuſque norunt. Ne
Frangat tempus felicitatem *ejus* adveniens.
Sed *Hiero* cum comitate amabili
Ageſiæ excipiat hymnum,

ἐπῳδὸς ε'. κώλων ιβ'.

Οἴκοθεν οἴκαδ' ἀπὸ Στυμφαλίων
Τειχέων ποτινισόμενον,
Ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας.
Ἀγαθαὶ δὲ πέλον-
τ', ἐν χειμερίᾳ νυκτὶ θοᾶς

Μεταφ.

De-domo ad-domum à Stymphaliis
Mœnibus advenientem,
Matrem pecoroſæ relinquentem Arcadiæ.
Utiles autem ſunt,
In tempeſtuoſa nocte celere

Paraphrasis.

Dic etiam tuis ſociis, ut Syracuſarum paternæ patriæ, & Ortygiæ inſulæ mentionem faciant, ubi rectis conſiliis, juſtoque ſceptro dominatur Hiero: ibique maturis ſegetibus flavam Cererem colit, ejuſque filiæ Proſerpinæ albis equis ad Jovem in cœlum à matre reductæ, feſtum celebrare ſolet, & Jovem Ætnæum potentia præpollentem honorat. Is, quem non modo Muſices peritum, ſed rebus etiam geſtis clarum, dulciſonæ citharæ & cantiones cognoſcunt: ſive quid ipſe canat: ſive illis ipſe celebretur. Cujus fœlicitatem utinam futurum tempus non interrumpat, & obliteret. Sed benevolo animo Ageſiæ encomium excipere velit, quod à materna domo, nimirum à Stymphaliis mœnibus tranſit ad paternam, Syracuſas nimirum, relicta Stymphalo Arcadiæ pecoroſa metropoli: ut patriam Ageſiæ utramque memorem. Quemadmodum autem utile eſt duas anchoras

N O T Æ.

157 Συρακοσιᾶν leg. Pal. C. Συρακοσᾶν Ald. 158 Σκάπτρῳ leg. MS. Bodl. 159 Φοινικόπεζαν] Gl. MS. γ. Κοκκινόπουν. Virg. Georg. I. *At rubicunda Ceres*--- 162 Ἡδύλογοι leg. MSS. β. γ. 165 Εὐκράτοις leg. MS. α. ita Pal. A. quod tamen ſupra ſcript. hab. η, & κ not. puncto 168 Περινισσόμενον leg. MS. γ. Ποτινισσόμενον Bodl. 169 Ματέρ' leg. MS. Bodl.

[Συρακουσσᾶν τε, καὶ Ὀρτυγίας.] Ὀρτυγία νῆσος ταῖς Συρακούσαις παρακειμένη τὸ πρότερον. νῦν δὲ συνήφθη τῇ πόλει ταῖς Συρακούσαις. [Ἄλλως.] νῆσος περὶ τῶν Συρακουσῶν. ἧς ἄρχει ὁ Ἱέρων. ὅτι ἡ τῶν Συρακουσίων νῆσος Ὀρτυγία ἐκαλεῖτο. καὶ ὅτι Ἁγησίας ἐπολιτεύετο ἐν Συρακούσαις. τὴν δὲ τὸ ἀνέκαθεν, Στυμφήλιος ἐξ Ἀρκαδίας. ἥντινά φησι τὴν τῶν Συρακουσῶν πόλιν, Ἱέρων καθαρῷ σκήπτρῳ διοικῶν, ἴσα καὶ δίκαια βουλευόμενος, τιμᾷ καὶ θεραπεύει τὴν Δήμητραν· τὴν ἀνθηρὰν καὶ ἐρυθρὰν ἔχουσαν πόδα· ἀπὸ μέρους, καλήν. πέζα γὰρ ὁ πούς. [Λευκίππου τε θυγατρός.] ἀπὸ κοινοῦ, ἀμφέπει, καὶ τῆς λευκοὺς ἵππους ἐχούσης θυγατρὸς αὐτοῦ. λέγει δὲ τῆς κόρης. λεύκιππον δὲ εἶπεν, ἐπειδὴ λέγεται μετὰ τὴν ἁρπαγὴν ἡ κόρη, τὴν ὑπ' αὐτῆς ὑπὸ τοῦ Πλούτωνος εὑρεθεῖσα λοιπὸν ὑπὸ τῆς μητρὸς αὐτῆς Δήμητρος, λευκοπώλῳ ἅρματι, ἀνήχθη εἰς τὸν Ὄλυμπον, πρὸς τὸν Δία. λέγεται δὲ ὁ Ἱέρων, τῆς Δήμητρος καὶ τῆς κόρης ἱεροφάντης. [Καὶ Ζηνὸς Αἰτναίου.] ἀπὸ κοινοῦ τὸ ἀμφέπει. περιέπει δὲ καὶ θεραπεύει ὁ Ἱέρων, καὶ τὸ κράτος τοῦ Διὸς τοῦ κατὰ τὴν Αἴτνην τιμωμένου. [Ἁδύλογοι δέ μιν λύραι.] αἱ ἀπὸ τῶν ὀργάνων πνοαί. ὁ δὲ λόγος. αἱ δὲ ἡδύλογοι αὐτὸν πνοαὶ τῶν ὀργάνων, καὶ ᾠδαὶ γνωρίζουσιν. ἤτοι, ὡς πολυύμνητον διὰ τὰ κατορθώματα, ἢ ὡς καὶ αὐτὸν μουσικῆς ἔμπειρον. φησὶ γάρ που ἔμπροσθεν. Ἀγλαΐζεται δὲ καὶ Μουσικῆς ἐν ἀώτῳ. [Μὴ θραύσοι χρόνος ὄλβον.] ὁ λόγος εὐκτικός. μὴ δὴ οὖν, ὦ θεοὶ, θραύσοι καὶ ἀφανίσοι αὐτοῦ τὴν εὐδαιμονίαν ὁ μακρὸς χρόνος, ἀλλὰ φιλοφροσύναις καὶ εὐθυμίαις ἐπεράστοις εἴη τὸν Ἱέρωνα τὸ τοῦ Ἁγησίου ἐγκώμιον δέξασθαι. [Οἴκοθεν οἴκαδε.] ὅτι Ἀρκὰς καὶ Συρακούσιος ὁ Ἁγησίας. ὁ δὲ νοῦς. οἰκεῖον ὄντα καὶ οὐκ ἀλλότριον. ἢ ἴδιον ἐξ ἰδίων. εἰ γὰρ καὶ ἐν Σικελίᾳ δοκεῖ οἰκεῖν ὁ Ἁγησίας, ὅμως ἐκ μητρὸς, Ἀρκάς ἐστιν. ὥσπερ ἐδιήχθη ἀνωτέρω. [Ποτινισσόμενον.] προσερχόμενον. ὁ δὲ νοῦς τοιοῦτος. δέξαιτο ὁ Ἱέρων ἀπὸ τῆς Ἀρκαδίας ἐρχόμενον τὸν ὕμνον· καὶ καταλιπόντα τὴν Στύμφηλον πόλιν· ἥτις ἐστὶ μητρόπολις τῆς εὐμήλου Ἀρκαδίας· καὶ εἰς Ἀρκαδίαν παραγινόμενον. [Ἀγαθαὶ δὲ πέλοντι.] ἀστείως ἀπολογεῖται· τουτέστι τὸν νικηφόρον δύο πατρίδων εἶναι. καὶ φησὶν, ὥσπερ ἐστὶν λυσιτελὲς καὶ συμφέρον ἐν χειμῶνι καὶ νυκτὶ, τὴν ναῦν δύο ἀγκύραις ἐπερείδεσθαι· οὕτως ἐπικερδὲς, καὶ δύο πατρίδας ἔχειν τὸν νικηφόρον. ἡ δὲ ἔμφασις. ὅτι ἐκπίπτοντες τῆς ἑτέρας πόλεως, ἐπὶ τὴν ἑτέραν δύνανται σώζεσθαι παραγινόμενοι.

[Τῶν

Ἐκ ναὸς ἀπε-
σκίμφθαι δύ' ἄγκυραι. Θεὸς
Τῶνδέ τ' ἐκείνων τε κλυτὰν
Αἶσαν παρέχοι. Φιλέων,
Δέσποτα ποντόμεδον,
Εὐθὺν δὲ πλόον, καμάτων
Ἐκτὸς ἐόντα δίδου, χρυ-
σαλακάτοιο πόσις Ἀμφιτρί-
τας· ἐμῶν δ' ὕμνων ἄεξ' εὐτερπὲς ἄνθος.

Ex nave dependere-ad-fir-
mandum duæ anchoræ. Deus
Horum illorumque illuſtrem
Sortem præbeat. Propitius,
O domine maris-rex,
Rectam autem navigationem, extra
Labores exiſtentem largire, aure-
um-colum-geſtantis marite Amphitri-
tes: & mearum odarum auge ſuavem florem.

PARAPHRASIS.

habere ad firmandam navim adverſus tempeſtatem noctu ingruentem. Sic Ageſiæ bonum fuerit duplicem patriam agnoſcere, ut ſi forte in hac male ſe habeat, ad illam confugiat. At utinam conterraneorum ipſius tum Arcadum, tum Syracuſanorum res proſperet Deus. Cæterum, tu Neptune domine mariſque rector, Amphitrites aureo colo inſignis marite, tuum nepotem Ageſiam amore dignatus in hoc vitæ curriculo ſic dirigas, ut illud citra omnem ærumnam conficiat. Quinetiam efficias, ut magis magiſque placeant jucundi mei hymni.

NOTÆ.

173 Ἀπεσκίμφθαι leg. Steph. & alii. Δύο leg. MS. γ. Propertius lib. 2. ad Demoph. *Nam melius duo defendunt retinacula navem.* 174 Κλυτὴν leg. MSS. ϐ. γ. 178 Pal. C. & Ald. leg. Δίδοι. Χρυσαλακάτοιο] Aurenm colum tribuit Amphitritæ, utpote reginæ, more poëtico. Cenſet Euſtath. ad Odyſſ. δ. audacter Pindarum hoc epitheton attribuiſſe Amphitritæ, quum proprie conveniat Dianæ. Sed Schmid. obſervat Dianam dici Χρυσηλάκατον à τὸ ἠλάκατον ſagitta, Amphitriten vero ab ἡ ἠλακάτη, colus. 180 Εὐτρεπὲς leg. MSS. ϐ. γ.

[Τῶν δ' ἐκείνων.] ὁ νοῦς. θεὸς οὖν τῶν Ἀρκάδων τὴν μοῖραν, καὶ τῶν Συρακουσίων, παρέχοι τῷ Ἀγησίᾳ καλλίστην. [Φιλέων δέσποτα.] σὺ δὲ ὦ δέσποτα Πόσειδον, ἄνερ τῆς Ἀμφιτρίτης, πάρεχε τῷ Ἀγησίᾳ εὐθὺν πλοῦν, καὶ ἀκίνδυνον, ὃν ἔν τε εὐθυμίᾳ καὶ εὐδαιμονίᾳ ὄντα παρέχεις, διανύξαι τὸν βίον. καὶ τὸν ἐμὸν δὲ ὕμνον, εἰς ἄνθος, καὶ τὸν καρπὸν εἰς δόξαν ἔπαιρε.

Τέλος τοῦ ἕκτου τῶν Ὀλυμπίων εἴδους.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ ἕκτον τῶν Ὀλυμπίων εἶδος.

Χρυσέας ὑποστάσαντες.] τὸν λόγον ποιεῖται ἐκ μεταφορᾶς τῶν οἰκίας μεγαλοπρεπεῖς κατασκευαζόντων. ὥσπερ γὰρ ἐκεῖνοι εἰς τὰ πρόθυρα κίονας μεγάλας ὑποβάλλουσιν, οὕτω καὶ οὗτος, ὥσπερ εἰ μέγαρον, κατασκευάζων τὸν ὅλον ὕμνον, χρυσέας κίονας ἐν τοῖς προθύροις, ἤτοι τοῦ προοιμίου ὑφίστησι. κίονας δὲ χρυσοῦς ἐνταῦθα νόει, τὴν τοῦ προοιμίου καλλίστην καὶ μεγαλοπρεπεστάτην ἀρχήν. πήξομεν, καὶ κατασκευάσομεν τὸν ὕμνον οὕτως. ὥσπερ ὅτε πηγνύομεν θαυμαστὸν καὶ θαυμαστὸν μέγαρον καὶ οἶκον. ὑποστήσαντες καὶ ὑποβάλλοντες τῷ εὐτυχεῖ προθύρῳ τοῦ θαλάμου χρυσέας καὶ λαμπρὰς κίονας. ὥσπερ ὅτε θαυμαστὸν μέγαρον πήγνυμεν εὔκτιστον ποιοῦμεν τὸ πρόθυρον αὐτοῦ, λαμπρὰς κίονας ὑποτιθέντες αὐτῷ, οὕτω θαυμαστὸν ὕμνον μέλλοντες συντιθέναι, λαμπρὰ πρότερον τὰ τούτου προοίμια ποιήσαντες, οὕτω συνθῶμεν αὐτόν. ἀρχομένου γὰρ ἔργου, λαμπροῦ δηλονότι, χρὴ ποιῆσαι πρόσωπον, ἤγουν ἀρχὴν, τηλαυγῆ. τουτέστι λαμπράν. εἰ δ'
7 εἴη μὲν τις Ὀλυμπιονίκης τῷ βωμῷ τε τοῦ Διὸς τῷ μαντικῷ τῷ ἐν τῇ Πίσῃ [Ταμίας·] ἤγουν ἱερεύς. συνοικιστής τε τῶν ἐνδόξων Συρακουσῶν. ταῦτα δὲ τοῦ Ἀγησίου εἰσὶ πλεονεκτήματα. οὐκ αὐτὸς δὲ συνῴκισε τὰς Συρακούσας, ἀλλ' οἱ πατέρες αὐτοῦ. ὧν τὸ ἔργον ἐπὶ τῷ παιδὶ αὐτῶν τίθησιν
9 οἰκείως. [Τίνα † κεν φύγοι ὕμνον.] ἀντὶ τοῦ τίνι ἂν ὕμνῳ ἀνοίκειος γένοιτο ἐκεῖνος ὁ ἀνὴρ ἐν ᾠδαῖς ἐπιθυμηταῖς ἐπικύρσας· ἤγουν ἐπιτυχὼν πολιτῶν οὐ φθονούντων. [Βωμῷ τε μαντείῳ.] τοῦτο λέγει διὰ τὸν Ἀγησίαν. ἦν γὰρ καὶ Ὀλυμπιονίκης, καὶ τοῦ ἐν Ὀλυμπίᾳ βωμοῦ ἱερεύς. ἢ διοικητὴς καὶ ἐορταστής. καὶ οἱ αὐτοῦ πρόγονοι, συνῴκισαν τὴν Συρακουσίων πόλιν. τὸ, μαντείῳ δὲ λέγει, διότι ἐνταῦθα οἱ Ἰαμίδαι ἐμαν-
12 τεύοντο. ὡς καὶ αὐτὸς προϊὼν ἐρεῖ. [Ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ.] γινωσκέτω δὴ ὁ υἱὸς τοῦ Σωστράτου ὁ Ἀγησίας τούτῳ τῷ ὑποδήματι, ἀντὶ τοῦ τούτῳ τῷ ὕμνῳ. τουτέστι τῷ τῆς νίκης τῶν Ὀλυμπίων καὶ τῷ τῆς ἱερατείας, καὶ τῷ τῆς * συνοικήσεως τῶν Συρακουσῶν, δαιμόνιον πόδ' ἔχων. ἀντὶ τοῦ δαιμονίως αὐ-
14 τὸς ἁρμόζων. τουτέστιν, ὡς ἀπὸ μοίρας δαίμονος. [Ἀκίνδυνοι δ' ἀρεταί.] αἱ ἀρεταὶ δὲ, αἱ χωρὶς κινδύνων, οὔτε παρ' ἀνδράσιν, οὔτ' ἐν ναυσὶ κοίλαις. τουτέστιν, οὔτ' ἐν γῇ οὔτε ἐν θαλάσσῃ, εἰσὶ τίμιαι. ἤγουν ἐπαινεταί. κυβερνήτης γὰρ ἄριστος ἐν κλύδωνι δείκνυται. καὶ ἀγωνιστὴς κρατερὸς, ἰσχυρὸν ἀνταγωνιστὴν ἔχων. εἴ τι δὲ καλὸν σὺν πόνῳ κατορθωθῇ, πολλοὶ τούτου μέμνηνται. Ὁ μετὰ πόνου καὶ κινδύνου τὴν ἀρε-

† MSS. α. & Bodl. leg. κε.

* MS. Bodl. leg. συνοικίσεως.

τὴν κατορθώσας, πλείστου ἄξιος, διὰ τὸ προηγήσασθαι πό-
νον τῆς αὐτοῦ ἀρετῆς. ὁ δὲ ἁπλῶς οὕτως εὐτυχῶν, οὐκ ἐπαι-
νετός. τύχης γὰρ εὐμένεια κάλλιστος εἶναι δοκεῖ. χρὴ οὖν καὶ
τοὺς ἐν ἠπείρῳ, καὶ τοὺς θαλαττεύοντας, κατὰ σκοπὸν αὐτοῖς
χωρεῖν τὰ πράγματα, τοῦ σκοπεῖν· ἀλλὰ καὶ ἀγῶνας κα-
τορθοῦν ἐθέλειν. τοῦτο δὲ λέγει παραμυθούμενος Αγησίαν. ὡς
17 μετὰ πόνου νικήσαντα. [Επιπονηθῇ.] ἤγουν διὰ πόνου τινὶ γίνη-
ται. ὁ γὰρ συμβὰς αὐτῷ πόνος, οὐκ ἐᾷ λήθῃ καλακαυχή-
18 σασθαι. [Ω Αγησία.] πρὸς σὲ δέ ἐστιν ὁ ἔπαινος ἕτοιμος·
ἤγουν πρόχειρος. οὐ σὺν πόνῳ εὑρισκόμενος. ἅτε δηλονότι
ὑφ' ἑτέρου προειρημένος. ὃν δικαίως ἐφθέγξατο ποτὲ ὁ Αδρα-
στος διὰ γλώττης εἰς τὸν μάντιν τὸν Αμφιάρεων, τὸν υἱὸν τοῦ
Οἰκλέους. ἡνίκα κατέσχεν ἡ γῆ αὐτόν τε νιν. ἤγουν καὶ αὐ-
τὸν ἐκεῖνον, καὶ τὰς ἵππους αὐτοῦ τὰς φαιδίμας. τουτέστι,
τὰς λαμπρὰς, τὰς περιφανεῖς. τῶν νεκρῶν γὰρ δὴ τῶν ἑπτὰ
πυρκαϊῶν τελεσθέντων, ἤγουν συναχθέντων καὶ ἀποκαλασάντων
ἐπὶ τῷ δοθήσεσθαι τῇ πυρᾷ. ἑπτὰ γὰρ ταγμάτων ὄντων,
ἑκάστου τάγματος οἱ πεσόντες, εἰς ἰδίαν πυρκαϊὰν συνε-
λέγοντο, εἶπεν ἐν ταῖς Θήβαις ὁ υἱὸς τοῦ Ταλαοῦ ὁ Αδραστος,
τοιοῦτόν τι ἔπος. ποθῶ ἰδεῖν δηλονότι τὸν ὀφθαλμὸν τῆς ἐμῆς
στρατιᾶς. ἀντὶ τοῦ τὸν περιφανέστατον καὶ ἐξαίρετον· τουτέστι τὸν
Αμφιάρεων. ἀμφότερον, ἐπιῤῥηματικῶς· ἀντὶ τοῦ κατ' ἀμφό-
τερα. μάντιν τε ἀγαθὸν ὄντα. ἤγουν ἀγαθὸν τὴν μαντικὴν,
καὶ δουρὶ μάρνασθαι· τουτέστι, καὶ ἀγαθὸν κατὰ τὴν ἐν πολέμῳ
22 μάχην. [Εμαρψεν.] ἤγουν κατεκάλυψεν σχισθεῖσα ἐν τῷ Ορ-
ωπῷ τῆς Βοιωτίας. ἔνθα καὶ μαντεῖον αὐτοῦ ἐστιν. δέον ἑπτὰ
πυρῶν νεκρῶν τελεσθεισῶν εἰπεῖν· τελεσθέντων εἶπε πρὸς τὸ
νεκρῶν, οὕτω. τελεσθέντων δὲ νεκρῶν ἑπτὰ πυρῶν, ἀντὶ τοῦ
νεκρῶν γεγονότων ἑπτὰ καύσεων. ἑπτὰ δὲ καύσεις λέγει,
ἐπειδὴ καὶ τὰ τάγματα παντὸς τοῦ Αργείου ἑπτὰ ἦσαν, ὥστε
οἱ ἐν ἑνὶ ἑκάστῳ ἀποθανόντες, πυρᾷ ὑπεβλήθησαν πεπαυ-
μένου τοῦ πολέμου. καὶ ὑποσπόνδους τῶν Αργείων τοὺς αὐτῶν νε-
κροὺς εἰληφότων. οὕτω γὰρ ἦν ἔθος. ὥστε μὴ νόει τὸ νεκρῶν,
περὶ τῶν στρατηγῶν. ἀμήχανον γάρ. ἐπεὶ Αδραστος μὲν, ζῶν
ἐξεκεχωρήκει πρὸς Αργος. Αμφιάρεως δὲ ζῶν ὑπὸ γῆς κα-
τεπόθη. Πολυνίκης δὲ μετὰ Ετεοκλέους ἐντὸς Θηβῶν ἤχθη.
οἱ δὲ καυθέντες τῶν στρατηγῶν, τέσσαρες ἦσαν. τὸ δὲ Θήβαις
πρὸς τὸ τελεσθέντων συναπτέον. Από τοῦ Ταλαὸς, Ταλαί-
ων, ἀπὸ τούτου Ταλαϊωνίδης. ὡς ἀπὸ τοῦ Ιαπετὸς, Ιαπε-
τίων, εἶτα ἀπὸ τούτου Ιαπετιωνίδης. Ωσπερ ἐν τῷ Ιέρωνος
Ολυμπιονίκῃ ἔφαμεν τὸ ἀμφότερα. ἐν τῷ Πέποιθα δὲ Μήτινα
27 ξένον, οὕτω καὶ τοῦτο. [Αμφότερον] εἰ μὲν οὐδετέρως τοῦτο
δέχοιτό τις, παρακινδυνεύει. οὐ γὰρ ἑνικῶς δύναται λέγεσθαι
τὰ ἀμφότερα. εἰ δ' ἀρσενικῶς, κατ' αἰτιατικὴν, ἀντὶ τοῦ
ἀμφοτεροδέξιον, ἔξω τῆς γνώμης τοξεύει τῶν χρησαμένων αὐ-
τῷ. ἐπὶ γὰρ τούτου τοῦ σημαινομένου, καὶ μετ' εὐθείας ἐστὶν ὅτε
λέγουσιν αὐτὸ, ὡς ἐν τούτοις. Αμφότερον, πολιός τε νόον,
πολιός τε κάρηνον. δοκεῖ δὴ ἐπιῤῥηματικῶς μᾶλλον λέγε-
σθαι, ἀντὶ τοῦ κατ' ἀμφότερα. οὕτω γὰρ καὶ τὴν ἔννοιαν σώζει,
καὶ τὸ παρακινδύνευμα λύει, καὶ τῇ χρήσει οἰκείως ἔχει.
29 [Τὸ καὶ ἀνδρί.] τοῦτο τὸ πρὸς Αμφιάρεων ῥηθὲν, ἁρμό-
ζει καὶ τῷ Αγησίᾳ. καὶ γὰρ καὶ αὐτὸς ἀμφότερά ἐστι, καὶ ἀν-
δρεῖος, καὶ ἐκ μάντεων καταγόμενος. [Τὸ καὶ ἀνδρί.] τοῦ-
το τὸ ἐπὶ Αμφιάρεῳ δηλονότι ῥηθὲν ἔπος πάρεστι νῦν, ἀν-
τὶ τοῦ ἁρμόζει καὶ τῷ ἀνδρὶ τῷ Συρακουσίῳ τῷ δεσπότῃ τοῦ
33 μετὰ χορείας ὕμνου· ἤγουν τῷ Αγησίᾳ. [Οὔτε δύσηρις τις
ὤν.] τουτέστιν ἄγαν σκληρὸς εἰς ἔριν, οὔτε φιλόνεικος. καὶ
μέγαν ὅρκον ὀμόσας, τοῦτο τὸ ἔπος· ἤγουν τοῦτον τὸν ἔπαινον
ἀληθῶς αὐτῷ τῷ Αγησίᾳ, δηλονότι μαρτυρήσω. αἱ γλυκύφωνοι
δὲ ᾠδαὶ, ἐπ' ἐμοὶ τοῦτο δώσουσιν· ἤγουν οὐκ ἀντιτάξονται,
37 συνδραμοῦνται τῇ μαρτυρίᾳ. [Αλλ' ὦ Φίντις.] ἤγουν ἡνίοχε·
πρὸς τὸν ἑαυτοῦ δὲ λέγει νῦν. ζεῦξον ἤδη ἐμοί. ἤγουν ἀπὸ
τοῦ νῦν τὸ σθένος τῶν ἡμιόνων, τουτέστι τὴν δύναμιν τοῦ λόγου
τοῦ περὶ τῶν ἡμιόνων τοῦ Αγησίου καθ' ὅσον τάχος. ὅπως ἐν

ὁδῷ καθαρᾷ, τουτέστι δικαίᾳ, ἀναβιβάσωμεν τὸν † ὄκχον, ἤγουν
τὸ ὄχημα. ἀντὶ τοῦ τὸν ὕμνον τὸν ἐπὶ τῷ ὀχήματι. [Ικω- 40
μαί τε.] ἀφίκωμαί τε καὶ πρὸς τὸ γένος τῶν ἀνδρῶν, ἤγουν
πρὸς τὸν Ιαμον. κεῖναι γάρ· ἤγουν αἱ ἡμίονοι τοῦ Αγησίου, μό-
ναι δηλονότι ἐξ ἁπάντων τῶν ἄλλων ἵππων, ἐπὶ τὸ ἰδεῖν
ταύτην. ἤγουν τὸ πρὸς τὸ γένος τοῦ Αγησίου ἐπίστανται ἡγεμο-
νεῦσαι· ἤγουν ὁδηγῆσαι, προοδοποιῆσαι. ἐπεὶ στεφάνους ἐ-
δέξαντο· ἤγουν ἐστεφανώθησαν ἐν τῇ Ολυμπίᾳ. χρὴ τοίνυν
ἀναπιτνάμεν· ἤγουν ἀναπεταννύειν, ἀνοίγειν. χάειν αἱ-
τῶν ἡμιόνων δηλονότι, τὰς πύλας τῶν ὕμνων. ἀντὶ τοῦ
χρὴ ὑμνεῖν αὐτάς. ἀπὸ τοῦ πιτνῶ τὸ πίπτω, καὶ τῆς ἀνὰ
προθέσεως, ἀναπιτνῶ. ἀφ' οὗ ἀναπιτνᾶν καὶ Δωρικῶς ἀνα-
πιτνάμεναι. καὶ ἀναπιτνάμεν· ἀντὶ τοῦ ἄνω κεῖσθαι ποιεῖν.
ἤγουν ἀνοίγειν, ἀναπετᾶν. ἀποβάλλει δὲ τὸ προσγεγραμμέ-
νον ι. καὶ συστέλλεται κατὰ τὴν ἀκολουθίαν τοῦ ἔμμεναι, δό-
μεναι, θέμεναι. Ιστορία. [Πρὸς Πιτάναν δέ.] Εὐρώτου τοῦ 46
Λακωνικοῦ ποταμοῦ θυγάτηρ γέγονε Πιτάνα. αὕτη ὑπὸ Πο-
σειδῶνος ‡ ἔσκυος γενομένη καὶ τῷ δοκεῖν εἶναι παρθένος
λανθάνουσα, ὅτε καιρὸς ἧκε τοῦ τοκετοῦ, γεννήσασα τὴν Εὐ-
άδνην, δέδωκε ταῖς ἀμφιπόλοις λάθρα πρὸς Αἴπυτον Αρ-
κάδων βασιλέα ἀγαγεῖν τὸ βρέφος. ἄλλοι δέ φασι καὶ ἀλη-
θῆ λέγοντες. ὡς ἡνίκα τοῦτο ἐγέννησε, διὰ τῶν θεραπαι-
νίδων εἰς ἐρημίαν ἐξέθηκεν· ὅθεν ἀνελόμενος Αἴπυτος
ἔθρεψεν. ὃ καὶ Πίνδαρος εἰδὼς, ἐπειδὴ ἐγκώμιον Αγησίου
ποιεῖται, ἀντὶ τοῦ εἰπεῖν ἐκθεῖναι αὐτὴν τὸ βρέφος, ἐκπέμψαι
πρὸς Αἴπυτον λέγει. ἀτιμίαν γὰρ Αγησίου εἶχεν ἄν. Πρὸς
τὴν Πιτάνην δὲ τὴν τοῦ ὀνόματος αὐτῆς μεταδοῦσαν τῇ
πόλει τῇ παρὰ τὸ ῥεῦμα τοῦ Εὐρώτα τοῦ ποταμοῦ, δεῖ σή-
μερον ἀπελθεῖν ἐγκαίρως. ἥτις τῷ Ποσειδῶνι μιγεῖσα τῷ
υἱῷ τοῦ Κρόνου, λέγεται τεκεῖν αὐτῷ θυγατέρα μελανοπλό-
καμον τὴν Εὐάδνην. [Κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις.] 51
ἤγουν συνέλαβε δὲ ἐν τοῖς μυχοῖς τῆς γαστρὸς ἐγκυμόνησιν·
σύλληψιν παρθενικήν. ἀσάφειαν τινὰ ἔχει ὁ λόγος. ταύ-
της δὲ αἰτία ἡ διάλυσίς ἐστιν. εἰ γὰρ συνημμένος ὁ λόγος
ἐλέγετο, ἦν ἂν σαφὴς ἔχων οὕτως. ἥ τις τῷ Ποσειδῶνι μιγεῖ-
σα τῷ υἱῷ τοῦ Κρόνου, λέγεται συλλαβοῦσα ἐν τοῖς μυχοῖς
τῆς γαστρὸς σύλληψιν παρθενικὴν, τεκεῖν αὐτῷ θυγατέρα με-
λανοπλόκαμον, τὴν Εὐάδνην. κατὰ τὸν μῆνα δὲ τὸν ὡρισμέ-
νον τοῦ τόκου, ἤγουν αὐτίκα δὲ καθ' ὃν μῆνα ἔτεκεν αὐ-
τὴν, πέμπουσα ἀμφιπόλους, ἀντὶ τοῦ προσπόλους, ἤγουν δού-
λους, ἐκέλευσεν αὐτοῖς δηλονότι δοῦναι τὸ βρέφος τῷ ἥρωϊ
τῷ Εἰλατίδῃ, ἤγουν τῷ Αἰπύτῳ, τῷ υἱῷ τοῦ Ελάτου πορ-
σαίνειν· ἤγουν ἀνατρέφειν, αὔξειν. ἀπὸ τοῦ πόῤῥω πόρσω. καὶ
ἀπὸ τούτου πορσαίνω. τὸ εἰς προκοπὴν ἄγω. καὶ πόῤῥω ποιῶ
ἐκείνου ἐφ' ᾧ ἐστιν. Τοῦτο διπλῶς νόει. ἔκρυψε δὲ ἡ Πιτά-
νη ἐν τοῖς κόλποις τὴν παρθενίαν καὶ παρθενικὴν ὠδῖνα.
ἤγουν, ἣν συνέλαβεν ὠδῖνα ἔκρυψε, παρθένος εἶναι δοκοῦσα.
ἢ οὕτως. ἔκρυψε δ' ἐν τοῖς κόλποις τὴν ὠδῖνα τῆς παρ-
θενίας. τουτέστι, τὴν κρυφίως γενομένην. παρθένιοι γὰρ λέγον-
ται παῖδες, οἱ λάθρα τικτόμενοι. παρὰ τῶν ἔτι νομιζομέ-
νων εἶναι παρθένων. οὕτω πως καὶ Ομηρός φησι. Τῆς δ' ἑτέρης
Εὔδωρος Αρήϊος ἡγεμόνευε Παρθένιος. ἐμοὶ δὲ δοκεῖ κάλ-
λιον παρθενίᾳ γράφειν. ἵν' εἴη σαφὴς ὁ λόγος, οὕτως. ἔκρυ-
ψε δὲ τὴν ἐν τοῖς κόλποις ὠδῖνα, ἐν τῇ παρθενίᾳ. ἐν
τῷ δοκεῖν ἔτι παρθένος εἶναι. εἰ δ' ἐπ' εὐθείας τὸ παρ-
θενία θήσεις λέγων, ἔκρυψε δὲ ἡ παρθενία τὴν ἐν τοῖς κόλ-
ποις ὠδῖνα, οὐ μόνον σαφέστερος ἂν εἴη ὁ λόγος, ἀλλὰ καὶ
κατὰ σύνταξιν ἀρίστως ἔχων. οἱ δὲ γράφοντες τὸ ψαι δίφθογγον
ἵνα πρὸς τὸ λέγεται συντάξωσιν, ἀγνοοῦσι τὰ μέτρα. πάν-
τες μὲν οἱ ὑπομνηματισταὶ, τῆς Αρκαδίας εἶναι πόλιν τὴν Φαισά-
ναν διεδέξαντο. ὁ δὲ Δίδυμος τῆς Ηλιδος αὐτὴν εἶναί φησι.
καὶ ὑπεραπολογεῖται τοῦ ῥητοῦ οὕτως. ὅτι ποτὲ οἱ Αρκάδες καὶ
τῆς Ηλιδος ἐβασίλευον, κατὰ τὸν χρόνον τοῦ Αἰπύτου. οἱ δὲ βου-
λόμενοι τὴν Φαισάναν Αρκαδικὴν εἶναι, τὸ περὶ Αλφεῷ οὕτως

† Quædam Editt. leg. ὄγκον. ‡ Eædem leg. ἴσχυος sed male.

ἀποδι-

ἀπεδίδοσαν. ὅτι διὰ Φαισάνης ἔχει ὁ ποταμὸς τὰ ῥεύματα.
φέρεται γὰρ ἐξ Ἀσίας κώμης Ἀρκαδικῆς, ἢ ὅτι αἱ πηγαὶ τοῦ Αλ-
φειοῦ ἐξ Ἀσέως, τῆς Ἀρκαδικῆς εἰσί. καὶ μεταποιοῦνται αὐτῇ οἱ
55 Ἀρκάδες. [Ος ἀνδρῶν Ἀρκάδων.] ὅστις, ἤγουν ὁ Αἴπυτος,
ἀνδρῶν Ἀρκάδων ἐβασίλευε κατὰ τὴν πόλιν τὴν Φαισάναν. ἔλαχέ τε,
ἤγουν ἐκληρώθη οἰκεῖν τὸν Ἀλφειόν. ἀπὸ τῆς Φαισάνης γὰρ καταῤ-
ῥεῖ ὁ Ἀλφειός. καταντᾷ δὲ εἰς τὴν Ἦλιν. τὸ δὲ μέσον αὐτοῦ κατὰ
τὴν Ἐπίδαυρον, ἔνθα * ἀναβαφεῖσα αὐτή, δηλονότι ἡ Εὐ-
άδνη, ὑπ' Ἀπόλλωνος πρῶτον ἔψαυσεν Ἀφροδίτης γλυκεί-
ας· ἀντὶ τοῦ ἱμερτῆς. κλέπτουσα δὲ, ἤγουν πειρωμένη λαθεῖν
ἐγκυμονοῦσα τὸν γόνον, τουτέστι τὸ σπέρμα τοῦ θεοῦ, ἤτοι τοῦ Ἀπόλ-
λωνος, οὐκ ἔλαθε τὸν Αἴπυτον ἐν παντὶ χρόνῳ· ἤγουν διὰ παν-
61 τός. [Αλλ' ὁ μὲν Πυθῶνα δέ.] ἀλλ' ὁ μὲν γνοὺς, θυμὸν οὐ φα-
τὸν, ἤγουν ἄῤῥητον, μέγαν ἐν τῇ ψυχῇ καταχὼν σὺν φροντί-
δι ὀξείᾳ, τουτέστιν ἐπιτεταμένῃ, ἀπὸ μεταφορᾶς τῶν ὀξέων
βελῶν, τῶν βλάπτειν μάλιστα δυναμένων, ἀφανὴς ἐγένετο. ἀπερ-
χόμενος Πυθῶνα δέ· ἤγουν εἰς τὴν Πυθῶνα, μαντευσόμενος
περὶ ταύτης τῆς ἀφορήτου βλάβης· τουτέστι, τῆς κρυφίου διακορήσε-
ως. ἡ δὲ, ἤγουν ἡ Εὐάδνη καταθεῖσα τὴν ζώνην αὐτῆς τὴν
φοινικόκροκον. ἤγουν τὴν κρόκῳ βεβαμμένην, καὶ τὴν κάλπιδα
τὴν ἀπὸ ἀργύρου κατεσκευασμένην. ἔστι δὲ ἡ κάλπις, ἀγγεῖόν τι
69 ὑδροδόχον. [Λόχμας ὑπὸ κυανέας·] ἤγουν ὑποκάτω δέν-
δρων σκιᾶς βαθείας ποιητικῶν, διὰ τὴν πυκνότητα, ἔτεκεν υἱὸν
θεόφρονα· ἤγουν ἐνθέου φρονήσεως δεκτικόν. τοῦτο δέ φησι, διὰ
τὴν ὕστερον ἠσκημένην αὐτῷ μαντικήν. [Κυανέας.] ἢ τὰς σκιώ-
δεις διὰ τὸ δάσος, ἢ ὅτι τὰ ἴα τοιαύτην ἔχει τὴν χροιάν. θεό-
φρονα δὲ λέγει τὸν Ἴαμον, ὡς γινώσκοντα τὰ πάντα διὰ τῆς
μαντικῆς· ὥσπερ οἱ θεοί. παρέστησεν αὐτῇ φησὶ καὶ τὰς † μετὰ τῆς
Εἰλειθυίας· ἵνα τὰ κάλλιστα τῷ παιδὶ ἐπικλώσωσι. τοῦτο δὲ
71 ἐποίει σεμνύνων τὰς αὐτοῦ γονάς. [Τῇ μέν.] ταύτῃ μὲν τικτού-
σῃ ὁ Ἀπόλλων ὁ χρυσῆν ἔχων κόμην, παρέστησεν Ἐλευθώ,
ἤγουν Εἰλείθυιαν. ἔφορον δηλονότι θεὰν τῶν τόκων. [Πραΰμη-
τιν·] ἤγουν πραεῖα. φίλα φρονοῦσαν αὐτῇ. καὶ τὰς μοίρας συμ-
παρέστησεν. ἵν' εὐδαίμων δηλονότι εἴη ὁ παῖς. ἦλθε δὲ ὁ Ἰα-
μος εἰς φῶς αὐτίκα ἐκ τῆς ἐπεράστου ἐντὸς τῶν σπλάγχνων ἐγ-
κυμονήσεως, τὴν μὲν κνιζομένην ἀντὶ τοῦ λυπουμένην, ἀλγοῦσαν, κα-
ταλιμπάνειν ἐν γῇ. δύο δὲ δράκοντες γλαυκῶπες, ἤγουν λαμ-
προὺς καὶ στίλβοντας ἔχοντες τοὺς ὀφθαλμοὺς, κατὰ βούλησιν θεῶν
ἐθρέψαντο αὐτόν. κηδόμενοι, ἤγουν ἐπιμελούμενοι. δι' ἰοῦ με-
λισσῶν ἀμεμφοῦς· τουτέστιν οὐ μέμψεως ἀξίου, ἀλλὰ ἐπαίνου δη-
λονότι· ἤτοι διὰ μέλιτος. ὁ βασιλεὺς δὲ ὁ Αἴπυτος δη-
λονότι, ἐπεὶ ἀφίκετο ἐκ τῆς Πυθῶνος τῆς πετραέσσης· ἤγουν τῆς
πετρώδους, τῆς τραχείας, ἐλαύνων, ‡ τοὺς ἵππους δηλονότι, ἅπαν-
τας τοὺς ἐν τῷ οἴκῳ ἠρώτα διὰ τὸν παῖδα ὃν ἡ Εὐάδνη ἔτεκε. τοῦ
Φοίβου γὰρ πατρὸς ἔφη αὐτὸν γεγονέναι, υἱὸν δηλονότι. μάντιν δὲ
ἔσεσθαι τοῖς ἀνθρώποις ἔξοχον περισσῶς πάντων τῶν ἀνθρώ-
πων· ἤγουν ὑπὲρ πάντας ἀνθρώπους. οὐδέποτε ἐκλείψειν· ἤγουν
73 σβεσθήσεσθαι, ἐκποδὼν γενήσεσθαι τὴν γενεὰν αὐτοῦ. [Υπὸ σπλάγχνων·]
ἤγουν ἐν τῇ νηδύϊ· ἐν τούτῳ γὰρ τῷ τῆς γαστρὸς μέρει ἐστὶ τὸ ἔμβρυον.
74 ἢ τὸ σπλάγχνων· ἀντὶ τοῦ γαστρὸς ἁπλῶς. [Ωδῖνος ἐρατῆς,] ἤτοι
γέννας τῆς ἐπιθυμητῆς. ἢ διότι θεοῦ παῖδα ἐγέννα, ἢ ὅτι πᾶσαι
ἐπιθυμοῦσι τεκεῖν, καὶ τῶν ἐντεῦθεν ἀπαλλάχθαι κακῶν. εἰ-
κότως εἶπε τὸ ἀμεμφεῖ ἰῷ μελισσᾶν. ὁ γὰρ τῶν ὄφεων ἰὸς,
μεμπτὸς διὰ τὸ φθορὰν ἐργάζεσθαι. Μὴ λάβῃς εἰς τὸ παῖδα,
ἔξωθεν τὸ διά. ἀλλ' ὥσπερ φαμὲν στεροῦμαί σε πλοῦτον· καὶ ἀφαι-
ροῦμαί σε οἰκίαν, καὶ ὑβρίζω σε ὕβριν· οὕτω καὶ ἔρομαί σε λό-
γον. Εὐριπίδης· Α γ' ἤν σ' ἔρομαι δύο λόγω. τὸ δὲ εὔχοντο,
ἀντὶ τοῦ διεβεβαιοῦντο. ἐπεὶ καὶ ὁ καυχώμενος διαβεβαιοῦται τοῦ-
το ὃ καυχᾶται. ἢ εὔχοντο, ἀντὶ τοῦ, μετὰ τῆς πρὸς θεοὺς εὐχῆς
διεβεβαιοῦντο. τὸ δὲ πεμπταῖον γεγενημένον, ἀντὶ τοῦ πέντε ἡμέ-
ρας ἔχον μετὰ τὸ γεννηθῆναι. ἔστι δὲ ἀπὸ τοῦ ποιητοῦ, λέγοντος.
πέντε τοῦτον ἡμέρας ἔχοντα μετὰ τὸ γεννηθῆναι, ἐκεῖνοι οὔτε
ἀκοῦσαι οὔτε ἰδεῖν διεβεβαιοῦντο. τὸ σχοίνῳ ἐνταῦθα καὶ τὸ βατίᾳ,
καταχρηστικῶς εἶπε. σχοῖνος γὰρ τὸ λεγόμενον ἰδιωτικῶς βροῦλον·
καὶ ἡ τούτων συναγωγή. ἐνταῦθα δὲ τῷ σχοίνῳ καὶ βατίᾳ, ἀντὶ
τοῦ δάσει νόει. ἢ διότι ἐν τοῖς βάτοις τὰ ῥόδα καὶ τὰ ἴα εὑρί-
σκεται καὶ ἐν τοῖς σχοίνοις. δέον δὲ ἁβρῶς εἰπεῖν, ἤτοι δαψι-
λῶς βεβρεγμένος. ἁβρὸν εἶπε πρὸς τὸ σῶμα. [Ως ἄρα μά- 87
νυεν.] οὕτως ἄρα ἐδήλου. οἱ δὲ, ἤγουν οἱ ἐν τῷ οἴκῳ. οὔτ' οὖν
ἀκοῦσαι, οὔτε ἰδεῖν τοῦτον εὔχοντο· ἤγουν ἠρνοῦντο μετὰ καταρῶν. καὶ
ταῦτα πεμπταῖον, ἤγουν πέντε ἡμερῶν γεγενημένον, τουτέστιν
ὄντα. ἀλλ' ἐγκέκρυπτο γάρ. ὁ ἀλλὰ, ἀντὶ τοῦ καί· ἤγουν καὶ γὰρ ἐκέ-
κρυπτο ἐν σχοίνῳ καὶ ἐν βατίᾳ· ἤγουν βάτῳ ἀπειράτῳ· τουτέστιν
ἀψηλαφήτῳ, ἀψαύστῳ, διὰ τὰς ἀκάνθας. [Ακτῖσιν ἴων·] 91
ἤγουν λαμπρότησι διαυγείαις ξανθαῖς, καὶ καταπολὺ πορφυροῖς.
περιφραστικῶς· ἀντὶ τοῦ ὑπὸ διαυγῶν ἴων ξανθῶν, καὶ καταπολὺ
πορφυρῶν βεβρεγμένος· τουτέστι δεδροσισμένος τὸ τρυφερὸν
σῶμα. διὸ καὶ τοῦτο, ὃ ἐκαλεῖτο δηλονότι, τὸ Ἴαμος (ἀπὸ γὰρ τῶν
ἴων Ἴαμος ἐκλήθη,) διέδωκεν ἡ μήτηρ αὐτοῦ καλεῖσθαι αὐτὸν
κατὰ πάντα τὸν ἑξῆς χρόνον, ἀθάνατον, ἀντὶ τοῦ ἀθανάτως.
[Τερπνοῖς δ' ἐπεί.] ἐπεὶ εἰς τοῦτο ἡλικίας ἦλθεν ὡς γένειον 95
ἀνθῆσαι ξανθόν. τὸ δὲ τερπνοῖς εἶπε, διὰ τὸ τοὺς ἐν τοι-
αύτῃ ἡλικίᾳ ὄντας, ὡραίους φαίνεσθαι. δέον δὲ εἰπεῖν χρυσο-
στέφανον πρὸς τὸ καρπὸν, χρυσοστεφάνοιο εἶπε πρὸς τὸ ἥβης.
Ἐπεὶ δὲ ἔλαβεν ὁ Ἴαμος καρπὸν ἥβης ἡδείας, πάγκαλον περι-
τρεφούσης στέφανον, ἤγουν γένεια. ἃ προέτρεψεν ἡλικίας ἀκμὴ
τερπνή. παγκάλως δι' αὐτῶν στεφανοῦσα. τουτέστιν, ἐπειδὴ εἰς
ἀκμὴν ἡλικίας ἔφθασε τερπνῆς. καὶ γενείοις παγκάλως ἐστεφα-
νώσατο, καταβὰς ἐν τῷ μέσῳ τοῦ Ἀλφειοῦ, ἤγουν κατὰ τὴν Ἐπί-
δαυρον, ἐν μέσῳ γὰρ Ἤλιδος καὶ Ἀρκαδίας ἡ Ἐπίδαυρος, ἐκά-
λεσε τὸν Ποσειδῶνα τὸν ἑαυτοῦ πάππον, τὸν [Εὐρυβίαν·] ἤγουν τὸν κα- 99
ταπολὺ ἰσχυρόν. καὶ τὸν σκοπὸν, ἤτοι τὸν ἔφορον, τὸν ἡγεμόνα τῆς Δή-
λου, τῆς νήσου τῆς θεοδμήτου. τὸν τοξοφόρον, τουτέστι τὸν Ἀπόλλωνα τὸν
πατέρα αὐτοῦ. αἰτῶν αὐτοὺς ἐν νυκτὶ ὑπαίθριος. ἐπιῤῥηματι-
κῶς, ἀντὶ τοῦ ἐν ἀσκέπῳ τόπῳ, τιμήν τινα τῇ ἑαυτοῦ κε-
φαλῇ, περιφραστικῶς, ἀντὶ τοῦ ἑαυτῷ. λαοτρόφον, τουτέστιν ὑπὸ
τοῦ λαοῦ αὐξανομένην. Θεοδμήτας λέγει, ἣν ἔχουσιν οἱ θεοὶ
δόμον, Ἀπόλλων καὶ Ἄρτεμις, ἢ τῆς ὑπὸ θεῶν κατασκευασθεί-
σης. ὕφαλον γὰρ οὖσαν, Ζεὺς ἀνῆκεν εἰς φῶς. Θεόδμητον ἴσως
λέγει αὐτὴν, διὰ τὸ πλανωμένην στῆναι ὑπὸ τῆς γεννήσεως τοῦ
Ἀπόλλωνος. λαοτρόφος ὁ λαὸν τρέφων· λαότροφος δὲ προπαρο-
ξυτόνως, ὁ ὑπὸ λαοῦ τρεφόμενος. [Νυκτὸς ὑπαίθριος] δί- 104
χα τινὸς ἐν τῇ κεφαλῇ καλύμματος. οὕτω γὰρ ἦν ἔθος εὔχε-
σθαι. τὸ νυκτὸς δὲ πρὸς τὸ καταβὰς συνάπτεται. μὴ λάβῃς
δὲ ἔξωθεν ἐπί. ἀλλ' ἔστιν ἡ τοιαύτη γενική, πρὸς τὸ κατα-
βάς. νυκτὸς γὰρ ἦν ἡ τοιαύτη κατάβασις. [Αρτιεπής.] ἡ ἄρτια 105
καὶ ἀληθῆ λέγουσα. ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα τὸ θεῖ-
ον. Τὸ [Πατρία ὄσσα] ἀντὶ εὐθείας ληπτέον. ἵν' ἡ ἀντε- 106
φθέγξατο ἡ πατρικὴ ὄσσα ἡ ἀρτιεπὴς, ἤγουν παραυτίκα τῶν
ἐκείνου λόγων. τὸ δὲ μετάλλασέν τέ μιν διὰ μέσου· ἀντὶ τοῦ
ἠρεύνα, ὅτου χάριν αὐτὸν ἐπεβοήσατο. τὸ δὲ ἀντεφθέγξατο,
πρὸς τὸ ὄρσο ἔχει τὴν δύναμιν, πάγκοινον δὲ τὸν χῶρον διὰ τὴν
ἐν αὐτῷ ὕστερον συμβᾶσαν πανήγυριν τῶν Ὀλυμπίων. Αντε-
φθέγξατο δὲ αὐτῷ χρηματισμὸς πατρικὸς ἀρτιεπής· ἤγουν
ἀληθῆ χρηματίζων. μετάλλασέ τε αὐτόν· ἤτοι ἐζήτησε, του-
τέστι καὶ ἐπεστράφη αὐτοῦ. ἔστι δὲ ὁ λόγος προθύστερος. ὤφειλε
γὰρ οὕτως. ἐζήτησε δὲ αὐτόν· ἤγουν ἐπεστράφη αὐτοῦ * χρησμὸς
τοῦ πατρὸς ἀψευδῆ χρηματίζων. καὶ ἀντεφθέγξατο. ὄρσο τέ-
κνον. ἤγουν διεγέρθητι, κινήθητι ὄπισθεν τῆς φήμης· ἤγουν τοῦ
ἐμοῦ χρηματισμοῦ, τῆς ἐμῆς φωνῆς, ἐλθεῖν ὧδε εἰς τὴν χώραν τὴν
πάγκοινον, ἐσομένην δηλονότι. τίνα δὲ ταύτην τὴν χώραν λέ-
γει, ἐν τῷ ἐπαγομένῳ λόγῳ δείκνυσιν. ἐπάγει γὰρ [Ικοντο 109
δέ.] ἀφίκοντο δὲ ἐπὶ τὴν πέτραν τοῦ Κρονίου λόφου τοῦ ὑψηλοῦ.
Τὴν [Ηλίβατον·] ἤγουν τὴν μετέωρον καὶ ὀρθίαν. τουτέστι τὴν 110
Ὀλυμπίαν. ὅπου παρέσχεν αὐτῷ τῷ Ἰάμῳ, δηλονότι ὁ Ἀπόλ-
λων, θησαυρὸν μαντείας διπλοῦν. τότε μὲν φωνὴν ἀκούειν αὐ-
τοῦ, δηλονότι τοῦ Ἀπόλλωνος. [Ψευδέων ἄγνωστον·] ἤγουν οὐ γι-
νώσκουσαν ψεύδη, ἐνεργητικῶς. εἰ γὰρ ἐπὶ παθητικῆς ἐλέγετο

* Editt. hab. δ'. † Suppl. μοίρας. ‡ MS. Bodl. τάς. * Χρηματισμὸς hab. MSS. nostra.

σημασίας,

σημασίας, δοτικῇ ἂν συνετάττετο. ὅταν δὲ ἐλθὼν ὁ Ηρακλῆς ὁ θρασυμήχανος· ἤγουν ὁ γενναῖα μηχανώμενος. τὸ βλάστημα τὸ σεβάσμιον τοῦ ἀπὸ τοῦ Αλκαίου τοῦ Αμφιτρύωνος, ἑορτήν τε τοῦ πατρὸς αὐτοῦ τοῦ Διὸς κτίσῃ· ἤγουν συστήσῃ. πλειστόμβροτον. ἤγουν, πλείστων ἀνθρώπων συγκροτουμένην, καὶ νόμον μέγιστον ἀγώνων, θείη δηλονότι. Οὐ γὰρ δύναται τὸ κτίσῃ ἀπὸ κοινοῦ λέγεσθαι, συνυπακούεται δὲ τὸ οἰκεῖον κατ' ἀναλογίαν τοῦ προρρηθέντος. [Ακροτάτῳ·] ἀντὶ τοῦ ὑψηλοτάτῳ, τότε δὴ προσέταξε τῷ Ιάμῳ ποιῆσαι χρηστήριον· ἤγουν μαντεῖον. ἀφ' οὗ χρόνου καταπολὺ δεδοξασμένον ἐστὶ κατὰ τοὺς Ελληνας τὸ γένος τῶν Ιαμιδῶν, ἤγουν τῶν ἀπὸ τοῦ Ιάμου καταγομένων, ἀφ' οὗ ἀπὸ κοινοῦ ὄλβος· ἀντὶ
116 τοῦ εὐδαιμονία ἠκολούθησεν, αὐτῷ δηλονότι. [Πατρὸς θ' ἑορτάν.] τὸ τε οὐκ ἔστιν ἀργὸν ὡς οἴονταί τινες. ἀλλὰ τοῦτο λέγει, διὰ τὸ προϋπάρχειν ἐκεῖ Κρόνου ἱερόν. ὅθεν καὶ Κρόνιος λόφος καλεῖται. ἢ διότι ἡ τοῦ Διὸς ἑορτή, καὶ τῶν ἄλλων ἕνδεκα θεῶν ἦν, ὡς ἔφαμεν, τό, Εορταῖς θεῶν μεγίσταις, ἐν τῷ Ψαύμιδος Ολυμπιονίκει. τὸ δὲ κτίσῃ, ἀντὶ τοῦ ποιήσῃ. ὁ γὰρ κτίζων,
119 οἰκίαν ποιεῖ ταύτην. [Χρηστήριον.] ὅτι ἐμαντεύοντο ἐν τῇ Ολυμπίᾳ οἱ Ιαμίδαι, ἢ μηρὸν πιμελῇ κεκαλυμμένον εἰς πῦρ ἐμβάλλοντες, ἢ δορὰν προβάτων σχίζοντες. καὶ ἐκ τῆς σχίσεως, εἰ μὲν εὐθεῖα γένηται, καλὰ ἔσεσθαι τὰ μαντευόμενα· εἰ δὲ λοξή, ἀποτρόπαια. τὸ τιμῶντες, εἰ μὲν μετὰ τοῦ οἱ ἄρθρου εἴποις, καθολικῶς γνωμικὸς ἔσται ὁ λόγος. εἰ δὲ χωρὶς τοῦ ἄρθρου, πρὸς τοὺς Ιαμίδας νοήσεις. καὶ τὸ τεκμαίρει χρῆμ' ἕκα-
122 στον. ἢ δι' αὐτούς· ἢ διὰ πάντας ἐρεῖς. Οἱ [τιμῶντες δέ·] ἀντὶ τοῦ, οἱ ἀσκοῦντες τὰς ἀρετάς, ὥσπερ οὗτοι δηλονότι, εἰς φανερὰν ὁδὸν ἔρχονται· ἤγουν εἰς διάδηλον καὶ φανερὰν πολιτείαν.
123 [Τεκμαίρει χρῆμ' ἕκαστον·] ἤγουν ἕκαστον * ἄνθρωπον ἡ πρᾶξις δεικνύει. ψόγος δὲ † ἐπ' ἄλλων φθονούντων κρέμαται· ἀντὶ τοῦ ἐπιφέρεται τούτοις. ὧν ἐπὶ τὴν ἔνδοξον ὄψιν χάρις, νίκης δηλονότι, αἰδοία· ἤγουν αἰδοῦς ἀξία. στάζει, ἀντὶ τοῦ παραγίνεται. πρῶτον· τουτέστιν ἐξαιρέτως, περὶ δωδέκατον δρόμον ἐλαυνόντων
124 τοὺς ἵππους. [Μῶμος δέ.] τοῦτο λέγει ὑπὲρ τοῦ Αγησίου. ἢ ὡς φθονηθέντος παρά τινων διὰ τὴν κατορθωθεῖσαν αὐτῷ νίκην, ἢ ἁπλῶς τοῦτο λέγων, ὅτι οἱ νικῶντες βασκαίνονται. Πρὸς γὰρ τὸν ἔχοντ' ὁ φθόνος ἕρπει, φησὶ Σοφοκλῆς. τὸ δὲ ποτί, πρὸς τὸ μορφὰν συναπτέον. οὕτως. οἷς πρὸς τὴν μορφὴν τὴν εὐκλέα καὶ ἔνδοξον, στάζει χάρις αἰδοία καὶ σεμνή. τουτέστιν, οἷς διὰ τὴν κατορθωθεῖσαν αὐτοῖς νίκην, μεγάλη τις εὐφροσύνη συμβαίνουσα, χαρίεντα αὐτῶν τὰ πρόσωπα τίθησιν. ἡ γὰρ ἐν τῷ προσώπῳ ἐπιφαινομένη ἡδονή, τεκμήριόν ἐστι τῆς ἐν τῇ ψυχῇ ἡδονῆς. δέον δὲ εἰπεῖν εὐκλεῶς πρὸς τὸ στάζει, εὐκλέα εἶπε πρὸς τὸ μορφάν. τὸ δὲ πρῶτον πρὸς τὸ στάζει συναπτέον. οὕτως.
130 οἷς στάζει πρῶτον χάρις αἰδοία καὶ τὰ ἑξῆς. [Μάτρωες ἄνδρες.] οἱ πρὸς μητρὸς συγγενεῖς σου. ἐνταῦθα γὰρ ἡ σὴ προμήτωρ Εὐάδνη, ὡς ἔφαμεν, ἀνετράφη ὑπὸ τῷ Αἰπύτῳ. [Εἰ δ' ἐτύμως.] εἰ δ' ἀληθῶς, ὦ Αγησία, οἱ ἄνδρες, οἱ σοὶ πρόγονοι πρὸς μητρὸς οἱ οἰκοῦντες ὑποκάτω τοῦ ὄρους τῆς Κυλλήνης. (Αρκὰς γὰρ ἦν πρὸς μητρὸς ὁ Αγησίας.) θυσίαις λιτανευτικαῖς πολλάκις πολλαῖς ἐδώρησαν, ἀντὶ τοῦ ἐδωρήσαντο, ἐδεξιώσαντο, εὐσεβῶς τὸν κήρυκα τῶν θεῶν τὸν Ερμῆν, ὃς τῶν ἀγώνων ἐξουσιάζει, ‡ καὶ μερίδος τῶν βραβείων, καὶ τὴν Αρκαδίαν τε τὴν καλῶς ἔχουσαν ἕνεκα γενναιότητος ἀνδρῶν, τιμᾷ· ἤγουν δοξάζει οἰκῶν ἐν αὐτῇ ἐκεῖνος ὁ Ερμῆς, ὦ παῖ τοῦ Σωστράτου, σὺν τῷ πατρὶ αὐτοῦ τῷ Διῒ τῷ βαρυγδούπῳ. τουτέστι, τῷ τῶν βροντῶν αἰτίῳ τῶν τὸν βαρὺν κτύπον ἐργαζομένων. κραίνει, ἀντὶ τοῦ διοικεῖ τὴν εὐτυχίαν τὴν σήν. δόξαν ἔχω, ἀντὶ τοῦ λόγον φέρω τινὰ ἐπὶ γλώσσῃ· ἤγουν πρόχειρον εἰρῆσθαι ἀπὸ τοῦ νοῦ δηλονότι, ὡς σίδηρον ἀπὸ ἀκόνης λιγυρᾶς· τουτέστιν ὀξέως ποιούσης ἠχεῖν τὰ * ἀκονούμενα. ὅς με ἕλκει ἐθέλοντα ἐπὶ πνοαῖς καλλιρρόοις· ἤγουν ᾠδὰς
136 εὐήχους, τὰς ἀπὸ τῶν ὀργάνων ἀναφερομένας. Τὸ [τιμᾷ] εἰ μὲν γ'. πρόσωπον νοήσεις, οὕτως ἐρεῖς. καὶ τιμᾷ τὴν Αρκαδίαν τὴν εὐάνορα διὰ τὸν νεὼν αὐτοῦ ἐκεῖ εἶναι. εἰ δὲ ἀντὶ τοῦ τιμῇ, τὸ ἔχει ἀπὸ κοινοῦ λάβῃς. οὕτω. καὶ ἔχει τὴν εὐάνορα Αρκαδίαν ἐν τιμῇ· τουτέστιν, ἢ ἐκεῖ κατοικῶν τιμᾶται, ἢ ἐκεῖ κατοικεῖ εἰς ταύτης τιμήν. τὸ ἔχω τινὰ ἐπὶ γλώττῃ δόκησιν ἀκόνας λιγυρᾶς, τοῦτο λέγει· ἀντὶ τοῦ ἐπέρχεταί μοι ἔννοιά τις καὶ λόγος ἡδὺς ὑπὲρ σοῦ. παρακινῶν με λέγειν τοῦτο πρὸς σέ. ὥσπερ γὰρ ἡ ἀκόνη ὀξύνει τὸ παραθηγόμενον, οὕτω καὶ ἡ ἐμὴ μουσικὴ ὥσπερ τις ἀκόνη ἐστὶ πρὸς ἐμέ. ἐπεὶ δὲ διὰ τῆς μουσικῆς ἔψαλλε πάντα τὰ αὐτοῦ ποιήματα, εἰκότως καὶ τὴν νῦν ἐπερχομένην αὐτῷ δόκησιν ὑπὲρ τοῦ Αγησίου εἰπεῖν, τῆς αὐτοῦ μουσικῆς ταύτην εἶναί φησι. τὸ δὲ πνοαῖς αὐλῶν λέγει, διότι καὶ μετὰ μουσικῆς καὶ μετὰ αὐλῶν ᾖδε τοὺς ὕμνους. Στυμφαλίς, ἤγουν Αρκαδική. Στύμφαλος γὰρ πόλις Αρκαδίας. τὸ δὲ εὐανθής, ἀντὶ τοῦ ὡραία. Ιστορία. Η Μετώπη θυγάτηρ ἦν Λάδωνος τοῦ ποταμοῦ. γυνὴ δὲ Ασωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ. ἀφ' οὗ θυγατέρα ἔσχε Θήβην. ἧς ἡ πόλις ἐπώνυμος. Θηβαῖος δὲ ὁ Πίνδαρος. διὸ καὶ τὴν Μετώπην ματρομάτορα καλεῖ. οἱονεὶ μητέρα τῆς μητρὸς αὐτοῦ Θήβης. φασὶ δὲ τὴν Μετώπην, οἱ μὲν λίμνην· οἱ δὲ ποταμόν. [Ματρομάτωρ ἐμά.] ματρομήτωρ ἐστὶν ἐμή. ἀντὶ τοῦ τῆς ἐμῆς 143
πατρίδος. τουτέστι τῶν Θηβῶν μήτηρ ἡ Μετώπη ἡ εὐανθής, ἤγουν ἡ φαιδρά. ἡ τῆς Στυμφαλίδος θυγάτηρ. θυγατέρα δὲ λέγουσι τὴν Μετώπην τῆς Στυμφαλίδος, διὰ τὸ εἶναι τὴν Στυμφαλίδα περιεκτικὴν αὐτῆς. ματρομήτωρ δὲ εἰπών, ἐπάγει ὡς ἑρμηνεύων, ἥτις· ἤγουν ἡ Μετώπη τὴν Θήβαν ἔτεκε τὴν πλήξιππον· ἤγουν τὴν πλήττουσαν τοὺς ἵππους ἐν τοῖς δρόμοις. τουτέστι τὴν ἱππικήν, τὴν πολεμικήν. ταύτης ἐπέρασον ὕδωρ πίομαι· ἀντὶ τοῦ εὐποιΐαν λόγων ἀπὸ ταύτης ποιήσομαι. ποικίλον ὕμνον συντιθεὶς χάειν ἀνδρῶν αἰχμητῶν. τουτέστι πολεμιστῶν. [Οτρυνον, Αἰνέα.] ὦ Αἰνέα, διέγειρον νῦν τοὺς ἑταίρους· ἤγουν τοὺς συγχορευτάς. πρῶτον μὲν ὑμνῆσαι τὴν Ηραν τὴν Παρθενίαν· ἤγουν τὴν ἐν τῷ Παρθενίῳ ὄρει τῆς Αρκαδίας τιμωμένην. ἔπειτά τε γνῶναι· ἀντὶ τοῦ γνώριμον ποιῆσαι κατ' ἀληθῆ λόγον, εἰ φεύγομεν τὴν Βοιωτίαν ὗν. λέγω τὸ ἀρχαῖον ὄνειδος. τουτέστι τὴν παλαιὰν διαβολήν· τὴν ἐπὶ τῇ ἀμουσίᾳ. ὑπάρχεις γὰρ ἄγγελος ὀρθός· ἤγουν κῆρυξ ἀληθὴς τῶν καλλιτείχων Μουσῶν. σκυτάλη. τουτέστι ῥάβδος. [Γλυκὺς κρατήρ·] ἤγουν γλυκὺ ἀγγεῖον. 148
γλυκὺς οἶνος τῶν ᾠδῶν τῶν ἀγαφθέγκτων. τουτέστιν ὧν πολὺ τὸ κλέος. Οὗτος ὁ Αἰνέας, χοροδιδάσκαλος ἦν τοῦ παρὰ Πινδάρου χοροῦ. ᾧτινι πρὸς τὸν δῆμον ἐχρῆτο Πίνδαρος, διδάσκοντι τὰ αὐτοῦ ποιήματα, καὶ μεθ' ἑτέρων ψάλλοντι διὰ τὸ αὐτὸν ἰσχνόφωνον εἶναι, καὶ μὴ δύνασθαι λέγειν ἀξίως. Ιστορία. Υαντες ἔθνος ἀρχαῖον καὶ βάρβαρον, ᾤκησαν ἐν Βοιωτίᾳ. οὓς διὰ πολλὴν προσοῦσαν αὐτοῖς ἀλογίαν, σκώπτοντές τινες καὶ παραφθείροντες τὸ ὄνομα, ἕνα ἕκαστον τούτων ὗν ἔλεγον. καὶ ἐπεκράτησε τοσοῦτον αὕτη ἡ διαφθορά, ὡς ὄνειδος τοῖς Θηβαίοις· τούς τε ἄλλους προφέρειν ταύτην τὴν παροιμίαν, τὸ Βοιωτία ὗς. λέγει οὖν ὁ Πίνδαρος πρὸς τὸν Αἰνέαν, διέγειρον τὸν τὰ ἔπη ᾄδοντα χορόν, ἵνα γνῶσιν ἅπαντες, ὡς οὐ τῇ παροιμίᾳ προσήκομεν τῇ λεγούσῃ, Βοιωτία ὗς. ἀλλ' ἐσμὲν Μουσῶν θρέμματα. Ιστορία. Οτε πρός τινα πόλιν οἱ Λάκωνες στρατηγὸν ἔπεμπον, βουλόμενοι δηλῶσαί τι αὐτῷ τῶν ἀπορρήτων οὐκ ἐπίστευον χάρτῃ. ἀλλὰ τοιοῦτό τι ἐποίουν. τορεύοντες ξύλον στρογγύλον τριῶν ἢ τεσσάρων πήχεων, καὶ τέμνοντες εἰς δύο· τὸ μὲν ἕν, τῷ ἐκπεμπομένῳ στρατηγῷ ἐδίδουν· θάτερον δὲ αὐτοὶ κατεῖχον. ὁπότε δὲ πρὸς αὐτὸν μηνῦσαί τι ἐβούλοντο, περιειλίσσοντες στενὸν ἱμάντα τῷ παρ' αὐτοῖς ξύλῳ, ἔγραφον. εἶτα ἀπολύσαντες τὸν ἱμάντα, τῷ στρατηγῷ αὐτὸν ἔπεμπον. ὁ δὲ ἐνειλίσσων τῷ οἰκείῳ ξύλῳ τοῦτον, ἀνεγίνωσκε τὰ γεγραμμένα πρὸς αὐτόν. λέγει οὖν τὸν Αἰνέαν σκυτάλην Μουσῶν. οἱονεὶ ἄγγελον τῶν αὐτοῦ ἐπῶν πρὸς τοὺς ἄλλους. [Εἶπον δέ.] εἰπὲ δὲ τοῖς ἑταίροις 156
μεμνῆσθαι τῶν Συρακουσῶν τε καὶ τῆς Ορτυγίας. ἥντινα· ἤγουν τὴν Ορτυγίαν, καθαρῷ σκήπτρῳ διοικῶν ὁ Ιέρων, τουτέστιν ἁγνῇ καὶ καθαρᾷ βασιλείᾳ, ἄρτια· ἤγουν ἔγκαιρα, ἀληθῆ βουλευόμενος, ἀμφέπει τουτέστι περιέπει, τιμᾷ τὴν Δήμητραν τὴν φοινικόπεζαν· ἤγουν τὴν ἐρυθροὺς ἔχουσαν πόδας. ἀπὸ μέρους δὲ πᾶσαν ἐρυθρὰν θέλει δηλοῦν. καὶ τῆς θυγατρὸς αὐτῆς τῆς λευκίππου·

* Editt. quædam hab. ἀνθρώπων. † MSS. hab. ἀπ'. ‡ MSS. C. γ. μοίρας ἔχει. * Editt. hab. —ώμενα.

ἤγουν τῆς κόρης τῆς καὶ Περσεφόνης, τὴν ἑορτὴν τιμᾷ δηλονότι. καὶ
τὸ κράτος τοῦ Διὸς τοῦ κατὰ τὴν Αἴτνην τιμωμένου περιφραστικῶς,
ἀντὶ τοῦ καὶ τὸν Δία τὸν κατὰ τὴν Αἴτνην τιμώμενον. λεύκιππον δὲ
λέγει τὴν Περσεφόνην, ἐπεί φασι μετὰ τὴν ἁρπαγὴν, ἣν ἥρπασεν
αὐτὴν ὁ Πλούτων, εὑρεθεῖσαν διὰ λευκοπώλου ἅρματος,
160 ἀνῆχθαι ὑπὸ τῆς μητρὸς εἰς τὸν Ολυμπον. [Λευκίππου τε ἑορτάν.]
τὸ ἀμφέπει ἀπὸ κοινοῦ. ἐν γὰρ τῇ Σικελίᾳ τὰ τῆς Περσεφόνης
ἀνακαλυπτήρια ἐτελεῖτο. λεύκιππον δὲ λέγει τὴν
Περσεφόνην, ἢ διότι ἔθος ἐστὶ τοῖς ποιηταῖς τοιούτοις ἐπιθέτοις
κοσμεῖν τοὺς θεοὺς, ὡς καὶ ἀνωτέρω φοινικόπεζαν εἶπε τὴν Δήμητρα,
ἢ διότι λευκῷ ἅρματι ἐποχουμένη εὑρέθη ὑπὸ τῆς μητρὸς,
ὅτε ἁρπαχθεῖσαν ὑπὸ τοῦ Πλούτωνος ἐζήτει αὐτήν.
162 [Αδύλογοι δέ·] ἤγουν γλυκύφθογγοι. τοῦτο δὲ λέγει, ἢ διότι
μουσικῇ καὶ αὐλοῖς ἔχαιρεν, ὡς καὶ πρότερον ἔφη· Αγλαΐζεται δὲ
καὶ Μουσικῆς ἐν ἀώτῳ, ἢ διότι αὐτὸν ἑκάστοτε ἐπαινεῖ. ἵν᾽ ᾖ αἱ
λύραι αἱ ἐμαί. ἐκ δὲ πάντων τούτων ὧν ἄνω ἔφην, δείκνυσιν
αὐτὸν νομίμως ἄρχοντα, ἄειστα βουλευόμενον, πρὸς θεοὺς εὐσεβέστατον,
καὶ βίον ἔνδοξον ζῶντα. [Αδύλογοι δέ μιν·] ἡδύλογοι δέ μιν λύραι
καὶ μολπαὶ γινώσκουσιν αὐτόν· ἀντὶ τοῦ λύραι δὲ καὶ μολπαὶ δι᾽
ἡδέων λόγων, ὑμνοῦσιν αὐτόν· ἤγουν τὸν
163 Ιέρωνα, διὰ τὰ κατορθώματα αὐτοῦ. Εἴθε [Μὴ θραύσοι·] ἤγουν
μὴ † κοιμίσοι, μὴ ἀφανίσοι ὁ χρόνος ὁ ἐφέρπων, τουτέστιν ὁ ἐπερχόμενος,
τὸν ὄλβον, ἤτοι τὴν εὐδαιμονίαν αὐτοῦ· δηλονότι τοῦ
165 Ιέρωνος. [Σὺν φιλοφροσύναις δέ·] ἤγουν δεξιώσεσιν ἐπεράστοις.
εἴθε δέξαιτο τὸν ὕμνον τοῦ Αγησίου. ὃν ‡ ὑμνεῖται· δηλονότι
ὁ Αγησίας. οἴκοθεν, ἤγουν ἀπὸ τῆς πατρίδος τοῦ Αγησίου. λέγω
ἀπὸ τῶν τειχῶν τῶν Στυμφαλίων· τουτέστι τῶν πόλεων τῶν
ἐν * Στυμφαλίδι, προσερχόμενον οἴκαδε· ἤγουν εἰς τὴν ἑτέραν
αὐτοῦ πατρίδα, ἤτοι τὴν Σικελίαν. Αρκὰς γὰρ καὶ Συρακούσιος
ὁ Αγησίας. λέγω λείποντα τὸν ὕμνον τὴν μητέρα τῆς Αρκαδίας
τῆς καλῶς ἐχούσης ἕνεκα θρεμμάτων. τουτέστι τὴν Στυμφαλίδα.
[Αγαθαὶ δέ] εἰσι δύο ἄγκυραι ἐκ νηὸς ταχείας ἀπεσκίμφθαι· 170
ἤγουν κρέμασθαι· ἐρείδουσαι αὐτήν. τουτέστιν, ἀγαθαὶ δὲ δύο
πατρίδες δεξιοῦσθαι τινὰ, ὥσπερ δύο ἄγκυραι ἀπεσκίμφθαι ἐκ
νηὸς ταχείας. ἀπὸ τοῦ σκίμπτω σκίμποδος, σκίμπτομαι, τὸ στηρίζομαι·
ἀφ᾽ οὗ τὸ ἀπεσκίμφθαι. ὁ θεὸς εἴθε παρέχοι τὴν
μοῖραν τούτων· ἤγουν τῶν Αρκάδων, [Εκείνων τε·] ἤγουν τῶν Συρακουσίων. 174
κλυτήν· τουτέστιν ἐπὶ πολλὰς ἀκοὰς ἐρχομένην μετὰ δόξης.
Τὸ Στυμφαλίων, ἀντὶ τοῦ Αρκαδικῶν. Στύμφαλος γὰρ
πόλις Αρκαδίας. ἔστι δὲ καὶ τὸ οἴκοθεν καὶ τὸ Στυμφαλίων τειχέων.
καὶ τὸ ματέρ᾽ εὐμήλοιο λείποντ᾽ Αρκαδίας, ταυτό. τὸ δὲ
οἴκοθεν οἴκαδε, παροιμία ἐστὶν, ἐπὶ τῶν ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ
ἰόντων. μὴ λάβῃς εἰς τὸ Αρκαδίας ἔξωθεν ἀπό. ἀλλ᾽
ἐστιν ἡ τοιαύτη γενική, πρὸς τὸ μητέρα. ὥσπερ γὰρ φαμὲν ἀνθρώπῳ
Αἰθιοπίας συνέμιξα, ἤγουν Αἰθίοπι, οὕτω καὶ τοῦτο. τὸ
δὲ εὐμήλοιο, ἢ πολυθρέμμονος, ἢ πολυκάρπου ἀπὸ μέρους.
μῆλον γὰρ καὶ ὁ καρπὸς καὶ τὸ πρόβατον. [Δύ᾽ ἄγκυραι.] τοῦτο
εἶπε, διὰ τὸ ἔχειν τὸν Αγησίαν δύο πατρίδας, Αρκαδίαν καὶ
Συράκουσαν. ὥσπερ γὰρ χειμαζομένης νηὸς ἐν νυκτὶ, αἱ δύο
ἄγκυραι ὑφάλου πέτρας ἐχόμεναι σώζουσιν αὐτὴν, καὶ μὴ τοῖς
ἀνέμοις ὑπείκειν ἐργάζονται, τὸν αὐτὸν τρόπον καὶ ὁ δύο πατρίδας
ἔχων ὠφελεῖται. ἀτυχούσης γὰρ τῆς μιᾶς, ἐπὶ τὴν ἑτέραν
ἐλθὼν σώζεται. [Δέσποτα ποντόμεδον.] σὺ δὲ, ὦ δέσποτα 176
† ποντόμεδον· ἤγουν βασιλεῦ τῆς θαλάττης, ἀνὴρ τῆς Αμφιτρίτης
τῆς χρυσηλακάτου. φιλῶν τοῦτον· ἤγουν τὸν Αγησίαν ὡς ἀπόγονον
σὸν, δίδου πλοῦν, ἀντὶ τοῦ ἄπονον ζωὴν δίδου· αὐτῷ
δηλονότι. [Καμάτων·] ἀντὶ τῶν δυστυχιῶν ἐκτὸς ὄντα. τῶν 177
ἐμῶν δὲ ὕμνων τὸ ἄνθος εὐτερπὲς ἄεξε· ‡ ἀντὶ τοῦ * αὔξον,
τερπνὸν ποίει. ἄεξε, αὔξανε· ἤτοι ἡδεῖς τοὺς ὕμνους τοῖς
δεχομένοις καὶ κρείττονας τῶν ἄλλων ποίει.

† Editt. leg. κοιμίσαι, μὴ ἀφανίσῃ. ‡ Editt. hab. ὑμνῆται. * Editt. leg. Στυμφαλίτι. MS. γ. hab. tanquam Scholion ad vocem προσερχόμενον, τὸν ὕμνον. MS. Bodl. leg. προσερχόμενος refer. ad Αγησίας. † MSS. nostra add. Ποσειδον. ‡ MSS. 6.γ. add. ἤγουν τῶν ἐμῶν ὕμνων τὸ ἄνθος αὔξανε πάντοτε τερπνόν· ἀντὶ τοῦ αὔξανων αὐτὸ τὸ ἄνθος τερπνὸν ποίει. * MS. Bodl. & α. leg. αὔξων.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΕΒΔΟΜΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ ἑβδόμου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ια'. Τὸ α', Ιωνικὸν δίμετρον καταληκτικόν. Τὸ β', προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ γ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ', Εὐριπίδειον. Τὸ ε', ἰαμβικὸν, δίμετρον ὑπερκατάληκτον. Τὸ ς', δακτυλικὸν πενθημιμερές. Τὸ ζ', ὅμοιον τῷ β'. Τὸ η', ἐγκωμιολογικόν. Τὸ θ', ὅμοιον τῷ ς', δακτυλικὸν πενθημιμερές. Τὸ ι', Ιωνικὸν δίμετρον * ἀκατάληκτον. Τὸ ια', δακτυλικὸν, τρίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η δὲ ἐπῳδὸς, κώλων. ιγ'. Τὸ α', δακτυλικὸν πενθημιμερές. Τὸ β', προσοδιακὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ', δακτυλικὸν τρίμετρον † ἀκατάληκτον· ἢ προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ ε', ἀναπαιστικὸν μονόμετρον. Τὸ ς', προσοδικόν. διπλοῦς τροχαῖος. Τὸ ζ', προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ η', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ θ', δακτυλικὸν πενθημιμερές. Τὸ ι', ἰαμβέλεγος. τῆς πρώτης ἰάμβου λελυμένου. Τὸ ια', Ιωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον. Τὸ ιβ', προσοδιακὸν δίμετρον καταληκτικόν. Τὸ ιγ', στησιχόρειον.

* Ed. Brub. ad marg. hab. καταληκτικόν. † Eadem Edit. hab. ad marg. καταληκτικόν.

Subjecimus notas numer. ex Schmid. tanquam interpretationem quandam rationis metr. ſupra à Schol. traditæ.

στροφὴ & ἀντιστροφή.

1. υ υ - -   - υ -
2. - - υ υ   - υ υ -
3. - υ - -   - υ - -
4. - υ - -   - υ -
5. - - υ -   - - υ -   -
6. - υ υ   - υ υ   -
7. - - υ υ   - υ υ -
8. - υ υ -   υ υ - -   - υ - υ
9. - υ υ   - υ υ   -
10. υ υ - -   - υ - υ
11. - υ υ   - υ υ   - υ

ἐπῳδός.

1. - υ υ   - υ υ   -
2. - - υ υ   - υ υ -   - - υ υ
3. - υ - -   - υ - -
4. - υ υ   - υ υ   - υ
5. υ υ -   υ υ -
6. υ υ υ -   υ υ - υ   υ -
7. - - υ υ   - υ υ -
8. - υ - -   - υ - -
9. - υ υ   - υ υ   -
10. υ υ υ υ   - - - υ   υ - υ υ   -
11. υ υ - -   υ υ -
12. υ υ - -   - υ -
13. - υ - -   - υ - -   - υ - -

ΔΙΑΓΟΡΑ ΡΟΔΙΩ ΠΥΚΤΗ.

ΤΑύτην τὴν ᾠδὴν, ἀνακεῖσθαί φησι Γόργων ἐν τῷ τῆς * Σιληναίας Αθηνᾶς ἱερῷ, χρυσοῖς γράμμασιν. ἐνίκησε δὲ καὶ Πύθια καὶ Ισθμια. ὁ Διαγόρας οὗτος υἱὸς μὲν ἦν Δαμαγήτου τοῦ Ροδίου. περὶ δὲ τούτου τοῦ Διαγόρου, ἱστόρηται τοιαῦτα. κατὰ γὰρ τὴν Ολυμπιάδα, ἕστηκεν ὁ Διαγόρας μετὰ τὴν Λυσάνδρου εἰκόνα, πηχῶν τεσσάρων, δακτύλων πέντε· τὴν δεξιὰν ἀνατείνων χεῖρα· τὴν δὲ ἀριστερὰν, εἰς ἑαυτὸν ἐπικλίνων. μετὰ δὲ τοῦτον ἵσταται καὶ ὁ Δαμάγητος ὁ πρεσβύτερος τῶν παίδων αὐτοῦ. ὃς ἦν καὶ ὁμώνυμος τῷ πάππῳ· παγκράτιον προβεβλημένος. καὶ αὐτὸς πηχῶν τεσσάρων· ἐλάττων δὲ τῶν παίδων, δακτύλων τεσσάρων. ἐχόμενος δὲ τούτων ἕστηκε, Διώρδυς ἀδελφὸς πύκτης, καὶ αὐτὸς προβεβλημένος. τρίτος δὲ μετ' ἐκεῖνον, Ἀκουσίλαος. τῇ μὲν ἀριστερᾷ, ἱμάντα ἔχων πυκτικόν. τὴν δὲ δεξιὰν, ὡς πρὸς προσευχὴν ἀνατείνων. καὶ οὗτοι μὲν οἱ τοῦ νικηφόρου παῖδες, ἐν στήλαις ἵστανται σὺν τῷ πατρί. μετ' ἐκείνους δὲ, καὶ θυγατέρων αὐτοῦ νικηφόροι υἱοὶ δύο· Εὔκλων, πυγμῇ νικήσας Ἄνδρωνα. καὶ μετ' ἐκεῖνον Πεισίρροδος καὶ Λελεγέτης κατὰ τὴν Ολυμπιάδα νικήσαντες, κατὰ τὴν αὐτὴν ἡμέραν τῷ πατρί. περιλαβόντας οὖν τὸν Διαγόραν, περιϊέναι τὸ στάδιον, μακαριζομένους ὑπὸ τῶν Ελλήνων. χρόνῳ δὲ ὕστερον φασὶ καὶ τὴν τούτου θυγατέρα Αριστοπάτειραν, ἐλθεῖν εἰς τὴν Ολυμπίαν, καὶ αἰτεῖν παρὰ τῶν ἑλλανοδίκων, ἐπιβλέψαι τὴν θέαν αὐτῇ. τοὺς δὲ κωλύειν φάσκοντας κατὰ νόμον, γυναῖκα μὴ θεωρεῖν τὸν γυμνικὸν ἀγῶνα. τὴν δὲ φῆσαι πρὸς αὐτούς· οὐκ ἴσην εἶναι ταῖς ἄλλαις γυναιξίν· ἀλλὰ φέρειν πλέον τι, ταῖς προγονικαῖς ἀρεταῖς ἐπερειδομένην. καὶ δεῖξαι τούς τε τῶν παίδων καὶ τῶν ἀδελφῶν στήλας. καὶ οὕτω νικηθέντας τοὺς ἑλλανοδίκας, ἐπιχωρῆσαι καὶ συνήθειαν νόμου διαλῦσαι, καὶ τῇ Αριστοπατείρᾳ τὴν θέαν ἐπιβλέψαι. καὶ τὰ μὲν περὶ αὐτῶν τοσαῦτα. Ιστόρηται δὲ ὁ Διαγόρας, Ερμοῦ παῖς γεγενῆσθαι. φασὶ γὰρ αὐτοῦ τὴν μητέρα, εἰς ἀγρόν που πορευομένην. εἶτα καύματος σφοδροῦ ἐπισχόντος, ἐπικλιθῆναι τινὶ Ερμαίῳ τεμένει. καὶ οὕτω τὸν θεὸν αὐτῇ συνελθεῖν. τὸν δὲ Διαγόραν οὕτω τεκεῖν αὐτήν. ὃς πρῶτος ἀφ' Ηρακλέους λέγεται τοιοῦτος γενέσθαι.

* Vide sis lect. Schol. Νιωτ. cui consent. MSS. nostra.

ΔΙΑΓΟΡΑ ΡΟΔΙΩ,

* ΠΥΚΤΗ †.

ΕΙΔΟΣ Ζ'.

DIAGORÆ RHODIO,

PUGILI.

ODE VII.

ARGUMENTUM.

Diagoram Rhodium laudat cum à diversis victoriis, tum præsertim à pugilatu, quo victoriam in Olympiis reportavit. Præterea à patria Rhodo, à patre Damageto, à majoribus Rhodiorum, Tlepolemo præsertim, de quo multa per digressionem narrat, & ad quem genus refert Diagoras. Tandem voto concludit pro salute Diagoræ, & dignitatis incremento.

στροφὴ α'. κώλων ια'.

Φιάλαν ὡσεί τις ἀ-
φνειᾶς ἀπὸ χειρὸς ἑλὼν,
Αμπέλου ἔνδον καχλάζοι-
σαν δρόσῳ, δωρήσεται
Νεανίᾳ γαμβρῷ, προπίνων
Οἴκοθεν οἴκαδε, πάγ-
χρυσον, κορυφὰν κτεάνων,
Συμποσίου τε χάριν, κᾶδός τε τιμά-
σαις ἑὸν, ἐν δὲ φίλων

METAPH.

Phialam quasi quis di-
vite à manu acceptam,
Vitis intus bullien-
tem rore, donaturus-est
Juveni genero, præbibens
E-domo ad-domum, totam-
auream, verticem-summum possessionum,
Conviviiq; gratiam, affinitatemq; honore-pro-
secutus suam, atque amicis

PARAPHRASIS.

Quemadmodum si socer dives phialam munifica manu sumptam, ex solido auro conflatam, partemque suarum opum præstantissimam, infuso generoso vino bullientem, juveni genero præbibens, donet è sua domo domum illius ferendam, quo & gratos convivas exhilaret, & generum cum quo affinitatem contraxit, honoret, hoc facto in præsentia amicorum,

NOTÆ.

* MS. γ. leg. νικητῇ. † MS. Bodl. addit νικήσαντι οθ'. Ολυμπιάδα. Ita & quædam Editt. 1 Φιάλαν] Gl. MSS. ϐ. γ. τὸ προοίμιον τοῦτο ἄρχεται ἐκ παραδείγματος. Ως εἴτις leg. Steph. & alii, & MSS. nostra. Αφνειᾶς ἀπὸ χειρὸς.] Videtur olim moris fuisse, quum affinitatem inter se divites contraherent, ut gener à socero, vel à sponsa sponsus phiala donaretur. Exemplum soceri hic habemus. Exemplum sponsæ apud Athen. l. 13. de Odatide. 3 Steph. aliorumque Editt. & MSS. nostra præter C. 71. leg. ἔνδον ἀμπέλου. Istam lect. tueri conatur Schmid. quod ε in voce ἀμπέλου producendum censeat ob liquidam sequentem. Istam sane rationem in medio relinquimus. Interim tamen fidem MS. C. 71. secuti hæc verba transposuimus. qua ratione etiam metri leges non violantur. 5 Νεανίᾳ leg. propter metrum, licet MSS. & Editt. hab. νεανίᾳ. Προπίνων] Quod nos hodie προπίνειν vocamus, potius προεκπίνειν est. Athen. l. 5 & 11. 6 Οἴκοθεν οἴκαδε] E domo sua transferens in domum generi. 8 Χάριν] Gl. MS. ϐ. Συνδιατριβήν. Cum Philippo & Steph. ut nomen accipimus & per appositionem refer. ad φιάλαν πάγχρυσον. Aliter interpret. Schol. MS. γ. leg. κᾶδος. MS. C. 71. omitt. τε post κᾶδος. MSS. ϐ. γ. leg. τιμάσας in eod. colo. 9 Εν δὲ, κ. λ.] Schol. MS. ϐ. Σύναπτε τὸ ἐν μετὰ τοῦ θῆκε, ἵν' ᾖ ἐνέθηκε.

Φιάλαν ὡς εἴτις.] τὸ σαφὲς οὕτως ἔχει. ὥσπερ εἴτις φιάλην πάγχρυσον ἀπὸ πλουσίας χειρὸς λαβὼν πεπληρωμένην οἴνου δωρήσεται ἀκμαίῳ νυμφίῳ, ἅμα τὸν οἶνον προπίνων, καὶ αὐτὴν τὴν φιάλην δωρούμενος, τίμιον καὶ ἄκρον οὖσαν τῶν τοῦ πλούτου κτημάτων, ἀπὸ τῶν οἴκων τοῦ πενθεροῦ εἰς τὰ ἑαυτοῦ φέρειν οἰκήματα ἐχαρίσατο. εἶπε δὲ συμποσίου, διὰ τοῦ δώρου τὴν ὀφειλομένην χάριν ἀποσώσας, καὶ τὴν ἑαυτοῦ συγγένειαν πρὸς τὸν νεανίαν τιμήσας. τὴν δὲ φιάλην κατὰ τὸ συμπόσιον παρόντων, ἔθηκεν αὐτὸν ζηλωτὸν καὶ ἐπίδοξον ἕνεκα τῆς ὁμοφροσύνης, ἣν ἔχει ὁ νεανίας πρὸς τὴν τοῦ δωρησαμένου θυγατέρα. [Προπίνων.] προπίνειν ἐστὶ κυρίως, τὸ ἅμα τῷ κράματι, τὸ ἀγγεῖον χαρίζεσθαι. Ανακρέων· Αλλὰ πρόπινε ῥαδινοὺς, ὦ φίλε, μηρούς· ἀντὶ τοῦ χαρίζου. καὶ Δημοσθένης τοὺς προδιδόντας τὰς πατρίδας τοῖς ἐχθροῖς, προπίνειν ἔφη. [Πάγχρυσον κορυφάν.] τὸ μὲν πάγχρυσον ὡς πρὸς τὴν φιάλην. ἵν' ᾖ, ἡ φιάλη ὅλη χρυσῆ. τὸ δὲ κορυφὰν κτεάνων, ὅτι ἀξιοπρεπέστερος τῶν τοῦ πλούτου χρημάτων ὁ χρυσός. κορυφὰν οὖν, τὸ κεφάλαιον καὶ ἄκρον ἀκουστέον. [Συμποσίου τε χάριν·] ἀντὶ τοῦ τῶν ἐν συμποσίῳ. ὅπως δόξῃ καὶ χαριστικός τις εἶναι πρὸς τοῖς πίνουσι. [Κᾶδός τε.] τὸ κῆδος, τὴν συγγένειαν. ἔοικε γὰρ ὁ δωρούμενος, πατὴρ εἶναι τῆς γαμηθείσης τῷ νεανίᾳ νύμφης.

Παρεόντων, θῆκέ μιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς·

Præſentibus, fecit eum beatum-prædicari *ob* concordem thorum:

ἀντιστροφὴ α'. κώλων ια'.

Καὶ ἐγὼ νέκταρ χυτὸν,
Μοισᾶν δόσιν, ἀεθλοφόροις
Ανδρέσσιν πέμπων, γλυκὺν καρπὸν φρενὸς γ', ἱλάσκομαι
Ουλυμπίᾳ Πυθοῖ τε νικώντεσσιν. Ο δ' ὄλβιος, ὃν
Φᾶμαι κατέχοντ' ἀγαθαί.
Αλλοτε δ' ἄλλον ἐποπτεύει χάρις ζωθάλμιος, ἁδυμελεῖ
Θ' ἅμα μὲν φόρμιγγι, παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν.

ΜΕΤΑΡΗ.

Sic & ego nectar fuſum,
Muſarum munus, præmia-reportantibus
Viris mittens, dulcem fructum animi *mei*, exhilaro
Olympiæ Delphiſque vincentes. Ille autem felix *eſt*, quem
Fama amplectitur bona.
Alias autem alium reſpicit gratia vitam-floridam-faciens, ſuaviſona
Una-cum cithara, omniſoniſque in inſtrumentis tibiarum.

ἐπῳδὸς α'. κώλων ιγ'.

Καί νυν ὑπ' ἀμφοτέρων,
Σὺν Διαγόρᾳ κατέβαν, τὰν ποντίαν

ΜΕΤΑΡΗ.

Et nunc adhibitis utriſque *cithara & tibiis*,
Cum Diagora deſcendi, marinam

PARAPHRASIS.

efficit ut beatus ille prædicetur, qui cum adeo liberali ſocero neceſſitudine ſit conjunctus: ſiquidem concordiam, conjugalemque amicitiam arctiori vinculo ſic connecti poſſe ſperant. Ita ego ſuave carminum meorum nectar, quibus immortales reddo viros inſignes, Muſarum dono ſponte ex mea mente fuſum, cujus dulcis eſt fructus, mittens iis qui ex Olympiorum *&* Pythiorum *victoria præmium reportarunt, illos exhilaro, beoque meis laudibus. Siquidem beatus eſt ille, qui famam bonam à poetis conſequitur. Ego autem nunc hunc, nunc illum reſpicio, cui carmen gratificer, quo cum blandiſona etiam cithara, omniſoniſque tibiis decantato, vitam ejus vegetem. Nunc autem cum utroque, carminis nimirum vivifico encomio, & citharæ, tibiarumque cantu, cum duce Diagora deſcendi, celebrans* Rhodum *inſulam marinam,*

NOTÆ.

10 Ζαλωτὸν] Gl. MS. γ. Επαινετόν. Æmulatione dignum. 14 Ανδρέσσι leg. MS. α. Καρπὸν] Gl. MS. γ. Εὕρεσιν. 15 MSS. α. β. γ. omitt. γ'. 16 Editt. Steph. & aliorum Ολυμπίᾳ. Ita & MS. C. 71. repugn. metro. 17 Ο δ' ὄλβιος] Hoc nomine felices ſunt, quod Poëtas præcones habeant. 23 Καί νυν leg. propter metrum, uti antea. 24 MS. γ. leg. τάν.

[Καὶ ἐγὼ νέκταρ χυτόν.] αὐτόχυτον καὶ ἄκρατον. τὸ δὲ σαφές. ὥσπερ ὁ πενθερὸς δωρεῖται τῷ νεανίᾳ τὴν φιάλην οἴνου πεπληρωμένην, οὕτω καὶ ἐγὼ τὸ αὐτόματον καὶ ἄκρατον τὸ ἐκ τῶν Μουσῶν ὑπάρχον μοι νέκταρ. ὃ ἐκ τῆς ἐμαυτοῦ διανοίας ἐκαρπωσάμην, παρέχω τοῖς νικηταῖς ἀνδράσι. νικητὰς δὲ τοὺς ἐν Ολυμπίᾳ λέγει καὶ ἐν Πυθοῖ, ἱλαροὺς αὐτοὺς καὶ εὐχαρίστους ἀποτελῶ. νέκταρ τὸ ποίημα εἶπε. Μοισᾶν δὲ δόσιν, τὴν μουσικὴν καὶ τοὺς ὕμνους. ἱλάσκομαι δὲ, ἱλαροὺς ποιῶ. καρπὸν δὲ φρενὸς, τὴν ποίησιν καὶ τὴν ἐπίνοιαν τῶν ποιημάτων. [Ο δ' ὄλβιος.] οὗτος δὲ ἐστιν εὐδαίμων, ὃν ἀγαθὴ δόξα καὶ φήμη κατέχει· ἤτοι γνωμικῶς, ἢ ἰδίως ὃν ἂν εὐφημήσω. [Εποπτεύει χάρις.] Αρίσταρχος χάριν ἀκούει τὴν εὐδαιμονίαν. βέλτιον δὲ, τὴν τῶν ποιημάτων. ζωθάλμιος δὲ, ἡ θάλλειν αὐτοὺς ποιοῦσα. καὶ οἱονεὶ ζῆν διαπαντὸς μνημονευομένους. [Αλλως. Χάρις,] ἡ τῶν ποιημάτων ἡδονή. ὁ νοῦς. ἄλλοτε δ' ἄλλον ἡ ζωθάλμιος χάρις ἡ τῆς νίκης καταλαμβάνει. καὶ ἐποπτεύει ἡ χάρις τοὺς νικηφόρους· σύν τε κιθάρᾳ καὶ αὐλοῖς ποικίλως φθεγγομένοις. [Εντεσιν αὐλῶν.] περιφραστικῶς τῶν αὐλῶν. οὓς ἔντεα εἶπε, παρὰ τὸ ἐντὸς ἔχειν τὴν φωνήν. [Υπ' ἀμφοτέρων.] μετὰ αὐλῶν καὶ λύρας. ἡ δὲ ὑπὸ, ἀντὶ τῆς μετά. καὶ Ομηρος· Δαίδων ὕπο λαμπομενάων. κατῆλθον οὖν ἀπὸ Θήβης εἰς τὴν Ῥόδον, εἰς τὴν τοῦ νικηφόρου πατρίδα. [Τὰν ποντίαν ὑμνέων.] σύνηθες τῷ Πινδάρῳ, τὰ τῶν Νηρηΐδων ὀνόματα, κατὰ τῶν πόλεων τῶν ὁμωνύμως λεγομένων τάττειν. καὶ τοὔμπαλιν. ἔστι δὲ ὅτε καὶ συμπλέκει ὥσπερ καὶ νῦν. Αφροδίτην μὲν γὰρ λέγει τὴν Ἡρωΐδα. ὅτι δὲ ποντίαν ὀνομάζει, τὴν νῆσον βούλεται δηλοῦν. ἐὰν δὲ γράφῃ τὴν παῖδα Αμφιτρίτης· ὡς Αμφιτρίτης αὐτῆς καὶ Ποσειδῶνος οὔσης τῆς Ῥόδου θυγατρός. κατὰ δὲ ταύτην τὴν γραφὴν τὸ, ποντία, οὐκέτι ἐπὶ τῆς νήσου θετέον, ἀλλ' ἐπὶ τῆς Αμφιτρίτης· καὶ γὰρ αὕτη ἐνάλιος δαίμων. Ασκληπιάδης δέ φησι γενεαλογεῖσθαι τὴν Ῥόδον, Αμφιτρίτης καὶ Ἡλίου. τὸν γὰρ Ἥλιον αὐτῆς ἐρασθῆναι. καὶ ἐν αὐτῇ τῇ νήσῳ συμμιγῆναι. ἢ ποντίαν τὴν Ῥόδον, διὰ τὸ εἶναι νῆσον. οὐχ' ὥς τινες ἠβουλήθησαν, Ἡλίου καὶ Αφροδίτης τὴν νύμφην γεγενῆσθαι. ἐναντίον γὰρ τὸ ἐπαγόμενον, Αελίοιό τε νύμφαν. ἀλλ' ἀκουστέον τὴν Ῥόδον Αφροδίτης παῖδα, διὰ τὸ ἀνθηρὸν καὶ χαριέστατον. νύμφην δὲ Ἡλίου. λέγεται γὰρ θεασάμενος τὴν νύμφην καὶ ἐρασθεὶς. εἶτα ἁρπάσας ἐν τῇ ὁμωνύμῳ νήσῳ συγγενέσθαι. ἵνα τὸ μὲν ποντίαν παῖδα, ἐπ' αὐτῆς τῆς νήσου λάβωμεν· τὸ δὲ, Αελίοιό τε νύμφαν, ἐπ' αὐτῆς τῆς ἡρωΐδος. Ηρόφιλος δὲ Ποσειδῶνος καὶ Αφροδίτης εἶπε τὴν Ῥόδον εἶναι.

Ὑμνέων παῖδ' Ἀφροδίτας,	Laudans filiam Veneris,
Ἀελίοιό τε νύμφαν,	Solisque sponsam,
Ῥόδον εὐθυμάχαν,	Rhodum recta bellatricem,
Ὄφρα πελώριον ἄνδρα παρ' Ἀλ-	Ut ingentem virum apud Al-
φειῷ στεφανωσάμενον	pheum coronatum
Αἰνέσω, πυγμᾶς ἄποινα,	Laudem, pugilatus *in* remunerationem,
Καὶ παρὰ Κασταλίᾳ·	Et apud Castaliam:
Πατέρα τε Δαμάγητον ἀδόντα Δίκᾳ·	Patremque Damagetum placentem Justitiæ:
Ἀσίας εὐρυχόρου	Asiæ spaciosæ
Τρίπολιν νᾶσον πέλας	Triurbem Insulam prope
Ἐμβόλῳ ναίοντας, Ἀργείᾳ σὺν αἰχμᾷ.	Embolum habitantes, Argiva cum multitudine.
στροφὴ β'. κώλων ιά.	Metaph.
Ἐθελήσω τοῖσιν ἐξ	Volam illis ex

PARAPHRASIS.

Veneris filiam, Solisque sponsam ut ingentem illum virum Diagoram, intrepidum pugnatorem, qui Olympia prope Alpheum, & Pythia prope Castaliam coronatus est, in victoriæ pugilatu partæ remunerationem: & patrem ejus Damagetum, qui justitiam coluit, collaudem. Qui ambo cum Argiva multitudine insulam illam Rhodum incolunt, tres urbes, scilicet Lindum, Jalysum, & Camirum continentem, & prope Embolum Aricandes Lyciæ urbis templum sitam. Volo igitur illis,

NOTÆ.

25 Alii leg. pro Ἀφροδίτας Ἀμφιτρίτας. 27 Scholiastes punct. hab. post Ῥόδον, & leg. εὐθύμαχον connect. cum ἄνδρα. 28 Πελώριον] Gl. MS. γ. Ἀνδρειότατον. 30 Αἰνήσω leg. MS. ϐ. 32 Ἀδόντα] Gl MS. γ. τὸν φανέντα ἀρεστόν. 33 Quædam Editt. leg. εὐρυχώρου Schol. vero εὐρυχώροιο hab. quas lect. non patitur metri ratio. 35 Ἐμβόλῳ script. quidem invenitur in MS. α. sed ω puncto not. & ου supra eadem manu scribitur, & Schol. Νεωτ. observat, ita scribi. Gl. MS. γ. Ἐμβατίας. Αἰχμᾷ] Gl. MS. ϐ. Δυνάμει. 36 Alii leg. ἐθελήσω τοῖσιν.

εἶναι. Ἐπιμενίδης δὲ Ὠκεανοῦ γενεαλογεῖ ἀφ' ἧς τὴν πόλιν ὠνομάσθαι. τινὲς δέ φασι κληθῆναι οὕτω, διὰ τὸ σπουδαῖα ἔχειν ῥόδα. οἱ δὲ, διὰ τὸ ῥοώδη εἶναι τὰ περὶ αὐτήν. [Ἄλλως.] Ἀφροδίτης φασὶ γενέσθαι Ῥόδον θυγατέρα· ἀφ' ἧς κληθῆναι τὴν νῆσον. Ἡλίου δὲ νύμφην. Ἡλίου καὶ Ῥόδου ἐγένοντο παῖδες ζ'. καὶ θυγάτηρ Ἠλεκτρυών. [Πελώριον.] οὐ παρὰ τὸ παρατυγχάνον ἐνεγκωμίασε τὸν ἄνδρα Διαγόραν, ἀλλὰ συμφώνως, οἷς ἐξηγησάμεθα περὶ αὐτοῦ, ὅτι δ'. πηχῶν, καὶ ε'. δακτύλων ὁ Διαγόρας. [Ἀδόντα δίκᾳ.] ἀρέσαντα τῇ δικαιοσύνῃ, δίκαιον. ὁ νοῦς. κἀγὼ τοίνυν ἐπὶ τοῦ παρόντος σὺν ἀμφοτέροις ἦλθον· τῇ τε λύρᾳ καὶ αὐλοῖς. ὥστε ἅμα τῷ νικητῇ Διαγόρᾳ, τὴν τοῦ Ἡλίου μὲν νύμφην, Ἀφροδίτης δὲ παῖδα Ῥόδον ὑμνῆσαι. ὅπως τοῦτον τὸν εὐθύμαχον ἄνδρα τὸν Διαγόραν τὸν πελώριον, τὸν παρὰ τῷ Ἀλφειῷ ἐν τῇ Ὀλυμπίᾳ στεφθέντα διὰ τὴν πυγμὴν, τοῖς ὕμνοις ὡς ἀποίνοις καὶ δώροις ὑμνήσω· στεφανωθέντα δὲ καὶ παρὰ τῇ Κασταλίᾳ, τῇ ἐν Πυθοῖ. αἰνέσω δὲ καὶ τὸν πατέρα αὐτοῦ Διαγόρα τὸν Δαμάγητον, τὸν ἀρέσκοντα τῇ δίκῃ, τὸν ὅσιον καὶ εὐσεβῆ. [Ἀσίας εὐρυχώροιο.] τούτους δὲ ὑμνήσω, τοὺς τὴν τρίπολιν νῆσον οἰκοῦντας Ῥόδον, τὴν οὖσαν πλησίον τοῦ Ἐμβόλου, τῆς εὐρυχώρου Ἀσίας. ἔμβολος δὲ Ἀσίας, ἡ Λυκία. διὰ τὸ οὕτω παρατετάσθαι τὴν γῆν ὡσεὶ πόλεως ἔμβολον, ἢ τριήρους. ἔμβολα γὰρ, τὰ τῶν πλοίων ὀξέα. ἃ δὴ καὶ σιμώματα καλοῦσιν. [Ἀσίας εὐρυχώροιο.] δύναται καὶ ἑτέρως ἑρμηνεύεσθαι τὸ πέλας ἐμβόλου ναίοντας. καὶ γὰρ Ῥόδος, ἀντικρὺ μὲν κεῖται τῆς Λυκίας, καὶ πλησίον. ἐν Λυκίᾳ δέ ἐστιν πόλις Ἀρύκανδα καλουμένη. ἧς πλησίον ἱερόν τι χωρίον. ὃ πρότερον μὲν, Ἔμβολος ἐκαλεῖτο διὰ τὴν θέσιν τοῦ χωρίου. ἐκ γὰρ πολλῶν καὶ πλατέων τῶν παρακειμένων πεδίων, εἰς ὀξὺ λήγει μέρος ἡ χώρα. νῦν δὲ προσονομάζεται Τριήρης, ἀπὸ τῆς αὐτῆς αἰτίας. ἐπεὶ πλοίῳ προσέοικεν ἡ θέσις τοῦ τόπου. ἐπεὶ οὖν μάλιστα ἐν τούτῳ τόπῳ θρησκευτήριόν ἐστιν Ἡλίου, Ῥόδιοι δὲ ἐξ Ἡλίου, διὰ τοῦτο ὡς οἰκειοτέρου καὶ προσφορωτέρου μέμνηται τοῦ τόπου. δύναται δὲ καὶ ἀπὸ τοῦ ἐκ μέρους περιφράσεως νοεῖσθαι τῇ τῆς Λυκίας πλησίον ὑπαρχούσῃ. [Τρίπολιν νᾶσον.] τὴν Ῥόδον ὡς Ὅμηρος· Οἳ Ῥόδον ἀμφενέμοντο, διάτριχα κοσμηθέντες, Λίνδον Ἰηλυσόν τε, καὶ ἀργινόεντα Κάμειρον. ἔκγονοι δὲ Ἡλίου· ἀφ' ὧν αἱ πόλεις ὠνομάσθησαν. Λίνδος, Ἰηλυσὸς, Κάμειρος. παῖδες Κερκάφου τοῦ Ἡλίου, καὶ Κυδίππης τῆς Ὀχίμου θυγατρός. [Ἄλλως.] τρίπολιν εἶπε τὴν Ῥόδον, διὰ τὸ ἔχειν τρεῖς πόλεις. Λίνδον, Ἰηλυσὸν, καὶ Κάμειρον. [Ἀργείᾳ σὺν αἰχμᾷ.] σὺν πλήθει Ἀργείων ναίοντας, διὰ τοὺς κατελθόντας σὺν Τληπολέμῳ. παρὰ Κασταλίᾳ δὲ, ὅτι ἐνίκησε καὶ Πύθια. ἡ δὲ Κασταλία, κρήνη ἐν Πυθῶνι. πρὸς δὲ τοῦτο κοινῶς συναπτέον τὸ στεφανωσάμενον παρά τε Ἀλφειῷ καὶ Κασταλίᾳ. [Ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς.] ἐθελήσω φησὶ τοῖς Ἡρακλείδαις τοῖς ἀπὸ Τληπολέμου Ῥοδίοις κοινὸν ἐξ ἀρχῆς λόγον διορθῶσαι. ὅ ἐστιν, ἀκριβῶσαι καὶ διασημῆναι· τρεῖς ἀμφιβολίας ἔχει. ἤτοι γὰρ καθόλου πάντων ἀνθρώπων λόγον κοινὸν· ἢ αὐτῶν τῶν Ῥοδίων· ἢ ἔξωθεν ληπτέον τὸ ὡς, ἵνα ᾖ ὥστε ξυνῶσαι, καὶ πᾶσιν ἀνθρώποις εἰς μέσον ἀγαγεῖν. [Ἄλλως.] τὸ, Ἐθελήσω βούλομαι οὖν τοῖς ἐξ ἀρχῆς οὖσιν ἀπὸ Τληπολέμου Ῥοδίοις, κοινόν τινα καὶ προσήκοντα λόγον εἰπεῖν καὶ διακριβῶσαι. οἵ τινές εἰσιν Τληπολεμίδαι οἱ Ῥόδιοι ἐκ τοῦ τῶν Ἡρακλέους γένους. βούλεται δὲ τὴν Τληπολέμου φυγὴν ὑπεραπολογήσασθαι. ὁ γὰρ Τληπόλεμος Λικύμνιον τὸν Ἠλεκτρυῶνος παῖδα νόθον. ὃς ἐγένετο ἐκ Μιδέας Φρυγίας τινὸς γυναικὸς, ἀφ' ἧς καὶ ἡ πόλις κέκληται, ἐλαΐνῳ σκυτάλῳ πλήξας, ἄκων ἀναιρεῖ. ἐπὶ γὰρ βοῦν βουλόμενος ἀκοντίσαι τὸ σκυτάλιον ἔρριψε κατὰ τοῦ Λικυμνίου. ἀποφεύγοντι οὖν τὸ μῦσος τοῦ φόνου, καὶ χρηστηριαζομένῳ τῷ Τληπολέμῳ, ἀνεῖλε τὸ λόγιον ἀποικίσαι τὸ Ἄργος, καὶ εἰς τὴν Ῥόδον ἐλθεῖν. τούτοις καὶ Ὅμηρος μαρτυρεῖ· Τληπόλεμος δ' ἐπεὶ οὖν τράφη ἐν μεγάρῳ εὐπήκτῳ, Αὐτίκα πατρὸς ἑοῖο φίλον μήτρωα κατέκτα. λέγεται δὲ κατὰ τὴν βασιλείαν Τληπολέμου μάλιστα εὐδαιμονῆσαι Ῥοδίους. ὡς καὶ Ὅμηρος μαρτυρεῖ·

Ἀρχᾶς ἀπὸ Τλαπολέμου
Ξυνὸν ἀγγέλλων διορθῶ-
σαι λόγον, Ἡρακλέος
Εὐρυσθενεῖ γέννᾳ. Τὸ μὲν γὰρ
Πατρόθεν, ἐκ Διὸς εὔ-
χονται· τὸ δ' Ἀμυντορίδαι
Ματρόθεν, Ἀστυδαμείας. Ἀμφὶ δ' ἀνθρώ-
πων φρεσὶν ἀμπλακίαι
Ἀναρίθμητοι κρέμανται.
Τοῦτο δ' ἀμάχανον εὑρεῖν,

ἀντιστροφὴ β'. κώλων ια'.

Ὅ,τι νῦν καὶ ἐν τελευ-
τᾷ φέρτατον ἀνδρὶ τυχεῖν.
Καὶ γὰρ Ἀλκμήνας κασίγνη-
τον νόθον, σκάπτῳ θένων
Σκληρᾶς ἐλαίας, ἔκταν' ἐν Τί-
ρυνθι Λικύμνιον, ἐλ-
θόντ' ἐκ θαλάμων Μιδέας,

Initio à Tlepolemo
Communem annuncians dirige-
re sermonem, Herculis
Late-potenti stirpi. Nam
A-patre ex Jove glori-
antur: sed Amyntoridæ
A-matre *sunt* Astydamea. Circa autem ho-
minum mentes errores
Innumeri pendent.
Hoc vero impossibile *est* reperire,

METAPH.

Quod nunc & in fi-
ne præstantissimum *est* homini assequi.
Etenim Alcmenæ fra-
trem nothum, sceptro percutiens
Duræ oleæ, occidit in Ti-
rynthe Licymnium, veni-
entem è thalamis Mideæ,

PARAPHRASIS.

nimirum Diagoræ, & Damageto, genus ab initio ad Tlepolemum referens, communem hunc sermonem tribuere Rhodiis omnibus, utpote qui Tlepolemum patrem agnoscant, ac proinde præpotentis Herculis præpotens sunt progenies. Nam genus paternum à Jove Herculis patre profectum gloriantur: & maternum ab Astydamea Amyntoris filia deducunt. Cæterum humanæ mentes innumeris erroribus implicatæ sunt, & obnoxiæ: ita ut nosse nemo nec comperire possit, an fœlicitas qua quis in præsentia fruitur, ad vitæ finem usque sit permansura. Etenim hic Tlepolemus, qui coloniam olim in hanc Rhodi insulæ terram deduxit, Licymnium Alcmenæ fratrem nothum duro oleæ baculo percussum, iratus interfecit Tirynthi, quum ex Mideæ matris ædibus exiret.

NOTÆ.

38 Αἰγίνων leg. MSS. Bodl. & Pal. C. & Editt. Brubacch. & Ald. 41 MS. C. conclud. vers. εὔχον-. 43 Ἀμφὶ δ' ἀνθρώπων] Pindarus heroum infortunia non omnino præterit, sed leviter ita attingit, ut simul vel sententiis mitiget, vel alia ratione nonnihil excuset. Hic & alibi id observatu dignum videtur. Schol. MS. C. γ. Σύναψον δὲ τὸ ἀμφὶ μετὰ τοῦ κρέμανται, ἵνα ᾖ ἀμφικρέμανται. 46 Τοῦτο δ'] Sic Virg. 10 Æn. *Nescia mens hominum fati, sortisque futuræ.* Ἀμήχανον leg. MS. C. 71. Ita & Schol. 47 MSS. Bodl. C. 71. & γ. leg. ἐν καί. Τελευτᾷ leg. γ. in eodem κώλῳ. 48 Φέρτατον] Gl. MS. γ. Εὐτυχίστατον πρᾶγμα. 49 MS. γ. leg. κασίγνητον in eodem κώλῳ. 50 Σκάπτρῳ MSS. Bodl. & Pal. A. & B. 51 Ald. & Pal. B. hab. ἔκτανεν Τίρυνθι. & Pal. C. ἔκτανε Τι- omissa Præpositione. 53 Schol. leg. ἐλθόντ' ἐκ θαλάμων Μιδέας. Interpretatur enim, παραγινόμενος εἰς Ἄργος ἐκ τῶν οἴκων τῆς Μιδέας, qu. referendum esset ad Tlepolemum. Schol. Νεωτ. leg. Μηδέας.

Καί σφι θεσπέσιον πλοῦτον κατέχευε Κρονίων. ἔστι δὲ αὐτοῦ ἱερὸν καὶ τάφος ἐν Ῥόδῳ. οἱ γὰρ συστρατευσάμενοι αὐτῷ, διήγαγον τὰ ὀστᾶ ἀπὸ τοῦ Ἰλίου εἰς τὴν Ῥόδον, οὐκ εὖ ἔχειν κείναντες τὸ, ἄνευ τοῦ βασιλέως παλινοστῆσαι εἰς τὴν πατρίδα. τελεῖται δὲ καὶ ἀγὼν ἐπιτάφιος ἐν τῇ πόλει, Τληπολέμῳ. κατὰ δὲ ἑτέρους, ἱερὸς Ἡλίῳ. ἀγωνίζονται δὲ παίδων ἡλικίαι· καὶ στέφονται ἐκ λεύκης. [Εὐρυσθενεῖ γέννᾳ.] παρ' ὅσον ἐκ μὲν Ἡρακλέος, Τληπόλεμος. ἐκ δὲ Τληπολέμου, Ῥόδιοί εἰσι. [Τὸ δ' Ἀμυντορίδαι ματρόθεν.] ἐναντίως τῷ ποιητῇ τὰ περὶ τῆς μητρὸς Τληπολέμου ἱστορεῖ ὁ Πίνδαρος. Ὅμηρος μὲν γὰρ αὐτὴν Ἀστυόχην ἀποκαλῶν, καὶ Ἄκτορος εἶναι θυγατέρα βούλεται. ἐν οἷς φησίν· Ἡ τέκεν Ἀστυόχεια. ἔοικε δὲ ὁ Πίνδαρος ἐντετυχηκέναι τῷ Ἀχαιῷ ἱστοριογράφῳ. ἐκεῖνος γὰρ οὕτως γενεαλογεῖ, Ταρόχου, Εὐρύπυλος· οὗ Ὄρμενος· οὗ Φέρης· οὗ Ἀμύντωρ· οὗ Ἀστυδάμεια, ἡ Τληπολέμου μήτηρ. καὶ αὐτὸς δὲ Ἀμύντωρ, εἰς Δία τὸ γένος ἀνάγει. ἔνιοι δὲ, καὶ υἱὸν Ἀμύντορα τοῦ Διὸς εἶναι λέγουσιν. [Ἀμφὶ δ' ἀνθρώπων.] ὑπεραπολογεῖται τοῦ φόνου, ὃν δέδρακεν ὁ Τληπόλεμος. καὶ φησὶ περὶ τὰς τῶν ἀνθρώπων φρένας, μυρίαι καὶ ἀναρίθμητοι ἁμαρτίαι ἀπήρτηνται. [Τοῦτο δ' ἀμήχανον.] καὶ τὸ τοιοῦτο γνῶναι ἀδύνατόν ἐστι· τὸ ποῖον· ὁποῖόν τε νῦν καὶ ἐπὶ τοῦ παρόντος βέλτιστόν ἐστι καὶ ἐν ὑστέρῳ. οἷον εἰ καὶ ἐν τῇ τελευτῇ ἕξει τις καλόν. ἡ δὲ ἀπόστασις, πρὸς τὸν Τληπόλεμον. [Ἄλλως.] τοῦτο δ' ἀμήχανον εὑρεῖν.] τὴν παροῦσαν καὶ τὴν μέλλουσαν εὐδαιμονίαν, ἀμήχανόν ἐστιν εὑρεῖν. ὁ γὰρ Τληπόλεμος ἐν ἀρχῇ ἀτυχήσας, ὕστερον ἐβασίλευσε τῆς Ῥόδου. [Καὶ γὰρ Ἀλκμήνας.] καὶ γὰρ τὸν Ἀλκμήνης νόθον ἀδελφὸν Λικύμνιον ῥοπάλῳ ἐλαίας τύπτων, ἀπέκτεινεν, καὶ ἐν τῇ Τίρυνθι παραγενόμενος ἐκ τῆς οἰκείας τῆς ἑαυτοῦ μητρὸς Μιδέας ὁ Τληπόλεμος, ὁ παλαιὸς οἰκιστὴς τῆς χώρας. πῶς δὲ νόθος ἀδελφὸς Λικύμνιος Ἀλκμήνης; Ἀλκμήνη μὲν, ἐξ Ἠλεκτρύωνος καὶ Λυσιδίκης τῆς Πέλοπος θυγατρὸς, γνησίας γυναικός· Λικύμνιος δὲ, ἐξ Ἠλεκτρύωνος καὶ Μιδέας γυναικὸς, Φρυγίας τὸ γένος. [Σκληρᾶς ἐλαίας.] ἀπεσκληκότος ξύλου, καὶ ῥοπάλῳ ἐλαΐνῳ. [Ἐλθόντ' ἐκ θαλάμων.] παραγενόμενος εἰς Ἄργος, ἐκ τῶν οἴκων τῆς Μιδέας ἤτοι τῶν τῆς μητρὸς, ἢ καὶ τῆς ὁμωνύμου πόλεως. ἔστι δὲ αὕτη τοῦ Ἄργους ἡ πόλις.

[Χθονὸς

Τᾶσδε ποτὲ χθονὸς οἰκιστὴρ χολωθείς.	Hujus olim terræ conditor iratus.
Αἱ δὲ φρενῶν ταραχαὶ	Mentis autem perturbationes
Παρέπλαξαν καὶ σοφόν. Μαν-	Seducere-solent etiam sapientem. Oracu-
τεύσατο δ' ἐς Θεὸν ἐλθών.	lum-petiit autem ad Deum profectus.
ἐπῳδὸς β'. κώλων ιγ'.	Μεταφ.
Τῷ μὲν ὁ Χρυσοκόμας	Cui quidem Auricomus
Εὐώδεος ἐξ ἀδύτου, ναῶν πλόον	Bene-odorato ex adyto, navium classem
Εἶπε Λερναίας ἀπ' ἀκτᾶς	Dixit Lernæo à littore
Στέλλειν ἐς ἀμφιθάλασσον	Deducere ad undique-mari-cinctam
Νομόν. Ενθα ποτὲ	Regionem. Ubi quondam
Βρέχε Θεῶν βασιλεὺς ὁ μέγας	Irrigavit Deorum Rex magnus
Χρυσέαις νιφάδεσσι πόλιν,	Aureis nivibus urbem,
Ανίχ' Αφαίστου τέχναισι	Quando Vulcani artibus
Χαλκελάτῳ πελέκει,	Ex-ære-ducta bipenni,
Πατέρος Αθαναία κορυφὰν κατ' ἄκραν	Patris Minerva vertice è supremo
Ανορούσαισ', ἀλάλα-	Prosiliens, vocifera-
ξεν ὑπερμάκει βοᾷ·	ta-est ingenti clamore:
Οὐρανὸς δ' ἔφριξέ νιν καὶ Γαῖα μάτηρ.	Cœlum autem horruit ipsam & Terra mater.

Paraphrasis.

Quo ex facinore comperimus animi perturbationes cadere etiam in sapientes viros, illosque ut tum Tlepolemus, in magnos errores ab iis impelli. Hac autem cæde perpetrata consuluit oraculum Apollinis. Qui Deus aureis comis insignis, respondens ex odoratis templi adytis, ei significavit, ut relicto Argivo solo, classe se conferret ad Rhodum insulam mari cinctam: ubi aliquando Jupiter magnus ille Deorum rex, aureo pluens imbre urbem irrigavit: quum arte Vulcani, æreaque ejus securi jussit gravidum sibi caput aperiri, ex quo ingenti cum clamore, qualis est bellantium, impetu prosiliens Minerva, cœlum, terramque ad horrorem usque perterrefecit.

54 Τᾶσδε ποτὲ χθονὸς οἰκιστὴρ] Aliqui refer. ad Tirynthem, quam olim habitavit Tlepolemus. Lonicer. 56 Παρέπλαξαν] Gl.MSS. α.β.γ. Παρεπλάνησαν. γ. ἐξέβαλον τοῦ ὀρθοῦ σκοποῦ. Schol. MSS. β. γ. Ἰσέον, ὅτι ἀπὸ τοῦ πλάζω, ὃ σημαίνει τὸ πλανῶ, γίνεται ὁ μέλλων πλάξω, ὁ ἀόριστος ἔπλαξα· καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἔπλαξαν, καὶ παρέπλαξαν. Eodem sensu MSS. Bodl. & α. MS. Pal. C. leg. παρέπλαγξαν, & secutus est Schmid. nos vero MSS. nostrorum lect. servamus. Steph. & alii includ. αἱ δὲ φρενῶν usque ad σοφόν intra παρένθεσιν. Verum sæpius occurrunt breves ejusmodi sententiæ perlegenti hunc autorem, quare omisimus illius notam. 57 Schmid. de lect. ἐς θεὸν quærit, an non debeat scribi θεοῦ ubi forsan ναὸν intelligi velit, uti apud Romanos *ad Minerva*, &c. Nempe istam significationem tribuimus verbis, attamen retinemus vocem θεὸν nec desunt exempla ejusmodi locutionis. 59 Εὐώδεος] Gl.MSS.β.γ.Μεμυρισμένου.Αδύτου] Schol.MS.β. ὁ ἄδυτος ὁ μὴ εἰσβατὸς τόπος. Ald. leg. ἐξ ἀδύτου ναῶν, πλόον· & refert ναῶν ad ἀδύτου, non vero πλόον. 60 Ακτᾶς] Gl.MS.γ. τῆς παραθαλασσίας. 61 Στέλλειν] Schol. & alii leg. εὐθῦν' ἐς, sed Schol. in text. suffecto. MSS. Bodl. & C. 71. leg. στέλλε, quod perinde est. 62 Aliqui leg. νόμον incommodius. 64 Χρυσέαις & --έαισι leg. Schol. 68 Αλάλαξεν leg. MS. γ. in eodem versu. 69 MS. Bodl. leg. ὑπέρ.

[Χθονὸς οἰκιστήρ.] τῇ δόξῃ ὁ Πίνδαρος ἕπεται τῶν ἱστορούντων, διὰ τιμάς τινας καὶ ἀρχὰς τὸν Τληπόλεμον εἰργάσθαι τὸν φόνον. διὰ γὰρ τὸ χολωθεὶς, τὸ τοιοῦτον ὑποφαίνει. [Αἱ δὲ φρενῶν ταραχαί.] γνωμικῶς. αἱ δὲ ἀκριτόμυθοι καὶ προπετεῖς ὀργαὶ, ἤδη πῃ καὶ τοὺς σοφοὺς διασφάλλεσθαι ποιοῦσι. τοῦτο δὲ, μέση παρεμβολή. [Μαντεύσατο δ' ἐς θεὸν ἐλθών.] ὡς οὖν ἀπέκτεινεν ὁ Τληπόλεμος τὸν Λικύμνιον, φεύγων τὸ μύσος, εἰς Δελφοὺς ἐλθὼν, ἐμαντεύσατο, ὅποι χρὴ βαδίσαι. ὁ τοίνυν Απόλλων, ἔχρησεν αὐτῷ, ὥστε ἀπὸ τῆς ἀκτῆς τῆς Λερναίας· τουτέστι τοῦ Αργους, ἰθύνειν καὶ ὁρμᾷν διὰ πλοίων ἐπὶ τὴν χώραν τῆς νήσου τῶν Ροδίων. [Εὐώδεος ἐξ ἀδύτου.] τοῦ τεθυμιαμένου ἀδύτου. λέγει δὲ τὸν κατὰ τὴν Πυθῶνα. [Λερναίας ἀπ' ἀκτᾶς.] ἀπὸ τοῦ Αργους. ἡ γὰρ Λέρνη, κατὰ μέν τινας, κρήνη· κατὰ δέ τινας, λοχμῶδες χωρίον. ἐν ᾗ μυθεύουσιν καὶ τὴν ὕδραν καταδεδυκέναι. φασὶ καὶ τὴν Αβυσσον κρήνην αὐτόθι εἶναι. ἕτεροι δὲ, καὶ πόλιν φασίν. ὁ δὲ νοῦς. εὐθῦναι τὴν ναῦν, εἰς τὴν νῆσον Ρόδον. ἐν ᾗ νήσῳ ὁ βασιλεὺς τῶν θεῶν Ζεὺς Χρυσέαις· καὶ τὰ ἑξῆς. [Εὐθῦν' ἐς ἀμφιθάλασσον.] οἱ μὲν, ἀντὶ τοῦ εὐθῦναι. οἱ δὲ, ἀντὶ τοῦ εὐθέως. ἀμφιθάλασσον δὲ, τὴν ἑκατέρωθεν θαλάσσῃ περιεχομένην· νομὸν δὲ, τὴν κατανομήν. [Χρυσέαισι νιφάδεσσι.] τοῦτο ἄντικρυς ἐκ τοῦ ἀθετουμένου Ομηρικοῦ στίχου, εἴληφεν ὁ Πίνδαρος. Καί σφι θεσπέσιον πλοῦτον κατέχευε Κρονίων. [Ανίχ' Αφαίστου τέχναισι.] τὸν καιρὸν καθ' ὃν ὁ Ζεὺς ἐν Ρόδῳ χρυσὸν, διὰ τῆς ἱστορίας ἐπισημαίνεται. καὶ φησὶν ὅτι, ἡνίκα ὁ Ζεὺς διαιρεθείσης αὐτοῦ τῆς κεφαλῆς, ὑπὸ πελέκεως τοῦ Ηφαίστου, ἀνέδωκεν ἐκ τῆς κορυφῆς τὴν Αθηνᾶν. ἡ δὲ, ἀνορούσασα καὶ ἔκδηλος γενομένη, μέγιστον ἐβόησε. [Χαλκελάτῳ πελέκει.] οἱ μὲν Παλαμάονα λέγουσι ῥῆξαι τὴν τοῦ Διὸς κεφαλὴν, ὅτε Αθηνᾶ ἐγεννᾶτο. οἱ δὲ Ερμῆν· οἱ δὲ, Προμηθέα· Αρίσταρχος δέ φησιν, ὑφίσταται τὴν γέννησιν Αθηνᾶς ἐν Κρήτῃ· νέφει γάρ φησι κεκρύφθαι τὴν θεόν· τὸν δὲ Δία πλήξαντα τὸ νέφος, προφῆναι αὐτήν. [Αλάλαξεν.] ὀξὺ ἀνεβόησε. διὰ δὲ τούτου, τὸ φιλοπόλεμον τῆς θεοῦ ἐχαρακτήρισεν. ἡ γὰρ ἀλαλαγὴ κυρίως ἐπὶ τῆς τῶν πολεμίων συμβολῆς γίνεται. εἴτ' οὖν λέγεται, καὶ ἐπὶ τῶν ἐκ βακχευμάτων.

[Τότε

στροφὴ γ΄. κώλων ια΄.

Τότε καὶ φαυσίμβροτος
Δαίμων Ὑπεριονίδας
Μέλλον ἔντειλεν φυλάξα-
σθαι χρέος παισὶν φίλοις,
Ὡς ἂν Θεᾷ πρῶτοι κτίσαιεν
Βωμὸν ἐναργέα, καὶ
Σεμνὰν θυσίαν θέμενοι,
Πατρί τε θυμὸν ἰάναιεν, Κόρᾳ τ᾽ ἐγ-
χειβρόμῳ. Εν δ᾽ ἀρετὰν
Εβαλεν καὶ χάρματ᾽ ἀνθρώ-
ποισι Προμαθέος αἰδώς.

METAPH.

Tunc etiam illuminans-mortales
Deus Hyperionides
Futurum mandavit obſerva-
re negotium-utile filiis charis,
Ut Deæ primi conderent
Aram conſpicuam, &
Venerando ſacrificio facto,
Cum Patri animum ſanarent, tum Puellæ ha-
ſtifremæ. Virtutem autem
Injicere-ſolet & gaudia homini-
bus Promethei reverentia.

ἀντιστροφὴ γ΄. κώλων ια΄.

Επὶ μὰν βαίνει τι καὶ
Λάθας ἀτέκμαρτα νέφος,

METAPH.

Sed ſupervenire-ſolet quædam etiam
Oblivionis ex-improviſo nubes,

PARAPHRASIS.

Tunc autem quum Jupiter erat pariturus, Deus ille Hyperionis filius Sol, qui ſuo lumine homines illuſtrat, Rhodiis dilectis filiis mandavit, rem illam, ſcilicet Minervæ nativitatem, diligenter obſervarent, ut Deæ primi aram conderent: & ſacra facerent, quibus animum patris & puellæ armipotentis exhilararent: cum futurum eſſet, ut qui hoc primi feciſſent, habitaturam apud ſe Deam retinerent. Verum ut venerandus Prometheus, conſiliis quidem virtutem & lætitiam animo immittit humano: ſed interdum accedit oblivionis improviſa nebula,

NOTÆ.

71 MSS. C. 71. & Bodl. leg. φαυσίμβροτος. 73 Εντειλεν] Gl. MS. γ. Παρήγγειλε. Schol. Νεωτ. & Steph. aliique hab. ἔντειλε· ſed ν recte apponitur ad producend. ſyllabam. 74 Μέλλον χρέος] Schol. MS. γ. τουτέστιν τὴν οἴκησιν, ἣν ἔμελλεν ἡ Ἀθηνᾶ ποιήσασθαι ἐν τοῖς Ροδίοις· καὶ μὴ γένηταί τι ἐμπόδιον, πρὸς τὸ μὴ οἰκῆσαι ἐν αὐτοῖς. MS. γ. leg. πᾶσι παισί, ubi vox πᾶσι redundat, ut conſtat ex aliis Strophis. 75 Pal. C. leg. Θεῷ. 77 Σεμνὴν leg. MS. γ. 78 Εγχειβρόμῳ] Gl. MSS. β. γ. Πολεμικῇ. Schol. Νεωτ. leg. ἐγχειβρόμῳ. 80 Χάρματα] Gl. MS. γ. Περιτερπήματα. 81 Steph. aliorumque Editt. leg. Προμαθέως. Προμηθέως Schol. Νεωτ. ſed ultima ſyllaba brevis eſſe debet. Αἰδώς] Gl. MS. γ. Σεμνότης. 82 MS. γ. leg. μέν. 83 Omnia exempl. hab. ἀτέκμαρτον metro repugn. Ideo leg. ἀτέκμαρτα Schmid. ſecut. Adverbialiter pro ἀτεκμάρτως. Quo & Syneſius utitur de Inſomniis· Ἀτέκμαρτα πλεῖ navigat inconſiderate, nulla ſigna obſervans.

[Τότε καὶ φαυσίμβροτος.] ὁ νοῦς. τότε οὖν ἡνίκα ἔμελλεν τίκτεσθαι ἡ θεὸς, ὁ Ἥλιος τοῖς ἑαυτοῦ παισὶ τοῖς περὶ Ὄχιμον καὶ Κέρκαφον, ἐπετείλατο τὸ μέλλον πρᾶγμα, τὴν Ἀθηνᾶς τὴν γένναν παραφυλάξασθαι, καὶ θυσίας ποιῆσαι· καὶ ὅπως τῇ θεῷ θυσίας πλήθοντα βωμὸν ἐναργῆ κτίσειαν· τοῦτ᾽ ἐστίν τε πηξάμενοι, ἐπιθύειν. τήν τε ψυχὴν τοῦ πατρὸς αὐτῆς Διὸς τέρψαιεν, καὶ αὐτῆς τῆς γεννηθείσης παρθένου τῆς πολεμικῆς. ἔγχος μὲν γὰρ, τὸ δόρυ· βρόμος δὲ ὁ ἦχος. [Ἄλλως.] ὁ Ἥλιος, φησὶ, παρεκελεύσατο τοῖς ἑαυτοῦ παισὶ † καὶ Ρόδου μελλούσης γεννᾶσθαι τὴν Ἀθηνᾶς, ὅπως αὐτοὶ πρῶτοι θύσωσιν. ἐκεῖ γὰρ μέλλειν οἰκεῖν τὴν θεὸν, παρ᾽ οἷς ἂν πρῶτον θυσία αὐτῇ ἐπιτελεσθῇ. ἀνερχόμενοι δὲ εἰς τὴν ἀκρόπολιν πρῶτοι οὗτοι, ἐπελάθοντο πῦρ κομίσαι. συνέβη οὖν πρώτους Ἀθηναίους θῦσαι. διόπερ καὶ τὴν θεὸν, αὐτόθι καθιδρυθῆναι. τιμῆσαι δὲ καὶ τὴν θεὸν τοὺς Ροδίους. διὰ τοῦτο δέ φασι τοὺς Ροδίους ἄπυρα θύειν. ὥσπερ οἱ πρῶτοι τῇ Ἀθηνᾷ ἔθυσαν. τινὲς δὲ ὅτι καὶ φυλαξάντων αὐτῶν ὑπερησθεὶς ὁ Ζεὺς, πλοῦτον καὶ εὐδαιμονίαν παρέσχε· δωρησαμένης καὶ αὐτῆς τῆς Ἀθηνᾶς, τὴν περὶ τὴν τέχνην ἀρετήν. [Δαίμων Ὑπεριονίδας.] ὁ Ὑπερίονος παῖς. Ὑπερίων δὲ, εἷς τῶν Τιτάνων, κατὰ τὴν τοῦ Ἡσιόδου Θεογονίαν· Θεία δὲ, Ἠέλιόν τε μέγαν, λαμπράν τε Σελήνην, Ἠῶ θ᾽, ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει, Γείναθ᾽ ὑποδμηθεῖσ᾽ Ὑπερίονος ἐν φιλότητι. οἱ δὲ αὐτὸ ἐπιθετικῶς ἀκούουσιν ἐν τύπῳ πατρωνυμικοῦ. ὁ ὑπὲρ γῆν ἱέμενος, ἢ ὑπὲρ ἡμᾶς πορευόμενος. [Βωμὸν ἐναργέα·] ἤτοι τῇ κατασκευῇ πολυτελῆ τυγχάνοντα, ἢ τὸν ἐναργῶς γενόμενον, παρὰ τὸν τῆς γενήσεως καιρόν. πρῶτοι γὰρ ἔθυσαν. διὸ ἔμελλεν ἐπίσημος εἶναι περὶ τὸ πλῆθος τῆς τελουμένης θυσίας. [Σεμνὰν θυσίαν.] τοῦτο πρὸς τὸν τῆς Ἀθηνᾶς τρόπον. σεμνῶς γάρ φασι τὰ θύματα αὐτῇ τελεῖν. [Εγχειβρόμῳ.] τῇ παρὰ τῷ πολέμῳ βρεμούσῃ. [Εν δ᾽ ἀρετὰν ἔβαλεν.] δύναται ὁ λόγος γνωμικὸς εἶναι. ἔχει δὲ τὸ σαφὲς, οὕτως. ἐπέβαλε δὲ ἀρετὴν καὶ ἡδονὴν τοῖς ἀνθρώποις, ἡ περὶ τὰ πράγματα πρόγνωσις. ὃ δέ φησι, τοιοῦτόν ἐστιν. οἱ περὶ τῶν μελλόντων πραγμάτων τὸ δέον προσκοπήσαντες, καὶ τοῦτο προδιδαχθέντες, οὗτοι εἰς ἀρετὴν καὶ ἡδονὴν ἔρχονται. ἔνιοι δὲ οὕτως ἐνόησαν. ἐκ δὲ ταύτης τῆς αἰτίας, καὶ αἰδὼς ἡ ὑπάρξασα εἰς τὴν θεὸν ἡ ἐκ προμηθείας καὶ τῆς προγνώσεως, χαρὰν αὐτοῖς καὶ εὐθυμίαν καὶ ἀρετὴν παρέσχεν. [Επὶ μὰν βαίνει.] ἐνίοτε δὲ καὶ τοῖς ἀκοῦσι τὴν προμήθειαν, καὶ προσκοπουμένοις τὸ μέλλον ἐπιβαίνει τι καὶ λήθης, ἴδιον νέφος. ἐπὶ δὲ τῶν Ροδίων ὁ λόγος. ὅτι καίπερ προδιασταλαμένου τοῦ Ἡλίου αὐτοῖς θῦσαι τῇ Ἀθηνᾷ κατὰ τὴν γένεσιν, καὶ αὐτοὶ μεμνημένοι ταύτῃ συντελέσαι, συντελοῦντες, τὸ πρὸς τὴν κατασκευὴν τι ἔλιπον, ὅ ἐστι τὸ πῦρ.

† Ed. Brub. hab. ἡ Ρόδου. ſed docta manu-not. ἤτοι Ροδίοις, quæ ſane eſt vera lectio.

Καὶ παρέλκει πραγμάτων ὀρ-	Et avertere rerum *agendarum* re-
θὰν ὁδὸν γ' ἔξω φρενῶν.	ctam viam extra mentem.
Καίτοι γὰρ αἰθύσας ἔχοντες	Etenim ardentis non habentes
Σπέρμ' ἀνέβαν φλογὸς οὔ·	Semen ascenderunt flammæ:
Τεῦξαν δ' ἀπύροις ἱεροῖς	Feceruntque igne-carentibus sacrificiis
Ἄλσος ἐν ἀκροπόλει. Κείνοισι μὲν ξαν-	Locum-sacrum in arce. Illis quidem fla-
θὰν ἀγαγὼν νεφέλαν,	vam inducens nubem,
Πολὺν ὗσε χρυσόν· Αὐτὰ	Copiosum pluit aurum *Jupiter*: Ipsa
Δέ σφισιν ὤπασε τέχναν	Vero illis præbuit artificium
ἐπῳδὸς γ'. κώλων ιγ'.	ΜΕΤΑΡΗ.
Πᾶσαν, ἐπιχθονίων,	Omne, ut terrestres *homines*,
Γλαυκῶπις, ἀριστοπόνοις χερσὶ κρατεῖν.	Cæsia, optime-operantibus manibus vincerent
Ἔργα δὲ ζωοῖσιν ἑρπόν-	Opera autem animalibus reptili-
τεσσί θ' ὁμοῖα κέλευθοι	busque similia viæ
Φέρον· ἦν δὲ κλέος	Ferebant: eratque gloria
Βαθύ. Δαέντι δὲ καὶ σοφία	Ingens. Gnaro autem etiam sapientia

PARAPHRASIS.

quæ mentes hominum à recta rei gerendæ ratione avocat. Sic hujus quidem rei præscientia, animos illorum studio Deæ lætos reddidit: sed oblivio effecit ut aliquid ad rem gerendam necessarium deesset. Etenim Rhodii, quum in arcem ascenderunt, sacra in templo ibi extructo facturi, ignem non habuerunt. Quo quamvis caruerunt in peragenda re sacra: nihilominus Jupiter & Minerva studium boni consulentes, ille adducta nube flava, aureum imbrem effudit: hæc vero Dea cæsiis oculis artem omnem ipsis præbuit, & statuariam in primis: in qua manibus industriis optime exercenda sic excelluerunt, ut mortales omnes superarint. Eorum autem artificium præstantia cernebatur in operibus eximiis, quæ passim in compitis urbis extabant, tam scite elaborata, ut vivis & gradientibus similia viderentur. Atque hinc Rhodiis obtigit ingens gloria: quibus ad hanc artem natura bene comparatis, accessit institutionis à Minerva acceptæ complementum. Et certe perfectiora edit opera, quisquis ingenii dexteritatem arte expolivit. Siquidem qui præceptis ingenium excoluit, majorem solertiam

NOTÆ.

85 MSS. Bodl. & α. omitt. γ'. 86 Ἔχοντες] Gl. MS. β. Φέροντες. 87 Σπέρμα φλογὸς] Gl. MS. γ. Ἀνθρακιάν. 88 Τεῦξαν] Gl. MS. γ. Ἐποίησαν. 89 Ἄλσος] Gl. MS. γ. Ἱερουργίαν. Κείνοις leg. MSS. Bodl. α. β. γ. 90 Ald. & Pal. C. addunt Ζεὺς ad finem hujus κῶλ. Sed Scholion est in versu superfluum. 92 Edit. Steph. & MS. C. 71. leg. σφίν. Ὤπασε] Gl. MS. γ. Ἐχάρισε. 94 Κρατεῖν] Gl. MS. α. Νικᾶν. γ. κυριεύειν. 95 Ἑρπόντεσσι] Gl. MS. γ. Περιπατοῦσι. Ἑρ-- conclud. κῶλον in MSS β. γ. quæ transfer. πόν-- in init. seq. 98 Δαέντι κ. λ.] Ita explicat Schmid. Artifices tantum de his judicare possunt; imo qui veri Artifices sunt majora, quam hæc opera, quæ descripsit antea, imitata serpentia, & se moventia animalia, sine præstigiis & fuco efficere possunt. Ita sc. ad Pind. verba accommodat, τῷ δαέντι, i. e. gnaro artis statuariæ etiam μείζονα σοφίαν, seu majorem artem, ἄδολον τελέθειν, dolo carere. Hac ratione etiam καὶ inusitata positio, qualis Schol. Νεωτ. videtur, excusatur. Alias interpret. Schol. Hanc sane interpretat. judicamus maxime consentaneam Autori nostro, qui sæpissime post narrationem prægrandem quæ veritatem nudam excedere alias videretur, quædam ad hanc objectionem qu. diluendam subjicit; plane qu. sibi conscius reprehendendi alios ob mendacia, ipse in hanc partem offendere vereatur.

[Καὶ παρέλκει πραγμάτων.] ὁ νοῦς οὕτως ἔχει. καὶ γὰρ οἱ Ῥόδιοι προμαθόντες παρὰ τοῦ Ἡλίου τὴν τῆς Ἀθηνᾶς γένεσιν, καὶ κατακούσαντες παρ' αὐτοῦ τὸ θῦσαι τῇ θεᾷ παρ' αὐτὴν τὴν ἱερουργίαν, τῆς χρειωδεστάτης πρὸς τὰς θυσίας ἐπελάθοντο. οὐκ ἔχοντες γὰρ πῦρ, ἀνῆλθον ἐς τὴν ἀκρόπολιν· ἔνθα οἱ βωμοί. καὶ ἄνευ πυρὸς θύοντες, τὸ ἱερὸν ἐποιήσαντο ἐν τῇ ἀκροπόλει. [Καίτοι γὰρ αἰθύσας.] τῆς καυστικῆς, παρὰ τὸ αἴθειν. τὸ δὲ οὐ ἐπίρρημα, προσαπτέον τῷ ἔχοντες· ἵν' ᾖ, οὐκ ἔχοντες. φλογὸς δὲ σπέρμα, τὸ πῦρ. ὡς καὶ Ὅμηρος· Σπέρμα πυρὸς σώζων. [Αὐτὰ δέ σφισιν.] αὐτὴ δὲ ἡ Ἀθηνᾶ κατὰ πᾶσαν χειρουργικὴν τέχνην, τὸ ἄριστον αὐτοῖς ἀπένειμεν. [Ἔργα δὲ ζωοῖσιν.] τὰ γὰρ ὑπ' αὐτῶν δημιουργούμενα καὶ ἐργαζόμενα, τοιαῦτα καὶ ὀφθῆναι ἐπὶ τῆς γῆς, οἷα καὶ αὐτὰ τὰ ἔμψυχα κινούμενα. ἄριστοι γὰρ περὶ τὴν τῶν ἀνδριάντων κατασκευὴν οἱ Ῥόδιοι. αὐτοὶ γὰρ πρῶτοι οἱ Ῥόδιοι, τὴν τῶν ἀνδριάντων ἐξεῦρον δημιουργίαν· τὸ πρῶτον οὐχ οὕτω τιμωμένων. Ἀρίσταρχος δέ, τὰ κατὰ Δαίδαλον αὐτόν, φησί, μεταφέρειν νῦν ἐπὶ τῶν κατὰ τὴν Ῥόδον τεχνιτῶν. ὅτι τοιαῦτα κατεσκεύαζον ἔργα. Πολέμων μὲν γάρ φησι παρὰ Χίοις μέν, τὸν Διόνυσον δεδέσθαι. καὶ παρ' Ἐρυθραίοις δὲ τὸ ἕδος τῆς Ἀρτέμιδος. καὶ ὅλως πολὺν κατατείνεσθαι λόγον περὶ τῶν ἀγαλμάτων, ὡς μὴ μενόντων, ἀλλὰ προσδεομένων ἄλλοισε πλεονάκις. [Ἄλλως. Ἔργα δὲ ζωοῖσι.] παρὰ τὸ Ὁμηρικόν· Χρύσειαι ζωῇσι νεήνισιν εἴκυῖαι. Κέλευθοι δὲ νῦν, τὰ ἐν τῇ πόλει ἄμφοδα. [Ἦν δὲ κλέος βαθύ.] ἐκ δὲ τούτου βαθὺ κλέος καὶ πολλὴ δόξα προσῆν αὐτοῖς. [Δαέντι δὲ σοφία.] ἀντὶ τοῦ δαέντος ἡ σοφία, καὶ μείζων καὶ ἄδολος τελέθει. ἀδύνατον γὰρ ἔν τισι ποιήσασθαι ἐπίδειξιν μὴ μαθόντα. βέλτιον δὲ οὕτως. οἱ παρατυχόντες καὶ μαθόντες σοφίαν ἀπ' αὐτῶν καὶ ἔντεχνον αὐτοῖς λέγουσι καὶ ἄδολον ὅ ἐστιν ἁπλῆν. ἢ οὕτω. τῷ μαθόντι καὶ ἡ ἄδολος σοφία μείζων γίνεται. τὸ δὲ σαφές, οὕτως ἔχει. τῷ δὲ μετ' εὐφυΐας μεμαθηκότι τὴν σοφίαν, καὶ ἐπὶ τὸ μεῖζον ἀδόλως καὶ ἀνεμποδίστως ἐπαίρεται, ὡς τῶν Ῥοδίων εὐφυῶν μὲν ὄντων κατὰ φύσιν, προσδεξαμένων δὲ καὶ τὴν τέχνην. καὶ οὕτως ἐξ ἀμφοτέρων τῆς μαθήσεως αὐτῶν ἐπὶ τὸ ἄκρον ἐλθούσης.

Μείζων ἄδολος τελέθει.	Major doli-expers est.
Φαντὶ δ' ἀνθρώπων παλαιαὶ	Aiunt autem hominum antiqui
Ῥήσιες, Οὔπω, ὅτε	Sermones, Nondum, quando
Χθόνα δατέοντο Ζεύς τε καὶ Ἀθάνατοι	Terram partiebantur Jupiterq; & Immortales
Φανερὰν ἐν πελάγει	Manifestam in fluctibus
Ῥόδον ἔμμεν ποντίῳ·	Rhodum fuisse marinis:
Ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι.	Sed salsis in profunditatibus insulam latuisse.
στροφὴ δ'. κώλων ια'.	Μεταρ.
Ἀπεόντος δ' οὔτις ἔν-	Absentis autem nemo in-
δειξεν λάχος Ἀελίου·	dicavit sortem Solis:
Καί ῥά μιν χώρας ἀκλάρω-	Et sane ipsum terræ exsor-
τον λίπονθ' ἁγνὸν Θεόν.	tem reliquerunt castum Deum.
Μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλ-	Recordato autem Jupiter resortitionem e-
λεν θέμεν· ἀλλά μιν οὐκ	rat-facturus: sed eum non
Εἴασεν· ἐπεὶ πολιᾶς,	Sivit: quoniam canum,
Εἶπε, τιν' αὐτὸς ὁρᾶν ἔνδον θαλάσσας	Dixit, quandam seipsum videre intra mare
Αὐξομέναν πεδόθεν	Crescentem funditus
Πολύβοσκον γαῖαν ἀνθρώ-	Multi-altricem terram homini-
ποισι, καὶ εὔφρονα μάλοις.	bus, & benignam pecoribus.
ἀντιστροφὴ δ'. κώλων ια'.	Μεταρ.
Ἐκέλευσεν δ' αὐτίκα	Jussit autem statim

PARAPHRASIS.

doli expertem adipiscitur. Cæterum veteres fabulæ ferunt, Rhodum insulam, quum Jupiter, aliique Dii terram partiebantur, nondum in mari alto manifestam extitisse: sed in salsas profunditates immersam latuisse. Sed cum Sol abesset interim dum altero in Hemisphærio curriculum absolvebat, nullus Deorum meminit illi relinquendam esse sortem: Deumque illum qui suis radiis omnia repurgat & illustrat, regionis exsortem prætermiserunt. Quod cum Jovi in memoriam revocasset, Jupiter sortitionem iterare statuebat. Sed Sol non passus est: quia dixit videre in cano mari è fundo sese attollentem terram, quæ multis hominibus alendis esset idonea, & jucunda pecudibus pabula procreare posset. Tum protinus exegit

NOTÆ.

99 Μείζων] Gl. MS. ϐ. Μεγαλότερος. Τελέθει] Gl. MS. γ. Ὑπάρχει. 100 Παλαιαὶ] Gl. MS. γ. Ἀρχαῖαι. 105 Alii leg. βένθεσι. In MSS. ϐ. γ. βένθεσιν est ultima vox hujus versus & Νᾶσον κεκρύφθαι col. effic. 106 Ἐνδεῖξεν] Gl. MS. γ. Ἀνέμνησεν. 108 Χώρας] Gl. MS. γ. Ἐπαρχίας. Ἀκλάρωτον] Gl. MS. γ. Ἀκληρονόμητον. 109 Λίπονθ' ἁγνὸν] Ald. & MSS Bodl. α. & Pal. A. B. C. λίπον ἁγνὸν. sensu quidem eodem manente, non metro. 110 Μέλλεν] Gl. MSS. ϐ. γ. Ἔμελλε. 116 Εὔφρονα μάλοις] Gl. MS. α. Εὐφραντικήν. ϐ. γλυκεῖαν τοῖς προβάτοις. Μήλοις leg. MSS. C. 71. & γ. & Schol.

[Φαντὶ δ' ἀνθρώπων παλαιαὶ ῥήσιες.] οὔπω γὰρ τῶν ἱστοριογράφων ὄντων, οἱ κατὰ καιροὺς ποιηταὶ παρὰ τῶν ἐν ταῖς πόλεσι λογίων καὶ γεγηρακότων οἷς ὁ χρόνος τὸ ἀκριβὲς τῆς γνώσεως ἐμαρτύρει, τὰς ἱστορίας καταλαβόντες ἐμάνθανον. λέγει δὲ τοιοῦτόν τι. καθ' ὃν χρόνον οἱ Θεοὶ τὸν ὅλον κόσμον πρὸς ἑαυτοὺς διεμερίζοντο, ἀπόντος τοῦ Ἡλίου, καὶ τὸν ἑαυτοῦ διανύοντος δρόμον, οὐδὲ εἷς τῶν Θεῶν ὑπέμνησεν, ὥστε καὶ αὐτῷ τοῦ κόσμου μερίδα φυλαχθῆναι. οὐδέπω δὲ ἡ Ῥόδος ἦν ἐκ θαλάσσης ἀναδοθεῖσα. διὸ καὶ ἀκλήρωτος μείνας ὁ Θεὸς, ταύτην εἵλετο τὴν μερίδα· ἱερὰν αὐτῷ τὴν νῆσον ἐπιγραψάμενος. ἁγνὸν δὲ Θεὸν τὸν Ἥλιον, οὐχ ὅτι καθ' ἑαυτὸν ἁγνός ἐστιν, ἀλλ' ὁ ἁγνίζειν τῇ ἀκτῖνι δυνάμενος. [Ἄμπαλον μέλλεν θέμεν.] ἀνακλήρωσιν. ἀπὸ τοῦ Ὁμήρου· Κλήρῳ νῦν πεπάλαχθαι. ὁ δὲ νοῦς. ὑπομνησαμένῳ δὲ τῷ Ἡλίῳ, ἀνακλήρωσιν ἔμελλεν ποιῆσαι ὁ Ζεύς. ἀλλ' οὐκ εἴασεν αὐτὸν τοῦτο ποιῆσαι ὁ Ἥλιος. ἐπειδὴ εἶπεν ἔνδον τῆς θαλάσσης καὶ ἐν τῷ βυθῷ ὁρᾶν παραυξομένην καὶ ἐγειρομένην, ἐκ τοῦ πέδου ἐσομένην. ταύτην γὰρ πρός τε ἀνθρώπων χρησιμωτάτην, καὶ πρὸς πάντα τὰ ζῶα, εὔβοτον καὶ εὔφρονα· ἀπὸ μέρους τῶν προβάτων. [Πολύβοσκον.] μεγάλως καὶ πολλοὺς θρέψαι δυναμένην. ἐν ἴσῳ δὲ τῷ Ὁμηρικῷ, Πουλυβότειραν. [Μήλοις.] καταχρηστικῶς πᾶσι τοῖς ἀλόγοις ζώοις. τουτέστιν, ἀπὸ μέρους τὸ πᾶν. [Ἐκέλευσεν δ' αὐτίκα.] ἐκέλευσε δὲ ὁ Ἥλιος παραχρῆμα τὴν μὲν Μοῖραν Λάχεσιν ἐπιχειροτονῆσαι τῷ λόγῳ. τοὺς δὲ Θεοὺς ὀμόσαι μηδένα παρερεῖν· μηδὲ παραπεῖσαι τὸν Δία περὶ τῆς μελλούσης φαίνεσθαι χώρας ὑπ' αὐτοῦ. πιθανῶς δὲ τὴν Λάχεσιν, ἐπεὶ περὶ κλήρου ἐστί.

[Χρυσάμ-

Χρυσάμπυκα μὲν Λάχεσιν
Χεῖρας ἀντεῖναι, Θεῶν δ' ὅρ-
κον μέγαν μὴ παρφάμεν,
Αλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι,
Φαεινὸν ἐς αἰθέρα μιν
Πεμφθεῖσαν, ἑᾷ κεφαλᾷ
Εξοπίσω γέρας ἔσσεσθαι. Τελεύτα-
σαν δὲ λόγων κορυφαὶ
Εν ἀλαθείᾳ πετοῖσαι.
Βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς

ἐπῳδὸς δ'. κώλων ιγ'.

Νᾶσος· ἔχει τέ μιν ὀ-
ξειᾶν ὁ γενέθλιος ἀκτίνων πατὴρ,
Πῦρ πνεόντων ἀρχὸς ἵππων.
Ενθα Ρόδῳ ποτὲ μιχθεὶς
Τέκεν ἑπτὰ, σοφώ-
τατα νοήματ' ἐπὶ προτέρων

Aureo-redimitam-reticulo Lachesin
Manus porrigere, Deorumque jura-
mentum magnum non fallere,
Sed Saturni cum filio annuere,
Lucidum in aerem ipsam
Emissam, suo capiti
Deinceps honorarium fore. Finem-assecu-
ta-sunt autem sermonum capita
In veritate cadentia.
Enata-est sane ex mari humido

Metaph.

Insula: habetque ipsam acu-
torum genitivus radiorum pater,
Ignem spirantium dux equorum.
Ibi Rhodo *nympha* olim mixtus
Genuit septem, sapientissi-
mas cogitationes tempore priorum

Paraphrasis.

à Lachesi, aureo reticulo insigni, ut porrecta manu per Stygiam paludem, maximum & sanctissimum Deorum juramentum juraret nec falleret, sed cum Jove annueret, insulam illam quum è mari emersisset, & in lucem prodiisset, sibi pro præmio in sortem obventuram. Hæc autem petitio optatum eventum est sortita. Utque vera loquebatur Sol quum dicebat se in mari profundo videre terram, sese ad emergendum attollentem: sic eam postulatam impetravit. Atque emersit quidem è mari humido insula quam obtinet genitalis ille radiorum ardentium pater, & equorum ignem spirantium rector. Ubi olim compressa Rhodo Nympha septem genuit liberos, nempe Cercaphum, Actim, Macareum, Tenagem, Triopem, Phaethontem, & Ochimum, qui priscorum virorum tempore magno valuerunt ingenii acumine & solertia, & sapientissimi fuerunt:

Notæ.

118 Λάχεσιν] Gl. MS. Bodl. τὴν κληρωτείαν. 119 Αντεῖναι] Gl. MS. γ. Υψῶσαι. Ανθεῖναι Edit. Steph. 120 Παρφάμεν] Gl. MS. ϛ. Παρειπεῖν. Schol. Pal. C exponit παραβῆναι, qu. esset παρβάμεν. 124 Εσσεσθαι hab. quædam Editt. & MSS. α. & C. 71. 125 Κορυφαὶ] Gl. MS. γ. Αποφάσεις. 126 Αληθείᾳ leg. MS. Bodl. & Edit. Rom. Πετοῖσαι] Gl. MS. γ. Τελειωθεῖσαι. Editt. quædam πεσοῖσαι. Pal. B. πιτοῖσαι, sed supra π hab. script τ. Pal. A. πετεῖσαι. 129 Οξείαν leg. Brubacch. aliorumque Editt. male; commune ὀξειᾶν MS. γ. 130 Πῦρ πνεόντων] Ovid. 2. Met. qui *hinnitibus auras Flammiferis implent.* 131 Μιχθεὶς leg. MS. C. 71. sed χ supra script. habet.

[Χρυσάμπυκα.] ἄμπυξ μὲν κυρίως, κόσμος ἐπιτιθέμενος ταῖς τῶν γυναικῶν κεφαλαῖς. οὗ καὶ Ομηρος μνημονεύει· Αμπυκα κεκρύφαλόν τ' ἠδὲ πλεκτὴν ἀναδέσμην. νῦν δὲ καταχρηστικῶς, τὴν τιμίαν ἀκουστέον. Λάχεσις δὲ μία τῶν Μοιρῶν καλεῖται. τριῶν δὲ οὐσῶν τῶν πασῶν, Ησίοδος μνημονεύει· Κλωθώ τε Λάχεσίς τε, καὶ Ατροπος. ἔστι δὲ τὰ ὀνόματα αὐτῶν, πεποιημένα. καὶ ἡ μὲν Κλωθὼ, παρὰ τὸ συγκλώθειν τὰ ἀνθρώπινα· ἡ δὲ Λάχεσις, παρὰ τὴν κλήρωσιν τὴν ποιὰν, ἣν ἕκαστος γεγονὼς κεκλήρωται. ἡ δὲ τρίτη, Ατροπος. παρὰ τὸ ἀμετάτρεπτον τῆς μοιριδίου ἀνάγκης. [Χεῖρας ἀντεῖναι.] ἀντὶ τοῦ χειροτονηθῆναι ποιῆσαι κατὰ μετωνυμίαν. [Θεῶν δ' ὅρκον.] θεῶν ὅρκον τὴν Στύγα. ταύτην γὰρ καὶ Ομηρος καὶ Ησίοδος εἶπε, καὶ οἶδε. δι' ὧν φασί· Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ· ὅστε μέγιστος Ορκος. φησὶν οὖν, μὴ ἀπατῆσαι, μὴ παραλογίζεσθαι. τουτέστιν, ἐπικυρῶσαι τὸν τῶν θεῶν ὅρκον. τοῦτο δὲ ὡς ὀμωμοκότων αὐτῶν φυλάξειν τὴν ἐν τῇ θαλάσσῃ κρυπτομένην νῆσον. [Φαεινὸν ἐς αἰθέρα·] ἀντὶ τοῦ, ἀλλ' εἰς τὸν λαμπρὸν αἰθέρα, ἀναφανεῖσαν τὴν Ρόδον, αὐτὴν δοθῆναι τῷ Ηλίῳ. [Αλλως.] φαεινὸν κατὰ συγκοπήν. φαεινὸν λαμπρὸν αἰθέρα. νῦν δὲ καταχρηστικῶς, τὸν ἀέρα. [Τελεύτασαν δέ.] ἐτελειώθησαν. ὁ δὲ νοῦς. ἐτελειώθησαν δὲ τούτων τῶν λόγων τὰ κεφάλαια ἐν τῇ ἀληθείᾳ πεσόντα. [Βλάστε μὲν ἐξ ἁλός.] ὁ νοῦς. ἀνεβλάστησε μὲν καὶ ἀνεδόθη ἐκ τῆς θαλάσσης ἡ νῆσος. ἔχει δὲ αὐτὴν εἰς ἰδίαν μοῖραν ὁ Ηλιος, ὁ τῆς τῶν ὀξειῶν ἀκτίνων γενέσεως πατὴρ Ηλιος· καὶ τῶν πῦρ πνεόντων ἡγεμὼν ἵππων. ἐκ δὲ τοῦ ὀξειῶν, τῶν πυρωτικῶν ἀκουστέον. τὴν γὰρ ὀξύτητα, καὶ ἐπὶ πυρώσεως λέγομεν. [Ενθα Ρόδῳ.] ὁ νοῦς. ἐν ᾗ νήσῳ τῇ νύμφῃ Ρόδῳ, μιχθείς ποτε ὁ Ηλιος, ἐγέννησεν ἑπτὰ παῖδας· ἐπὶ τῶν παλαιῶν ἀνθρώπων τοὺς σοφώτατα νοήματα παραδεξαμένους, ἀντὶ τοῦ σοφωτάτους. εἰσὶ δὲ οἱ Ηλίου ἑπτὰ παῖδες, οὗτοι· Κέρκαφος, Ακτὶς, Μακαρεὺς, Τενάγης, Τριόπης, Φαέθων ὁ νεώτατος, Οχιμος. [Αλλως.] Τενάγης, † ἤτοι Φαέθων, ὁ νεώτατος, Ακτὶς, Μάκαρ, Χρύσιππος, Κάνδαλος, Τριόπης. [Τέκεν ἑπτὰ, σοφώτατα] τουτέστι, σοφωτάτους γενομένους. ὁ γὰρ λέγων ὅτι Δημοσθένης ῥήτωρ ἐγένετο τὰ νοήματα τῶν προτέρων ἀνδρῶν παραδεξάμενος, μηνύει ὅτι ῥήτωρ ἄριστος ἐγένετο.

† Corr. vel omitt. ἤτοι, vel add. Τενάγης.

[Ων

Ἀνδρῶν παραδεξαμένους	Virorum qui-acceperunt
Παῖδας· ὧν εἷς μὲν Κάμειρον,	Filios: quorum unus quidem Camirum,
Πρεσβύτατόν τε Ἰά-	Natuque-maximum Ja-
λυσον ἔτεκεν, Λίνδον τ'. Ἀπάτερθε δ' ἔχον,	lysum genuit, & Lindum. Qui secreti agebant,
Διὰ γαῖαν τρίχα δασ-	Terram trifariam disper-
σάμενοι, πατρωΐαν	titi, paternam
Ἀστέων μοῖραν· κέκληνται δέ σφιν ἕδραι.	Urbium sortem: vocatæque-sunt illis sedes.
στροφὴ ί. κώλων ιά.	METAPH.
Τόθι λύτρον συμφορᾶς	Ibi liberatio calamitatis
Οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ	Miserandæ jucunda Tlepolemo
Ἵσταται Τιρυνθίων ἀρ-	Constituitur Tirynthiorum ar-
χαγέτᾳ, ὥσπερ θεῷ,	chiduci, tanquam Deo,
Μάλων τε κνισάεσσα πομπὰ,	Pecorumque nidorosa pompa,
Καὶ κρίσις ἀμφ' ἀέθλοις.	Et judicium de certaminibus.
Τῶν ἄνθεσι Διαγόρας	Quorum floribus Diagoras
Ἐστεφανώσατο δίς· κλεινᾷ τ' ἐν Ἰσθμῷ	Coronatus-est bis: celebrique in Isthmo
Τετράκις εὐτυχέων·	Quater prospera-fortuna-utens:
Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ·	Nemeæq; aliam super aliam *victoriam adeptus*:

PARAPHRASIS.

quorum unus, videlicet Cercaphus ex Cydippe Ochimi filia genuit natu maximum Jalysum, deinde Camirum, tertio Lindum, qui patria terra in tres partes divisa, separatim ac privatim urbes suas incoluerunt: easque sedes singuli à sese denominarunt. Illa in insula Tlepolemo Tirynthiorum & Argivorum regi constituuntur divini honores, qui sint tanquam jucunda sedatio miserandæ calamitatis, quam vagis erroribus à patria exulando expertus erat. Etenim ei tanquam Deo, relatis ex Troia ejus ossibus, templum condiderunt, sacrificia nidorosa magno apparatu peragenda instituerunt, & certamina dedicarunt: in quibus victor Diagoras alba populo bis est coronatus, præterquam quod inclytis in Isthmiis quater prospere rem gessit: Nemeis quoq; bis una serie est potitus,

NOTÆ.

136 Alii leg. --τός. 138 & 139 κῶλα conjungit MS γ. Τρίχα leg. MS. Bodl. 141 Est emphasis in voce τόθι, qu. diceret, in tam divina insula: quam Apollo tantopere dilexit, quam Pallas suo numine claram reddidit, Jupiter aurea pluvia beavit. Lonicerus. 143 Schmid. legendum censet ἵσταται, sed nos lect. MSS. retinemus. Τιρυνθίῳ leg. Pal. A. 145 Μήλων leg. MSS. Bodl. α. γ. & C. 71. 147 Ἄνθεσιν leg. Editt. vulg. non consentiente metro. 150 MSS. α. β. γ. add. καὶ huic κώλῳ, omitt. in init. seq.

[Ὧν εἷς μὲν.] ὧν, τούτων ἑπτὰ παίδων, εἷς, ὁ Κέρκαφος, ἐκ Κυδίππης τῆς Ὀχίμου θυγατρὸς, ἐγέννησε τρεῖς υἱούς. ὧν τὰ ὀνόματα ὁ Πίνδαρος ἐξέθετο. Κάμειρον, Λίνδον, Ἰηλυσὸν, τῶν δύο πρεσβύτερον. ὡς εἶναι τούτους, υἱωνοὺς καὶ οὐ παῖδας Ἡλίου. [Ἄλλως.] Ἡλίου καὶ Ῥόδου ἑπτὰ παῖδες γινώσκονται. Ὄχιμος, Κέρκαφος, Ἀκτὶς, Μακαρεὺς, Τενάγης, Τριόπης, Φαέθων ὁ νεώτατος. ὃν οἱ ἐν τῇ νήσῳ ὀνομάζουσι Τενάγην· τοῦ δὲ Κερκάφου, Λίνδος, Ἰηλυσὸς, Κάμειρος· οἱ ὑπὸ Πινδάρου ὀνομαζόμενοι. ὥστε μὴ εἶναι αὐτοὺς υἱοὺς Ἡλίου ἀλλ' υἱωνούς. διὸ καί τινες γράφουσιν· ὧν εἷς μὲν, Κάμειρον πρεσβύτατον. ὥστε τὸν λόγον εἶναι τοιοῦτον. ἀφ' ὧν τῶν Ἡλίου ἑπτὰ παίδων, εἷς Κέρκαφος ἐγέννησε τοὺς προκειμένους. ὥστε τὸ ἀπὸ πρόσθεσιν, ἔξωθεν λαμβάνειν ἡμᾶς. [Δασσάμενοι πατρωΐαν.] χωρὶς δὲ καὶ ἰδίᾳ ἕκαστος διαδασσάμενοι καὶ διαμερισάμενοι. ὁ δὲ νοῦς. τούτων δὲ ἕκαστος κεχωρισμένος καὶ κατ' ἰδίαν, ἔχει πόλιν ὁμώνυμον. τὴν γὰρ πατρῴαν αὐτῶν νῆσον εἰς τρεῖς νειμάμενοι, διεμερίσαντο. καὶ οὕτως ἐπωνόμασαν τὰς ἕδρας, καὶ τὰς πόλεις. ὁμώνυμοι γάρ εἰσι· [Κέκληνται δέ σφιν ἕδραι.] ἐπωνομάσθησαν δὲ αὐτῶν ἕδραι, τουτέστιν αἱ πόλεις. ἕδρας γὰρ νῦν ταύτας ὀνομάζει τοῖς Ἡλίου υἱωνοῖς. [Τόθι λύτρον συμφορᾶς.] αὐτόθι ἔνθα καὶ τῷ Τληπολέμῳ, τῷ τῶν Ἀργείων ἡγεμόνι, τῆς οἰκτρᾶς συμφορᾶς λυτήριον γλυκὺ ἵσταται. ἵσταται δὲ αὐτῷ τὸ λυτήριον, ὥσπερ τοῖς θεοῖς. θυσίαι γὰρ αὐτῷ διάφοροι γίνονται, καὶ ἀγῶνες τελοῦνται. λυτήριον δὲ τῆς συμφορᾶς, τὴν μετοίκησιν φησι, καὶ τὴν αὐτόθι τοῦ βίου διατριβήν. [Κνισάεσσα πομπά.] πομπὰ ἡ θυσία. ἐπεί φησιν ὅτι ἀγὼν ἐκεῖ ἄγεται, Τληπολέμεια. οἱ δὲ, Ἡράκλεια. ὅθεν αὐτῷ θυσίαι ἀξιοπρεπεῖς τελοῦνται αὐτόθι. [Τῶν ἄνθεσι Διαγόρας.] τῶν παρὰ Ῥοδίοις ἄθλων. ἄνθεσι δὲ, τοῖς στεφάνοις. τελεῖται γὰρ αὐτόθι ἀγὼν Τληπολέμιος ἐπικαλούμενος. ἐγκωμιαστικῶς δὲ ὁ Πίνδαρος τὸν ἀγῶνα Ἡλίῳ τελούμενον, εἰς τὸν Τληπόλεμον μετήγαγε. τελεῖται δὲ μηνὸς Γορπιαίου εἰκοστῇ τετάρτῃ ἡμέρᾳ. ἀπέχει δὲ τῶν Νεμέων, ἡμέρας ἕξ. ἀγωνίζονται δὲ παῖδες καὶ ἄνδρες. ὁ δὲ στέφανος, λεύκη δίδοται. [Κλεινᾷ τ' ἐν Ἰσθμῷ.] θηλυκῶς τὸν Ἰσθμόν φησιν, ὡς καὶ ἐν ἄλλοις, τὴν Ὀρχομενόν. λέγει δὲ τὸν Διαγόραν τετράκις Ἴσθμια νενικηκέναι. [Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ.] καὶ ἐν τῇ Νεμέᾳ ἄλλην ἐπ' ἄλλῃ νίκην ἔσχεν. ὅτι δὶς ἐνίκησεν. οὐκ ἐκ διαλείμματος μέντοι, ἀλλὰ προτέραν Νεμέᾳ νικήσας, καὶ τὴν ἑξῆς ἀγωνισάμενος, ἐστέφθη.

[Κρανααῖς

Καὶ κρανααῖς ἐν Ἀθάναις·

ἀντιστροφὴ ε΄. κώλων ια΄.

Ο,τ' ἐν Ἄργει χαλκὸς ἔ-
γνω μιν· τά τ' ἐν Ἀρκαδίᾳ
Ἔργα· καὶ Θήβαις· ἀγῶνές
Τ' ἔννομοι Βοιώτιοι·
Αἴγινα, Πελλάνα τε, νικῶν-
θ' ἑξάκις· ἐν Μεγάροι-
σίν τ' οὐχ ἕτερον λιθίνα
Ψᾶφος ἔχει λόγον. Ἀλλ' ὦ Ζεῦ πάτερ νώ-
τοισιν Ἀταβυρίου
Μεδέων, τίμα μὲν ὕμνου
Τεθμὸν, Ὀλυμπιονίκαν

ἐπῳδὸς ε΄. κώλων ιγ΄.

Ἄνδρα τε, πὺξ ἀρετὰν

Et asperis in Athenis

Metaph.

Quodque *datur* in Argis æs no-
vit eum: quæque *dantur* in Arcadia
Opera: & Thebis: certamina-
que legitima Bœotia:
Ægina, Pellanaque, vincen-
tem sexies: in Mega-
risque non aliam lapidea
Columna habet rationem. At Jupiter pater ju-
gis Atabyrii
Dominans, honora quidem hymni
Legem, Olympicumque-victorem

Metaph.

Virum, pugilatu virtutis-decus

PARAPHRASIS.

& in asperæ ac petricosæ Atticæ certaminibus excelluit. Ipsum quoque victorem novit scutum illud æreum quod pro Junoniorum victoria accepit. Noverunt etiam Lycæa, quæ in Arcadia, Jolæa & Herculea, quæ Thebis, legitimaque Bœotiorum certamina: & Æacea quæ, in Ægina, & Theoxenia, quæ in Pellena devicit. Ejusdemque omnium frequentissime apud Megarenses, lapideis columnis ob crebras victorias est insculptum nomen. Cæterum, ô Jupiter pater, qui in summo Atabyrii montis Rhodii vertice, erecta tibi statua dominaris, meo carmini encomiastico honorem confer, illiq; viro, qui victoriam Olympicam est adeptus, & virtutis laudem ex pugilatu nactus:

NOTÆ.

152 Nota χ hic invenitur in Edit. Brubacch. & Schol. ad eam respicit. De hac nota quædam monuimus ad Ol. 6. 33. Hor. l. 4. Od. 8. *Donarem pateras, grataque commodus, Censorine, meis ara sodalibus.* 155 Ἔννομοι Βοιώτιοι] τὴν καλυμένην * in Schol. mutav. ex Ed. Brub. 157 Steph. leg. Μεγάροισιν. 158 Schmid. leg. --σί τ'. 159 MSS. β. γ. νω-- transfer. in init. seq. 162 Τεθμὸν] Gl. MS. γ. Ἀκολουθίαν.

[Κρανααῖς ἐν Ἀθάναις.] τὴν ὅλην Ἀττικὴν, Ἀθήνας εἶπεν. εἴη δ' ἄν· ἤτοι τὰ Παναθήναια νενικηκὼς, ἢ τὰ Ἡράκλεια, ἢ τὰ Ἐλευσίνια, ἢ τὰ Πανελλήνια. ἴσως δὲ καὶ πάντας τούτους ἐνίκησεν ὁ Διαγόρας. ἀδήλως γὰρ ἐξενήνοχεν ὁ Πίνδαρος. [Ὅτ' ἐν Ἄργει χαλκός.] ἐγνώρισε δὲ αὐτὸν, καὶ ὁ ἐν τῷ Ἄργει διδόμενος χαλκὸς, ἔπαθλον τῷ νενικηκότι. τελεῖται γὰρ κατὰ τὸ Ἄργος, τὰ Ἥραια. ἃ καὶ Ἑκατόμβαια καλεῖται, διὰ τὸ ἑκατὸν βοῦς θύεσθαι τῇ θεῷ. τὸ δὲ, ἔπαθλον, ἀσπὶς χαλκῆ. ὁ δὲ στέφανος, ἐκ μυρσίνης. [Ἄλλως.] ἐν Ἄργει, ἐν τῷ Ἑκατομβαίῳ ἀγῶνι, χαλκὸς τὸ ἆθλον δίδοται. ὅτι Ἀρχῖνος Ἀργείων γενόμενος βασιλεὺς, ὃς καὶ ἀγῶνα πρῶτος συνεστήσατο, ταχθεὶς ἐπὶ τῆς τῶν ὅπλων κατασκευῆς, ἀπὸ τούτων καὶ τὴν τῶν ἄθλων δόσιν ἐποιήσατο. Ἑκατόμβαια δὲ ὁ ἀγὼν λέγεται, ὅτι πομπῆς μεγάλης προηγοῦνται ἑκατὸν βόες· οὓς νόμος κρεανομεῖσθαι πᾶσι τοῖς πολίταις. τὸ δὲ σημεῖον· ὅτι Ἑκατόμβαια λέγεται τὰ ἐν Ἄργει νενικηκέναι μάλιστα τὸν Διαγόραν. [Τά τ' ἐν Ἀρκαδίᾳ.] ἀπὸ κοινοῦ, τὸ ἔγνω μιν. ἐγνώρισε δὲ αὐτὸν νικῶντα, καὶ τὰ ἐν Ἀρκαδίᾳ ἆθλα. τελεῖται δὲ ἐν Ἀρκαδίᾳ, τὰ Λύκαια, ἀνακείμενα τῷ Λυκαίῳ Διΐ. τὰ δὲ ἔργα τινὲς οὕτως ἀκούουσιν. ἐπειδὴ οἱ αὐτόθι νικῶντες, σκεύεσι τιμῶνται. [Ἄλλως.] Πολέμων ἐν τῷ περὶ Θήβησιν Ἡρακλεῖ φησὶ, χαλκὸς τὸ ἆθλον ἐστὶ τοῖς ἐν Ἀρκαδίᾳ Λυκαίοις. ὥστε ἀπὸ κοινοῦ, τὰ ἔργα καὶ τὸν χαλκὸν ληπτέον. ὅταν φησὶ Πίνδαρος· ὅτ' ἐν Ἄργει χαλκὸς ἔγνω μιν, τά τε ἐν Ἀρκαδίᾳ ἔργα, καὶ Θήβαις. δίδοται γὰρ ἐν ταύταις τρίπους χαλκοῦς. πολλοὶ δ' ἄγονται ἀγῶνες ἐν Ἀρκαδίᾳ. Λύκαια, Κόρεια, Ἀλέαια. ἐν δὲ Θήβαις, τὰ Ἡράκλεια. τὰ δὲ αὐτὰ καὶ Ἰόλαια καλεῖται. ἐν δὲ Βοιωτίᾳ. ἐν μὲν Θεσπειαῖς, Ἐρώτια. ἐν δὲ Λεβαδείᾳ, * τὰ καλούμενα Βασίλεια. [Ἀγῶνες τ' ἔννομοι.] πάλιν ἀπὸ κοινοῦ, τὸ ἔγνω μιν. τελοῦνται δὲ ἐν Βοιωτίᾳ διάφοροι ἀγῶνες. ἐν μὲν Θεσπειαῖς, τὰ Ἐρωτίδια, ἐν δὲ Πλαταιαῖς, τὰ Ἐλευθέρια· ἐν δὲ Λεβαδείᾳ, τὰ Τροφώνια· ἐν δὲ Ὠρωπῷ, τὰ Ἀμφιάραια. [Αἴγινα, Πελλάνα τε.] πάλιν τὸ ἔγνω μιν. ἐγνώρισε δὲ τὸν Διαγόραν, ἥ,τε Πελλήνη, καὶ ἡ Αἴγινα, ἑξάκις νενικηκότα. τελεῖται δὲ ἐν μὲν Πελλήνῃ τῆς Ἀχαΐας ἀγὼν ὁ καλούμενος Θεοξένια. τινὲς δὲ, καὶ τὰ Ἑρμαῖα· τὸ δὲ ἆθλον ἐστὶ χλαῖνα. ἐν δ' Αἰγίνῃ τὰ Αἰάκεια. ἔστι δὲ καὶ Ἀμφορίτης ἀγὼν, οὗ Καλλίμαχος μέμνηται ἐν τοῖς Ἰάμβοις. [Ψᾶφος ἔχει λόγον.] κατὰ τὰ Μέγαρα ἔθος ἐστὶ, τῶν νικηφόρων τὰ ὀνόματα λίθοις ἐγκολάπτεσθαι. φησὶν οὖν ὅτι καὶ ἐν τοῖς Μεγάροις ἡ λιθίνη ψῆφος οὐχ ἑτέρου τινὸς οὕτως ἐγκεκολαμμένον φέρει τὸ ὄνομα ὡς τὸ τοῦ Διαγόρα. τὸ σημεῖον χ, ὅτι ψῆφον λιθίνην λέγει τὴν στήλην· διὰ τὸ περιέχειν τὰ ψηφίσματα. [Ἀλλ' ὦ Ζεῦ πάτερ νώτοισιν.] ὁ νοῦς οὕτως ἔχει. ἀλλ' ὦ Ζεῦ πάτερ τοῦ Ἀταβυρίου ὄρους βασιλεύων, ἐν τιμῇ ἔχε τὸν ὕμνον τὸν εἰς τὸν Ὀλυμπιονίκην, καὶ τὸν ἄνδρα τὸν περιόντα καὶ τὸν ἠγνοσάμενον τὴν ἀρετὴν, διὰ τῆς ἐν πυγμῇ νίκης. [Ἄλλως. Νώτοισιν Ἀταβυρίου.] ἐπάνω γὰρ τοῦ ὄρους ἵδρυται ὁ Ζεύς. νώτοισι δὲ, ἀντὶ τῶν νώτων. εἰσὶ δὲ χαλκοῖ βόες ἐν αὐτῷ. αἵτινες, ὅταν μέλλῃ ἄτοπόν τι γενέσθαι, μυκῶνται. ἔστι δὲ καὶ ἐν Σικελίᾳ ὄρος Ἀταβύριον, ὡς φησι Τίμαιος.

[Δίδοι

Εὑρόντα· δίδοι τέ οἱ αἰδοίαν χάριν,
Καὶ ποτ' ἀστῶν, καὶ ποτὶ ξεί-
νων· ἐπεὶ ὕβριος ἐχθρὰν
Ὁδὸν εὐθυπορεῖ,
Σάφα δαεὶς, ἅτε οἱ πατέρων
Ὀρθαὶ φρένες ἐξ ἀγαθῶν
Ἔχρεον. Μὴ κρύπτε κοινὸν
Σπέρμ' ἀπὸ Καλλιάνα-
κτος, Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν. Ἔχει
Θαλίας καὶ πόλις. Ἐν
Δὲ μιᾷ μοίρᾳ χρόνου,
Ἄλλοτ' ἀλλοῖαι διαιθύσσουσιν αὖραι.

Nactum: daque ei venerandam gratiam,
Et apud cives, & apud pere-
grinos: quoniam injuriæ inimicam
Viam recta-incedit,
Probe ſciens, quæcunque ei patrum
Juſtæ mentes bonorum
Vaticinabantur. Ne occulta commune
Semen à Calliana-
cte, Eratidarum cum gratiis. Habet
Feſta-convivia etiam civitas. In
Una autem parte temporis,
Alias aliæ ingruunt auræ.

P A R A P H R A S I S.

da etiam eidem Diagoræ, ut cum cives, tum exteri revereantur ipſum, ſiquidem ab injuria declinans, rectum juſtitiæ tramitem calcat & inſiſtit. Tuque anime mi, qui compertum habes, quam præclaris monitis rectæ proborum ejus majorum mentes, ipſum ad virtutis avitæ imitationem incitarint, ne reticeas Diagoram nobile notumque omnibus genus ducere à Callianacte, & ab Eratidis, qui decus à Gratiis acceperunt. Cæterum etiam in urbe Rhodiorum feſta convivia ad voluptatem & recreationem celebrantur: verum una eademque diei hora, brevique tempore, rerum ſtatus & conditio ſubinde mutatur, ita ut quod incommodum modo accedit, mox in melius verti poſſit, & contra.

N O T Æ.

164 Δίδυ leg. MSS. Bodl. α. β. γ. & Schol. Νεωτ. 165 MS. C. 71. leg. Καὶ ποτ' ἀστῶν καὶ ὕβριος ἐχθράν. Rec. manu ad marg. ποτὶ ξείνων ἐπεί. 168 Σάφα δαεὶς] Schmid. interpret. de cauſa impulſiva juſtitiæ Diagoræ, nimirum monita parentum & majorum, quæ ex animo bono profecta tanquam oracula obſervavit. 169 Ἐξ ἀγαθῶν ἔχρεον] Schol. MS. β. Σύνταξις τὸ ἐξ μετὰ τοῦ ἔχρεον. Gl. MS. γ. Ἐπροφήτευον. 171 Ἀπὸ Καλλιάνακτος] Gl. MS. γ. τὸ καταβαῖνον. Καλλιάνακτος MS. C. 71. hab. in eodem κώλῳ. 172 Ἐρατιδᾶν leg. MSS. β. γ. Schol. perperam hab. Ἐρασιδᾶν, ut & Ald. & Pal. C. Gl. MS. β. τῶν ἀγόντων. Philippus poſt Καλλιάνακτος punctum ponit, & hæc cum ſequentibus conjungit, redditque, Habet & Rhodus ſacrificia Eratidarum. 173 Θαλίας leg. MS. γ. Θαλείας β. 174 Μοίρᾳ] Gl. MS. γ. Ῥοπῇ.

[Δίδοι τέ οἱ αἰδοίαν χάριν.] ὁ νοῦς. δίδου τε αὐτῷ αἰδοίαν χάριν καὶ παρὰ τῶν πολιτῶν καὶ παρὰ τῶν ξένων. ἐπειδὴ τὴν ἔχθραν τῆς ὕβρεως ὁδὸν βαδίζει, ἀντὶ τοῦ, ἐπεὶ πάντας δι' αἰδοῦς ἔχει καὶ τιμῆς. [Σάφα δαείς.] ταῦτα λοιπὸν ὡς πρὸς ἑαυτὸν φησὶν ὁ ποιητής. σαφῶς γνοὺς ἅπερ αὐτῷ αἱ τῶν ἀγαθῶν αὐτοῦ πατέρων ὀρθαὶ φρένες ἐξέχρεον· οἱονεὶ ἐξεχρησμῴδουν, καὶ παρῄνουν. ὡς περὶ εὐσεβῶν δὲ λίαν, ὑπαινίττεται. [Μὴ κρύπτε κοινόν.] μὴ ἀπόκρυπτε τὸ κοινὸν καὶ διάδηλον τοῖς πολλοῖς τοῦ Καλλιάνακτος γένος. πρόγονος γὰρ τοῦ νικηφόρου ἐστὶν ἔνδοξος· ἀλλὰ ὕμνει. [Κοινὸν σπέρμα.] κοινὸν λέγει τὸ ἔνδοξον. κοινὰ γὰρ τὰ τοιαῦτα. ἐξ οὗ πάντως ἔχει τὸ συγγενικόν. [Καλλιάνακτος Ἐρασιδᾶν.] Ἐρασίδης πρόγονος τοῦ Διαγόρα. ἀφ' οὗ καὶ φυλὴ ὁμώνυμος ἐν Ῥόδῳ. φησὶν οὖν, ὅτι σὺν ταῖς τῶν Ἐρασιδῶν χάρισι καὶ ἡδοναῖς τῶν προγόνων αὐτοῦ λέγει. ἐπεὶ καὶ πᾶσα ἡ Ῥόδος πλείστας εὐτυχίας ἐκ τῆς τούτου νίκης ἔχει. [Ἐν δὲ μιᾷ μοίρᾳ χρόνου.] ἐν τῷ βραχεῖ δὲ χρόνῳ, τὰ πράγματα ἄλλοτε ἄλλως διατίθεται. εἶπε δὲ ἀλληγορικῶς, ὡς πρὸ ὀλίγου τινὸς λυπηροῦ συμβάντος αὐτῷ. καὶ, ὅτι λοιπὸν ὀφείλει ἑτέρας αὔρας· τὸ δὴ λεγόμενον· πνεύσάσης, τέρπεσθαι καὶ ἐν εὐτυχίᾳ πάσῃ καὶ χαρᾷ διάζην.

Τέλος τοῦ ἑβδόμου τῶν Ὀλυμπίων εἴδους.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ ἕβδομον τῶν Ὀλυμπίων εἶδος.

Ταύτην τὴν ᾠδὴν, φασὶν, ἀνακεῖσθαι χρυσοῖς γράμμασιν ἐν τῷ τῆς Λινδίας Ἀθηνᾶς ἱερῷ. ἀνέθεσαν δὲ, ἢ Πίνδαρον τιμῶντες, ἢ Διαγόραν. [Φιάλαν εἴτις] ὥσπερ εἴτις ἄνθρωπος λαβὼν ἀπὸ τῆς ἀφνειᾶς αὐτοῦ χειρὸς φιάλην καὶ ποτήριον πάγχρυσον· κορυφὴν καὶ ἐξαίρετον τῶν ἄλλων κτεάνων, καχλάζουσαν καὶ κινουμένην ἔνδον δρόσῳ ἀμπέλου· ἤτοι οἴνῳ, δωρήσεται ταύτην νεανίᾳ γαμβρῷ ἑαυτοῦ προπίνων ἀπὸ ταύτης. τιμήσας καὶ τὴν χάριν τοῦ συμποσίου καὶ τὸ ἑὸν καὶ ἴδιον κῆδος καὶ συγγένειαν. τουτέστι τίμιον τὸ συμπόσιον τῇ φιλοδωρείᾳ ποιήσας, ὅτι τὸν αὐτὸν συγγενῆ ἔχει· πλείστου ἄξιος ἐστὶν ἐπειδὴ τοιαῦτα
9 χαρίζεται. [Ἐν δέ·] ἤγουν σὺν τούτοις ἔθηκέ μιν, καὶ αὐτὸν τῶν γαμβρῶν παρόντων φίλων ζηλωτὸν καὶ μακάριον ἕνεκα τῆς εὐγῆς καὶ τοῦ λέχους ὑπὲρ ἠξίωται τῆς ὁμόφρονος καὶ συγγενικῆς· οὕτω καὶ ἐγὼ πέμπων τοῖς ἀθλοφόροις ἀνδράσι νικώντεσσι, καὶ νικᾶσιν ἐν Ὀλυμπίᾳ καὶ ἐν Πυθοῖ, νέκταρ χυτὸν καὶ ἄριστον· ἤτοι ὕμνον. δόσιν Μουσῶν· τουτέστιν ἣν αἱ Μοῦσαι δίδοασιν· ἤγουν, τόκον τῆς ἐμῆς γνώσεως· γλυκὺν καρπὸν τῆς ἐμῆς φρενός· [Ἱλάσκομαι] καὶ ἱλαροὺς αὐτοὺς τίθημι. 15
εἰ δὲ τοιαύτη ἐστὶν ἡ τῆς παραβολῆς ταύτης ἀπόδοσις, μὴ θαυμάσῃς. πολλὰ γὰρ ἂν τοιαῦτα ζητῶν εὑρήσεις. Τὸ φίλαν εἰ μὲν συνάψεις πρὸς τὸ πάγχρυσον, κορυφὴν αὐτὴν τῶν ἄλλων κτεάνων νόει, οὐχ' ὡς ποτήριον, ἀλλ' ὡς χρυσῆν. ἔφη γὰρ πρόσθεν· Κτεάνων δὲ χρυσὸς αἰδοιέστατος. εἰ δὲ συνάψεις τὸ πάγχρυσον πρὸς τὸ τιμήσας, εἴποις οὕτω. τιμήσας τὸ πάγχρυσον κορυφὴν τῶν κτεάνων. τουτέστι, τὸ αὐτῷ προσόντα

προσόντα χρυσόν. διότι οὐδέτερον κτῆμα, ἀλλὰ φιάλην ἐκ
χρυσοῦ ἐχαρίσατο. τὸ δὲ ἀφνειᾶς ἀπὸ χειρὸς, ἢ πρὸς τὸ ἑλὼν
συνάπτει, ἢ πρὸς τὸ δωρήσεται. κρεῖττον δ' ἐστὶ τὸ πρότερον.
ὅπερ ἀγνοοῦντές τινες διὰ τὸ ἔχειν τινὰ ἀσάφειαν οὐ δέχονται.
τὸ δ' οὕτως ἔχει. ἑλὼν ἀφνειᾶς ἀπὸ χειρὸς, τουτέστιν αὐτὸς
ταύτην κατέχων, ἐπεὶ ἑτέρῳ ἔδωκεν, ὥσπερ ἀπὸ τῆς κατεχού-
σης αὐτὴν χειρὸς ταύτην ἀφεῖναι τὴν κύλικα. τὸ δὲ κᾶδος. ἢ
ὡς ἔφαμεν λέγει, ἢ κῆδος ἐὸν νοεῖ τὸν ἴδιον γαμβρόν. ἵν' ᾖ
τὸ κᾶδος τιμάσαις ἐὸν, καὶ τὸ ἐν δέ μιν ζηλωτὸν ἔθηκε, ταυ-
τό. πρὸς δὲ τὸ εὐνᾶς. εἰ καὶ τὸ ἕνεκα ἔξωθεν ἐλάβομεν, ἀλλὰ
κατὰ τὴν κοινὴν συνήθειαν. ἔστι γὰρ ἡ τοιαύτη γενικὴ πρὸς τὸ ζη-
λωτός. εἰ γὰρ ἡ εὐνὴ ζηλωτὸν ἐκεῖνον ἐποίησε, πῶς οὐκ εἰκός
ἐστι λέγειν, ζηλωτὸν εὐνῆς. ὥσπερ γὰρ ῥεῦμα πηγῆς λεγόμενον,
οὕτω καὶ τοῦτο. ὅπερ εἰ μὴ δέχεταί τις, οὐδεὶς ἡμῖν λόγος.
τὸ δὲ ἱλάσκομαι εἶπεν, ἐκ μεταφορᾶς τῶν ἱκετευομένων. οὓς
οἱ ἱκετεύοντες τῷ συνεχεῖ τῆς ἱκεσίας πρὸς οἶκτον καὶ ἔλε-
ον αὐτῶν μαλθάσσουσιν. [Αλλως. Φιάλαν ὡς εἴτις,] ὥσπερ
εἴτις φιάλην λαβὼν δίδου χρυσῆν. κορυφὰν κτεάνων· ἤγουν
ἐξαίρετον κτῆμα τῶν κτημάτων· καχλάζουσαν ἔνδοξον δρό-
σῳ ἀμπέλου, τουτέστιν οἴνῳ, ἀντὶ τοῦ οἶνον ἔχουσαν ἔνδον ἀνα-
πηδῶντα τῇ ἑαυτοῦ φυσικῇ θέρμῃ, διὰ χειρὸς πλουσιοδώρου
δωρήσεται, ἤγουν χαρίσεται νεανίᾳ γαμβρῷ ἑαυτοῦ προπίνων,
τουτέστιν ἅμα τῷ πόματι καὶ τὴν φιάλην χαριζόμενος. οἴκο-
θεν, ἤγουν ἀπὸ τοῦ ἰδίου οἴκου, ὥστε ἐνεγκεῖν τὸν νεανίαν εἰς
τὴν ἑαυτοῦ οἰκίαν. τὸ ἐπαγωγὸν τοῦ συμποσίου τιμήσας περι-
φραστικῶς. τουτέστι τὸ συμπόσιον. καὶ τὴν συγγένειαν τὴν ἑαυτοῦ.
φίλων δὲ συμπαρόντων, ἐποίησεν αὐτόν· ἤγουν τὸν ἑαυτοῦ γαμ-
βρὸν ζηλωτὸν, τουτέστι μακάριστον, ἕνεκα τῆς συναφείας τῆς
γαμικῆς. ᾗ ἐξ ἀνάγκης ἕπεται ἡ ὁμοφροσύνη· οὕτω δηλονό-
τι καὶ ἐγὼ νέκταρ χυτὸν, λέγω δόσιν Μουσῶν, τουτέστιν
ἣν αἱ Μοῦσαι διδόασιν, γλυκὺν καρπὸν· ἤγουν τόκον τῆς
ἐμῆς γνώσεως. πέμπων ἀνδράσιν ἀεθλοφόροις· ἤτοι νική-
ταις. ἐν Ολυμπίᾳ καὶ Πυθοῖ νικῶσιν, ἀντὶ τοῦ νικήσασιν.
ἱλάσκομαι· αὐτοὺς δηλονότι· ἤγουν ἱλαροὺς, χαρωποὺς ποιῶ.
17 [Ο δ' ὄλβιος.] οὗτος δὲ μακάριος ὃν κατέχουσι φῆμαι
ἀγαθαί. τουτέστι διαλαλήσεις χρησταὶ ἃς οἱ ὕμνοι ποιοῦσι.
τὸ γὰρ ἐπαγόμενον τοῦτο δίδωσι συνυπακούεσθαι. ἐπάγεται γὰρ,
ἄλλοτε δ' ἄλλον ἐποπτεύει χάρις ζωθάλμιος, ἀντὶ τοῦ ἄλ-
λοτε δ' ἄλλον θάλπει, περιέπει τὸ ἐπαγωγὸν τῶν ὕμνων,
τὸ θαλερᾶς ζωῆς παρέχον. ἅμα μὲν, καὶ σὺν φόρμιγγι ἡδέα
μέλη ἐργαζομένη, καὶ ἐν ἔντεσιν· ἤγουν κατασκευάσμασιν, αὐ-
λῶν, περιφραστικῶς, ἀντὶ τοῦ, καὶ ἐν αὐλοῖς παμφώνοις. τουτέστι ποι-
κίλως φωνοῦσιν. [Ο δ' ὄλβιος.] εἰ μὲν ὀξυτόνως τὸ ὃ οὕτως
ἐρεῖς. ὅδε, καὶ οὗτος ὑπάρχει ὄλβιος καὶ εὐδαίμων· ὃν κατέχουσι
φῆμαι ἀγαθαί. εἰ δὲ κατ' ὁμαλισμὸν γράφεις, οὕτως. ὁ δὲ ὄλβι-
21 ος οὗτός ἐστιν, ὃν φῆμαι κατέχουσιν ἀγαθαί. [Παμφώνοισί τε.]
πολυφθόγγοις. διὰ τὰς ἐν αὐτοῖς ὀπάς. λέγει δὲ, ὅτι κατορθω-
θεῖσα τινὶ νίκη, εἰ ἐπαίνου τεύξεται ἀδιαλείπτως, αὐτή τε θάλ-
λει καὶ ὥσπερ ζῇ, οὐχ' ὑπὸ λήθης ἀφανιζομένη, καὶ τὸν ποιήσαντα
ταύτην τοιοῦτον ἐξῆς παρίστησι. τὸ δὲ φόρμιγγι καὶ τὸ αὐλοῖς λέ-
25 γει, ἐπειδὴ διὰ τοιούτων αὐτὸς ᾖδε τὰ ἔπη. [Παῖδ' Αφροδί-
τας.] λέγουσί τινες τὴν Ρόδον, ἧς ἡ νῆσος ἐπώνυμος, παῖδα μὲν
Αφροδίτης εἶναι· γυναῖκα δὲ Ηλίου. βεβαιοῦντες τοῦτο ἀπὸ τοῦ
νύμφην. ἄλλοι δὲ παῖδ' Αφροδίτης καὶ Ηλίου. σὺ δὲ τοῖς προτέ-
ροις πείθου. μαρτυρήσει δὲ καὶ Πίνδαρος προϊών. ποντίαν δὲ λέ-
γει, διὰ τὸ τὴν ἐξ αὐτῆς ὀνομασθεῖσαν Ρόδον ἐν θαλάσσῃ εἶναι, καὶ
ταύτην ἐν αὐτῇ κατοικεῖν. τὸ δὲ εὐθυμάχαν, ἢ πρὸς τὸ Ρό-
δον νοεῖ, ὡς καὶ ὄπισθεν ἔφη, τὸ· Θήβαν πλήξιππον, ἢ πρὸς τὸ ἄν-
δρα. εὐθυμάχης δὲ ἀνὴρ, ὁ ὁμόσε τῇ μάχῃ χωρῶν, καὶ μηδα-
μῶς εἰς δειλίαν νεύων. διὰ τοῦτο δὲ εἶπε τὸ ὑμνέων τὴν Ρόδον,
διὰ τὸ τὸν Διαγόραν Ρόδιον εἶναι. [Καί νυν ὑπ' ἀμφοτέρων.] καὶ
δὴ μετ' ἀμφοτέρων· ἤγουν τῆς φόρμιγγος καὶ τῶν αὐλῶν ἦλθον σὺν
τῷ Διαγόρᾳ τῷ νικηφόρῳ. τουτέστι τοῦ Διαγόρου τὴν ὁδὸν ἡγουμένου.
οὗτος γὰρ νικήσας, ἐγένετο αἴτιος τῆς ὁδοῦ ταύτης. ὑμνῶν τὴν Ρόδον
τὴν θαλασσίαν, τὴν παῖδα τῆς Αφροδίτης καὶ νύμφην, ἤγουν γυναῖκα
τοῦ Ηλίου. τὴν ἡρωΐδα δὲ λέγει. συμπεριλαμβάνει δὲ αὐτῇ καὶ τὴν νῆ-
σον. ὅπως ἄνδρα πελώριον· ἤτοι πάνυ μέγαν· αὐτὸν τὸν
Διαγόραν δηλονότι. εὐθυμάχαν, ἤγουν ἄτρεπτον ἐν μάχαις.
ὁμόσε χωροῦντα. Εν τῇ Πίσῃ στεφανωσάμενον. τουτέστι νικήσαν-
τα καὶ ἐν τῇ Κασταλίᾳ τῇ ἐν Πυθοῖ, ἐπαινέσω εἰς ἄποινα, ἀντὶ
τοῦ εἰς ἀμοιβὴν τῆς πυγμῆς. καὶ τὸν πατέρα αὐτοῦ τὸν Δαμάγητον, τὸν
ἀρεστὸν γεγονότα τῇ δίκῃ· ἤτοι τὸν τιμήσαντα τὴν δίκην. τοὺς
ναίοντας, ἀντὶ τοῦ τοὺς κατοικήσαντας. σὺν αἰχμῇ. τουτέστι δυ-
νάμει, στρατιᾷ Αργείᾳ, τὴν νῆσον τὴν τρίπολιν, ἤγουν τὴν Ρόδον. ἐφ'
ᾗ τρεῖς ἦσαν πόλεις, Λίνδος, Ιήλυσος, καὶ Κάμειρος. πέλας, ἤτοι
πλησίον τοῦ Εμβόλου τῆς Ασίας τῆς εὐρυχόρου. τουτέστι τῆς ἐπὶ πολὺ
πλάτος κατὰ κύκλον ἀνοιγομένης. [Πελώριον ἄνδρα·] ἤτοι τὸν 28
μεγαλόσωμον Διαγόραν· ἧ οὗ ἐν Ολυμπίᾳ ἀνδριὰς ἵσταται πή-
χεων τεσσάρων, καὶ δακτύλων ε'. [Τρίπολιν νᾶσον.] τὴν τρεῖς 34
ἔχουσαν πόλεις. Λίνδον, Ιηλυσὸν, καὶ Κάμειρον. ἐτέθη δὲ ταῖς
πόλεσι τὰ ὀνόματα ἀπὸ τῶν τοῦ Ηλίου υἱωνῶν, Λίνδου, Ιηλυσοῦ καὶ
Καμείρου. γράφεται δὲ καὶ Εμβόλου τῆς εὐρυχώρου καὶ Εμβόλῳ. καὶ τὸ
μὲν Εμβόλου, οὕτως ἀποδώσεις. ναίοντας τὴν τρίπολιν νᾶσον, πέ-
λας τοῦ Εμβόλου τῆς εὐρυχώρου Ασίας. ἀντικρὺ γὰρ Ρόδου Λυκία,
ἥτις ἐστὶ τῆς Ασίας. ἐν δὲ τῇ Λυκίᾳ, χωρίον τι Εμβολος λεγό-
μενον, διὰ τὸ εἰς ὀξὺ λήγειν τε καὶ στενὸν καὶ προήκειν εἰς θά-
λασσαν. τὸ δὲ Εμβόλῳ οὕτω. ναίοντας τὴν τρίπολιν νῆσον ἐν Εμ-
βόλῳ, πέλας τῆς εὐρυχώρου Ασίας. μέρος γάρ τι τῆς Ρόδου τὸ
πρὸς Ασίαν εἰς ὀξὺ καὶ στενὸν παρατέταται. ὡς ἐοικέναι ἐμβό-
λῳ νηός. ἔμβολα γὰρ τὰ τῶν πλοίων ὀξέα. ἃ δὴ καὶ πρῷραι κα-
λοῦνται [Εθελήσω] ὀρθῶσαι καὶ ἀποδοῦναι τούτοις, καὶ τούτοις, Δια- 36
γόρᾳ καὶ Δημαγήτῳ, καὶ τοῖς ἄλλοις Ροδίοις λόγον ξυνὸν τῇ
εὐρυσθενεῖ γενεᾷ τοῦ Ηρακλέος. ἀγγέλλων ἐξ ἀρχῆς ἀπὸ Τληπο-
λέμου. τουτέστι δείξω τοὺς Ροδίους ἐξ Ηρακλέους τὸ γένος κατά-
γοντας ἀρξάμενος τῆς κατὰ Τληπολέμου διηγήσεως. τὸ δὲ ἀπὸ
Τληπολέμου, ὥσπερ μεθερμηνευτικόν ἐστι, τοῦ ἐξ ἀρχῆς. Εθελή-
σω ἀγγέλλων, ἤγουν διηγούμενος, διορθῶσαι· τουτέστιν ὀρθῶς εἰ-
πεῖν. ἰθῦναι κοινὸν πᾶσιν ἀνθρώποις λόγον, χάριν τοῦ ἐξ ἀρ-
χῆς ἀπὸ τοῦ Τληπολέμου καταγομένων, ἤγουν τῶν Ροδίων. λέγω τῆς
γενεᾶς τοῦ Ηρακλέους τῆς εὐρυσθενοῦς. τουτέστι τῆς κατὰ πολὺ ἰσχυρᾶς.
κατὰ μὲν γὰρ τὸ μέρος τὸ ἀπὸ τοῦ πατρὸς, ἐκ τοῦ Διὸς εὔχονται εἶναι,
ἀντὶ τοῦ μετὰ τοῦ σεμνύνεσθαι λέγουσιν οἱ Ρόδιοι. ἀπὸ τοῦ εὔχομαι
τὸ καυχῶμαι. κατὰ δὲ τὸ ἀπὸ τῆς μητρὸς μέρος, Αμυντορίδαι εἶναι,
ἀπὸ τῆς Αστυδαμείας. ταῖς φρεσὶ δὲ· ἀντὶ τοῦ ταῖς ψυχαῖς τῶν ἀν-
θρώπων, περικρέμανται ἀμπλακίαι· ἤγουν ἁμαρτίαι ἀναρίθμη-
τοι, ἀντὶ τοῦ πλεῖσται, μυρίαι. τουτέστι μυρίαι δὲ ἁμαρτίαι περι-
κρέμανται ἑκάστῃ ψυχῇ ἀνθρώπου. ὧν εἴς τινα δηλονότι, ἀνάγ-
κη αὐτὴν ἐμπεσεῖν. τοῦτο δὲ ἀμήχανον· ἤγουν ἀδύνατον εὑ-
ρεῖν. λέγω ὅπερ νῦν συμβέβηκεν ἀνθρώπῳ. τὸ αὐτὸ καὶ ἐν τῇ
τελευτῇ αὐτοῦ τυχεῖν. τουτέστι, συμβῆναι, εὑρεθῆναι. Ιστορία.
[Τὸ μὲν γὰρ πατρόθεν.] Τληπόλεμος ὁ τῶν Ροδίων πρόγονος, υἱὸς 40
ἦν Ηρακλέους καὶ Αστυδαμείας. λέγει οὖν τοὺς Ροδίους· ἐκ μὲν τοῦ πα-
τρὸς τοῦ Τληπολέμου, εἰς Δία ἀνάγειν τὸ γένος. εἴπερ Ρόδιοι
μὲν ἐκ Τληπολέμου, ἐξ Ηρακλέους δὲ Τληπόλεμος. ἐκ Διὸς δὲ Η-
ρακλῆς. ἐκ δὲ τῆς μητρὸς αὐτοῦ Αστυδαμείας, εἰς Αμύντορα Αμύ-
ντωρ γὰρ ὁ τῆς Αστυδαμείας πατήρ. τὸ ματρόθεν, πρὸς τῷ δὲ συνα-
πτέον. τὸ δὲ Αμυντορίδαι διὰ μέσου. [Τοῦτο δ' ἀμήχανον.] 46
ἀδύνατον λέγω, ὅπερ νῦν κράτιστον συμβέβηκεν ἀνθρώπῳ, τούτου
καὶ ἐν τῇ τελευτῇ τυχεῖν. τουτέστιν οὐδεὶς οἶδεν, ὡς εἰ τῷ πάρε-
στι νῦν εὐδαιμονία, καὶ ὕστερον ταύτης τεύξεται. τοῦτο δὲ λέ-
γει ὑπὲρ Τληπολέμου· πρότερον μὲν εὐτυχοῦντος. ὕστερον δὲ δυστυ-
χήσαντος φόνον πεποιηκότος. εἰ καὶ μετὰ ταῦτα πάλιν εὐδαιμο-
νέστατος γέγονε, Ροδίων βασιλεὺς καταστάς. Ιστορία. Η δὲ ἱστο-
ρία ἔχει οὕτω. Λικύμνιον νόθον κασίγνητον Αλκμήνης ἐκ τοῦ πα-
τρὸς αὐτοῦ εἰς Τίρυνθα, Τληπόλεμος στασιάσας πρὸς αὐτὸν
ἀπέκτεινεν ἐλαΐνῳ ῥοπάλῳ, βαλὼν πόρρωθεν. οἱ δὲ φασὶν, ὅτι
βοῦν πλῆξαι θέλων, καὶ ῥάβδον πόρρωθεν ῥίψας, ἀποτυχὼν ταύ-
της, βάλλει Λικύμνιον καὶ ἀναιρεῖ. ἐλθόντι οὖν εἰς Δελφοὺς, καὶ
ἀπαλλαγὴν τοῦ μύσους ζητοῦντι, ἔχρησεν ὁ Απόλλων Αργείους
παραλαβόντα μετοικίζειν εἰς Ρόδον. νόθος δὲ ἀδελφὸς τῆς Αλ-
κμήνης

κμήνης ὁ Λικύμνιος οὕτως ἦν. Ἠλεκτρύων γὰρ Λυσιδίκην τοῦ Πέ-
λοπος ἀδελφὴν κατὰ νόμους ἔχων, ποιεῖ Ἀλκμήνην· Μηδέᾳ δὲ
49 πορνικῶς συνελθὼν, ποιεῖ Λικύμνιον. [Καὶ γὰρ Ἀλκμήνας] καὶ
γὰρ ὁ οἰκιστὴς ταύτης τῆς γῆς, ἤγουν τῆς Ῥόδου, ὁ Τληπόλεμος δηλονό-
τι, ὀργισθεὶς, ποτὲ ἔκτανε τὸν Λικύμνιον τὸν νόθον ἀδελφὸν
τῆς Ἀλκμήνης ἐν Τίρυνθι, πόλις δὲ τοῦ Ἄργους ἡ Τίρυνς, ἐλθόν-
τα ἐκ τῶν θαλάμων, ἤγουν ἐκ τῶν οἴκων τῆς Μιδέας τῆς μητρὸς αὐ-
τοῦ. θένων, τύπτων αὐτὸν ῥάβδῳ ἀπὸ σκληρᾶς ἐλαίας. αἱ δὲ
φρενῶν ταραχαὶ, ἤγουν αἱ δὲ ἀκρατεῖς ὁρμαὶ, παρέπλαξαν καὶ σο-
56 φόν. τουτέστι ἐξήνεγκαν τοῦ ὀρθοῦ καὶ φρόνιμον. [Μαντεύσατο δ'
ἐς θεὸν ἐλθών.] ἀπελθὼν δὲ εἰς τὸν θεὸν ἐμαντεύσατο· ἤγουν
μαντείαν ᾔτησεν. εἰς τὸν θεὸν δὲ εἰπὼν ἀδήλως, διὰ τοῦ ἐπα-
γομένου δῆλον ποιεῖ ὅτι εἰς τὸν Ἀπόλλωνα λέγει αὐτὸν ἀπελθεῖν.
ἐπάγει γὰρ, τῷ μὲν εἶπεν ὁ Χρυσοκόμας. δῆλον δὲ πᾶσιν ἐστὶν, ὅτι
τὸ χρυσοκόμης οὐκ ἄλλου τινός ἐστιν ἐπίθετον, ἢ τοῦ Ἀπόλλωνος.
τούτῳ μὲν ὁ Ἀπόλλων ὁ χρυσῆν ἔχων κόμην, εἶπεν ἐκ τοῦ ἀδύ-
του, ἤγουν τοῦ ναοῦ τοῦ εὐωδίας πεπληρωμένου, στέλλε πλοῦν· ἀντὶ τοῦ
στέλλου ἀπὸ τῆς ἀκτῆς, ἤγουν τοῦ αἰγιαλοῦ τῆς Λέρνης. τουτέστιν ἀπὸ τοῦ
Ἄργους, εἰς τὸν νομὸν ἤγουν διατριβὴν, καὶ τόπον τὸν ὑπὸ
θαλάσσης περιλαμβανόμενον. εἰς τὴν Ῥόδον λέγω. ὅπου ποτὲ ὁ
βασιλεὺς τῶν θεῶν ὁ μέγας, ἤγουν ὁ Ζεὺς, ἔβρεξε τὴν πόλιν διὰ
ψηγμάτων χρυσοῦ ἀπὸ νεφῶν καταρρηγνυμένων. ὁπηνίκα ταῖς
τέχναις τοῦ Ἡφαίστου, ἀντὶ τοῦ τῷ ὀργάνῳ. τῷ τῇ τέχνῃ τοῦ Ἡφαί-
στου κατασκευασθέντι πελέκει, ἡ Ἀθηνᾶ ἀνορμήσασα κατὰ τὸ ἄ-
κρον τῆς κορυφῆς τοῦ πατρὸς αὐτῆς τοῦ Διὸς, ἠλάλαξε. τουτέστι πολε-
μικὸν ἐβόησεν, ὑπερβολικῶς. ὁ οὐρανὸς δὲ ἔφριξεν αὐτήν. τουτέ-
στιν, † ἐφοβήθη. καὶ ἡ γῆ ἡ μήτηρ πάντων. [Τότε καὶ] ὁ θεὸς ὁ φῶς
71 τοῖς ἀνθρώποις φέρων, ὁ Ὑπεριονίδης, τουτέστιν ὁ Ἥλιος, ἐνε-
τείλατο τοῖς παισὶν αὐτοῦ τοῖς προσφιλέσιν, ἤτοι τοῖς Ῥοδίοις,
χρέος μέλλον. τουτέστι πρᾶγμα ἐξ ἀνάγκης γενησόμενον παρα-
φυλάξασθαι, ἤγουν τὴν γέννησιν τῆς Ἀθηνᾶς. ὅπως ἂν χάριν αὐτῆς
τῆς θεᾶς τῆς γεννηθησομένης, πρῶτοι κτίσωσι βωμόν· ἤγουν ‡ ναὸν
ἐναργῆ. τουτέστι μετέωρον, περιφανῆ. καὶ σεμνὴν θυσίαν ἐν αὐτῷ
ποιήσαντες, τὴν ψυχήν τε εὐφράναιεν τοῦ πατρὸς, ἤγουν τοῦ Διὸς,
καὶ αὐτῆς τῆς Ἀθηνᾶς, τῆς γενησομένης θυγατρὸς αὐτοῦ τοῦ Διός. τῆς
ἐγχεσιβρόμου· ἤγουν τῆς περὶ τὸν ἠχητικὸν πόλεμον εὐφυοῦς γενησο-
μένης δηλονότι. Ἱστορία. [Ἀνίχ' Ἀφαίστου.] διαιρεθείσης τῆς τοῦ
Διὸς κεφαλῆς ὑπὸ Ἡφαίστου, καὶ Ἀθηνᾶς ἐξελθούσης. ἐκ τῆς κε-
φαλῆς γὰρ αὐτὴν ὤδινεν, ἐλθὼν Ἥλιος εἶπε Ῥοδίοις πρώτους θῦ-
σαι αὐτῇ, ὡς ἀναγκαῖον ὂν ἐκεῖ ταύτην οἰκῆσαι παρ' οἷς ἂν
πρώτοις θυσία αὐτῇ γένηται. ἀνελθόντες οὖν εἰς τὴν ἀκρόπολιν
Ῥόδιοι θῦσαι αὐτῇ, ἐπελάθοντο καὶ πῦρ συμπαραβαλεῖν τοῖς
ἐναγίσμασι καὶ ἀπύρως ἔθυσαν. διὸ συνέβη Ἀθηναίους πρώτους
θύσαντας μετὰ πυρὸς ἐν αὐτοῖς τὴν θεὸν οἰκεῖν ἠξιῶσθαι. Ζεὺς
οὖν Ῥοδίων τὴν γνώμην ἀποδεξάμενος, χρυσὸν, ὑετὸν, αὐτοῖς
κατέχεεν. τὸ ἡνίκα δὲ, ἄνω καὶ πρὸς τὸ ἔνθα ἔχει τὴν ἀπόδοσιν,
καὶ οὐ πρὸς τὸ τότε, παραπλήσιον ὥσπερ ποιεῖ Ὅμηρος ἔν τισι τῶν
παραβολῶν ἄνω μὲν ἐχούσαις τὴν ἀπόδοσιν. ὅμως δὲ ἐπάγει ὕστερον
καὶ τὸ οὕτως, οὐκ εἰς ἀπόδοσιν τῆς παραβολῆς ἀλλὰ διὰ τὴν ἑξῆς ἔν-
νοιαν. [Μέλλον ἔντειλε.] τὸ μέλλον χρέος λέγει διὰ τοῦτο διό-
33 τι ἀναγκαίως ἔμελλεν ἐκεῖ τὴν θεὸν οἰκήσειν ἐν οἷς ἂν πρώτοις
θυσία αὐτῇ γένηται. [Ἐν δ' ἀρετὰν ἔβαλεν.] ἐμποιεῖ δὲ τοῖς
79 ἀνθρώποις ἀρετῆς τιμὴν καὶ χαρὰν τοῦ Προμηθέως, τουτέστι τῆς
προβουλεύσεως τὸ αἰδέσιμον, ἤτοι ἡ αἰδὼς ἡ ἑπομένη τῷ Προ-
μηθεῖ. περιφραστικῶς, ἀντὶ τοῦ ὁ Προμηθεὺς ὁ αἰδέσιμος. ἀλλ'
ἐπιβαίνει καὶ νέφος τι λήθης ἀτέκμαρτον. τουτέστιν ἀπροσδόκητον.
καὶ παρέλκει, ἤγουν παρατρέπει· ἐκκλίνει * τὴν ὀρθὴν μέθοδον τῶν
πραγμάτων ἔξω τῶν λογισμῶν καὶ οὗτοι γὰρ οἱ τοῦ Ἡλίου, δηλονότι
παῖδες, ἀνέβησαν οὐκ ἔχοντες, ἤγουν μὴ φέροντες σπέρμα φλο-
γὸς καυστικῆς. τουτέστι πῦρ ὃ τὴν καυστικὴν αὔξει φλόγα. ἀνέβη-
σαν δὲ, εἰπὼν ἀδήλως, διὰ τῶν ἐπαγομένων δῆλον ποιεῖ. ὅτι
εἰς τὴν ἀκρόπολιν λέγει αὐτοὺς ἀναβῆναι. ἐπάγει γάρ· [Τεῦξαν δ'
ἀπύροις ἱεροῖς·] ἤγουν κατεσκεύασαν δὲ ἐν τῇ ἀκροπόλει ναὸν
σὺν θυσίαις ἀπύροις. τουτέστιν ἅμα καὶ θυσίας πυρὸς ἀμετό-
χους τελέσαντες. [Προμηθέως αἰδώς.] τουτέστιν ὁ μετὰ τοῦ προβε- 81
βουλεῦσθαι ποιῶν τι, ὁμοῦ τε κατορθοῖ τοῦτο. καὶ ἡδονὴν ἔχει ἅτε
κατωρθωκώς. τὸ δὲ αἰδὼς Προμηθέως λέγει, διότι πᾶς ὁ χρώ-
μενος προμηθείᾳ, οἱονεὶ τὴν Προμηθέα αἰδεῖται καὶ τιμᾷ. [Καὶ
παρέλκει.] καὶ μεταφέρει τοὺς ἀνθρώπους· ἤγουν ἔξω τοῦ ὀρθοῦ καὶ
προσήκοντος τίθησιν. ἔστι δὲ αὕτη ἡ παραγωγὴ, ἔξω φρενῶν.
[Κείνοισι μέν.] ἐκείνοις μὲν, ἤγουν χάριν ἐκείνων τῶν Ῥοδίων, ξαν- 89
θὴν νεφέλην ἀγαγὼν, ὁ Ζεὺς δηλονότι, χρυσὸν ἔβρεξεν. αὐτὴ δὲ
ἡ Γλαυκῶπις· ἤγουν ἡ Ἀθηνᾶ ἡ ὀξὺ ὁρῶσα καὶ στιλπνὸν, παρέ-
σχεν αὐτοῖς κρατεῖν· τουτέστι τὸ κράτος ἔχειν τῶν ἐπιχθονίων,
κατὰ πᾶσαν τέχνην. διὰ χειρῶν ἀριστοπόνων· ἤγουν ἄριστα ἔργα
κατεσκευαζουσῶν. ἔργα δὲ αἱ κέλευθοι, ἤγουν αἱ ὁδοὶ, τῆς Ῥόδου
δηλονότι, ἔφερον· τουτέστιν ἐπικείμενα αὐταῖς εἶχον ὅμοια ζῶσι
καὶ ἕρπουσιν, ἀντὶ τοῦ βαδίζουσιν. ἦν δὲ κλέος βαθὺ, ἀντὶ τοῦ
πολὺ ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, ἤγουν δασείας. [Δαέντι 98
δὲ·] ἤγουν τῷ διδαχθέντι ὑπ' αὐτῆς τῶν Ῥοδίων, καὶ ἡ φρόνησις
ἡ ἄδολος, ἤγουν ἡ φυσικὴ, μείζων γίνεται. τουτέστιν εἰ καὶ φυ-
σική ἐστιν αὐτῷ σοφία ἥτις ἀεὶ κρατεῖ τῆς ἀπὸ μαθήσεως, ἐπίδο-
σιν καὶ αὐτὴ λαμβάνει διὰ τὴν ὑπερβολὴν τοῦ κάλλους καὶ τῆς
ποικιλίας τῆς τέχνης. Τέχναν πᾶσαν, πρὸς τὸ ἀριστο-
πόνοις χερσὶ συναπτέον. οὕτως ὤπασε σφισιν ἡ Ἀθηνᾶ, ἐπεὶ
ἡ φρόνησις μηχανᾶται τὰς τέχνας, κρατεῖν τῶν ἐπιχθονίων,
ἤτοι τῶν ἀνθρώπων ἐν ἀριστοπόνοις χερσὶ, κατὰ πᾶσαν τέχνην.
λέγει δὲ τὸ χερσὶν, ἐπειδὴ αἱ χεῖρες τὰς τέχνας ἐργάζονται.
[Ἔργα δὲ ζωοῖσιν.] οἱ Ῥόδιοι οὕτως ἄριστοι ἀνδριαντοποιοὶ ἦσαν,
ὡς ζῶσιν ἐοικότας ἀνδριάντας κατασκευάζειν. καὶ δεσμεῖν αὐ-
τοὺς τοῖς ποσὶν, ὥσπερ δεδοικότας μὴ τοῖν ποδοῖν χρησάμενοι
φύγοιεν. ἐδόκουν γὰρ ὥσπερ κινεῖσθαι. τοιούτοι ὡς καὶ Δαίδαλος
ἐποίει. μὴ εἴποις δὲ τὸ τι, ἀργὸν, ἀλλ' οὕτω· φέρουσι δὲ αἱ κέ-
λευθοι ἔργα ὅμοια ζῶσι καὶ ἕρπουσιν. [Δαέντι δὲ καὶ σοφία.] τὸ
καὶ, ἡ Ἀττικὸν, ὥσπερ φαμὲν τὸ, τί καὶ ποιήσω, ἢ οὕτω· καὶ τῷ δα-
έντι, ἤγουν καὶ τῷ μαθόντι εὐφυεῖ, τελέθει καὶ ὑπάρχει καὶ ἡ σο-
φία μείζων τῆς ἐξ εὐφυΐας μόνης ἄκρατος καὶ ἄδολος. λέγει δὲ
διὰ τοὺς Ῥοδίους, ὡς ὄντας καὶ δραστηρίους τῷ νῷ, καὶ παρὰ τῆς Ἀ-
θηνᾶς διδαχθέντας. [Φαντὶ δ' ἀνθρώπων.] φασὶν ὡς ἡνίκα 10
Ζεὺς μετὰ τῶν θεῶν μερισμὸν ἐποιεῖτο τοῦ κόσμου, οἱ μὲν ἄλλοι τό-
πων, κλήρους ἔλαβον. Ἥλιος δὲ μὴ παρατυχὼν ἐν τῷ μερισμῷ,
ἀκλήρωτος ἔμεινε. βουλομένου οὖν τοῦ Διὸς πάλιν ἐκ δευτέρου ποιῆ-
σαι οὐκ εἴασεν. εἰπὼν τὴν ἐκ θαλάσσης ἀναδοθεῖσαν νῆσον αὐτῷ
δεδόσθαι. ἦν δὲ ἡ Ῥόδος. [Παλαιαὶ ῥήσιες.] δέον παλαιῶν εἰ-
πεῖν πρὸς τὸ ἀνθρώπων, παλαιαὶ εἶπε πρὸς τὸ ῥήσιες. [Φαντὶ
δέ.] φασὶ δὲ λόγοι ἀνθρώπων ἐκ παλαιοῦ χρόνου ᾀδόμενοι, οὔπω
φανερὰν εἶναι τὴν Ῥόδον ἐν τῷ † πελάγει τῷ θαλασσίῳ, ὅτε ὁ Ζεὺς
τε, καὶ οἱ θεοὶ οἱ ἄλλοι διεμερίζοντο ἑαυτοῖς τὴν γῆν. κεκρυμ-
μένην δὲ εἶναι τὴν νῆσον· τουτέστι αὐτὴν τὴν Ῥόδον ἐν τοῖς βένθεσιν·
ἀντὶ τοῦ ἐν τοῖς βαθέσι μυχοῖς τοῖς ἁλμυρᾶς θαλάσσης. ἀπόν-
τος δὲ τοῦ Ἡλίου ἐν τῷ ὑπὸ γῆν δηλονότι ἡμισφαιρίῳ, οὐδεὶς
ἔνδειξεν, ‡ τουτέστιν, ὑπέμνησε, τὸν Δία δηλονότι, διὰ λάχος, ἤγουν
κλῆρον αὐτοῦ· ἤτοι τοῦ Ἡλίου. καὶ δὴ κατέλιπον αὐτὸν τὸν ἁγνὸν θε-
όν. ἁγνὸν δὲ λέγουσιν αὐτὸν, διὰ τὸ ἁγνίζειν δύνασθαι ταῖς
ἑαυτοῦ ἀκτῖσι. χώρας ἀκλήρωτον, ἤγουν ἄμοιρον. [Μναθέντι δὲ,] 111
ἀντὶ τοῦ ἀναμνησθέντος· ἤγουν εἰς ἀνάμνησιν ἐλθόντος τοῦ Η-
λίου δηλονότι, ὁ Ζεὺς ἄμπαλον, ἤγουν ἀναμερισμὸν ἔμελλε
θεῖναι, ἀντὶ τοῦ ποιῆσαι· ἤγουν ποιεῖν· ἀλλ' οὐκ εἴασεν αὐτὸν, τὸν
Δία δηλονότι, ὁ Ἥλιος. ἐπεὶ εἶπεν ὁρᾶν αὐτὸς ἔνδον τῆς θαλάσ-
σης τῆς λευκῆς, τινὰ γῆν πολύβοσκον ἀνθρώποις· ἀντὶ τοῦ ἀν-
θρώπων. τουτέστι, πολυειδῶς τρέφειν ἀνθρώπους δυναμένην.
καὶ ἡδεῖαν μήλοις, ἀντὶ τοῦ πᾶσι τοῖς ἀλόγοις ζώοις αὐξομένην,
ἀναδιδομένην. πεδόθεν. τουτέστιν, ἀπὸ τοῦ πυθμένος. Ἡ τοι-
αύτη δοτικὴ, τὸ μνασθέντι, πρὸς τὸ θέμενον ἔχει τὴν δύναμιν.
Εἰκότως εἶπε τὸ Λάχεσις. ἐπειδὴ περὶ κλήρου ἦν ὁ λόγος. τὸ
δὲ χεῖρας ἀνατεῖναι εἶπεν, ἀντὶ τοῦ χειροτονῆσαι· ἐκ μεταφο-
ρᾶς τῶν δικαστηρίων. ἐκεῖ γὰρ ἡνίκα τις νόμον ἢ ψήφισμα περὶ
τοῦ κοινοῦ ἐποιεῖτο, εἰ καλὸν καὶ συμφέρον ἔδοξε τοῖς πρυτάνεσι

† MSS. add. Συνεστάλη. ‡ MSS. add. Θυσιαστήριον. * MSS. add. Ἐκκρούει. † MSS. Bodl. & a. leg. Πλάτει. ‡ MSS. add. ἀντὶ τοῦ ὑπέδειξεν εἶναι,

εἶναι, τὰς χεῖρας ἀνέτεινον βεβαιοῦντες αὐτό. ἐκ τοῦ εἰπεῖν θεῶν
ὅρκον μὴ παρφάμεν, δείκνυσιν ὡς οὐ μόνον τὰς χεῖρας ἀνέτεινεν
ἡ Λάχεσις, ἀλλὰ καὶ ὤμοσε τὸ τῆς Στυγὸς ὕδωρ. ὅρκος γὰρ ἦν
117 τῶν θεῶν τῆς Στυγὸς ὕδωρ. [Εκέλευσεν δὲ] ὁ Ηλιος· ἀντὶ τοῦ εἰ-
πεν, ἐζήτησεν αὐτίκα, τὴν Μοῖραν μετὰ τὴν Λάχεσιν· ἤγουν τὴν τοὺς κλή-
ρους διανέμουσαν, τὴν χρυσῆν περικεφαλαίαν φοροῦσαν. τὰς χεῖρας
ἀνατεῖναι· ἀντὶ τοῦ, τὴν ἑαυτῆς ψῆφον δοῦναι. ὅρκον δὲ τῶν θεῶν
μέγαν γενέσθαι. μὴ παρφάμεν· ἤγουν μὴ ἄλλο τι βουλεύσασθαι
αὐτούς. ἀλλὰ σὺν τῷ παιδὶ τοῦ Κρόνου τῷ Διὶ κατανεῦσαι πεμ-
φθεῖσαν αὐτὴν τὴν νῆσον, ἤγουν ἀναδοθεῖσαν εἰς τὸν αἰθέρα, ἀντὶ τοῦ
τὸν ἀέρα τὸν λαμπρὸν, γέρας ἔσεσθαι ἐξοπίσω. τουτέστιν εἰς τὸ
ὄπισθεν, τῇ ἑαυτοῦ κεφαλῇ, ἀντὶ τοῦ αὐτῷ, τῷ Ηλίῳ δηλονότι. ἐτε-
λεύτησαν δὲ, ἤγουν ἐτελειώθησαν αἱ κορυφαί· τουτέστι τὰ τέλη, αἱ
ἀποκαταστάσεις τῶν λόγων. ἐν ἀληθείᾳ πεσοῦσαι, ἀντὶ τοῦ ἀποβᾶ-
σαι. λέγω, ἐβλάστησε μὲν, ἀντὶ τοῦ ἀνεδόθη ἐκ τῆς θαλάσσης τῆς
ὑγρᾶς ἡ νῆσος, ἔχει τε αὐτὴν ὁ πατὴρ, ὁ γεννήτωρ τῶν ἀκτίνων
τῶν ὀξειῶν, τουτέστι τῶν καυστικῶν, ἢ τῶν ταχειῶν· ἤτοι ὁ Ηλιος ὁ
ἀρχὸς † τῶν ἵππων τῶν πνεόντων πῦρ. Μὴ εἴπῃς τὸ κορυφαὶ μετὰ
ἄρθρου. ἀλλ' οὕτως. τελεύτασαν δὲ κορυφαὶ πετοῖσαι, καὶ πεσοῦσαι ἐν
ἀληθείᾳ. τουτέστιν οἱ τοῦ Διὸς πρὸς Ηλιον λόγοι, οὐ παρέβησαν, ἀλλ'
ἐπληρώθησαν. ἔστι δὲ τὸ ἐτελεύτησαν κορυφαὶ λόγων, καὶ τὸ ἐν
ἀληθείᾳ πετοῖσαι ταυτόν. οἱ γὰρ πληρούμενοι λόγοι, ἀληθεύουσιν,
οἱ δὲ μὴ πληρούμενοι, οὐκ ἀληθεύουσι. Τὸ ἑπτὰ πρὸς τὸ παῖδας
συναπτέον· οὕτω. τέκεν. ζ'. παῖδας παραδεξαμένους, ἢ ἀπὸ τοῦ
Ηλίου, ἢ ἀπ' ἄλλων διδασκάλων, σοφώτατα νοήματα· ἤγουν σο-
φωτάτους γενομένους ἐπὶ τῶν προτέρων ἀνδρῶν· ἤτοι ἐπὶ τῶν ὑπαρ-
χόντων ἐν ἐκείνοις τοῖς χρόνοις ἀνθρώπων. τῶν δὲ παίδων τὰ
ὀνόματα, εἰσὶ ταῦτα, Κέρκαφος, Οχιμος, Ακτὶς, * Μακαρεὺς,
131 Τενάγης, * Τελέπους, Φαέθων. [Ενθα] ἤγουν ἐν τῇ Ρόδῳ τῇ
νήσῳ, μιγείς ποτε αὐτὸς ὁ Ηλιος τῇ Ρόδῳ τῇ Ηρωΐδι, ἐγέννη-
σεν ἑπτὰ παῖδας. τοὺς παραδεξαμένους ἐπὶ τοῦ χρόνου τῶν προ-
τέρων ἀνθρώπων, σοφώτατα νοήματα, ἤγουν ἐπιτηδεύματα, μα-
θήματα. ἀφ' ὧν εἷς μὲν ὁ πρῶτος, ‡ Κέρκαφος, τὸν Κάμειρον
ἐγέννησε· καὶ πρεσβύτατον τὴν Ιάλυσον. ἐπιρρηματικῶς, ἀντὶ τοῦ
137 καὶ τὴν Ιάλυσον πρώτιστα ἐγέννησε. καὶ τὴν Λίνδον. [Απάτερθε δὲ,]
ἤγουν χωρὶς, ἰδίᾳ. εἶχον μερίδα ἀστέων· ἤτοι πόλεων ἕκαστος,
εἰς τρεῖς † μερίδας διαμερισάμενοι τὴν πατρῴαν γῆν. καλοῦνται
δὲ αἱ ἕδραι, ἤγουν αἱ καθέδραι, τὰ φρούρια. ἔνθα ἕκαστος ἐνε-
θρόνιστο, αὐτοῖς, ἀντὶ τοῦ ἀπὸ τῶν ὀνομάτων αὐτῶν. Μὴ εἴπῃς τὸ
σφὶν ἀντὶ τοῦ σφῶν, ὥς τινές φασιν, ἀπατώμενοι ἀπὸ τοῦ ἕδραι.
ἀλλ' ἔστιν ἡ τοιαύτη δοτικὴ πρὸς τὸ κέκληνται, οὕτως. αἱ ἕδραι
κεκλήρωνται, καὶ ἐκληρώθησαν, σφὶν, καὶ αὐτοῖς, τῷ Λίνδῳ, τῷ Ια-
λυσῷ, καὶ τῷ Καμείρῳ. τουτέστι πρὸς τὰ τούτων ὀνόματα καὶ αὐ-
141 ται τὴν προσηγορίαν ἐσχήκασι. [Τόθι] ἤγουν ὅπου, ἐν τῇ Ρόδῳ
δηλονότι, ἵσταται τῷ Τληπολέμῳ τῷ ποτε ἀρχηγέτῃ τῶν Τι-
ρυνθίων, ἀντὶ τοῦ ἐγένετο λύτρον, ἀντὶ τοῦ παῦλα, ἐλευθερία
ἐνδείας τῆς συμφορᾶς τῆς οἰκτρᾶς· ἤγουν τῆς πλάνης ἧς ἐπλανήθη.
ἐβασίλευσε γὰρ ἐκεῖ. ὅπου ἵσταται αὐτῷ, ἤγουν γίνεται ὥσπερ
θεῷ, καὶ πομπὴ· ἤτοι ἑορτὴ, τιμὴ, κνίσσης μετέχουσα· ἤγουν πρό-
βατα σφαγιαζόμενα καὶ καιόμενα ποιεῖ. τουτέστιν ὅπου γίνεται
αὐτῷ ὥσπερ θεῷ, καὶ τιμὴ διὰ θυσιῶν. ὅπου γίνεται αὐτῷ, ἀπὸ
κοινοῦ, καὶ κρίσις ἐπ' ἀγῶσιν. ἐτελεῖτο γὰρ αὐτῷ ἀγὼν τὰ Τλη-
πολέμεια. ὁ δὲ νικήσας αὐτὰ λεύκην ἐλάμβανε στέφανον. Ιστορία.
Οτε οἱ Ελληνες εἰς Τροίαν ἐστράτευσαν, ἦν καὶ Τληπόλεμος σὺν αὐτοῖς,
μετὰ Ροδίων. ἀποθανόντος οὖν ἐκεῖ, ἤγαγον τὰ ὀστᾶ αὐτοῦ εἰς
Ρόδον ὡς οἰκιστοῦ ταύτης. καὶ ναὸν αὐτῷ ποιήσαντες, πανήγυριν
κατ' ἐνιαυτὸν ἄγουσι, τὰ λεγόμενα Τληπολέμεια. ἔστι δὲ τὸ τῶν
ἀγώνων ἆθλον, λεύκινος στέφανος, ὃν δὶς ἔσχε Διαγόρας.
147 νικήσας. [Τῶν ἄνθεσι,] μὴ λάβῃς εἰς τὸ τῶν, ἔξωθεν τὸ ἀπό.
ἀλλὰ πρὸς τὸ ἄνθεσιν ἐστὶν ἡ γενική. τῶν γὰρ ἀγώνων ἦσαν τὰ
ἄνθη δι' αὐτοὺς διδόμενα. [Τῶν ἄνθεσι.] ὧν τινων, ἤγουν τῶν
Τληπολεμείων τοῖς στεφάνοις, ὁ Διαγόρας ἐστεφανώσατο δίς. καὶ
ἐν τῇ ἐνδόξῳ Ισθμῷ ἐστεφανώσατο τετράκις, εὐτυχῶν, ἤγουν
ἐπιτυγχάνων· νικῶν, καὶ ἐν τῇ Νεμέᾳ. ἄλλην ἐπ' ἄλλῃ, στεφα-
νηφορίαν δηλονότι. τουτέστι, διπλᾶς στεφανηφορίας ἐστεφανώσατο,
καὶ ἐν ταῖς Αθήναις ταῖς κρανααῖς, ἀντὶ τοῦ, καὶ ἐν τῇ Αττικῇ
τῇ πετρώδει, καὶ καταξήρῳ· ἔνθα ἐτελεῖτο τὰ Παναθήναια,
τὰ Ηράκλεια, τὰ Ελευσίνια, τὰ Πανελλήνια· ἐστεφανώσατο,
ἕνα τινὰ τούτων τῶν ἀγώνων δηλονότι, ἢ καὶ πάντας νενικηκώς.
Τὸ κρανααῖς ἐν Αθήναις λέγει, ἢ διὰ τὴν τῶν Παναθηναίων
ἑορτὴν, ἢ τῶν Ελευσινίων, ἢ τῶν Ηρακλείων. διὰ δὲ τὸ εἶναι τὴν
Αττικὴν κατάξηρον καὶ λεπτόγαιον, τὸ κρανααῖς εἶπεν. [Ο, τ' ἐν 152
Αργει χαλκός.] καὶ ὁ χαλκός· τουτέστιν ἡ ἀσπὶς ἡ χαλκῆ ἡ διδο-
μένη ἐν Αργει. ἐν τῷ Αργει πανήγυρίς ἐστι τῆς Ηρας, τὰ λεγό-
μενα Ηραια, ἢ Εκατόμβαια. Θύονται γὰρ ἑκατὸν βόες τῇ θεῷ.
τὸ δὲ ἔπαθλον τῶν ἀγώνων, χαλκῆ ἀσπὶς· καὶ στέφανος ἐκ μυρσί-
νης. Εγνω αὐτὸν, ἀντὶ τοῦ ἐδεξιώσατο αὐτὸν νενικηκότα. [Τά τ' 153
ἐν Αρκαδίᾳ.] καὶ τὰ ἔργα τὰ ἐν Αρκαδίᾳ, ἔγνω αὐτόν. ἐτελεῖτο
γὰρ ἐν Αρκαδίᾳ ἀγὼν, τὰ Λύκαια, τῷ Λυκαίῳ Διὶ ἀνακείμενος.
οἱ δὲ τιμῶντες, σκεύεσι χαλκοῖς ἐτίμων. [Καὶ Θήβαις.] καὶ τὰ 154
ἔργα τὰ ἐν Θήβαις, ἔγνω αὐτόν. τὰ Ηράκλεια καὶ * Ιολάεια ἐ-
τελεῖτο ἐν ταῖς Θήβαις. ἐδίδοτο δὲ τῷ νικήσαντι τρίποδες χαλ-
κοῦς. [Αγῶνές τ' ἔννομοι Βοιώτιοι.] καὶ οἱ ἀγῶνες οἱ ἐν τῇ Βοιω-
τίᾳ οἱ ἔννομοι. τουτέστιν, οἱ συνήθως κατὰ τοὺς νόμους τελούμενοι
ἔγνωσαν αὐτόν. ἐτελοῦντο δὲ ἐν τῇ Βοιωτίᾳ, διάφοροι ἀγῶνες. ἐν
μὲν Θεσπιαῖς, τὰ Ερώτια· ἐν δὲ Πλαταιαῖς, τὰ Ελευθέρια. ἐν
δὲ Λεβαδείᾳ, τὰ Τροφώνια. ἐν δὲ Ωρωπῷ, τὰ Αμφιαράϊα.
[Πελλάνα τ', Αἴγινά τε.] καὶ ἡ Αἴγινα, ἔνθα ἐτελεῖτο ἀγὼν, τὰ 156
Αἰάκια, ἔγνω αὐτόν. καὶ ἡ Πελλήνη, ἔνθα ἐτελεῖτο τὰ Θεοξέ-
νια καὶ τὰ Ερμαια (τὸ δὲ ἆθλον ἦν χλαῖνα) ἔγνω αὐτὸν
νικῶντα ἑξάκις. Κατὰ τὰ Μέγαρα ἔθος ἐστὶ τῶν νικηφόρων τὰ
ὀνόματα λίθοις ἐγκολάπτεσθαι. φησὶν οὖν ὅτι ἐν τοῖς Μεγάροις.
[Εν Μεγάροισίν τ' οὐχ' ἕτερον.] οὐχ' ἕτερον ὄνομα ἐπιγεγραμ- 157
μένον, ἢ ἐγκεκολαμμένον, φέρει ἡ ψῆφος ἡ λιθίνη, τουτέστιν ἡ
στήλη, ἀλλ' ἢ, τὸ τοῦ Διαγόρου. ‡ ἀπὸ τοῦ πλεονάζοντος δὲ τοῦτο
φησί. ψῆφον δὲ λέγει τὴν στήλην, διὰ τὸ περιέχειν τὰ τῶν κριτῶν
ψηφίσματα. [Αλλ' ὦ Ζεῦ πάτερ νώτοισιν.] ἀλλ', ὦ Ζεῦ πάτερ, 159
ὦ βασιλεύων τῶν νώτων, ἀντὶ τοῦ τῆς κορυφῆς τοῦ Αταβυρίου ὄρους,
[Τίμα μὲν] τὸν νόμον τοῦ ὕμνου, ἤγουν τὴν συνήθειαν, τίμα καὶ τὸν ἄν- 161
δρα τὸν Ολυμπιονίκην, τὸν εὑρόντα ἀρετὴν † διὰ τῆς ἐν πυγμῇ
νίκης. Νώτοισι δὲ εἶπεν Αταβυρίου, ὅτι ἐπάνω αὐτοῦ ἵδρυται ὁ
Ζεύς. εἰσὶ δὲ χαλκοῖ βόες ἐν αὐτῷ, αἵ τινες ὅταν μέλλῃ ἄτο-
πόν τι γενέσθαι, μυκῶνται. ἔστι δὲ καὶ ἐν Σικελίᾳ ὄρος Αταβύ-
ριον. ὥς φησι Τίμαιος. [Δίδου τέ οἱ.] δίδου τε αὐτῷ αἰδοίαν 164
χάριν, ἀντὶ τοῦ τιμὴν αἰδεσίμου χάριτος. [Καὶ ποτ' ἀστῶν.] 165
καὶ παρὰ τῶν ἀστῶν, ἤγουν τῶν πολιτῶν. καὶ παρὰ τῶν ξένων, του-
τέστι τῶν ἀπ' ἀλλοτρίου τόπου. ἐπεὶ ὁδὸν εὐθυπορεῖ· ἤγουν κατ'
εὐθεῖαν πορεύεται. οὐκ ἐκτρεπόμενος ἐχθρὰν· τουτέστι ξένην,
ἀλλοτρίαν ὕβρεως, ἤτοι ἀδικίας. [Σάφα δαείς.] πρὸς τὸν Δία 168
καὶ τοῦτο. σαφῶς μαθὼν ἅτινα αἱ τῶν ἀγαθῶν αὐτοῦ πατέρων ὀρ-
θαὶ, ἤγουν ἀληθεῖς, δίκαιαι φρένες, ἐξέχρασαν ἀντὶ τοῦ ἔχρασαν,
ἤγουν ἔχρων. τουτέστιν ἐχρησμῴδουν, παρῄνουν αὐτῷ. ἀφ' ὧν
πατέρων τοιοῦτος * πατὴρ αὐτῶν δηλονότι, ἐβλάστησε. [Μὴ κρύ- 170
πτε·] ἀντὶ τοῦ μὴ ἔα κρυβῆναι. ἐν ἀδοξίᾳ τὸ σπέρμα, ἤγουν τὸ
γένος τὸ κοινὸν, τουτέστι τὸ φανερὸν καὶ ἔνδοξον πᾶσι καὶ ὠφέλι-
μον. τὸ ἀπὸ τοῦ Καλλιάνακτος τοῦ προγόνου τοῦ Διαγόρου. καὶ σὺν
ταῖς χάρισιν, ἀντὶ τοῦ διὰ τῶν χαρίτων. τουτέστι τῶν ἀνδραγα-
θημάτων τῶν Ερατιδῶν· ἤγουν τῆς ἐν Ρόδῳ φυλῆς τῆς ἀπὸ τοῦ Ερα-
τίδου, τοῦ προγόνου τοῦ Διαγόρου· ἔχει ἡ πόλις θαλίας, ἤγουν
εὐωχίας, εὐφροσύνας. [Εν δὲ μοίρᾳ χρόνου μιᾷ.] τουτέστιν ἐν 173
ὥρᾳ μιᾷ. ἐν καιρῷ, ἑνὶ χρόνῳ. αὖραι, ἀντὶ τοῦ μεταβολαὶ
διαθύσσουσιν, ἤγουν ‡ ὁρμήσουσιν ἄλλοτε ἄλλαι. καὶ εἴ τι συμ-
βέβηκε δηλονότι, καὶ τοῖς λυπηρὸν, ταχέως ἐπὶ τὸ κρεῖττον,
καὶ ἄριστον, τραπήσεται.

† MSS. add. ἀντὶ τοῦ ὁ ἡνίοχος. * MSS. β. γ. leg. Καμαρεύς, & pro Τελέπους, Τρόπις. ‡ MSS. Bodl. & α. leg. Κίρκαφος. † MSS. Bodl. & α. leg. μοίρας. * MSS. Ιολάια. ‡ Add. MSS. β. γ. Εἶχε δὲ ἡ στήλη καὶ ἄλλων τινῶν ἀγωνιστῶν ὀνόματα, ἀλλ' ἅτε κ. λ. Nesc. an sine his sensus facilis sit. † MSS. add. εὐφημίαν ἐπικαρπίας (?) ἀρετῆς, πυξ. τουτέστι διὰ κ. λ. * MSS. παῖς αὐτῶν, ὁ Διαγόρας δηλονότι. ‡ MSS. ὁρμῶσιν.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΟΓΔΟΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ ὀγδόου εἴδους ἡ στροφὴ, καὶ ἀντιστροφὴ, κώλων ἐννέα. Τὸ ᾱ, ἐπιχοραμβικὸν ἐπίτειτον, ἢ χοριαμβικόν. Τὸ β', Ἰωνικὸν ἀπ' ἐλάσσονος. τρίτου παιῶνος, ἀντὶ Ἰωνικοῦ. Τὸ γ', ἰαμβέλεγος. πλεονάζον συλλαβῇ. Τὸ δ', ἐπιχοριαμβικὸν Πινδαρικόν. ἢ ἰαμβέλεγος. Τὸ ε', προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ς', προσοδιακὸν τρίμετρον καταληκτικὸν, τοῦ Ἰωνικοῦ μέσου ὄντος. Τὸ ζ', δακτυλικὸν πενθημιμερές. Τὸ η', Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ θ', Εὐριπίδειον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η δὲ ἐπῳδὸς, κώλων ἕνδεκα. Τὸ ᾱ, προσοδιακὸν τρίμετρον ἀκατάληκτον. Τὸ β', δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ', χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ δ', ἐγκωμιολογικὸν· παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ ε', δακτυλικὸν τρίμετρον τελικὸν, ἢ προσοδιακόν. Τὸ ς', ὅμοιον τῷ αὐτῷ. Τὸ ζ', ὅμοιον τῷ αὐτῷ. Τὸ η', δακτυλικὸν πενθημιμερές. Τὸ θ', προσοδιακὸν τρίμετρον ἀκατάληκτον. ὁ πρῶτος ἐξ ἰάμβων. ἀδιάφορος. ὁ β', χορίαμβος. Τὸ ι', Ἰωνικὸν ἀπ' ἐλάσσονος ἐπιχοραϊκῆς συζυγίας πρώτου καὶ τρίτου παιῶνος, κατὰ τὸ σύνηθες τῶν Ἰωνικῶν καὶ τριμέτρων βραχυκαταλήκτων. Τὸ ια', ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς * ἐπιγραφῆς αὐτοῦ.

[Ἀλκιμέδοντι παιδί.] Γέγραπται ὁ ἐπινίκιος προηγουμένως τῷ Ἀλκιμέδοντι παιδὶ παλαιστῇ νικήσαντι τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα. μέμνηται δὲ ὁ Πίνδαρος, καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Τιμοσθένους, Νέμεα νικήσαντος, καὶ τοῦ ἀλείπτου αὐτοῦ Μελησίου, ὥς τινες καὶ παγκρατιαστοῦ. τοῖς γὰρ τρισὶ, φησὶν ὁ Δίδυμος, μίαν ᾠδὴν γέγραφε. Ζητοῦσι δέ τινες, διατί ἐν τῷ ἑνὶ τούτῳ ἐπινικίῳ τοὺς τρεῖς ἐνεγκωμίασεν. Καὶ οἱ μὲν φασὶ, διὰ τὸ μὴ καθ' ἕκαστον ἀξιολόγους ἀφορμὰς εὑρηκέναι. οἱ δὲ, ὅτι ἐκ τῆς πόλεως ἦσαν τῆς αὐτῆς.

* Addit Schmid. duas alias rationes, quare hæc Ode inſcriptum fuerit tribus præter ſolitum: priorem, quia fratres fuerint Alcimedon & Timoſthenes. Meleſias vero utriuſque præceptor; poſteriorem ex propria illius ſententia depromptam, ſcil. liberrimum Poëtæ judicium. Sed ſuſpicio oritur ex iis, quæ Schol. primo loco indicat, Alcimedontis ſolius nomen inſcriptum fuiſſe. Quod vero Pindarus mentionem faciat Timoſthenis fratris (uti 2 Ol. Xenocratis, & ubique majorum laudes, tanquam heroa ſuum cohoneſtantes, canit,) & Ageſiam qu. in tranſitu Victorem in Nemeis ſalutet, quacunque de cauſa id fit, hinc affirmari non poteſt eum tres victores hoc poëmate celebrandos propoſuiſſe. Cum enim non ſolum ab Alcimedonte exordium ducat, verum etiam poſt pauca interjecta de Timoſthenis & Ageſiæ victoriis, in hymni peroratione Blepſiadas Alcimedontis majores ornandos in animum revocet, & poſteris illius bene precetur, primarium eſſe Poëtæ ſcopum videtur Alcimedontem ſolum honore afficere. Accedit quod Alcimedon ſolus ſit Ὀλυμπιονίκης, cum reliqui duo vicerint Nemeis. Plura ejuſmodi argumenta ſuppetunt ex locis, unde poëta materiam laudum Ageſiæ quærit, & ex ipſa Odæ diſpoſitione.

Metrica vero ratio ita habet:

στροφὴ & ἀντιστροφή.

1.	-υ--	-υυ-		
2.	υυ--	-υ-		
3.	--υ-	--υυ	-υυ-	υ
4.	-υ--	-υυ-	υυ-	
5.	--υυ	-υυ-	-	
6.	-υυ-	υυ--	-υυ	
7.	-υυ	-υυ	-	
8.	υυ--	-υ-		
9.	-υ--	-υ-		

ἐπῳδός.

1.	--υυ	-υυ-	--υυ
2.	-υυ	-υυ	-υ
3.	-υυ	-υυ	-
4.	-υυ-	υυ-υ	-υυ
5.	-υυ	-υυ	-υ
6.	-υυ	-υυ	-υ
7.	-υυ	-υυ	-υ
8.	-υυ	-υυ	-
9.	--υυ	-υυ-	--υυ
10.	-υ--	υυ-υ	υυ
11.	--υ-	--υ-	

ΑΛΚΙΜΕ-

ΑΛΚΙΜΕΔΟΝΤΙ † ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗ ΚΑΙ ΤΙΜΟΣΘΕΝΕΙ ΠΑΛΑΙΣΤΗ ‡ ΑΔΕΛΦΩ ΑΥΤΟΥ * ΝΕΜΕΑ ΚΑΙ ΜΕΛΗΣΙΑ ΑΛΕΙΠΤΗ.

ΕΙΔΟΣ Η'.

ALCIMEDONTI PUERO LUCTATORI ET TIMOSTHENI LUCTATORI FRATRI ILLIUS NEMEA ET MELESIA UNCTORI.

ODE VIII.

ARGUMENTUM.

Poëta, licet unicus sit Olympionica, tamen tres simul uno encomio complectitur, fratres duos, Alcimedontem qui in Olympiis, & Timosthenem qui in Nemeis lucta eodem tempore vicerunt. Præterea Melesiam victorem eorumq; præceptorem, quem non solum à privatis victoriis laudat, sed cui etiam adscribit quas ejus discipuli reportarunt.

στροφὴ α'. κώλων θ'.

Ματερ ὦ χρυσοστεφάνων
Αέθλων Οὐλυμπία,
Δέσποιν' ἀλαθείας· ἵνα μάντιες ἄνδρες
Εμπύροις τεκμαιρόμενοι, παραπει-
ρῶνται Διὸς ἀργικεραύνου,
Εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι,
Μαιομένων μεγάλαν
Αρετὰν θυμῷ λαβεῖν,
Τῶν δὲ μόχθων ἀμπνοάν.

ΜΕΤΑΦΡ.

Mater O aureas-coronas-reportantium
Certaminum Olympia,
Domina veritatis: ubi vates viri
Incensis-victimis explorantes, periculum-faci-
unt-mentis Jovis velociter-fulminantis,
Si quam habeat rationem de hominibus,
Quærentibus magnam
Virtutem animo consequi,
Laborumque respirationem.

PARAPHRASIS.

O Elidis metropolis Olympia, quæ egregias ex oleastro coronas præbes Olympicorum certaminum victoribus: quæque es domina veritatis, apud quam Jamidæ, concisis coriis, lorisque in ignem conjectis, Jovis lucidum veloxque fulmen torquentis, per certas conjecturas mentem explorant, an rationem sit habiturus hominum, qui magnæ virtutis præconium ex Olympica victoria consequi cupiunt, & post labores respirare, & otio ac tranquillitate frui.

NOTÆ.

† Editt. Steph. Schmid. aliorumque omitt. παιδὶ. ‡ MS. ℭ. omitt. ἀδελφῷ αὐτοῦ. * MS. γ. omitt. Νέμεα. 2 Steph. & aliorum Editt. hab. Ολυμπία. 3 Αληθείας leg. MS. Bodl. 4 Παραπειρῶνται] Gl. MS. γ. Απεικάζουσι. 6 & 7 κῶλα conjung. MSS ℭ. γ. 9 Μόχθων] Gl. MS. γ. Κόπων.

Ματερ ὦ χρυσοστεφάνων ἀέθλων Ολυμπία.] μητέρα τῶν ἄθλων εἶπε τὴν Ολυμπίαν, ὡσανεὶ μητρόπολιν οὖσαν, διὰ τὸ ἐπιφανέστερον εἶναι τὸν Ολυμπιακὸν ἀγῶνα. χρυσοστεφάνων δὲ, ἀντὶ τοῦ καλλιστεφάνων. Ομηρος· Οὐδ' εἰ χρυσείῃ Αφροδίτῃ κάλλος ἐρίζοι. καὶ γὰρ δὴ ὄντως ἡ ἀνδόρθιμη ἐλαία τοῖς νικῶσι, καλλιστέφανος προσαγορεύεται. δέσποινα δὲ ἀληθείας, διὰ τὸ αὐτόθι τὸ τῶν Ιαμιδῶν μαντεῖον ὑπάρχειν. [Αλλως.] Μᾶτερ ὦ χρυσοστεφάνων. ἡ τῆς ἀρχῆς ἐξήγησις οὕτως ἔχει. ὦ Ολυμπία μῆτερ τῶν χρυσοστεφάνων ἄθλων. μήτηρ δὲ, ἐπεὶ δοκεῖ ὁ Ολυμπιακὸς ἀγὼν, προτεύειν τῇ δόξῃ παρὰ τοὺς ἄλλους. ὡς οὖν λέγομεν μητρόπολιν τὴν πρώτην καὶ ἐνδοξοτέραν πόλιν, οὕτω καὶ ἐνταῦθα μητέρα ἄθλων. [Δέσποιν' ἀλαθείας.] ὦ δέσποινα τῆς ἀληθείας. ἐπειδὴ τὸ μαντεῖον ἐστὶν ἐκεῖ τὸ τῶν Ιαμιδῶν. [Ινα·] τουτέστιν ἔνθα. λέγει δὲ, ἐν τῇ Ολυμπίᾳ. ἄνδρες οἱ μάντεις, διὰ τῶν ἐμπύρων θυσιῶν ἀποπειρῶνται φησι τοῦ Διὸς περὶ τῶν ἀνθρώπων, εἴ τινα λόγον αὐτῶν ἔχει καὶ φροντίδα. [Αλλως.] ἀποπειρῶνται οἱ μάντεις, καὶ ἐπιζητοῦσι μαθεῖν διὰ τῶν ἐμπύρων, τεκμαιρόμενοι καὶ εὑρίσκοντες τὰ σημεῖα. περὶ ποίων δὲ ἀνθρώπων ἀποπειρῶνται; περὶ τῶν ζητούντων καὶ ἐπιθυμούντων μεγάλην ἀρετὴν κτήσασθαι ἐκ τῆς νίκης, καὶ σπουδαζόντων ἀναπνοὴν λαβεῖν ἐκ τῶν κατεχόντων μόχθων.

ἀντιστροφὴ α'. κώλων θ'.

Ἄνυεται δὲ πρὸς χάριν εὐ-
σεβέων ἀνδρῶν λιταῖς.
Ἀλλ' ὦ Πίσας εὔδενδρον ἐπ' Ἀλφεῷ ἄλσος,
Τόνδε κῶμον καὶ στεφαναφορίαν
Δέξαι. Μέγα τι κλέος αἰεί,
Ὧ τινι σὸν γέρας ἕσπητ' ἀγλαόν.
Ἄλλα δ' ἐπ' ἄλλον ἔβαν
Ἀγαθῶν· Πολλαὶ δ' ὁδοὶ
Σὺν Θεοῖς εὐπραγίας.

ΜΕΤΑΦΡ.

Perficitur autem *hoc* ad gratiam pi-
orum hominum precibus.
Sed O Pisæ arborosum ad Alpheum nemus,
Huncce hymnum & coronæ-gestationem
Accipe. Magnum aliquod decus semper,
Quem tuum præmium secutum-fuerit illustre.
Alia autem ad alium proficiscuntur
Bonorum. Multæ autem viæ *sunt*
Cum Diis felicitatis.

ἐπῳδὸς α'. κώλων ια'.

Τιμόσθενες, ὔμμε δὲ κλάρωσεν πότμος
Ζηνὶ γενεθλίῳ· ὃν μὲν
Ἐν Νεμέᾳ πρόφατον·
Ἀλκιμέδοντα δὲ παρ Κρόνου λόφῳ
Θῆκεν Ὀλυμπιονίκαν.

ΜΕΤΑΦΡ.

Timosthenes, vos autem conciliavit fortuna
Jovi natali: hunc quidem *te Timosthenem*
In Nemea proclamatum;
Alcimedontem vero apud Saturni collem
Fecit Olympicum-victorem.

PARAPHRASIS.

Fieri autem solet ut Jovis voluntas & consilium innotescat in oraculi consultorum gratiam, ope supplicationum, quibus pii vates responsum eliciunt. At O Pisæ nemus, inquam, juxta Alpheum sitæ, pulchris arboribus consitum accipe carmen hoc quo coronam victoria partam celebro. Magnam sane gloriam semper consequitur, quem tui præmii clarus honor sequitur. Cæterum non omnes eadem obtinent bona, sed alius alia in re præstat: cum multæ, variæque sint viæ modique quibus favor divinus fœlicitatem impertit. Quod vestro probari potest exemplo, Timosthenes. Nam fatum Jovi generationis authori, hac ætate juvenili vos asciscendo & conciliando, fecit ut tu quidem victoria Nemeorum conspicuus evaseris: Alcimedon autem in Olympia, ubi Cronius est collis, Olympico certamine claruerit:

NOTÆ.

10, 11 Pro ἄνυεται δὲ MSS. nostra & Pal. A. & B. hab. Πληρέονται metro eodem manente, nisi quod αι facilius produci concipitur quam δὲ. Schmid. retinendam esse lectionem ἄνυεται δὲ, & πληρέονται esse Scholion, censet. MS. α. not. alios leg. ἄνυεται δὲ. Eadem MSS. post εὐσεβέων interpos. δ', & leg. λιταί, uti etiam Asclepiades citatus à Schol. Qui accip. ἄνυεται Passive, jungunt Verbum singul. Nomin. plurali Fœminino. Sunt qui Pindaro hoc frequens fuisse velint, unde & hanc Syntaxin σχῆμα Πινδαρικὸν appellant, ut notat Eustath. ad vers. 387. Ιλ. ρ'. Cujus tamen vix unum aut alterum exemplum in hisce, quæ de ejus scriptis exstant, invenies. Vide Ol. 11. 5. Hinc inven. in Schol. σημεῖον, scil. χ. Εὐσεβείας leg. Pal. C. & Ald. 13 Στεφανηφορίαν hab. Editt. plures & Schol. Νεωτ. metri legibus violatis. 14 Ald. & MSS. Pal. A. B. C. Bodl. & C. 71. hab. μέγα τι. Μέγα κλέος hab. Schol. Νεωτ. 15 Editt. nonnullæ leg. Ἕσπετ'. 18 Εὐπραγίας leg. Editt. Steph. & aliorum. Gl. MS. β. Εὐτυχίας. 19 MSS. α. β. γ. & Schol. Νεωτ. leg. ὔμμι. Κλήρωσεν leg. MS. γ. 20 Σὲ μὲν leg. Schol. & Editt. plures metro repugn. 21 Πρόφαντον leg. Schol. & alii. 22 MSS. β. γ. omitt. δέ.

[Ἄνυεται δὲ πρὸς χάριν.] ἀνύεται δὲ τὸ τοιοῦτον. τὸ ποῖον; τὸ φανερωθῆναι τὴν τοῦ Διὸς βουλήν, ἀνύεται εἰς χάριν τῶν εὐσεβῶς καὶ ὁσίως εὐχομένων καὶ λιτανευόντων. τουτέστι, τῶν μάντεων καὶ ἱερέων. ἐπαινεῖ οὖν ἴσως τοὺς Ἰαμίδας ὡς εὐσεβεῖς. δύναται οὖν καὶ ἐπ' αὐτῶν τούτων νοεῖσθαι, τὸ εὐσεβεῖς. προσκεῖται δὲ τὸ σημεῖον, ὅτι τὸ σημαινόμενόν ἐστι τοιοῦτον. ἐπιτελεῖται δὲ χάριν τῆς εὐσεβείας. ἢ διὰ τὴν εὐσέβειαν. [Ἄλλως. Ἄνυεται δὲ πρὸς χάριν.] τουτέστιν οἱ εὐσεβεῖς ἀνύουσί τι ταῖς πρὸς τοὺς θεοὺς λιταῖς. οἱ δὲ ἀσεβεῖς οὔ. γράφει δὲ κατ' ἐνίους Ἀσκληπιάδης ἀντὶ τοῦ σ, λιταί. καὶ οὕτω καθίστησι τὸν λόγον. πρὸς δὲ τὸ κεχαρισμένον τῇ εὐσεβείᾳ τῶν ἀνδρῶν, ἀνύουσι λιταί. ὡς ἂν αὐτῇ τῇ τῶν ἀνδρῶν εὐσεβείᾳ κεχαρισμένου τοῦ λιτανεύειν ὄντος. [Ἄλλως.] τελειοῦται ἡ μαντεία, πρὸς τὸ κεχαρισμένον ἕνεκα τῆς εὐσεβείας, ταῖς τῶν ἀνδρῶν λιταῖς. ἢ οὕτω· τελειοῦνται δὲ τὰ μαντεῖα ταῖς τῶν ἀνδρῶν εὐσεβείαις. ὅτι πείθοντες λιταῖς τοὺς θεούς, λαμβάνουσι χρησμούς. τοῦτο δὲ λέγει, ἐπεὶ οὐ παντὶ ἀνθρώπῳ μαντεύεται τὸ θεῖον, ἀλλὰ τοῖς εὐσεβέσιν. [Ἀλλ' ὦ Πίσας εὔδενδρον·] ἤτοι λείπει τὸ ἔχων, ἤ, φιλῶν τὸ τῆς Πίσης ἄλσος. ἵν' ᾖ, πρὸς τὸν Δία λέγων, ἢ πρὸς αὐτὸ τὸ ἄλσος τῆς Ὀλυμπίας λέγει· ἐπεὶ ἀνάκειται τῷ Διῒ τῷ τῆς Πίσης, τὸ εὔδενδρον ἄλσος τὸ ὂν ἐπὶ τῷ Ἀλφειῷ. ὁ δὲ τρόπος περιφραστικός. τοῦτον τὸν κῶμον καὶ τὸν ὕμνον, καὶ τὸν ἐκ τῆς στεφανηφορίας προσδέξαι νίκην. [Μέγα τι κλέος.] μεγίστη γὰρ ἐκείνῳ δόξα, ᾧ ἂν τὸ σὸν κλέος ἐπακολουθήσῃ τὸ ἡδὺ καὶ τερπνόν. ἀγλαΐα γὰρ ἡ τέρψις. [Ἄλλα δ' ἐπ' ἄλλων ἔβαν.] οὐ πάντες τὰ αὐτὰ ἔχουσιν ἀγαθά· ἀλλὰ ἄλλο ἄλλος. τοῦτο δὲ εἶπεν, ὅτι ὁ μὲν Ἀλκιμέδων, Ὀλύμπια ἐνίκησεν. ὁ δὲ Τιμοσθένης, Νέμεα. διὸ οὐ πάντες πάντων κοινωνοῦσι τῶν ἀγαθῶν, παρὰ τὸ Ὁμηρικόν· Ἀλλ' οὔπως ἅπαντα θεοὶ δόσαν ἀνθρώποισι. [Σὺν θεοῖς·] ἀντὶ τοῦ, τῶν θεῶν βουλομένων, πολλαὶ ὁδοὶ γίνονται εἰς τὸ εὐπραγεῖν. [Υ̓́μμε δὲ κλάρωσεν.] ὑμᾶς μέντοι ὦ Τιμόσθενες, ἐκλήρωσε καὶ προσῳκείωσεν ἡ μοῖρα καὶ τὸ δαιμόνιον τῷ Διῒ τῷ γενεθλίῳ. γενεθλίῳ δέ, τῷ τῆς γεννήσεως αἰτίῳ. τοῦτο δὲ εἶπεν, ἐπειδὴ νεώτεροι ἐνίκησαν. [Ἐν Νεμέᾳ πρόφαντον.] ἐπιφανῆ καὶ ἐπίσημον ἐποίησεν. ἀμφοτέρους δὲ τοὺς ἀγῶνας τούτους ἀνάπτει τῷ Διΐ, παρόσον καὶ ἡ Ὀλυμπία καὶ ἡ Νέμεα Διός. καὶ ὁ Καλλίμαχός φησι· Ζηνί τε καὶ Νεμέῃ τι χαρίσιον ἕδνον ὀφείλω. [Σὲ μὲν ἐν Νεμέᾳ.] σὲ μὲν ἐπιφανῆ καὶ ἔνδοξον ὁ Ζεὺς ἐν τῇ Νεμέᾳ πεποίηκε· τὸν δὲ Ἀλκιμέδοντα Ὀλυμπιονίκην ἐν τῷ Κρονίῳ.

[Ην

Ην δ' ἐσορᾷν καλὸς· ἔργῳ	Erat autem *Alcimedon* aspectu pulcher: factoque non dedecorans formam:
Τ' οὐ κατὰ εἶδος ἐλέγχων·	
Εξένεπε, κρατέων	Edixit *i.e. promulgavit voce præconis,* vincens
Πάλᾳ, δολιχήρετμον Αἴγιναν πάτραν·	Lucta, longis-remis-utentem Æginam patriam.
Ενθα Σώτειρα Διὸς ξενίου	Ubi Sospita Jovi hospitali
Πάρεδρος ἀσκεῖται Θέμις,	Assidens exercetur Justitia,
στροφὴ β'. κώλων θ'.	METAPH.
Εξοχ' ἀνθρώπων. Ο,τι γὰρ	Plus quam *apud alios* homines. Quicquid enim
Πολὺ, καὶ πολλᾷ ῥέπει,	Multum *est*, & multas *in partes* vergit,
Ορθᾷ διακρίνειν φρενὶ μὴ παρὰ καιρὸν,	Recta dijudicare mente non intempestive, *est*
Δυσπαλές. Τεθμὸς δέ τις Αθανάτων,	Difficile. Decretum vero quoddam Deorum,

PARAPHRASIS.

qui re strenue gesta, vir formosus formam non dedecoravit, sed fortitudine exornavit. Imo etiam lucta victoriam adeptus, Æginæ patriæ lumen decusque addidit, quæ jam ob rem nauticam laudabilis est, & observatione justitiæ Jovi assidentis, quam illi omnium hominum præstantissime colunt & exercent. Nam ubi est multitudo, variasque ad vias inter se differentes tendit, & in diversa studia inclinat, hanc regere & gubernare tempestive, certo justoque rationis judicio difficile est, ut in Ægina videlicet: quo etsi innumeri confluunt advenæ sententiis inter se dissidentes, recte tamen gubernantur. Sed Deorum voluntas & decretum fecit,

NOTÆ.

25 Εἶδος] Gl. MS. γ. Περιφάνεια. 26 Εξένεπε leg. Schol. Gl. MS. γ. Εδείξατο. 27 Πάλα leg. MS. Bodl. Δολιχήρετμον] i. e. peritia nautica celebrem. Æginetæ enim ipsis Athenienfibus, qui tum domini maris erant, navalibus copiis fere fuerunt potentiores, quin & maris aliquamdiu dominium obtinuerunt; & in pugna illa navali juxtas Salaminem inter Græcos & Persas (tempore scilicet quo Pindarus inclaruit) optime audierunt, & non nisi secundo loco Athenienses; Herodot. in Urania. 28 Διὸς ξενίου.] Virgil. I. Æneid. *Jupiter, hospitibus nam te dare jura loquuntur*: quo ad locum Hom. Odyss. α. Ζεὺς ἐπιτιμήτωρ, ἱκετάων τε ξείνων τε, Ξείνιος, ὃς ξείνοισιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ. Vide Not. ad v. 33. 29 Πάρεδρος] Gl. MSS. β. γ. Παρακαθήμενος. Prima Syllaba debet produci quacunque de causa id fiat. Schmid. ait ob liquidam sequentem vocalem α. 31 Schol. & Editt. vulg. & MS. β. leg. πολλά. Ita MS. γ. cujus Schol. interpret. εἰς πολλὰ διανοήματα κατὰ τὰς γνώμας. & add. ἀλλ' ὅμως κρίνεται ἐν ὀρθῇ γνώμῃ. Nos cum Schmid. secuti MSS. plurima & Schol. Edit. Rom. leg. πολλᾷ Adverb. Hæc autem verisimilior est lectio ob facilitatem producendæ syllabæ. Ρέπει] Gl. MS. γ. Κλίνει. Schol. leg. ῥέποι. 33 Δυσπαλὲς] Gl. MSS. β. γ. Δύσκολον. α. δεινὸν, δυσκληρότερον. Hæc omnia, ut difficultatem civitatis populosæ regendæ & justitiam administrandi in tam variis negotiis, quibus quotidie fora abundant, ob oculos ponunt: ita maxima hinc gloria enascitur patriæ Alcimedontis. Sed notandum videtur in hac descriptione Æginam hospitibus refertam esse: unde eos innuit æque legum commoditate frui ac ipsos cives. Hæc autem sunt clarissima indicia humanioris ingenii. Rom. Edit. post Αθανάτων distinguit. In ea lectione referetur verbum ὑπέστασε ad Θέμιν, quod Justitia hoc præstet, ut sit hæc insula κίων· illa vero verba τεθμὸς δέ τις Αθανάτων referentur ad διακρίνειν ὀρθᾷ φρενὶ, quod quidem δυσπαλὲς sit, sed tamen τεθμὸς Αθανάτων. Lonicer. Quæ interpr. non incommoda est.

[Ην δ' ἐσορᾷν καλός.] καλὸς μὲν ἦν καὶ ὀφθῆναι ὁ Αλκιμέδων. οὐ κατῄσχυνε δὲ τὸ εἶδος τοῖς ἔργοις. ἀνεκήρυξε γὰρ τὴν Αἴγιναν τὴν ναυτικὴν, κρατήσας καὶ νικήσας πάλῃ. [Εξέννεπε κρατέων.] ἐξηγόρευσε. ἀνεκήρυξε τὴν ναυτικὴν Αἴγιναν. Ησίοδος· Οἳ δ' ἤτοι πρῶτον τεῦξαν νέας ἀμφιελίσσας· Πρῶτοι δ' ἱστία θέσαν νεὼς πτερὰ ποντοπόροιο. [Ενθα σώτειρα Διὸς ξενίου.] ἐν ᾗ, ἐν Αἰγίνῃ, ἡ Θέμις Αἰγίνῃ, ἡ τοῦ Διὸς πάρεδρος, ἀσκεῖται καὶ θρησκεύεται. ἐπαινεῖ δὲ αὐτοὺς, ὡς φιλοξένους, διὰ τὸ περὶ τὸν πλοῦν κεῖσθαι, καὶ πολλοὺς ὑποδέχεσθαι. διὰ τοῦτο εἶπεν, ἔξοχ' ἀνθρώπων. ἵνα ἐξόχως, καὶ ὑπὲρ πάντας ἀνθρώπους, εἴπῃ τὴν Θέμιν ἀσκεῖσθαι ἕνεκα φιλοξενίας, παρ' Αἰγινήταις. ἐπειδὴ τὸ κεκρυμμένον καὶ πρὸς ἕκαστον ἀξίας αὐτοῖς προσμαρτυρεῖ. τοῦτο γὰρ μάλιστα ἀξίωμά ἐστιν ἄξιον, τὸ τῶν πλησιαζόντων ἑκάστῳ, τὴν πρέπουσαν καὶ προσφόρον ἀποδοῦναι τιμήν. διὰ τοῦτο οὖν φησι τιμᾶσθαι ἐξόχως τὴν τοῦ Διὸς ξενίου Θέμιν. ἐπειδὴ ἔνθα ἂν ᾖ πολύ τι καλὸν, ὡς καὶ ἐν Αἰγίνῃ τὸ τῆς φιλοξενίας, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων χρόνον. ἢ πλῆθος ἀνθρώπων ἔχει τὴν ῥοπὴν διαλλαττόμενον τοῦτο, διακρῖναι καὶ δοκιμάσαι ὀρθῷ λογισμῷ, καὶ προσήκοντι. ἵνα ἑκάστοις τὸ πρέπον παράσχῃ. καὶ κατὰ καιρὸν δύσκολόν ἐστι, καὶ δυσανταγώνιστον. ὅπερ Αἰγινῆται ὑπὲρ πάντας κατώρθωσαν. [Αλλως. Πάρεδρος ἀσκεῖται Θέμις.] Ασκληπιάδης, ἀντὶ τοῦ τιμᾶται παρὰ τοῦ ξενίου Διός. τουτέστι φιλόξενοί εἰσιν. ἴσως, διὰ τὸ ἐμπόριον εἶναι τὴν Αἴγιναν. ὅθεν τὸ ἐπὶ μεταβολῆς φόρτον, Αἰγινητικὸν ἔλεγον. καὶ τοὺς πεζοπώλας, Αἰγινοπώλας. [Εξοχ' ἀνθρώπων.] ἵνα βεβαιώσῃ, καὶ τὸ ἐξόχως ἐπάγει. ἔνθα γάρ τι πολύ ἐστι, καὶ ῥοπὴν ἔχει μεγάλην. ὡς καὶ ἐν Αἰγίνῃ, τὸ τῆς φιλοξενίας τοῦτο, ὀρθῇ διανοίᾳ καὶ ἀσφαλεῖ κεχρημένος, εἰπεῖν μὴ ἔξω τοῦ προσήκοντος, ἀλλ' εὐκαίρως, δύσκολόν ἐστι καὶ δυσπαλές. τὸ σημεῖον. χ'. ὅτι τεθμὸν νῦν τὸ δόγμα καὶ τὴν δόκησιν εἴρηκε. τὸ δὲ σαφὲς, οὕτως ἔχει. θεσμός τις καὶ δικαία κρίσις τῶν θεῶν. καὶ ταύτην τὴν τῇ θαλάσσῃ περιτετειχισμένην Αἴγιναν, τοῖς πανταχόθεν ἐπιφοιτῶσι ξένοις, βάθρον ὥσπερ καὶ ἔρεισμα θεῖον ἐνομοθέτησαν. [Ο,τι γὰρ πολὺ, καὶ πολλᾷ ῥέποι.] γνωμικόν ἐστι τὸ λεγόμενον. συντείνει δὲ εἰς τὸ περὶ φιλοξενίας τῶν Αἰγινητῶν. σημαίνει δὲ τοῦτο. ὅπου γὰρ ἂν ᾖ τι πολὺ, καὶ πολλαχοῦ ῥέπειν δυνάμενον, περὶ τοῦ τοιούτου προνοῆσαι καὶ κατὰ τρόπον οἰκονομῆσαι, καὶ κατορθῶσαι, δυσχερὲς τοῖς πολλοῖς ἀεὶ γίνεται. οὐκ εἶναι οὖν φησιν ἀξένους τοὺς Αἰγινήτας καθάπαξ. οὐδὲ μὴν ἀκρίτως ὑποδέχονται τοὺς παραγινομένους ἤτοι πάντας, ὡς ὁ Τηλέμαχός φησιν τοῦ ἐπὶ Πηνελόπης· Τοιαύτη γὰρ ἐμοὶ μήτηρ, πινυτή περ ἐοῦσα, Εμπλήγδην ἕτερόν γε τιμᾷ. δύναται οὖν τὸ πολὺ, ἐπὶ τοῦ ὄχλου τίθεσθαι τοῦ ἐν τῇ πόλει. οἷον, ὅπου ἐστὶν ὄχλος, ἐνταῦθα τὸ κατοικοῦντα ὄχλον τῶν συμφερόντων τι νοῆσαι, χαλεπόν ἐστιν. ἀκριβοῦς γὰρ διανοίας καὶ ἠρεμούσης, καὶ ὀλίγων ἀνδρῶν, τὸ ἐπὶ τοιαύτην ἐνεχθῆναι κρίσιν. πλήθειν γὰρ ἀνδρῶν οὕτω φασὶ τὴν Αἴγιναν, ὡς εἶναι ἐν αὐτῇ τεσσαράκοντα ἑπτὰ μυριάδας οἰκετῶν.

Καὶ τάνδ' ἁλιερκέα χώραν,
Παντοδαποῖσιν ὑπέστασε ξένοις
Κίονα δαιμονίαν·
Ὁ δ' ἐπαντέλλων χρόνος
Τοῦτο πράσσων μὴ κάμοι·

ἀντιστροφὴ β'. κώλων θ'.

Δωριεῖ λαῷ ταμιευ-
ομέναν ἐξ Αἰακοῦ·
Τὸν παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδᾶν,
Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον
Τεῦξαι, καλέσαντο συνεργὸν
Τείχεος. Ἦν ὅτι νιν πεπρωμένον
Ὀρνυμένων πολέμων,
Πτολιπόρθοις ἐν μάχαις
Λάβρον ἀμπνεῦσαι καπνόν.

ἐπῳδὸς β'. κώλων ια'.

Γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη, νέον

Etiam hanc mari-cinctam regionem,
Omnigenis subjecit hospitibus
Columnam divinam:
Subsequens autem tempus
Hoc factitans *utinam* non defatigetur:

METAPH.

Doriensi populo guberna-
tam post Æacum:
Quem filius Latonæ lateque potens Neptunus,
Ilio coronam *murorum* im-
posituri, advocarunt cooperatorem
Muri. Erat siquidem illis fato-decretum:
Ortis bellis,
Urbium-vastatricibus in pugnis
Vehementem exhalaturum fumum.

METAPH.

Sed cæsii dracones, cum structus-sit, novam

PARAPHRASIS.

ut hæc regio mari vallata & cincta, non modo æquitatis observatrix, sed & convenientibus undiquaque hospitibus tutum fiat columen & asylum, tanquam divina quæpiam columna: Quod utinam ei longa futuri temporis serie continuetur: Quam populus Doriensis gubernavit, ex quo eam Triacon collecta manu Argivorum, qui Dorico fuerunt genere, occupavit Æaco mortuo: quem olim Latonæ filius Apollo, lateque imperans Neptunus, mœnibus Ilium cincturi, vocarunt ut in muri constructione esset adjutor. Erat enim in fatis, ut bello adversus ipsum commoto, expugnatum conflagraret, eoq; ex incendio fumum vehementem exhalaret: quod alioqui fieri non potuisset, si à solis Diis conditum fuisset. Hoc autem aliquando futurum portenderunt dracones tres glaucis oculis horrendi, qui extructo muro in recens conditam turrim impetum fecerunt:

NOTÆ.

34 MS.C.71. leg. καὶ δ' omitt. τάν. ἁλιερκέα] Schol. MS.γ. ἀπὸ τῆς ἁλὸς ὅλης, καὶ τοῦ ἕρκους· ὁ περίμολος, καὶ τὸ τεῖχος. Gl. Θαλασσοτείχιστον. Censet autem Schmid. Poëtam certo respectu Æginam præ cæteris insulis sic appellasse, scil. qu. non solum mari cinctam, sed munitam in ipso mari asperis cautibus, & illis molibus, quas contra prædonum & hostium impetum de industria jecit Æacus, ut refert Pausan. l. 2. Quod ipsum à natura & τεθμῷ Ἀθανάτων factum fuisse dici potuit: tametsi τεθμὸς Ἀθανάτων ad ὑπέστασε κίονα ξένοις referri etiam intelligatur. 35 Consent. MSS. nostra in lect. Παντοδαποῖς ὑπέστασε sensu & metro eodem manente. At β. & γ. κίονα δαιμονίαν huic κώλῳ conjungunt. 36 Κίονα δαιμονίαν] Gl. MS.γ. Καταφύγιον εὐτυχές. 38 Κάμῃ leg. MSS. β γ. 39 Ταμιευο- hab. MSS. β. γ. in hoc κώλῳ. 41 Ποσειδᾶν leg. MSS. Bodl. & α.β.γ. 42 Ἰλίῳ leg. MS. γ. 43 Τεύξειν leg. MSS. Bodl. & α.β.γ. 48 Γλαυκοὶ] Gl. MS. β. Φοβερόφθαλμοι.

[Ὁ δ' ἐπαντέλλων χρόνος μὴ κάμοι.] μήποτε οὖν ἐν παντὶ τῷ ἐπιόντι χρόνῳ, λίποι τὸ τοιοῦτο. μὴ δὲ κάμοι αὐτὸς ὁ χρόνος, τοῦτο πράττων. ἔστι δὲ τοῦτο μέσον παρεμβληθέν· ἐπεὶ ἡ ἀκολουθία, κίονα δαιμονίαν Δωριεῖ λαῷ. καὶ τὰ ἑξῆς. ἵν' ᾖ τὴν Αἴγιναν τὴν χώραν· ἥτις ἐστὶ κίων τῶν ξένων. ἣν κρίσις τῶν θεῶν ὑπέστησεν ὑπὸ τοῦ Δωριέως λαοῦ, βασιλεύοντος μετὰ τὸν Αἰακόν. [Δωριεῖ λαῷ.] ὅτι οἱ μετὰ τὴν Αἰακοῦ βασιλείαν Δωριεῖς, τῆς Αἰγίνης ἐκράτησαν. Αἰακοῦ γὰρ καὶ Ψαμάθης Νηρηΐδος, Φῶκος ἐγένετο. τοῦτον ὡς νόθον ἀδελφὸν, ἀπέκτειναν Πηλεὺς, καὶ Τελαμών. καὶ φεύγει ὁ μὲν Πηλεὺς, εἰς Θετταλίαν τὴν καλουμένην Φθίαν· Τελαμὼν δὲ, εἰς τὴν Σαλαμῖνα. τελευτήσαντος οὖν τοῦ Αἰακοῦ, ἔρημος ἡ νῆσος περιελείπετο βασιλέως. ἐν τούτοις Τριάκων τις Ἀργεῖος, συλλέξας πλῆθος Ἀργείων, οἱ δὲ Ἀργεῖοι τοῦ Δωρικοῦ γένους, εἰς τὴν Αἴγιναν ἦλθον. καὶ κατῴκησαν, καὶ οὕτως ἔδοξεν μετὰ τὸν Αἰακὸν, ἀποταμιεύεσθαι τοῖς Δωριεῦσιν ἡ τῆς Αἰγίνης ἀρχή. [Τὸν παῖς ὁ Λατοῦς.] ὅντινα Αἰακὸν ὁ Ἀπόλλων καὶ ὁ Ποσειδῶν, μέλλοντες τὸν στέφανον καὶ τὸ τεῖχος τοῦ Ἰλίου κατασκευάζειν, συνεργὸν εἵλοντο καὶ συλλήπτορα. τούτους γὰρ κατεδίκασεν ὁ Ζεὺς πρὸς τὴν τειχοποιΐαν ὑπηρετῆσαι τῷ Λαομέδοντι, ἐπειδὴ ἐπεβούλευσαν αὐτῷ εἰς τὴν βασιλείαν. ἠθέλησε γὰρ αὐτὸν μεταστῆσαι, ὡς καὶ Ὅμηρος μνημονεύει· Ὁππότε μὶν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι, Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Φοῖβος Ἀπόλλων, οὐχ' ὡς ἔνιοι, καὶ Παλλὰς Ἀθήνη. [Εὐρυμέδων.] μεγάλως βασιλεύων. [Ἐπὶ στέφανον τεῦξαι.] μεταφορικῶς τὸ τεῖχος. στέφανοι γὰρ ὥσπερ τῶν πόλεων τὰ τείχη. καὶ Ἀνακρέων· Νῦν δ' ἀπὸ μὲν πόλεως στέφανος ὄλωλεν. [Ἦν ὅτι νιν πεπρωμένον.] αὐτὸ τὸ τεῖχος. οὗτοι δὲ συνεργὸν εἵλοντο τὸν Αἰακὸν, ἐπειδὴ ἦν αὐτῷ πεπρωμένον τῷ τείχει πολέμου γινομένου, πυρὶ καταφλεχθῆναι πολλῷ. οὐ γὰρ ἦν δυνατὸν ἁλῶναι αὐτὸ εἰ τὸ πᾶν ἔργον ἦν θεῶν. [Ἄλλως.] ὅτι πεπρωμένον ἀδιάλλακτον γενομένην τὴν πόλιν ταύτην ἐμπυρισθῆναι. διὰ τοῦτό φησι τὸν Ποσειδῶνα καὶ τὸν Ἀπόλλωνα, εἰς τὴν τοῦ Ἰλίου τείχισιν προσλαβεῖν τὸν Αἰακὸν, διὰ τὸ ὑπ' αὐτοῦ οἰκοδομηθέντος, ἵνα ἁλώσιμος γένηται. καὶ μὴ διὰ τὸ ὑπὸ τῶν θεῶν. [Γλαυκοὶ δὲ δράκοντες.] φοβεροί. ὁ δὲ νοῦς· ἐπειδὴ οὖν ποτε ἐκτίσθη τὸ τεῖχος, εὐθέως καὶ παραχρῆμα τρεῖς δράκοντες ἐφάνησαν. ὧν οἱ μὲν δύο βουλόμενοι εἰσελθεῖν διὰ τοῦ πύργου, εἰς τὸ ἐντὸς κατέπεσον καὶ ἀπέθανον· ὁ δὲ εἷς δράκων, εἰσῆλθε μετὰ συριγμοῦ καὶ βοῆς. δηλοῖ δὲ τὴν ἅλωσιν τὴν τότε γενομένην. οἱ γὰρ ἐπιόντες πολέμιοι, εἰώθασιν ἐφορμᾶν ἅμα βοῇ. ἔδει εἰπεῖν. γλαυκῶν δὲ δρακόντων εἰσαλλομένων τριῶν, οἱ δύο μὲν κατέπεσον. ὁ δὲ εἷς, ἀνόρουσε. τὸ σχῆμα Ὁμήρου· Οἱ δύο μὲν σκόπελοι, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει.

[Ἀντίον

Πύργον ἐσαλλόμενοι τρεῖς,
Οἱ δύο μὲν κάπετον,
Αὖθι δ' ἀτυζομένω, πνοὰς βάλον·
Εἷς δ' ἐσόρουσε βοάσαις.
Ἔννεπε δ' ἀντίον ὁρμαί-
νων τέρας εὐθὺς Ἀπόλλων·
Πέργαμος ἀμφὶ τεαῖς,
Ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται,
Ὡς ἐμοὶ φάσμα λέγει Κρονίδα
Πεμφθὲν βαρυγδούπου Διός,

στροφὴ γ'. κώλων θ'.

Οὐκ ἄτερ παίδων σέθεν· ἀλ-
λ' ἅμα πρώτοις ἄρξεται
Καὶ τετράτοις. Ὡς ἄρα θεὸς σάφα εἴπαις,

Turrim insilientes tres,
Duo quidem deciderunt,
Ibique turbati, spiritus emiserunt:
Unus autem insiliit vociferatus.
Dixit autem inimicum animo-vol-
vens prodigium protinus Apollo:
Pergamus circa tuæ,
O heros, manus operationes capitur,
Sic *nimirum* mihi ostentum indicat à Saturnio
Missum gravistrepo Jove,

Metaph.

Non sine filiis tuis: sed
Simul *cum* primis incipiet *hoc*
Et quartis. Sic sane Deus diserte locutus,

Paraphrasis.

ex quibus duo quidem mortui corruerunt, ibique turbati animas efflarunt: tertius vero graviter vociferatus irruit & intravit. Quod prodigium inimicum animo volvens & considerans protinus Apollo Æacum est alloquutus, Ilium ea parte, qua tuis manibus est conditum, erit expugnatu facile. Innuit hoc mihi visio illa, quam Jupiter Saturnius gravi fragore tonans immisit. Neque id perficietur sine liberis tuis. Sed primi (qui fuerunt Telamon & Peleus, & Herculem contra Laomedontem juverunt) Ilium populabuntur. Et quarti posteri (respicit autem ad Neoptolemum, qui connumerato Æaco fuit quartus) extremo dabunt excidio. Sic Deus perspicue loquutus,

Notæ.

50 Edit. Plantin. hab. κάπετον Steph. κάπετον. Pal. C. κάππεσον. 51 Ατυζόμενοι MSS. Bodl. α. β. γ. MS. C. 71. leg. οι sed ω supra script. habet. Ita videtur leg. & Schol Νεωτ. Pro πνοὰς Ald. ψυχάς. Schol. pro textu. 52 Ἐσόρουσε] Gl. MSS. β. γ. Ἔσω ὥρμησε. 54 Ὁρμαίνων in hoc κώλῳ in MSS. β. γ. 55 Πέργαμος] Gl. MS. β. ἡ τετειχισμένη. Omnes Codd. hab τεαῖς præter Schmid. qui leg. τεαῖς, unde sensus expeditior evadit. 56 Χερὸς leg. MS. γ. Ἁλίσκεται] Gl. MS. γ. χαλᾶται. 57 Ald. & Pal. C. leg. ὡς ἐμοί, ut mihi, & Schol. τοῦ C. καθά. Κρονίδα leg. Pal. C. sensu & metro eodem. 58 Βαρυκτύπου hab. MS. β. 61 Τέτρασι leg. MS. C. 71. Τετάρτοις. β. γ.

[Ἀντίον ὁρμαίνων.] φροντίζων, καὶ τὴν διάνοιαν ἐφιστάς. ὁ δὲ λόγος, οὐχ ὑπέθετο στοχάζεσθαι, φησίν, ἀλλ' ἐξεναντίον ὁρῶν ἔπος εἶπεν. ὡς δὲ συνέβαλε τὸ σῆμα, καὶ οἰκείως ἔνεπεν. οἱ προσβαλοῦντες κατὰ τὰ ἡμέτερα τείχη, ἀπολοῦνται· καθάπερ οἱ δύο δράκοντες· ὁ δὲ κατὰ τὸ Αἰακοῦ τείχισμα ἐλθὼν δράκων κρατήσει. τουτέστιν, οἱ προσβαλόντες κατ' ἐκεῖνο τὸ μέρος. ὥστε ἀπὸ τῶν τειχῶν, ἐπειδὴ τὸ τρεῖς ἀρχὴ πλήθους ἐστί, τὸ πλῆθος τῶν Ἀχαιῶν, εἰς σημείωσιν ἥχθαι. τινὲς δὲ εἰς τοὺς ἐγγυὺς τὸ αἴνιγμα ἔπι θέλουσιν ἄγειν. ἐπειδὴ γὰρ οἱ δράκοντές εἰσι τρεῖς· ὧν οἱ δύο ἀπέθανον, ὁ δὲ εἷς εἰσῆλθεν, ἀνάγει πρὸς τοὺς ἐξ Αἰακοῦ. καὶ λέγει. Τελαμών, καὶ Πηλεύς, δύο ἀδελφοί. δύο τούτων παῖδες, προσβαλοῦσι μὲν, ἀπολοῦνται δέ· Αἴας δηλονότι, καὶ Ἀχιλλεύς. ὁ δὲ εἷς Νεοπτόλεμος, ὃς καὶ ἐντὸς τῆς πόλεως ἐγένετο, οὗτος κρατήσει τῆς πόλεως. ὥστε τὸ ἀνάλογον σώζεσθαι, καὶ δράκοντι τῷ εἰσελθόντι, καὶ σωθέντι. [Ἄλλως. Ὁρμαίνων.] διαλογιζόμενος. διανοούμενος. εἶπε δὲ ὁ Ἀπόλλων, ἐναντίον, καὶ ἄδοξον θεασάμενος τὸ γεγονὸς τέρας. [Πέργαμος ἀμφὶ τεαῖς.] Πέργαμος ἡ ἀκρόπολις. Ὅμηρος· Περγάμῳ εἰν ἱερῇ. ἀποστρέφει δὲ τὸν λόγον πρὸς Αἰακόν. ἡ πόλις δέ, ὦ ἥρως Αἰακέ, τῶν Τρώων, εὐάλωτος γενήσεται κατὰ τὴν ἐργασίαν τῶν σῶν χερῶν. ὡς ἐμοὶ τὸ σημεῖον τὸ γεγενημένον ἐκ τοῦ Διὸς δηλοῖ. [Ἄλλως.] κατὰ τὰς σὰς ἐργασίας ἡ Πέργαμος ἁλίσκεται· ἀντὶ τοῦ ἁλώσιμος ἔσται. ὅμοιον τῷ Ἤτοι βίοτον κατέδουσιν, ἀντὶ τοῦ καταβρώσονται. οὐδέπω γὰρ παρῆσαν οἱ μνηστῆρες, ὅτ' ἐσφαγίαζεν ὁ Ὀδυσσεύς. ἀλλ' ἀντὶ τοῦ κατεδοῦνται, κατέδουσιν εἶπε.

[Πρώτοισιν ἄρξεται καὶ τετράτοις.] ἰδίως κατὰ τὴν φράσιν. οὐ τῷ αὐτῷ ἀριθμῷ κέχρηται. ὅτε μὲν γὰρ λέγει πρώτοις, οὐ συγκαταριθμεῖται. ὅτε δὲ λέγει τετάρτοις, συμπεριλαμβάνει τὸν Αἰακόν. πρῶτοι μὲν οὖν εἰσιν οἱ περὶ Πηλέα καὶ Τελαμῶνα. δεύτεροι δέ, Ἀχιλλεὺς καὶ Αἴας. τρίτος δὲ ὁ Νεοπτόλεμος· συγκαταριθμουμένου δὲ τοῦ Αἰακοῦ στρατευομένου, γίνεται τέταρτος. οἱ δὲ μεθ' Ἡρακλέους ἐπὶ τοῦ Λαομέδοντος, Πηλεὺς κατὰ τὸν Πίνδαρον. κατὰ δὲ τοὺς ἄλλους, Τελαμώνιος. δεύτεροι δὲ ποιοῦνται στρατείαν μετ' Ἀγαμέμνονος, Ἀχιλλεὺς καὶ Αἴας. μετὰ δὲ ταῦτα Νεοπτόλεμος στρατεύσας, αἱρεῖ τὴν Ἴλιον. τὸ σημαινόμενον οὖν ἐστι, πρώτοις τοῖς περὶ Πηλέα, τετάρτῳ δὲ τῷ Νεοπτολέμῳ συγκαταριθμουμένου τοῦ Αἰακοῦ. [Ἄλλως. Πρώτοις ἄρξεται καὶ τετράτοις.] ἁλωθήσεται δὲ ἡ Τροία, οὐ χωρὶς τῶν σῶν ἐκγόνων. ἀλλ' ἀρχὴν μὲν ἕξει τοῦ πορθεῖσθαι, ἀπὸ τῶν σῶν παίδων. τῶν περὶ τὸν Πηλέα λέγει καὶ Τελαμῶνα. οὗτοι γὰρ συνεστράτευσαν Ἡρακλεῖ ἐπὶ τὴν Ἴλιον διὰ τοὺς Λαομέδοντος ἵππους. ἁλωθήσεται δὲ ὑπὸ τῶν τετάρτων ἀπὸ σοῦ. ἔστι δὲ ὁ Πύρρος. ἅμα οὖν πρώτοις ἄρξεται καὶ τετάρτοις. πρῶτοις γάρ, ὡς προείπομεν, ἐπολέμησαν τοῖς Τρωσίν, συστρατεύσαντες Ἡρακλεῖ. ὡς καὶ Ὅμηρος μνημονεύει, καὶ τέταρτον, Πύρρον λέγει, τὸν καὶ Νεοπτόλεμον. δ'. γὰρ ἐξ Αἰακοῦ. Αἰακοῦ γὰρ Πηλεύς· οὗ Ἀχιλλεύς· οὗ Νεοπτόλεμος. τὸ τοίνυν τῶν δρακόντων σημεῖον, πρὸς τοῦτο ἔχει τὴν ἀναφοράν. [Ὡς ἄρα θεὸς σάφα εἴπαις.] ταῦτα τὰ περὶ τῶν δρακόντων σημεῖα σαφῶς διαλύσας ὁ Ἀπόλλων, εἰς τοὺς ἰδίους ἐστέλλετο κλήρους.

Ξάνθον

Ξάνθον ἤπειγεν, καὶ Αμαζόνας εὐ-	*Ad* Xanthum properabat, & Amazonas e-
ίππους, καὶ ἐς Ιστρον ἐλαύνων·	questres, & ad Istrum impellens:
Ορσοτρίαινα δ' ἐπ' Ισθμὸν ποντίαν	Tridentis-rector autem ad Isthmum marinum
Αρμα θοὸν τάνυεν,	Currum celerem dirigebat,
Αποπέμπων Αἰακὸν	Deducens Æacum
Δεῦρ' ἀν' ἵπποις χρυσέαις,	Huc cum equabus aureis,
ἀντιστροφὴ γ'. κώλων θ'.	Μεταφη.
Καὶ Κορίνθου δειράδ', ἐπο-	Et *ad* Corinthi jugum, inspe-
ψόμενος δαῖτα κλυτάν.	cturus convivium celebre.
Τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσεται οὐδέν.	Suave autem inter homines æquale erit nil.
Εἰ δ' ἐγὼ Μειλησία ἐξ ἀγενεί-	Si autem ego Melesiæ ex imberbibus *discipu-*
ων κῦδος ἀνέδραμον ὕμνῳ·	*lis* gloriam percurrerim hymno:
Μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος.	Ne petat me lapide aspero invidia.
Καὶ Νεμέᾳ γὰρ ὁμῶς	Etenim Nemeæ similiter

Paraphrasis.

per Xanthum Troiæ fluvium in Lyciam ad Amazonas properabat equis insignes, & ad Istrum equitans Hyperboreos populos adibat. Neptunus vero tridente terram pulsans ad marinum Isthmum currum velocem impellebat, huc ad Æginam pulchris in equis Æacum deducens, & ad Corinthi jugum properabat, celebre sacrificium ibi suum in honorem peragi solitum inspecturus. Cæterum non omnes homines iisdem rebus & studiis delectantur, sed alius aliis dat operam, sicut hi athletæ, alius alii certamini. Quod si jam ad Melesiæ laudes hoc hymno me conferam, ne quis invideat mihi, neque me petat maledictis, prædicantem decus, quod annis adhuc imberbibus Olympiorum & Nemeorum victoria est adeptus:

NOTÆ.

62 Ξάνθος fluvius erat Troadis, quo superato Apollo ad Amazonas, quæ in Asia in confinio Cappadociæ ad Thermodontem fluvium habitabant, indeque ad Hyperboreos tetendit, à quibus fuit peculiariter cultus. Non vero intelligitur fluvius Lyciæ ejusdem nominis, uti Schol. censet, per quam Apollo iter ad Amazonas fecerit. Ex Troade enim iter commode fieri nequit per Lyciam ad Amazonas. 67 Ἐν leg. MS. γ. pro ἀν', scil. Glossam MS. Bodl. 69 Δαῖτα κλυτὰν] Gl. MS. γ. Εὐωχίαν ἔνδοξον. poster. vocem hab. β. 70 Ἔσεται hab. Schol. 71 Μειλησίᾳ MSS. plurima. Quod sit Genitivus Doricus Schol. Pal. B. supra α scripsit ου. C. vero Articulum τοῦ. Ἀγενείων conclud. hoc κῶλον in MSS. β. γ. 73 Βαλέτω] Gl. MS. γ. Τιτρωσκέτω. 74 Νεμέα leg. MS. Bodl. ι non subscripto.

[Ξάνθον ἤπειγεν, καὶ Αμαζόνας.] ἀπὸ κοινοῦ τὸ, ἔσπευδεν εἰς τὰς Αμαζόνας, οὔσας περὶ τῷ Θερμώδοντι ποταμῷ τῆς Παφλαγονίας. ἵν' ἔχῃ τὸ ἑξῆς, οὕτω. κατὰ τὸν τῆς χωρογραφίας λόγον, πρῶτον μὲν εἰς Λυκίαν ἔσπευδεν· ἔπειτα εἰς τὰς Αμαζόνας· εἶτα ἐκεῖθεν διέβαινεν εἰς Σκυθίαν, καὶ τὸν Ιστρον ποταμὸν, λέγει δὲ τοὺς Υπερβορέους, παρεγένετο. καὶ τὰ μὲν πρῶτα χωρία, τῆς Ασίας εἰσί. τὰ δὲ δεύτερα, τῆς Εὐρώπης. [Αλλως. Ξάνθον ἤπειγεν.] ἐκ δὲ τούτου εἰς Λυκίαν. ἱερὰ γὰρ τοῦ θεοῦ. [Ιστρον ἐλαύνων.] εἰς Υπερβορέους. ἔνθα Ιστρος τὰς πηγὰς ἔχει. [Ορσοτρίαινα.] κλητικὴ ἀντὶ τῆς εὐθείας, ὡς καὶ παρ' Ομήρῳ· Ιππότα Πηλεύς. ὁ δὲ νοῦς. ὁ δὲ ὀρσοτριαίνης Ποσειδῶν, ἐπὶ Ισθμοῦ τοῦ παραθαλασσίου, ὅς ἐστι πλησίον τῆς Κορίνθου, ἠπείγετο θεάσασθαι τὰς θυσίας αὐτοῦ, καὶ τὴν τὰς τιμὰς ἐνδόξως τελοῦσαν. [Επ' Ισθμῷ ποντίᾳ.] ἐπίφορος ἐστι πρὸς τὰ θηλυκὰ, ὡς τό· Εὐδίνα Ταρταρεία. ὡς καὶ νῦν τῇ Ισθμῷ. τὸ δὲ, Αρμα θοὸν τάνυεν, εἰς δρόμον παρώξυνεν. Ομηρος· Τανύοντο δὲ μώνυχες ἵπποι. [Αποπέμπων Αἰακόν.] δεῦρο εἰς τοῦτον τὸν τόπον. ὑπόκειται γὰρ τὸ ἐγκώμιον ἐν Αἰγίνῃ. ἀπὸ τοῦ χοροῦ δὲ ὁ λόγος. [Τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσεται οὐδέν.] διάφοροι τῶν παλαιῶν ἐξηγήσεις περὶ τοῦτο γεγόνασι τὸ ῥητόν. οἱ μὲν γὰρ οὕτως. ἐπειδή φησι διεχώρησε τοὺς θεοὺς, καὶ ἕκαστον ἐπὶ τοὺς ἀρεσκομένους ἤγαγε τόπους οἰκείως, ἐπάγει τὸ κῶλον. ὅτι ἴσως οὐδὲν τερπνόν ἐστι τοῖς πᾶσιν. οὔτε μὴν ἀνθρώποις, οὔτε θεοῖς. οἱ δὲ οὕτως. ἐπειδὴ καινοτέρῳ τῷ τρόπῳ τῶν ἐγκωμίων ἐπιβάλλει· τρεῖς ἅμα καθ' ἕνα ἐπίνικον ἐγκωμιάσας, φασὶ τὸν Πίνδαρον λέγειν ὑπεραπολογούμενον τοῦ ἐγχειρήματος, ταῦτα. οὐδὲν ἴσως τερπνόν ἐστι τοῖς πᾶσιν. εἰ γὰρ ἀηδὲς τοῦτο τοῖς ἄλλοις δοκεῖ· ἀλλ' οὖν ἐμοὶ προσφιλές. ὡς Ομηρος· Αλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις. [Αλλως.] οὐχ ὁμοίως ἐπὶ τοῖς αὐτοῖς τέρπονται ἅπαντες. ἄλλος γὰρ ἄλλο προσκείνει. οὐδὲν δὲ τοῦ νικᾶν τερπνότερον τοῖς ἀνθρώποις. [Εἰ δ' ἐγὼ Μειλησίᾳ.] εἰ οὖν καὶ αὐτὸς τῷ Μειλησίᾳ, τὸν ὕμνον ἐφαρμόζων ἐπὶ τὴν δόξαν αὐτοῦ ἀνέδραμον, ἣν ἔσχεν ἀγωνιζόμενος ἐξ ἀγενείων, μηδείς με τοῦ φθόνου τῷ λίθῳ ἀκοντιζέτω, ἀντὶ τοῦ μηδείς με διὰ βασκανίαν κακῶς ἀγορευέτω. Μειλησίας δὲ ἀπὸ ἀθλητῶν νῦν ἀλείπτης τοῦ Αλκιμέδοντος. ἢ οὕτως. εἰ δὲ ἐκ τῶν ὕμνων τοῦ Αλκιμέδοντος ἐπὶ τὸ τοῦ Μειλησίου κῦδος ἀνέδραμον, ὃ ἔσχεν ἐξ ἀγενείων, μηδείς μοι φθονείτω. ἐρῶ γὰρ, καί φημι αὐτὸν ὁμοίως ἐν τῇ Νεμέᾳ τὴν αὐτὴν ἐσχηκέναι χάριν καὶ νίκην. ταύτην δὲ εἴποιμι ἄν· ἣν μετὰ ταῦτα εἰς τὴν τῶν ἀνδρῶν μάχην ἐκ τοῦ παγκρατίου ἔσχεν. [Αλλως.] ὡς τοῦ Μειλησίου προηθληκότος. καὶ τὰ νῦν ἀλείφοντος καὶ διδάσκοντος τὸν Αλκιμέδοντα. ὥστε οὐ τῷ Μειλησίᾳ γράφεται ὁ ἐπίνικος, ἀλλὰ τῷ Αλκιμέδοντι. ὁ οὖν εἰδώς φησι, ῥαδίως διδάσκει οὐχ ὁ ἀθλῶν. [Μὴ βαλέτω με.] μηδείς μοι φθονείτω, εἰ εἰς τὸ γεγενημένον τῷ Μειλησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον, τῷ ὕμνῳ ὑποδεχόμενος τοῦ Αλκιμέδοντος. [Καὶ Νεμέα γάρ.] ἕως τοῦ, ἐκ παγκρατίου. ταύτην δὲ τὴν μάχην καὶ τὴν νίκην, ἐπὶ τῶν ἀγενείων καὶ ἐν ἀνδράσιν, ἔσχεν. ὁμοίως ἐν τῇ Νεμέᾳ, τὴν αὐτὴν χάριν ἔσχε νίκης ἀγενείων, κἀκεῖ παγκρατίου.

[Ἐρέω

Ερέω ταύταν χάριν·	Dico hanc gratiam *i. e. imberbis*:
Τὰν δ' ἔπειτ' ἀνδρῶν μάχαν	Et postea virilem pugnam
ἐπῳδὸς γ'. κῶλον ια'.	Μεταφρ.
Εν παγκρατίῳ. Τὸ διδάξασθαι δέ τοι,	In pancratio. Docere autem utique,
Εἰδότι ῥᾴτερον. Αγνω-	Gnaro facilius *est*. Inconsidera-
μον δέ, τὸ μὴ προμαθεῖν.	tum vero, non prædidicisse.
Κουφότεραι γὰρ ἀπειράτων φρένες.	Leviores enim inexpertorum mentes.
Κεῖνα δ' ἐκεῖνος ἂν εἴποι	Illa autem ille dixerit
Εργα περαίτερον ἄλλων,	Opera plusquam cæteri,
Τίς τρόπος ἄνδρα προβάσει,	Quis *nimirum* modus virum promovebit,
Εξ ἱερῶν ἀέθλων	Ex sacris certaminibus
Μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.	Desideratissimam gloriam reportaturum.
Νῦν μὲν αὐτῷ γέρας Αλκιμέδων,	Nunc quidem ipsi decus *est* Alcimedon,
Νίκαν τριακοστὰν ἑλών·	Victoriam tricesimam adeptus:
στροφὴ δ'. κῶλον θ'.	Μεταφρ.
Ος τύχᾳ μὲν δαίμονος, ἀ-	Qui fortuna quidem divina, *à* viri-
νορέας δ' οὐκ ἀμπλακών,	litate tamen non aberrans,
Εν τέτρασι παίδων ἀπεθήκατο γυίοις	In quatuor puerorum reposuit membris

PARAPHRASIS.

postea que ætate virili, quum pancratio, quo viri pugnant, antagonistam superavit. Præterea siquidem ei, qui sit alicujus artis gnarus, facile est eam docere: nec id præ imperitia præstare potest ignarus, & qui prius non didicit: quoniam ineruditorum mentes sunt leves, & incertæ rerum experientia non comprobatarum: hic utique athleticam cum laude expertus, ea melius quam quisquam alius præceperit, quæ quis facere debet, quo desideratissimam ex sacris certaminibus gloriam reportet. Et certe post viginti novem alios discipulos, quorum unctor & præceptor, quibusque victoriæ author fuit Melesias, ipsi nunc maximum decus peperit Alcimedon discipulorum trigesimus, lucta victoriam adeptus; Qui & divino favore usus, & suæ fortitudinis dexteritate non frustratus, quatuor pueros antagonistas prostravit:

NOTÆ.

77 Ex παγκρατίῳ leg. Ald. & Pal. C. & Brubacch. Ed. hab. ad marg. 78 Εἰδότι] Gl. MS. γ. Γινώσκοντι. MS. γ. leg. ἄγνωμον in hoc κώλῳ, & Gl. hab. Αχριστον. 80 Απειράτων φρένες] Gl. MS. γ. Γνῶσις ἀπαιδεύτων. 81 Εἴποι] Gl MS. γ. Διδάξοι. 82 Περαίτερον] Gl. MS. γ. Διδασκαλικώτερον. 83 Προβάσει] Gl. MS. γ. Παιδεύσοι. 86 Γέρας] Gl. MS. γ. Δόξα. scil. Melesiæ præceptoris decus est Alcimedon. Vide supra not. ad Inscript. hujus Odæ. 89 Annotat Schmid. ad ἀμπλακών, hoc participium formari à πλάζομαι, & eos frustra esse contendit, qui ab ἀμπλακίων & πλέκω, qu. esset implicitus in negotiis, derivari credunt. 90 Τέτρασιν Editt. Steph. & aliorum. Γυίοις] Gl. MS. γ. Σώμασι.

[Ερέω ταύτην χάριν.] τὴν γὰρ αὐτὴν χάριν ὁμοίως ἐρῶ, καὶ ἐν Νεμέᾳ γεγενημένην αὐτῷ· καὶ γὰρ ἐκεῖ νενίκηκε τὴν τῶν ἀγενείων. [Τὰν δ' ἔπειτ' ἀνδρῶν.] τὴν νίκην ἐξ ἧς ἐνίκησεν ἀνδράσι παγκράτης. [Τὸ διδάξασθαι δέ τοι.] τὸ διδάξασθαι δέ τι ἐπιστάμενον, βέλτιον, καὶ εὔκολον ἐστί. τὸ δὲ μὴ προμαθεῖν, ἀπειρίαν ἔχει. τοιγαροῦν τῶν ἀπειράτων ἀνόητοί εἰσι καὶ κοῦφοι καὶ ὡς ἔτυχεν οἱ λογισμοὶ φερόμενοι, ταῦτα δέ φησιν, ἐπειδὴ διδάσκαλος ἐγένετο ἀλείφων τὸν Αλκιμέδοντα ὁ Μελησίας. καὶ ἀπὸ τούτου αὐτὸν θαυμάζει ὡς ἀπὸ πείρας καὶ ἐπιστήμης διδάσκοντα. [Κεῖνα δὲ κεῖνος ἂν εἴποι.] εἴποι δ' ἂν ἀκριβῶς ἐκεῖνα τὰ ἔργα. καὶ ἐμπειρότερος ἐκεῖνος ὁ μεμαθηκώς, καὶ τῇ πείρᾳ τῆς διδασκαλίας ἀκριβώσας τὰ τῶν ἀγωνισμάτων ἔργα. καὶ ποῖος τρόπος εἰς εὐδοξίαν ἄνδρα ὁδηγῆσαι δύναται, ἐκ τῶν ἱερῶν ἀγώνων ποθεινὴν βουλόμενος δόξαν ἀποφέρεσθαι. [Νῦν μὲν αὐτῷ γέρας,] τῷ Μελησίᾳ. ἐστι τοίνυν τοῦ παρόντος, δόξα αὐτῷ ἐστιν ὁ Αλκιμέδων· τριακοστὸς νικητὴς ἀναδειχθείς. λέγεται γὰρ σὺν τούτῳ ἀλεῖψαι τριάκοντα μαθητάς. [Αλλως.] Νῦν τῷ ἀλείπτῃ Μελησίᾳ, γέρας ὁ Αλκιμέδων περιεποίησε· τὸ γὰρ περιεποίησεν, ἔξωθεν προσληπτέον. οὐ δεκτέον δὲ πάντως, ὅτι ὁ Αλκιμέδων τριάκοντα νίκας ἔσχεν, ἀλλ' ὁ Μελησίας γυμνάσας ἀθλητάς, τριάκοντα νίκας αὐτῶν ἐδέξατο. [Ος τύχᾳ μὲν δαίμονος.] ὅστις Αλκιμέδων, τῆς τοῦ δαίμονος εὐτυχίας καὶ τῆς ἀνδρείας τῆς ἰδίας οὐ διαμαρτών, ἐν τέτρασι παίδων μέλεσιν ἐναποθέμενος τὴν ἑαυτοῦ ἰσχὺν τοῖς ἡττηθεῖσι τὴν ἐπὶ τὴν πατρίδα ἀνακομιδὴν ἐχθροτάτην εἶναι παρεσκεύασε, καὶ τὴν γλῶτταν αὐτῶν, τῆς παρρησίας ἀφείλετο. καὶ τὸ βάδισμα κρύφιον καὶ ἀπαρρησίαστον πεποίηκε. τοιαῦτα γὰρ τὰ τῶν ἡττωμένων ἀτυχήματα. [Αλλως.] ὅστις τῆς τοῦ δαίμονος εὐτυχίας οὐχ ἁμαρτήσας, οὐκ ἀποτυχὼν δὲ οὐδὲ τῆς ἰδίας ἀνδρείας, ἐνίκησεν. [Εν τέτρασι παίδων.] τουτέστι, τέσσαρας παῖδας ἐνίκησε. καὶ ἐποίησεν οὐχ ἡδέως οἴκαδε ἀπονοστῆσαι τῆς νίκης στερήσας. οἱονεί, κακῶς ἀπέπεμψεν· ὡς τέσσαρας αὐτοῦ καταβεβληκότος. ἀπεθήκατο γοῦν εἰς τὰ γυῖα αὐτῶν τῶν ἀγωνισαμένων αὐτῷ, τὴν ἰδίαν δύναμιν. ἀπὸ τοῦ παρακολουθοῦντος, ἐνίκησεν αὐτούς. καὶ ἐποίησεν αὐτῶν τὸν νόστον, ἔχθιστον. οἱ γὰρ νικηθέντες ὅταν οἴκαδε ἀπίωσιν, ἐν κατηφείᾳ εἰσίν. ἐχθρὰ οὖν αὐτοῖς ἡ ἀνακομιδή. οὐ γὰρ τὴν κατ' εὐχὴν νόστον ἔχουσιν, ἀλλ' ἀπεχθῆ.

Νόσον ἔχθιστον, καὶ ἀτιμοτέραν	Reditum invisissimum, & inhonoratiorem
Γλῶτταν, καὶ ἐπίκρυφον οἶμον·	Linguam, & occultam viam:
Πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος	Patri autem patris inspiravit robur
Γήραος ἀντίπαλον.	Senio resistens.
Αἴδα τοι λάθεται,	Mortis utique obliviscitur,
Αρμενα πράξαις ἀνήρ.	Convenientia, qui-patravit, vir.
ἀντιστροφὴ δ'. κώλων θ'.	METAPH.
Αλλ' ἐμὲ χρὴ μναμοσύναν	Sed me decet memoriam
Ανεγείροντα, φράσαι	Excitantem, eloqui
Χειρῶν ἄωτον Βλεψιάδαις, ἐπίνικον,	Manuum florem Blepsiadis, victorialem-*odam*,
Εκτος οἷς ἤδη στέφανος περίκει-	Sexta quibus jam corona circa-*caput*-po-
ται φυλλοφόρων ἀπ' ἀγώνων.	sita-est frondiferis ex certaminibus.
Εστι δὲ καί τι θανόντεσσιν μέρος	Est vero etiam aliqua mortuis pars
Καννόμον ἐρδόμενον.	Quæ secundum legem agitur.
Κατακρύπτει δ' οὐ κόνις	Occultatque nequaquam pulvis
Συγγόνων κεδνὰν χάριν.	Cognatorum illustrem gloriam.
ἐπῳδὸς δ'. κώλων ια'.	METAPH.
Ερμᾶ δὲ θυγατρὸς ἀκούσαις Ιφίων	Mercurii autem filiam ubi-audierit Iphion

PARAPHRASIS.

ita ut per noctem viasque occultas, patriam invito animo, & ignominiose repetere eos coëgerit, omnemque loquendi libertatem pudore perfusis ademerit. Contra vero gloriæ accessione ex victoria, paternum avum tanto gaudio perfuderit, ut debilem ejus senectutem, velut inspirato robore novo recrearit: ipse vero re tam præclare gesta, mortis metu sit liberatus: cum illius obliviscatur, quisquis edito virtutis specimine nominis immortalitatem est consequutus. Cæterum oportet ut hæc Alcimedontis victoria, mihi majores ejus Blepsiadas in memoriam revocet: quorum etiam in gratiam, victorialem hunc hymnum canam, fructum, quem utriusque fratris victoria ipsis peperit. Quorum, Blepsiadarum nimirum generi, sexta hæc corona jam obtigit ex Olympicis ludis, in quibus fronde oleastri coronantur victores. Nec mirum si dum nepotes celebro, majorum etiam defunctorum memini. Nam & ad mortuos consanguineos ex lege pertinet pars laudis viventium: & rerum quæ ab illis geruntur præclare. Neque sepulchrum occulit cognatorum eximiam virtutem, ita ut illa apud superos manifesta, ad sepultos non perveniat. Quare Iphion

NOTÆ.

92 Γλῶσσαν leg. MSS. Bodl. α. β. γ. 93 Ενέπνευσε leg. MSS. Bodl. α. β. & γ. 96 Αρμενα] Gl. MS. γ. Ἔργα τιμῆς ἄξια. Schol. Νεωτ. leg. ἅρμενα, nisi sit erratum. 103 Καννόμον] i. e. κατὰ νόμον. Alii leg. κἂν νόμον qu. καὶ ἔννομον. Ald. & Pal. A. B. C. hab. κατὰ νόμον. MS. Bodl. κὰν νόμον. Schmid. leg. ἐρδομένων. Nos lect. MSS. & Editt. quas inspeximus sequimur. 105 Κεδνὰν] Gl. MS. γ. Ἔνδοξον.

[Νόσον ἔχθιστον,] ἀντὶ τοῦ, φήμην κακὴν ἐποίησε παρ' αὐτοῖς. ἕκαστος γὰρ τῶν ὁρώντων, ἐπὶ τῆς γλώττης, Οὗτός ἐστιν ὁ νενικηκὼς, ἐπιφέρει. ἀτιμοτέραν γλῶσσαν. ἀπαῤῥησίαστον. [Καὶ ἐπίκρυφον οἶμον.] οἱ γὰρ νενικημένοι, οὐ φανερὰς ὁδοὺς ἀπᾶσιν, ἀλλ' ἐκτρεπόμενοι, διὰ τὸ ἐπονείδιστον τῆς ἥττης. καὶ ἀλλαχοῦ. νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται οὐ φίλων ἐναντίον ἐλθεῖν. [Πατρὶ δὲ πατρός.] τῷ δὲ πάππῳ αὐτοῦ ἡ τῆς νίκης ἡδονὴ ἐνέβαλε δύναμιν τὴν τοῦ γήρως ἐναντίαν οὖσαν. οἱονεὶ ταῖς εὐφροσύναις καὶ ταῖς ἡδοναῖς ἀνανεάζειν πεποίηκε τὸν γεγηρακότα ἡ χαρά. [Αἴδα τοι λάθεται.] πᾶς γὰρ ἀνὴρ ἁρμόδια πράξας, τῇ ἑαυτοῦ προαιρέσει, ᾅδου, τουτέστι θανάτου, λήθην λαμβάνει. ἤπουγε τῶν ἁπλῶς κατὰ φύσιν ὀχλούντων, οἱονεὶ τὸ φρόνημα. τοιαύτη γὰρ ἡ τῆς φαντασίας εὐπραξία, τοῖς εὖ πράττουσιν. [Αλλ' ἐμὲ χρὴ μναμοσύναν.] ἐμὲ τοίνυν χρὴ τὴν μνήμην ἀνεγείροντα. ὥσπερ κοιμηθεῖσαν καὶ σιωπηθεῖσαν λοιπόν. λέγει δὲ τῶν προγόνων αὐτοῦ. οἵτινές εἰσι Βλεψιάδαι οὕτω καλούμενοι. οὕτω τὸν εἰς αὐτοὺς ὕμνον πληρῶσαι διηγούμενον τὸν τῶν χειρῶν αὐτῶν καρπόν. ὅς ἐστιν ἡ νίκη. ἀνεγεῖραι δὲ τὴν μνήμην, ἢ τὴν νίκην τῶν προγόνων, διὰ τῶν τοῦ Αλκιμέδοντος νικητηρίων. Βλεψιαδῶν δὲ φυλὴ, ἐν Αἰγίνῃ, ἀπὸ Βλεψιάδου προγόνου Αλκιμέδοντος. [Εκτος οἷς ἤδη στέφανος.] οἷς ποτε Βλεψιάδαις, καὶ ὧν γένει, ἕκτος ὑπῆρξε στέφανος, ἤδη ἐκ τῶν ἱερῶν τούτων ἀγώνων. [Φυλλοφόρων ἀπ' ἀγώνων·] ἤτοι καθὸ οἱ νικῶντες ἐφυλλοβολοῦντο. ἢ φύλλα τοὺς στεφάνους εἶπε, διακρίνων αὐτοὺς πρὸς τοὺς δωρίτας καὶ χρηματιστὰς ἀγῶνας. [Εστι καὶ θανόντεσσιν.] ἔστι δὲ καὶ τοῖς τετελευτηκόσιν ἔννομον καὶ δίκαιον μέρος ἀποδιδόμενον, τὸ τῶν ἐπαίνων λέγει. [Κεδνὰν χάριν.] τὴν τῶν συγγενῶν ἀγαθὴν χάριν οὐ κρύπτει κόνις. ἀλλ' ἐν φανερῷ κειμένη καὶ τῶν τεθνεώτων ἐφικνεῖται. πρὸς γὰρ τοῦτο τὸ πᾶν λέγει. τὸν μὲν λόγον, ἐν τῷ καθόλου τεθείς. τείνων δὲ πρὸς ἐκεῖνον. διὸ τῆς νίκης τούτου ὁ προθανὼν Ιφίων, μετέχει καὶ συνήδεται. [Ερμᾶ δὲ θυγατρός.] ὁ Ιφίων πρόγονός ἐστιν Αλκιμέδοντος. ἐνταῦθα εἰδωλοπεποίηκεν Ερμοῦ θυγατέρα, τὴν Αγγελίαν. ἄγγελος γὰρ ὁ θεὸς ἐνταῦθα. ἀκούσας οὖν, φησὶν, ὁ Ιφίων τῆς τοῦ Ερμοῦ θυγατρὸς Αγγελίας, ἐννέποι τῷ Καλλιμάχῳ ὡς καὶ τούτῳ συγγενεῖ

ὄντι

Ἀγγελίας, ἐνέποι κεν	Nunciationem, indicet
Καλλιμάχῳ λιπαρὸν	Callimacho splendidum
Κόσμον Ὀλυμπίᾳ, ὅν σφιν ὤπασεν	Ornatum *in* Olympia, quem ipsis præbuit
Ζεὺς γένει. Ἐσθλὰ δ' ἐπ' ἐσθλοῖς	Jupiter *in* familia. Bona autem super bonis
Ἔργα θέλοι δόμεν· ὀξεί-	Facinora velit *Jupiter* dare: acu-
ας δὲ νόσους ἀπαλάλκοι.	tosque morbos propulset.
Εὔχομαι ἀμφὶ καλῶν	Opto in bonorum
Μοίρᾳ Νέμεσιν διχόβουλον μὴ θέμεν·	Fato Nemesin discordem ne ponat:
Ἀλλ' ἀπήμαντον ἄγων βίοτον,	Sed damnorum-expertem afferens vitam,
Αὐτούς τ' ἀέξοι, καὶ πόλιν.	Ipsosque adaugeat, & urbem.

PARAPHRASIS.

Alcimedontis & Timosthenis pater, audita filiorum victoria ex Nunciatione Mercurii filia, eorum avunculo Callimacho referre poterit, quemadmodum Jupiter suo generi splendidum in Olympicis ludis ornamentum coronæ præbuit. Cæterum velim ut idem Jupiter, quicquid hi juvenes agent, bona super bonis immittendo prosperet: omnesque morbos vehementes & periculosos ab ipsis arceat. Quinetiam precor ne patiatur, ut ab invidia rebus præclaris contraria lædantur: sed illæsos ad inoffensæ vitæ metam deducat: & cum ipsos, tum patriam Æginam bonis & honoribus amplificet & cumulet.

NOTÆ.

108 Καλλιμάχῳ] Gl. MS. γ. Τῷ ὄντι ἐν ἄδῃ. Λιπαρὸν] Gl. MS. γ. Ἔντιμον. 110 Ἐσλὰ δ' ἐπ' ἐσλοῖς leg. Editt. Steph. & aliorum.

ὄντι καὶ προτετελευτηκότι. τί οὖν ἐννέποι· τὴν νίκην ταύτην γάρ φησι τὸν κόσμον τὸν ἐν Ὀλυμπίᾳ. ἡ γὰρ ἑνὸς νίκη, πᾶν τὸ γένος κοσμεῖ. [Ἄλλως.] Ἰφίων καὶ Καλλίμαχος, κατὰ μέν τινας ἁπλῶς συγγενεῖς τοῦ Ἀλκιμέδοντος. κατὰ δέ τινας, Ἰφίων μὲν, πατὴρ αὐτοῦ. Καλλίμαχος δὲ, θεῖος. [Ἐσθλὰ δ' ἐπ' ἐσθλοῖς.] ἀγαθὰ ἐξ ἀγαθῶν καὶ καλλίστων παρέχειν αὐτοῖς βούλοιτο ὁ Ζεύς. τὸ δὲ θέλοι, εὐκτικῶς. [Ὀξείας δὲ νόσους.] ὀξείας εἶπε τὰς νόσους, διὰ τὰς ἀλγηδόνας. Ὅμηρος· Ὡς δ' ὅταν ὠδίνουσαν ἔχοι βέλος ὀξὺ γυναῖκα. ἢ διὰ τοὺς πυρετούς. Ἄρατος· Ὀξέα σειριάει. καὶ ἀποκωλύοι αὐτῶν τὰς ἐπιπόνους καὶ ὀξείας νόσους. ὀξεῖαι δέ εἰσιν, αἱ ἐπικίνδυνοι. [Εὔχομαι ἀμφὶ καλῶν.] εὔχομαι μὴ γενέσθαι Νέμεσιν αὐτοῖς. τουτέστι, μὴ φθονηθῆναι περὶ τῶν καλῶν. διχόβουλον δὲ, τὴν Νέμεσιν· τὴν ἐπιφθονοῦσαν καὶ ἐναντία ποιοῦσαν, οἷς βουλευόμεθα. οἷον τὴν διχάζουσαν ἀφ' ἡμῶν, καὶ διαχωρίζουσαν τὰς βουλάς. ἢ, τὸ ἐναντία βουλευομένην τοῖς ἤδη προκατωρθωμένοις ἀφ' ἡμῶν. [Ἄλλως.] εὔχομαι δὲ τῷ αὐτῷ Διῒ ἐπὶ τῇ τῶν καλῶν μοίρᾳ, Νέμεσιν καὶ βασκανίαν μὴ ἐπιβαλεῖν. [Ἀλλ' ἀπήμαντον.] ἀλλ' ἵνα ἀβλαβῆ τὸν βίον αὐτῶν διάγων ὁ Ζεύς, καὶ φυλάττων, αὐτοὺς ἐπαίροι εἰς δόξαν, καὶ τὴν πατρίδα αὐτῶν Αἴγιναν.

Τέλος τοῦ ὀγδόου τῶν Ὀλυμπίων εἰδοῦς.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ ὄγδοον τῶν Ὀλυμπίων εἶδος.

Μάτερ ὦ χρυσοστεφάνων.] ὦ Ὀλυμπία μῆτερ. τουτέστιν
αἰτία τῶν βραβείων τῶν χρυσοστεφάνων, ἀντὶ τοῦ καλλιστε-
φάνων· ἤγουν τῶν κάλλιστον ἐχόντων κόσμον. τουτέστιν, ὦ Ο-
3 λυμπία, ἐν ᾗ δίδονται οἱ κάλλιστοι στέφανοι τῶν βραβείων. [Δέσποιν'
ἀλαθείας·] ἤγουν ἀληθείας προϊσταμένη. εἶτα θέλων δηλῶσαι
ὅπως προΐσταται τῆς ἀληθείας, ἐπάγει, ὅπου ἄνδρες μάντεις, οἱ
Ἰαμίδαι δηλονότι, ἐν ἐντόμοις θύμασι σκοποῦντες παραπειρῶν-
ται, ἀντὶ τοῦ ἀποπειρῶνται· ἤγουν εἰς γνῶσιν ζητοῦσιν ἐλθεῖν τοῦ
Διὸς τοῦ ἀργικεραύνου. τουτέστι τοῦ αἰτίου τῶν ταχέων κεραυνῶν.
λέγω εἴτινα φροντίδα ἔχει αὐτὸς, δηλονότι ὁ Ζεὺς, περὶ τῶν ἀν-
θρώπων τῶν ζητούντων κατὰ ψυχὴν, μεγάλην ἀρετὴν λαβεῖν,
ἀντὶ τοῦ τιμὴν μεγάλης νίκης. [Τῶν δὲ μόχθων·] ἤγουν τῶν καμά- 9
των ἀνάπνευσιν, ἄνεσιν. πληροῦνται δὲ αἱ λιταὶ ἤγουν, αἱ δεή-
σεις τῶν εὐσεβῶν ἀνδρῶν, τῶν Ἰαμιδῶν δηλονότι, πρὸς χάριν.
τουτέστι, χαριέντως, θαυμασίως. [Ἀλλ' ὦ Πίσας εὔδενδρον.] 12
πρὸς τὴν Ὀλυμπίαν ἀποτείνων * ἤυξατο, εἶτα, πολλὰ διὰ μέσου
θεὶς, καὶ μὴ ἐπαγαγὼν τὴν ἀπόδοσιν, ἐπαναλαμβάνει τὸν πρὸς αὐτὴν
λόγον. καὶ οὕτως ἐπάγει προσεχῆ καὶ ῥᾳδίαν τὴν ἀπόδοσιν, καὶ φη-
σίν. ἀλλ' ὦ ἄλσος εὔδενδρον τῆς Πίσης τὸ ἐπὶ τοῦ Ἀλφειοῦ· ἤγουν,
ἀλλ' ὦ Ὀλυμπία, δέξαι τοῦτον τὸν κῶμον· τουτέστι, τὸν μετὰ χο-
ρείας ὕμνον, καὶ ταύτην τὴν στεφανηφορίαν· ἤγουν, τὴν ἐν στε-
φάνοις ἀνακήρυξιν. μέγα κλέος αἰεὶ ἔσται, δηλονότι ἐκείνῳ τῷ

* MSS. leg. ἤρξατο.

ἀνθρώπῳ,

ἀνθρώπῳ, ᾧτινι ἂν ἕπηται, ἤγουν, ἀκολουθήσῃ, τὸ σὸν γέ-
16 ρας· ἤτοι ἡ σὴ τιμὴ, ἡ λαμπρά. [Αλλα δ' ἐπ' ἄλλον ἔβαν.]
τουτέστιν, ἄλλα δὲ ἀγαθὰ ἐπ' ἄλλον ἔβησαν, ἀντὶ τοῦ ἔρχονται.
17 [Πολλαὶ δ' ὁδοὶ σὺν θεοῖς.] πολλαὶ ὁδοὶ γίνονται εἰς τὸ εὐ
πράσσειν, τῶν θεῶν βουλομένων. ἢ, Πολλαὶ δὲ ὁδοί εἰσιν. ὧν ἑκά-
στη, εἰς διάφορον εὐπραγίαν ἄγει, βοηθούντων τῶν θεῶν· ἤγουν,
πολλαὶ δὲ καὶ διάφοροι εὐπραγίαι εἰσίν. ὧν ἄλλον ἄλλης ἐστὶ
19 τυχεῖν, βοηθούντων τῶν θεῶν. [Τιμόσθενες, ὔμμε δ' ἐκλά-
ρωσε·] ὦ Τιμόσθενες. ὑμᾶς δὲ ἐκλήρωσεν, ἤτοι ἔταξεν ἡ τύχη
ἐν τῷ Ζηνὶ τῷ γενεθλίῳ, τουτέστιν, ἐν τῇ νεότητι, ἐπεὶ τιμᾶ-
20 ται γενέθλιος Ζεὺς, ὡς ἔφορος δηλονότι τῆς γεννήσεως. [Ον
μὲν ἐν Νεμέᾳ.] τουτέστι, σὲ ἐν τῇ Νεμέᾳ προφαντον. τουτέστιν,
ἔξοχον, λαμπρόν. τὸν Ἀλκιμέδοντα δὲ τὸν σὸν ἀδελφὸν, ἐποίησεν
ἡ τύχη Ὀλυμπιονίκην, παρὰ τῷ λόφῳ τοῦ Κρόνου. ἦν δὲ ὁ Ἀλ-
κιμέδων, καλὸς· ἤγουν εὐειδὴς εἰς τὸ ὁρᾶν αὐτόν τινα. καὶ τῷ
ἔργῳ, τουτέστι καὶ διὰ τῆς πράξεως, οὐ κατελέγχων, ἤγουν, οὐ κα-
26 ταισχύνων τὸ εἶδος· ἤτοι τὴν μορφήν. [Εξένεπε κρατέων·] ἤγουν,
ἀνεκήρυξεν, ἀνακηρυχθῆναι ἐποίησεν, νικῶν ἐν πάλῃ τὴν πατρίδα
αὐτοῦ τὴν Αἴγιναν. τὴν δολιχήρετμον· ἤγουν, τὴν μακραῖς κώπαις
28 χρωμένην, τουτέστι τὴν ναυτικήν. [Ενθα σώτειρα Διός.] ἔνθα,
ἤγουν ἐν τῇ Αἰγίνῃ, ἐπιμελείας ἀξιοῦται Θέμις, ἀντὶ τοῦ Δίκη,
ἡ πάρεδρος τοῦ Διὸς τοῦ ἐφόρου τῶν ξένων, μάλιστα πάντων τῶν ἄλ-
30 λων ἀνθρώπων. [Ο,τι γὰρ πολὺ, καὶ πολλᾷ ῥέπει.] καὶ γὰρ ὅπερ ἂν
ᾖ τι πολὺ καὶ πολλαχόσε, ἤγουν εἰς πολλὰς ὁδοὺς τείνει διαφε-
ρούσας ἀλλήλων, τοῦτο διοικεῖν ἀσφαλεῖ κρίσει λογισμοῦ καὶ δι-
καίᾳ οὐκ ἔξω τοῦ ἐγκαίρου, ἤγουν τοῦ ἁρμόζοντος, δυσχερές ἐστιν.
ὥσπερ ἐν αὐτῇ, τῇ Αἰγίνῃ δηλονότι, πλῆθος συρρεῖ ξένων, δια-
φέρον τὰς γνώμας, εἶτα ὀρθῶς διοικεῖται. [Αλλως. Ο,τι γὰρ
πολὺ, καὶ πολλᾷ ῥέπει.] γνωμικόν ἐστι τὸ λεγόμενον. συντείνει
δὲ εἰς τὸ περὶ φιλοξενίας τῶν Αἰγινητῶν. σημαίνει δὲ τοῦτο. ὅπου γὰρ
ἂν ᾖ τι πολὺ καὶ πολλαχοῦ ῥέπειν δυνάμενον, περὶ τοῦ τοιούτου
προνοῆσαι, καὶ κατὰ τρόπον οἰκονομῆσαι καὶ κατ' ὀρθὸν, δυσχερὲς
τοῖς πολλοῖς ἀεὶ γίνεται. οὐκ εἶναι, φησιν, ἀξένους τοὺς Αἰγινήτας
καθάπαξ. οὐδὲ μὴν ἀκρίτως ὑποδέχονται τοὺς παραγινομέ-
νους οὕτοι πάντας ὡς ὁ Τηλέμαχός φησιν ἐπὶ τῆς Πηνελόπης.
Τοιαύτη γὰρ ἐμὴ μήτηρ πινυτή περ ἐοῦσα, Ἐμπλήγδην ἕτερος
33 γε τιμᾷ. [Τεθμὸς δέ τις Ἀθανάτων·] ἤγουν, συνθήκη δέ τις,
βουλὴ τῶν θεῶν. καὶ ταύτην τὴν χώραν τὴν ἁλιερκέα, ἤτοι τὴν θαλάσ-
σῃ περιειλημμένην, παντοδαποῖς· ἤγουν, ἀπὸ παντὸς τόπου ἀ-
φικνουμένοις, ὑπέστησε κίονα δαιμονίαν· ἤτοι θείαν, ἢ ὀλβίαν,
τουτέστιν, ὑποκειμένην ἐποίησεν εἰς ἀνάπαυσιν, καὶ ἀσφάλειαν
37 παντοδαπῶν ξένων, † ὥσπερεί τινα κίονα ὀλβίαν. [Ο δ' ἐπαν-
τέλλων χρόνος.] ὁ δὲ ἐπερχόμενος χρόνος τοῦτο ἐνεργῶν, εἴθε
μὴ ἀτονήσειε. διὰ μέσου τοῦτο. τὸ δὲ ἑξῆς, παντοδαποῖς ὑπέ-
στησε ξένοις κίονα δαιμονίαν, Δωριεῖ λαῷ ταμιευομένην ἐξ
Αἰακοῦ. τουτέστιν, ὑπὸ τῶν Ἀργείων (οἱ γὰρ Ἀργεῖοι τοῦ Δωρικοῦ
γένους) διοικουμένην μετὰ τὸν Αἰακόν. ἐκ Διὸς καὶ Αἰγίνης ἡρωΐδος
41 Αἰακός. ἀφ' ἧς παρωνομάσθη ἡ πόλις ἡ Αἴγινα. [Τὸν παῖς ὁ
Λατοῦς.] ὅντινα, ἤγουν τὸν Αἰακὸν, ὁ υἱὸς τῆς Λητοῦς ὁ Ἀπόλλων, καὶ
ὁ Ποσειδῶν ὁ μεγάλην βασιλεύων βασιλείαν, μέλλοντες ἐπιτεύ-
ξειν, ἀντὶ τοῦ * ἐντεύξειν, ἤγουν κατασκευάσειν στέφανον, καὶ πε-
ρίβολον, περιτείχισμα τῷ Ἰλίῳ, ἐκάλεσαν συνεργὸν ἕνεκα τοῦ
τείχους. ὅτι ἦν μεμοιραμένον κινουμένων πολέμων ἐν μάχαις
πορθητικαῖς τῶν πόλεων, ἀναπνεῦσαι αὐτήν· ἤγουν, τὴν πόλιν
λάβρον καπνὸν, ἀντὶ τοῦ ἀναπνοὴν ἀναπέμψαι καπνοῦ σφοδροῦ.
48 [Γλαυκοὶ δὲ δράκοντες τρεῖς·] ἤγουν, στιλπνοὶ τοὺς ὀφθαλμοὺς,
καὶ τῇ ἐνοράσει ἐκφοβοῦντες. ἐπεὶ ἐκτίσθη νέον, ἤτοι παραχρῆμα.
τὸν πύργον· ἤγουν τὸ τεῖχος ἐφαλλόμενοι, ἀντὶ τοῦ εἰσπηδῆσαι
πειρώμενοι, οἱ δύο μὲν κατέπεσον. αὐτόθι δὲ ἀτυζόμενοι, ἤγουν
ταραττόμενοι, ἐν ἄτῃ γενόμενοι, τὰς πνοὰς ἀπέβαλον· ἤτοι,
53 ἀπέπνευσαν. ὁ εἷς δὲ εἰσῆλθε βοήσας, ἀντὶ τοῦ συείξας. [Εννεπε
δ' ἀντίον.] ἔννεπε δὲ, ἀντὶ τοῦ εἶπεν, εὐθὺς ὁ Ἀπόλλων, ὁρμαί-
νων· ἤγουν διαλογιζόμενος, σκοπῶν. τέρας ἐναντίον. τουτέστιν
ἐχθρόν. οὐ δεξιόν. ἡ Πέργαμος, ἤγουν ἡ ἐξοχὴ τοῦ τείχους, ὦ

ἥρως Αἰακὲ, ἐπὶ ταῖς σαῖς ἐργασίαις, ‡ ἤγουν διὰ τῆς σῆς χειρὸς
ἁλίσκεται· ἤγουν, ἁλώσιμος ἔσται. [Ως ἐμοὶ φάσμα λέγει 57
Κρονίδα.] οὕτως ἐμοὶ λέγει, ἀντὶ τοῦ νοεῖν δίδωσι, τὸ πεμφθὲν
φάσμα· ἤγουν ἡ πεμφθεῖσα ὄψις τοῦ Διὸς τοῦ υἱοῦ τοῦ Κρόνου, τοῦ
τῶν βαρυήχων βροντῶν αἰτίου [Οὐκ ἄτερ παίδων σέθεν·] ἤγουν, 59
οὐκ ἔξω τῶν ἀπογόνων σου ἁλώσιμος ἔσται. ἀλλ' ἅμα τοῖς
πρώτοις σοῖς ἀπογόνοις, ἤγουν τῷ Τελαμῶνι, ἄρξεται· τουτέστιν
ἀρχὴν λήψεται τοῦ ἁλίσκεσθαι· καὶ τοῖς ἀπὸ σοῦ δηλονότι τετάρ-
τοις, ἤγουν τῷ Νεοπτολέμῳ, ἁλώσεται δηλονότι. [Ως ἄρα θε- 61
ὸς σάφα εἴπας.] ὁ ἄρα, ἀντὶ τοῦ δή. οὕτω δὴ ὁ θεὸς ὁ Ἀπόλλων
σαφῶς εἰπὼν, εἰς τὸν Ξάνθον τὸν ποταμὸν, ἀπὸ τούτου δὲ τὴν Λυκί-
αν θέλει δηλοῦν, ἤπειγε. τουτέστιν ἔσπευδεν. ἐλαύνων, τοὺς ἵπ-
πους δηλονότι. καὶ ἐκ τούτου εἰς τὰς Ἀμαζόνας, τὰς καλαῖς ἵπ-
ποις χρωμένας· ἤτοι τὰς πολεμικάς. καὶ ἀπὸ ἐκείνων εἰς τὸν Ἴστρον
τὸν ποταμόν. τουτέστιν εἰς τὴν Σκυθίαν. ὁ ὀρσοτριαίνης δὲ, ἤγουν
ὁ Ποσειδῶν, ὁ τὴν τρίαιναν φέρων, ἀποπέμπων τὸν Αἰακὸν δεῦρο·
ἤγουν ὧδε. τουτέστιν εἰς τὴν Αἴγιναν ἐν χρυσοῖς ἵπποις. ἐπέτεινε
τὸ ταχὺ ἅρμα· ἤτοι ἐπέσπευδεν ἐπὶ τὸν Ἰσθμὸν τὸν περὶ τὴν Κόριν-
θον. καὶ ἐπὶ τὴν δειράδα, ἤγουν τὴν ἐξοχὴν, τῆς Κορίνθου. θεασό-
μενος τὴν δαῖτα, ἀντὶ τοῦ τὴν θυσίαν τὴν κλυτὴν· ἤτοι τὴν εὐκλεᾶ.
τὴν προσαδομένην τὴν τελουμένην αὐτῷ, ἐκεῖ δηλονότι. [Τερ- 70
πνὸν δ' ἐν ἀνθρώποις.] τουτέστιν, ἐν τοῖς ἀνθρωπίνοις πρά-
γμασιν οὐδὲν ἔσται, ἀντὶ τοῦ, ἐστὶν ἐν ἴσῃ μοίρᾳ τιθέμενον, πᾶσι
δηλονότι· ἤγουν οὐδέν ἐστιν ἡδὺ ἐν τοῖς ἀνθρωπίνοις πράγμα-
σιν, ἐφ' ᾧ πάντες ἐπίσης τερφθήσονται. διὸ οὐδὲ τοῖς θεοῖς
δηλονότι οἱ αὐτοὶ τρόποι ἀρέσκουσιν. [Τερπνὸν δ' ἐν ἀνθρώ-
ποις.] προκατάστασίς ἐστιν οὗ μέλλει εἰπεῖν περὶ τοῦ Μελησίου.
ὃς ἦν ἀλείπτης Ἀλκιμέδοντος καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Τιμοσθένους.
ἐνίκησε δὲ πάλαι ὁ Μελησίας νέος ὢν ἐν τῇ Ὀλυμπίᾳ. βούλεται οὖν
Πίνδαρος ταύτην τὴν νίκην εἰπεῖν νῦν. καὶ ἐπειδὴ τὸ παι-
δικῆς νίκης μεμνῆσθαι, μέμψιν ἂν αὐτῷ παρὰ τῶν ἀκουόντων
ἤνεγκεν, ὡς ἤδη πρεσβυτέρου ὄντος τοῦ Μελησίου, φησίν, [Εἰ δὲ 71
ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων·] ἤγουν εἰ δὲ ἐγὼ ἀνέδραμον ἐν τῷ
ὕμνῳ κῦδος καὶ δόξαν τῷ Μελησίᾳ ἐξ ἀγενείων, ἤγουν εἰ ἐπαι-
νέσαιμι αὐτὸν, ὅτι ἀγένειος ὢν, ἐν Ὀλυμπίᾳ πάλαι ἐνίκησε,
μὴ βαλέτω με ὁ φθόνος ἐν τραχεῖ λίθῳ· ἤγουν μηδεὶς διὰ
φθόνον κακῶς ἀγορευέτω με. ἐρέω γὰρ, καὶ λέξω ἐν τῇ Νεμέᾳ
ταύτην τὴν χάριν, ἤγουν ἣν ἐν τῇ πάλῃ νίκην ἔσχεν ὁμῶς,
καὶ ὁμοίως· ἤτοι ἀγένειος ὤν. [Τὰν δ' ἔπειτα.] καὶ ἄλλην δὲ
μάχην ἀνδρῶν ἐκ παγκρατίου ἐρέω ἀπὸ κοινοῦ. καὶ γὰρ ἀγένειος
ὢν Μελησίας, ἐν Ὀλυμπίᾳ καὶ ἐν Νεμέᾳ ἐκ πάλης ἐστεφανώθη.
καὶ ἀνὴρ γενόμενος, * παγκράτιον ἐνίκησε. τὸ δὲ μάχην ἀνδρῶν
λέγει, ἐπειδὴ ἀνὴρ ὢν παγκράτιον εἰς ἄνδρας ἠγωνίσατο.
[Αλλως. Εἰ δὲ ἐγὼ Μελησίᾳ.] εἰ δὲ ἐγὼ διὰ τοῦ ὕμνου εἰς τὸ
κλέος ἀναδράμω τοῦ Μελησίου τὸ ἐξ ἀγενείων, ἤτοι τὸ ἐκ παίδων
αὐτῷ γεγενημένον, μὴ βαλέτω με φθόνος λίθῳ σκληρῷ, ἀντὶ
τοῦ διασυρμῷ ὀνειδιστικῷ βαρεῖ. καὶ ἐν τῇ Νεμέᾳ γὰρ ὁμοίως ἐρέω,
ἀντὶ τοῦ λέγω, ταύτην τὴν χάριν, τουτέστι τὴν τιμὴν, τὴν νί-
κην, ὑπάρξαι δηλονότι αὐτῷ. τὴν δὲ τῶν ἀνδρῶν μάχην·
ἀντὶ τοῦ τὴν δὲ νίκην τοῦ ἀγῶνος ὃν ἠγωνίσατο ἐν ἀνδρὸς ἡλι-
κίᾳ. ἔπειτα· ἤγουν μετὰ ταῦτα λέγω ὑπάρξαι αὐτῷ ἐν παγ-
κρατίῳ. [Τὸ διδάξασθαι δέ τοι,] ἀντὶ τοῦ τὸ διδάξαι, τῷ εἰ- 77
δότι· ἤγουν τῷ ἐμπείρῳ, τῷ ἐπισταμένῳ ἐστὶ ῥᾴτερον· ἤτοι
ῥᾷον, ἀντὶ τοῦ ῥᾴδιον, ἤτοι εὔκολον. καὶ ὁ Μελησίας δηλονότι,
εἰ μὴ αὐτὸς ἦν ἔμπειρος ἀθλητὴς, οὐκ ἂν ἄλλους ἀλείφων,
ἐποίει νικᾶν. τὸ δὲ μὴ προμαθεῖν ἄγνωμον· ἤγουν ἄπειρον, καὶ
ἀνεπιτήδειον εἰς διδασκαλίαν ἑτέρων. τῷ εἰδότι εἰπὼν εὔκο-
λον εἶναι τὸ διδάξαι, ὤφειλεν ἐπαγαγεῖν· τῷ δὲ μὴ εἰδότι, οὐκ
εὔκολον. ὁ δὲ, ἐπὶ τὸ πρᾶγμα μετατίθησι τὸν λόγον. καὶ φησὶ τὸ
μὴ προμαθεῖν δὲ, ἄπειρον. ταυτὸ λέγων ὥσπερ εἰ ἔλεγεν, ὁ δὲ
μὴ προμαθὼν ἄπειρος τούτου δηλονότι, ἤγουν τοῦ διδάξαι. κουφότε-
ραι γὰρ, ἀντὶ τοῦ κοῦφαι· ἤγουν ἐλαφραὶ, ἀμαθεῖς, αἱ φρένες τῶν
ἀπειράτων· ἤτοι τῶν μὴ πεπειραμένων, τῶν μὴ προμαθόντων.
[Κεῖνα δὲ ἐκεῖνος ἂν εἴποι ἔργα·] ἤτοι ὁ πεπειραμένος, πε- 81

† MS. Bodl. ὥσπερ εἴ τις κίονα ὑπόθοι τῷ οἴκῳ. MSS. α. β. γ. ὑπέθετο οἴκῳ. * MSS. τεύξειν. ‡ MSS. add. ἤτοι κατασκευῆς τῆς χειρός.

ῥᾴτερον,

ῥᾳίτερον, ἀντὶ τοῦ περαιτέρω· ἤγουν ἐπὶ πλέον τῶν ἄλλων, λέγω
τίς τρόπος, ἢ τίς ὁδὸς, τίς μηχανὴ προβιβάσει ἄνδρα, του-
τέστιν αὐξήσει, δοξάσει ἐκ τῶν ἱερῶν ἀγώνων, μέλλοντα φέρειν,
ἀντὶ τοῦ ἀποφέρεσθαι δόξαν ποθεινοτάτην, τουτέστιν ὑπερποθουμέ-
νην. [Τὸ διδάξασθαι δέ·] ἤγουν ὁ προαθλήσας, ἐστὶν εἰδὼς τὴν
μάχην ὡς δεῖ μεταχειρίζεσθαι. κάλλιστος ἂν ἀλείπτης τῶν ἄλ-
λων γένοιτο. τοιοῦτος δὲ καὶ ὁ Μελησίας. ὁ γάρ τι πονήσας, ἐστὶ
86 καὶ διδάξας αὐτὸ, ἄριστος. [Νῦν μὲν αὐτῷ γέρας.] νῦν μὲν τιμή
ἐστιν αὐτῷ. τῷ Μελησίᾳ δηλονότι, τῷ ἀλείπτῃ. ὁ Ἀλκιμέδων
νίκην ἑλὼν ὑπὸ ἀλείπτῃ τούτῳ, μετὰ ἐννέα καὶ εἴκοσιν ἄλλους
ὑπὸ τούτου γεγυμνασμένους. ὅστις· ἤγουν ὁ Ἀλκιμέδων, σὺν
εὐτυχίᾳ θεοῦ, ἠνορέας δὲ, ἤγουν ἀνδρείας οὐκ ἀμπλακὼν, ἀντὶ
τοῦ οὐκ ἄμοιρος γεγονὼς, οὐκ ἀποτυχὼν, ἐν τέτρασι μέλεσι παί-
δων, ἀντὶ τοῦ ἐν μέλεσι τεττάρων παίδων, περιφραστικῶς, ἀντὶ
τοῦ ἐν τέτρασι παισὶν ἀπεθήκατο, ἀντὶ τοῦ ἐπέθηκεν ἐπαναστροφὴν
εἰς τὸν οἶκον αὐτῶν ἔχθιστον· ἤγουν πάνυ μεμισημένην. καὶ ἀτι-
μωτέραν γλῶσσαν, ἀντὶ τοῦ ἄτιμον· ἤτοι ἀπαῤῥησίαστον. καὶ οἶ-
μον· ἤτοι ὁδὸν ἐπέθηκεν αὐτοῖς ἐπίκρυφον. τουτέστι λαθραίαν καὶ
ἀποφεύγουσαν τὰς ὄψεις τῶν ἀνθρώπων, διὰ τὴν αἰσχύνην τῆς ἥτ-
της. τῷ πατρὶ δὲ τοῦ πατρὸς αὐτοῦ, ἤγουν τῷ πάππῳ αὐτοῦ,
ἐνέβαλε μένος. τουτέστιν ἰσχὺν τοῦ γήρως, ἀντίπαλον, ἀντὶ τοῦ
ἐναντίαν· ἤγουν καταπονούμενον αὐτὸν ὑπὸ τοῦ γήρως, ἀνέῤ-
ῥωσε. Δέον εἰπεῖν τεττάρων παίδων, τέτρασιν εἶπε πρὸς τὸ
92 γυίοις. καὶ ἔστιν ὅμοιον τὸ, Τεαῖς χερσὶν ἐργασίαις. [Ἐπίκρυφον
οἶμον·] ἤγουν ἐν σκότῳ πορείαν. ὁ γὰρ νικηθεὶς ἀτίμως τὲ
πρὸς τὸν οἶκον χωρεῖ διὰ τὴν ἧτταν, καὶ τοὺς ὁρῶντας αὐτὸν εἰς
μυκτηρισμὸν ἄγει. διὰ τοῦτο ἐν νυκτὶ τὴν πορείαν ποιεῖται.
94 [Ἀντίπαλον.] ἐναντίον. ὑπὸ γὰρ τοῦ γήρως καταβεβλημένος,
ὥσπερ ὑπὸ τῆς τοῦ παιδὸς νίκης ἰσχὺν ἔλαβε, καὶ τῆς τοῦ γήρως ἐπι-
95 λέλησται ἀσθενείας. [Ἀΐδα τοι λάθεται ἄρμενα πράξαις ἀνήρ.]
εἰς κατασκευὴν τοῦ * ἀνωτέρω τοῦτο γνωματεύεται· ἤγουν ὁ ἄν-
θρωπος ὁ παθὼν ἀρεστὰ τῇ ἑαυτοῦ γνώμῃ, ἤτοι εὐτυχήσας, τοῦ
θανάτου ἐπιλανθάνεται· ἤγουν ἀνώτερος γίνεται τοῦ θανάτου.
ἀνεπιστρόφως ἔχει αὐτοῦ τῇ εὐπραξίᾳ ἀναῤῥωννύμενος. Βούλε-
ται εἰπεῖν περὶ τῶν τοῦ Ἀλκιμέδοντος προγόνων, ὅτι κάλλιστοι
ἦσαν. λέγει οὖν. ὁ πράξας ἄρμενα καὶ ἁρμόδια ἑαυτῷ, λήθεται,
καὶ ἐπιλανθάνεται παρὰ τῶν ἄλλων ἐν τῷ ἀΐδῃ. ἀλλ' ἐμὲ χρὴ,
καὶ πρέπει φράσαι, καὶ εἰπεῖν τὸν νῦν ἐπινίκιον, καὶ ὕμνον τοῦ Ἀλκι-
μέδοντος, τὸν ἄωτον καὶ τὸν καρπὸν τῶν χειρῶν· ἤτοι τὴν νίκην.
ἐγείροντα τοῖς Βλεψιάδαις μνημοσύνην καὶ ἐνθύμησιν αὐτῶν.
τουτέστιν, εἰ καὶ οἱ Βλεψιάδαι θανόντες οὐκ ἔρχονται εἰς μνή-
μην ἀνθρώποις ὁποῖοί τινες ἦσαν τὰς ἀρετὰς, ἀλλ' ἐγὼ νῦν
ἐγκωμιάζων Τιμοσθένην καὶ Ἀλκιμέδοντα τοὺς αὐτῶν ἀπογό-
νους, δείξω πᾶσιν ἀνθρώποις τὴν αὐτῶν ἀρετήν. καὶ ὅτι ἡ τούτων
εὐδαιμονία, καὶ πρὸς τοὺς ἀπογόνους ἀφίκετο. οὓς οὐκ εἰκὸς γενέ-
σθαι τοιούτους, μὴ προϋπαρχόντων αὐτοῖς καλλίστων ἐκ προ-
γόνων παραδειγμάτων. [Ἀλλ' ἐμὲ χρὴ μναμοσύναν.] ἀλλ' 97
ἐμὲ χρὴ ἀνιστῶντα τὴν μνήμην τοῖς Βλεψιάδαις τῇ φυλῇ τοῦ
Ἀλκιμέδοντος, φράσαι αὐτοῖς ἐπινίκιον ὕμνον. ἄωτον τῶν χει-
ρῶν αὐτῶν· ἤγουν καρπὸν ὃν αἱ χεῖρες αὐτῶν ἤνεγκαν. οἷς,
ἤγουν τοῖς Βλεψιάδαις, ἕκτος ἤδη στέφανος περίκειται, ἀπ'
ἀγώνων φυλλοφόρων· ἤγουν στεφανηφόρων, ἀντὶ τοῦ στεφάνων. ἔστι
δὲ καὶ τοῖς ἀποθανοῦσι μέρος τι, ὃ πραττόμενον πρὸς αὐτοὺς, κατὰ
νόμους ἂν πράττοιτο· ἤγουν οὐ μόνον πρὸς τοὺς ζῶντάς εἰσί
τινα κατὰ νόμους ἀποδιδόμενα, ἀλλὰ καὶ πρὸς τοὺς ἀποθανόντας
ἐστὶ μέρος ὃ πραττόμενον, κατὰ νόμους ἂν πράττοιτο. τὸ τῶν
ἐγκωμίων λέγει. ὃ ἐν τοῖς ἑξῆς σαφέστερον δηλοῖ, ἐπάγει γάρ.
οὐ κατακρύπτει δὲ ἡ κόνις, ἤγουν ἡ γῆ, ὁ τάφος, τὴν ἀγαθὴν
ἀρετὴν τῶν συγγενῶν, ὥστε μὴ † ἀναφέρειν δηλονότι αὐτὴν πρὸς
αὐτοὺς ἐν τῷ τάφῳ. Τὸ ἕκτος στέφανος περίκειται λέγει, ἐπειδὴ
Τιμοσθένης καὶ Ἀλκιμέδων, ἕκτοι ἀπὸ Βλεψιαδῶν ἦσαν. ὥστε ὁ
τούτων στέφανος Βλεψιάδαις προσετέθη. τὸ δὲ, [Ἔστι θανόντεσσι,]
τοῦτο λέγει. ἢ ὅτι καὶ τοῖς προγόνοις ἡ τῶν παίδων εὐφημία κα-
θίσταται, ἢ ὅτι οἱ τοὺς παῖδας ἐγκωμιάζοντες, καὶ τῶν προγό-
νων εἰς μνείαν ἔρχονται. ὡς ὁ ἐγκωμιαστικὸς ἀναγκάζει νόμος.
[Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσαις.] ἐπειδὴ ὁ Ἑρμῆς ἄγγελος τῶν 106
θεῶν ἐστι καὶ ἔστιν ἐν οὐρανῷ καὶ γῇ καὶ πρὸς τὸν Ἅδην ψυχοπομ-
πὸς, διὰ τοῦτο λέγει τῆς αὐτοῦ φωνῆς ἀκοῦσαι τὸν Ἰφίωνα. τὴν εἰδω-
λοποιῶν θυγατέρα αὐτοῦ καλεῖ. [Ἄλλως. Ἑρμᾶ δὲ θυγατρὸς.] ὁ
Ἰφίων δὲ ὁ πατὴρ, ὥς φασί τινὲς, τοῦ Ἀλκιμέδοντος, ἐννέποι, ἀντὶ
τοῦ ἀγγεῖλαι, μηνύσαι τῷ Καλλιμάχῳ προσήκοντι κατὰ γένος,
καὶ τετελευτηκότι καὶ αὐτῷ, τὸν ἐν Ὀλυμπίᾳ κόσμον τὸν λιπαρὸν·
ἤγουν τὸν λαμπρὸν. ὃν ὁ Ζεὺς παρέσχε τῷ γένει αὐτῶν διὰ τοῦ
Ἀλκιμέδοντος. ἀκούσας αὐτὸς ὁ Ἰφίων, αὐτὸν τὸν κόσμον δηλο-
νότι τῆς Ἀγγελίας τῆς θυγατρὸς τοῦ Ἑρμοῦ ἀγγειλάσης αὐτὸν πρὸς
αὐτόν. [Ἐσθλὰ δ' ἐπ' ἐσθλοῖς.] ἀγαθὰ δ' ἐπ' ἀγαθοῖς ἔργα· 110
ἤγουν ἀγαθὰ δὲ ἔργα συνεχῆ καὶ ἐπάλληλα, εἴθε θέλοι ὁ Ζεὺς
δοῦναι αὐτοῖς. ὀξείας δὲ νόσους, τουτέστι σφοδρὰς καὶ ἐπικινδύ-
νους, ἀπαλάλκοι, ἤτοι ἀποσοβοίη, ἀπ' αὐτῶν δηλονότι. [Εὔχο- 113
μαι ἀμφὶ καλῶν.] εὔχομαι ἐπὶ τῇ μοίρᾳ τῶν καλῶν, τῇ δι-
δόσῃ δηλονότι αὐτοῖς τὰ καλὰ, μὴ θεῖναι αὐτὸν τὸν Δία, ἀντὶ τοῦ
μὴ ἐᾶσαι συμβῆναι Νέμεσιν διχόβουλον, ἀντὶ τοῦ φθόνον ἐναντία
βουλευόμενον. ἀλλ' ἄγων, τουτέστι κυβερνῶν τὸν βίον, αὐτῶν δηλο-
νότι, ἀβλαβῆ, αὐτούς τε εἴθε αὔξοι, καὶ τὴν πόλιν αὐτῶν.

* MSS. leg. ἀνωτέρω. † MSS. ἀναφέρεσθαι.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΕΝΝΑΤΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ ἐννάτου εἴδους ἡ στροφὴ, καὶ ἀντίστροφος, κώλων ιϛʹ. Τὸ αʹ, ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον εἰς δισύλλαβον. Τὸ βʹ, Ἰωνικὸν δίμετρον καταληκτικὸν εἰς τροχαϊκὴν συζυγίαν. Τὸ γʹ, φαλαίκειον ἀντισπαστικόν. Τὸ δʹ, γλυκώνειον, οἷόν ἐστιν ἀντισπαστικόν. Τὸ εʹ, ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ϛʹ, ὅμοιον τῷ δʹ. Τὸ ζʹ, Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ηʹ, ὅμοιον τῷ δʹ, καὶ ϛʹ. Τὸ θʹ, ὅμοιον τῷ ἑβδόμῳ. Τὸ ιʹ, προσοδικὸν, ἐπίτριτος τροχαῖος. Τὸ ιαʹ, ὅμοιον τῷ ἑβδόμῳ, καὶ τῷ θʹ. Τὸ ιβʹ, γλυκώνειον. Τὸ ιγʹ, ὅμοιον τῷ ἑβδόμῳ καὶ ἐννάτῳ, καὶ ἑνδεκάτῳ. Τὸ ιδʹ, ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ιεʹ, ἐπιωνικὸν ἄτακτον, σπονδεῖον ἔχον τὴν δευτέραν. Τὸ ιϛʹ, ἐπιωνικὸν καθαρὸν δίμετρον, ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων δέκα. Τὸ αʹ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ βʹ, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ γʹ, ἀναπαιστικὸν δίμετρον καταλῆγον μιᾷ συλλαβῇ. Τὸ δʹ, Ἰωνικὸν καταλῆγον εἰς τροχαϊκὴν συζυγίαν· δίμετρον ὑπερκατάληκτον. Τὸ εʹ, δακτυλικὸν ἑφθημιμερές. Τὸ ϛʹ, προσοδιακὸν τρίμετρον καταληκτικόν. ὁ πρῶτος, Ἰωνικὸς ἀπὸ μείζονος. ὁ βʹ. χορίαμβος. ὁ γʹ, Ἰωνικὸς ἀπ' ἐλάσσονος. Τὸ ζʹ, τρίμετρον ἐπιωνικὸν βραχυκατάληκτον. Τὸ ηʹ, διπλοῦς τροχαῖος, καὶ διπλοῦς ἴαμβος. Τὸ θʹ, Ἰωνικὸν δίμετρον βραχυκατάληκτον, διάφορον κατὰ τὴν ἄρχουσαν. Τὸ ιʹ, ἀντισπαστικὸν ἐννεασύλλαβον Σαπφικὸν, πλεονάζον τοῦ γλυκωνείου μιᾷ συλλαβῇ.

Metrica vero ratio ita habet:

στροφὴ & ἀντιστροφή.

1. u u - u u - u u
2. - - u u - u u
3. - u - u u - u - u - u
4. - u - u u - u -
5. - - u u - -
6. - - - u u - u -
7. - - u u - -
8. - u - u u - u -
9. - - u u - -
10. u u u - - - u u -
11. - - u u - -
12. - - - u u - u -
13. - - u u - -
14. u - u u - u - -
15. u - - - u u - -
16. u - u - u u - -

ἐπῳδός.

1. u - u - u - u -
2. u u - u - u - u - u
3. u u - u u - - - u
4. - - u u - u - - u
5. - u u - - - - -
6. - - u u - u u - u u -
7. - - u - u u - u u u
8. - - - - u - u -
9. u - u u - u
10. - u - u u - u - u

ΕΦΑΡ-

ΕΦΑΡΜΟΣΤΩ ΟΠΟΥΝΤΙΩ, ΠΑΛΑΙΣΤΗ. ΕΙΔΟΣ Θ'.

EPHARMOSTO OPUNTIO, LUCTATORI. ODE IX.

ARGUMENTUM.

Prædicatur Epharmostus ab Olympiorum & Pythiorum victoriis, ab Opunte, & à majoribus. Varias etiam interserit digressiones, veluti ad fabulas pugnæ Herculis contra Neptunum & Apollinem: & Deucalionis ac Pyrrhæ.

στροφὴ α'. κώλων ις'.

ΤΟ μὲν Ἀρχιλόχου μέλος
Φωνᾶεν Ὀλυμπίᾳ,
Καλλίνικος ὁ τριπλόος κεχλαδώς,
Ἄρκεσε Κρόνιον παρ' ὄ-
χθον, ἁγεμονεῦσαι
Κωμάζοντι φίλοις Ἐφαρ-
μόστῳ σὺν ἑταίροις·

METAPH.

ARchilochi quidem carmen
Voce in Olympica,
Videlicet Callinicus triplex decantatus,
Sufficere-potuit Saturnium apud collem, ad præeundum
Cum-tripudio-incedenti amicis Epharmosto cum sociis:

PARAPHRASIS.

Ille quidem Archilochi Callinicus hymnus, quem in gratiam Herculis, pulchras variasque victorias adepti, composuit, quique postea singulis victoribus alta voce in Olympia trina repetitione cani solitus est, eo quidem in loco, videlicet in colle Cronio, suffecit ad prælludium chori publici, ubi saltatione ducebat sequentibus dilectis sociis Epharmostus.

NOTÆ.

2 Φωνᾶεν Ὀλυμπίᾳ leg. MSS. nostra præter α. qu. esset epitheton connectend. cum μέλος. Gl. MS. α. τῇ μετεώρῳ φωνῇ λαληθὲν quod Schmid. citat ex Pal. B. & leg. in Schol. iisdem fere verbis. Et sane vocem oportuit fuisse argutam, quæ audiri potuit apud Olympiam, ubi tantus fuit sonitus equorum, & hominum clamor. 4 Schmid. hab. Κρονίῳ παρ' ὄχθῳ. MS. γ. leg. ὄχθον in hoc κώλῳ. ϛ. conjung. 4 & 5 κῶλα. 7 Ἑταίροις] Gl. MS. γ. Συγγενέσιν.

ΤΟ μὲν Ἀρχιλόχου μέλος.] ὁ Ἀρχίλοχος περὶ τύπων τῶν λυρικῶν γενόμενος, θελήσας ὕμνον ἀναβαλέσθαι εἰς Ἡρακλέα ἐν τῇ Ὀλυμπίᾳ· ἑνὸς κιθαρῳδοῦ διά τινος λέξεως μιμήσασθαι τὸν ῥυθμὸν καὶ τὸν ἦχον τῆς κιθάρας ἐπεχείρησε. συντάξας οὖν τοῦτο τό, τήνελλα, οὕτω καὶ τὰ ἑξῆς ἀνεβάλλετο. καὶ αὐτὸς μὲν τὸν ἦχον τῆς κιθάρας ὑποκεινούμενος, ἔλεγεν ἐν μέσῳ τό, τήνελλα καὶ τὰ λοιπά. οἷον, Καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις, καὶ εἶπε ἕτερον. οἷον, Αὐτός τε καὶ ὁ Ἰόλαος, αἰχματὰ δύο, τήνελλα. τὸ λοιπὸν οἱ ἀπορῶντες κιθαρῳδοῦ, τούτῳ τῷ κόμματι ἐχρῶντο τρίτον αὐτὸ ἐπιφωνοῦντες. κεκράτηκεν οὖν ἐπὶ πάντων τῶν νικηφόρων παρ' αὐτὸν τὸν καιρὸν τῆς νίκης, ἐπᾴδεσθαι τὸ κόμμα. καὶ τοίνυν ἐπὶ τοῦ Ἐφαρμόστου νικήσαντος τοῦτο ἐλέχθη. ὁ δὲ λόγος. τὸ μὲν τοῦ Ἀρχιλόχου μέλος. οἷον τό, τήνελλα Καλλίνικε, φωνηθέν, καὶ περιλεχθὲν ἐν τῇ Ὀλυμπίᾳ, ὅπερ μέλος ἔχον τὸ Καλλίνικος, τρίτον ἐλέγετο μετὰ πλήθους καὶ χοροῦ. ἐξήρκεσε παρὰ τὸ Κρόνιον ὄρος ἐν τῇ Ὀλυμπίᾳ καθηγήσασθαι, καὶ προεξάρξασθαι τότε χορεύοντι καὶ κωμάζοντι σὺν τοῖς ἑταίροις τῷ Ἐφαρμόστῳ. [Ἄλλως.] ὁ μὲν ὑπ' Ἀρχιλόχου φησὶ λεχθεὶς ὕμνος, ἤρκεσεν. ὁ δ' ὑπ' ἐμοῦ νῦν γεγονώς, ῥηθήσεται. ἔθος δὲ ἦν κωμάζειν τὴν νίκην ἐς πέρας τοῖς νικηφόροις, μετ' αὐλητοῦ. μὴ παρόντος δὲ αὐλητοῦ, εἷς τῶν ἑταίρων ἀνακρουόμενος, ἔλεγε. τήνελλα Καλλίνικε. [Ἄλλως.] Τὸ μὲν Ἀρχιλόχου μέλος, ὁ τοῖς νικῶσι τὰ Ὀλύμπια ἐπῄδετο, ἦν τρίστροφον· κοινῶς δυνάμενον ἁρμόζειν ἐπὶ παντὸς νικηφόρου. διὰ τὸ καὶ τῆς πράξεως αὐτῆς ψιλὸν ἔχειν τὸν λόγον. μήτε δὲ ὄνομα, μήτε ἰδίωμα, ἀγωνίσματος. ἐφυμνίῳ δὲ κατεχρῶντο τούτῳ. τήνελλα Καλλίνικε. τῷ οὖν Ἐφαρμόστῳ φησὶν ἐπήρκεσε παραχρῆμα κατὰ τὴν Ὀλυμπίαν τοῦτο τὸ μέλος, κωμάζοντι σὺν τοῖς ἑταίροις. τὸ δὲ τριπλόος, ὅτι τρὶς ἐπεκελάδουν, τό, Καλλίνικε. οὐ καθόλου δὲ τρίς, ἀλλ' ὅτι τριπλῆν ἔχει τὴν στροφήν. καὶ πάλιν ἀναλαμβάνεται. Ἐρατοσθένης δέ φησι μὴ ἐπινίκιον εἶναι τὸ Ἀρχιλόχου μέλος· ἀλλ' ὕμνον εἰς Ἡρακλέα. τριπλόον δέ, οὐ διὰ τὸ ἐκ τριῶν στροφῶν συγκεῖσθαι. ἀλλὰ διὰ τό, τρὶς ἐφυμνιάζεσθαι τό, Καλλίνικε. περὶ δὲ τοῦ τήνελλα, Ἐρατοσθένης φησίν· ὅτι ὅτε ὁ αὐλητής, ἢ ὁ κιθαριστής, μὴ παρῆν, ὁ ἔξαρχος αὐτὸ μεταλαβὼν ἔλεγεν ἔξω τοῦ μέλους· ὁ δὲ τῶν κωμαστῶν χορός, ἐπέβαλε τό, Καλλίνικε. καὶ οὕτω συνειρόμενον γέγονε τό, τήνελλα Καλλίνικε. ἡ δὲ ἀρχὴ τοῦ μέλους ἐστίν, Ὦ Καλλίνικε χαῖρε ἄναξ Ἡράκλεες. [Φωνᾶεν Ὀλυμπίᾳ.] οἱ μὲν προσγράφουσι τῷ α τὸ ι. καὶ ἀκούουσι, τὸ τῇ φωνῇ λεχθέν. οἱ δέ, ἀπόστροφον τίθενται ἐν τῷ α, καὶ τὸ φωνηθὲν καὶ πολυθρύλλητον ἀκούουσι. [Καλλίνικος ὁ τριπλόος.] τρὶς ὑμνοῦντο οἱ νικηφόροι ἅμα τῇ νίκῃ, καὶ ἐν τῷ γυμνασίῳ, καὶ ἐν τῇ πατρίδι· ἢ ὁ πολλάκις λεγόμενος τῇ νίκῃ, ἢ ἐπειδὴ τρία ἰάμβεια εἰσίν. [Ἄλλως.] τριπλόος, ὁ πλήθει λεγόμενος. οἱονεὶ ὑπὸ τοῦ πλήθους ᾀδόμενος, ἢ ὁ ἁβρυνόμενος καὶ πολλάκις ᾀδόμενος· τοῦτο λέγει κεχλαδώς. [Ἄλλως.] τριπλόος· ἀκαταλλήλως τῷ μέλος, τὸ τριπλόος, ἐπήγαγεν ὁ τριπλόος ὡς ἑτέρῳ προσπλέξας τὸ ἀρσενικόν. ἀλλὰ ζητέον πρὸς τὴν διάνοιαν αὐτὴν ἀπαντηκέναι. Ἀρχιλόχου μέλος, ὁ ὕμνος. εἶτα ὕμνος ὁ τριπλοῦς. τριπλόος δὲ ἤτοι ὁ τρὶς ἐπᾳδόμενος, ἢ τρίστροφος κατὰ τὸν Ἀρίσταρχον. στροφῇ δὲ καὶ ἀντιστρόφῳ τὰ τῶν λυρικῶν σύγκειται ποιήματα.

[Ἀλλὰ

Ἀλλὰ νῦν ἑκαταβόλων
Μοισᾶν ἀπὸ τόξων,
Δία τε φοινικοστερόπαν,
Σεμνόν τ' ἐπίνειμαι
Ἀκρωτήριον Ἄλιδος,
Τοιοῖσδε βέλεσσιν,
Τὸ δήποτε Λυδὸς ἥρως
Πέλοψ ἐξάρατο κάλλι-
στον ἕδνον Ἱπποδαμείας.

ἀντιστροφὴ α'. κώλων ις'.

Πτερόεντα δ' ἵει γλυκὺν
Πυθῶνάδ' ὀϊστόν. Οὔ-
τοι χαμαιπετέων λόγων ἐφάψη,
Ἀνδρὸς ἀμφὶ παλαίσμασιν
Φόρμιγγ' ἐλελίζων
Κλεινᾶς ἐξ Ὀπόεντος, αἰ-
νήσαις ἑ καὶ υἱόν·

Sed-tamen nunc *etiam* longe-jaculantium
Musarum ab arcubus,
Jovemque rutila-fulmina-jaculantem,
Venerandumque invade
Promontorium Elidis,
Talibus sagittis,
Quod olim Lydus heros
Pelops reportavit pulcherri-
mam dotem Hippodameæ.

Μεταφρ.

Alatam autem mitte jucundam
Ad-Pythonem sagittam. Nequa-
quam humiles sermones attingas,
Viri ob luctas
Citharam movens
Clara ex Opunte, lau-
dans ipsam & filium:

PARAPHRASIS.

Sed nunc, anime mi, ne communi duntaxat omnibus victoribus laude vir rarus fruatur, sed suis etiam meritis peculiarem consequatur, hujusmodi carminibus quæ à Musis suppeditantur ad encomia, quibus longe lateque fama virtutis diffunditur, prosequere & Jovem rutila fulmina contorquentem, & venerandum Elidis promontorium Cronium, quod Pelops Lydus heros, quondam in pulcherrimam Hippodamiæ dotem oppresso Oenomao retulit. Ad Pythonem quoque, ubi ut & in Elide vicit Epharmostus, mitte celeriter dulcem hymnum. Humi repentibus verbis sane non uteris, viri Opuntis inclytæ civis luctas cithara recinendo. Velim utique civem collaudes, ipsamque civitatem, in qua diligentes extant justitiæ cultores,

NOTÆ.

8 Ἑκαταβόλων] Gl.MS. γ. Μακρὰν τοξευόντων. Ἑκατοβόλων leg C.71. Sed supra το hab. script. α. 13 Τοιοῖσδε μέλεσσιν leg. MSS. nostra & Editt.MS.Pal.C. hab. βέλεσσιν, quod, cum sit Allegoriæ congruum Schmid. secuti retinuimus. Quasi dicat, Qualia carmina à me nunc panguntur, singulis peculiariter dedicata: non qualia sunt illa veterum, Archilochi, &c. omnibus communia. Schmid. Et sane hujus Odæ exordio Archilochum Pindarus perstringit, utrum propter inanem ejusdem vocis καλλίνικος repetitionem, & compositionem hymni, quem victoriis omnium Olympionicarum æque aptarat, quippe qui nihil ultra illud, Quam pulcrum victorem habemus, assidue jactitabat: an propter metrum ipsum, quod minus variegatum & ornatum copia careret, & nauseam auditoribus pareret, incertum est. Forsan & propter gestum & vocem altam, quomodo Archilochus bene mereri de victoribus studeret, & quibus cæteros Poëtas sese antecellere gloriaretur. 15 Ἐξήρατο commune leg. MSS. Bodl. & α.

[Ἀλλὰ νῦν ἑκαταβόλων.] τότε μὲν οὖν καὶ περὶ τὸν καιρὸν τῆς νίκης, ἐκεῖνα ἐλέχθη ἐν Ὀλυμπίᾳ. νυνὶ δὲ, ἀπὸ τῶν τὰ πόῤῥω βαλλόντων τόξων μουσικῶν. τὸ δὲ ὅλον, τροπή. τόξον μὲν γὰρ, τὴν ποίησιν. βέλεσι δὲ τὰ ἐγκώμια παραβάλλει. [Ἄλλως.] ἑαυτῷ παρακελεύεται. ἀλλὰ κατὰ τὸν ἐνεστῶτα χρόνον, φησὶν, ἀπὸ τῶν μουσικῶν τόξων, ἐπινεμήθητι τοῖς ὕμνοις, τὸν Δία καὶ τὴν Ὀλυμπίαν. ἑκατηβόλων δὲ, τῶν εἰς ἅπαντα τόπον διϊκνεῖσθαι ποιούντων τὰ ποιήματα. [Σεμνόν τ' ἐπίνειμαι.] ὑμνεῖν, ἢ ὑμνηθῆναι ποίησον, τὴν Πίσαν τὴν προστεύουσαν τῶν πόλεων, ἢ διὰ τὸν ἀγῶνα. οἷον τὸν ἀκρότατον καὶ κάλλιστον τῶν ἀγώνων ἔχουσαν. τὸ δὲ ἐπίνειμαι, ἢ πρὸς ἑαυτὸν, ἢ πρὸς τὸν χορόν. [Ἄλλως. Ἐπίνειμαι.] ἔπελθε. ἡ δὲ παρακέλευσις. ἢ ὡς πρὸς ἑαυτὸν, ἢ ὡς πρὸς τὸν χορόν. ἔπελθε οὖν φησι τὸ ἀκρωτήριον τῆς Ἤλιδος· ὅπερ ποτὲ ὁ Πέλοψ, ἐξαίρετον εἴληφε παρὰ τῆς Ἱπποδαμείας νικήσας τὸν Οἰνόμαον ἕδνον. [Ἀκρωτήριον Ἄλιδος.] ὃ προσεκτήσατο Πέλοψ, λαβὼν τὴν Ἱπποδάμειαν. φησὶ δὲ τῶν ἐκ τῆς Ἱπποδαμείας αὐτῷ προσγενομένων δώρων ὅτε ἔγημεν αὐτὴν, τοῦτο κάλλιστον ἕδνον εἶναι τὴν ἐκείνης τῆς χώρας κτίσιν. [Ἄλλως.] ἀκρωτήριόν ἐστιν ἐπὶ τῆς Ἱπποδαμείας τὸ ἕδνον. ἕδνα γὰρ διδόασιν οἱ ἄνδρες· φερνὰς δὲ αἱ γυναῖκες, παρὰ τὸ φέρειν μεθ' ἑαυτῶν. [Τοιοῖσδε μέλεσι.] τοιοῖσδε ποιήμασι. τοιούτοις ὕμνοις. τοῖς νῦν, καὶ μὴ οἵοις οἱ πρότερον. [Πτερόεντα δ' ἵει ὀϊστόν.] τροπικῶς τὸν ὕμνον, πάλιν δὲ, ἢ πρὸς ἑαυτὸν, ἢ πρὸς τὸν χορὸν τρέπει τὸν λόγον. καὶ εἰς τὴν Πυθῶνα δὲ, ἵει καὶ πρόπεμπε τὸν πτερόεντα ὀϊστόν. πάλιν δὲ τῇ τροπῇ κέχρηται. παρακελεύεται δὲ ἑαυτὸν ἀπὸ τῆς Ὀλυμπίας βαλεῖν τοῖς τῶν ἐγκωμίων βέλεσι, καὶ τὴν Πυθῶνα κατὰ σκοποῦ. ἐνίκησε δὲ ὁ Ἐφάρμοστος καὶ Ὀλύμπια, ὡς προεῖπε, καὶ Πύθια, ἑβδομηκοστῇ τρίτῃ Ὀλυμπιάδι. [Πυθῶνα δ' ὀϊστόν,] ἀντὶ τοῦ καὶ τὴν Πυθῶνα ὕμνει καὶ πρὸς τὴν Πυθῶνα, φησὶν, ἀφίει τὸν γλυκὺν ὀϊστόν. ὅ ἐστι, τὸν ὕμνον. ἀπὸ τῆς Ὀλυμπίας μεταβάς. καὶ γὰρ Πύθια ἐνίκησεν ὁ Ἐφάρμοστος τῇ τριακοστῇ Πυθιάδι. [Οὔτοι χαμαιπετέων.] οὐ γὰρ δὴ εὐτελῶν οὐδὲ μικρῶν λόγων ἀπάρξῃ, περὶ τῶν τοῦ ἀνδρὸς παλαισμάτων λέγων. καὶ τῇ κιθάρᾳ ἐπὶ τούτῳ χρώμενος. οὐ τοιούτων λόγων ἐφάψῃ κατὰ τοῦτον τὸν ὕμνον, οἳ πίπτουσιν χαμαί. ἀλλ' ἐνδόξων καὶ δυνατῶν πανταχοῦ διϊκνεῖσθαι. [Κλεινᾶς ἐξ Ὀπόεντος.] ποίου φησὶν ἀνδρὸς, τοῦ ἐκ τῆς Ὀποῦντος. ἵν' ᾖ τοῦ Ἐφαρμόστου. ἐκεῖθεν γὰρ τὸ γένος ἔχει. [Αἰνήσαις ἑ καὶ υἱόν.] ἑ, ἀντωνυμία. κεῖται γὰρ ἀντὶ τοῦ, αὐτὴν τὴν Ὀποῦντα. υἱὸν δὲ, τὸν πολίτην λέγει. [Ἄλλως.] τὴν πόλιν Ὀποῦντα, καὶ τὸν υἱὸν αὐτῆς τὸν νικηφόρον. υἱὸν δὲ, ἀντὶ τοῦ πολίτην. δύναται δὲ καὶ αὐτὴν τὴν ἡρωΐδα λέγειν. υἱὸν δὲ Ὀποῦντα.

[Αν

Ἂν Θέμις θυγάτηρ τέ οἱ	Quam Themis filiaque sibi
Σώτειρα λέλογχεν	Servatrix sortita-est
Μεγαλόδοξος Εὐνομία.	Gloriosa Eunomia.
Θάλλει δ' ἀρεταῖς ἴ-	Floret autem virtutibus æqua-
σον καὶ Κασταλίᾳ, παρ' Ἀλ-	liter etiam Castaliæ, juxta Al-
φειοῦ τε ῥέεθρον·	pheique fluentum:
Ὅθεν στεφάνων ἄωτοι	Unde coronarum flores
Κλυτὰν Λοκρῶν ἐπαείρον-	Inclytam Locrorum extol-
τι ματέρ' ἀγλαόδενδρον.	lunt matrem pulchrarum-arborum-feracem.
ἐπῳδὸς α'. κῶλον ι'.	Μεταφρ.
Ἐγὼ δέ τοι φίλαν πόλιν	Ego autem charam urbem
Μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς,	Claris illustrans carminibus,
Καὶ ἀγάνορος ἵππου θᾶσσον	Et feroci equo citius
Καὶ ναὸς ὑποπτέρου, πάντᾳ	Et nave alata, quoquoversum
Ἀγγελίαν πέμψω ταύταν,	Nuncium mittam hoc,
Εἰ σύν τινι μοιριδίῳ παλάμᾳ	Si cum aliquo fatali auxilio
Ἐξαίρετον Χαρίτων νέμομαι	Eximium Gratiarum colo
Κᾶπον· κεῖναι γὰρ ὤπασαν	Hortum: Illæ enim præbere-solent

PARAPHRASIS.

& legum bonarum, quibus integræ respublicæ servantur, observatores magnam hoc studio gloriam consequuntur: quæque pariter sui civis strenuitate clarescit, cujus geminum edidit specimen, alterum quum in Pythone ubi est fons Castalius, Pythiorum, alterum quum in Olympia prope fluvium Alpheum sita, Olympiorum victor evasit. Unde fit ut encomiasticus hic hymnus, qui coronarum illarum est fructus, celebrem Opuntem Locrorum metropolim, & arboribus insigne solum, extollat. Itaque dilectam hanc urbem claris illustrans carminibus, hujus Epharmosti victoriæ nuntium per omnes terrasque tractusque maris velocius generoso equo, & celerrima navi mittam, si modo fatali ope adiutus ego poeta eximius, Gratiis splendidum carmen contexo: quandoquidem quicquid jucundum est, & placet, ab illis proficiscitur.

NOTÆ.

27 Θάλλει] Gl. MSS. 6. γ. Λάμπει. Ἀρεταῖς conclud. vers. in MSS. 6. γ. ἴσ- in C. 71. 28 MSS. 6. γ. leg. ἴσον. MSS. nostra & Editt. hab. τὶ pro καί. Sed Syllaba cum Schmid. producenda est. 30 Ἄωτοι] Gl. MS. γ. Χαρίσματα. 31 Κλυτὰν MS. γ. Ἐπαείροντι] Gl. MS. γ. Δοξάζουσι. 33 Φίλαν] Gl. MSS. 6. γ. Ἀγαπητήν. 34 Ἐπιφλέγων] Gl. MS. γ. Μεγαλύνων. 35 Ἀγάνορος] Gl. MS. γ. Μεγαλοψύχου. 36 Νηὸς leg. γ. Παντᾶ leg. Alii. 37 Ταύτην MS. γ. 38 Παλάμη. γ. 39 Alii leg. ἐξαιρίταν conjung. cum Χαρίτων.

[Ἂν Θέμις.] ἣν τινα Ὀποῦντα, ἥτε Θέμις καὶ ἡ θυγάτηρ ταύτης Εὐνομία ἡ τὰς πόλεις σώζουσα, κεκλήρωται κατέχειν. ἡ τις Εὐνομία μεγάλην δόξαν ἔχει. [Θάλλει δ' ἀρεταῖς.] βρύει δὲ καὶ αὔξεται ταῖς ἀρεταῖς τῆς νίκης ἡ Ὀποῦς· ἔν τε τῇ Κασταλίᾳ πηγῇ ἐν Πυθοῖ· καὶ ἐν ταῖς περὶ τὸν Ἀλφειὸν ποταμόν· τουτέστιν ἐν τῇ Ὀλυμπίᾳ. ἀφ' ὧν· ἤτοι ποταμῶν, ἢ τόπων, αἱ νῖκαι καὶ τὰ ἄνθη τῶν στεφάνων, τὴν ἔνδοξον τῶν Λοκρῶν μητέρα τὴν Ὀποῦντα, ἐπέρχονται, καὶ ὑψοῦσι τὴν καλλίδενδρον, ἀφ' οὗ δηλοῖ τὴν εὔγειον. [Ἄλλως.] θάλλει δ' ἀρεταῖς ἡ Ὀποῦς. θάλλει ταῖς ἀρεταῖς τῆς Κασταλίας, ἀντὶ τοῦ τῆς Πυθοῦς. κρήνη γάρ ἐστιν ἐν Πυθῶνι· τὰ γὰρ Πύθια ἐνίκησε καὶ τὰ Ὀλύμπια. [Ἐπαείροντι.] ὑψοῦσι, μετεωροῦσιν, ὑμνοῦσι. [Ματέρ' ἀγλαόδενδρον.] μητέρα, τὴν Ὀποῦντα τὴν Ἐφαρμόστου πατρίδα. μητρόπολιν δὲ τὴν Ὀποῦντα τῶν Λοκρῶν λέγει. [Ἐγὼ δέ τοι φίλαν πόλιν.] ὁ νοῦς τοιοῦτος. ἐγὼ δὴ οὖν ταύτην τὴν προσφιλεστάτην Ὀποῦντα, ἐκδήλοις καταυγάζων ὕμνοις, πανταχοῦ ἐκπέμπω ταύτην τὴν ἀγγελίαν. καὶ ἵππου παντὸς ταχύτατα, καὶ ναὸς ταχείας θᾶττον. εἴ περ τινι θείᾳ μοίρᾳ, καὶ μετά τινος θείας χειρός, τὸν ἐξαίρετον τῶν Χαρίτων κῆπον, τὸ ποιητικὸν λέγει, νέμομαι. τοῦτο δὲ νέμομαι εἶπεν, ὅτι οἶδεν αὑτὸν εὐφυῶς καὶ δυνατῶς φράζοντα. εἰ δὲ καὶ χάρις τοῖς ποιήμασιν ἐφάψεται, ὡς ἄνθρωπος, ἀγνοεῖ. [Μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς.] λαμπραῖς κατὰ μετωνυμίαν. [Ἄλλως.] τοῖς λαμπραῖς, καὶ ἐκδήλοις. ἐπιφλέγων δὲ, ἀντὶ τοῦ ἐπαυγάζων. δῆλος γὰρ τῇ ῥοπῇ ὡς ἐπὶ πυρὸς ἐπέμφηνε. λαμπρύνων ἐγὼ οὖν φησιν, ὑμνῶν τὴν πόλιν ταύτην, τὴν ἀγγελίαν πανταχοῦ πέμψω ταχύτερον ὀξέος ἵππου καὶ νεὼς ὠκεοδρομούσης, εἰ σὺν θεοῦ βουλήσει κεχαρισμένα ποιήματα γράφω. [Ναὸς ὑποπτέρου.] ταχείας. ἢ διὰ τὰς κώπας. Ὅμηρος· Τά τε πτερὰ νηυσὶ πέλονται. ἀγγελίαν δὲ τὴν περὶ τῆς νίκης. [Μοιριδίῳ παλάμᾳ.] δαιμονίᾳ μηχανῇ, καὶ τέχνῃ. [Χαρίτων κᾶπον.] τὴν ποιητικήν. ὅτι δὲ παρεδρεύουσι ταῖς Μούσαις αἱ Χάριτες, καὶ Ἡσίοδος μαρτυρεῖ· Πὰρ δ' αὐταῖς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσι. [Κεῖναι γὰρ ὤπασαν.] αἱ Χάριτες, τὰ ἐν τῷ βίῳ τερπνὰ τοῖς ἀνθρώποις παρέχουσιν. ἀγαθοὶ δὲ καὶ σοφοὶ καὶ ἀνδρεῖοι ἄνθρωποι, κατὰ βούλησιν τοῦ δαιμονίου καὶ θεῶν γίνονται. Χαρίτων μὲν γὰρ ἔργον οἶδε, τὸ, τὰ πράγματα χαριέντως ἀποτερματίζειν. Μοιρῶν δὲ, καὶ εἱμαρμένης, τὸ, δυνατούς τινας κατὰ ἀνδρείαν καὶ συνετοὺς κατὰ φρόνησιν γίνεσθαι. λεληθότως δὲ ὁ Πίνδαρος διὰ τὸ ἀνεπαχθὲς, τὰ ἴδια ἐπεξεργάζεται ἐγκώμια.

Τὰ τέρπν'. Ἀγαθοὶ δ'
Καὶ σοφοὶ κατὰ δαίμον' ἄνδρες

στροφὴ β'. κῶλον ις'.

Ἐγένοντο. Ἐπεὶ ἐναν-
τ' ἂν πῶς τριόδοντος Η-
ρακλέης σκύταλον τίναξε χερσίν;
Ἀνίκ' ἀμφὶ Πύλον σταθεὶς
Ἤρειδε Ποσειδῶν·
Ἤρειδέν τέ μιν ἀργυρέῳ
Τόξῳ πολεμίζων
Φοῖβος· οὐδ' Αΐδας ἀκι-
νήταν ἔχε ῥάβδον,
Βρότεα σώμαθ' ᾇ κατάγει
Κοίλαν πρὸς ἀγυιὰν

Jucunda. Boni autem
Et ſapientes per divinam-ſortem viri

Μεταφρ.

Fieri-ſolent. Quandoquidem ali-
as quomodo tridentis Her-
cules clavam excuſſiſſet manibus?
Quando circa Pylum ſtans
Reſiſtebat *ei* Neptunus:
Reſiſtebatque ipſum argenteo
Arcu oppugnans
Phœbus: Neque Pluto immo-
tam habuiſſet virgam,
Mortalia corpora qua deducit
Cavum ad vicum

PARAPHRASIS.

Divino autem dono homines cum ad ſapientiam, tum ad alias virtutes à natura ſunt comparati. Etenim niſi ita ſe res haberet, ut ſapientes & fortes divinitus redderentur homines, quomodo fieri potuiſſet ut Hercules clava manibus vibrata tridentem reprimeret, quum ei circa Pylum adverſus Neleum pugnanti reſiſtebat Neptunus filio ferens opem? quomodo etiam Apollinem ſuperaſſet, quum argenteo arcu etiam ipſi obſiſtebat: quando huic Deo projecto tripode bellum intenderat, quia Pythia ſacerdos Deum adeſſe, & reſponſa dare aliquando ſciſcitanti negaverat? quomodo etiam quum Pluto non immotam teneret virgam qua mortalia corpora trahit ad ſepulchrum, eo repulſo Cerberum ex inferis reduxiſſet?

NOTÆ.

41 Τὰ τερπνὰ leg. MSS. Bodl. α. & γ. Gl. MS. γ. Μαθήματα. MSS. β. γ. leg. καὶ in fine hujus κῶλ. omitt. in init. ſeq. 43 Schol. leg. ἀντία πῶς ἂν, & ἀντίον. 45 Σκυτάλῳ leg. Editt. & Schol. at MSS. hab. σκύταλον clavam, quod repoſuimus. Gl. γ. Ῥοπάλῳ. Schmid. interpret. σκυτάλῳ flagellum. 46 Ἀνίκα. γ. 47 Ἤρειδε leg. Ald. Ἔρειδε metro repugn. Editt. vulgatæ. 48 Ἀργυρέῳ leg. MSS. γ. & Pal. C. & Editt. Steph. Ald. aliorumque, quibus συνιζήσει opus eſt. 50 Αἴδας hab. MS. C. 71. Schol. MS. γ. Οὗτος ὁ Ἅδης βασιλεὺς ἦν τῶν Μολοσσῶν, ὃς εἶχε τὴν κύνα τὴν καλουμένην Κέρβερον. 51 MS. γ. leg. -νήτην. 52 Schmid. σώματα, ubi duæ poſteriores breves pro una longa cenſentur. Nos retinemus lect. MSS. & Editt. quibus quid de hoc pede ſentiendum ſit non valde liquet. Vide ſis metrum κῶλ. 26, & 152. MS. γ. leg. ᾗ.

[Κατὰ δαίμον' ἄνδρες.] ἀγαθοί φησιν ἄνδρες κατὰ ἀνδρείαν. καὶ σοφοὶ κατὰ σύνεσιν, ἐκ θεοῦ μοίρας ἐγένοντο. τοῦτο δὲ παραδεικνὺς παραβάλλει τὸν Ἡρακλέα. ὅτι εἰ μὴ κατὰ θεοῦ μοῖραν ἐγεγόνει τοιοῦτος, οὐκ ἂν ποτε ὑπέστη ἀντιστῆναι Ἀπόλλωνι, καὶ Ποσειδῶνι, καὶ Ἅδῃ, Ἡρακλῆς. [Ἐπεὶ ἀντία πῶς ἂν τριόδοντος.] ἕως θνασκόντων. τίνες εἰσὶν αἱ αἰτίαι δι' ἃς ἐπολέμησε τοῖς τρισὶ θεοῖς ὁ Ἡρακλῆς; πρὸς τὸν Ποσειδῶνα μὲν, προϊσάμενον Πυλίων. ἐπολέμει γὰρ Ἡρακλῆς τοῖς Πυλίοις, διὰ ταύτην τὴν αἰτίαν. ἀνελών τινα Τραχίνιον καὶ φεύγων τὸ τοῦ φόνου τὸ μύσος, ἔρχεται πρὸς Νηλέα, ἐπὶ τῷ καθαρθῆναι τοῦ φόνου. ὡς οὖν οὐκ ἐπέτρεψεν, ἐκίνησε πρὸς Νηλέα πόλεμον. ὁ οὖν Ποσειδῶν, ὡς ὑπὲρ παιδὸς ἐμαχέσατο τῷ Ἡρακλεῖ. Νηλεὺς γὰρ καὶ Πελίας, Ποσειδῶνος υἱοί. πρὸς δὲ Ἀπόλλωνα, οὕτω καὶ διὰ τοιαύτην αἰτίαν. εἰς γὰρ τὸν Πυθῶνα παρεγένετο μαντευσόμενος περὶ τινός. ἔφη οὖν αὐτῷ ἡ Πυθία μὴ παρεῖναι τὸν θεὸν, μηδὲ χρησμῳδεῖν. ὀργισθεὶς ἐπὶ τούτῳ ὁ Ἡρακλῆς, ἥρπασε τὸν μαντικὸν τρίποδα, καὶ πρὸς αὐτὸν εἵλετο τὴν μάχην. πρὸς δὲ τὸν Ἅδην, διὰ τοῦτο. ἐπιταχθεὶς γὰρ τὸν Κέρβερον κύνα ἀναγεῖν ὑπὸ τοῦ Εὐρυσθέως, εἶτα διακωλυόμενος, ἐτόλμησε καὶ πρὸς τὸν Ἅδην. αἱ δὲ μάχαι αἱ πρὸς τοὺς θεοὺς ἐν διαφόρῳ χρόνῳ τῷ Ἡρακλεῖ γεγόνασιν. [Ἄλλως.] ἰδίως κἀνταῦθα ὁ Πίνδαρος τὸν Ἡρακλέα φησὶ τοῖς τρισὶ πολεμῆσαι θεοῖς. δεδόσθω γὰρ αὐτῷ, φησὶν ὁ Δίδυμος, περὶ τὸν ὑπὸ τῷ Νέστορι Πύλιον συστῆναι τὸν πόλεμον, Ὁμήρου τὸν ἐν ᾅδου πύλην εἰπόντος, Ἐν Πύλῳ ἐν νεκύεσσι βαλών. εἴη δ' ἂν νῦν ὁ Πίνδαρος, τά καὶ τόποις, καὶ χρόνοις διεστῶτα, εἰς ἕνα καιρὸν ἄγων ἕνεκα τοῦ μειζόνως, ἢ ἑτέροις ἔχει τὸν Ἡρακλέα ἐπαινεῖν ἀληθείαις. Ἀπόλλωνι μὲν γὰρ ὁ Ἡρακλῆς ἐν Πυθοῖ μάχεται περὶ τοῦ τρίποδος, οὐκ ἀμυνόμενος τῇ Πύλῳ. [Ἄλλως. Ἐπεὶ ἀντίον.] ἐπεὶ εἰ μὴ ἐκ θεῶν ὑπάρχει τὰ κάλλιστα τοῖς ἀνθρώποις, πότε ἂν ἠδυνήθη Ἡρακλῆς τῷ ῥοπάλῳ ἀντιμάχεσθαι πρὸς τὸ τοῦ Ποσειδῶνος τρίαιναν, καὶ νικῆσαι; ἡνίκα ὁ Ποσειδῶν στὰς περὶ τὴν Πύλον διεκώλυε τὸν Ἡρακλέα καὶ ἐπολέμει. [Ἀνίκ' ἀμφὶ Πύλον.] ὅτι παρακήκοεν Ὁμήρου λέγοντος· Ἐν Πύλῳ ἐν νεκύεσσι. διὸ καὶ μεμυθολόγηκε τὰ περὶ τὴν Πύλον τοῦ Νέστορος. Ὅμηρος δὲ οὐκ ἐν Πύλῳ λέγει τῇ πόλει, ἀλλ' ἐν πύλῃ τῇ τοῦ ᾅδου φησὶν αὐτὸν μάχεσθαι. [Οὐδ' Αΐδας ἀκινήταν ἔχε ῥάβδον.] τῇ ῥάβδῳ κέχρηται καθάπερ ὅπλῳ τινὶ βίαν μὲν οὐδεμίαν παρεχομένῃ. καθάπερ ἡ τριόδους, ἢ ξίφος, ἢ δόρυ. ἀλλὰ δυνάμει συνεχρῆτο θελκτικῇ καὶ μαλακτικῇ τῆς ψυχῆς· ταύτῃ γοῦν, φησὶ, καὶ τὰς ψυχὰς αὐτὸν κατάγει. ἐπὶ τοῦ Ἡρακλέους οὖν ὁ Ἅδης ἔργῳ διὰ τῆς ῥάβδου ταύτης, οὐδὲν ἠδυνήθη δρᾶσαι. διὰ τὸ τὴν δύναμιν αὐτοῦ ὑπὸ τοῦ Διὸς ἀμβλυνθῆναι. ἀπὸ κοινοῦ δὲ εἰ μὴ κατὰ δαίμονα ἄνδρες ἐγίνοντο, οὐκ ἂν οὐδὲ ὁ Ἅδης ἀσθενῆ καὶ ἀκίνητον διαμαχόμενος Ἡρακλεῖ εἶχε ῥάβδον. ἐν ᾗ ῥάβδῳ τὰ τῶν ἀνθρώπων σώματα ἀσθενῆ ποιῶν, οὕτως εἰς τὸν κοῖλον τόπον τοῦ ᾅδου κατάγει τῶν τελευτώντων. ὅτι δὲ καὶ θελκτικὴ ἡ ῥάβδος καὶ κατεργάσασθαι δύναται, Ὅμηρός φησιν ἐπὶ τοῦ Ἑρμοῦ· Εἵλετο δὲ ῥάβδον τῇ ἥ τ' ἀνδρῶν ὄμματα θέλγει Ὧν ἐθέλει· τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει. [Κοίλαν πρὸς ἀγυιάν.] ὥσπερ παρὰ τὸ αἴθω αἴθυια, οὕτω καὶ παρὰ τὸ μύω μυῖα. καὶ παρὰ τὸ ἄγω ἀγυιά.

[Ἀπὸ

Θνασκόντων. Ἀπό μοι λόγον	Morientium. Abjice mihi sermonem
Τοῦτον, στόμα, ῥῖψον.	Hunc, os.
Ἐπεὶ τό γε λοιδορῆσαι	Quoniam convitiari
Θεοὺς, ἐχθρὰ σοφία· καὶ	Diis, odiosa sapientia *est*: &
Τὸ καυχᾶσθαι παρὰ καιρὸν,	Gloriari intempestive,
ἀντιστροφὴ β'. κώλων ις'.	ΜΕΤΑΡΗ.
Μανίαισιν ὑποκρέκει.	Insaniis consonat.
Μὴ νῦν λαλάγει τὰ τοι-	Ne nunc loquaris ta-
αῦτ'. Ἔα πόλεμον, μάχαν τε πᾶσαν,	lia. Sine bellum, pugnamque omnem,
Χωρὶς Ἀθανάτων. Φέροις	Seorsim *ab* Immortalibus. Admoveas
Δὲ Πρωτογενείας	Autem Protogeniæ
Ἄστει γλῶσσαν· ἵν' αἰολο-	Civitati linguam: ubi varie-
βρέντα Διὸς αἴσᾳ	tonantis Jovis fato
Πύρρα Δευκαλίων τε Παρ-	Pyrrha Deucalionque Par-
νασσοῦ καταβάντε,	nasso descendentes,
Δόμον ἔθεντο πρῶτον· ἄτερ	Domum exstruxerunt primum: sine
Δ' εὐνᾶς, ὁμόδαμον	Autem concubitu, ejusdem-generis

PARAPHRASIS.

At vero tu meum os, sermonem hunc missum facito. Nam absurda de Diis dicere contumeliosum est, odiosum, stultumque, & gloriando Diis homines anteponere, insaniæ simillimum. Ne nunc nugas hujusmodi proponas: missum facias bellum: nullius pugnæ memineris quando de Diis ages, cum hæc non cadant in eos. Quin potius de Opunte Protogeniæ urbe sic ab Opunte ejus filio denominata loquaris, ubi Jovis velocium fulminum authoris consilio & providentia, Deucalion & Pyrrha, quum represso Græciæ diluvio ex monte Parnasso descendissent, primas sedes posuerunt, & citra conjugalem congressum homines similes

NOTÆ.

54 Θνησκόντων MSS. nostra. 55 Ῥίψον] Schol. β. ὡς βλαβερόν. 61 Ἔα] Gl. MS. β. Κατάλειψον. 67 MS. C. 71. leg. --νάσου.

[Ἀπό μοι λόγον τοῦτον, στόμα, ῥῖψον.] ἀπόῤῥιψόν μοι τοῦτον τὸν λόγον, ὦ στόμα. παῦσαι τοῦ λέγειν τοιαῦτα περὶ θεῶν. τὸ γὰρ βλασφήμως ἐχόμενα λέγειν περὶ θεῶν, ἀλλότριον τοῖς σοφοῖς· ἀνοήτοις δὲ οἰκεῖον. σοφία μὲν γὰρ οἶδε τὸ γινώσκειν τὰ παλαιὰ καὶ ταῦτα ἑρμηνεύειν τεχνικῶς διασκευάζουσα. τὸ δὲ πρὸς λοιδορείαν ἕλκειν τὰ ποιήματα, οὐχ' ὅσιον ἐστὶν, ὡς δηλοῖ ζεται. διὸ ἐχθρὰν σοφίαν αὐτὴν ὀνομάζει. [Ἐπεὶ τό γε λοιδορῆσαι.] διότι ἄνδρα ὄντα τὸν Ἡρακλέα, τριῶν θεῶν ἀπέδειξεν ὄντα βελτίονα. [Τὸ καυχᾶσθαι παρὰ καιρὸν.] τὸ γοῦν ἐπὶ τοῖς οὕτως ἀκαίρως ἀναγκαίαις διηγήσεσι καυχᾶσθαι καὶ σεμνύνεσθαι, μανίας ὅμοιον ἐστί. τοῦτο δὲ εἴρηκε παρέχον ἀσεβεῖν δείξει, ἐὰν τὸν Ἡρακλέα ἐγκωμιάζῃ ἐπὶ τῷ τοὺς θεοὺς νενικηκέναι. [Μανίαις ὑποκρέκει.] συμφωνεῖ. οἷον, ἐνδόσιμόν ἐστιν. [Ἄλλως. Ὑποκρέκει.] ὑπηχεῖ, προσέοικεν. ὑποκρέκειν γὰρ κυρίως ἐστὶ, τὸ ἠρεμαίως ὑπηχεῖν ἐν τῷ ἁρμόζειν τὴν κιθάραν. ὑποτερετίζει οὖν, ἐνδόσιμός ἐστι μανία. ἡ μεταφορὰ οὖν ἀπὸ τῶν τῆς κιθάρας κρουμάτων. πρότερον γὰρ τῆς κιθάρας ὑφαπτόμενοι, ὑποκρέκουσιν. [Μὴ νῦν λαλάγει τὰ τοιαῦτα.] μὴ γοῦν θορύβει καὶ τὰ τοιαῦτα φλυάρει. ἀλλ' ἀπόῤῥιψον, καὶ ἔα, καὶ μὴ μέμνησο πολέμων καὶ μαχῶν. τὰ γὰρ τοιαῦτα κεχώρισται, καὶ πόῤῥω ἐστὶ τῶν θεῶν. [Φέροις δὲ Πρωτογενείας.] φέροις δὲ μᾶλλον, ὦ στόμα, καὶ λέγοις τὰ περὶ τῆς πόλεως τῆς ἀπὸ Πρωτογενείας. λέγει δὲ τῆς Ὀποῦντος. ὑμνοίης δέ φησι τὸ τῆς Πρωτογενείας ἄστυ. ταύτης γὰρ καὶ Λοκροῦ κατ' ἐπίκλησιν μὲν, Ὀποῦς. τῷ γόνῳ δὲ, Διός. Πρωτογένεια δὲ, Δευκαλίωνος καὶ Πύῤῥας. ὁ μέν τοι Πίνδαρος Πρωτογένειαν, Ὀποῦντος ἱστορεῖ ἐν τοῖς ἑξῆς. [Ἵν' αἰολοβρέντα Διὸς αἴσᾳ.] καλῶς τοῦ κατακλυσμοῦ μεμνημένος, αἰολοβρένταν εἶπε τὸν Δία. ἵν' οὖν ἐν τῇ Ὀποῦντι λέγῃ, ἐκεῖ γάρ φησι Δευκαλίωνα καὶ Πύῤῥαν οἰκῆσαι· ὧν θυγάτηρ Πρωτογένεια. Ἀπολλόδωρος φησὶν οὐκ ἐν Ὀποῦντι ἀλλ' ἐν Κύνῳ τὸν Δευκαλίωνα καὶ τὴν Πύῤῥαν οἰκῆσαι. [Ἄλλως.] ἔνθα, ἐν ᾗ Ὀποῦντι, κατὰ βούλησιν τοῦ Διὸς, ὅ,τε Δευκαλίων καὶ ἡ Πύῤῥα ἀπὸ τοῦ ὄρους τοῦ Παρνασοῦ καταβάντες, κατῴκισαν ἑαυτοῖς οἰκίαν. ὅτε γὰρ ὁ κατακλυσμὸς, † ἀνῆλθεν εἰς τὸν Παρνασόν. ὄρος δέ ἐστι πάντων ὑψηλότατον. Πρωτογένεια δὲ κατά τινας, Προμηθέως. κατὰ δὲ ἐνίους Ὀποῦντος τοῦ ἐν Ἤλιδι ποταμοῦ. ἐκ ταύτης καὶ Διὸς, Ὀποῦς ἡ πόλις τῶν Ὀπουντίων. ἵν' οὖν δείξῃ τὸ ἀρχαῖον τοῦ μύθου, λέγει τὴν πόλιν τοῦ Ὀποῦντος, Πρωτογενείας. [Ἄτερ δ' εὐνᾶς.] οἱ προειρημένοι, Δευκαλίων τε καὶ Πύῤῥα χωρὶς κοίτης καὶ μίξεως, ὅμοιον καὶ ἴσον γένος δήμου ἐποιήσαντο ἐκ λίθων βολῆς. οἱ γὰρ πεμπόμενοι εἰς τὰ ὄπισθεν λίθοι παρ' αὐτῶν, ἄνθρωποι ἐγίνοντο. διὰ τοῦτο καὶ λαοὶ οἱ ὄχλοι· ἀπὸ τῶν λάας. Πύῤῥα δὲ γυνὴ Δευκαλίωνος, ἐξάδελφοι, οὕτως. Ἰαπετοῦ γὰρ παῖδες, Προμηθεὺς καὶ Ἐπιμηθεὺς δύο ἀδελφοί. καὶ ἐκ μὲν Προμηθέως καὶ Κλυμένης, Ἕλλην. ἀφ' οὗ καὶ Ἕλληνες, καὶ Δευκαλίων. Πύῤῥα δὲ ἡ Δευκαλίωνος γυνὴ, θυγάτηρ Ἐπιμηθέως. καὶ ὁ μὲν Ἐπίχαρμος, ἀπὸ τῶν λίθων λαοὺς τοὺς ὄχλους φησὶν ὀνομάζεσθαι. Φιλόχορος δέ φησι Κέκροπα βουλόμενον τὸν τῶν Ἀθηναίων δῆμον καὶ τὸ πλῆθος ἐπιγνῶναι, κελεῦσαι αὐτοὺς λίθους εἰσφέρειν καὶ βάλλειν εἰς τὸ μέσον. ἐξ ὧν ἐπιγνῶναι διςμυρίους αὐτοὺς ὄντας. ἀπὸ Κέκροπος οὖν φησι τοὺς ὄχλους λαοὺς ὀνομασθῆναι. [Ἄλλως.] κατηκολούθησε τοῖς μυθογράφοις εἰρηκόσι λαοὺς τοὺς ἀνθρώπους προσωνομάσθαι, διὰ τὸ ἐκ λίθων γενέσθαι· Ἐκ δὲ λίθων ἐγένοντο βροτοὶ, λαοὶ δὲ καλέονται. διό φησιν ὁ Πίνδαρος, ἄνευ συνουσίας αὐτοὺς κτήσασθαι λίθινον γόνον.

† Ισ. ἀνῆλθον.

Κτισάσθαν λίθινον γόνον.
Λαοὶ δ᾽ ὀνόμασθεν.
Ἔγειρ᾽ ἐπέων σφὶν οἶμον
Λιγύν. Αἴνει δὲ παλαιὸν
Μὲν οἶνον, ἄνθεα δ᾽ ὕμνων

ἐπῳδὸς β΄. κώλων ι΄.

Νεωτέρων. Λέγοντι μὰν
Χθόνα μὲν κατακλύσαι μέλαιναν
Ὕδατος σθένος· ἀλλὰ Ζηνὸς
Τέχναις ἀνάπωσιν ἐξαίφνας
Ἄντλον ἑλεῖν. Κείνων δ᾽ ἔσαν
Χαλκάσπιδες ὑμέτεροι πρόγονοι,
Ἀρχᾶθεν Ἰαπετιονίδος
Φύτλας κοῦροι, κορᾶν τε φερ-
τάτων Κρονιδᾶν, ἐγ-
χώριοι βασιλῆες αἰεί.

Produxerunt lapideam sobolem.
Λαοὶ autem *illi* appellati sunt.
Excita carminum illis cantum
Sonorum. Lauda autem vetus
Quidem vinum, flores vero hymnorum

METAPH.

Recentiorum. Aiunt sane
Terram quidem obruisse nigram
Aquæ vim: sed Jovis
Artibus resorptionem statim
Antliam abstulisse. *Ex* illis autem erant
Æreis-clypeis-instructi vestri majores,
Primitus Japetionidis
Stirpis filii, amasiarumque præstan-
tissimorum Saturnidarum, indi-
genæ reges semper.

PARAPHRASIS.

compararunt, jactis post terga lapidibus, ita ut jactu viri virilis, jactu fœminæ fœmineus sexus repararetur: unde populi à λᾶας lapis *appellati sunt* λαοὶ, *primumque primi illi Opuntii: quorum in gratiam velim, ô tu meum os, nunc carmina pronuncies: omissisque veteribus fabulis; quæ eorum in gloriam, sicuti Epharmosti victoria, recens acciderunt, recens canas: siquidem ut vina meliora quidem reddit dies, sic contra gratiores sunt hymni eximii recens conditi. Porro dicunt aquæ vim ingentem nigram fœcundamque terram impetu magno obruisse: sed Jovis arte aquas quæ exundarunt, derepente refluxisse, & resorptas in suos sinus rediisse. Ex iis autem, Deucalione & Pyrrha, ortum duxerunt vestri majores, ô Opuntii: illi sane bellicosi. Nam ex eorum filia Protogenia matre, & patre Jove, filiorum Saturni præstantissimo, natus est filius, exinde nati ex ea stirpe reges indigenæ, ita ut sui sanguinis dominos semper habuerint.*

NOTÆ.

70 Schol. Νεωτ. ut ex interpret. apparet leg. Κτησάσθων. Ita & MSS. nostra, quam corruptam esse lect. censet Schmid. Judicium esto penes lectorem. 74 Ἄνθεα] Gl. MS. α. Μέλος. β. σύνθεσιν. 75 Μὲν leg. α. 77 Σθένος] Gl. β. γ. Δύναμις. 78 Ἀμπωτιν & ἄμπωτιν hab. alii. Ἐξαίφνης MSS. nostra. 79 Pro ἑλεῖν leg. MSS. Bodl. & Pal. B. λαβεῖν, Schol. pro textu. 80 Χαλκάσπιδες] Gl. MS. β. οἱ χαλκᾶς ἀσπίδας ἔχοντες. 82 Κορᾶν Bodl. & α.

[Ἔγειρ᾽ ἐπέων σφὶν οἶμον.] τὴν τῶν ἐπέων λιμβία καθόρμισον εἰς τὸν ὕμνον τοῦτον, τοῖς ἀπὸ Δευκαλίωνος καὶ τοῖς Λοκροῖς. ὡς τοῦ νικηφόρου ἀπογόνου ὄντος Δευκαλίωνος. τὸν δὲ κατὰ Δευκαλίωνα λόγον ὡς κοινὸν ὄντα, παραιτεῖται λέγειν. φησὶν οὖν, ἔγειρε, καὶ ἴσα, καὶ παῦε τὴν ὁδὸν ταύτην τὴν ἠδεῖαν τῆς μυθολογίας. λιγὺν δὲ εἶπε τῇ ἀκοῇ μόνῃ. προσήκει γὰρ ἐπαινεῖν, οὐ τὰ παλαιὰ διηγήματα, ἀλλὰ παλαιὸν μὲν οἶνον ἐπαίνει. λόγων δὲ νεαρῶν καὶ προκειμένων τὰς ὑποθέσεις καὶ τὰ ἄνθη. ἄνθη δὲ νῦν τὰς πράξεις. εἶτα πάλιν ὃ παρῃτήσατο, ἐκ περιουσίας λέγει. [Ἄλλως. Ἔγειρ᾽ ἐπέων.] ἐπανάληψις τοῦ λόγου. διηγεῖται γὰρ τὴν προτέραν πλημμυρείαν τοῦ ὕδατος Δευκαλίωνος. [Ἄνθεα δ᾽ ὕμνων] τὰς ὑποθέσεις. ταῦτα δὲ πρὸς Σιμωνίδην αἰνίττεται. καὶ Ὅμηρος· Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ᾽ ἄνθρωποι, Ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται. [Ἄντλον ἑλεῖν.] ἄντλον, τὴν χύσιν καὶ τὴν ῥύσιν λέγει τοῦ ὕδατος. ἣν ἡ ἄμπωτις ἀνεξήρανε. παρὰ τὸ ἀντλεῖσθαι. Ἄντλῳ δ᾽ ἐνδούπησε πεσοῦσα. [Ἀλλὰ Ζηνὸς τέχναις ἄμπωτιν·] ἤτοι ἀνάπωσιν· ἄμπωτις δὲ κυρίως, ἡ αἰφνίδιος ὑποχώρησις, ἡ ἐκ πλημμύρας τῶν ἐν θαλάσσῃ ὑδάτων ὡς ἐν Λιβύῃ λέγεται. τέχναις δὲ, μηχαναῖς καὶ βουλήσει Διός. [Ἄλλως.] ἄμπωτιν λέγει, τὸ γενόμενον πεδίον ἐκ τῆς τότε πλημμύρας ἀναπωθέντος τοῦ ὕδατος. τὸν δὲ κατακλυσμὸν γεγενῆσθαι οἱ μὲν, διὰ τὸ Πέλοπος ἄγος ὅτε ἐκρεουργήθη. οἱ δὲ, διὰ τὸν Λυκάονος παῖδα Ἀζανα. τοῦ Διὸς βουλομένου, πάντα τῆς γῆς ἀποκαθᾶραι ἀσεβήματα. [Κείνων δ᾽ ἔσαν.] λοιπὸν ὡς πρὸς τὸν Ἐφάρμοστον φησίν. ἀπ᾽ ἐκείνων δὴ ἦσαν οἱ πρόγονοι ὑμῶν. οἱ πολεμικώτατοι ἐξ ἀρχῆς γενόμενοι. ἐκ τοῦ γένους τοῦ τοῦ Προμηθέως. Ἰαπετοῦ γὰρ Προμηθεύς· ἐξ οὗ καὶ Κλυμένης Δευκαλίων· ἐξ οὗ Πρωτογένεια. πάλιν, Ἰαπετοῦ Ἐπιμηθεύς· ἐξ οὗ καὶ Πανδώρας, Πύῤῥα. Πύῤῥας δὲ καὶ Δευκαλίωνος Πρωτογένεια. ἧς καὶ Διὸς, Ὀποῦς. ἐξ οὗ Ὀποῦντος, οἱ ὄντες ἀπόγονοι τῆς κόρης τῆς Πρωτογενείας· καὶ τοῦ ἀρίστου Κρονίδου. τουτέστι, τοῦ Διός· διὰ παντὸς τῆς αὐτῶν γῆς βασιλεύοντες. τὸ οὖν Ἰαπετιονίδος φύτλας, καὶ φερτάτων Κρονιδᾶν, ἀντὶ τῆς Πρωτογενείας φησὶ καὶ τοῦ Διός· ἀφ᾽ οὗ τοὺς Ὀπουντίους λέγει γεγενῆσθαι. τὸ δὲ κοῦροι, κορᾶν, πληθυντικῶς εἶπεν. ἐχρῆν γὰρ, ἑνικῶς εἰπεῖν. κοῦροι γὰρ κόρης τῆς Πρωτογενείας λέγει. κοῦροι ὦ Ὀπούντιοι καὶ φερτάτων Κρονιδᾶν, ἀντὶ τοῦ ἀπὸ φερτάτου Κρονίδου. Διὸς γὰρ, Λοκρὸς ὁ πρόγονος αὐτῶν.

[Πεὶρ

στροφὴ γ΄. κώλων ις΄.

Πρὶν Ὀλύμπιος ἀγεμὼν
Τὰν παῖδ᾽ ἀπὸ γᾶς Ἐπει-
ῶν Ὀποῦντος ἀναρπάσαις ἕκαλος,
Μίχθε Μαιναλίαισιν ἐν
Δειραῖς, καὶ ἔνεικεν
Λοκρῷ· μὴ καθέλοι μὶν αἰ-
ὼν πότμον ἐφάψαις,
Ὀρφανὸν γενεᾶς. Ἔχε
Δὲ σπέρμα μέγιστον
Ἄλοχος· εὐφράνθη τε ἰδὼν
Ἥρως θετὸν υἱόν·
Μάτρωος δ᾽ ἐκάλεσσέ μιν
Ἰσώνυμον ἔμμεν,
Ὑπέρφατον ἄνδρα μορφᾷ
Τε καὶ ἔργοισι· πόλιν δ᾽ ὤ-
πασεν λεών τε διαιτᾶν.

METAPH.

Olim Olympius dux
Filiam è terra Epe-
orum Opuntis quum-abripuisset clam,
Mixtus-est *ei* Mænaliis in
Jugis, & reduxit
Locro: ne auferret eum æ-
vum morti annectens,
Sine prole. Habebat
Autem semen maximum
Uxor: gavisusque-est intuitus
Heros suppositum filium:
Materni-avi autem jussit eum
Cognominem esse,
Super-alios-celebrem virum formaque
Et factis: urbem autem de-
dit populumque regere.

PARAPHRASIS.

Antea enim Jupiter cœli dominus, Protogeniam Opuntis, aliter Deucalionis, filiam, ex Eleorum solo clam sursum abreptam, in Mænalo monte compressit, & ad Locrum maritum gravidam reduxit, ne liberis carens vita defungeretur, atque ita successore destitueretur. Illa autem ex summi Jovis semine uterum gerebat: & Heros Locrus conspecto supposititio filio, quem tamen proprium existimabat, exhilaratus est, & Opuntem appellavit, ut Deucalioni materno patri, aliter Opunti vocato, esset cognominis, qui in virum supra quam dici potest, forma factisque eximium evasit: & cui gentis Opuntiæ pater imperium tradidit, ut subjectum populum administraret.

NOTÆ.

86 Γῆς leg. MSS. Bodl. & α. 87 Ἕκηλος leg. γ. & ejus Gl. ἥσυχοι. 88 Μίχθη omnes Codd. hab. sed leg. μίχθε cum Schmid. Æolicum & Poëticum pro ἐμίχθη. 90 *Αἰὼν πότμον ἐφάψας*] i.e. extrema senectus. Gl. MSS. ϐ. γ. Ἐπικριμάσας. 92 Ἔχεν C. 71. 93 Σπέρμα μέγιστον] Virgil. Ecl. 4. *Magnum Jovis incrementum.* 97 Aliqui leg. ἰσώνυμον. 98 Nonnullæ Editt. leg. ὑπέρβατον sed male, quum ὑπερβατὸν ὀξυτόνως scribatur, & significet eum, qui superari possit, Passive, non Active, qui alios transcendat. Schmid. Gl. MSS. ϐ. γ. ὑπερθαύμαστον.

[Πρὶν Ὀλύμπιος ἀγεμών.] προσέθηκε σύνδεσμον γάρ· ἵν᾽ ᾖ συναρμοστέος ὁ λόγος τοῖς ἄνωθεν. καὶ εἰπὲ πρὶν γὰρ Ὀλύμπιος ἀγεμών. τὸ γὰρ παλαιὸν ὁ Ζεὺς ἀναρπάσας τὴν Πρωτογένειαν, ἡσυχῶς αὐτῇ ἐμίγη ἐν τῷ Μαινάλῳ ὄρει τῆς Ἀρκαδίας, καὶ μετὰ ταῦτα ἐγκύμονα ποιήσας, ἤνεγκε τῷ Λοκρῷ. ἵνα μὴ ὁ αἰών, καὶ ὁ χρόνος, αὐτὸν ἐξέλῃ τῆς ζωῆς ἔρημον ὄντα παίδων καὶ γονῆς καὶ γένους. ἐναντίωμα δὲ κατὰ τὴν γενεαλογίαν ἐμπίπτει. τὴν γὰρ Πρωτογένειαν, οἱ μὲν Δευκαλίωνος φασίν. οἱ δὲ Ὀποῦντος. καὶ δοκεῖ συμφωνεῖν, μήτε ἡ γενεαλογία, μήτε ἡ ἱστορία. ἄλλο γάρ τι ποταμὸς Ὀποῦς. καὶ ἄλλο ἀνὴρ ἐξ Ἰαπετοῦ. ἵν᾽ οὖν τὸ ἀσύμφωνον ἀπὸ τούτων λυθῇ, φασί τινες τὸν Δευκαλίωνα διώνυμον εἶναι· καὶ τὸν αὐτὸν λέγεσθαι Ὀποῦντα. ὥσπερ καὶ ἐπὶ τῆς Πηνελόπης. λέγεται γὰρ Ἀρνέα πρότερον καλουμένη, παρὰ τῶν φυτων εἰς τὴν θάλασσαν ἐκριφῆναι· εἶτα ὑπό τινων ὀρνέων πηνελόπων λεγομένων, εἰς τὴν χέρσον ἐξενεχθῆναι. καὶ οὕτως ἀναληφθεῖσαν ὑπὸ τῶν γεννησάντων, ὀνομασθῆναι Πηνελόπην ἀπὸ τῆς τῶν ὀρνέων ἐπιμελείας καὶ ὁμωνυμίας. καὶ σαφεῖσαν, διώνυμον εἶναι τοῦ λοιποῦ. [Ἀπὸ γᾶς Ἐπειῶν.] τῶν Ἠλείων. ἀπὸ Ἐπειοῦ τοῦ Ἐνδυμίωνος, ἢ τοῦ Ἀεθλίου τοῦ Ἐνδυμίωνος. Ὀποῦντος ἦν θυγάτηρ, Ἠλείων βασιλέως. ἣν Ἀριστοτέλης Καμβύσην καλεῖ. διὰ τούτων οὖν ὁ Πίνδαρος τὴν Πρωτογένειαν φησὶν, ἐξ Ἤλιδος ἁρπασθεῖσαν εἰς Μαίναλον τῆς Ἀρκαδίας κομισθῆναι ὑπὸ Διός. Μαίναλον δὲ ὄρος Ἀρκαδίας, καὶ πόλις. ἐνταῦθα μιχθεὶς αὐτῇ ὁ Ζεὺς ἤνεγκε τῷ Λοκρῷ. ἵν᾽ ὡς ἑαυτοῦ ἀναθρέψῃ τὸν γεννηθέντα. τὸ δὲ ἤνεικε Λοκρῷ, ἀντὶ τοῦ ἔχειν ὁ Λοκρὸς τὸ γένος ἐκ Διός. ἀφ᾽ οὗ ἡ τῶν Λοκρῶν χώρα, ἧς Λοκρίδος μητρόπολις ἡ Ὀποῦς. ἐξήλλαξε δὲ τὴν ἱστορίαν ὁ Πίνδαρος. τὴν γὰρ Πρωτογένειαν, οὐκ Ὀποῦντός φασιν οἱ πλείους, ἀλλὰ Δευκαλίωνος καὶ Πύρρας. [Ὀρφανὸν γενεᾶς.] ἄτεκνον. [Εὐφράνθη τε ἰδὼν Ἥρως θετὸν υἱόν.] εὐφράνθη δέ φησιν ὁ Λοκρὸς θεασάμενος τὸν παῖδα. ὃς ἦν μὲν θετὸς αὐτοῦ κατὰ φύσιν. ἐκ δὲ τῆς ἀγνοίας, ἴδιος αὐτοῦ ἐνομίζετο. λέγεται γὰρ ὁ Λοκρὸς, ἄπαις γεγενῆσθαι. καὶ τὸν ἐκ Διὸς συλληφθέντα ὑπὸ τῆς Πρωτογενείας, ἴδιον νενομικέναι παῖδα. θετὸν δὲ λέγει ὁ ποιητὴς, ἐκ τοῦ ἰδίου προσώπου. προείρηκε γὰρ ὅτι εἶχε δὲ σπέρμα μέγιστον ἄλοχος ἐκ Διός. ὁ γὰρ Λοκρὸς ἴδιον αὐτοῦ ἐνόμιζεν. [Μάτρωος δ᾽ ἐκάλεσσέ μιν.] ἡσθεὶς οὖν ὁ Λοκρὸς, ἐκάλεσεν αὐτὸν, φησὶ, τὸ τοῦ πρὸς μητρὸς πάππου τὸ ὄνομα. καὶ νῦν μὲν ὁ Πίνδαρος τὸν ἐκ μητρὸς πάππον, μήτρωα ὀνομάζει. Ὅμηρος δὲ καὶ οἱ λοιποὶ, τὸν τῆς μητρὸς ἀδελφὸν, μήτρωα καλοῦσι. φησὶ γοῦν ἐν τῇ Ἰλιάδι· Ἀσίῳ ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο· Αὐτοκασίγνητος Ἑκάβης· υἱὸς δὲ Δύμαντος. [Ἄλλως.] μάτρωα ἐκάλεσεν ὁ Λοκρὸς τὸν Ὀποῦντα. ἦν δὲ ὁ Λοκρὸς, Ἀμφικτύονος τοῦ Διός. καὶ ἐκάλεσε τοῦ μητροπάτορος τὸ ὄνομα. Ὀποῦς γὰρ ἐκαλεῖτο ὁ βασιλεὺς τῶν Ἠλείων. ᾧ ὁμώνυμος οὗτος. [Πόλιν δ᾽ ὤπασεν.] ὄντι δὲ τῷ παιδὶ ἐξαιρέτῳ καὶ ἀνδρωθέντι, ὁ Λοκρὸς τὴν πόλιν ἐνεχείρισε· καὶ τὸν ὄχλον διαιτᾶν καὶ διοικεῖν. [Ὑπέρφατον.] ὑπερφυᾶ καὶ μέγαν καὶ τῷ εἴδει καὶ τοῖς πράγμασιν.

ἀντιστροφὴ γʹ. κώλων ιϛʹ.

Ἀφίκοντο δέ οἱ ξένοι,
Ἐκ τ᾽ Ἄργεος, ἔκ τε Θη-
βᾶν, οἵδ᾽ Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται·
Υἱὰ δ᾽ Ἄκτορος ἐξόχως
Τίμασεν ἐποίκων,
Αἰγίνας τε, Μενοίτιον.
Τοῦ παῖς ἅμ᾽ Ἀτρείδαις
Τεύθραντος πεδίον μολὼν,
Ἔστα σὺν Ἀχιλλεῖ
Μόνος, ὅτ᾽ ἀλκάεντας Δαναοὺς
Τρέψαις, ἁλίαισιν
Πρύμναις Τήλεφος ἔμβαλεν·
Ὥστ᾽ ἔμφρονι δεῖξαι
Μαθεῖν Πατρόκλου βιατὰν
Νόον γʹ. Ἐξ οὗ Θέτιος γό-
νος οὐλίῳ μὴν ἐν Ἄρει

Μεταφ.

Advenerunt autem ei hoſpites
Exque Argis, exque The-
bis, & Arcades, itemque Piſatæ:
Filium autem Actoris maxime
Honoravit *inter* incolas,
Æginæque Menœtium.
Cujus filius cum Atridis
In Teuthranis campum profectus,
Stetit cum Achille
Solus, quando ſtrenuos Danaos
In fugam-verſos, marinas
In puppes Telephus compulit:
Ut prudenti oſtenderet
Cognoſcere Patrocli violentam
Mentem. Ex quo Thetidis pro-
les periculoſo illum in bello

PARAPHRASIS.

Virtute autem fuit adeo clarus, ut undique ad eum ſe contulerint hoſpites ejus fama perciti: finitimique Heroes Argivi, Thebani, Arcades, & Piſatæ, *amicitiæ ergo confluxerint. Verum inter cæteros Heroas qui Opuntem habitatum venerunt, amore maximo cohoneſtavit Actoris & Æginæ filium Menœtium. Nam Ægina poſtquam Æacum peperiſſet, Actori Theſſalo nupſit, unde natus Menœtius: cujus & Stheneles filius, cum Agamemnone & Menelao Atrei filiis, in Myſiam, ubi olim regnavit Teuthras, appulſus (quum ignari viarum Græci, Trojam adverſus quam militabant, ibi eſſe rati, ſolum vaſtabant) ſolus cum Achille, quando Telephus rex, ſuſcepta patriæ defenſione, ſtrenuum Græcorum exercitum fugavit, & ad naves compulit, fugatis omnibus aliis in acie ſtetit: ita ut hoc ſuæ virtutis ſpecimine, cuivis prudenti facile indicarit magnanimum eſſe ſe, fortemque bellatorem. A quo tempore viri fortitudinem admiratus Achilles Thetidis filius,*

NOTÆ.

101 Ἀφίκοντο] Gl. α. β. γ. ἦλθον. Ξένοι] Gl. MS. α. φίλοι. 103 Aliqui leg οἱ δ᾽ Ἀρκάδες metro reclam. MS. C. 71. leg. Πισᾶται. 108 Τεύθραντος leg. cum Schmid. ob facilitatem corrip. Syllabæ mediæ, & quia Regio vocata fuit Τευθρανία. 110 Ἀλκάεντας] Gl. MS. γ. Δυνατούς. 114 Βιατὰν γ. Gl. Bodl. βιαστήν. 115 Bodl. & C. 71. omitt. γʹ. Ita Ald. & Pal. A. B. C. Videtur inſertum ad producendam ultimam in νόον. Sed ultimæ Syllabæ in periodo communes eſſe ſolent. 116 Ald. & Pal. C. hab. νιν.

[Ἀφίκοντο δὲ οἱ ξένοι.] Διαβοήτου δὲ τῆς τοῦ Ὀπουντίου ἀρετῆς τυγχανούσης, πανταχόθεν τὰς ἰδίας αὐτῶν πατρίδας οἱ περίοικοι καταλελοιπότες, πρὸς αὐτὸν ἔσπευδον. παρεγίνοντο μὲν οὖν μέτοικοι πρὸς αὐτὸν, ἀπό τε τοῦ Ἄργους καὶ Θηβῶν. καὶ οἱ μὲν ἐξ Ἀρκαδίας· οἱ δὲ Πισᾶται. [Υἱὸν δ᾽ Ἄκτορος.] τὸν Μενοίτιον λέγει τὸν Πατρόκλου πατέρα. ὑπὲρ πάντας δὲ τοὺς ἐνοικοῦντας ξένους, ἐτίμησε τὸν Ἄκτορος παῖδα· τὸν ἐξ Αἰγίνης μητρὸς Μενοίτιον. Αἴγινα δὲ μήτηρ Αἰακοῦ· θυγάτηρ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ. ἀφίκοντο δὲ οἱ ξένοι συνοικήσοντες αὐτῷ. [Ἐποίκων.] πάντων τῶν προειρημένων. [Τοῦ παῖς ἅμ᾽ Ἀτρείδαις.] τινὲς ἐκ δημοκρατείας τῆς Αἰγίνης καὶ Ἄκτορος, φασὶ τὸν Μενοίτιον. ὁ δὲ Πάτροκλος, Μενοιτίου υἱὸς καὶ Σθενέλης. Αἴγινα γὰρ μετὰ τὸ τεκεῖν τὸν Αἰακὸν, ἦλθεν ἐς Θεσσαλίαν· καὶ ἐγαμήθη Ἄκτορι· ἐξ οὗ ἔσχε Μενοίτιον. ὃς ἐπῴκησε τὴν Ὀποῦντα ἀναστὰς ἀπὸ Θεσσαλίας. ὁ δὲ νοῦς. τούτου οὖν, φησὶ, τοῦ Μενοιτίου παῖς συστρατεύσας τοῖς Ἀτρέως παισὶν, εἰς Μυσίαν κατίωτησε, καὶ τῶν ἄλλων Ἑλλήνων εἰς φυγὴν τραπέντων, μόνος αὐτὸς Ἀχιλλεῖ συμπαρέστη, ἡνίκα τοὺς γενναιοτάτους Ἕλληνας τρέψας καὶ νικήσας, μέχρι τῶν νεῶν καὶ τοῦ πελάγους, συνήλασεν ὁ Τήλεφος. [Τεύθραντος δὲ πεδίον,] τὴν Μυσίαν λέγει. ὁ γὰρ Τεύθρας, ἐβασίλευσε τῆς Μυσίας. ὅτε δὲ οἱ Ἕλληνες εἰς τὴν Μυσίαν παρεγένοντο, κἀκεῖ νομίσαντες εἶναι τὴν Ἴλιον ἐπολέμουν τοῖς Μυσοῖς, καὶ ὁ Τήλεφος πάντας εἰς φυγὴν ἐτρέψατο· καὶ μέχρι τῶν νεῶν ἤλασε, πλὴν Ἀχιλλέως καὶ Πατρόκλου. διὰ τοῦτο οὖν μέμνηται τοῦ γένους τοῦδε, ὡς ἀνδρείου. [Ὥς τε ἔμφρονι δεῖξαι.] ὥς τε δυνατὸν εἶναι δεῖξαι παντὶ φρονίμῳ πρὸς τὸ γνῶναι τὴν τοῦ Πατρόκλου ἐπὶ τῇ ἀνδρείᾳ διάνοιάν τε καὶ σπουδὴν καὶ θάρσος. [Βιατάν.] ἰσχυρὸν, ἀνδρεῖον. [Ἐξ οὗ Θέτιος γόνος.] θαυμάσας φησὶν ὁ Ἀχιλλεὺς ἐν τῇ προσβολῇ τότε τὴν ἀξίαν τοῦ Πατρόκλου, ἀρχὴν ἔλαβε τοῦ θαυμάζειν αὐτόν. καὶ παρῄνει μήποτε τάσσεσθαι χωρὶς τῆς πολεμικῆς αὐτοῦ τάξεως. καὶ Ὅμηρος· Μὴ σύ γ᾽ ἄνευθεν ἐμοῖο λιλαίεσθαι πολεμίζειν Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις.

[Στρέψας.]

ἐπῳδὸς γ'. κώλων ι'.

Παραγορεῖτο, μήποτε
Σφετέρας ἄτερθε ταξιοῦσθαι
Δαμασιμβρότου αἰχμᾶς. Εἴην
Εὑρησιεπὴς ἀναγεῖσθαι
Πρόσφορος ἐν Μοισᾶν δίφρῳ·
Τόλμα δὲ, καὶ ἀμφιλαφὴς δύναμις
Εσποιτο. Προξενίᾳ δ', ἀρετᾷ
Τ' ἦλθον τιμάορος Ισθμίαι-
σι Λαμπρομάχου μί-
τραις· ὅτ' ἀμφότεροι κράτησαν

Μεταφρ.

Hortabatur, ne unquam
Sua absque in-acie-ordinaretur
Mortalium-domitrice hasta. Utinam-essem
Verborum-inventor ad-narrandum
Commodus in Musarum curru:
Voluntasque, & ampla facultas
Sequeretur. *Ob* hospitalitatem vero, vir-
tutemque veni celebrator Isthmi-
is Lampromachi mi-
tris: quando ambo obtinuerunt

στροφὴ δ'. κώλων ις'.

Μίαν ἔργον ἀν' ἀμέραν.
Αλλαι δὲ δύ' ἐν Κορίν-
θου πύλαις ἐγένοντ' ἔπειτ' χάρμαι·
Ταὶ δὲ καὶ Νεμέας Εφαρ-
μόστῳ κατὰ κόλπον·
Αργει τ' ἔσχεθε κῦδος ἀν-
δρῶν· παῖς δ' ἐν Αθάναις.

Μεταφρ.

Unum opus per diem.
Alia autem duo in Corin-
thi portis evenerunt postea gaudia:
Alia autem & Nemeæ Ephar-
mosto in recessu:
Inque-Argis obtinuit gloriam vi-
rorum: puerque Athenis.

PARAPHRASIS.

Rogavit ut nunquam ab hasta sua semotus, qua mortales potenter occidit, in acie consisteret: sed secum suoque in ordine semper pugnaret. Utinam vero ego verborum & argumentorum inventione polleam: ita ut conscenso Musarum curru sublime poema accipiam: & sim ad celebrandum victorem idoneus. Utinam etiam dicendi libertatem amplamque facultatem in rerum copia consequar. Accedo autem eadem opera laudaturus Isthmiacas Lampromachi victorias, propter quas coronis est redimitus: quando ipse & Epharmostus ambo consanguinei vicerunt, sive hic Olympia, ille Isthmia, sive uterque Isthmia, uno eodemque die. Porro in Isthmo Corinthiaco, bis post Olympia victis Isthmiis, semelque in Nemeis, gaudio perfusus est Epharmostus. Argis præterea vir inter viros, in Junoniis: Athenis juvenis inter juvenes in Panathenæis re strenue gesta magnum decus obtinuit.

NOTÆ.

117 Παρηγορεῖτο] Gl. MS. γ. Ἐδίδασκε, παρήγγελε. Posterius hab. & MS. α. 118 Ταξιοῦσθαι] Gl. MS. α. Πολεμεῖν, quod hab. γ. & add. μάχεσθαι. 119 Δαμασιμβρότου leg. MSS. β. γ. & Gl. hab. τῆς δαμαζούσης. Αἰχμᾶς leg. β. γ. & Gl. γ. hab. λόγχης. 120 Εὑρησι-- MS. Bodl. & Schol. Εὑρησιεπεῖς C. 71. licet supra ει script. hab. η. 122 Αμφιλαβὴς, nonnulli Codd. Δυναμὶς leg. Ed. Plantin. 123 Προξενίᾳ] Gl. MS. γ. Τιμῇ. 124 Ισθμίασι hab. γ. in hoc κώλῳ. 128 Κορίνθου leg. γ. in hoc κώλῳ. 132 Εχε hab. C. 71. β. γ.

[Σφετέρας,] ἀντὶ τοῦ τῆς ἑαυτοῦ. [Ταξιοῦσθαι.] παρατάσσεσθαι. [Εἴην εὑρησιεπής.] ὡς σεμνυνόμενος τοῖς διηγήμασι φησίν. εἴην δὲ λόγων καινοπρεπῶν εὑρετὴς ἐπὶ τὸ διηγεῖσθαι. καὶ πρόσφορος ποιητικῇ Μούσῃ καὶ τρόπῳ Μουσῶν ἁρμόδιος. [Αλλως.] εὐχοίμην φησὶ διὰ παντὸς δυνάμενος εὑρίσκειν λόγους, καὶ διηγεῖσθαι πράξεις. [Αλλως.] ἐμοὶ δὲ παρέποιτο ἐν τοῖς λόγοις, ὁμοῦ μὲν εὐτολμία· ὁμοῦ δὲ, δαψίλειά τις δυνάμεως. ταῦτα δὲ λέγει, διὰ τὸ πλάσασθαι αὐτὸν, τὸ ἐπὶ Πάτροκλον προειρημένον, ἐπαινεῖν βουλόμενος τὸν Εφάρμοστον, Οπούντιον ὄντα, Πατρόκλου συμπολίτην. τὸ δὲ ἀμφιλαφὲς, κατὰ ἀντιστοίχου εἴρηται κατὰ ἔθος Μακεδόνων μεταθέσει τοῦ β εἰς φ. ἔστι γὰρ ἀμφιλαβὲς, ὃ ἐστὶν ἀμφοτέραις λαβεῖν ταῖς χερσίν. τοῦτο δὲ ἐπὶ πλήθει συμβαίνει. [Εὑρεσιεπής.] καινολόγος. [Αναγεῖσθαι,] διηγεῖσθαι. [Πρόσφορος.] εὐεπίφορος ἐν ποιήμασιν. ἐπιτήδειος. ἱκανός. [Προξενίᾳ δ' ἀρετᾷ τ' ἦλυθον.] πρόξενος ἦν Θηβαίων Λαμπρόμαχος, δι' ὃν ἔγραψε τὴν ᾠδὴν ταύτην. ἦν δὲ καὶ Ισθμιονίκης. δύναται δὲ καὶ τοῦ Πινδάρου πρόξενος εἶναι. ὁμοῦ δὲ νενικήκασιν Ισθμια καὶ Νέμεα τῇ αὐτῇ ἡμέρᾳ, αὐτὸς καὶ ὁ Εφάρμοστος. μετὰ δὲ ταῦτα, ἀλλὰ δὶς νενίκηκεν Ισθμια ὁ Εφάρμοστος. τὸ δὲ ἑξῆς οὕτως ἔχει. διὰ δὲ τὴν προξενίαν τουτέστι τὴν φιλίαν καὶ τὴν ἀρετὴν τοῦ Λαμπρομάχου, ἦλθον ἐπαινέτης τῶν ἐν τῷ Ισθμῷ μιτρῶν. ὅτι κατὰ μίαν ἡμέραν οἱ δύο ἐνίκησαν. ὁ μὲν Εφάρμοστος, Ολύμπια· ὁ δὲ Λαμπρόμαχος, Ισθμια. [Αλλως. Τιμάορος Ισθμίαισι.] ἔνιοι δὲ, ὅτι οἱ δύο, Ισθμια ἐν μιᾷ ἡμέρᾳ ἐνίκησαν. [Λαμπρομάχου.] Λαμπρόμαχος συγγενὴς τοῦ Εφαρμόστου κατὰ μίαν ἡμέραν Ισθμια σὺν αὐτῷ νικήσας. [Μίτραις.] μίτραις νῦν τοῖς στεφάνοις καὶ ταῖς νίκαις. μίτρας γὰρ ἔνδοθεν τῶν στεφάνων καὶ διαδήματα ποικίλα, εἰώθασι συνδεῖν. [Αλλαι δὲ] δύο ἐν Ισθμῷ, φησὶν, ἄλλαι δύο νῖκαι ἐγένοντο Εφαρμόστῳ ἑξῆς. χάρμαι δὲ νῦν, ἀντὶ τοῦ χαραὶ καὶ ἡδοναί. καθ' Ομηρον δὲ, αἱ μάχαι. [Αλλως.] ἤτοι μάχαι, ἢ χαραὶ καὶ νῖκαι ἐγένοντο αὐτῷ ἐν τῷ Ισθμῷ· Κορίνθου γὰρ πύλαι, ὁ Ισθμός. ὁ δὲ νοῦς. καὶ ἄλλαι δὲ χαραὶ ἐγένοντο τῷ Εφαρμόστῳ ἐν τῷ κόλπῳ τῆς Νεμέας. ἔστι δὲ περίφρασις, ἀντὶ τοῦ ἐν Νεμέᾳ. κατὰ κοινοῦ δὲ ἀκουστέον τὸ, ἐγένοντο χάρμαι. [Αργει τ' ἔσχεθε κῦδος ἀνδρῶν] ἀντὶ τοῦ καὶ ἐν Αργει δὲ δόξαν προσείληφεν ἀνδρῶν, νικήσας τὰ Ηραια, καὶ ὡς παῖς ἐν Αθήναις ἀπὸ κοινοῦ δὲ τὸ, κῦδος ἔσχε, νικήσας τὰ Παναθήναια ἢ τὰ Ολύμπια.

[Οἷσιν

Οἷα δ' ἐν Μαραθῶνι, συ-
λαθεὶς ἀγενείων,
Μένεν ἀγῶνα πρεσβυτέρων,
Ἀμφ' ἀργυρίδεσσιν;
Φῶτας δ' ὀξυρεπεῖ δόλῳ
Ἀπτῶτι δαμάσαις,
Διήρχετο κύκλον ὅσσᾳ
Βοᾷ, ὡραῖος ἐὼν καὶ
Καλὸς, κάλλιστά τε ῥέξαις;

Qualiter autem in Marathone, subdu-
ctus *ab* imberbibus,
Sustinuit certamen seniorum,
De argenteis-phialis?
Virosque celeri dolo
Lapsu-carente quum-superasset,
Pertransiit circum quanto
Cum clamore, maturus-ætate existens &
Formosus, pulcherrimaque operatus?

ἀντιστροφὴ δ'. κώλων ις'.

Μεταφη.

Τὰ δὲ Παῤῥασίῳ στρατῷ
Θαυμαστὸς ἐὼν φάνη,
Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου·
Καὶ ψυχρᾶν ὁπότ' εὐδια-
νὸν φάρμακον αὐρᾶν
Πελλάνᾳ φέρε. Συνδικος
Δ' αὐτῷ Ἰολάου

In iis autem (quæ) Parrhasio populo
Admirandus esse apparuit,
Jovis in publica-celebritate Lycæi:
Et frigidarum quando tepi-
dum remedium aurarum
Pellanæ reportavit. Patrocinans
Autem ejus Jolai

PARAPHRASIS.

Quam vero fortem sese præbuit in Marathone cum Heraclea celebrarentur! ubi, clam relictis junioribus, ausus est ætate provectiorum certamen sustinere, cujus præmium sunt argenteæ phialæ. In quo superatis magna corporis agilitate viris adversariis, ipse ab omni lapsu immunis, curriculi circulum pertransibat, quanta spectantium cum acclamatione, qui juvenem formosum, factisque insignem admirabantur. Quinetiam in Lycæis Lycæi Jovis sacris, quæ in Parrhasia Arcadiæ urbe celebrari solent, Arcadico populo peperit admirationem, adeo præclare certavit. Item Pellenensibus visus est admiratione dignus, quum in Theoxeniis Apollinis festo, reportata victoria, chlænam ejus præmium accepit, quo vestis genere frigus hybernum propulsaret, & ventorum injuriæ mederetur. Testis quoque est fortitudinis ejus Jolai

NOTÆ.

134 Οἷα leg. propter metrum. Gl. γ. ὦ θαῦμα. 136 Μένεν] Gl. MS. β. Εκαρτέρει. 137 Αργυρίδεσσιν] Gl. MS. γ. ἃς ἰβράβευον. 139 Δαμάσας Codd. nonnulli. 142 Καλὸς] Gl. MS. γ. Επιτήδειος. 143 Παῤῥασίῳ leg. Editt. & MSS. nonnulla. Στρατῷ] Gl. γ. Δαῷ. 145 Πανήγυριν Bodl. α. β. γ. Λυκίου MSS. β. γ. 148 Σύνδικος] Schol. γ. κριτὴς κοινὸς ἐστιν αὐτῷ τῷ Εφαρμόστῳ εἰς τὴν πολλὴν νίκην, ὁ τάφος τοῦ Ιολάου. ἐκεῖ γὰρ συνήρχετο πλῆθος πολὺ ἀνδρείων ἀγωνιζομένων.

[Οἷον δ' ἐν Μαραθῶνι] νῦν τὰ Ηράκλεια λέγει. τοῦ δὲ οἷον, διπλῆ ἡ ἐκδοχή. τινὲς γὰρ τὸ οἷον, ψιλῶς ἀναγινώσκουσιν. ἵν' ᾖ μόνον ἐν Μαραθῶνι ἀγενείων ἀγωνισάμενος, ἡττήθη. καὶ μετεγγράψας ἑαυτὸν εἰς τοὺς ἄνδρας, ἐνίκησεν. ἄτοπον δὲ τοῦτο. οὐ γὰρ ἂν ἐγκωμιάζων περὶ ἥττης ἔμελλε λέγειν. οἱ δὲ θαυμαστικῶς. ὃ καὶ βέλτιον. ὅπως δὲ καὶ οἵως ὑπέμεινεν ἐν τῇ Μαραθῶνι ἀγωνιζόμενος πρὸς τοὺς προβεβηκότας ἄνδρας, ἀποσυληθεὶς ἀπὸ τῶν ἀγενείων καὶ ὑπεξελθὼν, καὶ εἰς τοὺς ἄνδρας χωρήσας, ἡνίκα περὶ ἀργυρῶν φιαλῶν προέκειτο ἀγωνίζεσθαι. τοῖς γὰρ ἐν Μαραθῶνι ἀγωνιζομένοις, φιάλαι ἀργυραῖ ἐδίδοντο ἔπαθλον. Αθηναίοις δὲ ἔθος χρυσίδας καὶ ἀργυρίδας λέγειν. [Φῶτας δ' ὀξυρεπεῖ δόλῳ,] ἀντὶ τῆς ὀξυτάτῃ καὶ ἐπιμελεῖ τέχνῃ. ὁ νοῦς τοῦτο. τοὺς δὲ ἄνδρας τοὺς ἀνταγωνιστὰς αὐτοῦ νικήσας, αὐτὸς μὴ πεσὼν μήτε ὑποστὰς πτῶμα, διέβαινε τὸν κύκλον τοῦ σταδίου, μεθ' ὅσης βοῆς, ἤτοι τὸν ἀγῶνα. μεθ' ὅσων ἐπαίνων· νεανίας μὲν ὢν καὶ θαυμαστὸς τῷ ὀφθῆναι. ταῖς δὲ πράξεσιν οὐ καταισχύνων τὸ εἶδος. ὅσσᾳ βοᾷ δὲ, ἀντὶ τοῦ μεγάλῃ βοῇ. τὸ γὰρ ὅσσᾳ, θαυμαστικῶς.

[Τὰ δὲ Παῤῥασίῳ στρατῷ.] τουτέστιν ἐν τῷ δήμῳ τῆς Αρκαδίας. Παῤῥασία γὰρ μέρος τῆς Αρκαδίας. ἔνθα τελεῖται Λυκαίου Διὸς ἀγών. ὁ νοῦς. τὰ δὲ ἔργα αὐτοῦ τὰ ἐν τῷ ἀγῶνι τοῦ Λυκαίου Διὸς κατὰ τὴν Παῤῥασίαν τῆς Αρκαδίας. ὅπως αὐτὸν ἔδειξε θαύματος ἄξιον. [Καὶ ψυχρᾶν ὁπότε.] ἐφάνη δὲ θαυμάσιος, καὶ ἡνίκα τῶν ψυχρῶν αὐρῶν καὶ τοῦ κρύους τὸ φάρμακον καὶ τὸ βοήθημα ἀπὸ τῆς Πελλήνης λαβὼν ἔφερε, τὴν χλανίδα. ταύτην γὰρ ἐλάμβανον τὴν χλανίδα οἱ νικῶντες· οἷον τρίβωνας. ὁ δὲ ἀγὼν ἐν Πελλήνῃ, Ερμαια ἐκαλεῖτο. ἄγεται δὲ Ερμοῦ καὶ Απόλλωνος ἑορτὴ, Θεοξένια καλουμένη. [Εὐδιανὸν δὲ φάρμακον] ἀντὶ τοῦ ἀνάπαυσιν. τὴν ἀλεξάνεμον. ὅτι ἐν Πελλήνῃ, χλαῖνα ἐδίδοτο τῷ νικῶντι χειμῶνος ὥρᾳ. ἀπὸ κοινοῦ δὲ τὸ, θαυμαστὸς ἐφάνη. [Συνδικος δ' αὐτῷ.] μαρτυρεῖ δὲ τῇ αὐτοῦ ἀνδρείᾳ καὶ ὁ τοῦ Ιολάου τάφος ἐν Θήβαις. Ἰόλαια γὰρ λέγεται ὁ ἀγὼν ὃν ἐνίκησεν. [Αλλως.] Ιολάου τύμβος, ὁ ἐν Θήβαις· τὸν τῶν Ηρακλείων ἀγῶνα θέλων δηλῶσαι, τύμβον Ιολάου εἶπε. παρὰ γὰρ τῷ κοινῷ σήματι Αμφιτρύωνος ὁ τῶν Ηρακλείων ἀγὼν, ὃν ἐνίκησεν.

[Εἰναλία

Τύμβος, εἰναλία τ' Ἐλευ-
σὶς ἀγλαΐαισιν.
Τὸ δὲ φυᾷ, κράτιστον ἅπαν.
Πολλοὶ δὲ διδακταῖς
Ἀνθρώπων ἀρεταῖς κλέος
Ὤρουσαν ἑλέσθαι.
Ἄνευ δὲ Θεοῦ, σεσιγα-
μένον γ', οὐ σκαιότερον χρῆ-
μ' ἕκαστον. Ἐντὶ γὰρ ἄλλαι

ἐπῳδὸς δ'. κῶλον ι'.

Ὁδῶν ὁδοὶ περαίτεραι.
Μία δ' οὐκ ἅπαντας ἄμμε θρέψει
Μελέτα. Σοφίαι μὲν αἰπει-
ναί. Τοῦτο δὲ προσφέρων ἄεθλον,

Tumulus *est*, marinaque Eleu-
sis splendidis-factis.
Quod vero à-natura *est*, optimum omne *est*.
Multi vero disciplina-acquisitis
Hominum virtutibus gloriam
Annixi-sunt assequi.
Absque autem Deo *quæ fit*, *si fuerit* taci-
ta, non magis-sinistra *fiet* res
Quævis. Sunt enim aliæ

METAPH.

Aliis viis viæ ulteriores.
Unum autem non omnes nos alet
Studium. Sapientiæ sane ardu-
æ *sunt*. Hoc autem afferens præmium,

PARAPHRASIS.

tumulus apud Thebanos, juxta quem Jolaia & Herculea celebrari solita devicit. Testis & est splendidorum ejus factorum ad mare sita Atticæ urbs Eleusis, ubi Eleusinio certamine superavit. Cæterum quod tam multa præstitit Epharmostus divino naturæ dono tribuendum est: quo fit ut magis ipsum laudem. Et certe qui à natura recte ad aliquid sunt comparati, in hoc exercendo excellunt: solique veræ laudis præconium merentur. Plerique tamen doctrinæ ope ad studia virtutum promoti, gloriam apud homines consequi cupiunt. Sed cum naturæ dotibus careant, aliisque sint inferiores, satius est, quicquid vel fœliciter ab illis gestum est, tacere: nec silentium illud fuerit reprehensione dignum: siquidem injuria præstantioribus inferretur, si deteriores perinde nullo discrimine laudarentur. Etenim in studiis alii aliis ulterius progrediuntur, magisque proficiunt, pro ratione dotum naturæ. Nec omnes in uno tantum vitæ instituto versamur, sed varii variis incumbimus,

NOTÆ.

150 Εἰναλία γ' Editt. nonnullæ· 151 Ἀγλαΐαισιν] Gl. MS. γ. ἀνδρειοτάταις. Ἀγλαΐαισιν hab. C. 71. Ald. annectit μέμικται. 152 Κάρτιστον hab. Schmid. cum omnes, quos inspeximus, Codd. leg. κράτιστον. Mutavit forsan, quoniam prima producenda sit. Sed unde Syllaba ista brevis alibi etiam fiat, incertum est. Ideo non mutandum duximus. Vide Not. ad 52 hujus εἴδους. 156 Ἄνευθε δὲ leg. MS. Bodl. Σεσιγαμένον C. 71. leg. hoc κῶλον. 157 MSS. omitt. γ'. 161 Μὶν leg. MSS. nostra.

[Εἰναλία τ' Ἐλευσίς.] καὶ ἡ Ἐλευσὶς δὲ ἡ πρὸς τῇ θαλάσσῃ κειμένη, τὰς ἀγλαΐαις αὐτοῦ καὶ νίκαις μαρτυρεῖ· ἄγεται δὲ αὐτόθι ἀγὼν κόρης καὶ Δημήτερος, ὃς καλεῖται Ἐλευσίνια. οὗ ἔπαθλον, κριθαί. [Τὸ δὲ φυᾷ, κράτιστον ἅπαν.] τὸ δὲ ἐκ φύσεως προσὸν ἀγαθὸν, καὶ θείας μοίρας, κράτιστον καὶ ἐξαίρετον. λείπει δὲ τὸ ἐστίν. εἰς ἑαυτὸν δὲ αἰνίττεται. ἀεὶ γὰρ ἑαυτὸν λέγει αὐτοδίδακτον. [Πολλοὶ δὲ διδακταῖς.] πολλοὶ δέ φησι δόξαν ἑαυτοῖς ἠθέλησαν περιποιῆσαι ἀπὸ διδακτῶν ἀρετῶν. καὶ ὥρμησαν καὶ ἔσπευσαν ἐπὶ τοῦτο παρελθεῖν. [Ἄνευ δὲ θεοῦ σεσιγαμένον.] τὸ ἄνευ θεοῦ, γινόμενον, οὐ σκαιότερον φησίν· ἀλλ' ἐκ τῶν ἐναντίων, βέλτιον σιωπώμενον. διὸ μετὰ θεοῦ τις παραγινόμενος εἰς τὸν ἀγῶνα, οἷος ὁ Ἐφάρμοστος, ὑμνείσθω. ὁ δὲ παρὰ θεόν τι πράσσων, ὡς αὐτόθεν μὴ δὲ νικᾶν μέλλων, δικαίως ἂν καὶ οὐ σκαιῶς σιωπῷτο. ἢ οὕτως. ἕκαστον δέ φησι πρᾶγμα, τὸ θεοῦ χωρὶς πραττόμενον, οὐ σκαιότερόν ἐστιν σιωπώμενον. διὸ σοφώτερον ἐστί. τὸ γὰρ μὴ κατὰ θεὸν πρασσόμενον, δεῖ σιγᾶν, ἀντὶ τοῦ καλόν ἐστί τινα παρὰ βούλησιν θεοῦ νικήσαντα, μὴ ὑμνεῖσθαι. [Ἄλλως.] ἀπὸ κοινοῦ τὸ κλέος λεκτέον· ἵν' ᾖ· τὸ δὲ ἄνευ θεοῦ, καὶ χωρὶς φύσεως θείας περιγινόμενον κλέος, τοῦτο σεσιγημένον καὶ μὴ θρυλλούμενον, οὐκ ἔστι σκαιότερον, οὐδὲ μέμψεως ἄξιον. ὡς τοῦ ἐναντίου μέμψιν ἔχοντος. τοῦ μὴ ἐπαινεῖν τοὺς φύσει ἀγαθούς. ὅπερ ἑαυτὸν λέγει ποιεῖν. δύναται δὲ καὶ οὕτω νοεῖσθαι. ἕκαστον δὲ πρᾶγμα, ὃ μὴ κατὰ φύσιν ἐστί, τοῦτο σεσιωπημένον, οὐκ ἔστι σκαιόν. ἐὰν γὰρ νόθον ὂν ἐμφανίζηται, τότε τὴν ἀδοξίαν προστρίβεται. τουτέστι πᾶν πρᾶγμα παρὰ φύσιν γινόμενον, οὐχ' οὕτως ἐστὶν σιγηθὲν ἀηδὲς, ὡς φαινόμενον. φανὲν γὰρ, πλεῖον ἐρυθριάσει καὶ ὀνειδισθήσεται. θεὸν δὲ τὴν φύσιν λέγει. [Οὐ σκαιότερον χρῆμα.] ἀντὶ τοῦ δὲ οὐκ ἔστι σκαιότερον τὸ θαυμάζειν τοὺς ἄνευ θεοῦ μοίρας τι πράσσοντας, ἑαυτοῖς δὲ ἐπιτρέποντας; ὅτι εἰσὶν αἱρετώτεραι καὶ προτιμότεραί τινες ἐπιτηδεύσεις, ἐπιτηδεύσεων. διό, αἱ προσφυεῖς ἑκάστῳ καὶ οὐκ ἐναντιούμεναι κατὰ γένεσιν καὶ φύσιν. [Ἐντὶ γὰρ ἄλλαι ὁδῶν ὁδοὶ] ἕως μελέτα. δεῖ δὲ ἕκαστον τὴν δεδομένην αὐτῷ ἐκ θεῶν ὁδὸν, ταύτην ἰέναι, καὶ μὴ παραβιάζεσθαι. Ὅμηρος· Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα, Ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ νόον. ἕτεραι δὲ ἀμείνονες παρασημότεραι. εὐοδώτεραί εἰσιν ὁδοὶ δι' ὧν τις δύναται περαιῶσαι. ὅ ἐστιν εἰ μὴ πέφυκας πρὸς τὸ παγκράτιον, πάλην ἄσκει, ἢ ἄλλο τι πρὸς ὃ εὐφυῶς ἔχεις. [Ὁδοὶ περαίτεραι.] πρακτικώτεραι, ἀνυστικώτεραι. [Μία δ' οὐχ' ἅπαντας.] οὐ γὰρ ἡ μία μελέτη, φησὶ, καὶ τὸ ἓν ἐπιτήδευμα πάντας ἡμᾶς δύναται τρέφειν· μελέτη δὲ ἄσκησίς ἐστι καὶ ἐπιτήδευμα. [Τοῦτο δὲ προσφέρων.] τὸ τῆς ἐμῆς σοφίας ἐπιτήδευμα. [Ὄρθιον ὤρυσαι.] ὀξὺ καὶ μέγα. Ὅμηρος· Ὄρθι' Ἀχαιοῖσι δὲ μέγα σθένος. λέγει δὲ πρὸς τὸν χορὸν περὶ τοῦ νενικηκότος, βόησον ἀνατεταμένον θαρσῶν, ὅτι θείᾳ μοίρῃ ἐγένετο πρὸς ἄθλησιν οὗτος ὁ ἀνὴρ, ἢ πρὸς ἑαυτὸν λέγει ὅτι ὥρμησα ὀξέως. [Σοφίαι μὲν αἰπειναί.] τουτέστιν ἐφ' ὕψους καὶ προσβάσεως κεῖνται αἱ σοφίαι. ὥστε εἶναι τὴν ἐπ' αὐταῖς ὁδὸν δυσχερῆ. ἢ οὕτως. ὑψηλόν ἐστι καὶ ἐν μετεώρῳ κείμενον τὸ, ἀρετὴν ἔχον. ὡς Ἡσίοδος· Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν. ἢ οὕτως· αἱ μὲν σοφίαι ὑψηλαὶ εἰσὶ, καὶ πόῤῥω καὶ δυσχερεῖς. [Τοῦτο δὲ προσφέρων ἄεθλον.] ἑαυτῷ ὁ Πίνδαρος παρακελεύεται, καὶ φησίν. ὅμως δὲ τοῦτο ἀπὸ τῆς σοφίας ἄεθλον προσφέρων καὶ ἐκπληρῶν τὸν ὕμνον, μέγα καὶ ὑπερφυὲς ἀναβόησον,

Ορθιον ὤρυσαι θαρσέων,
Τόνδ' ἀνέρα δαιμονίως γεγάμεν,
Εὔχειρα, δεξιόγυιον, ὁρῶν-
τ' ἀλκάν· Αἰάντεόν γε δαί-
θ', ὃς Οἰλιάδα νι-
κῶν ἐπεστεφάνωσε βωμόν.

Alte vociferare audacter,
Huncce virum divinitus natum-esse,
Manu-promptum, membris-dextrum, spe-
ctantem robur: Aiaceam festis-da-
pibus, qui Oiliadæ vin-
cens coronavit aram.

P a r a p h r a s i s.

aliique in aliis excellimus. Ac omnium quidem artium maxime arduæ sunt illæ quæ ratione exercentur, videlicet ingenuæ: qualis inter cæteras poësis. Ex qua, anime, depromptum hoc præmium sonorum, encomiasticum nempe hymnum, offer Epharmosto: & audacter clama virum hunc insitas à natura, proinde divinitus corporis dotes habere, scilicet manuum robur, totiusque corporis agilitatem & dexteritatem: cujus aspectus virilis nativam fortitudinem patefaciat. Quique præter enumeratas victorias, ex Oileis ludis victor rediit: & Ajacis Oilei (cujus in gratiam circum ejus in Locride cenotaphium celebrantur) aram sacrificiis festoque convivio decoravit.

N o t æ.

163 Ωρυσαι leg. aliqua exempla, quæ secutus Philippus reddidit, Currito, q. ab ὀρύω concito: quod tamen ὄρυσαι, non ὤρυσαι de se produceret. Ita & Schol. Θαρσῶν leg. Bodl. & α. 165 Δεξιόγυιον] Gl. MSS. β. γ. Επιτήδειον εἰς τὰ μέλη. 166 Αἰάντειόν τι Pal. A. Steph. Schmid. aliorumque Editt. leg. Αἰάντεόν γε. 167 Alii leg. Δαιτὶ ὅς τ' Ιλιάδα νικῶν. Οἰλιάδα Edit. Commeliniana. Nos sequimur exemplaria quæ metri leges non perturbant.

βόησον, τοῦτον δαιμονίᾳ μοίρᾳ γενέσθαι δυνατὸν ταῖς χερσὶ, καὶ παντὶ τῷ σώματι δεξιὸν· ἵνα κοῦφος ᾖ καὶ εὔστροφος παλαιστής. ὃς καὶ τῷ βλέμματι ἀλκὴν καὶ δύναμιν ἐμφαίνει. [Ορῶντ' ἀλκάν.] βλέποντα ἀνδρεῖον. [Αἰάντειόν τε.] ὅστις ἀνὴρ καὶ ἐν τῇ τοῦ Αἴαντος τοῦ Οἰλέως παιδὸς πανηγύρει, καὶ ἐν τῷ ἐπωνύμῳ αὐτοῦ ἀγῶνι νικήσας, θυσίαις καὶ στέμμασι τὸν Αἰάντειον βωμὸν κατεκόσμησε. τὰ Αἰάντεια δὲ ἐν Οποῦντι ἄγεται. [Ιλιάδα.] τοῦ Οἰλέως παιδὸς τοῦ Αἴαντος τοῦ Λοκροῦ. ἀντὶ δὲ τοῦ ὁ εἴρηκε, τὸν Ιλιάδα. ὥς πού φησι καὶ Ησίοδος.

Τέλος τοῦ ἐννάτου τῶν Ολυμπίων εἰδοῦς.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ ἔννατον τῶν Ολυμπίων εἶδος.

ΤΟ μὲν Αρχιλόχου μέλος.] τὸ μὲν μέλος ὅπερ ὁ Αρχίλοχος συνέθηκεν ἐν Ολυμπίᾳ, τὸ φωνῆεν· ἤγουν τῇ μετεώρῳ φωνῇ ᾀδόμενον. λέγω, ὁ Καλλίνικος ὁ τριπλοῦς κεχλαδώς, ἐπιῤῥηματικῶς τὸ τριπλοῦς, ἀντὶ τοῦ ἐκ τρίτου· ἤτοι ὁ Καλλίνικος ὁ ἐκ τρίτου κεχλαδώς. τουτέστι τὸ χαῖρε διωκόμενος· ἤγουν τὸ μέλος τὸ Καλλίνικε χαῖρε, τὸ ἐκ τρίτου λεγόμενον, ἱκανὸν ἐγένετο κατὰ τὸν ὄχθον, ἀντὶ τοῦ τὸν λόφον τὸν Κρόνιον, προηγήσασθαι κωμάζοντι τῷ Εφαρμόστῳ· ἤγουν τὴν ἐπὶ τῇ νίκῃ, τὴν χορείαν τελοῦντι σὺν τοῖς ἑταίροις αὐτοῦ. τουτέστι τοῖς συνήθεσι, τοῖς προσφιλέσιν. ἀλλὰ νῦν, ὦ ψυχὴ δηλονότι, διὰ τόξων μουσικῶν πόῤῥω βαλλόντων, ἀντὶ τοῦ διὰ λόγων ἐγκωμιαστικῶν οὓς αἱ Μοῦσαι παρέχουσι πόῤῥω τὴν εὐφημίαν πεμπόντων. τὸν Δία τε τὸν τῆς πυρώδους καὶ λαμπρᾶς ἀστραπῆς αἴτιον ἐπινείμαι· ἤγουν ἐπέξελθε, τόξευσον. τουτέστιν ὕμνησον τοιοῖσδε μέλεσιν· ἤτοι διὰ τοιούτων ποιημάτων, καὶ τὸ σεβάσμιον ἀκρωτήριον τῆς Ηλιδος· ἤγουν τὴν Ολυμπίαν ὕμνησον δηλονότι. ὅπερ ποτὲ ὁ Πέλοψ ὁ ἥρως ὁ ἀπὸ τῆς Λυδίας, ἐξήρατο, ἀντὶ τοῦ ἤρατο· ἤτοι ἔλαβεν, ἕδνον κάλλιστον, ἀντὶ τοῦ προῖκα καλλίστην τῆς Ιπποδαμείας. βέλος δὲ γλυκὺ πτερωτὸν, ἀντὶ τοῦ λόγον ἐγκωμιαστικὸν, ἵει· ἤγουν πέμπε Πυθῶναδε· τουτέστι πρὸς τὴν Πυθῶνα. μέμνηται δὲ καὶ τῆς Πυθῶνος, ἐπειδὴ καὶ ἐν αὐτῇ ἐνίκησεν ὁ Εφάρμοστος. [Οὔ τοι χαμαιπετέων.] μηδῆτα ἅψῃ λόγων χαμαὶ κειμένων τουτέστιν 19
ὑπτίων, εὐτελῶν· ἤγουν μὴ χρήσῃ λόγοις εὐτελέσιν. [Ελελίζων.] ἤτοι κινῶν φόρμιγγα ἐπὶ τοῖς παλαίσμασι τοῦ ἀνδρὸς, * τοῦ ἐκ τῆς ἐνδόξου Οποῦντος. αἰνήσαις, ἀντὶ τοῦ 21
ἐπαίνεσον, ὕμνησον αὐτὴν τὴν πόλιν τὴν Οποῦντα καὶ τὸν υἱὸν, ἀντὶ τοῦ τὸν πολίτην αὐτῆς, δηλονότι τὸν Εφάρμοστον. ἣν τινα· ἤγουν τὴν πόλιν, λέλογχε τουτέστιν εἰς κλῆρον ἔλαβεν ἡ Θέμις, ἀντὶ τοῦ ἡ Δίκη. καὶ ἡ θυγάτηρ αὐτῆς ἡ τὰς πόλεις σώζουσα ἡ κατὰ πολὺ τιμία Εὐνομία. ἕπεται γὰρ τῇ δίκῃ, τὸ καλῶς τοῖς νόμοις χρῆσθαι. θάλλει δὲ αὐτὴ ἡ Οποῦς· ἤγουν λαμπρά ἐστιν ἐπ' ἀρεταῖς, τουτέστιν, ἐπ' ἀριστείαις, ἐπ' ἀνδραγαθίαις ἐπίσης τε ἐν τῇ Κασταλίᾳ· ἤγουν ἐν τῇ Πυθῶνι, καὶ πλησίον τοῦ ῥεύματος τοῦ ποταμοῦ τοῦ Αλφειοῦ· ἤτοι καὶ ἐν τῇ Ολυμπίᾳ. ὅθεν, ἤγουν ἀπὸ τῆς Κασταλίας καὶ τοῦ Αλφειοῦ, στεφάνων ἐξαίρετοι κόσμοι ἐπαίρουσι. τουτέστι μεγα-

* MSS. add. ἀντὶ τοῦ, χάριν τῆς νίκης τῆς ἐν τῇ πάλῃ τοῦ ἀνδρός.

κλίνουσιν, ὑμνοῦσι, τὴν Ὀποῦντα τὴν μητρόπολιν τῶν Λοκρῶν,
τὴν περιφερομένην, τὴν ἀγλαόδενδρον· ἤγουν τὴν εὐθαλῶν δέν-
25 δρων αὐξητικήν. τουτέστι, τὴν εὔγεων. [Σώτειρα Εὐνομία.]
σώζει γὰρ ἡ εὐνομία τὰς πόλεις. λέγει δὲ ὅτι ἡ Ὀποῦς εὐ-
νομίᾳ καὶ δικαιοσύνῃ χαίρει. θυγάτηρ δὲ ἡ Εὐνομία Δικαιο-
33 σύνης. ἐπειδὴ οἱ νόμοι δικαίως χάριν ἐτέθησαν. [Ἐγὼ δέ
τοι φίλαν.] ἐγὼ δὲ τὴν προσφιλῆ ἐμοὶ πόλιν ταύτην τὴν
Ὀποῦντα, φλέγων, ἀντὶ τοῦ λαμπρύνων ᾠδαῖς μαλεραῖς,
ἤγουν λαμπραῖς, ταχύτερον καὶ ἵππου ἀγάνορος· ἤτοι
πάνυ γενναίου. ἀπὸ μεταφορᾶς τῶν ἀνδρῶν. ὁ Ἀγήνωρ γὰρ,
ἐπὶ ἀνθρώπων κυρίως λέγεται, καὶ ἔστι ταυτὸν τῷ ἀνδρεῖος.
ἵπποι δὲ λέγονται κατὰ τοῦτο γενναῖοι, καὶ ἀγέρωχοι καὶ εὔ-
36 ψυχοι. [Καὶ ναὸς ὑπόπτερον,] ἀντὶ τοῦ ταχυτάτης θᾶττον, πέμ-
ψω πανταχόσε ταύτην τὴν ἀγγελίαν τὴν περὶ τῶν ἀνδρα-
38 γαθημάτων, αὐτῆς δηλονότι καὶ τῆς Εὐνομίας. [Εἰ σὺν τινι
μοιριδίῳ.] δύναται τὸ εἰ, ἐνταῦθα καὶ ἀντὶ τοῦ ἐπεὶ, λαμ-
βάνεσθαι· καὶ διστακτικῶς. ἄμεινον δὲ τὸ δεύτερον. εἰ σὺν
παλάμῃ τινὶ, ἀντὶ τοῦ βοηθείᾳ. μοιριδίῳ. τουτέστι μοίρας
κρείττονος, κῆπον ἐξαίρετον καρποῦμαι Χαρίτων· ἀντὶ τοῦ
δύναμιν λόγων, ἣν αἱ Χάριτες ἐφορῶσι. τουτέστι Χαρίτων
μετέχουσαν. κεῖναι γὰρ, ἤγουν αἱ Χάριτες παρέχον τοῖς
ἀνθρώποις τὰ τέρψιν ἐμποιοῦντα. [Ἀγγελίαν.] τὸν ὕμνον.
ὃν πρὸς τὴν πολίτην αὐτῆς πλέκων. καὶ αὐτὴν ἀΐδιον θή-
39 σω μέχρις ἂν παρ' ἀνθρώποις ὦσι λόγοι. [Ἐξαίρετον Χα-
ρίτων.] φησὶν Ἡσίοδος ἐν τῇ Θεογονίᾳ, κατὰ Μουσῶν εἰπὼν
τὰς Χάριτας. Παρ' δ' αὐταῖς Χάριτές τε καὶ Ἵμεροι οἰκί'
42 ἔχουσιν. [Ἀγαθοὶ δὲ καὶ σοφοί.] ἀγαθοὶ δὲ ἐγένοντο ἄνδρες·
ἤγουν ἀνδρεῖοι καὶ σοφοί. τουτέστι φρόνιμοι κατὰ δαίμονα,
ἀντὶ τοῦ κατὰ μοῖραν θείαν. ἐπεὶ εἰ μὴ ἐγένοντο δηλονότι
κατὰ μοῖραν θείαν φρόνιμοι καὶ ἀνδρεῖοι, πῶς ἂν ὁ Ἡρα-
κλῆς ἐναντίον τῆς τριαίνης τοῦ Ποσειδῶνος ἐτίναξεν, ἤγουν
σφοδρᾷ ὁρμῇ ἐκίνησεν διὰ τῶν χειρῶν τὴν σκυτάλην. τουτέστι
τὴν ῥάβδον, τὸ ῥόπαλον. ὁπηνίκα ὁ Ποσειδῶν στὰς ἤρει-
δεν, ἀντὶ τοῦ ἐπίεζεν αὐτὸν ἀμφὶ τὴν Πύλον, ἀντὶ τοῦ κατὰ
τὴν Πύλον. * ἐπέζε τε αὐτὸν ὁ Φοῖβος δι' ἀργυροῦ τόξου πο-
λεμῶν αὐτῷ δηλονότι. Ἱστορία. Τραχήνιόν τινα ἀνελὼν Ἡ-
ρακλῆς προστάξαντος Ἀπόλλωνος, ἔρχεται εἰς Νηλέα τὸν
Ποσειδῶνος. ἵνα ὑπ' αὐτοῦ καθαρθείη τοῦ φόνου. μὴ βουλη-
θέντος οὖν τοῦ Νηλέως, πόλεμον συνέστησε πρὸς αὐτὸν Ἡ-
ρακλῆς· καὶ πρὸς τὸν τούτου πατέρα Ποσειδῶνα τῷ παιδὶ συμ-
μαχοῦντα. [Ἑτέρα.] Ἐλθὼν εἰς Πυθίαν Ἡρακλῆς ὑπὲρ τού-
του χρησόμενος τῷ Ἀπόλλωνι, ἤκουσε παρὰ τῆς Πυθίας μὴ
εἶναι τὸν θεὸν ἐνταῦθα. μὴ δὲ μαντεύεσθαι. ὀργισθεὶς οὖν ἐπὶ
τούτῳ, τὸν τρίποδα λαβὼν ἔρριψεν. ὥσπερ μάχην ἐντεῦθεν
ἀνταίρων πρὸς τὸν θεόν. [Ἑτέρα.] Ἐπολέμησε πρὸς τὸν Ἅ-
δην Ἡρακλῆς, ὅτε ἀπελθὼν τὸν Κέρβερον λαβεῖν, ἐκωλύετο
παρ' αὐτοῦ. λέγει οὖν, πῶς ἂν Ἡρακλῆς ταῦτα ἐποίησε, μὴ
ὑπὸ Διὸς τοιοῦτος γεγονώς. δέον εἰπεῖν βροτῶν πρὸς τὸ
54 θνησκόντων, βρότεια εἶπε πρὸς τὰ σώματα. [Ἀπό μοι
λόγον.] τὸ μοι, οὐκ ἔστι πρὸς τὸ στόμα ὡς οἴονταί τινες,
ἀλλ' ἔστι πρὸς τὸ ῥίψον, καὶ ἔστιν ὅμοιον τῷ, ἀφαιρῶ σοι
τὴν νόσον. [Οὐδ' Ἀΐδας ἀκινήταν.] οὐδὲ ὁ Ἅδης εἶχεν ἀκί-
νητον· ἤγουν ἀνενέργητον τὴν ἑαυτοῦ ῥάβδον. δι' ἧς κατάγει
τὰ σώματα τῶν ἀνθρώπων εἰς τὴν ἀγυιάν· ἤτοι τὴν δίο-
δον † τὴν στενωπὸν, τὴν κοῖλον, τῶν ἀποθνησκόντων. τουτέστι τὰς
καταδύσεις τῆς γῆς, ἃς οἱ ἀποθνήσκοντες διέρχονται. συνά-
πτει μετὰ τὴν μάχην τῶν θεῶν τούτων τὴν πρὸς τὸν Ἡρα-
κλέα. ἀντιτάττει δὲ αὐτὸν τῇ τριαίνῃ μόνῃ τοῦ Ποσειδῶνος.
ἀφ' ἧς συνυπακούειν δίδωσι καὶ τὴν πρὸς τοὺς ἄλλους αὐτοῦ
ἀντιπαράταξιν καὶ ἰσχύν. ὁ γὰρ λόγος, αὐτῷ, σαφέστερον οὕτως
ἔχει. ἐπεὶ πῶς ἂν ὁ Ἡρακλῆς ἐναντίον τῆς τριαίνης τοῦ
Ποσειδῶνος τὸ ἑαυτοῦ ῥόπαλον ἐκίνησεν, ὁπηνίκα ὁ Ποσει-
δῶν ἐπίεζεν αὐτόν. καὶ ὁ Φοῖβος. καὶ ὁ Ἅδης διὰ τὴν ἑαυτοῦ
ῥάβδου· ἀγανακτῶν δὲ πρὸς τοῦτον τὸν λόγον ὡς προσκρού-
οντα τοῖς θεοῖς, ἀναστέλλει ἑαυτὸν μὴ λέγειν τοιαῦτα, καὶ
φησίν. ἀπόρριψον· ἤγουν ὡς βάρος ἀπόθου. ὡς ἐπιβλαβῆ ἔα-
σον τοῦτον τὸν λόγον, ὦ στόμα ἐμόν. ἐπεὶ τό, γε λοιδορῆσαι
θεοὺς, τουτέστι τὸ βλάσφημα περὶ θεῶν εἰπεῖν, ἐχθρὰ σο-
φία· ἤγουν μεμισημένη, καὶ τὸ καυχᾶσθαι ἔξω τοῦ καιροῦ.
τοῦτο δὲ φησὶν, ἐπεὶ Χαρίτων εἶπε κῆπον νέμεσθαι. μανίαις
ὑποκρέκει, ἀντὶ τοῦ συνᾴδει. τουτέστι μανίᾳ ἐστὶν ἴσον. [Μὴ 60
νῦν λαλάγει.] μὴ νῦν, ὦ στόμα δηλονότι, λαλάγει· ἤγουν
λήρει τὰ τοιαῦτα. ἔα πάντα πόλεμον, καὶ πᾶσαν μάχην χω-
ρίς, ἤτοι μακρὰν τῶν θεῶν. φέροις δὲ ἀντὶ τοῦ φέρε· κίνει
τὴν γλῶσσαν· πρὸς τὸ ἄστυ τῆς Πρωτογενείας, τῆς θυγατρὸς
τοῦ Ὀποῦντος τοῦ καὶ Δευκαλίωνος. ὅπου· ἤγουν ἐν τῇ
Ὀποῦντι ἡ Πύρρα καὶ ὁ Δευκαλίων ἀπὸ τοῦ Παρνασσοῦ κα-
ταβάντες, τῇ αἴσῃ, ἀντὶ τοῦ τῇ προστάξει, τῇ βουλῇ τοῦ
Διὸς τοῦ αἰολοβρόντου, ἤγουν τοῦ τῶν ταχέως κινουμένων βροντῶν
αἰτίου, οἶκον ἐποίησαν τὴν ἀρχήν. χωρὶς δὲ ‡ συνδυασμοῦ γε-
νεὰν ἐκτησάσθην, ἤγουν ἐκτήσαντο, ἔργον λιθίνην. τουτέστιν
ἀπὸ λίθων. ὁμόδημον, ἤτοι ὁμογενῆ. λαοὶ δὲ ὠνομάσθησαν,
ἡ γενεὰ δηλονότι. πρὸς τὸ σημαινόμενον ἡ ἀπόδοσις. Ἱστο-
ρία. Τὸν ἐπὶ τῷ Νῶε κατακλυσμὸν Ἕλληνες ἐξ ἡμῶν κε-
κλοφότες, οὕτω φασί. Διὸς τὴν γῆν κατακλύσαντος, Δευ-
καλίων καὶ Πύρρα ἐν τινι κιβωτίῳ εἰσελθόντες, μετεωρί-
σθησαν ὑπὸ τοῦ ὕδατος ὑπεράνω τοῦ Παρνασοῦ. κατὰ δέ τινας
ὄρους Λυκωρέως καλουμένου· πεπαυμένου δὲ τοῦ ὕδατος, ἐξελ-
θόντες τοῦ κιβωτίου προσετάχθησαν ὑπὸ τοῦ Διὸς τὰ τῆς
μητρὸς αὐτῶν ὀστᾶ ὄπισθεν ῥίπτειν. οὐκ ἄλλην δὲ ἢ τὴν γῆν
μητέρα ὑποτοπάσαντες, λίθους λαβόντες ὄπισθεν αὐτῶν ἔρ-
ριπτον. καὶ οὓς μὲν ἡ Πύρρα ἔρριπτε, γυναῖκες. οὓς δὲ ὁ Δευ-
καλίων, ἄνδρες ἐγένοντο. ὅθεν ἐστὶ καὶ τὸ λαὸς ὄνομα. λᾶς
γὰρ ὁ λίθος. [Ἔγειρ' ἐπέων.] τοῦτο λέγει, ὅτι ἐατέον τοὺς 72
περὶ τούτου λόγους. ἔστι δὲ ἡ τοιαύτη σύνταξις ὁμοία τῇ
ἄνω, τῷ, ἀπό μοι λόγον τοῦτον στόμα ῥῖψον. οὕτω δὲ πα-
ραιτούμενος λέγειν περὶ τούτων, πάλιν ἐπιχειρεῖ λέγειν. δέον
δὲ λιγέως εἰπεῖν, ἀντὶ τοῦ ταχέως ἔγειρε, λιγὺν εἶπε πρὸς
τὸν ὕμνον. τὸ αἴνει καὶ πρὸς τὸ ἄνθεα λάμβανε. αἴνει
δὲ ἄνθεα νεωτέρων ὕμνων· ἤτοι νεωτέρους ὕμνους περιφρα-
στικῶς. λέγει δὲ ὅτι τὸ τὰ νέα ὑμνεῖν κρεῖττον. [Ἔγειρ'
ἐπέων·] ἀντὶ τοῦ κίνησον, ὦ στόμα, χάριν αὐτῶν τῶν Ὀπουν-
τίων δηλονότι τῶν ἀπὸ τοῦ Δευκαλίωνος. ὁδὸν ἐπῶν λιγεῖαν·
ἤγουν ἐμμελῆ. ἐπαίνει δὲ οἶνον μὲν πολυετῆ, ἄνθη δὲ, ἀν-
τὶ τοῦ ἀνθηρότητα, λαμπρότητα ὕμνων νεωτέρων· τουτέστι και-
νοτέραν ὁδὸν ἐχόντων. λέγουσι δὴ κατακλύσαι μέν· ἤγουν κα-
ταποντίσαι, καλύψαι, τὸ σθένος τοῦ ὕδατος, ἀντὶ τοῦ, τὸ ὕ-
δωρ περιφραστικῶς, τὴν γῆν τὴν μέλαιναν, ἀλλὰ διὰ τῶν
τεχνῶν τοῦ Διός· ἤγουν τῶν μηχανῶν, τῶν δυνάμεων, ἀνά-
πωτιν λέγουσιν ἐξαίφνης· ἤγουν ἀναρρόφησιν, συστολὴν τῆς
ἀναχύσεως, καὶ εἰς τὴν γῆν αὖθις κατάδυσιν λαβεῖν, τὸ
ἄντλον· τουτέστι, τὸ πλῆθος τοῦ ὕδατος. Ἱστορία. Ἰαπετοῦ παῖ-
δες, Προμηθεὺς καὶ Ἐπιμηθεύς. Προμηθέως καὶ Κλυμένης,
Δευκαλίων ὁ καὶ Ὀποῦς καλούμενος. Ἐπιμηθέως καὶ Πανδώ-
ρας, Πύρρα. Πύρρας δὲ καὶ Δευκαλίωνος, Πρωτογένεια· ἣν
ἔγημε Λοκρός. διὰ δὲ τὸ μὴ ποιεῖν ὑπ' αὐτῆς παῖδας,
ἵνα μὴ χωρὶς διαδόχου ἀπέλθῃ Λοκρὸς, ἁρπάζεται Πρω-
τογένεια ἐκ Διός. ἣ συνελθὼν ἐν τῷ Μαινάλῳ ὄρει τῆς Ἀρ-
καδίας καὶ ἐγκύμονα ποιήσας, ἐπανάγει πάλιν αὐτὴν πρὸς
Λοκρόν. ὃς τὸ γεννηθὲν ὑπ' αὐτῆς παιδίον, Ὀποῦντα
ἐκάλεσε συνώνυμον Ὀποῦντι, τῷ καὶ Δευκαλίωνι τῷ Πρω-
τογενείας πατρί. [Κείνων δ' ἔσαν.] τοῦτο πρὸς τὸν Ἐφάρ- 79
μοστον. ἐξ ἐκείνων δὲ ἦσαν ἀρχῆθεν οἱ ὑμέτεροι, ἀντὶ τοῦ,
οἱ σοὶ πρόγονοι οἱ χαλκάσπιδες. τουτέστιν, οἱ πολεμισταί.
λέγω τοὺς γενεὰς τῆς ἀπὸ τοῦ Ἰαπετοῦ καταγομένης κοῦροι· ἤγουν
παῖδες, ἀπόγονοι τῶν κορῶν τε τῶν ἀρίστων Κρονιδῶν· ἀν-
τὶ τοῦ καὶ τῆς κόρης· ἤγουν τῆς Πρωτογενείας, τοῦ ἀρίστου υἱοῦ
τοῦ Κρόνου, τοῦ Διός. [Ἐγχώριοι βασιλεῖς αἰεί.] ἤγουν, γνήσιοι 84

* Editt. ἐπιέζετο. † MSS. leg. τὴν στενωπὸν τὴν κοῖλον. ‡ Editt. hab. συνδυασμοῦ.

βασιλεῖς,

85 βασιλεῖς, καὶ οὐκ ἐπείσακτοι κατὰ διαδοχήν. [Πρὶν Ὀλύμπιος.]
πρότερον τὴν ἀρχὴν ὁ βασιλεὺς ὁ ἐν τῷ Ὀλύμπῳ, ὁ Ζεὺς τὴν
θυγατέρα τοῦ Ὀπόεντος, τοῦ καὶ Δευκαλίωνος ἀναρπάσας, ἤγουν
μετέωρον εἰς τὸν ἀέρα λαβὼν λάθρα. τοῦτο γὰρ τὸ ἕκηλος, ἀπὸ
τῆς γῆς τῶν Ἐπειῶν, τουτέστι τῶν Ἠλείων (Ἐπειοὶ γὰρ ὠνομάσθησαν
οἱ Ἠλεῖοι ἀπὸ Ἐπειοῦ τοῦ Ἐνδυμίωνος,) ἐμίγη αὐτῇ ἐν ταῖς
ἐξοχαῖς τῶν Μαιναλίαις, ἤγουν ταῖς τοῦ Μαινάλου, καὶ ἤνεγκε
τῷ Λοκρῷ τῷ ἀνδρὶ αὐτῆς, ἵνα μὴ καθέλοι αὐτὸν, τὸν Λοκρὸν
δηλονότι· ἤγουν, καταστρέψειεν ὁ αἰὼν, ἀντὶ τοῦ ὁ χρόνος,
ἐστερημένον γενεᾶς, πότμον ἐφάψας, ἤγουν, συντυχίαν θανάτου
ἐπαγαγών. εἶχε δὲ σπέρμα μέγιστον, ἀντὶ τοῦ, υἱὸν ἀπὸ
σπέρματος μεγίστου, ἡ γυνὴ τοῦ Λοκροῦ ἡ Πρωτογένεια. εὐφράνθη
τε ὁ ἥρως· ἤγουν, ὁ Λοκρὸς, ἰδὼν υἱὸν τῇ ἀληθείᾳ μὲν
ὄντα θετὸν υἱὸν, ἀντὶ τοῦ νόθον. ὑπ᾽ αὐτοῦ δὲ γνήσιον νομιζόμενον.
ὠνόμασε δὲ αὐτὸν οὕτως. ὡς τὸ εἶναι ἰσώνυμον, ἀντὶ τοῦ
ὁμώνυμον, τοῦ μάτρωος αὐτοῦ· ἤγουν τοῦ * πατρὸς τῆς μητρὸς
αὐτοῦ, ἤτοι, τοῦ πάππου. τουτέστιν, Ὀπόεντα ὠνόμασεν αὐτόν.
ἰστέον δὲ ὅτι παρὰ τὴν συνήθειαν τῶν ἄλλων ἐδέξατο ἐνταῦθα
τοῦτο τὸ ὄνομα. † μήτρωον γὰρ οἱ ἄλλοι τὸν πρὸς μητρὸς λέγουσι
θεῖον. ἄνδρα ὑπέρφατον γενόμενον δηλονότι, αὐτὸν τὸν Ὀ-
πόεντα· ἤγουν ὑπερβολικῶς θαυμαστὸν, κατά τε τὴν μορφὴν,
τουτέστι τὸ εἶδος, καὶ κατὰ τὰ ἔργα, ἤγουν τὰς πράξεις. τὴν
πόλιν δὲ τὴν Ὀπόεντα δηλονότι, καὶ τὸν λαὸν αὐτοῦ παρέσχεν
101 αὐτῷ, ὁ Λοκρὸς δηλονότι, διαιτᾶν, ἤγουν διοικεῖν. [Ἀφίκοντο
δέ οἱ.] ἀφίκοντο δὲ πρὸς αὐτὸν· ἤγουν, τὸν Ὀπόεντα ξένοι καὶ
ἐκ τοῦ Ἄργους, καὶ ἐκ τῶν Θηβῶν, καὶ Ἀρκάδες, οἱ δὲ, καὶ ἀπὸ
τῆς Πίσης, ἤγουν Ἠλεῖοι. ἀπὸ τῶν ἐποίκων δὲ, τουτέστι, τῶν ξένων
τῶν κατοικησάντων ἐν τῷ βασιλευομένῳ ὑπ᾽ αὐτοῦ τόπῳ τὸν Μενοίτιον
ἐτίμησεν ἐξόχως, τὸν υἱὸν τοῦ Ἄκτορος, καὶ τῆς Αἰγίνης. οὗτινος,
τουτέστι τοῦ Μενοιτίου ὁ υἱὸς, ὁ Πάτροκλος δηλονότι. ἅμα
τοῖς Ἀτρείδαις ἐπελθὼν εἰς τὴν γῆν τοῦ Τεύθραντος, ἤγουν εἰς
τὴν Μυσίαν. ἣν τοῦ Τεύθραντος λέγει, διὰ τὸ ἄρξαι αὐτῆς
ποτε τὸν Τεύθραντα. τότε δὲ ἐπ᾽ αὐτῇ ὁ Τήλεφος ἐβασίλευε·
μόνος ἔστη σὺν τῷ Ἀχιλλεῖ, ὅτι ὁ Τήλεφος τρέψας τοὺς Δαναοὺς
τοὺς ἀλκήεντας, ἤγουν τοὺς ἰσχυροὺς, τοὺς γενναίους, ἐνέβαλεν
εἰς τὰς πρύμνας τὰς θαλασσίας, ἀντὶ τοῦ, εἰς τὰς ναῦς
τὰς ἐν τῇ θαλάσσῃ τὴν διατριβὴν ποιουμένας. ὥστε δεῖξαι
αὐτοῖς ὁ Πάτροκλος τῷ φρονίμῳ μαθεῖν τὸν νοῦν τοῦ Πατρόκλου·
ἀντὶ τοῦ τὸν ἑαυτοῦ. τὸν βιατὰν, ἤγουν τὸν γενναῖον, τὸν ἀνδρεῖον,
ἀπὸ τοῦ βία, ἡ ἰσχύς. ἀφ᾽ οὗ χρόνου παρηγορεῖτο· ἀντὶ τοῦ παρῄνει.
ἔλεγεν αὐτῷ ὁ υἱὸς τῆς Θέτιδος, ὁ Ἀχιλλεὺς, μηδέποτε
ταξιοῦσθαι. τουτέστι παρατάττεσθαι αὐτὸν ἐν τῷ πολέμῳ τῷ ὀλεθρείῳ,
χωρὶς τῆς αἰχμῆς τῆς σφετέρας, ἀντὶ τοῦ τῆς ἐᾶς. τῆς
ἑαυτοῦ τῆς δαμασιμβρότου· ἤγουν τῆς τοὺς ἄνδρας κτεινούσης. Ἱστορία.
Ὅτ᾽ ἐς Τροίαν ἐστράτευον Ἕλληνες, προσέσχον ἐν Μυσίᾳ.
καὶ νομίζοντες ταύτην εἶναι τὴν Τροίαν, ἐδῄουν. ὁ οὖν ταύτης
βασιλεὺς Τήλεφος ἀμυνόμενος ὑπὲρ τῆς χώρας, μάχην συνῆψε
τοῖς Ἕλλησιν. ἧς καρτερᾶς γινομένης, οἱ μὲν ἄλλοι πάντες
Ἕλληνες, εἰς τὰς ναῦς ἀνεχώρησαν. μόνος δὲ ὁ Πάτρο-
113 κλος σὺν τῷ Ἀχιλλεῖ ἐμάχετο. [Ὥς τ᾽ ἔμφρονι δεῖξαι·] ἤγουν
ἐπεὶ Πάτροκλος ἔστη σὺν Ἀχιλλεῖ τῶν ἄλλων Ἑλλήνων τραπέντων·
πᾶς ἀνὴρ νουνεχὴς ἔγνω ἂν ἰδὼν ὅτι Πάτροκλος ἔξο-
120 χος ἦν τὰ ἐς μάχην. [Εἴην εὑρεσιεπής.] εἴθε εἴην κατὰ τῶν
ἐπῶν εὑρετὴς, ὥστε ἀναγεῖσθαι, ἀντὶ τοῦ διηγεῖσθαι τὰ περὶ τούτων
δηλονότι. πρόσφορος, ἤγουν ἐπιτήδειος γενόμενος ἐν δίφρῳ
τῶν Μουσῶν, ἀντὶ τοῦ ἐν ὑψηλῇ ποιήσει ἣν αἱ Μοῦσαι δωροῦνται.
τόλμα δὲ, ἀντὶ τοῦ παῤῥησία εἴθε ἕποιτο, ἤγουν ἀκολουθήσειεν
ἐμοὶ, καὶ δύναμις ἀμφιλαφὴς, ἀντὶ τοῦ μεγάλη. ἐκ μεταφορᾶς
τῶν ὄγκον ἐχόντων σωμάτων ὧν ἀμφοτέραις χερσὶν ἔστι
λαβέσθαι. ἔστι δὲ ἀμφιλαβὴς καὶ ἀποπῇ τοῦ β΄ εἰς φ΄, κατ᾽ ἔθος
Μακεδόνων, ἀμφιλαφής. ἐπὶ προξενίᾳ δὲ, ἀντὶ τοῦ χάριν τῆς
προξενίας· τουτέστι τῆς φιλοφρονήσεως τοῦ Λαμπρομάχου πρὸς
τοὺς Θηβαίους. καὶ χάριν τῆς ἀρετῆς, ἤτοι ἀνδρείας καὶ τῶν ἀνδραγαθημάτων
αὐτοῦ, ἦλθον τιμάορος, τουτέστι τιμητὴς,
ὑμνητὴς γενησόμενος τῶν μιτρῶν, ἀντὶ τοῦ τῶν στεφάνων αὐτοῦ, οὓς
ἐν τῷ Ἰσθμῷ ἔλαβεν. ὅτε ἀμφότεροι, ἤγουν αὐτὸς ὁ Λαμπρόμαχος
καὶ ὁ Ἐφάρμοστος ἐκράτησαν ἔργον. τουτέστιν ἐνίκησαν
νίκην κατὰ μίαν ἡμέραν. ἀμφότεροι γάρ φασιν ἐνίκησαν
ἐν μιᾷ ἡμέρᾳ· ὁ μὲν Ἐφάρμοστος, Ὀλύμπια· ὁ δὲ Λαμπρόμαχος,
Ἴσθμια. ἔνιοι δέ φασιν ὅτι οἱ δύο Ἴσθμια ἐν μιᾷ
ἡμέρᾳ ἐνίκησαν. ἔπειτα δὲ ἄλλαι δύο χάρμαι· ἤγουν χαραὶ
νίκης, ἀντὶ τοῦ νῖκαι ἐγένοντο τῷ Ἐφαρμόστῳ, ἐν ταῖς πύλαις
τῆς Κορίνθου· ἤτοι ἐν τῷ Ἰσθμῷ. ταὶ δέ· ἤγουν αὗται
δὲ, ἀντὶ τοῦ τοσαῦται δὲ κατὰ τὸν κόλπον τῆς Νεμέας ἐγένοντο
δηλονότι αὐτῷ νῖκαι. καὶ κατὰ τὸ Ἄργος ἔνθα ἐτελεῖτο ἀγὼν
τὰ Ἡραῖα, ἔλαβε κῦδος ἀνδρῶν· ἤγουν γέρας ἀνδράσι προσῆκον.
τουτέστιν ἐν ἀνδρὸς ἡλικίᾳ νενικηκώς. παῖς δ᾽ ἐν Ἀθήναις
νικήσας δηλονότι, ἔλαβε κῦδος. [Εἴην εὑρεσιεπής.]
εἴθε τοιαύτας ἱστορίας εὑρίσκοιμι, ἵνα ἐποχούμενος τῷ δίφρῳ
τῶν Μουσῶν δοθέντι μοι δίφρῳ. λέγω δὴ τῇ ποιητικῇ, ἁρμοδίως
τῇ παρούσῃ ὑποθέσει ποιῶμαι τοὺς λόγους. τοῦτο δὲ
λέγει ἐπειδὴ καὶ ὁ Πάτροκλος Ὀπόεντος ἦν ὥσπερ καὶ
Ἐφάρμοστος. τὸ δὲ ἐναγεῖσθαι τὸ ἐν πρὸς τὸ δίφρῳ συναπτέον,
οὕτως. ἐν τῷ δίφρῳ τῶν Μουσῶν ἠγεῖσθαι καὶ περιέρχεσθαι. [Λαμ-
προμάχου.] ἐπειδὴ Ἐφάρμοστος καὶ Λαμπρόμαχος Ὀπού- 125
τιοι ὄντες, φίλοι τε ἦσαν, καὶ ἐν τῷ Ἰσθμῷ ἅμα ἐνίκησαν,
διὰ τοῦτο ἐν τῷ Ἐφαρμόστου ὕμνῳ, καὶ τούτου μέμνηται. Κορίνθου
πύλας λέγει τὸν Ἰσθμόν. ἐν τῷ τέλει γὰρ αὐτοῦ ἡ Κόρινθος
κεῖται. λάμβανε δὲ εἰς τὸ ἐγένετο, τῷ Ἐφαρμόστῳ, κατὰ
συνεκδοχήν. τὸ δὲ Νεμέας κατὰ κόλπον, ἀντὶ τοῦ εἰς τὴν Νεμέαν
περιφραστικῶς. [Οἷον δ᾽ ἐν Μαραθῶνι.] ἐν δὲ Μαρα- 134
θῶνι, φεῦ ὅπως ἑαυτὸν λάθρα ἐξαγαγὼν ἀπὸ τῶν ἀγενείων,
ἀντὶ τοῦ ἀπὸ τοῦ ἀγωνίσασθαι μετὰ τῶν ἀγενείων, ἀνέμενε τὸν ἀγῶνα
τῶν πρεσβυτέρων· ἤγουν, τῶν τελεωτέρων τὴν ἡλικίαν. τουτέστι, τῶν
ἀνδρῶν. [Ἀμφ᾽ ἀργυρίδεσσιν·] ἀντὶ τοῦ ἐπὶ ταῖς ἀργυρίσιν· 137
ἤγουν ταῖς ἀργυραῖς φιάλαις αἳ ἐδίδοντο ἐκεῖ γέρας. ἄνδρας
δὲ δαμάσας· ἤγουν καταβαλὼν διὰ μηχανῆς ἀφόβους, ὀξυῤῥεποῦς,
ἤτοι ταχεῖαν ἐχούσης τὴν ὁρμὴν, διήρχετο τὸν κύκλον,
ἤγουν τὸν ἀγῶνα. φεῦ τῆς βοῆς ὅσῃ. ἐστὶ δοτικῆς τὸ ὅσῃ· ἤγουν
δι᾽ ὅσης βοῆς διήρχετο. ὡραῖος ὤν· ἤγουν ἐν ἀκμῇ ἡλικίας.
καὶ καλὸς, τουτέστιν εὔμορφος. καὶ κάλλιστα ἔργα πράξας.
[Τὰ δὲ Παῤῥασίῳ στρατῷ.] κατὰ δὲ τὰ ἔργα τὰ γενόμενα αὐτῷ 143
ἐν τῷ στρατῷ τῷ Παῤῥασίῳ· ἤγουν τῷ Ἀρκαδικῷ (Παῤῥασία
γὰρ τόπος ἐν Ἀρκαδίᾳ) θαυμαστὸς ἐφάνη ὤν. λέγω κατὰ
τὴν πανήγυριν τοῦ Λυκαίου Διὸς, θαυμαστὸς ἐφάνη ὢν, καὶ
ὁπότε ἔφερεν, ἀντὶ τοῦ ἐπηνέγκατο ἐν τῇ Πελλήνῃ, ἔνθα ἐτελεῖτο
ἀγὼν τὰ Ἑρμαῖα, φάρμακον εὔδιανὸν, ἀντὶ τοῦ ἀποσβεστικὸν
τῶν πνοῶν, ἀντὶ τοῦ τῶν ψυχρῶν. χλαῖνα γὰρ ἐκεῖ
ἐδίδοτο τῷ νικῶντι. σύνδικος δὲ, τουτέστι μάρτυς αὐτῷ τῷ
Ἐφαρμόστῳ δηλονότι, ἐστὶ κατὰ τὰς ἀγλαΐας· ἤγουν τὰς λαμπρότητας,
τουτέστι τὰς νίκας· ὁ τύμβος τοῦ Ἰολάου. ἔνθα
ἐτελεῖτο ἀγὼν τῷ Ἰολάῳ, τὰ Ἰολάϊα. καὶ ἡ Ἐλευσὶς ἡ εἰναλία,
ἤγουν ἡ παραθαλασσία, μάρτυς ἐστὶν αὐτῷ δηλονότι
κατὰ τὰς νίκας. ἐτελεῖτο δὲ αὐτόθι ἀγὼν Κόρης καὶ Δήμητρος.
ὃς ἐκαλεῖτο Ἐλευσίνια. ἐλάμβανε δὲ γέρας ὁ νικῶν κριθάς.
Ἐν Πελλήνῃ πανήγυρις ἐγίνετο τὰ Ἑρμαῖα. ἢ τὰ Φιλοξένια
πρὸς τὸν Ἀπόλλωνα. ἔνθα νικήσας Ἐφάρμοστος, διφθέραν
ἔλαβε. τοῦτο γὰρ ἦν ἆθλον. ἥτις ἀλεξίκακός ἐστι τῶν ἀνέμων.
τὸ σύνδικος διὰ τοῦτο λέγει, ἐπειδὴ ἐν ταῖς Θήβαις ἀγὼν ἐτελεῖτο
Ἡράκλεια καὶ Ἰολάϊα. ἦν δὲ ἐν μέσῳ τοῦ σταδίου ὁ τοῦ Ἰολάου
τάφος, ἔνθα Ἐφάρμοστος ἐνίκησεν. ἐν τῇ Ἐλευσῖνι τῆς Ἀττικῆς
ἀγὼν ἐτελεῖτο Δήμητρος καὶ Περσεφόνης, τὰ καλούμενα
Ἐλευσίνια, ἔνθα ἐνίκησε. [Τὸ φυᾷ] φασί τινες λέγειν τὸν Πίν- 152
δαρον δι᾽ ἑαυτὸν οὐ καλῶς. ἔστι γὰρ πρὸς τὸν Ἐφάρμοστον. ἐπειδὴ
ἐκ φύσεως ἀνδρεῖος ὢν καὶ οὐκ ἀπὸ μόνης τέχνης, τοὺς συναγωνιζομένους
ἐνίκα. πρὸς ὃ ἐπιφέρει. πολλοὶ δὲ τῶν ἀνθρώπων
ἐν διδακταῖς ἀρεταῖς, τουτέστιν οὐ φύσει ὄντες ἀνδρεῖοι, ἀλλ᾽
ὑπὸ διδαχῆς μόνης καὶ μαθήσεως ὤρουσαν καὶ ὥρμησαν ἀνε-

* MSS. leg. τοῦ πρὸς μητρὸς αὐτοῦ. † MS. Bodl. Μήτρων.

λέσθαι καὶ λαβεῖν κλέος· ἤτοι νικῆσαι καὶ δοξασθῆναι. ἕκαστον δὲ χρῆμα· ἤγουν πᾶσα πρᾶξις ἄνευ θεοῦ· * ἤγουν μὴ ἀπὸ φύσεως κατορθουμένη. τὸ θεοῦ δὲ λέγει, ἐπειδὴ ἐκ θεοῦ πάρεσι τοῖς ἀνθρώποις φύσει ἀνδρείοις εἶναι καὶ ἄλλο τι ἀγαθὸν ἔχειν, οὐ σκαιότερον καὶ οὐ φαῦλον ὑπάρχει, σεσιγημένον καὶ σιωπηθέν. ἀλλὰ μᾶλλόν ἐστιν εἰ μηδεὶς γινώσκει αὐτό. μόνα γὰρ τὰ ἐκ φύσεως, πλείστου ἐστὶν ἄξια. ὥστε εἰ μὴ πρός τι φυσικῶς ἔχει τίς. οὐ δὴ πάλιν λέγω, καὶ δρόμον, καὶ ἄλλον τινὰ ἀγῶνα, ἀφεὶς τοῦτο πρὸς ὃ ἡ φύσις αὐτοῦ ῥέπει ῥεπέσθω. ἐντὶ γὰρ καὶ εἰσὶν ἄλλαι ὁδοὶ καὶ μεταχειρήσεις πράξεων περαίτεροι καὶ ἐξοχώτεροι ὁδῶν ἑτέρων. τουτέστι πολλῶν οὐσῶν πράξεων, τὴν προσφυῆ σοι μεταχειριζόμενος, κατορθώσεις αὐτὴν μᾶλλον ἢ τὴν οὐ προσφυῆ. Τὸ δὲ φυᾷ, ἀντὶ τοῦ τὸ μὲν φύσει. τουτέστι τὸ μὲν ἀπὸ φύσεως ἅπαν, κράτιστον· ἤγουν ἄριστον, δεξιώτατον. διὰ τὸν Ἐφάρμοστον τοῦτο λέγει. πολλοὶ δὲ δι' * ἀρετῶν, ἤγουν ἐπιτηδευμάτων δεδιδαγμένων παρὰ ἀνθρώπων, δόξαν ὥρμησαν ἑλέσθαι· ἤτοι λαβεῖν. χωρὶς δὲ θεοῦ. τουτέστι τῆς φύσεως ἕκαστον πρᾶγμα οὐ σκαιότερόν ἐστιν, ἀντὶ τοῦ οὐκ ἀπρεπές, σεσιγημένον· ἤγουν ἀπρακτον, ὑπάρχον. τουτέστιν ἕκαστον δὲ πρᾶγμα χωρὶς φύσεως, ἀπρεπέστερόν ἐστιν, εἰ σεσιγημένον ἐστίν. εἰσὶ γὰρ ὁδοὶ ἄλλαι, πρὸς ἃς ἔχει δηλονότι τις εὐφυῶς. περαίτεραι, ἀντὶ τοῦ δυνάμεναι μᾶλλον ἀνύεσθαι, ὁδῶν ἑτέρων, πρὸς ἃς οὐκ ἔχει δηλονότι τις εὐφυῶς. οὐκ ἅπαντας δὲ ἄμμε, ἀντὶ τοῦ ἡμᾶς, μία μελέτη, ἤγουν ἓν ἐπιτήδευμα· δυνατόν ἐστι θρέψαι· ἀντὶ τοῦ, οὐ δυνατὸν δέ ἐστι πάντας ἡμᾶς ἐν ἑνὶ ἐπιτηδεύματι τραφῆναι· ἤγουν, τὸν βίον ἀνύσαι. τουτέστιν ἐν ἑνὶ ζῆσαι ἐπιτηδεύματι. [Τοῦτο δέ.] τὸ τοῦτο, πρὸς τὸ γεγάμεν ἔχει τὴν δύναμιν. οὕτω προσφέρων, ὦ θυμέ, ἆθλον, καὶ ὥσπερ βραβεῖον τῆς νίκης τὸν ὕμνον τῷ Ἐφαρμόστῳ, θαρσέων, καὶ θαρσῶν, καὶ μὴ ἀμφιβάλλων ὄρυσαι καὶ μετὰ βοῆς ὕψωσον ὄρθιον τοῦτο, γεγάμεν καὶ ὑπάρξαι τόνδε τὸν ἄνδρα, τοιόνδε καὶ τοιόνδε. [Σοφίαι μὲν αἰπειναί.] αἱ σοφίαι μὲν, αἱ λογικαὶ τέ- 161
χναι αἰπειναί, ἤτοι ὑψηλαί. τοῦτο δὲ τὸ ἆθλον, ἤγουν τὸ γέρας, τουτέστι τὸν ὕμνον, προσφέρων, ὦ νοῦ, δηλονότι τοῦ Ἐφαρμόστῳ, ὄρυσαι, ἀντὶ τοῦ † βόησαι ὄρθιον, ἤγουν ὀξύ. ὑψηλὸν καὶ μετὰ θάρσους, τόνδε τὸν ἄνδρα, τουτέστι τὸν Ἐφάρμοστον, ἀπὸ μοίρας δαίμονος γεγονέναι εὔχειρα ἢ γυναῖον τὰς χεῖρας. δεξιόγυιον· ἤτοι, ἐπιτήδειον, εὔστροφον κατὰ πᾶν τὸ σῶμα. ὁρῶντα ἀλκήν. τουτέστι, παράσημα γυναῖον ἔχοντα. ὅστις νικῶν, ἐπεστεφάνωσεν, ἤγουν, ἐκόσμησε δαιτὶ, τουτέστι, δι' ἑορτῆς τὸν βωμὸν τὸν Αἰάντειον τοῦ Οἰλιάδου· ἀντὶ τοῦ, τὸν βωμὸν τοῦ Αἴαντος τοῦ υἱοῦ τοῦ Οἰλέως. πρὸς τὸ σημαινόμενον τοῦ κτητικοῦ, ἡ ἀπόδοσις. τὸ τοιοῦτο δὲ σύνηθες καὶ τῷ πεζῷ λόγῳ. Αἴας ὁ Λοκρὸς, ἐν Τροίᾳ ἀποθανὼν, τιμᾶται ἐν τῇ Λοκρίδι ἴσα θεῷ. κενοτάφιον γὰρ τούτου ἐνταῦθα ἐποίησαν, μέσον τοῦ τόπου· ἔνθα οἱ τῆς ἐν αὐτῷ πανηγύρεως ἀγῶνες τελοῦνται. ἐνίκησεν οὖν ἐνταῦθα Ἐφάρμοστος. δέον εἰπεῖν ἐπεστεφάνωσε τὸν βωμὸν τοῦ Οἰλίδα Αἴαντος. Οἰλέως γὰρ υἱὸς ὁ Αἴας. Αἰάντειον εἶπε πρὸς τὸν βωμόν.

* MS. Bodl. leg. ἀρετῆς. † MS. Bodl. βόησον.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΔΕΚΑΤΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ δεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ὀκτώ. Τὸ ᾶ, Ασκληπιάδειον ἀντισπαστικὸν ἀκατάληκτον, τοῦ πρώτου ἀντισπάστου, ἀπὸ βραχείας ἀρξαμένου. Τὸ β', χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. ἀρξάμενον ἀπὸ ἰαμβικῆς, καὶ λῆγον εἰς ἴαμβον. Τὸ γ', τρίμετρον ἰαμβικὸν ὑπερκατάληκτον. ὁ τρίτος δάκτυλος πανταχοῦ. Τὸ δ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον διῃρημένου τοῦ πρώτου ποδὸς. Τὸ ε', καταληκτικὸν πενθημιμερὲς, ἢ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, ἢ προσοδικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς', ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. ὅ ἐστι φερεκράτειον παρὰ συλλαβήν. Τὸ ζ', ἐπιωνικὸν τρίμετρον καταληκτικόν. ἡ πρώτη συζυγία Ιωνική. ἡ δευτέρα ἰαμβική. εἶτα τροχαῖος, οἰκεῖος τῇ Ιωνικῇ συλλαβῇ. Τὸ η', γλυκώνιον. ὅπερ ἔλυσεν ἐν τῷ. Πέφνε κτέατον ἀμύμονα, ἐννεασύλλαβον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η δὲ ἐπῳδὸς, κώλων ἐννέα. Τὸ πρῶτον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. οὗ ἡ πρώτη συζυγία, ἰαμβική ἐστι, τοῦ δευτέρου ποδὸς ἀναλυομένου. εἶτα χορίαμβος. εἶτα ποὺς ἁπλοῦς. Τὸ β', προσοδιακὸν τρίμετρον ἀκατάληκτον. ὁ πρῶτος, τροχαῖος τοῦ δευτέρου ποδὸς λελυμένου. εἶτα Ιωνικοῦ ἀπὸ μείζονος. εἶτα χοριάμβου. Τὸ γ', ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον λελυμένον. Τὸ τέταρτον, ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον, ἀπὸ ἰαμβικῆς συζυγίας λελυμένον. Τὸ ε', Ιωνικὸν τετράμετρον καταληκτικὸν τοῦ τρίτου παίονος, ἀντὶ τοῦ ἀπ' ἐλάσσονος κειμένου, καὶ τροχαίου καὶ συλλαβῆς. Τὸ ς', ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ Ιωνικοῦ. Τὸ ζ', προσοδικὸν τρίμετρον βραχυκατάληκτον. ἐξ Ιωνικοῦ τοῦ ἀπὸ μείζονος, καὶ ποδὸς ἡμίσεος. Τὸ η', ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ὁ δεύτερος ποὺς, ἀνάπαιστος. ὁ τέταρτος τρίβραχυς. Τὸ θ', Ιωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαϊκῆς συζυγίας.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

Αγησιδάμῳ Λοκρῷ Επιζεφυρείῳ. Εθνη Λοκρῶν εἰσι τρία. Επιζεφύριοι, πρὸς τῇ Ιταλίᾳ. Οζόλαι, πρὸς τῇ Αἰτωλίᾳ. Επικνημίδιοι, πρὸς τῇ Εὐβοίᾳ. ἐνίκησε δὲ παῖδας ὁ Αγησίδαμος τὴν ἑβδομηκοστὴν τετάρτην Ολυμπιάδα.

Metrica vero ratio ita habet:

στροφὴ & ἀντιστροφή.

1. υυ-υ υ--υ --υυ
2. --υ- -υυ- υυ
3. υ-υ- -υυυ --
4. υυυ- -υυυ --
5. --υυ -υυ-
6. υ--υ υ-
7. --υυ υ-υ- υ-υ-
8. υ--υ υ-υ-

ἐπῳδός.

1. υ-υυ υ-υυ --υ
2. υυυ- υ--υ υ-υυ -
3. --υυ υ-υυ υ--υ
4. υ-υυ -υυ- -υυ- -
5. υυ-υ υυ-- --υυ -υυ
6. --υ- υ-υυ -υυ-
7. --υυ -υυ- υυ
8. υ-υυ ---υ υυ
9. -υ-- υυ-

ΑΓΗΣΙ-

ΑΓΗΣΙΔΑΜΩ, ΛΟΚΡΩ † ΕΠΙΖΕΦΥΡΙΩ, ΠΑΙΔΙ, ΠΥΚΤΗ.

ΕΙΔΟΣ Ι'.

AGESIDAMO, LOCRO EPIZEPHYRIO, PUERO, PUGILI.

ODE X.

ARGUMENTUM.

Commendatur Agesidamus Locrensis à patria, ab institutione, & laboribus, quibus ad victoriam pervenit. Hinc digreditur ad bellum Herculis & Augiæ, quo trucidato Hercules Olympia instituit. Primos etiam victores in iis coronatos percurrit. Postea redit ad institutum encomium: & Agesidamum non sine laudum præconio moriturum concludit.

στροφὴ γ'. κώλων η'.

ΤΟΝ Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι
Ἀρχεστράτου παῖδα, πόθι φρενὸς
Ἐμᾶς γέγραπται. Γλυκὺ γὰρ αὐτῷ
Μέλος ὀφείλων, ἐπιλέλαθ'. Ὦ
Μοῖσ', ἀλλὰ σὺ καὶ θυγάτηρ
Ἀλάθεια Διός,
Ὀρθᾷ χερὶ ἐρύκετον ψευδέων
Ἐνιπὰν ἀλιτόξενον·

METAPH.

OLympicum-victorem legite mihi
Archestrati filium, qua-in-parte mentis
Meæ scriptus-sit. Dulcem enim ei
Hymnum debens, oblitus-sum. Sed
Tu O Musa, & filia
Jovis Veritas,
Recta manu arcete mendaciorum
Reprehensionem ob-peccatum-in-hospitem:

PARAPHRASIS.

Revocate mihi in memoriam, & suggerite, ô Musa, tuque Jovis filia Veritas, qua meæ mentis in parte scriptus sit, & firmiter collocatus, Agesidamus Archestrati filius, qui pugilatu vicit Olympia. Etenim oblivioni tradidi me dulce epinicion ipsi debere. Et quia non oblivionis sed mendacii possem insimulari, ac si data opera promissis non stetissem: efficite quæso ne me tanquam mendacii reum reprehendant homines, ob errorem, quem solummodo per memoriæ lapsum commisi in amicum.

NOTÆ.

† Inscript. MSS. ϛ. γ. add. Ἀρχεστράτου. 1 Ἀνάγνωτε] Gl. MS. γ. ὦ φιλέορτοι. 4 Ἐπιλέλαθα leg. MS. γ. 5 Θυγάτηρ] Gl. MS. γ. hab. Ποίησις. Et forsan post Musam invocat Veritatem, quoniam ei, tanquam peculiari numini, poësin suam sacram esse velit. Certe Vates noster nihilo magis delectari videtur, quam studio ea refellendi, quæ alii, ne dicam Homerus, de Diis inhoneste finxerunt. C. 71. leg. Μοῖσα. MS. α. leg. καὶ σὺ transpos. 7 Schol. MS. γ. hab. ἤγουν ἐπιλέλησμαι Ἀγησιδάμου, καὶ γέγονα ῥάθυμος καὶ ἀχάριστος. 8 Ἐνιπάν] Gl. MS. γ. τὴν φωνήν. Ἀλιτόξενον] Gl. MS. γ. τὴν ἐπιδεικτικὴν τῶν ἀνθρώπων, τὴν περιφερομένην. Gl. MS. ϛ. hab. ἁμαρτάνουσαν εἰς τοὺς φίλους.

ΤΟΝ Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι.] ἔοικεν ὁ Πίνδαρος περὶ πολλοῦ συνθέμενος γράψαι αὐτῷ τὸν ἐπινίκιον, ὀλιγωρῆσαι. αὖθις δὲ ἀποδοῦναι αὐτῷ σὺν τόκοις, ὥσπερ τι χρέος παλαιὸν διαλύσασθαι. προσθεὶς ἕτερόν τι ᾠδάριον. τὸ δὲ ἀνάγνωτέ μοι δηλοῖ, ἀναμνημονεύσατε καὶ ἀναγνωρίσατε, ὦ Μοῦσαι, ἐν ᾧ χωρίῳ τῆς φρενός μου, ἐστὶν ὁ Ἀγησίδαμος. ὡς δὲ προδιαθέμενος ἤδη τὸν ἐπινίκιον, νῦν ἀναμνήσεως δεῖν αὐτῷ φησί. Σοφοκλῆς ἐν Τριπτολέμῳ· Σὺ δ' ἐν φρενὸς δέλτοισι, τοὺς ἐμοὺς λόγους. ὁ δὲ νοῦς, ἀναγνωρίσατέ μοι καὶ εἰς μνήμην τὴν ἐμὴν ἀγάγετε τὸν Ὀλυμπιονίκην τὸν τοῦ Ἀρχεστράτου υἱόν. καὶ εἴπατε ἐν ποίῳ μέρει μου τῆς διανοίας κεχάρακται. τρία γὰρ μέρη φασὶν εἶναι τῆς φρενός, λογιστικόν, μνημονευτικόν, καὶ φανταστικόν. καὶ τὸ μὲν λογιστικόν ἐστι, ἐν τῷ ἐγκεφάλῳ. τὸ δὲ φανταστικόν, ἐν τῷ μετώπῳ. τὸ δὲ μνημονευτικόν, μέσον τῶν δύο, ἔχουσι δὲ ἀμφότερα, τό, τε λογιστικὸν καὶ φανταστικόν, ὥσπερ ταμεῖον τὸ μνημονευτικόν. καὶ ἐναποτίθησιν ἐν αὐτῷ, ἅπερ ἐκεῖνο μὲν φαντάζεται. ἐκεῖνο δέ, ἤγουν τὸ λογιστικὸν λογίζεται. ἐκ δὲ τούτου τοῦ μνημονευτικοῦ, ἔχομεν μνημονεύειν ἅπερ ἀνέγνωμεν, καὶ ἅπερ ἐθεασάμεθα. διό τοι τοῦτο καὶ ὁ Πίνδαρος εἶπεν, ἀναγνωρίσατέ μοι, ὦ Μοῖσαι, ἐν ποίῳ μέρει τῆς φρενὸς γέγραπται ἤγουν κεχάρακται, ὁ παῖς τοῦ Ἀρχεστράτου· ἤγουν, ὁ Ἀγησίδαμος. χρεωστῶν γὰρ αὐτῷ ὕμνον γλυκύν, ὦ Μοῦσαι, ἐπελαθόμην. μέχρι τοῦ τὸν Ὀλυμπιονίκαν, ἀπὸ τῆς ἀρχῆς καὶ τοῦ προοιμίου ὁ Πίνδαρος δῆλός ἐστιν, ὅτι περὶ πολλῶν μὲν ἠξίωτο γράψαι. ὑποσχόμενος δὲ νῦν ὡς ἐξ ὑπομνήσεως ἀποδοῦναι βούλεται τὸν ὕμνον. [Ὦ Μοῖσα, ἀλλὰ σὺ καὶ θυγάτηρ.] σὺ τοίνυν, ὦ Μοῦσα, καὶ σὺ τοῦ Διὸς θυγάτηρ Ἀλήθεια, ταῖς ἴσαις καὶ δικαίαις χερσίν, ἀποκωλύσατε καὶ ἀπείρξατε ἀπ' ἐμοῦ, τὴν ἐπίπληξιν καὶ τὴν ἐπιτίμησιν, ἣν ἄν τις εἰς ἐμὲ ποιήσαιτο. ὡς εἰς τὸν ξένον μου καὶ φίλον ἡμαρτηκότα, ὅτι ἐψευσάμην καὶ ἐβράδυνα πληρῶσαι τὸν ὕμνον. Ἀλιτόξενον οὖν ἐνιπὴν φησί, τὴν διαμαρτάνουσαν εἰς τοὺς ξένους. ὅτι ξένου αὐτῷ ὄντος τοῦ Ἀρχεστράτου, ψευσάμενος ἤλιτεν εἰς αὐτόν. ὅ ἐστιν ἥμαρτεν.

[Ὁ μέλ-

ἀντιστροφὴ α'. κώλων η'.

Ἕκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος,
Ἀμὸν κατῄσχυνε βαθὺ χρέος.
Ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖ-
αν ἐπιμομφὰν ὁ Τόκος ἀνδρῶν.
Νῦν ψᾶφον ἑλισσομέναν
Ὅπα κῦμα κατα-
κλύσσει ῥέον; ὅπα τε κοινὸν λόγον
Φίλαν τίσομεν ἐς χάριν;

ΜΕΤΑΦΡ.

Nam e-longinquo adveniens futurum tempus,
Nostrum pudefecit magnum debitum.
Veruntamen solvere potest vehemen-
tem reprehensionem hominum Usura.
Nunc calculum volutatum
Quo-pacto unda obru-
et fluens? quoq;-pacto publici-juris hymnum
Amicam persolvemus ad gratiam?

ἐπῳδὸς α'. κώλων θ'.

Νέμει γὰρ Ἀτρέκεια πόλιν Λοκρῶν
Ζεφυρίων· μέλει τέ σφισι Καλλιόπα,

ΜΕΤΑΦΡ.

Gubernat enim Veritas urbem Locrorum
Zephyriorum: curæque-est illis Calliope,

PARAPHRASIS.

Nam præstitutum illud tempus quo futurum promiseram, ut victorem hymno decorarem, cum jampridem præterierit, indeque magnum huc usque intervallum intercesserit, meum ingens debitum dedecore affecit. Veruntamen si fœnus pro dilatione pendam, scilicet hunc hymnum ut sortem, alterum ut usuram solvendo, me ab illa hominum acerba reprehensione potero liberare. Nunc autem videamus quo pacto, quemadmodum fluctus erumpens, calculos qui volvuntur in littore maris, abluit & obruit: sic etiam maculosum neglecti promissi crimen mea poesi eluere possim quaque ratione commune cum patriæ, tum encomium Olympionicæ amici ad gratiam persolvam. Etenim in Locrorum Epizephyriorum republ. viget candor & veritas, adeo bonis à Zaleuco legibus, est instructa: illique bonarum artium studiis delectantur & sunt bellicosi.

NOTÆ.

9 Ἕκαθεν] Gl. MS. γ. ἀπὸ μακρόθεν. Ἐπελθὼν] Gl. MS. γ. Ἀποφασισμένος. 12 Τόκος] Pindarus intelligit hoc nomine hymnum sequentem, quem etiam Τόκον inscribit, & qui erat qu ὄζος τοῦ ὕμνου τούτου, cujusmodi aliquid hab. Gl. σοῦ γ. 13 Ἑλισσομέναν] Gl. MS. γ. πληθυνομένην. 15 MS. Bodl. leg. --κλύσσει, quo modo etiam Schol. Editt. nonnullæ hab. κατακλύζει, quæ itidem interrogationem non agnoscunt. Λόγον] Gl. MS. γ. τῆς παρούσης ᾠδῆς. 17 Νέμει] Gl. MS. γ. Κυβερνᾷ. Pal. C. leg. hoc κῶλον, Νέμει ἀτρέκειαν πόλις Λοκρῶν. Schol. manifeste pro Textu. 18 Καλλιόπα] Gl. MS. ϛ. ἡ Ποίησις.

[Ο μέλλων χρόνος.] ὁ προσδοκώμενος μετὰ τὴν ὑπόσχεσιν ἐπελθών. καθότι καὶ ἀποδίδωσι τὸν ἐπινίκιον ὁ μελλητικός. ἢ οὕτως. ὁ γὰρ ἐκ πολλοῦ διαστήματος χρόνος παραγενόμενος. τουτέστιν ἀφ' οὗπερ ὑπεσχόμην, πρὸς τοῦτο ἕκαθεν τὸ ἐμὸν χρέος καταισχύνει. οὕτω βαθὺ αὐτὸ καὶ πολὺ ποιήσας χρέος, καὶ αὐξηθησόμενον τόκοις. ἢ οὕτως. ὁ γὰρ ἐπιγενόμενος χρόνος μετὰ τὴν ὑπόσχεσιν πολὺς ὤν, καταισχύνει τὸ ὄφλημα. διὰ δὲ τούτου σημαίνει, ὅτι πολὺς ὁ διὰ μέσου χρόνος διελήλυθεν. εἴπερ ὁ μέλλων χρόνος οὐκ ἐγγύθεν ἀλλὰ μακρόθεν ἐλήλυθεν, ἡνίκα μνησθεὶς, ἐπιτελεῖ τὴν ἐπαγγελίαν. ὁ δὲ νοῦς. οὐδὲ γὰρ ὡρισμένως, οὐδὲ καθὼς ὑπεσχόμην. ἀλλὰ πόῤῥω τῆς προθεσμίας ὁ τότε ὡρισμένος καὶ τότε μέλλων, προσδοκώμενος χρόνος αἰσχύνης ἀξίαν μηνύει μετὰ τὴν ὑπόσχεσιν, καὶ ὀφειλὴν βραδύνας. [Βαθὺ χρέος.] μέγιστον ὄφλημα. τὸν ὕμνον λέγει. [Νῦν ψᾶφον ἑλισσομέναν.] ἀλληγορικῶς ταῦτα λέγει. προσυπακουστέον δὲ ἔξωθεν τοιοῦτό τι, ἴδωμεν, θεωρήσωμεν, μή ποτε κῦμα τὴν ψῆφον δινούμενον, ἐπιῤῥέον κατακλύσῃ. τινὲς δὲ, πρὸς τὸ κατὰ τὸν ὕμνον νοούμενον πνεῦμα. παραβάλλει δὲ ἀλληγορῶν τῷ τῆς θαλάσσης ῥεύματι, τὴν ἑαυτοῦ δύναμιν. ὡς γὰρ ψῆφον παρ' αἰγιαλὸν κυλινδουμένην ἐκβρασσόμενον τὸ κῦμα κατακλύζει, τὸν αὐτὸν τρόπον, φησὶ, κἀγὼ τὴν ἐπικυλιομένην μέμψιν ἐκλύσω, ὡς ψῆφον. ἢ οὕτω. νῦν τὴν τῶν ἀνδρῶν μομφὴν ὥσπερ ψῆφον δινουμένην κατακλύσει τὸ τῶν ὕμνων ῥεῦμα, ὡς κῦμα. ὅπα τὸν κοινὸν λόγον, τουτέστι τὸ ποίημα, πρὸς χάριν ἀποτίσωμεν. [Αλλως.] νῦν σκοπήσωμεν ὅπως τὸ ἡμέτερον κῦμα ῥέον. τουτέστιν ἡ ἡμετέρα ποίησις, κατακλύσῃ τὴν ἑλισσομένην ψῆφον. τουτέστι τὴν καθ' ἡμῶν λοιδορείαν. [Ἑλισσομέναν.] κυλιομένην. [Ὅπα κῦμα.] οἱ μὲν ὅπου. οἱ δὲ ὅπερ. [Κοινὸν λόγον.] ἕτεροι μὲν, τὸν περὶ τῶν πολλῶν λόγον. οἱ δὲ τὸν ὕμνον ἤκουσαν· ἤτοι ὅτι πλείονες αὐτοῦ μεθέξουσι νικηφόροι. ἢ ὅτι διὰ πολλῶν ἔσται στομάτων, ὅπως τὸν ὕμνον ἀποτίσωμεν προσφιλῆ τε καὶ κεχαρισμένον τῷ κομιζομένῳ. [Νέμει γὰρ Ἀτρέκεια πόλιν Λοκρῶν,] ἀντὶ τοῦ, ἔχει νομὴν, καὶ δίδωσιν ἡ πόλις λαβὰς τῶν Λοκρῶν πρὸς ἐγκώμια. διὸ ἐπήνεγκε, μέλει τέ σφισι Καλλιόπα καὶ χάλκεος Ἄρης. καὶ γὰρ καὶ ἐν τῇ μουσικῇ διαφέρουσι, κἂν τοῖς κατὰ πόλεμον. διὸ καὶ ἀφορμὰς δίδωσι τοῖς βουλομένοις. ἢ οὕτω. νέμεται καὶ ἔστιν, ἐν τῇ ἀληθείᾳ. τουτέστι καθ' ἑαυτῆς ἔχει τὴν ἀλήθειαν ἡ τῶν Λοκρῶν πόλις. οὐ δεῖ οὖν, φησὶν, οὐδὲ μέμφεσθαι. τραχεῖα δὲ εἰκότως ἂν λέγοιτο, λοφώδης οὖσα καὶ ἐπιθαλασσίδιος. αὐτὸς γὰρ φησίν· Οἵ τ' ἀργίλοφον πὰρ Ζεφυρίου Κολώναν. καὶ ὃ βούλεται λέγειν, ἔστι τοιοῦτον. καίπερ τραχεῖα οὖσα, εὐνομεῖται. διατί δέ; φησὶν Ἀριστοτέλης. ἐπειδὴ γὰρ ἐχρῶντο τῷ θεῷ πῶς ἂν πολλῆς ταραχῆς ἀπαλλαγεῖεν, ἐξέπεσεν αὐτοῖς χρησμὸς, ἑαυτοῖς νόμους τίθεσθαι. ὅτε καί τις ποιμὴν, ὄνομα δ' ἦν Ζάλευκος, πολλοὺς νόμους δυνηθείη τοῖς πολίταις εἰσενεγκεῖν δοκίμους. γνωσθείς τε καὶ ἐρωτηθεὶς, πόθεν εὕροι; ἔφησεν, ἐνύπνιον αὐτῷ τὴν Ἀθηνᾶν παραστῆναι. διὸ αὐτός τε ἠλευθέρωται, καὶ νομοθέτης κατέστη. οὐκ ἀπὸ σκοποῦ δὲ, μουσικοὺς εἶπε τοὺς Λοκρούς. Λοκριστὶ γάρ τις ἁρμονία ἐστίν. ἣν ἀσκῆσαί φασι Ξενόκριτον τὸν Λοκρόν. [Αλλως. Νέμει γὰρ,] ἀντὶ τοῦ νέμεται. καὶ ἔστιν ἐν τῇ ἀληθείᾳ. τουτέστι, καὶ μεθ' ἑαυτῆς ἔχει τὴν ἀλήθειαν ἡ τῶν Λοκρῶν πόλις. οὐ δεῖ οὖν, φησὶν, οὐδὲ ψεύδεσθαι. [Αλλως. Νέμει γάρ·] τουτέστιν, ἀληθεύει ἡ τῶν Λοκρῶν πόλις. διὸ καὶ ἐμοὶ τὴν πρὸς αὐτοὺς ἀλήθειαν φυλακτέον. ἐπεὶ γὰρ ἀεὶ χαριτός ἐστιν ὁ λόγος, φησὶν, ὅπα τε κοινὸν λόγον τίσομεν ἐς χάριν. ἀπονέμει γὰρ ἡ τραχεῖα πόλις. τινὲς οὕτως. οὐδὲν ἀντιχαρίζεται ἡ Λοκρῶν πόλις. τὸ δὲ φίλαν ἐς χάριν, εἰς χάριν φησὶ τοῦ νενικηκότος. ἵν' ᾖ δῆλον, ὅτι καθαρεῖ καὶ ἀποτείσει τὸ ὄφλημα.

[Τράπε

Καὶ χάλκεος Ἄρης. Τράπε δὲ Κυκνεία
Μάχα καὶ ὑπέρβιον Ἡρακλέα. Πύκτας
Δ᾽ ἐν Ὀλυμπιάδι νικῶν, Ἴλᾳ φερέτω χάριν
Ἀγησίδαμος, ὡς Ἀχιλεῖ Πάτροκλος.
Θήξαις δέ κε φύντ᾽ ἀρετᾷ, ποτὶ
Πελώριον ὥρμασε κλέος ἀ-
νὴρ, Θεοῦ σὺν παλάμᾳ.

Et æneus Mars. Fugavit autem Cycnea
Pugna etiam violentum Herculem. Pugiles
Vero in Olympiade vincens, Ilæ habeat gratiam
Agesidamus, sicut Achilli Patroclus.
Acuens autem virum virtute, ad
Ingens evexit decus vir *ali-*
us, Dei cum auxilio.

Στροφὴ ϛ'. κώλων η'.

Μεταρη.

Ἄπονον δ᾽ ἔλαβον χάρμα παῦροί τινες,
Ἔργων πρὸ πάντων βιότῳ φάος.
Ἀγῶνα δ᾽ ἐξαίρετον ἀεῖσαι
Θέμιδες ὦρσαν Διὸς, ὃν ἀρχαί-
ῳ σάματι πὰρ Πέλοπος

At sine-labore ceperunt gaudium pauci aliqui,
Operibus præ omnibus vitæ lumen.
Certamen autem eximium canere
Jura incitarunt Jovis, quod anti-
quum juxta sepulchrum Pelopis

PARAPHRASIS.

Non mirum autem si in certamine principio languidus fuerit Agesidamus, cum etiam Heroum fortissimus Hercules à Cycno, illo qui peregrinos per Italiam transeuntes obtruncare solebat, quorum ex capitibus Marti templum conderet, fugatus retrocesserit. Quod si denuo resumptis viribus certarit, & Olympia vicerit, eam victoriam Ilæ unctori acceptam ferat, à quo in novas vires est erectus Agesidamus, eique gratiam habeat ut Achilli Patroclus, qui quod in ejus armis esset, fugatos à se Trojanos agnovit. Ita vir qui virum ad virtutem natum præceptis acuit, eum Dei cum auxilio ad ingens decus provehit, non sine labore. Nemo autem sine labore lætam victoriam reportavit unquam, ex qua præ omnibus operibus lumen & splendorem caperet. Cæterum tempus illud quinquennale, quo ex lege institutionis celebrantur Olympia, monet me ut eximium hoc Jovis certamen canam, quod Pisis, ubi antiquum est Pelopis

NOTÆ.

19 Τράπε δὲ] Hanc pugnam describit Hesiodus in Scuto Herculis, licet fugæ non meminerit, item Pausan. in Att. 21 Ἴλᾳ] Alii leg. Ἴλᾳ. Schol. vero Ἰόλᾳ. Ita & Ald. & Pal. C 22 Ἀχιλλεῖ leg. MSS. & Editt. nonnullæ. 23 Alii hab. Φύντ᾽ ἀρετᾷ, qu. Natum virtuti; quam lectionem secutus est Schol. sane non spernendam, modo auctoritate Codd. optimorum firmaretur, quod tamen non constat. 27 Ἔργων πρὸ πάντων] Æmil. Portus vertit, Operibus in omnibus, à quo non longe abest Schol. Νεωτ. qui interpretatur ἀπὸ τῶν ἔργων, i. e. ex operibus; sed neuter vim particulæ penitus expressit. MS. C. 71. leg. ἔργῳ. Nec dubium quin ita legenti sensus sit facilis, æque ac vocum constructio. Pauci enim isti, qui victores sunt, opere suo præclaro faciunt, ut præ omnibus cæteris illustrem & gloriosam vitam transigant. Græci utuntur τῷ ἔργον ἐστί. pro, Difficile est, quod Latine expressit Virgil. -- *Hoc opus est*, & quod maxime huc quadrat, ἐν ἔργῳ Thucydidi est. In ipsa conflictione decertantium. Sed & alibi Poëta noster hac voce designat certamen, uti ex Indice constat. 29 Θέμιτες leg. alii. 30 Πὰρ] Schol. MS. ϛ. hab. Σύναψιν τὸ παρὰ, μετὰ τοῦ ἀρχαίῳ σήματι.

[Τράπε δὲ Κυκνέα μάχη.] ἐτράπη δὲ καὶ ὑπεχώρησεν ἐν τῇ πρὸς τὸν Κύκνον μάχῃ, ὁ μέγιστος Ἡρακλῆς παρορμήσαντος Ἄρεος τὸν Κύκνον. ἐμαχέσατο δὲ Ἡρακλῆς, ὅτι κακόξενος ἦν Κύκνος. καὶ ἐν παρόδῳ τῆς θαλασσίας οἰκῶν, ἀπεκαρατόμει τοὺς παριόντας, ναὸν τῷ Ἀπόλλωνι βουλόμενος ἐκ τῶν κεφαλῶν οἰκοδομῆσαι. καὶ αὐτῷ παριόντι ἐπιβουλεῦσαι ἠθέλησε. συστάσης οὖν αὐτοῖς μάχης, ἐφυγάδευσεν Ἡρακλῆς· συμβαλλομένου Ἄρεος τῷ παιδὶ Κύκνῳ. ἀλλ᾽ ὕστερον Ἡρακλῆς καὶ τοῦτον ἀπέκτεινε. Στησίχορος ἐν ἐπιγραφομένῳ Κύκνῳ ἱστορεῖ. τοι γάρ τοι διὰ τό, καὶ τὸν Ἀγησίδαμον ἀπολήγοντα ἤδη ὑπὸ Ἰολάου ἀλείπτου ἀνερρῶσθαι, εἰκότως ταῦτα ἐπηγάγετο. ἐχέτω οὖν φησὶ τῷ Ἰόλᾳ Ἀγησίδαμος χάριν, ὡς Ἀχιλλεῖ Πάτροκλος, παρορμήσαντι εἰς τὸν πρὸς τοὺς βαρβάρους πόλεμον. [Ἴλᾳ φερέτω χάριν.] οὕτω φησὶ τῷ Ἰόλᾳ χάριν ἐχέτω ὁ Ἀγησίδαμος, ὥσπερ Πάτροκλος τῷ Ἀχιλλεῖ. τοῖς γὰρ ὅπλοις ἠρίστευσε τοῖς ἐκείνου. [Ἄλλως.] ὡς Ἡρακλέα τραπέντα ἀνέρρωσεν ἡ Ἀθηνᾶ, οὕτω καὶ τὸν Ἀγησίδαμον ὁ Ἰόλας. φερέτω οὖν χάριν, ἤτοι ἐχέτω χάριν τῷ Ἴλᾳ Ἀγησίδαμος πύκτης, ὡς Πάτροκλος τῷ Ἀχιλλεῖ. τοῖς γὰρ ὅπλοις ἠρίστευσε τοῖς αὐτοῦ. [Φύντ᾽ ἀρετᾷ.] τὸν φύντα πρὸς ἀρετήν. [Σὺν θεοῦ παλάμᾳ.] παροξύνας τις πρὸς μέγα κλέος ὁρμῆσαι ποιήσειεν. [Ἄπονον δ᾽ ἔλαβον χάρμα παῦροί τινες.] ὀλίγοι μὲν οὖν φησιν μετὰ πόνου ἔλαβε τὴν νίκην. ὀλίγοι δέ εἰσιν οἱ χωρὶς πόνου νικήσαντες. ἢ οὕτως. οὐδένες χωρὶς πόνου χαράν τινος ἔσχον ἔργου. ἢ οὐδένες πρὶν ἐνεργῆσαι νικῶσί τι. ἡ δὲ νίκη τῷ βίῳ αὐτῶν ἐστι φάος.

[Ἀγῶνα δ᾽ ἐξαίρετον.] ἐμὲ δὲ παρώρμησαν αἱ τοῦ Διὸς θέμιδες ὑμνῆσαι τοῦτον τὸν ἀγῶνα. θέμιδες δὲ Διὸς, ὁ κατὰ θεσμὸν τῆς πενταετηρίδος πληρωθεὶς χρόνος. ἢ οὕτως. ἐμὲ προτρέπουσιν αἱ Διὸς θέμιδες ᾆσαι τὸν ἀγῶνα τὸν ἐξαίρετον τοῦ Διὸς τὸν ἐν Ὀλυμπίᾳ. [Ἄλλως.] τὸ ἑξῆς, ἀγῶνα Διὸς θέμιτες ὦρσαν· ἐπεὶ μετὰ δικαιοσύνης ἀγωνίζονται, ἀντὶ τοῦ θέμιδες. Δωρικὴ δὲ ἡ κλίσις. Ὅμηρος· Θέμιτι δὲ καλλιπαρῄῳ [Ὃν ἀρχαίῳ.] τὸ μνῆμα τοῦ Πέλοπος τὸ αὐτὸ τῷ βωμῷ. οὐ γὰρ ἐτέρωθι μὲν ὁ Πέλοψ, ἑτέρωθι δὲ ὁ βωμός, ἀλλ᾽ ἓν καὶ τὸ αὐτὸ χωρίον ἐστὶ, σῆμα καὶ βωμός. ἐξάριθμον δὲ, ἐπεὶ τῶν δώδεκα θεῶν ἓξ βωμοὺς κατεσκεύασεν. ὁ δὲ νοῦς. ὅν τινα ἀγῶνα πλησίον τοῦ ἀρχαίου σήματος, καὶ τάφου, ἓξ βωμῶν ἀριθμὸν ἔχοντα, ἕκτον βωμὸν ἱδρύσατο καὶ κατεσκεύασεν Ἡρακλῆς, ἡνίκα τοὺς τοῦ Ποσειδῶνος ἀνεῖλε παῖδας, Κτέατον καὶ Εὔρυτον, ἵνα δυνηθῇ τὸν ὑπηρεσίας μισθὸν κομίσασθαι παρὰ τοῦ Αὐγείου πλεῖστον ὄντα, καὶ παρὰ ἄκοντος αὐτοῦ ἑκών. ἐλάττωσε γὰρ αὐτῷ ὁ Ἡρακλῆς ἐκφορήσας τὴν ἐν τῇ αὐλῇ κόπρον. ὑπέρβιον δὲ, τὸν πολύν. ἀνεῖλεν οὖν τοὺς Μολιονίδας ὁ Ἡρακλῆς, ἵν᾽ εἰσπράξηται τὸν Αὐγέαν. ὅτι ἐν τῷ πρὸς Αὐγέαν πολέμῳ Ἡρακλῆς ὑπὸ τῶν Μολιονίδων ἁλοὺς, ἔφυγε. διὸ μηνίσας αὐτοῖς, τὸν περὶ Κλεωνὰς συνεστήσατο λόχον, φησὶ Μνασέας ὁ Παταρεύς. [Ἄλλως.] Κτέατος καὶ Εὔρυτος, ἀδελφοὶ, τῷ μὲν λόγῳ, Ἄκτορος καὶ Μολιόνης· τῇ δὲ ἀληθείᾳ, Ποσειδῶνος καὶ Μολιόνης. οὗτοι συνεστρατεύσαντο Αὐγείᾳ. καὶ ἐπειδὴ εἰς τὸν μισθὸν τῆς ἐκχύσεως τοῦ ὄνθου ἠδικεῖτο Ἡρακλῆς, ἀποκαθάρας μὲν τὴν κόπρον,

Βίη Ἡρακλέος
Ἐκτίσατο, ἐπεὶ Ποσειδάνιον
Πέφνε Κτέατον ἀμύμονα,

ἀντιστροφὴ β΄. κώλων ια΄.

Πέφνε δ' Εὔρυτον, ὡς Αὐγέαν λάτρειον
Ἀκονθ' ἑκὼν μισθὸν ὑπέρβιον
Πράσσοιτο. Λόχμαισι δὲ δοκεύσαις
Ὑπὸ Κλεωνᾶν δάμασε καὶ κεί-
νους Ἡρακλέης ἐφ' ὁδῷ·
Ὅτι πρόσθε ποτὲ
Τιρύνθιον ἔπερσαν αὐτῷ στρατὸν,
Μυχοῖς ἀμμένον Ἄλιδος,

ἐπῳδὸς β΄. κώλων θ΄.

Μολίονες ὑπερφίαλοι. Καὶ μὰν
Ξεναπάτας Ἐπειῶν βασιλεὺς, ὄπιθεν
Οὐ πολλὸν, ἴδε πατρίδα πολυκτέανον
Ὑπὸ στερεῷ πυρὶ, πλαγαῖς τε σιδάρου,
Βαθὺν εἰς ὀχετὸν ἄτας ἵζοισαν ἑὰν πόλιν.

Vis Herculea
Instituit, postquam Neptunium
Interfecit Cteatum inculpatum,

Μεταφρ.

Occiditque Eurytum, ut *ab* Augea famularem
Nolente volens mercedem violento
Exigeret. *In* frutetis autem insidiatus
Sub Cleonis domuit & il-
los Hercules in via:
Quoniam antea olim
Tiryntium profligaverant ipsi exercitum,
In recessibus sedentem Elidis,

Μεταφρ.

Moliones arrogantissimi. Et sane
Hospitum-deceptor Epeorum Rex, postea
Non multum, vidit patriam divitem
Sub valido igni, ictibusque ferri,
Profundo gurgite noxæ sedentem urbem.

Paraphrasis.

sepulchrum, potens Hercules instituit, postquam Neptuni & Moliones filios, inculpatum nimirum Cteatum occidit, occidit & Eurytum, quo facilius mercedem exigeret ab Augia superbo: qui decimam quamque vaccam pro fimi purgatione promissam reddere nolebat. Illos autem ex insidiis circumvenit Hercules, in saltibus sub Cleonis Argolica civitate, & in via interceptos interemit: ut etiam prius acceptam ab ipsis injuriam ulcisceretur: quum Moliones illi filii auxilio venientem ex Tirynthe exercitum in recessibus Elidis sedentem perdiderunt: ubi Heroes præstantissimi Telamon, Chalcodon, & Iphicles occubuerunt. Paulo autem postquam Molionides isti superbi cæsi fuerunt, rex ille Eleorum Augias erga hospitem perfidia usus, vidit patriam possessionibus abundantem diripi, ferro flammisque vastari; & in profundam calamitatis abyssum devolvi Phycteum civitatem in qua habitabat.

NOTÆ.

31 Βίη] Gl. MS. β. Δύναμις. C. 71. leg. Ἡρακλέως. 32 Ποσειδάνιον commune hab. MSS. Bodl. & α. MS. γ. conjungit κῶλα 32, 33. 34 Λάτρειον] Gl. MS. γ. Δεδουλευμένον. 37 Κλεωνᾶν leg. MSS. β. γ. uti sæpissime, commune pro Dorico. 41 Steph. leg. μυχεῖσιν. MSS. Bodl. α. β. γ. Ald. & Pal. B. habent ἀμμένον. Pal. C. ἥμενον. Lonicer. reddidit, Cunctantem. 42 Ὑπερφίαλοι] Gl. MS. γ. Ἄδικοι. 43 Ὄπιθεν leg. MSS. Bodl. α. β. γ. 44 Πολυκτέανον] Gl. MS. γ. Πλούσιον. 46 Ἵζοισαν] Gl. MS. γ. Καθημένην.

κόπρον, ἀποστερούμενος δὲ τοῦ συμφωνηθέντος μισθοῦ, λοχήσας ἐν Κλεωναῖς τοῦ Ἄργους ὁ Ἡρακλῆς, ἀνεῖλεν, ἵν' εὐαλωτότερος αὐτῷ μονωθεὶς ὁ Αὐγείας γένηται. ἦν δὲ ὁ μισθὸς, ἡ δεκάτη τῶν βοῶν· ἀνεῖλεν οὖν τοὺς Μολιονίδας ὁ Ἡρακλῆς, ἵν' εἰσπράξηται τὸν Αὐγείαν. λάτρειον δὲ μισθὸν, τὸν ἀντὶ τῆς λατρείας καὶ ὑπηρεσίας. [Λόχμαισι δὲ δοκεύσαις.] δασέσι τόποις. ἐπιτηρήσας γὰρ αὐτοὺς ἐν τοῖς συνδένδροις τόποις τῶν Κλεωνῶν, ἀνεῖλεν, ἐνεδρεύσας καὶ λοχήσας. διότι πρότερόν ποτε τὸ στράτευμα αὐτοῦ, τὸ ἐκ τῶν Ἀργείων ἐν τῇ πόλει τῶν Ἠλείων καθεζόμενον ἐπολέμησαν αὐτοὶ οἱ ὑπερήφανοι παῖδες τῆς Μολιόνης. [Ὑπὸ Κλεωνᾶν.] Δωρικῶς, ὑπὸ Κλεωνῶν. ἔστι δὲ ὄνομα πόλεως Ἀργολικῆς. τινὲς δὲ, δῆμον Λακωνικόν. ἐδάμασε δὲ Εὔρυτον καὶ Κτέατον ἀποκτείνας αὐτοὺς πορευομένους ἐπὶ τὸν Ἰσθμιακὸν ἀγῶνα· ἤτοι ἀπέκτεινεν αὐτούς. ἐφ' ὁδῷ δὲ, ἀντὶ τοῦ λόχῳ. καὶ ὁδὸν ἐλθόμενον, ἀντὶ τοῦ ἐνέδραν ἐλθεῖν. ἀπέκτεινε δὲ αὐτοὺς πορευομένους εἰς τὸν Ἰσθμιακὸν ἀγῶνα. τὸ δὲ ὅτι πρόσθε ποτὲ, τὴν αἰτίαν ἀποδιδοὺς τοῦ γεγενημένου ὁ Πίνδαρός φησι. [Ὅτι πρόσθε ποτὲ Τιρύνθιον.] τουτέστιν ὅτι πολλοὺς συστρατεύσαντας αὐτῷ, ἀπέκτειναν. οἱ δὲ ἀποθανόντες ἐν τῇ μάχῃ, Τελαμὼν, Χαλκώδων, καὶ Ἰφικλῆς ὁ πρεσβύτατος αὐτοῦ ἀδελφός. [Ἄλλως.] Τιρύνθιον, ἀντὶ τοῦ Ἀργεῖον. Τίρυνς γὰρ πόλις Ἄργους. ὅτι δὲ ἐν τῷ πρὸς Αὐγείαν πολέμῳ, ὁ Ἡρακλῆς ὑπὸ τῶν Μολιονίδων ἁλοὺς, ἔφυγε. διὸ μηνίσας αὐτοῖς, τὸν περὶ Κλεωνὰς συνεστήσατο λόχον, φησὶ Μνασέας ὁ Παταρεύς. [Ὡς Αὐγέαν.] τὸ ὡς, ἀντὶ τοῦ ἕως. [Καὶ μὰν ξεναπάτας βασιλεύς.] ξεναπάτην αὐτὸν φησὶ, διὰ τὴν τοῦ μισθοῦ ἀγνωμοσύνην. ἀλλὰ μὴν καὶ ὁ περὶ τοὺς φίλους ἀπατηλὸς Αὐγείας, ὁ τῶν Ἠλείων βασιλεὺς, ἐθεάσατο οὐ πολὺ ὕστερον τὴν ἑαυτοῦ πατρίδα, εἰς πλῆθος κακῶν ἐμβαλλομένην. τοῦτο μὲν, πυρί· τοῦτο δὲ, σιδήρῳ. καὶ εἰς ῥεῦμα ἄτης ἐγκαθίσασαν. [Πλαγαῖς τε σιδάρου.] διὰ τὸ κατασκάπτεσθαι ὑπὸ τῶν σκαφέων. [Βαθὺν ἐς ὀχετὸν ἄτας.] κατὰ περίφρασιν ἄτην, εἰς ῥεῦμα ἄτης ἐμπεσοῦσαν. ἵζοισαν δὲ, ἐπικαθημένην. τὴν πόλιν δὲ καλεῖσθαί φασι Φύκτεον, ἀπό τινος Φυκτέως, οὗ μέμνηται καὶ Ἡσίοδος οὕτω· Τὴν δ' Ἀμαρυγκείδης Ἱππόστρατος ὄζος Ἄρηος, Φυκτέος ἀγλαὸς υἱὸς Ἐπειῶν ὄρχαμος ἀνδρῶν.

[Νεῖκος

Νεῖκος δὲ κρεσσόνων ἀποθέσθ᾽ ἄπορον.	Sed contentionem meliorum amoliri difficile.
Κἀκεῖνος ἀβουλίᾳ, ὕστατος	Et ille temeritate, postremus
Αλώσιος ἀντήσας, θάνατον	Expugnationi obviam-factus, mortem
Αἰπὺν οὐκ ἐξέφυγεν.	Gravem non effugit.
στροφὴ γ'. κώλων η'.	Μεταρη.
Ο δ᾽ ἄρ᾽ ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν,	Hic sane in Pisa cum-coegisset totasq; copias,
Λεΐαν τε πᾶσαν, Διὸς ἄλκιμος	Prædamque omnem, Jovis robustus
Υἱὸς, σταθμᾶτο ζάθεον ἄλσος	Filius, dimetiebatur divinissimum lucum
Πατρὶ μεγίστῳ· περὶ δὲ πάξαις,	Patri maximo: circumsepsit autem,
Αλτιν μὲν ὅγ᾽ ἐν καθαρῷ	*Et* Altin quidem ille in libero *loco*
Διέκρινε· τὸ δὲ	Segregavit: at *in*
Κύκλῳ πέδον ἔθηκε δόρπου λύσιν,	Circuitu aream fecit cœnæ diversorium,
Τιμάσαις πόρον Αλφεοῦ,	Veneratus meatum Alphei,
ἀντιστροφὴ γ'. κώλων η'.	Μεταρη.
Μετὰ δώδεκ᾽ Ανάκτων Θεῶν, καὶ πάγον	Cum duodecim Regibus Diis, & collem
Κρόνου προσεφθέγξατο· πρόσθε γὰρ	Saturnium appellavit: antea enim

PARAPHRASIS.

Ex quibus discimus fieri non posse ut deterior potentioris vim effugiat. Postea etiam ipse præ temeritate, ultimus in patriæ excidio occurrens, mortem gravem non declinavit. Protinus confecto bello, quum universum exercitum, omnemque prædam Pisis contraxisset strenuus ille Jovis filius Hercules, patri Deorum maximo metitus est divinum lucum: circumseptumque templum puro in loco separavit, statuitque ut ejus ambitus, diversorium esset certantium, in quo cibum sumerent: & Alpheum honore prosequutus est, eum connumerando inter duodecim Deos, quibus dicatæ erant sex aræ. Quarum sedem, Saturnium collem, à Saturno Deorum patre nominavit.

NOTÆ.

47 Κρεσσόνων] Gl. MS. γ. Ανδρειοτέρων. 48 Ald. & Pal. C. leg. ἀβουλίαις, contra metrum. 50 Θάνατον οὐκ ἐξέφυγεν] Pausanias tamen lib. 5. Herculem Augeæ pœnam remisisse scribit. 51 Alii hab ἔλσας. 52 Λεΐαν] Gl. MS. γ. Αἰχμαλωσίαν. 53 Σταθμᾶτο] Gl. MS γ Κατεμοίραζε. 55 Αλτιν] Αλσος, παραποιήσαντες τὸ ὄνομα, ἄλτιν ἐκ παλαιοῦ καλοῦσι. Pauf. in El 1. ubi &, apud Pind. in Ol nomen esse τοῦ χωρίου, ait. Alii leg. Αλιν seu Ηλιν· & sane MS. Bodl. τὸ α circumflectit, uti in voce Αλιν fieri solet. MSS. nostra leg. ὅ δ᾽ ἐν Καθαρῷ] h. e. vacuo, uti supra.

[Νεῖκος δὲ κρεσσόνων.] παραφράζει τὸ Ομηρικὸν· Κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χέρηϊ. ὅ ἐστι, τὸ τῶν κρεισσόνων νεῖκος, οὐ ῥᾴδιον ἀποθέσθαι. ἐπὶ γὰρ τοῖς κρείττοσι κεῖται, τὸ ὅτε θέλουσι πολεμεῖν. [Αλλως.] ἀδύνατον γάρ ἐστι τῷ ἥττονι, τὸ τῶν ὑπερεχόντων κράτος ἐκκλῖναι. [Κἀκεῖνος ἀβουλίαις.] ὁ γοῦν Αὐγέας διὰ τὴν οἰκείαν ἄνοιαν περὶ τὰ τελευταῖα τῆς ἁλώσεως περιτυχὼν τῷ Ηρακλεῖ, οὐκ ἠδυνήθη τὸν μέγιστον καὶ χαλεπώτατον θάνατον ἐκφυγεῖν. [Ο δ᾽ ἄρ᾽ ἐν Πίσᾳ ἔλσαις] ἐν χωρίῳ τινὶ χωριζομένῳ τῆς Ολυμπίας κατὰ τὴν τῶν γεωγράφων βίβλον, σταδίους τριακοσίους. ὁ δὲ νοῦς. ὁ δὲ δὴ τοῦ Διὸς ἰσχυρότατος υἱὸς Ηρακλῆς, συναγαγὼν καὶ καθαρῶν ἐν τῇ Πίσᾳ· ἤτοι τῇ Ηλιδι τὸν ὅλον αὐτοῦ στρατὸν καὶ τὴν πᾶσαν λεΐαν, οὕτω λοιπὸν κατεσκεύαζε τὸ θεῖον τοῦ Διὸς ἄλσος. [Αλλως. Εν Πίσᾳ ἔλσαις.] συγκλείσας. καθαρῶν. καθιδρύσας. [Σταθμᾶτο.] κατεμερίζετο. περιώριζε. περιεσκέπετο, ἢ κατεσκεύαζεν. ἄλσος δὲ, τὸ ἀνιερωμένον τῷ θεῷ γῆς μέρος εἰ καὶ ψιλὸν εἴη φυτῶν. [Περὶ δὲ πάξαις,] περιπήξας φησὶν ὁ Ηρακλῆς κύκλῳ τὰ ὅπλα, ἐσταθμᾶτο τῷ πατρὶ τῷ μεγίστῳ τὸ ἱερὸν, ἀντὶ τοῦ κατεβάλλετο. ἄλτιν δὲ τὸ ἄδυτον· κατὰ δέ τινας τὸν ναὸν, κατὰ δὲ ἐνίους, ὄνομα χωρίου. γράφεται δὲ καὶ Αλιν, ἵν᾽ ᾖ, τὴν μὲν Ηλιν καθιέρωσε τῷ θεῷ. τὸν δὲ κύκλῳ τόπον αὐτοῦ, εἰς συμπόσιον ἐποίησεν. [Αλτιν μὲν ὅγ᾽ ἐν καθαρῷ διέκρινε.] τὴν μὲν Ηλιν ἢ Αλτιν, καθιέρωσε τῷ θεῷ. τὸ δὲ χωρίον τὸ κύκλῳ τοῦ ναοῦ καταλυτήριον ἔταξεν εἶναι τῶν ἀγωνιζομένων εἰς εὐωχίαν. τὸ δὲ ὅλον, περιπήξας δὲ καὶ περιφράξας τόπον, τὸν μὲν ναὸν καὶ τὸ ἄδυτον αὐτὸ διεχώρισεν ἐν τῷ καθαρωτάτῳ μέρει, ἀνὰ τὸ μεσαίτατον. τὸ δὲ εἰς κύκλον τῆς γῆς ἢ τοῦ νεὼ, καταγώνιον ἐποίησε καὶ δειπνητήριον τῶν ξένων. [Αλλως.] Αρισόδημος γράφει ἀντὶ Αλιν, Αλτιν. οὕτω γὰρ τὸν περὶ τὴν Ολυμπίαν τόπον καλεῖσθαι. καὶ τὸν Δία ἐξ ἐπιθέτου, Αλτιον. μὴ γὰρ λόγον ἔχειν τὴν ὑπ᾽ αὐτοῦ πεπορθημένην Ηλιν, ἱερὰν καὶ καθαρὰν ποιῆσαι. ἀλλὰ μηδὲ ἱερὸν εἶναι Διὸς ἐν Ηλιδι, ἀλλ᾽ ἐν Πίσῃ. ἀποκεῖσθαι δὲ τὴν Πίσαν τῆς Ολυμπίας, σταδίους ἕξ. Δίδυμος δὲ κατὰ χώραν ἰὼν τὴν γραφὴν, τὸν Πίνδαρον τὴν Πίσαν, Ηλιν λέγειν φησίν. οἱ γὰρ Ηλεῖοι ὑφ᾽ ἑαυτοὺς ποιησάμενοι τοὺς Πισαιάτας, Ηλιν τὴν Πίσαν μετωνόμασαν. εἰ οὖν ἡ Πίσα μετέβαλε, τί ἂν εἴη ἐμποδὼν γράφειν Αλιν. καὶ Καλλίμαχος δὲ τὴν Ηλιν, ἀντὶ τῆς Πίσαν, Διὸς οἰκεῖον εἶπεν· Ηλιν ἀνάσσεσθαι Διὸς οἰκίον, ἔλιπε Φυλεῖ. ἱερὰν δὲ τὴν Ηλιν, ἀντὶ τῆς Πίσαν. καὶ τὸν ἐν Πίσῃ δὲ Δία, Ηλεῖον εἶπε Καλλίμαχος· Αλεῖος ὁ Ζεύς. [Τιμάσαις πόρον Αλφεοῦ, μετὰ δώδεκ᾽ Ανάκτων θεῶν.] καὶ γὰρ αὐτὸς ἐγκαταριθμεῖται τοῖς ιβ'. θεοῖς. καὶ ὁ ἐν Ολυμπίᾳ βωμὸς, οὐ δύναται ἐξ ἄλλου ὕδατος γίνεσθαι, εἰ μὴ ἐκ τοῦ Αλφειοῦ. [Αλλως.] Αλφειῷ εἰκότως, ὡς ἐγχωρίῳ ἔθυσε ποταμῷ, μετὰ δὲ τῶν δώδεκα θεῶν τοὺς βωμοὺς ἐποίησε. βωμοὺς γὰρ ἵδρυσε διδύμους ἕξ. ἐπωνόμασέ τε τοῦτον τὸν τόπον, πάγον Κρόνου. τὸ πρότερον γάρ φησιν, οὐδεμίαν εἶχε προσηγορίαν. ἕως ἐβασίλευσεν ὁ Οἰνόμαος. ἀλλὰ κρημνὸς οὖσα καὶ ἀβίκητος, ἐξέκειτο τοῖς πολλοῖς ὑετοῖς καὶ ὄμβροις. [Αλλως.] τὸ, βρέχετο, ἀντὶ τοῦ κατεσιωπᾶτο φησί. συνήθως γὰρ τὸ βρέχεσθαι, ἐπὶ τοῦ σιωπᾶσθαι τίθησι. καὶ ἀλλαχόσε· Μνᾶ γὰρ βρεχέσθω. τινὲς δὲ οὕτως, ἐκρύπτετο νιφάδι· τῇ περὶ τὸν Οἰνόμαον ἀδοξίᾳ. [Αλλως. Τιμάσαις πόρον Αλφεοῦ.] τουτέστι, πρώτη † τῷ Αλφειῷ ἔθυσεν ὡς ἐντοπίῳ θεῷ. [Μετὰ δώδεκ᾽ Ανάκτων] ἀντὶ τοῦ σὺν δώδεκα θεοῖς. [Καὶ πάγον Κρόνου.] Κρόνιον πάγον προσηγόρευσεν.

† Ed. Brub. ad marg. πρῶτον.

Νώνυμος, ἇς Οἰνόμαος ἆρχε,
Βρέχετο πολλᾷ νιφάδι. Ταύτᾳ
Δ' ἐν πρωτογόνῳ τελετᾷ
Παρέσταν μὲν ἄρα
Μοῖραι σχεδὸν, ὅ,τ' ἐξελέγχων μόνος
Ἀλάθειαν ἐτήτυμον

Ignobilis, quo *tempore* Oenomaus imperabat,
Rigabatur multa nive. Hac
Vero in primogenita celebritate
Adſtiterunt quidem ſane
Parcæ prope, quodque arguit ſolum
Veritatem certam

ἐπῳδὸς γ'. κώλων θ'.

Χρόνος. Τὸ δὲ σαφανὲς ἰὼν πόρσω
Κατέφρασεν, ὅπα τὰν πολέμοιο δόσιν
Ἀκρόθινα διελὼν ἔθυε· καὶ πεντα-
ετηρίδ' ὅπως ἄρα ἔστασεν ἑορτάν·
Ἐν Ὀλυμπιάδι πρώτᾳ νικαφορίαισί τε,
Τίς δὴ ποταίνιόν γε λάχε στέφανον,
Χείρεσσι, ποσίν τε καὶ ἅρμασιν,
Ἀγώνιον, ἐν δόξᾳ θέμενος,
Εὖχος ἔργῳ καθελών.

METAPH.

Tempus. Certitudinem vero procedens ultra
Enarravit *poſteris*, ubi *ſcilicet* belli munus
Spolia partitus immolarit: & quinquenna-
lem quomodo inſtituerit feſtivitatem:
In Olympiade prima victoriæq; adeptionibus,
Quis recentem ſorte-accepit coronam,
Manibus, pedibuſque & curribus,
Certatoriam, in honore conſtitutus,
Gloriationem opere *adverſariis* detrahendo.

στροφὴ δ'. κώλων η'.

Στάδιον μὲν ἀρίστευσεν εὐθύδρομον,

METAPH.

Stadium quidem vicit recto-curſu,

PARAPHRASIS.

Nam antea ignobilis erat regio in qua regnabat Oenomaus: necdum ſtructis ibi aris, deſertus ille collis non niſi multa nive conſperſus occupabatur. Cæterum huic primæ Olympiorum inſtitutioni, primæque celebritati interfuerunt Parcæ, & Tempus Veritatis parens; ille ut fœlicitatem: hoc ut diuturnitatem ludis illis impertiret, quo non ſolum fœlices, ſed etiam diuturni redderentur. Illud autem tempus longo progreſſu, poſteris pro certo declaravit, ubi Hercules diviſorum Augiæ devicti ſpoliorum primitias Diis obtulerit: & quomodo Olympia, quinto quoque anno deinceps celebranda, in celebritate prima, primiſque victoriis inſtituerit, Quis autem ô Muſa, in hoc recens inſtituto certamine primam ſortitus eſt coronam, reportata victoria, pugilatu, pedum celeritate, & curruum agitatione gloriam ſibi adipiſcendo, & re bene geſta, gloriationem ex ſucceſſu certaminis promanantem, antagoniſtæ detrahendo? Oeonus quidem Licymnii filius

NOTÆ.

61 Νώνυμος leg. MSS. Bodl. & Pal. A. & Schol. Νιωτ. Quo autem ſenſu apud eum vide. Alii leg. commune ἇς. 63 Τελετῇ. γ. 67 Ἰών] Gl. MS. γ. Πορευόμενος. 68 Πολέμου δὲ δόσιν hab. MSS. noſtra, & Codd. plurimi. Δόσιν] Gl. MS. γ. Κερδοσύνην. 69 Διελών] Gl. MSS. ϛ. γ. Διαμερίσας. 72 Ποταίνιον] Gl. MS. γ. Ἔνδοξον. Credidit forſan ille Gloſſographus ab αἶνος & αἰνέω laus & laudo, derivari ποταίνιον. Etymol. ab αἶνος verbum, & ποτὶ idem ac πρὸς Dorice. Alii à νέος deducunt. Sed quicquid fiat de Etymo, vox hic ſaltem vertenda eſt, Novam, vel Primam. Λάβε leg. Schol. niſi ſit erratum, vel ipſius emendatio; poteſt etiam eſſe explicatio τοῦ λάχε. 73 Ἅρματι leg. Pal. C. Nec prorſus improbes hanc lectionem, ſi cogites hic loqui Poëtam de eo, in ſingulari numero, quiſquis fuit primus Ὀλυμπιονίκης. Forſan tamen tanta diligentia manui criticæ, non vero Poëtæ, debetur. 76 Εὐθύτονον leg. Codd. MSS. aliique plurimi.

[Ἃς Οἰνόμαος,] ἀντὶ τοῦ ἕως. καὶ ἔστιν ἐπίῤῥημα χρονικόν. [Ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ.] ἐν δὴ ταύτῃ τῇ πρώτῃ καταβολῇ τῶν Ὀλυμπίων, καὶ πρώτῃ τελουμένῃ ἑορτῇ, παρέσαν μὲν, παρεγένοντο μὲν αἱ Μοῖραι αἱ τίμιαι. καὶ ὁ τὴν ἀλήθειαν πᾶσι φανερῶν Χρόνος. τοῦτο εἶπε, δεικνύων ὅτι εὐμοίρως καὶ πολυχρονίως ἡ πανήγυρις τελεσθήσεται. [Ἄλλως.] ἐν ταύτῃ πρῶτον ἀγομένῃ τῇ ἑορτῇ, παρέστησαν αἱ Μοῖραι καὶ ὁ Χρόνος τοῖς τόποις. παρείληφε δὲ τὰς Μοίρας καὶ τὸν Χρόνον, ὅτι εὔμοιρός τε ὁ ἀγὼν ἔσοιτο, καὶ εἰς ἅπαντα τὸν ἀγῶνα. [Τὸ δὲ σαφανές.] τὸ δὲ πρότερον σαφανὲς ὂν, προϊὼν ὁ χρόνος ἐνεφάνισε, καὶ φανερὸν ἐποίησε πῶς τὰ λάφυρα τοῦ πολέμου καὶ τὰ ἀπάργματα ἔθυσεν ὁ Ἡρακλῆς. ἢ οὕτω. προϊὼν δὲ ὁ χρόνος, τὸ σαφανὲς ἡμῖν κατέδειξεν. ὅπου τοῦ πολέμου δόσιν. τουτέστι τὰ ἀκροθίνια διαμερίσας τοῖς θεοῖς ἔθυσε. [Ἄλλως.] τὸ ἀφανὲς, ἰὼν εἰς τὸ πρόσω ὁ χρόνος, ἔκδηλον ἐποίησεν. ἕτεροι δὲ, οὕτω. σαφανὲς, ἵν' ᾖ τὸ σαφὲς ὑφὲν, ἀναγινώσκουσιν, ὡς τὴν ἄνω διάνοιαν. τὸ δὲ ἀληθὲς ὂν καὶ σαφὲς, ἀεὶ ὁ χρόνος φανεροῖ. τὸ δὲ ὅπα τὰν πολέμου δόσιν, ἀντὶ τοῦ ὅπου καὶ ἐν ᾧ τόπῳ διανείμας τὰ λάφυρα, λαβών τε τὰς ἀπαρχὰς, ἔθυσε. καὶ ὅπως θαυμασίως τὴν τοῦ ἀγῶνος ἑορτὴν κατέστησεν, ἐν τῇ πρώτῃ Ὀλυμπιάδι καὶ τοῖς ἀγωνίσμασι. πολέμου δὲ δόσιν, τὰ λάφυρα, φησίν. ὅπου τὴν λῆψιν τῶν ἐκ τοῦ πολέμου γενομένων, δηλῶν φησι τὰ ἀκροθίνια τοῖς θεοῖς ἔθυσε. [Καὶ πενταετηρίδ' ὅπως.] θαυμαστικῶς λέγει. καὶ πενταετηρικὴν ἄρα ἔστησε καὶ ἐνομοθέτησεν εἶναι τὴν τῶν Ὀλυμπίων πανήγυριν. [Τίς δὴ ποταίνιόν γε λάβε στέφανον.] πρὸς τὴν Μοῦσαν λέγει. [Ἀγώνιον εὖχος.] ἀγώνιον, ἔνδοξον θέμενος. τὸ ὑπερβατὸν ἀγώνιον εὖχος καθελών. τὸ τοῦ ἀνταγωνιστοῦ καὶ τὴν νίκην, τὴν αὐτοῦ εὐχὴν, ἔργῳ ἀποβαλών. ἢ οὕτω. συλλαβὼν τὴν εὐχήν. ὅ ἐστι τὸ καύχημα τὸ τοῦ ἀνταγωνιστοῦ, καθελὼν διὰ τοῦ ἔργου. [Στάδιον μὲν ἀρίστευσεν εὐθύτονον.] εὐθὺ, τὸ μὴ ἔχον καμπήν. τὸν ἁπλοῦν δρόμον. τὸν δὲ Οἰωνὸν Πίνδαρος ὡς ἤδη ἀνδρωμένον, νικῆσαί φησι στάδιον περὶ τὴν πρώτην θέσιν τῶν Ὀλυμπίων. ἔνιοι δὲ παῖδα ὄντα αὐτὸν, ὑπὸ τῶν Ἱπποκοωντιδῶν διειργάσθαι. ὁ δὲ νοῦς. ὁ μὲν τοῦ Λικυμνίου παῖς Οἰωνὸς, τὸ εὐθύτονον καὶ ἀκαμπὲς

στάδιον

Ποσσὶ τρέχων, παῖς ὁ Λικυμνίου
Οἰωνός· ἧκεν δὲ Μιδέαθεν
Στρατὸν ἐλαύνων· ὁ δὲ πάλα κυ-
δαίνων Ἔχεμος Τέγεαν·
Δόρυκλος δὲ τέλος
Πυγμᾶς φέρε, Τίρυνθα ναίων πόλιν·
Ἀν᾽ ἵπποισι δὲ τέτρασιν

ἀντιστροφὴ δ'. κώλων η'.

Ἀπὸ Μαντινέας Σᾶμος ἀείδετ᾽·
Κάκοντι Φράστωρ ἔλασε σκοπόν·
Πέτρῳ δ᾽ Ἐνικεὺς ἔδικε μᾶκος,
χέρα κυκλώσαις ὑπὲρ ἅπαντας,

Pedibus currens, filius Licymnii
Oeonus: venerat autem ex-Midea
Exercitum ducens: sed lucta il-
lustrans Echemus Tegeam:
Doryclus vero finem
Pugilatus tulit, Tirynthem incolens urbem:
Cum equis autem quatuor

METAPH.

E Mantinea Semus celebrabatur:
Et jaculo Phrastor attigit scopum:
Saxo *disci* autem Eniceus jecit *in* longum,
Manum circumrotans supra omnes,

PARAPHRASIS.

Mideæ urbis Argolicæ princeps, indeque profecti exercitus dux, stadio in rectitudinem extenso fuit præstantissimus, quod omnium celerrime pedibus decurrendo emensus est. Lucta vero præstantissimus fuit Echemus, qui re optime gesta, Tegeam Arcadiæ urbem, patriam suam illustriorem reddidit. Doryclus autem Tirynthius, honorem pugilatu est adeptus: & quadrijugo curru, in quo sua habuit insignia, Halirrhothius Mantinetus. Phrastor autem jaculo scopum attigit. Eniceus vero discum lapideum, manu rotatum & circumactum, omnium longissime emisit:

NOTÆ.

83 Alii leg. ἐν ἵπποισι. 84 Σᾶμος ἀείδετο leg. MS. Bodl. & Schmid. qua lectione uti & nostra, metrum servatur. Alii fere omnes Σᾶμ᾽ Ἀλιρροθίῳ hab. uti videtur, corrupte. Quomodo enim Dactylus est - ρόθίῳ. Hi vero non consentiunt, quomodo hæc verba intelligenda sunt, & utrum Σᾶμ᾽ sit proprium nomen pro Σᾶμε vel Σᾶμι· vel sit σᾶμα pro σῆμα signum, quod Schol. & Aretius volunt; quorum posterior interpretatur signum Halirrhothii, quoniam qui Quadrigis certabant, depicta in Equis & Quadrigis habebant sua Insignia, quibus agnoscerentur. Æmil. Portus, qui idem legit, conjicit Doricum esse pro σῶμα, ut Corpus Halirrhothii accipiatur pro, ipse Halirrhothius. Si intelligunt per has voces Σᾶμ᾽ Ἀλιρροθίῳ, Seme, fili Halirrhothii, cum interprete in Ed. Steph. facile quis dignosceret, unde hoc mendum in Codd. irrepserit; nimirum supra, tanquam Glossema, scriptum fuit τοῦ Ἀλιρροθίου ad explicandum, quis fuit iste Σᾶμος, abjecta interim postrema syllaba --ος, quod Critico redundare non præter veritatem visa sit. Ἀείδετο] Gl. MS. γ. Ἐδοξάζετο. 85 Alii ἄκοντι. Ἔλασε] Gl. MS. γ. Ἐκέρδησε. Σκοπὸν] Gl. γ. τὸν ἀγῶνα. 86 Alii Codd. hab. Μᾶκος δ᾽ Ἐνικεὺς ἔδικε πέτρῳ. Gl. MS. γ. διὰ τῆς στρογγυλωθείσης πέτρας. 87 Alii ἁπάντων.

στάδιον δραμών, ἠρίστευσεν. ἔοικε δὲ ὁ Οἰωνὸς ἦλθεν ἀπὸ πόλεως Μιδέας καλουμένης τοῦ Ἄργους, βασιλεύων καὶ ἡγεμὼν λαῶν. ἡ δὲ μεταφορὰ τοῦ ἐλαύνων, ἀπὸ τῶν ποιμνίων. [Ἄλλως.] εὐθύτονον στάδιον εἶπε. τοιοῦτο γὰρ λέγεται εἶναι τὸ στάδιον. παῖς δὲ ὁ Λικυμνίου· ὃς ἤδη ἀνδρωθεὶς, τὴν πρώτην τῶν Ὀλυμπίων θέσιν καὶ δίαυλον ἐνίκησεν. ἐλαύνων δὲ, τουτέστι περιηγούμενος ἦλθεν. ἔστι δ᾽ ὄνομα κύριον ὁ Οἰωνός· ἀπὸ Μιδέας κώμης Ἀργολικῆς. ἔνιοι δὲ πόλεως. [Πάλα δὲ κυδαίνων] ἠρίστευσε πάλῃ κυδαίνων, ὅ ἐστι δοξάζων τὴν πόλιν αὐτοῦ Τέγεαν. ἔστι δὲ πόλις Ἀρκαδίας. δοξάζων διὰ τὸ ἀναγορευθῆναι ἀπὸ Τεγέας. περισπαστικώτερον τὸ, ἠρίστευσεν. ὑπὸ δὲ τούτου τοῦ Ἐχέμου, τὸν Ὕλλον φασὶ τελευτῆσαι κατιόντα εἰς Πελοπόννησον. [Ἀν᾽ ἵπποισι δὲ τέτρασιν.] ἕως Ἀλιρροθίου. ἐφ᾽ ἵπποις δὲ τέτρασιν· ἤτοι τεθρίππῳ ἀγωνισάμενος, ἐνίκησεν ὁ Ἀλιρρόθιος. ὅθεν τινὲς σῆμα Ἀλιρροθίου κατὰ περίφρασιν ἤκουσαν. οἱονεὶ τὸ σημεῖον καὶ ἡ δόξα τοῦ Ἀλιρροθίου· ὡς καὶ Ὅμηρος· Ἱερὴ ἲς Τηλεμάχοιο· Καὶ βίη Ἡρακλείη. ὁ δὲ Δίδυμος οὕτω καθίστησι τὸν λόγον. τὴν Μαντινέαν φησὶν εἶναι ἱερὰν Ποσειδῶνος. καὶ παρατίθεται τὸν Βακχυλίδην λέγοντα οὕτω. Ποσειδώνιον ὡς μάντιν εἰς τεύδοντα χαλκοδαιδάλοισιν ἐν ἀσπίσι φορεῦντες. ἐπίσημον γὰρ εἶναι τῶν ἀσπίδων, τὸν Ποσειδῶνος τεύδοντα· ὅτι παρ᾽ αὐτοῖς μάλιστα τιμᾶται ὁ θεός. ἔστιν οὖν τὸ σαφὲς οὕτω. καθ᾽ αὐτὸ ἔξωθεν παραλαμβανομένου τοῦ ὀνόματος. ἀν᾽ ἵπποισι δὲ τέτρασιν ἥρως ὁ ἀπὸ Μαντινέας ἐνίκησε. καὶ ἔστιν ἡ Μαντινέα σημεῖον καὶ ἱερὰ τοῦ Ποσειδῶνος. Ἀλιρρόθιον γὰρ ἐπιθετικῶς τὸν Ποσειδῶνα φησί. καὶ παρατίθεται τὸ Ὁμηρικόν· Πάσας δ᾽ ὀρέθυνεν ἀέλλας Παντοίων ἀνέμων. παρατίθεται δὲ καὶ τὸν γράφοντα τὴν Θησηΐδα, μαρτυροῦντα τῷ ἥρωϊ τοῦ ἅρματος ἡνιοχευτικὴν ἀρετήν· Τρέψας δὲ πώλους, ὡς ὁ Μαντινεὺς Σῆμος. [Ἄλλως.] ἐὰν μὲν γράφηται Σῆμ᾽ Ἀλιρροθίου, ἔσται οὕτως ὁ Ἀλιρρόθιος ἥκων, ὡς ἂν ἐπίσημος ἐγένετο ὁ Ἀλιρρόθιος· ἐὰν δὲ Σᾶμος Ἀλιρρόθιος· φανερὸν ὅτι Σᾶμος Ἀλιρρόθιος ἐνίκησεν. Ἀριστόδημος δὲ φησὶ, μὴ δύνασθαι συγχρονεῖν Ἀλιρρόθιον τὸν κατὰ Κέκροπα, Ἡρακλεῖ. ἀλλὰ μηδὲ Ἀρκάδα εἶναι, ἀλλ᾽ Ἀθηναῖον. Σῆμον δέ τινα νῦν νενικηκέναι ἅρματι, ὥς φησι Δίφιλος ὁ τὴν Θησηΐδα ποιήσας ἔν τινι ἰάμβῳ, οὕτω· Τρέψας δὲ πώλους ὡς ὁ Μαντινεὺς Σῆμος, ὃς πρῶτος ἅρμα τ᾽ ἔλασε παρ᾽ Ἀλφειῷ. [Ἄλλως.] Ἀλιρρόθιος Μαντινεύς· ὁμώνυμος τῷ Ἀθηναίῳ, ὃς ἦν Ποσειδῶνος καὶ Βαθυκλείας. ἔνιοι δὲ γράφουσιν, Σῆρος Ἀλιρροθίου. οὗ μέμνηται Ἡσίοδος· Ἤτοι ὁ μὲν Σῆρον καὶ Ἀλάζυγον υἱέας ἐσθλούς. ἦν δὲ ὁ Σῆρος, τοῦ Ἀλιρροθίου τοῦ Περιήρους καὶ Ἀλκυόνης. [Ἄκοντι δὲ Φράστωρ.] ἀκοντίῳ ἀγωνισάμενος, ἔτυψε κατὰ σκοπόν. οἱ δὲ τὸ, ἤλασε σκοπὸν, ἀντὶ τοῦ τὴν νίκην ἐπέτυχε φασίν. Ἐνικεὺς δὲ ὄνομα κύριον. [Μᾶκος δ᾽ Ἐνικεὺς ἔδικε πέτρῳ.] μακρὸν ἐδίσκευσε δίσκῳ λιθίνῳ. οὕτως οἱ ἀρχαῖοι. μᾶκος δὲ μακρὸν, παρὰ τὸ Ὁμηρικόν. χειρὶ περιστρέψας, φησὶ χέρα κυκλώσας. [Ὑπὲρ ἁπάντων.] πάντας φησὶ τοὺς ἀνταγωνιστὰς τῇ βολῇ παρελθών. παρὰ τὸ Ὁμηρικόν· Τόν ῥα περιστρέψας ἧκε στιβαρῆς ἀπὸ χειρός. τὸ δὲ καὶ συμμαχία θόρυβον, ἀντὶ τοῦ, καὶ τοῖς παρεστῶσιν αὐτοῖς συμμάχοις, ἔκπληξιν καὶ ταραχὴν ἐκίνησε. μέγαν, διὰ τὸ ὑπερβεβλημένον τῆς βολῆς θαῦμα. καὶ τοῦτο παρὰ τὸ Ὁμηρικόν· Κατὰ δ᾽ ἔπτηξαν ποτὶ γαίῃ Φαίηκες, δολιχήρετμοι ναυσίκλυτοι ἄνδρες. καὶ συμμαχία θόρυβον, ἀντὶ τοῦ, τὸ πλῆθος θαυμάσαν ἀνεβόησεν ἐπὶ τῷ τῆς βολῆς μήκει. ἢ οὕτω. παρεκίνησε, καὶ ἀνήγειρε τὸ τῶν συμμάχων πλῆθος.

[Παρέ-

Καὶ συμμαχίᾳ θόρυβον	Et sodalitio tumultum
Παραίθυξε μέγαν.	Commovit magnum.
Εν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος	Vesperam autem illustravit vultu-pulchræ
Σελάνας ἐρατὸν φάος·	Lunæ amabile lumen :
ἐπῳδὸς δ'. κώλων θ'.	Μ ε τ α φ ρ.
Αείδετο δὲ πᾶν τέμενος τερπναῖ-	Personabat autem totum delubrum jucun-
σι θαλίαις τὸν ἐγκώμιον ἀμφὶ τρόπον.	dis epulis laudatorium secundum ritum.
Αρχαῖς δὲ προτέραις ἑπόμενοι καὶ νῦν,	Initia autem priora sequentes etiam nunc,
Επωνυμίαν χάριν νίκας ἀγερώχου	Cognominem gratiam victoriæ superbæ
Κελαδησόμεθα, βροντὰν καὶ πυρπάλαμον βέλος	Celebrabimus, tonitru & ignitum telum
Ορσικτύπου Διός, ἐν ἅπαντι κράτει	Gravistrepi Jovis, in omni victoria
Αἴθωνα κεραυνὸν ἀραρότα·	Ardens fulmen aptatum :
Χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον	Deliciosa autem modulatio ad fistulam
Αντιάξει μελέων·	Occurret carminum :
στροφὴ ε'. κώλων ι'.	Μ ε τ α φ ρ.
Τὰ παρ' εὐκλέϊ Δίρκᾳ χρόνῳ μὲν φάνεν·	Quæ apud inclytam Dircen serius prodierunt:

PARAPHRASIS.

unde sociorum adstantium magnam acclamationem excitavit, & admirationem sui peperit. Quum autem hæc peragerentur certamina, plenæ lunæ surgentis oculus formosus amabili suo lumine tempus vespertinum, alioqui obscurum illustravit. Tum vero quum ad jucundas epulas vesperi ventum esset, interque cœnandum, carmen victoris encomiasticum pro more caneretur, delubrum omne cantu personabat. Cæterum nos etiam nunc priscum illum morem victores post certamen in convivio canendi, jam à principio usitatum sequuti, victorialem hymnum, sic à victoria quæ superbos reddit, cognominatum, in munus victoris canemus. Canemus etiam Jovem tonitruum strepitus in aere excitantem, igneumque telum manu contorquentem, videlicet coruscum fulmen quod jaculatur quoties sua potentia utitur. Porro ad tibiam accommodabitur dulcis auribus nostra modulatio carminum: quæ apud Thebas ubi est Dirce fons celebris, in lucem edidi,

NOTÆ.

89 Editt. vulg. leg. παρέθηξε, quod Lexicon Pindaricum interpretatur, Excitavit; est vero proprie, Exacuit. Quia vero Lucianus utitur vocabulo hoc fere sensu, saltem non incommode adhibetur ad explicandum Pindaricum παραιθύσσειν. 90 Εὐώπιδος] Gl. MS. γ. Ωραιοφθάλμου. 91 Ερατὸν] Gl. γ. Καλόν. 92 Αείδετο] Gl. MS. γ. Εχορεύετο. Τερπνῆσι leg. MS. γ. & Gl. hab. Εὐφραντικαῖς. 93 Εγκώμιον] Gl. MS. γ. Επαινετικόν. 94 Αρχαῖσι leg. Editt. vulg. Εσπόμενοι MSS. nostra. 95 Αγερώχου] Gl. MS. γ. Θαυμαστοῦ. 96 Πυρπάλαμον βέλος] Ovid. Metam. --Rector Olympi, *Qui fera terribili jaculatur fulmina dextra.* Æschylus ἐν Προμηθεῖ Δεσμώτῃ fulmen vocat ἄγρυπνον βέλος, ἐκπνέον φλόγα. Πυρπάλαμον vero est, τὸ μετὰ πυρὸς, εἴτε σὺν πυρὶ τῇ τοῦ Διὸς παλάμῃ, εἴτε χερὶ παλλόμενον, καὶ βαλλόμενον. At apud Eustath. πυρπαλάμης καλεῖται πᾶς τις πανοῦργος ἄνθρωπος, καὶ πυρπαλαμᾶσθαι τὸ κακοτεχνεῖν. 97 Ορσικτύπου] Gl. MS. γ. Μεγαλοκτύπου. Κράτει] Gl. γ. Δυνάμει. 98 Αρηρότα commune leg. Alii. 99 Χλιδῶσα] Gl. γ. Γλυκεῖα. 100 Αντιάξει] Gl. γ. Συμφωνήσει.

[Παρέθηξεν] ἐκίνησε, παρώρμησεν. [Εν δ' ἕσπερον ἔφλεξεν, εὐώπιδος.] τὸ δὲ εὐώπιδος σελήνης τὸ ἐρατὸν φάος κατέλαμψεν τὴν ἑσπέραν. ταῦτα γὰρ ἐγίνετο, τῆς ἑσπέρας καὶ τοῦ σκότους καταυγαζομένου καὶ φαιδρυνομένου ὑπὸ τῆς σεληνιακῆς αὐγῆς. ἐρατὸν δὲ φάος σελήνης, τὸ πανσέληνον. τελεῖται γὰρ κατὰ πληροσέληνον. ὡς αὐτὸς ἐν τοῖς προτέροις εἶπεν. ἔδει δὲ οὕτως εἰπεῖν. οὔσης δὲ πανσελήνου ἐτέθη ὁ ἀγών. ὁ δὲ τὸν ἀγῶνα διαθέμενος, τότε τοῦτο ἐπιτέτυχεν. [Εν δ' ἕσπερον ἔφλεξε.] τὸ ἑσπερινὸν φῶς, ἐν πανσελήνῳ γὰρ ἐτέθη ὁ ἀγών. [Αείδετο δὲ πᾶν τέμενος.] ἐν δὲ ταῖς εὐωχίαις περιήδετο καὶ ἠχεῖτο τὸ πᾶν τέμενος, εὐφημιῶν καὶ ὕμνων λεγομένων. τοῦτο γάρ ἐστιν ἐγκωμιαστικὸς τρόπος. ἢ οὕτως. ἐνεγκωμιάζετο ἐκ τῶν νικώντων τὸ τέμενος φησίν. [Αρχαῖς δὲ προτέραις.] τοῖς οὖν ἀρχαῖς καὶ τοῖς ἐπιτηδεύμασι τῶν φθανόντων. [Καὶ νῦν, ἐπωνυμίαν χάριν.] καὶ νῦν ἡμεῖς ἀκολουθοῦντες, τὴν ἐπώνυμον τῆς νίκης χάριν, τουτέστι τὸν ἐπινίκιον ὕμνον, εἴπωμεν. ἢ ἔξωθεν τὴν εἰς πρόσθεσιν ληπτέον. ἵν' ᾖ, εἰς χάριν κελαδήσομεν θαυμάζοντες τήν τε βροντὴν τοῦ Διὸς, καὶ τὸ ἔμπυρον αὐτοῦ βέλος, τὸν κεραυνὸν, τὸν ἐπὶ πάσῃ χρείᾳ τοῦ κράτους αὐτοῦ ἁρμόδιον· καὶ ἐπαρκοῦντα πρὸς τὰς χρείας. ἢ πρὸς πᾶσαν αὐτοῦ δύναμιν ἀρηρότα, ἢ κράτει, τῇ νίκῃ νικῶντα ἀεί. [Αλλως. Χάριν νίκας,] ἀντὶ τοῦ διὰ τὴν νίκην. ἢ οὕτως ἐπίθετον τῆς νίκης τῆς ἐπωνύμους ποιούσης, ἢ τῆς φερούσης καὶ κρατούσης ἐν παντὶ κράτει. [Χλιδῶσα δὲ μολπά,] ἀντὶ τοῦ τρυφῶσα, ἐναβρυνομένη, ἤτοι ἡ μολπὴ ἡ τῶν μελῶν ἁβρῶς καὶ ἡδέως ἐντρυφῶσα τῇ ἡδονῇ ἀπαντήσει πρὸς αὐτήν. τουτέστιν, ὁ δὲ ὕμνος τρυφηλῶς καὶ ἡδέως μετὰ αὐλῶν ᾀσθήσεται. [Τὰ παρ' εὐκλεεῖ Δίρκᾳ.] ἅπινα μέλη ἐν τῇ ἐνδόξῳ Δίρκῃ φησί, τουτέστιν ἐν Θήβαις, ἐν πλείονι μὲν χρόνῳ τῆς προσδοκίας ἐφάνη, καὶ ἐγράφη. ἀλλ' οὗτός ἐστιν ὁ ἐπίνικος τῷ λαβόντι, ὥσπερ παῖς γνησίας γυναικὸς καὶ οὐ παλλακίδος πατρὶ γεννηθεὶς ἤδη γεγηρακότι. [Αλλως.] Δίρκη πηγὴ ἐν Θήβαις. κεχρονικέναι δέ φησι καὶ ἐν ἀρχῇ λέγων ὁ Πίνδαρος, ὅτι διέσηκεν ὑπὸ τῆς ὁμολογίας πρὶν γράψαι τὸ ποίημα. καὶ νῦν ὑπὸ τῆς Δίρκης φησὶ μετὰ πολὺν χρόνον πεφυκέναι τὰ μέλη καὶ τὰ ποιήματα, ὡς ἐν Θήβαις γεγραφὼς ταῦτα· ἤτοι τὸν ἐπίνικον μετὰ πολὺν τῆς ὁμολογίας τῆς περὶ τῆς γραφῆς χρόνον. ταῦτα γὰρ τὰ μέλη, χρόνῳ ἐφάνη ἐν Βοιωτίᾳ. ἐπεὶ μετὰ χρόνον ἔγραψε τὸ ποίημα. ὁ δὲ νοῦς. οὕτω δέ σοι ποθεινὰ καὶ ἡδέα ἔσται τὰ μέλη φησίν. ὥσπερ τις γνήσιος παῖς ἐκ νομίμης γυναικὸς πατρὶ ποθεινὸς ὁρᾶται εἰς τὸ ἀνάπαλιν τῆς νεότητος ἐλθόντι. τουτέστι γηράσαντος πάνυ τοῦ ἑαυτοῦ πατρὸς, τὸν νοῦν ἐκπυροῖ πρὸς τὸν πόθον κεχαρισμένος φαινόμενος.

[Επεὶ

Ἀλλ' ὥς τε παῖς ἐξ ἀλόχου πατρὶ
Ποθεινὸς, ἥκοντι νεότατι
Τὸ πάλιν ἤδη, μάλα δέ τοι θερ-
μαίνει φιλότατι νόον·
Ἐπεὶ πλοῦτος ὁ λα-
χὼν ποιμένα ἔπακτον ἀλλότριον,
Θνάσκοντι στυγερώτατος·

Sed *gratiore tamen* ut filius ex uxore patri
Desiderabilis, venienti *ad* juventutem
Rursus jam, admodum sane excal-
facit amore animum:
Alioqui divitiæ sorti-
turæ dispensatorem adscititium alienum,
Morienti odiosissimæ *sunt*:

ἀντιστροφὴ ε'. κώλων η'.

Καὶ ὅταν καλὰ ἔρξαις, ἀοιδᾶς ἄτερ
Ἀγησίδαμ' εἰς Ἀΐδα σταθμὸν
Ἀνὴρ ἵκηται, κενεὰ πνεύσαις,
Ἔπορε μόχθῳ βραχύ τι τερπνόν.
Τὶν δ' ἁδυεπής τε λύρα,
Γλυκύς τ' αὐλὸς ἀνα-
πάσσει χάριν· ἔχοντι δ' εὐρὺ κλέος
Κόραι Πιερίδες Διός.

Μεταφρ.

Et quando pulcra operatus, absque cantione
Agesidame ad Plutonis limen
Vir veniat, inania postquam spiravit *laborans*,
Præbuit labori breve quid jucundum.
Tibi vero dulcisonaque lyra,
Dulcisque fistula insper-
git gratiam: præbentque amplum decus
Filiæ Pierides Jovis.

PARAPHRASIS.

multo postquam ea promiseram Agesidamo. Sed etsi dilationem longam passa sit mea promissio: serius tamen exhibitum encomium non debet minus esse gratum. Quemadmodum enim filius ex legitima uxore in senectute tarda genitus, quum jam pater incipit repuerascere, paternum animum amore magis inflammat, quia non sine proprio hærede se moriturum sperat. Sic & hoc meum encomium, licet serius exhibitum, gratissimum nihilominus erit tibi, Agesidame, quia non sine laudum præconio morieris, quo tua virtus etiam posteris commendatur. Et ut diviti comparatæ multo labore divitiæ, brevem brevi vitæ tempore delectationem præbent: sed quum è vita migrat, ei sunt odiosissimæ, si ascititium & à suo genere alienum hæredem nanciscantur: sic etiam ei qui in sacris certaminibus strenue se gesserit, exiguo tantum tempore, quum recens est victoria, jucundi sunt acti labores: sed eorum postea ferme pœnitet, si illis frustra susceptis, à poëta non laudatus, nec immortalitate nominis donatus, in sepulchrum descendat. Quod sane tibi non accidet, Agesidame, cui dulcisona lyra, suavisque tibia jucundum melos utpote mercedem mittit: cujus famam longe lateque diffusam posteritati tradunt Musæ Jovis filiæ, quæ montem Pierium incolunt.

NOTÆ.

102 Ἐξ ἀλόχου] Gl. MS. γ. Ὥσπερ φαίνεται παῖς ἐκ νομίμης γυναικὸς τινι πατρί. 103 Ἥκοντι] Gl. MS. γ. Φθάσαντι. 105 Φιλότατι] Gl. γ. εἰς ἀγάπην. Νόον] Pal. C. leg νέον, & Schol. ὑἱόν. 106 Λαχὼν] Gl. γ. Πεσὼν εἰς κληρονομίαν. 107 Ποιμένα.] Hujus vocis significatio extenditur ad Imperium quodvis in personas & res. 108 Θνάσκοντι] Gl. γ. Καταλιμπάνοντι τὸν πλοῦτον. 109 Ἔρξας leg MSS. & Codd. vulgati. 111 Ἵκηται] Gl. MS. ϐ. Ἔλθῃ, ἀπέλθῃ. 112 Τερπνὸν] Gl. MS. γ. Εὐφραντόν. 114 Ἀναπλάσσει leg. Ald. & Pal. C.

[Ἐπεὶ πλοῦτος ὁ λαχών.] διατί δὲ ὁ παῖς ποθεινός ἐστι γηρῶντι; ἐπειδή φησιν ἡ περιουσία καὶ ὁ πλοῦτος ἄρχοντα καὶ δεσπότην ἑαυτοῦ λαχὼν ἀλλότριον τοῦ γένους, καὶ ἔξωθέν τινα ἐπαχθέντα, λυπηρότατός ἐστι τῷ ἀποθνήσκοντι. [Ἄλλως.] ἐν τῷ καθόλου λέγει, ἐπεὶ πλοῦτος ὁ λαχὼν ποιμένα ἔπακτον, τὸν διαδεξάμενον τῷ καταλιπόντι, ὅ ἐστι τῷ ἀποθνήσκοντι, στυγερώτατός ἐστι καὶ ἀλλότριος. διὰ δὲ τούτου σημαίνει, ὅτι ἐάν τις ἔχῃ πλοῦτον ἄτεκνος ἀποθνήσκων, καὶ διαδόχῳ μὴ καταλίπῃ, ἐπώδυνος αὐτῷ γίνεται. [Ἄλλως.] τὸν μὴ κατὰ γένος διάδοχον ἔχοντα. παρὰ τὸ Ὁμηρικόν· Χηρωσταὶ δὲ διὰ κτῆσιν δατέονται. τὸ δὲ θνάσκοντι, κοινῶς πρὸς ἀμφότερα· ἀλλότριον θνήσκοντι, καὶ στυγερώτατος. πάνυ γὰρ ἀλγοῦσιν, οἱ τοῖς μὴ προσήκουσι διαδόχοις χρώμενοι. ὥσπερ οὖν φησι λυπηρόν ἐστι τῷ τελευτῶντι, ἀλλοτρίῳ τινὶ χρήσασθαι κληρονόμῳ, οὕτως ἀλγεινὸν ἐστί. καὶ ὅταν κάλλιστα μὲν εἴη διαπεπραγμένος τις, ἄνευ δὲ ἐπαίνου καταλύσῃ τὸν βίον, ὦ Ἀγησίδαμε, κενῶς μοχθήσας. ὡς μηδὲ βραχύ τι τερπνὸν καὶ ἡδὺ ἀποκερδάναι ἐκ τῶν πόνων. [Καὶ ὅταν καλὰ μὲν ἔρξαις.] καὶ ὅταν τις, φησί, καλὰ μὲν ἐπιτελέσας ἔργα, δίχα καὶ χωρὶς ὕμνου ἀποθάνοι ἀκλεὴς, τῷ μόχθῳ βραχύ τι ἔδωκε τερπνόν. τουτέστι, βραχύ τι ἐτέρφθη τῷ μόχθῳ· ὅσον παραχρῆμα. οὐκέτι γάρ τις αὐτοῦ τελευτήσαντος μέμνηται. [Τὶν δ' ἁδυεπής τε λύρα.] σοὶ δὲ οὖν φησι πᾶν εἶδος μουσικῆς ἀνεγείρει, ἄνω ποιεῖ, ἢ ἀναποικίλλει τὴν χάριν. παρὰ τὸ Ὁμηρικόν· Πολλέας δ' ἐνέπασσεν ἀέθλους. καὶ παρέχει τὴν ἡδονὴν, ἥτε λύρα καὶ ὁ αὐλός. τὶν δὲ, ἀντὶ τοῦ σοὶ, Δωρικῶς. [Ἀναπάσσει,] ἀναπέμπει, ἀναποικίλλει. [Ἔχοντι δ' εὐρὺ κλέος.] αὔξουσι δέ σου τὸ κλέος αἱ Μοῦσαι καὶ οἱ λόγοι. ἀθάνατοι γὰρ οἱ διὰ τῶν λόγων ἔπαινοι. [Ἄλλως.] ἔχουσι δὲ αἱ Μοῦσαι μέγιστον κλέος τῶν νικησάντων.

ἐπῳδὸς ε'. κώλων θ'.

Ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ,
Κλυτὸν ἔθνος Λοκρῶν ἀμφέπεσον, μέλιτι
Δ' εὐάνορα πόλιν καταβρέχων, παῖδ' ἐ-
ρατὸν δ' Ἀρχεστράτου αἴνησα· ὃν εἶδον
Κρατέοντα χερὸς ἀλκᾷ, βωμὸν παρ' Ὀλύμ-
Κεῖνον κατὰ χρόνον γ' ἰδέᾳ τε καλὸν, [πιον,
Ὥρᾳ τε κεκραμένον, ἅ, τ' ἀναι-
δέα Γανυμήδει ὃν πότμον ἄ-
λαλκε, σὺν Κυπρογενεῖ.

METAPH.

Ego autem opitulatus studiose,
Claram gentem Locrorum amplexus-sum, mel-
leq; viris-insignem urbem irrigans, filium a-
mabilem Archestrati laudavi: quem vidi
Vincentem manus robore, aram apud Olym-
Illud circa tempus, formaque pulchrum, [picam,
Floridaque-ætate temperatum, quæ impuden-
tem à-Ganymede mortem pro-
pulsavit, auxilio Veneris.

PARAPHRASIS.

Quem ego quoque, meam operam cum Musis diligenter adhibens, dulci hoc carmine laudem inclytæ Locrorum gentis complexus, eodemque ornamento civitatem viris præstantibus insignem prosequutus, amabilem Archestrati filium encomio decoravi, postquam accepi eum pugilatu, in quo valet robur manuum, Olympia vicisse, idque jam olim cum esset adhuc aspectu formosus, & versaretur in vigentis ætatis flore, cujus venustas, simul cum Venere, gratum Jovi reddens Ganymedem, fecit ut in cœlum raptus fuerit, nec mortem expertus pincernam agat Deorum: cum alioqui mors æquo pede pauperum, regumque tabernas pulsare non erubescat.

NOTÆ.

117 Συνεφαπτόμενος] Gl. MS. γ. Συνακολουθῶν. 118 Κλυτὸν] Gl. MS. γ. Ἔνδοξον. Ἀμφέπεσον] Gl. γ. κατήντησα. 120 Ἐρατὸν] Gl. γ. Ἐπιθυμητόν. Editt. omitt. δ'. Hoc κῶλον metricæ rationi non consonat; attamen si conjecturæ esset locus, ita legi posset, --ρατὸν δὲ τοῦ Ἀρχεστράτου αἴνησ'· ὃν εἶδον. Ratio conjecturæ patet legenti Schol. Νεωτ. & numerorum typos consulenti. 123 Κεκραμένον] Gl. γ. Τεθραμμένον. 124 Θάνατον leg. Alii pro τὸν πότμον utra lectio sit Scholion, viderit Lector.

[Ἐγὼ δὲ συνεφαπτόμενος σπουδῇ.] καὶ αὐτὸς δὲ ἐγὼ τῇ σπουδῇ συνεφαπτόμενος τῶν Μουσῶν, συλλαμβανόμενος, καὶ συνεργῶν, φέρω σοῦ τὸ κλέος καὶ αὔξω. εἴς τε τὸ τῶν λόγων ἐμαυτὸν ἐμβάλλων. καὶ ὡσανεὶ μέλιτι ῥαίνω τὴν πόλιν καὶ ἡδέως διατίθημι ὕμνων. [Σπουδᾷ.] τῇ σπουδῇ τῶν Μουσῶν. [Ἀμφέπεσον.] ὥρμησα. αὐτῷ τῷ ποιήματι καταβρέχων. τουτέστιν ὑμνῶν. [Τὸν εἶδον,] ἀντὶ τοῦ, ἔγνων. [Κρατέοντα,] νικῶντα. [Χειρὸς ἀλκᾷ,] ἀντὶ τοῦ πυκτικῇ. [Κεῖνον κατὰ χρόνον.] τὴν βραδυτῆτα τοῦ ἐπινίκου καὶ νῦν ἐπιδείκνυται. καὶ τῷ κάλλει τοῦ σώματος, φησὶν ἀναλόγως συγκεκραμμένον καὶ φαιδρυνόμενον τῇ τότε ὥρᾳ. ἥτις ὥρα φησί ποτε τὸν ἀναιδῆ θάνατον ἀπεκώλυσε τοῦ Γανυμήδους ἅμα τῇ Ἀφροδίτῃ. καὶ γὰρ δι' αὐτὴν καὶ διὰ τὸ κάλλος, ἀθάνατος ἐγένετο. Ὅμηρος· Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διῒ οἰνοχοεύειν Κάλλεος εἵνεκα οἷο, ἵν' Ἀθανάτοισι μετείη.

Τέλος τοῦ δεκάτου τῶν Ὀλυμπίων εἴδους.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ δέκατον τῶν Ὀλυμπίων εἶδος.

Ἔοικεν ὁ Πίνδαρος ἐκ πολλοῦ συνθέμενος γράψειν αὐτῷ τὸν ἐπινίκιον, ὀλιγορῆσαι διά τινα περιπάτειαν. νῦν δὲ ὥσπερ τι χρέος ἀποδίδωσιν αὐτῷ τὸν παρόντα ὕμνον. ἐπεὶ δὲ τὸ χρέος γεγονὸς χρόνιον ἀπαιτεῖ καὶ τόκον, προστίθησι μετὰ ταῦτα καὶ ᾠδάριόν τι ὥσπερ τινα τόκον. τὸ δὲ ἀνάγνωτε οὐχ, ὥς φασί τινες, ἀντὶ τοῦ ἀναγνωρίσατε. ἀλλ' ἐπειδὴ γέγραπται λέγει, διὰ τοῦτο ἀνάγνωτε εἶπε. τὰ δὲ γεγραμμένα ἀναγινώσκεται. φασὶ δέ τινες πρὸς τὰς Μούσας πάσας ποιεῖται τὸν λόγον. ἐγὼ δέ φημι πρὸς τὴν Μοῦσαν καὶ τὴν Ἀλήθειαν, εἰ καὶ ὕστερον ταύτας ἐπιβοᾶται. [Ὦ Μοῖσ', ἀλλὰ σύ.] ἐπειδὴ ποιήσειν αὐτῷ εἰπὼν οὐχ ἐψεύσθη ἀλλ' ἐπελάθετο, διὰ τοῦτο φησὶν, ὦ Μοῦσα καὶ ὦ Ἀλήθεια. ἀντὶ τοῦ, ὦ λόγοι τῆς ἐμῆς ποιήσεως ἀληθῶς ὡς ὑπεσχόμην

χρέμην ἐπαινέσαντα αὐτὸν μὴ συγχωρήσητε ψευδομύθου
αἰτίαν λαβεῖν με. [Τὸν Ολυμπιονίκαν ἀνάγνωτέ μοι]
ὦ παρόντες δηλονότι, ἤγουν ἀναγνόντες ὥσπερ ἐν βι-
βλίῳ γράμματα, εἰς μνήμην ἀγάγετέ μοι τὸν υἱὸν τοῦ
Αρχεστράτου τὸν Αγησίδαμον τὸν Ολυμπιονίκην, ἐν ποίῳ μέ-
ρει τῆς ἐμῆς μνήμης ἐστὶ γεγραμμένος· ἤτοι ἀποκείμενος.
γλυκὺ γὰρ μέλος, ἀντὶ τοῦ ἡδὺν ὕμνον χρεωστῶν αὐτῷ
ἐπελαθόμην· ἀλλ' ὦ Μοῦσα σὺ καὶ ἡ Αλήθεια ἡ θυγάτηρ τοῦ
Διὸς, ἐρύκετον· ἤγουν ἐρύκετε, ‡ λύετε, παύετε ὀρθῇ χειρί· ἤγουν
δικαίᾳ, ἀντὶ τοῦ κωλύετε διὰ τῆς χειρὸς, δικαίως. τὴν
ἐνιπήν· ἤγουν τὴν ἐπιτίμησιν τῶν ἀνθρώπων τὴν ἕνεκα
τῶν ψευδῶν τὴν ἀλιτόξενον. τουτέστι τὴν ὀνείδη προσφέ-
ρουσαν ἡμῖν ἕνεκα τῆς εἰς τὸν φίλον ἁμαρτίας. [Εκαθεν
9 γάρ·] ἤγουν πρὸ πολλοῦ χρόνου. ἐπελθὼν, τουτέστι παρα-
γενόμενος, ἐνστὰς ὁ μέλλων χρόνος· ἤτοι ὁ ἀποκείμε-
νος, ὁ συμπεφωνημένος. τὸ ἐμὸν χρέος τὸ βαθὺ, τουτέ-
στι τὸ πολὺ, κατῄσχυνεν· ἤγουν ἤλεγξεν, ἐπονείδισον ἔδει-
ξεν. ὅμως δὲ δυνατός ἐστιν ὁ τόκος· ἤγουν ὁ ὕμνος ὁ
ἐπὶ τῷ ὀφειλομένῳ ὕμνῳ προστεθησόμενος, λῦσαι τὴν
ἐπιμομφήν. τουτέστι τὴν πολλὴν μέμψιν τῶν ἀνθρώπων
τὴν ὀξεῖαν· ἤγουν τὴν ὀξέως κινουμένην. τουτέστι τὴν
μετ' ὀργῆς καὶ ἀγανακτήσεως κινουμένην. [Ο μέλλων χρό-
νος·] τὸ μέλλων λέγει, ὡς πρὸς τὸν καιρὸν, καθ' ὃν ὑπέ-
σχετο ὑμνῆσαι. ὁ γὰρ μετ' αὐτὸν ἐπιὼν χρόνος, ὡς πρὸς
15 αὐτὸν μέλλων ἦν. Τὸ [Κοινὸν λόγον,] ἀντὶ τοῦ πάγκοινον
τοῖς μετιοῦσι νῦν τε καὶ ἐς ὕστερον. ἔχει δὲ τὸ ὅπα τὴν
δύναμιν πρὸς τὸ, τίσομεν ἐς φίλαν χάριν. τὸ δὲ κοινὸν
λόγον ὕστερον λέγει. [Νῦν ψᾶφον,] νῦν σκοπήσωμεν δηλο-
νότι, ὅπως τὸ κῦμα τὸ ῥέον κατακλύσει· ἤγουν κατακα-
λύψει τὴν κυλιομένην παρὰ τῷ αἰγιαλῷ ψῆφον· συμβο-
λικὸς ὁ λόγος, ἀντὶ τοῦ νῦν σκοπήσωμεν ὅπως ἡ δύνα-
μις τῶν ἡμετέρων λόγων ἀποκρύψει τὴν φερομένην καθ'
ἡμῶν τῶν ἀνθρώπων μέμψιν. ὅπως τε κοινὸν ὕμνον πά-
σῃ τῇ πόλει δηλονότι ἀποδώσωμεν εἰς χάριν ἀφορῶντα·
ἤγουν δύναμιν ἐπαγωγὸν, φήμην. φίλην, τουτέστι φιλουμένην.
ἔχομεν δὲ δηλονότι εὐπορίαν λόγων. νέμει γάρ· ἤγουν διοι-
κεῖ τὴν πόλιν τῶν Λοκρῶν τῶν Επιζεφυρίων τὴν πατρί-
δα τοῦ Αγησιδάμου, ἀτρέκεια. τουτέστιν ἀλήθεια. καὶ * ἡ
Καλλιόπη. τουτέστι, καὶ ποιητικοί εἰσι. καὶ ὁ Αρης † μέλει
17 αὐτοῖς τοῖς Λοκροῖς. τουτέστι καὶ πολεμικοί εἰσι. [Πόλιν
Λοκρῶν.] Λοκροὶ Επιζεφύριοι. Λοκροὶ Επικνημίδιοι, Λοκροὶ
Οπούντιοι, Λοκροὶ Οζόλαι. τέσσαρα γὰρ γένη Λοκρῶν. Τὸ
Καλλιόπη λέγει, ἢ ὅτι καὶ παρ' αὐτοῖς ἡ ποιητικὴ χά-
ρις ἐσπουδάζετο, ἢ ὅτι νίκας ποιοῦντες, τοὺς ποιητὰς εἰς
ὕμνον ἐγείρουσιν. Ιστορία. [Τράπε δὲ Κυκνεία,] Κύκνος ὁ
Αρεως υἱὸς ἐν παρόδῳ τῆς Θετταλίας οἰκῶν, τοὺς παρι-
όντας ἐκαρατόμησε, βουλόμενος ἐκ τῶν κεφαλῶν Αρει ναὸν
ἀνεγεῖραι. παριὼν οὖν καὶ Ηρακλῆς καὶ ὑπὸ τούτου ἐπι-
βουλευθεὶς, μάχην συνῆψεν αὐτῷ. βεβοηθηκότος δὲ Αρεως
τῷ παιδὶ, τραπεὶς ἀνεχώρησεν. ἀλλ' ὕστερον μόνον Κύκνον
εὑρὼν, ἀπέκτεινε. λέγει οὖν τὴν Ηρακλέους τροπὴν εἰς
παραμυθίαν Αγησιδάμου, ὀκλάσαντος μὲν ἐν τῷ τῆς πυ-
γμῆς ἀγῶνι. καὶ τὸν ἀντίπαλον ἂν παρὰ μικρὸν νικῆσαι
ποιήσαντος, εἰ μὴ ὁ ἀλείπτης αὐτοῦ Ιλας ἰδὼν, θάρσος
ἐνέβαλε. διὸ καὶ ἐνίκησεν. [Τράπε δέ·] ἤγουν εἰς φυγὴν
ἐκίνησε καὶ τὸν Ηρακλέα τὸν ὑπερβολικῶς ἰσχυρὸν, ἡ μάχη ἡ
Κυκνεία· ἤγουν ἡ τοῦ Κύκνου τοῦ υἱοῦ Αρεος. ἣν μετὰ
τοῦ Κύκνου συνεκρότησεν ὁ Ηρακλῆς. τοῦτο δὲ εἶπεν, ἐπει-
δὴ ὁ Αγησίδαμος ‡ ὑπεστάλη ἐν αὐτῷ τῷ ἀγῶνι. εἶτα
ὑπὸ τοῦ Ιλα τοῦ ἀλείπτου ἀναρρωσθεὶς, ἐνίκησε. διὸ ἐπά-
γει. τοὺς πύκτας δὲ ἐν τῇ Ολυμπιάδι νικῶν ὁ Αγησίδα-
μος, τῷ Ιλᾳ φερέτω χάριν· ἤγουν εὐχαριστίαν, ὥσπερ ὁ
Πάτροκλος τῷ Αχιλλεῖ, ἔφερε δηλονότι. ὅτε ἔτρεπε τοὺς
Τρῶας μετὰ τῶν ὅπλων αὐτοῦ. παρορμήσας δ' ἂν ἀνὴρ σὺν

παλάμῃ, ἤγουν σὺν βοηθείᾳ θεοῦ, ἄνδρα πρὸς ἀρετὴν, πρὸς
πελώριον, τουτέστιν ὑψηλότατον, ὥρμησεν, ἀντὶ τοῦ ἀνεβίβασεν,
ὕψωσε κλέος. ὀλίγοι δέ τινες, ἀντὶ τοῦ οὐδέ τινες ἔλα-
βον χαρὰν χωρὶς πόνων. λέγω φῶς τῷ βίῳ. τουτέστι τῇ
παρούσῃ ζωῇ ἔργων πρὸ πάντων. ἀπὸ πάντων φημὶ τῶν
ἔργων. Τὸ ἀρετῇ. ἢ πρὸς τὸ θήξας, ἵν' ᾖ παρακινήσας
ἐν ἀρετῇ· ἢ πρὸς τὸ ὁρμῆσαι, ἵν' ᾖ, ὁρμῆσαι ἐν ἀρε-
τῇ. πρὸς κλέος μέγα, ἢ τῇ ἑαυτοῦ, ἢ τῇ ἐκείνου. [Α- 28
γῶνα δ' ἐξαίρετον.] τὸν ἀγῶνα δὲ τὸν ἐξαίρετον, ἀντὶ τοῦ,
τὸ κατασκεύασμα τὸ ἐν Ολυμπίᾳ, ἔνθα ὁ ἀγὼν ἐτελεῖ-
το, ὑμνῆσαι ὦρσαν· ἤγουν διήγειραν ἐμὲ, δηλονότι αἱ θέ-
μιτες· ἤγουν, αἱ νομοθεσίαι τοῦ Διὸς, αἱ κατὰ νόμους
συνήθειαι. τοῦ Διὸς δὲ λέγει αὐτὰς, ἐπειδὴ βασιλέα
πάντων * αὐτὸν ἐνόμιζε. βασιλέως δὲ τὸ νομοθετεῖν. ὃν·
ἤγουν τὸν ἀγῶνα, ἡ ἰσχὺς τοῦ Ηρακλέους, περιφραστικῶς ὁ
Ηρακλῆς, ἐκτίσατο, ἀντὶ τοῦ ἔκτισε, κατεσκεύασε, πλησίον
τοῦ ἀρχαίου μνήματος τοῦ Πέλοπος. ἐπεὶ, ἤγουν ἀφ'
οὗ, τὸν Κτέατον τὸν ἀμύμονα· ἤτοι τὸν ἄψογον ἐφόνευσε, τὸν
υἱὸν τοῦ Ποσειδῶνος. ἐφόνευσε δὲ τὸν Εὔρυτον τὸν ἀδελφὸν
αὐτοῦ, ἵνα πράσσοιτο, ἤγουν ἀπαιτοίη τὸν Αὐγείαν ἄκοντα
ἑκὼν τὸν μισθὸν, τὸν ὑπέρβιον, τὸν ὑπερβολικῶς πολὺν, ἀπὸ
μεταφορᾶς τῶν ὑπερβολικῶν τὴν ἰσχύν. [Τὸν λάτριον.] τουτέστι 34
τὸν ὑπὲρ τῆς δουλείας τῆς ἐξαιρέσεως τῆς κόπρου. συνεμάχουν
γὰρ οὗτοι· ἤτοι ὁ Κτέατος καὶ ὁ Εὔρυτος τῷ Αὐγείᾳ, οὐ
προθυμουμένῳ δοῦναι τῷ Ηρακλεῖ τὸν συμπεφωνημένον μι-
σθόν. ἦσαν δὲ οὗτοι μητρὸς μὲν τῆς Μολιόνης, ἀφ' ἧς καὶ
Μολιονίδαι ἐλέγοντο. πατρὸς δὲ, λόγῳ μὲν τοῦ Ακτορος
αὐτοὺς ἔλεγον· τῇ δ' ἀληθείᾳ, τοῦ Ποσειδῶνος ἐνόμι-
ζον. Κτέατος καὶ Εὔρυτος Μολιόνης καὶ Ποσειδῶνος υἱοί.
ὅτε δὲ Ηρακλῆς μετὰ Τιρυνθίων κατ' Αὐγείου ἐστράτευσε,
συμμαχοῦντες οὗτοι Αὐγείᾳ, ἔν τινι τόπῳ τῆς Ηλιδος λο-
χήσαντες τοῦ στρατοῦ τὸ πλεῖστον διέφθειραν· ἐπειθ' ὕστε-
ρον αὐτοὺς Ηρακλῆς εἰς τὸν ἀγῶνα μέλλοντας ἐπιέναι λο-
χήσας καὶ αὐτὸς ἐν ταῖς λόχμαις τῶν Κλεωνῶν, τούτους
ἀπέκτεινε. μονωθέντος οὖν Αὐγείου, πρῶτον μὲν τὴν πό-
λιν αὐτοῦ πορθεῖ· ἔπειτα καὶ αὐτὸν ἀναιρεῖ. [Ως πράσ- 36
σοιτο.] τὸ ὡς ἢ, ἀντὶ τοῦ ἐπεὶ, ἵν' ᾖ τὸ πράσσοιτο,
ἀντὶ τοῦ ἔπρασσεν· ἢ, ἀντὶ τοῦ ἵνα, ἵν' ᾖ πρὸς τὰ
μέλλοντα. τὸ δὲ ὑπέρβιον, πρὸς τὸν Αὐγείαν συναπτέον.
[Λόχμαισι δέ.] ὁ δὲ, ἀντὶ τοῦ γάρ· ἤγουν, ἐν συνδένδροις
γὰρ τόποις ὑποκάτω τῶν Κλεωνῶν. πόλις δὲ τοῦ Αργους
αἱ Κλεωναί. ἐφόνευσε καὶ ἐκείνους ὁ Ηρακλῆς, τουτέστι τὸν
Κτέατον καὶ τὸν Εὔρυτον. ἐφ' ὁδῷ· ἤγουν ἐν ἕδρᾳ. δο-
κεύσας καὶ ἐπιτηρήσας, διότι πρότερον αὐτοὶ οἱ Μολίονες
οἱ ὑπερφίαλοι, ἤγουν οἱ ὑπερβολικῶς ὑπερήφανοι, στρατὸν
Τιρύνθιον· ἤτοι Αργεῖον καθήμενον ἐν ταῖς κοιλάσι τῆς
Ηλιδος ἐπόρθησαν, ἀντὶ τοῦ ἔφθειραν. [Καὶ μὴν ξεινα- 43
πάτας.] καὶ μὴν ὁ βασιλεὺς τῶν Επειῶν, ἤτοι τῶν Η-
λείων, ἤγουν ὁ Αὐγείας ὁ ξειναπάτας. τουτέστιν ὁ τοὺς
φίλους ἀπατῶν. τοῦτο δὲ φησὶ, διὰ τὴν τοῦ μισθοῦ ἀγνω-
μοσύνην αὐτοῦ. ὄπιθεν, ἤγουν ὕστερον μετὰ ταῦτα, οὐκ
ἐπὶ πολὺν χρόνον, εἶδε τὴν πατρίδα τὴν ἑαυτοῦ πό-
λιν τὴν πολυκτέανον· ἤτοι τὴν πολυκτήμονα, τὴν πολυ-
θρέμμονα. ὑπὸ στερεοῦ πυρὸς, ἰσχυροῦ, δραστηρίου, καὶ
ὑπὸ πληγῶν σιδήρου καθίζουσαν, ἀντὶ τοῦ καταδυομένην
εἰς βαθὺ ῥεῦμα βλάβης. [Νεῖκος δέ.] ὁ δὲ, ἀντὶ τοῦ γάρ· 47
ἤγουν τὴν φιλονεικίαν γὰρ τὴν πρὸς τοὺς ἐπικρατεστέρους
κινηθεῖσαν, ἀποθέσθαι, ἀντὶ τοῦ ἐκφυγεῖν, ἐπιτιθεμένην δη-
λονότι καὶ βλάπτουσαν. ἡ ἀπόθεσις γὰρ ἐπὶ βάρους λέγεται.
ἄπορον, ἤγουν ἀμήχανον, ἀδύνατον. καὶ ἐκεῖνος, ἤγουν
ὁ Αὐγείας, δι' ἀβουλίαν, τουτέστι μωρίαν ὕστατος, ἤγουν
τελευταῖον περὶ τὸ τέλος τῆς ἁλώσεως, τουτέστι τῆς πορ-
θήσεως τῆς ἑαυτοῦ πόλεως, συναντήσας, ἤγουν συγκρού-
σας τῷ Ηρακλεῖ δηλονότι, θάνατον χαλεπὸν οὐκ ἐξέφυγεν.

‡ MSS. κωλύετε. * MSS. add. διὰ φροντίδος ἐστίν. † MSS. add. ἤτοι ὁ πόλεμος, ὁ χαλκοῦς ἤτοι ὅπλοις ὠχυρωμένος. ‡ Editt. συνεστάλη.
* MSS. αὐτὸν ἐνόμιζον. † MSS. add. ἐπιρρηματικῶς.

[Αποθέσθ' ἄπορον.] ἀμήχανον. διὸ καὶ Αὐγείαν οὐκ οἴ-
οντ' ἦν τὴν Ηρακλέους μάχην ἀποφυγεῖν, καὶ μὴ ὑπὸ
51 τούτου τετιμωρῆσθαι. [Ο δ' ἄρ' ἐν Πίσᾳ.] ὁ δὲ υἱὸς τοῦ
Διὸς ὁ ἰσχυρὸς· ἤγουν ὁ Ηρακλῆς ἐν τῇ Πίσῃ ἔλσας,
τουτέστι συναγαγὼν, κατασχὼν ὅλον τε τὸν στρατὸν καὶ πᾶ-
σαν τὴν λείαν· ἤγουν τὴν λαφυραγωγίαν, ἐσταθμᾶτο, ἀν-
τὶ τοῦ κατεμέτρει χάριν τοῦ πατρὸς αὐτοῦ τοῦ μεγί-
στου· ἤγουν τοῦ Διὸς, ναὸν ἄγαν θεῖον, ἀντὶ τοῦ τό-
πον εἰς κατασκευὴν ναοῦ κατὰ πολὺ θείου. περιπήξας δὲ,
ἤγουν περιορίσας, περικυκλώσας τὴν ἄλτιν μὲν, τουτέστι τὸ
ἱερὸν, ἔστησεν ὁ Ηρακλῆς ἐν καθαρῷ τόπῳ δηλονότι, διέ-
κρινεν· ἤτοι διεχώρισε. τὸ δὲ κύκλῳ τῆς ἄλτεως πέδον,
ἤγουν χωρίον, ἐποίησε δείπνου κατάλυσιν, ἤγουν κατα-
γωγὴν, ἀνάπαυσιν. τιμήσας τὸν πόρον τοῦ Αλφειοῦ περι-
φραστικῶς. ἀντὶ τοῦ τὸν Αλφειὸν, μετὰ τῶν δώδεκα θεῶν
τῶν βασιλέων. καὶ πάγον, ἤγουν, ὄρος Κρόνου, τουτέστι
Κρόνιον λόφον, προσεφθέγξατο, ἤτοι προσηγόρευσεν. ὠνό-
61 μασε πάντα τὸν τόπον δηλονότι. πρότερον γὰρ [Νώνυ-
μνος] ἤτοι ἄδοξος. ἔξω ὕμνου· ἤτοι κλέους προσηγο-
ρίας δηλονότι ἡ χώρα, ἧς ἐβασίλευεν ὁ Οἰνόμαος, ἐβρέχετο
πολλῇ νιφάδι. τουτέστιν, ἐκαλύπτετο τῇ σιωπῇ, ὥσπερ ὑπὸ πολ-
λῆς καταφερομένης χιόνος. Τινές φασιν ὡς πρὸ τοῦ τὸ
δωδεκάθεον τὸν Ηρακλέα ποιῆσαι, Κρόνιος ἐκαλεῖτο λό-
φος, διὰ τὸ Κρόνου ἱερὸν ἐνταυθοῖ εἶναι. ἄλλοι δὲ λέ-
γουσι, μεθ' ὧν καὶ Πίνδαρος, ὡς ἔρημος ἦν ὁ χῶρος,
Ηρακλῆς δὲ τὸ δωδεκάθεον κτίσας Κρόνιον λόφον τὸν τό-
πον ὠνόμασεν, ἀπὸ τοῦ ὑπερέχοντος. ὁ γὰρ Κρόνος πα-
τὴρ τῶν θεῶν. Δέον εἰπεῖν νωνύμνως, νώνυμνον εἶπε
πρὸς τὸ μέρος οὕτως. ἧς γὰρ χώρας Οἰνόμαος ἦρχε τοῦ-
το τὸ μέρος ἐν ᾧ νῦν ἡ Ολυμπία, ἐβρέχετο πρόσθεν
ἐν πολλῇ νιφάδι νώνυμνον· ἤτοι ἀνώνυμον, ἀκλεές. εἰ-
κότως δὲ εἶπε τὸ νιφάδι. λόφος γὰρ ἦν. ἔστι δὲ ἡ τοι-
αύτη γενικὴ τὸ ἧς, πρὸς τὸ νώνυμνον. ἵν' ᾖ ἀκλεὲς
63 καὶ ἄδοξον αὐτῆς. [Ταύτᾳ δ' ἐν πρωτογόνῳ.] ἐν ταύ-
τῃ δὲ τῇ ἑορτῇ τῇ πρωτογόνῳ· ἤγουν τῇ πρώτῃ γε-
νομένῃ. τουτέστι τῇ ἐν πρώτῃ καταβολῇ τῶν Ολυμπίων,
παρέστησαν μὲν ἤγουν παραγενόμεναι ἔστησαν πλησίον αἱ
Μοῖραι. πάρεστι καὶ ὁ Χρόνος ὁ μόνος τὴν ἀλήθειαν ἀπο-
δεικνύων φανερῶς. τὸ δὲ σαφὲς ἔμπροσθεν χωρῶν ἐφανέ-
ρωσεν· ἀντὶ τοῦ φανεροῖ, δηλοῖ. ταῦτα δέ φησι διὰ τὸ
* παρακολουθήσασαν τῷ ἀγῶνι εὐδαιμονίαν καὶ τοῦ κλέους
βεβαίωσιν. Τὰς Μοίρας εἶπε καὶ τὸν Χρόνον παρεστῆναι
τότε τῇ πανηγύρει, ἵνα εὐδαίμων εἴη καὶ μηδέποτε
67 παύσαιτο. [Τὸ δὲ σαφανές.] τὸ σαφανὲς ἐστι μεθερμη-
νευτικὸν τὸ ὅπα. τὸ δὲ ἀκρόθινα πρὸς τὸ ἔθυον συνα-
πτέον. ἵν' ᾖ τὸ δηλῶν πρὸς τὴν τοῦ πολέμου δό-
68 σιν. [Οπα τὰν πολέμου δὲ δόσιν.] ὁπηνίκα δὲ τὴν δω-
ρεὰν τοῦ πολέμου ὁ Ηρακλῆς δηλονότι, διαχωρίσας τὰ
ἀκρόθινα· ἤγουν τὰ ἐξαίρετα, ἔθυε. καὶ εὐθὺς τὴν πεν-
ταετηρίδα ἑορτὴν· ἤγουν τὴν διὰ πέντε ἐτῶν τελου-
μένην, κατέστησεν· ἤτοι ἔταξεν, τελεῖσθαι ἐποίησεν ἐν
Ολυμπιάδι πρώτῃ. τουτέστιν ἐν τῇ πρώτῃ ἑορτῇ. καὶ ἐν
ταῖς πρώταις δηλονότι νικηφορίαις, ἢ νίκαις, τίς δὴ ἐκληρώ-
σατο στέφανον ποτάνιον· ἤγουν πρόσφατον, ἐναγώνιον.
χερσὶν, ἀντὶ τοῦ ἔργοις χειρῶν. τουτέστι διὰ πυγμῆς, ἢ
δισκεύσεως, ἢ τοιούτου τινός. καὶ ποσὶν, ἀντὶ τοῦ ἔργοις
ποδῶν· ἤτοι διὰ δρόμων καὶ ἅρμασιν, ἤγουν δι' ἁρ-
μάτων, ἀντὶ τοῦ καὶ δι' ἱππηλασίας, ἐν δόξῃ θέμενος ἑαυ-
τὸν δηλονότι. καθελὼν, ἀντὶ τοῦ ἑλών· ἤτοι λαβὼν καύ-
χημα ἔργῳ, τουτέστι δι' οἰκείας νίκης, δι' οἰκείων ἀν-
74 δραγαθημάτων. [Εν δόξᾳ θέμενος.] θέμενος ἑαυτὸν δη-
λονότι ἐν δόξῃ καὶ τιμῇ, καθελὼν καὶ καταβαλὼν τὸ
εὖχος τοῦ ἀνταγωνιστοῦ· ἤτοι τὸν ἀνταγωνιστὴν αὐτοῦ καὶ
76 οὐκ ἐάσας νικῆσαι τε αὐτὸν καὶ καυχήσασθαι. [Στάδιον
μέν.] τὸ στάδιον μὲν τὸ κατ' εὐθεῖαν εἰς μῆκος τετα-
μένον, διὰ τῶν ποδῶν τρέχων ὁ Οἰωνὸς, ὁ υἱὸς τοῦ Λι-
κυμνίου, ἠρίστευσεν· ἤγουν, ἠνδραγάθησεν, ἄριστος ἐφάνη.
ἦλθε δὲ Μιδέαθεν, ἤτοι ἀπὸ τῆς Μιδέας, πόλις δὲ αὕτη
τοῦ Αργους, στρατὸν ἐλαύνων, τουτέστιν ἄγων, ἐπαγόμενον
ἔχων. ὁ δὲ Εχεμος ἠρίστευσεν ἐν πάλῃ δοξάζων τὴν Τέ-
γεαν τὴν ἑαυτοῦ πατρίδα. ἔστι δὲ ἡ Τέγεα, πόλις Αρκα-
δική. ὁ Δόρυκλος δὲ ἔφερεν, ἀντὶ τοῦ ἤρατο, τὸ τέλος·
ἤγουν τὸ κράτος τῆς πυγμῆς. τουτέστι τὴν ἐν τῇ πυ-
γμῇ νίκην. οἰκῶν τὴν πόλιν τὴν Τίρυνθα. ἐν ἵπποις δὲ τέ-
τρασιν ὁ Σῆμος ὁ ἀπὸ Μαντινέας, νικήσας δηλονότι ἠεί-
δετο· ἤγουν ἀνεκηρύττετο· [Φράστωρ δὲ,] δι' ἄκοντος ἔλα- 85
σεν· ἤγουν ἀφῆκεν, ἔπεμψεν ἐπὶ τὸν σκοπόν. τουτέστιν εὐ-
στόχως ἠκόντισεν. ὁ Ενικεὺς δὲ τὴν χεῖρα κυκλώσας, ἤγουν
κατὰ κύκλον στρέψας, ἔδικε, τουτέστιν ἔβαλλε διὰ πέτρας·
ἤτοι ἐδίσκευσεν εἰς μῆκος ὑπὲρ ἅπαντας, τοὺς ἀνταγω-
νιστὰς δηλονότι. καὶ τῇ συμμαχίᾳ, ἀντὶ τοῦ τῷ πλή-
θει τῶν † συναγωνιστῶν, παραίθυξε, τουτέστιν ἐκίνησε ‡ θόρυ-
βον μέγαν. Μὴ λάβῃς εἰς τὸ μῆκος ἔξωθεν εἰς. ἀλλ'
οὕτω λέγε. ὁ Ενικεὺς δὲ κυκλώσας τὴν χεῖρα ἐν πέτρῳ,
ἔδικε καὶ ἔρριψε μῆκος· ἤγουν, ἡ τοῦ πέτρου ῥίψις πολ-
λοῦ μήκους ἐγένετο ὑπὲρ ἅπαντας καὶ ἐπέκεινα πάντων.
ὥσπερ δὲ φαμὲν, ὑβρίζω σε ὕβριν, οὕτω καὶ ἔδικε μῆ-
κος· ἀντὶ τοῦ μακρὰν ἔρριψε ῥίψιν. [Εν δ' ἕσπερον
ἔφλεξεν.] ἐν τούτοις δὲ, ἤγουν, ἐν ᾧ χρόνῳ ταῦτα ἐγί- 90
νετο, ἔφλεξεν· ἤτοι ἀνέλαμψε τὸ ἐπέραστον φῶς τῆς σε-
λήνης τῆς εὐοφθάλμου. ἕσπερον, ἐπιρρηματικῶς, ἀντὶ τοῦ
κατὰ τὴν ἑσπέραν. τουτέστιν, οὔσης δὲ πανσελήνου ταῦτα
ἐτελεῖτο. ἀείδετο δὲ, ἀντὶ τοῦ περιηχεῖτο τοῖς ὕμνοις πᾶς
ὁ ναὸς, κατὰ τὸν τρόπον, ἀντὶ τοῦ τὸν νόμον τὸν ἐγκωμια-
στικόν. ἐν θαλίαις, ἤγουν εὐωχίαις ἡδείαις. ἃς δηλονό-
τι εὐωχοῦντο οἱ εὐφημοῦντες. [Αρχαῖς δὲ προτέραις.] 94
ἑπόμενοι δὲ, ἀκολουθοῦντες ταῖς προτέραις ἀρχαῖς· ἤγουν
τῇ παλαιᾷ συνηθείᾳ (πρὸ γὰρ τῶν νικηφόρων τότε ὁ
Ζεὺς ὑμνεῖτο) κελαδησόμεθα καὶ ὑμνήσομεν τὴν βροντὴν
τοῦ ὀρσικτύπου Διὸς καὶ τὸ πυρπάλαμον βέλος. τὸν αἴθω-
να καὶ τὸν καυστικὸν κεραυνόν. τὸν ἀρηρότα καὶ ἡρμοσμέ-
νον ἐν ἅπαντι κράτει, ἤγουν, ᾧ Ζεὺς χρῆται εἰς ἅπα-
σαν χρείαν. κελαδησόμεθα χάριν καὶ ὕμνον, ἐπωνυμίαν τῆς
ἀγερώχου νίκης. ὁ γὰρ ἐπινίκιος τῆς νίκης ἐπώνυμος.
ὥσπερ δὲ φαμὲν, ὑμνῶ ὕμνον, οὕτω καὶ τὸ, κελαδησόμεθα
χάριν. τὸ γὰρ πρὸς τὸν Δία κελάδημα, χάρις καὶ ὕμνος
ἐστίν. οἱ δὲ τὸ εἰς πρὸς τὸ χάριν λαμβάνοντες ἔξωθεν,
ἀγνοοῦντες λέγουσιν. [Αρχαῖς δὲ προτέραις,] ἀντὶ τοῦ, ταῖς
τάξεσι δὲ τῆς ἀρχῆς τῆς παλαιᾶς ἀκολουθοῦντες καὶ νῦν
ἡμεῖς, εἰς χάριν ἐπωνυμίαν, ἀντὶ τοῦ περιώνυμον, ἤτοι
περίφημον, μεγάλην, τῆς νίκης τῆς ἀγερώχου, τουτέστι τῆς
μετεώρου, τῆς ἐξόχου, ὑμνήσομεν τὴν βροντὴν τοῦ Διὸς
τοῦ κινοῦντος τοὺς κτύπους τῶν βροντῶν· καὶ τὸ βέλος τὸ
πυρπάλαμον· ἤγουν τὸ πῦρ προτεῖνον, τουτέστι τὸ πυ-
ρῶδες. λέγω τὸν κεραυνὸν τὸν καυστικὸν, τὸν ἀρηρότα· ἤγουν
τὸν ἁρμόζοντα, τὸν ἐπαρκοῦντα ἐν ἅπαντι τῷ κράτει αὐ-
τοῦ, ἀντὶ τοῦ ἐν πάσῃ χρείᾳ τοῦ κράτους αὐτοῦ. ἡ μολ-
πὴ δὲ τῶν μελῶν, ἀντὶ τοῦ, τῶν ποιημάτων, τῶν ἐγκω-
μίων· ἤγουν σὺν αὐλῷ ᾀδομένη, χλιδῶσα, ἤγουν τρυ-
φῶσα, ἁβρὰ· ἀντιάσει. τουτέστιν ἀπαντήσει ταῖς ἀκοαῖς δη-
λονότι, ἄπινα, τουτέστι τὰ μέλη, τὰ ἐγκώμια, διὰ χρό-
νου μὲν ἐφάνησαν παρὰ τῇ Δίρκῃ τῇ εὐκλεεῖ, ἀντὶ τοῦ
τῇ εὐκλεεῖ, κατὰ συγκοπήν. ὡς ἐν ἄλλοις εὐκλέα λέγει
μορφάν· ἀντὶ τοῦ εὐκλεᾶ, τουτέστι παρὰ ταῖς Θήβαις. τὸν
ποταμὸν γὰρ εἰπὼν τὸν παρὰ ταῖς Θήβαις, τὰς Θήβας
ἐδήλωσεν. Εἰκότως εἶπε τὸ ἀλόχου. ἵνα δείξῃ οἰκεῖον
αὐτοῦ παῖδα. λέγει δὲ ὅτι, εἰ καὶ μὴ ἡνίκα ἐνίκησας
τὸν ὕμνον σοι ἔγραψα, ὅμως νῦν ἀποδιδοὺς, μεγίστην εὐ-

* MSS. ἐπακολουθήσασαν. † MSS. ἀνταγωνιστῶν. ‡ MSS. add διερρίπισε.

φροσύνην

φερνὴν προσάγω σοι, καὶ τοιαύτην οἵαν παῖς παρέ-
χει πατρὶ εἰς γῆρας αὐτῷ γεγονὼς, ἐκ τῆς ἰδίας ἀλό-
χου. ἔστι δὲ ἡ ἀπόδοσις τῆς παραβολῆς εἰς τὸ καὶ ὅταν,
εἰ καὶ δοκεῖ ἀναρμόστως ἀποδοθῆναι. δέον γὰρ οὕτως εἰπεῖν.
ὥσπερ ὀψίγονος παῖς ποθεινὸς τῷ πατρὶ, οὕτω καὶ τὸ
ὕστερον δοθὲν τινὶ ἐγκώμιον πρέπον ποιῆσαι. ὁ δὲ ἄλλως
ἐξηνέγκεν. εὕροις δ' ἂν καὶ παρὰ λογοποιοῖς πολλὰ
102 τοιαῦτα. [Αλλ' ὥστε παῖς.] ἀλλ' οὕτως ἐφάνη τέρψιν
ἔχοντα, δηλονότι πρὸς τὸν νενικηκότα, καθὰ παῖς πο-
θεινὸς ἀπὸ γυναικὸς γνησίας τῷ πατρὶ φαίνεται, γεννη-
θεὶς αὐτῷ ἤδη εἰς τὸ γῆρας ἀφιγμένῳ. κατὰ πολὺ δὲ
θερμαίνει· ἤγουν ἐξάπτει, διεγείρει τὸν λογισμὸν αὐτοῦ πρὸς
φιλοφροσύνην. ἐπεὶ ὥσπερ πλοῦτος ὁ λαχών· ἤγουν ὁ
κληρωσάμενος, ὁ εἰς κλῆρον λαβὼν ποιμένα, ἀντὶ τοῦ δε-
σπότην ἐπείσακτον, ἀλλότριον, κατὰ πολὺ μεμισημένον ἐστὶ
τῷ ἀποθνήσκοντι, ἀντὶ τοῦ ἐπεὶ ὥσπερ κατὰ πολὺ μεμι-
σημένον ἐστὶ τῷ ἀποθνήσκοντι τὸ εἰς κλῆρον λαβεῖν τὸν
πλοῦτον αὐτοῦ δεσπότην ἐπείσακτον, τὸν ἀλλότριον, οὕτως, ὦ
Αγησίδαμε, καὶ ὅταν ἀνὴρ καλὰ ἔργα πράξας, εἰς τὸν
σταθμὸν, ἤγουν εἰς τὸν τόπον τοῦ ᾅδου. τουτέστιν εἰς τὸν Αδην
ἀφίκηται χωρὶς ᾠδῆς· ἤτοι ἐγκωμίων, κενὰ καὶ μάταια κο-
πιάσας, βραχεῖάν τινα τέρψιν παρέχει τῷ ἀγῶνι, ἀντὶ
τοῦ οὐδεμίαν. [Τὶν δ' ἁδυεπής τε λύρα,] ἀντὶ τοῦ ἡδύ- 113
φωνος, ἀναπάσσει. τουτέστιν ἐπιπάσσει, ἐνστάζει, χέει, ἀν-
τὶ τοῦ μέλος χέειν· ἤγουν τὸ ἐπαγωγὸν ‡ ἔχων καὶ τερ-
πνὸς αὐλὸς ἀναπάσσει χέειν. ἔχουσι δέ σοι, ἀντὶ τοῦ
φέρουσι, παρέχουσιν αἱ Πιερίδες· ἤτοι αἱ Μοῦσαι αἱ θυ-
γατέρες τοῦ Διὸς, κλέος εὐρὺ, ἤγουν ἐπὶ πολὺν τό-
πον περιπεμπόμενον. ἐγὼ δὲ συνεφαπτόμενος· ἤγουν συνεργ-
ῶν, συλλαμβανόμενος αὐταῖς ταῖς Μούσαις δηλονότι, σὺν
σπουδῇ, ἀμφέπεσον· ἀντὶ τοῦ * περιεπλύσομαι τὸ περιαδόμε-
νον καὶ εὐκλεὲς ἔθνος τῶν Λοκρῶν. καταβρέχων δὲ μέ-
λιτι, ἀντὶ τοῦ κοσμῶν ὕμνῳ ἡδεῖ τὴν πόλιν † αὐτῶν τὴν
καλῶς ἔχουσαν ἕνεκα γενναιότητος ἀνδρῶν. τὸν υἱὸν [Δὲ 120
Αρχεστράτου,] ἤγουν σὲ, ‡ ᾔνεσα, ἀντὶ τοῦ ἐπαινῶ. ὃν εἶ-
δον, ἀντὶ τοῦ ἔγνων νικῶντα ἔργῳ τῆς ἰσχύος τῶν χειρῶν
τουτέστι πυγμῇ, ἐν Ολυμπίᾳ κατ' ἐκεῖνον τὸν χρόνον,
ὅτε ἠγωνίζετο δηλονότι, κατὰ τὴν ἰδέαν τε, ἤγουν τὸ
εἶδος, τὴν μορφὴν καλὸν ὄντα· ἤτοι εὐειδῆ. ὥρᾳ τε· ἤγουν ἀκμῇ,
ἡλικίαν κεκραμένον· τουτέστι συνόντα. ἥτις, ἤγουν ἡ ὥρα ἅμα τῇ
Αφροδίτῃ ἄλαλκε τῷ Γανυμήδει· ἤγουν ἐβοήθησε, ἀποσβέσασα
τὸν ἀναιδῆ θάνατον, τουτέστι τὸν ἄκαμπτον, καὶ φθοροποιόν. *

‡ MSS. ἔχει. * MSS. περιεπλύσομαι. † MSS. αὐτῷ. ‡ Αἴνησα leg. MSS. * Add. MSS. β.γ. ἀναιδὴς γὰρ οὗτος κυρίως, ἐπεὶ οὐδενὸς αἰδῶ φυλάττει.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΕΝΔΕΚΑΤΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ ἑνδεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ἕξ. Τὸ α', ἰαμβέλεγος, τῆς τελευταίας εἰς τὴν ἀρχὴν μετατεθείσης. Τὸ β', ὅμοιον τῷ προτέρῳ, παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ γ', τὸ αὐτὸ παρὰ τὸν τελευταῖον πόδα. Τὸ δ', μικρὸν ἐκ διμέτρου τροχαϊκοῦ, καὶ ἡμίσεως ἔπους. Τὸ ε', τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον, εἰς ἴαμβον Πινδαρικῷ ἔθει. Τὸ ς', ἰαμβικὸν τρίμετρον ἀκατάληκτον, ἢ ἰαμβέλεγος.

Περὶ τῆς ἐπῳδοῦ αὐτῆς.

Η δὲ ἐπῳδὸς κώλων δέκα. Τὸ α', ἐγκωμιολογικόν. Τὸ β', δίμοιρον ἔπους. Τὸ γ', ἰαμβέλεγος παρὰ τὴν πρώτην συλλαβήν. Τὸ δ', τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ ε', τὸ αὐτό. Τὸ ς', Εὐριπίδειον. Τὸ ζ', ἐγκωμιολογικόν, ἐπιλαμβάνον. Τὸ η', χορίαμβος, δίμετρον ὑπερκατάληκτον. Τὸ θ', Εὐριπίδειον. Το ι', τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

Τῷ αὐτῷ τόκος.] τόκος γέγραπται, ἐπειδὴ ἐν προσθήκης μέρει τελευταῖον γέγραφε. δεδιὼς ὡς ἂν τόκον διὰ τὸ μὴ παρὰ τὸν τῆς νίκης καιρὸν γεγραφέναι τὸν ἐπίνικον, καθάπερ καὶ ἐπὶ δανεισμάτων, τὸ προστιθέμενον ἐκτὸς τῶν ἀρχαίων. τόκος δὲ κέκληται παρὰ τὸ ἐπιτετέχθαι καὶ ἐπηυξηκέναι τῷ ἀριθμῷ, τῶν δανείσματος.

Metrica vero ratio ita habet:

στροφὴ & ἀντιστροφή.

1. - ∪ - -   - ∪ ∪ -   ∪ ∪ - -
2. - ∪ - -   - ∪ ∪ -   ∪ ∪ -
3. - ∪ - -   - ∪ ∪ -
4. - ∪ - ∪   - ∪ - -   - ∪ ∪ -   ∪ ∪ - -
5. - ∪ - -   - ∪ - -   ∪ ∪
6. - - ∪ -   ∪ - ∪ ∪   - ∪ ∪ -

ἐπῳδός.

1. - ∪ ∪ -   ∪ ∪ - -   ∪ - ∪ -   -
2. - ∪ ∪ -   ∪ ∪ - -   - ∪ ∪
3. ∪ ∪ ∪ -   - - ∪ ∪   - ∪ ∪ -
4. - ∪ - -   - ∪ - ∪   - ∪ -
5. - ∪ - -   - ∪ - ∪   - ∪ -
6. - ∪ - -   - ∪ -
7. - ∪ ∪ -   ∪ ∪ - -   - ∪ - -   - ∪ -
8. - ∪ ∪ -   - - ∪ -   -
9. - ∪ - ∪   - ∪ - ∪
10. ∪ - - -   ∪ - -

ΤΩ

ΤΩ ΑΥΤΩ *ΑΓΗΣΙΔΑΜΩ, ΤΟΚΟΣ. ΕΙΔΟΣ ΙΑ'.

EIDEM AGESIDAMO, FOENUS. ODE XI.

ARGUMENTUM.

Continet hæc Ode victoris Agesidami laudes, ejusque patriæ: Illum à pugilatu, & corona victoriæ: hanc à sapientia, hospitalitate, & fortitudine commendat.

στροφὴ α'. κώλων ϛ'.

Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλεῖστα
Χρῆσις· ἔστιν δ' οὐρανίων ὑδάτων
Ὀμβρίων, παίδων Νεφέλας.
Εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες
Ὑστέρων ἀρχαὶ λόγων τέλλεται, [ὕμνοι
Καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

METAPH.

Est hominibus ventorum nunc plurimus
Usus: nunc item cœlestium aquarum
Pluviarum, filiarum Nubis.
Si vero cum labore quis bene agat, suaves [hymni
Posteriorum occasiones sermonum fiunt,
Et fidum pignus magnis virtutibus.

ἀντιστροφὴ α'. κώλων ϛ'.

Ἀφθόνητος δ' αἶνος Ὀλυμπιονίκαις
Οὗτος ἄγκειται. Τὰ μὲν ἁμετέρα
Γλῶσσα ποιμαίνειν ἐθέλει.

METAPH.

Invidiæ-expers vero laus Olympionicis
Hæc reposita-est. *Et* hæc quidem nostra
Lingua pascere vult.

PARAPHRASIS.

Quemadmodum apud homines, magnus est usus, alias ventorum, ut ad navigationem, alias pluviarum quas nebulæ producunt, ut ad agrorum recreationem: sic etiam carminum, ad laudem clarorum virorum. Quandoquidem dulcisoni hymni, ejus qui magnis in laboribus strenue se gessit, famam ad posteros perferunt, & magnarum virtutum honorem firmum stabilemque reddunt: ac si laus quam continent, & virtus irruptum jurejurando fœdus iniverint. Hujusmodi autem laus quæ encomiasticis hymnis continetur, quam nulla temporis longinquitas, nec hominum invidia delere queat, etiam Olympiorum victoribus debetur. Quorum equidem curam ex officio suscipere volo,

NOTÆ.

* Ἀγησιδάμῳ omitt. MS. Bodl. 1 Ἐστὶν ἐν ἀνθρώποις leg. MSS. Bodl. 6. γ. qua ratione non constat metrum. Omnes Codd. leg. ὅτε i. e. Quando. 4 Εἰ καὶ leg. Schmid. nisi sit erratum, uti videtur. Hoc κῶλον in duo distrib. MS. γ. & vox πράσσοι prius claudit. Μελιγάρυες] Gl. MS. γ. Γλυκύφωνοι. Editt. Plantin. & Commelin omitt. ὕμνοι. 5 Ὑστέρων] Gl. MS. γ. Μεγίστων. Τέλλεται] Schmid. conjicit corruptum esse locum; & quandoquidem in aliquibus τὸ ὕμνοι plane omissum sit, veram lect. fuisse μελίγαρυς ἀοιδή· & eo modo canon Grammatices non violatur, qui certe alias in scriptis Poëtæ nostri, quæ in hæc usque tempora devenere, vix negligitur. Ad hanc irregularem constructionem vitandam vide quæ scrib. Schol. Nιωτ. Urbanus pro τέλλεται hab. τέλεται, quod recte Hartungus pro depravato agnoscit; uti præ cæteris ex metro liquet. Hujusmodi constructionis ad Od. 8. mentionem fecimus. 7 Ἀφθόνητος MS. Bodl. Gl. γ. Πολυφθόνητος.

Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλεῖστα χρῆσις.] ἔστι καιρὸς τοῖς ἀνθρώποις φησὶν ὅτε πλείστη χρεία γίνεται ἀνέμων, ὅπερ ἐπὶ τῶν πλεόντων μάλιστα συμβαίνει. ἔστι δὲ ὅτε καὶ οὐρανίων ὄμβρων τοῖς γηπόνοις χρεία, οὕτω δηλονότι καὶ τοῖς ἀθληταῖς ἐγκωμίων. [Εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι.] εἰ δέ τις, φησὶ, μὴ κατὰ κενὸν πονήσει· ἀλλὰ δὲ τῶν πόνων ἀθλήσας τοῦ ἀθλήματος, τῆς νίκης τύχοι, τούτῳ προσδεῖται ὕμνων. οὗτοι γὰρ αὐτοῦ ἀρχὴν ποιοῦνται τῶν ὕστερον πρὸς αὐτὸν καὶ περὶ αὐτοῦ ἐσομένων λόγων. ἐπειδὴ δὲ ἡδυτάτοις μέλεσιν ἐχρήσατο, μελιγάρυες ὕμνοι, φησὶν, τῶν ὑστέρων λόγων ἀρχαὶ εἰσίν. δι' αὐτοὺς γὰρ καὶ οἱ ὕστεροι μνημονεύονται τῶν πρεσβυτέρων· ἢ, ταῖς ἀρεταῖς οἱ ὕμνοι συνηρμοσμένοι εἰσὶ τῶν ὑμνουμένων. [Ἄλλως.] εἰ δέ τις πονήσας εὖ πράσσοι καὶ νικήσει, τούτῳ οἱ ἡδεῖς ὕμνοι οὗτοι τῶν ἐς ὕστερον τερμόνων ἀρχὴ γίνονται καὶ πρόφασις· ἀντὶ τοῦ, οἱ ὕμνοι οὗτοι αἴτιοι γίνονται, τοῦ καὶ αὖθις μνημονεύεσθαι τοῦ νικηφόρου τὰ κατορθώματα. τῶν ὕστερον μετὰ ταῦτα λόγων, ἤτοι ἐπαίνων μελλόντων λέγεσθαι, τοῦ ὕμνου τὴν ἀρχὴν καὶ τὴν πρόφασιν διδόντος. [Καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς] ἀντὶ τοῦ οἱ ὕμνοι. οὐ γὰρ ἀπολείπουσιν αὐτοὺς παρέοντες, ἀλλ' ἀεὶ μνείαν αὐτοῖς πορίζουσι. καὶ τὸ μέγιστον, ὅτι ἀλλότριος τῶν διὰ φθόνον ἐπιβουλευόντων ὁ ὕμνος ἐστίν. εἰκόνας μὲν γὰρ καὶ ἀγάλματα καθέλοι ἄν τις διὰ φθόνον. ὕμνον δὲ ῥηθέντα οὐκ ἄν τις ἀφανίσοι. [Τὰ μὲν ἁμετέρα γλῶσσα.] ταῦτα οὖν τὰ κατορθώματα καὶ τὰ ἐγκώμια τῶν ἐν Ὀλυμπίᾳ νενικηκότων, καὶ ἡ ἡμετέρα γλῶσσα καὶ Μοῦσα, περιέπειν καὶ ἀνυμνεῖν βούλεται.

Ἐκ Θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ ἐσαεὶ πραπί- [δεσσιν.	At ex Deo vir sapienti semper floret pectore.
Ἴσθι νῦν Ἀρχεστράτου παῖ, τεᾶς,	Scito nunc Archestrati fili, tui,
Ἀγησίδαμε, πυγμαχίας ἕνεκεν	Agesidame, pugilatus causa
ἐπῳδὸς α'. κώλων ι'.	Μεταφρ.
Κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας	Ornamentum *hymni* ad coronam aureæ oleæ
Ἁδυμελῆ κελαδήσω, τὰν Ἐπι-	Dulciloquum canam, Epi-
ζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.	zephyriorum Locrorum gentem curans.
Ἔνθα συγκωμάξατ'. Ἐγγυάσομαι	Ibi una-choream-instituite. Spondebo
Μή μιν, ὦ Μοῖσαι, φυγόξενον στρατὸν,	Non *ad* ipsum, O Musæ, hospites-fugantem [populum,
Μηδ' ἀπείρατον καλῶν,	Neque imperitum pulcrorum,
Ἀκρόσοφον δὲ καὶ αἰχματὰν ἀφίξεσθαι. Τὸ γὰρ	At per-sapientem & Martium venturas. Nam
Ἐμφυὲς, οὔτ' αἴθων ἀλώπηξ,	Ingenitos, neque ardens vulpes,
Οὔτ' ἐρίβρομοι λέοντες,	Neque graviter-rugientes leones,
Διαλλάξαιντο ἦθος.	Mutaverint mores.

PARAPHRASIS.

& encomia pronunciare præstantissimo carmine, quod Deo acceptum feram: cum divini sit muneris nunquam non ingenii solertia, mentisque acumine valere & conspicuum esse. Cæterum Agesidame Archestrati fili, scias velim me tui nunc rationem habere. Te ob pugilatum quo decertasti & vicisti, præter oleastri coronam, qua pulchre redimitus fuisti, blandiloqui carminis ornamento decorabo: eademque opera Locrorum Epizephyriorum gentis celebrationi studebo. Apud hanc, mecum, ô Musæ, choream quæso instituite. Polliceri & spondere ausim vos ad populum accessuras, qui non solum hospitalitatis est amans, rerumque honestarum peritus, sed summa etiam sapientia pollet, rebusque bellicis claret. Quas dotes animi, corporisque à natura quum acceperint, non aliter quam fulva vulpes astutiam, & graviter fremens leo fortitudinem ingenitam, amittere queant, & immutare.

NOTÆ.

10 Θεῦ] Gl. γ. Δυνάμεως. Ἐσαεὶ hoc κῶλον claudit in MS. eodem. 13 Κόσμον] Gl. γ. Ὠδήν. Τὸ ἐπὶ censet Aretius conjungendum cum κελαδήσω, ut sit ἐπικελαδήσω i. e. Accinam. Sed eadem manet sententia, si cum στεφάνῳ jungamus. Ad coronam, ut & Philippus reddidit, vel Ob coronam, ut vulgata versio. 14 Ἡδυμελῆ leg. γ. & in hoc colo hab. Ἐπιζε--. 15 Ἀλέγων] Gl. MS. β. Φροντίζων. γ. φημίζων. MS. C. 71. omitt. ἀλέγων. 17 Φυγόξενον] Gl. MS. β. Ἄφιλον. γ. μισόξενον. Φιλόξενον leg. MS. C. 71. Cæterum Schol. Νεωτ. aliquos dubitare scribit, qua ratione Pindarus particulas privativas μὴ & μηδὲ, ad τὸ φυγόξενον & τὸ ἀπείρατον addiderit, ad ἀκρόσοφον vero & αἰχματὰν non item. Qui sane æquo subtiliores ejusmodi futilia quærendo tempus terunt, non aliud sibi responsum habeant, quam quod linguarum idiomata ex ratiunculis nullis pendeant, verum ex usu solo dignosci possint; & si hic privativæ particulæ fuissent additæ, laudem omnem, qua Poëta Gentem Epizephyriorum Locrorum ornare constituerat, detraxissent. 19 Supra δὲ script. hab. MS. Bodl. τί. MSS. nostra leg. αἰχμητάν. 20 Αἴθων] Gl. MS. β. Καυστική. γ. Κοκκίνη. 21 Ἐρίβρομοι] Gl. MS. γ. Μεγαλόφωνοι. Λέον-- claudit κῶλον in MSS. Bodl. α. & C. 71.

[Ἐκ θεοῦ δ' ἀνήρ.] κατὰ δὲ βούλησιν δαιμονίου ἴσως, καὶ αὐτῷ τινὶ τρόπῳ, σοφὸς διαπαντὸς ἀνθεῖ ταῖς γνώμαις. ἀπὸ γὰρ θείας μοίρας μουσικός τις καὶ ἔξοχος λάμπει. ὁμοίως, ὥσπερ καὶ συνενίκησας. τοῦτο δὲ πρὸς τὰ ἴδια ἐγκώμια κατασκευάζει. λέγων ἑαυτὸν διὰ παντὸς σοφῶς φράζειν. [Ἴσθι νῦν Ἀρχεστράτου παῖ.] ἴσθι δὴ οὖν καὶ γίνωσκε, Ἀγησίδαμε, ὅτι τῆς σῆς πυγμῆς ἕνεκεν, τὸν κόσμον τὸν διὰ τοῦ στεφάνου κελαδήσω. λέγει δὲ, τὸν ὕμνον ἀναβοήσω τῆς καλλιστεφάνου ἐλαίας. [Κόσμον ἐπὶ στεφάνῳ.] τὸν ὕμνον λέγει. παρεῖται δέ τι εἰς τὸ τοῦ λόγου πλῆρες. πληρωθείη δ' ἂν οὕτω. χρυσέας ἐλαίας σε κόσμον δεχόμενον κελαδήσω· τοὺς Ἐπιζεφυρίους, φροντίδος ἀξιῶν Λοκροὺς διὰ σέ. γένη γὰρ Λοκρῶν εἰσὶ τρία. Ἐπιζεφύριοι, Ὀζόλαι, Ἐπικνημίδιοι. τούτων οἱ μὲν Ἐπιζεφύριοί εἰσι Λοκροὶ, ἐν τῇ Ἰταλίᾳ· οἱ δὲ Ὀζόλαι, πρὸς τῇ Αἰτωλίᾳ· οἱ δ' Ἐπικνημίδιοι πρὸς Εὐβοίᾳ, ὅθεν ὁ Οἰλέως Αἴας. [Ἔνθα συγκωμάξατε.] ἐν ταύτῃ τῇ Λοκρίδι τῶν Ἐπιζεφυρίων συγκωμάσατε καὶ συγχορεύσατε, ὦ Μοῦσαι. ἐγγυήσομαι δὲ, ἀφίξεσθαι ὑμᾶς πρὸς στρατὸν μὴ ἄξενον, ἤτοι κακόξενον. μηδὲ καλῶν ἄπειρον, ἀλλὰ πάντων καλῶν πεπειραμένον. [Τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ.] τὸ γὰρ ἦθος τὸ ἐκ τῆς φύσεως, οὐκ ἂν μεταβάλλοι, οὔτε ἡ δολία ἀλώπηξ, οὔτε οἱ φοβεροὶ λέοντες. τοῦτο δὲ, ὡς φύσει ὄντας αὐτοὺς πρὸς ἀρετὴν ἐπιτηδείους· καὶ οὐχ οἷόν τε μεταβληθῆναι αὐτούς. διὰ τοῦτο οὖν, φησὶ, καὶ ἐγγυῶμαι αὐτούς. [Ἄλλως.] τούτοις ὑπακουστέον ὅτι οὐδὲ οἱ Λοκροὶ τὸ συγγενικὸν μετέβαλον. ἀλλ' ὡς ἀπ' ἀρχῆς αἰχμηταὶ τῶν προδεδηλωμένων ἀρετῶν μετέχοντες ἐκ φύσεως. ὥσπερ οὖν ὁ λέων οὐ μεταβάλλει τὸ γενναῖον, οὔτε ἡ ἀλώπηξ τὸ σοφὸν, οὕτως οὐδὲ οἱ Λοκροὶ τὸ ἔμφυτον ἦθος μεταβάλλονται. [Φυγόξενον,] φυγαδεύοντα τοὺς ξένους, κακόξενον. [Ἀκρόσοφον,] τὸν ἐπ' ἄκρον ἰόντα σοφίας. [Αἴθων ἀλώπηξ:] διάπυρος, δολία τῇ διανοίᾳ, ἢ αἴθων, παρόσον λαμπουρὶς καλεῖται.

Τέλος τῆς ἑνδεκάτου τῶν Ὀλυμπίων ᾠδῆς.

ΠΕΡΙ

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ ἑνδέκατον τῶν Ὀλυμπίων εἶδος.

Ἔστιν ἀνθρώποις.] ἔστι καιρὸς ὅτε ἐπὶ τοῖς ἀνθρώ-
ποις χρεία πλείστη ἀνέμων. ἔστι δὲ καιρὸς ὅτε ἐπὶ
χρεία αὐτοῖς ὑδάτων οὐρανίων, ὀμβρίων· τουτέστι, τῶν ἐκ τῶν
ὄμβρων· τῶν παίδων τῆς Νεφέλης· ἤγουν οἵτινες Ὄμβροι
4 παῖδές εἰσι τῆς Νεφέλης. [Εἰ δέ τις σὺν πράσσοι,] ἤγουν
εὐτυχοίη, νικάη μετὰ κόπων, οἱ ἡδύφωνοι ὕμνοι τέλλεται,
ἀντὶ τοῦ τέλλονται· ἤγουν γίνονται αὐτοῦ ἀρχαί. τουτέστι
ῥίζαι· αἰτίαι τῶν ὑστέρων λόγων, ἤτοι φημῶν. τουτέστι τοῦ
6 ἐπικρατῆσαι ὕστερον τὴν φήμην τῆς νίκης. [Καὶ πιστὸν ὅρκιον·]
ἤγουν καὶ βεβαία ἀσφάλεια γίνονται, οἱ ἡδύφωνοι ὕμνοι τοῖς με-
γάλοις κατορθώμασιν αὐτοῦ. ἔστι δὲ ὁ ἔπαινος ὁ δι' ἐμ-
μελῶν ποιημάτων δηλονότι, ἀφθόνητος· ἤγουν ἄπειρος τῶν
κακῶν τοῦ φθόνου, τουτέστιν ἀκαταπόνητος, ἢ ἀδιάβλη-
τος, ἀνάκειται, ἀντὶ τοῦ διαμένει τοῖς Ὀλυμπιονίκαις. Ἐπεὶ
δὴ διπλοῦν ἔφη τὸν ὕμνον γίνεσθαι τοῖς νικηταῖς· τὸν μὲν
ἔγγραφον ἀπὸ τῶν ποιητῶν· τὸν δὲ ἀπὸ φήμης τῶν ἄλλων ἀν-
θρώπων, διὰ τοῦτο τῷ προοιμίῳ ἐχρήσατο τῶν ἀνέμων καὶ
τῶν ὄμβρων. παρεικάζει δὲ τὸν μὲν τῶν ἄλλων φήμην ἀνέ-
μοις, ὡς ἀστάτοις. τοιαύτη γὰρ ἡ φήμη ἀνυπόστατος. τὸν δὲ
ἔγγραφον ὕμνον, ὄμβρῳ, οὐ μόνον ὡς τὴν γῆν πιαίνοντι
καὶ θάλλειν ποιοῦντι τὰ σπέρματα, ἀλλὰ καὶ ὡς στασίμῳ,
καὶ ἐπὶ πλεῖστον καιρὸν διαμένοντι. τοιοῦτος δὲ καὶ ὁ ὕμνος.
θάλλειν γὰρ ποιεῖ τὸν ὑμνούμενον, καὶ εἰς μακροὺς διαμένειν
χρόνους. Σημείωσαι ἐνταῦθα τὸ τέλλεται. οὐδεὶς γὰρ οὔτε
τῶν προγενεστέρων, οὔτε τῶν ἔπειτα, ἐν τοῖς ἀρσενικοῖς καὶ
θηλυκοῖς ὀνόμασι, τῷ ἑνικῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο,
ὥσπερ ἐστί. ἡμεῖς δέ, εἰ καὶ μὴ ἐν ἄλλοις ταυτηνὶ τὴν πα-
ρανομίαν ἐστὶν ἐποίει, εἴπομεν ἄν, πρὸς τὸ πιστὸν ὅρκιον ἀπο-
δεδόσθαι τὸ τέλλεται, οὕτως. οἱ μελιγάρυες ὕμνοι ἀρχαὶ καὶ
προφάσεις τῶν ὑστέρων ὑπὲρ αὐτοῦ λόγων. καὶ πιστὸν ὅρκιον
8 τέλλεται ταῖς μεγάλαις αὐτοῦ ἀρεταῖς. [Οὗτος ἄγκει-
ται·] ἤγουν ὁ διὰ ὕμνων αἶνος. καὶ γὰρ οἱ τοῖς νικηφό-
ροις παρὰ τῶν ἄλλων ἀνιστάμενοι ἀνδριάντες, ἢ ὑπὸ χρό-
νου, ἢ ὑπὸ βασκάνων τινῶν καθαιροῦνται· ὁ δὲ διὰ λό-
γων ὕμνος ἕως τ' ἂν ἄνθρωποι ὦσιν, ἀθάνατος μένει.
[Τὰ μὲν ἀμετέρα.] τὰ μέν, ἀντὶ τοῦ, τὸ μέν, ἤγουν τὸ τῶν
ὕμνων, ἡ ἐμὴ γλῶσσα ἐθέλει ποιμαίνειν, ἀντὶ τοῦ διοικεῖν,
οἰκονομεῖν. ἐκ βοηθείας δὲ θεοῦ, πᾶς ἀνὴρ ἀνθεῖ ἐσαεί·
ἀντὶ τοῦ λαμπρός ἐστιν· εὐδοκιμεῖ ἐπὶ σοφαῖς διανοίαις.
γίνωσκε νῦν, ὦ Ἀγησίδαμε παῖ τοῦ Ἀρχεστράτου, ὅτι ἕνεκα
τῆς σῆς πυγμαχίας, τουτέστι τοῦ ἀγῶνος τῆς πυγμῆς ὃν σὺ
ἠγωνίσω, ὑμνήσω κόσμον, ἀντὶ τοῦ ὕμνον ἡδυμελῆ, τουτέστιν
ἐξ ἡδέων μελῶν συγκείμενον, ἐπὶ τῷ στεφάνῳ τῆς ἐλαίας
τῆς χρυσῆς, ἀντὶ τοῦ τῆς τιμίας, τῆς καλλίστης. ἀλέγων, ἤγουν
ἐν φροντίδι ποιούμενος. τουτέστιν ὑμνῶν τὴν γενεὰν τῶν Λο-
κρῶν τῶν Ἐπιζεφυρίων. Ἀποροῦσιν ἐνταῦθα πῶς πρὸς τὸ φυ-
γόξενον καὶ τὸ ἀπείρατον στερήσεις ἔθηκεν, εἰς δὲ τὸ ἀκρό-
σοφον καὶ τὸ αἰχμητάν, οὔ. καὶ φαμὲν ὅτι ὃν τρόπον ἔχει
τό, οὔτε τόδε καὶ τόδε, οὕτω καὶ ἐνταῦθα. ἐγγυάσομαι καὶ
ὑποσχεθῶ ἀφίξεσθαι καὶ ἐλθεῖν ὑμᾶς εἰς στρατὸν μὲν καὶ αὐ-
τὸν τὸν τῶν Λοκρῶν, οὐκ εἰς φυγόξενον, οὐδὲ καλῶν ἀπείρα-
τον· εἰς ἀκρόσοφον δὲ καὶ αἰχμητήν. [Ἔνθα συγκωμάξα- 16
τε.] ἔνθα, ἤγουν ἐν τοῖς Λοκροῖς, ὦ Μοῦσαι, συγκωμά-
σατε. τουτέστιν, ὁμοῦ χορεύσασαι ὑμνήσατε, ἀπελθοῦσαι δη-
λονότι ἐκεῖσε. [Ἐγγυάσομαι·] ἤτοι βεβαιώσομαι, μὴ εἰς
στρατὸν φυγόξενον· ἤγουν διώκοντα τοὺς ξένους. τουτέστιν ἄξε-
νον. αὐτὸν τὸν τῶν Λοκρῶν δηλονότι, ἀφίξεσθαι· ἤγουν πα-
ραγενήσεσθαι, ἀπελεύσεσθαι ὑμᾶς. μηδὲ ἀπείρατον, ἤτοι ἀδό-
κιμον, ἀμέτοχον καλῶν, ἔργων δηλονότι. εἰς ἀκρόσοφον δέ,
τουτέστιν ἄκρως σοφόν, στρατόν, βεβαιῶ ἀπελθεῖν ὑμᾶς. καὶ
αἰχμητήν· * ἤγουν πολεμιστήν. τὸ γὰρ ἐμφυὲς ἦθος, τὸν ἔμφυ-
τον τρόπον· ἤτοι τὸν φυσικόν, οὔτε ἡ ἀλώπηξ ἡ αἴθων, ἤγουν
ἡ διάπυρος, ἢ τοὺς τρόπους δραστηρία, οὔτε οἱ λέοντες οἱ με-
γαλόηχοι, διαλλάξαιντο· ἤγουν διαλλάξουσι, μεταβαλοῦσιν.

* MSS. add. ἤγουν αἰχμὴν εἰδότα μεταχειρίζεσθαι.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΤΟΥ ΔΩΔΕΚΑΤΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ δωδεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ, κώλων θʹ. Τὸ αʹ, ἰαμβέλεγος λειπούσης τῆς πρώτης συλλαβῆς· ἢ τοῦ τέλους κατακειμένου ἐπὶ τὴν ἀρχήν. Τὸ βʹ, ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ γʹ, προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ δʹ, τροχαϊκὸν τρίμετρον καταληκτικὸν ὅμοιον τῷ, Ζεῦ πάτερ γάμον μὲν οὐκ ἠδυνάμην. Τὸ εʹ, Πινδαρικὸν ἐκ Στησιχόρου, τρίμετρον ἀκατάληκτον. Τὸ ϛʹ, ἰαμβέλεγος· τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν μετακειμένου. Τὸ ζʹ, Εὐριπίδειον. Τὸ ηʹ, προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. Τὸ θʹ, Εὐριπίδειον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η ἐπῳδὸς, κώλων ιʹ. Τὸ αʹ, ἐγκωμιολογικόν. Τὸ βʹ, δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ γʹ, Εὐριπίδειον. Τὸ δʹ, ἀναπαιστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ εʹ, προσοδιακὸν καὶ συλλαβή. Τὸ ϛʹ, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ζʹ, ἰαμβέλεγος· τῆς πρώτης ἀφῃρημένης, ἢ τοῦ τέλους μετακειμένου. Τὸ ηʹ, Πινδαρικὸν ἀπὸ Στησιχόρου. Τὸ θʹ, Στησιχόρειον. Τὸ ιʹ, τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

Εργοτέλει Ιμεραίῳ. Εργοτέλης, Κρὴς μὲν ἦν τῷ γένει πόλεως Κνωσσοῦ. ὃς ἠγωνίσατο ἑβδομηκοστὴν ἑβδόμην Ολυμπιάδα. καὶ τὴν ἑξῆς Πυθιάδα εἰκοστὴν ἐννάτην, στασιαζομένης τῆς πόλεως, φυγὰς εἰς Ιμέραν πόλιν Σικελιωτικὴν ἀπῆλθε. καὶ καταλαβὼν πόλιν τὰ ἐν Σικελίᾳ πράγματα στασιαζόμενα πρὸς Γέλωνος καὶ Ιέρωνος, ἐκδεξάμενος εἰρήνην, ἐνίκησε. διὸ πρὸς τὴν εἰρήνην ἀποτείνεται ἐν τῷ προοιμίῳ· ὡς αἰτίαν γενομένην τῷ νικηφόρῳ, τῆς νίκης. Ιμέραν δὲ νῦν, τὴν πόλιν αὐτὴν λέγει. ἔστι δὲ καὶ ποταμός. ἐκ ταύτης δὲ τῆς Ιμέρας, καὶ Στησίχορος ὁ μελοποιός. ἦν δὲ ὁ Εργοτέλης, υἱὸς Φιλάνορος, καὶ ἐπολιτογραφήθη ἐνταῦθα.

Metrica vero ratio ita habet:

στροφὴ & ἀντιστροφή.

1. - ᴗ - -   - ᴗ ᴗ -   ᴗ ᴗ -
2. - ᴗ - -   - ᴗ ᴗ -
3. ᴗ ᴗ - -   - ᴗ ᴗ -
4. - ᴗ - -   - ᴗ - -   - ᴗ ᴗ
5. - ᴗ - -   - ᴗ - -   - ᴗ ᴗ -
6. - ᴗ - -   - ᴗ ᴗ -   ᴗ ᴗ - -
7. - ᴗ - -   - ᴗ -
8. - - ᴗ ᴗ   - ᴗ ᴗ -   -
9. - ᴗ - -   - ᴗ -

ἐπῳδός.

1. - ᴗ ᴗ -   ᴗ ᴗ - -   - ᴗ - ᴗ
2. - ᴗ ᴗ -   ᴗ ᴗ - -
3. - ᴗ - ᴗ   - ᴗ -
4. - ᴗ - -   - ᴗ ᴗ -   ᴗ ᴗ - -   ᴗ -
5. - - ᴗ ᴗ   - ᴗ ᴗ -   ᴗ
6. - ᴗ - ᴗ   - ᴗ - ᴗ
7. - ᴗ - ᴗ   - ᴗ ᴗ -   ᴗ ᴗ -
8. - ᴗ - -   - ᴗ - -   - ᴗ ᴗ -
9. - ᴗ - -   - ᴗ - -   - ᴗ - -
10. - ᴗ - -   - ᴗ - -

ΕΡΓΟΤΕΛΕΙ ΙΜΕΡΑΙΩ
†ΔΟΛΙΧΟΔΡΟΜΩ.
ΕΙΔΟΣ ΙΒ'.

ERGOTELI HIMERÆO
LONGIORI-CURRICULO.
ODE XII.

ARGUMENTUM.

Ergotelem Philanoris filium laudat à triplici victoria, nimirum Olympica, quam septuagesima septima Olympiade obtinuit: Pythiaca, quam vigesima nona Pythiade reportavit: & Isthmiaca.

στροφὴ α'. κῶλων θ'.

Λίσσομαι παῖ Ζηνὸς Ἐλευθερίου
Ἱμέραν εὐρυσθενέ' ἀμ-
φιπόλει, Σώτειρα Τύχα.
Τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ
Νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι,
Κἀγοραὶ βουλαφόροι. Αἵ γε μὲν ἀνδρῶν
Πόλλ' ἄνω, τὰ δ' αὖ κάτω
Ψεύδη μεταμώνια τέμνοι-
σαι, κυλίνδοντ' ἐλπίδες.

METAPH.

Supplico tibi filia Jovis Liberatoris
Himera potentissima pro
Urbe, Servatrix Fortuna.
Tibi enim in mari gubernantur veloces
Naves, in terraque rapida bella,
Concionesque deliberatoriæ. Et aliæ virorum
Multa sursum, aliæ vero rursus deorsum
Mendacia irrita secan-
tes, volutantur spes.

PARAPHRASIS.

O servatrix Fortuna, Jovis, qui libertatis est author, filia, supplicem tibi precationem offero pro diuturna potentissimæ urbis Himeræ salute, & incolumitate. Tu enim numen illud es à quo res omnes humanæ reguntur, & gubernantur terra, marique: hic celeres naves, illic bella vehementia, & quævis comitia, consiliaque: & à te pendet rerum eventus faustus, vel infaustus: non ab hominum judiciis & opinionibus, qui varias spes in sese volvunt, inanes & irritas, alias hæc, alias illa sperantes, ac si nossent quid sit eventurum.

NOTÆ.

† MSS. Bodl. & α. add. Πύθια καὶ Ἴσθμια νικήσαντι, οζ'. Ὀλυμπιάδα. MS. β. add. Ὀλύμπια. γ. leg. Ἐργοτέλει τῷ υἱῷ τοῦ Φιλάνορος. Iste Ergoteles, etsi in Creta natus & educatus fuerit, tamen Himeræus Siculus appellatur; cujas etiam post victoriam Olympicam fuit proclamatus. Sæpe enim fiebat, ut victores non ex Patria, in qua scilicet nati fuerant, se proclamari vellent; sed ex illa Regione, in qua deinceps sibi vivendum putarent: præsertim si à Civibus injuria insigni affecti, victoriæ suæ gloriam cum illis participare nollent, & ita quodammodo injuriam ulcisci vellent. Id vero Heroï nostro Ergoteli accidit, uti Pausan. scribit; & ex Textu Pindarico ostendit Scholiastes. 1 Pal. C. hab. τὶν ante Λίσσομαι. Est autem Doricum pro σφᾶς. Et sic quidem ἀντιστροφὴ non respondet στροφῇ. Attamen ita legisse Scholiasten quivis conjiceret, qui apud illum interpretationem hujus κώλου inspexit. Non enim, quasi à Fortuna pacem precaretur, explicat ibi Scholiastes; verum alteram fingit personam, nimirum Pacem, quæ sit Jovis filia. Quod sequitur vero, ἱκετεύω * σὺν, absolute accipimus, non exegetice; cum particulam γὰρ sæpissime παρέλκειν, omnes norint. Et hinc satisfacere possumus quæsito, Quomodo hæc vox irrepserit in MS. Cod. Neque enim facile aliter id intelligimus; quia Dorica particula explanandi causa nullus interpres commode uti videretur. Λίσσομαι] Gl. MS. γ. Παρακαλῶ. Ἐλευθερίου] h. e. Libertatis datoris & vindicis. Post stragem Mardonii & Persarum, Græci ἱδρύσαντο Ἐλευθερίου Διὸς ἱερὸν καὶ τοὺς ἐν μάχῃ τελευτήσαντας δημοσίᾳ θάψαντες, ἀγῶνα γυμνικὸν στεφανίτην ἀπέδειξαν τὰ Ἐλευθέρια, ut annot. Eustath. ad Homeri Catalog. Navium. Colebatur hoc nomine Jupiter præcipue in Sicilia, quæ Tyrannis infestissima fuit, & tamen valde obnoxia eorum imperiis: quanquam & in Græcia passim hoc nomine cultus fuerit. Græci enim fere omnes Regio imperio non facile se subjiciebant; at Democratiis, & inani quadam specie libertatis delectabantur, ut ex historiis Thucyd. & Pausan. patet. 2 Brub. & Cratandr. leg. Ἱμέρ', τὸ α per Apostrophen rejicientes, quod tamen metrum non patitur. 3 Editt. Brub. & Schol. ut patet ex illius Interpret. leg. ἀμφιπόλει, παρὰ τοῦ πολεῖν, h. e. Circum versare, Himeram tuere, eique adsis cum victoria. Τύχα] Pari ratione Horat. *O Diva, gratum quæ regis Antium.* 4 Θοαὶ] MS. α. leg. θεαί. 5 MSS. β. γ. leg. λαιψηροί. Gl. γ. Μεγάλοι. Λαιψηρὸς vero Poët. Celer, velox, dictus παρὰ τὸ αἶψα, τὸ ταχέως, καὶ τὸ αἴρεσθαι, τὸ φέρεσθαι, πλεονασμῷ τοῦ λ. Eustath. λαιψηρὰ βέλη, καὶ λαιψηρὰ γόνατα, τὰ ταχέως φερόμενα. Ipsis bellis id tribuitur, quod proprie convenit hominibus bellum gerentibus, qui res omnes cito rapiunt, add. & alios sua auferre, si possint, monent. Transtul. hæc ex Pindar. Lex. quo faciliora essent Schol. verba huc spectantia 7 Ed. Rom. τὰ δ'. 8 Ψεύδη MS. Bodl. Μεταμώνια H. Steph. Eustath. secutus dictum putat pro μεταμώλια, Vana. Autor supra laudatus παρὰ τὸ μὴ ὄνειν deducit, Quæ nemini utilia sunt. Atticis vero familiare esse ostendit ν in λ mutare, ut inde fiat μεταμώλια, ad Il. δ. & Odyss. β. Τέμνοισαι] Schmid. exponit, Percurrentes, scil. uti naves solent fluctus. 9 Κυλίνδοντ'] Metaphoram continuat, jactatorum in mari sursum deorsum. Ita & alii res humanas descripsere; quorum exempla quisque innumera suppeditare potest. Nemo tamen felicius usus est quam Pindarus.

Λίσσομαι παῖ Ζηνὸς Ἐλευθερίου.] Τὴν Εἰρήνην Ἐλευθερίου Διὸς ὑποτίθεται θυγατέρα, διὰ τὸ ἐνοῦσαν τοῖς εἰρηνεύουσιν ἐλευθερίαν. ἔστι δὲ ὡς τὸ, Χρύσην ἀμφιβέβηκας. ἱκετεύω * σὺν σε, ὦ τοῦ Διὸς τοῦ Ἐλευθερίου παῖ Τύχα. σώτειρα, Σώζουσα. περὶ τῆς μεγαλοσθενοῦς πόλεως τῆς Ἱμέρας καλουμένης. ἔστι δὲ Ἱμέρα, πόλις Σικελίας. [Ἀμφιπόλει] δὲ, περιπόλει. σῶζε. εὔχεται δὲ μὴ ὑποταγῆναι τὴν Ἱμέραν μηδενί. [Τὶν γὰρ ἐν πόντῳ.] διὰ σὲ γάρ φησι καὶ νῆες ἐν τῇ θαλάσσῃ ἰθύνονται. [Λαιψηροί τε πόλεμοι.] τουτέστι κοῦφοι καὶ ἀνόητοι. διὰ τὸ ἀνοήτως ποιεῖν ὁρμᾶν τοὺς μαχομένους ἐν τῷ πολέμῳ ἤτοι ὅτι ὀξέως ἡ ὀργὴ ἀνθρώπων διανίσταται, ἐξ ἧς ὁ πόλεμος. ψευδῆ δὲ μεταμώνια εἶπεν, ἀντὶ τοῦ μετέωρα καὶ αἰρόμενα. τὸ δὲ τέμνουσαι, ἀπὸ μεταφορᾶς τῶν νηῶν εἴληπται. διὰ τὴν Τύχην οὖν φησι, καὶ τὰς ἐν ἀνθρώποις ἐλπίδας ἐκκλείεσθαι. διὰ σὲ οὖν, ὦ Τύχη, πάντα γίνονται. αἱ γοῦν τῶν ἀνθρώπων ἐλπίδες πολλάκις ἀντιστρόφῳ τῇ προσδοκίᾳ χρησάμεναι, μάτην διεξῆλθον καὶ περιττῶς ἠλπίσθησαν.

ἀντιστροφὴ α'. κώλων θ'.

Σύμβολον δ' οὔπω τις Ἐπιχθονίων
Πιστὸν, ἀμφὶ πράξιος ἐσ-
σομένας, εὗρεν θεόθεν.
Τῶν δὲ μελλόντων τετύφλωνται φραδαί.
Πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν,
Ἔμπαλιν μὲν τέρψιος. Οἱ δ' ἀνιαραῖς
Ἀντικύρσαντες ζάλαις,
Ἐσθλὸν βαθὺ πήματος ἐν μι-
κρῷ πεδάμειψαν χρόνῳ.

ΜΕΤΑΦΡ.

Signum vero nondum aliquis Terreſtrium
Certum, de re futu-
ra, invenit divinitus.
At futurorum excæcatæ-ſunt cogitationes.
Multaq; hominibus præter opinionem cadunt,
In-contrarium gaudio. At qui *in* moleſtas
Inciderunt procellas,
Bonum ingens damno in exi-
guo permutarunt tempore.

ἐπῳδὸς α'. κώλων ι'.

Υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν,
Ἐνδομάχας ἅτ' ἀλέκτωρ,
Συγγόνῳ παρ' ἑστίᾳ
Ἀκλεὴς τιμὰ κατεφυλλορόησε ποδῶν·

ΜΕΤΑΦΡ.

Fili Philanoris, certe & tuum,
Domi-pugnans ceu gallus,
Cognatum apud larem
Inglorium decus emarcuiſſet pedum:

PARAPHRASIS.

At vero nulli mortalium in terris verſantium, ullum quo res futura præſciri poſſit, certum divinitus ſignum & argumentum obtigit: ſed prudens futuri temporis exitum caliginoſa nocte premit Deus. Quo fit ut multa hominibus præter conjecturas & expectationem accidant: ita ut alii ſperatis rebus lætis & jucundis experiantur triſtes: alii qui procelloſo in ſtatu paratum exitum metuunt, improviſa bona nanciſcantur & formidatam ruinam proſpero ſucceſſu permutent. Sic ô Ergoteles Philanoris fili, quæ tibi damnoſa videbatur futura ſoli natalis in alienum mutatio, iter ad gloriam tibi ſtravit.

NOTÆ.

10 Οὔποτι leg. MS. C. 71. pro οὔπω τις. Ἐπιχθονίων] Gl. MSS. β. γ. Ἐπιγείων. 12 MSS. β. γ. leg. εὗρε. Θεόθεν] Pari ſenſu alias, Θεοῦ σὺν παλάμᾳ, & Ἐκ Θεοῦ, & ſimilia. 13 Τετύφλωται leg. MS. C. 71. Φραδαὶ deducit Lex. Pind. à πέφραδα Præt. Med. τοῦ φράζομαι Video, intelligo, cognoſco; ubi & varietatem eſſe in tono ſcribit, ſcil. φραδὴ itidem inveniri. 15 Τέρψιος] Gl. γ. hab. Χαρᾶς. β. εὐφροσύνας. Ἔμπαλιν τέρψιος, Idioma Pindaricum, i. e. Contra rationem delectationis. Hoc autem dicitur de rebus, quæ pro voluptate ſperata dolorem, & mærorem, lætitiæ contrarium afferunt, uti recte docet Lex. Pind. Vide Pyth. Ode ιβ'. κῶλ. ult. 16 Ἀντικύρσαντες] Gl. MS. γ. Ἐμπεσόντες. Formatur vero ἐκ τοῦ ἀντικυρήσας Particip. Indef. 1. τοῦ ἀντικυρέω; vel ἐκ τοῦ κύρω cujus Futurum Æol. eſt κύρσω, unde ἔκυρσα & κύρσας. Lex. Pind. Atenim ἀντικύρω proprie ſonat, Offendo. 17 Ἐσλὸν Doricum leg. Alii. 18 Πεδάμειψαν] Æol. compoſit. ἐκ πέδα i. e. μετὰ, & ἀμείβειν. 19 Υἱὲ] Nactus es, Ergoteles, meliorem ſedem, quam eam quam deſeruiſti, licet Patria fuerit. 20 Ἐνδομάχας] Dor. pro ἐνδομάχης. Eraſmus legendum putat ἐνδομύχας, Domi abditus. 22 Κατεφυλλορόησε] Metaphora ſumitur ab arboribus, quarum folia defluunt & labuntur, & delapſa putreſiunt. Ποδῶν] h. e. Corporis agilitatis, quæ tanti æſtimabatur in vetuſtis illis temporibus, & adeo neceſſaria erat ad victoriam conſequendam.

[Σύμβολον δ' οὔπω τις Ἐπιχθονίων πιστόν.] τοιγαροῦν φησὶν, οὐδεὶς τῶν ἀνθρώπων, τεκμήριον ἢ σημεῖον, δυνάμενον πιστώσασθαι περὶ τῶν ἐλπιζομένων πράξεων εὕρατο παρὰ θεοῦ. ὅτι πάντως ἐκβήσεται κατὰ τόνδε τὸν τρόπον, ὡρισμένως. [Ἄλλως.] οὐδεὶς ἀνθρώπων πράξεως μελλούσης ἐσεσθαι, πιστὸν εὗρε παρὰ θεῶν σημεῖον. Φιλόχορος δὲ τὰς ἐκ φήμης μαντείας τουτέστι κληδόνας, καὶ πταρμοὺς, ἢ φωνὰς ἢ φήμας ἢ ἀπαντήσεις, σύμβολα φησὶ λέγεσθαι. ὡς Ἀρχίλοχος· Μετέρχομαί σε σύμβολον ποιουμένη. χρήσασθαι δὲ αὐτοῖς, πρώτην Δήμητραν. [Πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσε.] καὶ γὰρ τοῖς ἕτερα τῆς γνώμης προσδοκῶσι, τὰ ἐναντία συνέβη. τὸ δὲ ἔπεσεν, ἀπὸ μεταφορᾶς τῶν κύβων. οἱ μὲν γὰρ, τὰ ἐναντία ἢ ὡς προσεδόκησαν καὶ μετεῖχον τέρψεως, εὕραντο· οἱ δὲ χαλεπαῖς καὶ δειναῖς πραγμάτων ζάλαις περιτυχόντες, μέγιστον ἀγαθὸν αἰφνιδίως μετηλλάξαντο τοῦ προσδοκουμένου κακοῦ. πάντων δὲ τῶν προειρημένων ὁ σκοπὸς, τὴν ἀναφορὰν εἰς τὸν Ἐργοτέλη ἔχει. ἐπειδὴ προσδοκήσας ἐκ τοῦ κατὰ Κρήτην πολέμου καὶ τῆς φυγῆς ἀδέξια τὰ μέλλοντα, δι' εὐτυχίαν πολλὴν ὕστερον δόξαν ἐκτήσατο. [Ἄλλως. Ἔμπαλιν μὲν τέρψιος.] τουτέστι τὰ ἐναντία τῇ τέρψει, ἤτοι τὰ ἀηδῆ. ἔνιοι δὲ ἐν ζάλῃ καὶ χειμῶσι πραγμάτων γενόμενοι, ἐν μικρῷ χρόνῳ μετήμειψαν, καὶ μετήλλαξαν εἰς βαθὺ καὶ μέγα ἀγαθὸν παραγενόμενοι. [Πήματος ἐν μικρῷ.] λείπει δὲ ἡ ἀντί, ἵν' ᾖ ἀντὶ πήματος. τοῦτο δὲ εἶπε, διὰ τὸν Ἐργοτέλην. καὶ γὰρ οὗτος ἐκ πημάτων τῶν περὶ τὴν ἀπόπλευσιν, ἀγαθὸν ἔσχε τὴν νίκην. [Ἐνδομάχας ἅτ' ἀλέκτωρ.] τὸν ἀλέκτορα παρείληφε διὰ τὸ κατοικιδίους ποιεῖσθαι τὰς μάχας τὸ ζῶον τοῦτο· καὶ μηδὲν λόγου ἄξιον δρᾷν δημοσίᾳ. θέλει δὲ εἰπεῖν ὅτι εἰ μὴ ἔφυγεν ἐκ τῆς πατρίδος, οὐκ ἂν ἐστεφανώθη. [Ἄλλως.] τί οὖν, φησὶν, ὦ τοῦ Φιλάνορος υἱὲ Ἐργότελες, καὶ ἡ σὴ τιμὴ ἀκλεὴς ἂν ἐγένετο, καὶ ἀπεμαράνθη ἂν καὶ ἀπώλετο ἡ τῆς ὀξύτητός σου τῶν ποδῶν δόξα, εἴπερ ἐν τῇ τῶν προγόνων σου ἑστίᾳ παρέμεινας. ἐκεῖ μόνον ἀγωνιζόμενος, ὡς εἴ τις ἀλέκτωρ ἐνοικίδιος τοῖς ἔνδον ὁρῶσι μαχόμενος, καὶ μὴ ἡ γενομένη μετάστασις καὶ ὁ πόλεμος ὁ ἐν τῇ πατρίδι σου τῇ Κνωσσῷ στερήσας σε τῆς οἰκείας, καὶ ποιήσας ἀναχωρῆσαί σε τῆς πατρίδος, ὥστε δυνηθῆναι τὸν Ὀλυμπιάσιν ἀγῶνα νικᾷν. [Συγγόνῳ παρ' ἑστίᾳ.] ἐν τῇ Κρήτῃ. κατοικίδιον ἂν ἔσχε τὴν ἀρετήν. συγγόνῳ, ἐν τῇ συγγενικῇ τῇ ἀπὸ προγόνων· Κνώσσιος γὰρ ἦν. λέγει δὲ ὅτι καὶ τὸ δόξαν κακῶς γεγενῆσθαι τὸ τῆς φυγῆς δηλονότι, τοῦτο αὐτῷ ἀγαθὸν περιέβη.

[Νῦν

Εἰ μὴ στάσις ἀντιάνειρα	Nisi seditio virum-viro-committens
Κνωσίας ἄμερσε πάτρας.	Cnosia privasset patria.
Νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος,	Nunc vero *in* Olympia coronatus,
Καὶ δὶς ἐν Πυθῶνι, Ἰσθμοῖ τ', Ἐργότελες,	Et bis in Pythone, Isthmoque, Ergoteles,
Θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις, ὁμιλέ-	Calida Nympharum balnea extollis, ver-
ων παρ' οἰκείαις ἀρούραις.	sans apud propria arva.

PARAPHRASIS.

Nisi enim seditio inter tuos cives orta, te patria Cnosso expulisset, patrios intra muros, cognitosque lares cum illis obscurum prælium commisisses, more galli gallinacei, qui suo in sterquilinio fortiter, at sine gloria pugnat: nec jam decurso Dolicho gloriosam hoc certamine victoriam reportasses: sed honos quem ex pedum velocitate consequutus es, marcidus tibi iisset. Jam vero, fuga tua spe meliorem eventum sortita, vicisti & coronatus es in Olympia, bisque alibi, nimirum in Pythone & Isthmo, utroque in loco semel. Unde Himeram, ad quam sitæ sunt thermæ, quas Minerva Herculi boves Geryonis per Siciliam agenti scaturire fecit, ut fessas longo itinere vires, in iis lotus, recolligeret, illa multiplici victoria extollis: dum eo in solo tanquam patrio proprioque versaris.

NOTÆ.

23 Ἀντιάνειρα] Proprie de Amazonibus dicitur, αἱ τοῖς ἀνδράσιν ἐναντιούμεναι, ἢ ἐξισούμεναι, ut ait Eustath. i. e. Viragines. Virgil. Æn. l. 1. *Audetque viris concurrere virgo.* Hinc Pindarus utitur epitheto de bello civili, quod Remp. in diversa studia trahens, omnem ordinem & decorem vitæ miscet. 26 Ald. & Pal. C. leg ἐκ Πυθῶνος. 27 Θερμὰ] Aristot. testatur Thermas apud veteres sacras haberi, Probl. I. 24. p. 19. Lonicerus vult hæc verba sumi Allegorice. Ut enim fessus recreatur Thermis, ita, Tu Victor, nostris hymnis & encomiis.

[Νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος.] ἐκ δὲ ταύτης τῆς αἰτίας φησὶ τὸν κατὰ τὴν φυγὴν στεφθεὶς ἐν Ὀλυμπίᾳ, καὶ ἐν Πυθίᾳ καὶ ἐν Ἰσθμῷ, τὰ θερμὰ ὕδατα τῶν Νυμφῶν ἐν τῇ Ἱμέρᾳ ὕψοῖς καὶ ἐπαίρεις τῇ δόξῃ. [Ἄλλως.] τὰ ἐν τῇ Σικελίᾳ θερμὰ λουτρὰ τῆς Ἱμέρας πόλεως, λέγεται Ἀθηνᾶν ἀναδοῦναι εἰς ἀπόλαυσιν Ἡρακλεῖ, ἡνίκα ἐκεῖ ἐφάνη. τινὲς δὲ Νύμφας. καθὼς καὶ Πίνδαρος. ἵνα ἀπολούσηται, ὅτε τὰς Γηρυόνου βοῦς ἀπελαύνων παρεγένετο. λείπεται δὲ λέγειν ἀπὸ μέρους αὐτὴν τὴν πόλιν. τόπος γὰρ ἐν αὐτῇ, τὰ θερμὰ λουτρά. [Παρ' οἰκείαις ἀρούραις.] ὡς ἐν ἰδίᾳ γῇ πατρικῶν. καὶ οὐδενὸς τῶν ἔξωθεν ἐπιδεόμενος.

Τέλος τοῦ δωδεκάτου τῶν Ὀλυμπίων εἴδους.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ δωδέκατον τῶν Ὀλυμπίων εἶδος.

Λίσσομαι παῖ Ζηνός.] ὦ τύχη σώζουσα τοὺς ἀνθρώπους· ἤγουν φυλάττουσα, περιέπουσα. θύγατερ τοῦ Διὸς Ἐλευθερίου. τουτέστι τοῦ ἐφόρου τῆς ἐλευθερίας. Διὸς δὲ Ἐλευθερίου θυγατέρα * λέγει αὐτήν, ἐπεὶ ἐδόξαζον αὐτὴν ὑψοῦν † τινὰ καὶ ἀπαλλάττειν δουλείας καὶ φυλάττειν τὴν ἐλευθέραν τὴν ἐλευθερίαν. [Λίσσομαι·] ἤγουν ἱκετεύω. ἀμφὶ τῇ Ἱμέρᾳ τῇ πόλει, ἀντὶ τοῦ περὶ τῆς Ἱμέρας τῆς πόλεως, τῆς εὐρυσθενοῦς. τουτέστι τῆς πολλὴν ἐχούσης δύναμιν· ἢ οὕτως. ἱκετεύω ἀμφιπόλει· ἤγουν περιπόλει, περίεπε, ἐπισκόπησον αὐτήν, τὴν Ἱμέραν τὴν πόλιν τὴν πολλὴν ἔχουσαν δύναμιν. ὑπὸ σοῦ γὰρ κυβερνῶνται ἐν τῇ θαλάσσῃ αἱ ταχεῖαι νῆες καὶ ἐν τῇ χέρσῳ, ἀντὶ τοῦ τῇ γῇ, οἱ πόλεμοι οἱ λαιψηροί· ἤγουν οἱ σφοδροὶ τὴν ὁρμὴν καὶ δραστήριοι. ὑπὸ σοῦ κυβερνῶνται καὶ αἱ ἀγοραὶ αἱ βουληφόροι· τουτέστιν οἱ τόποι ἔνθα αἱ βουλαὶ δίδονται· ἤτοι τὰ βουλευτήρια. Εἰ μὲν ἄρθρον πρὸς τὸ λαιψηροὶ λάβῃς ἔξωθεν, οὕτως ἐρεῖς. ὑπὸ σοῦ κυβερνῶνται ἐν τῇ χέρσῳ οἱ λαιψηροὶ πόλεμοι· ἤγουν οἱ λαιψηρῶς καὶ κούφως καὶ ἀνοήτως τοῖς ἀνθρώποις γινόμενοι, ἢ οἱ λαιψηρῶν καὶ ταχυτάτων καὶ σπουδαίων ἀνθρώπων δεόμενοι. εἰ δὲ χωρὶς τοῦ ἄρθρου, οὕτως. ὑπὸ σοῦ κυβερνῶνται ἐν τῇ χέρσῳ οἱ πόλεμοι· ποταποί, λαιψηροὶ καὶ ταχεῖς, ἤγουν ταχέως παύονται. οὕτω δὲ ἐρεῖς καὶ τὸ βουλαφόροι. καὶ χωρὶς ἄρθρου καὶ μετὰ ἄρθρου. τοῦτο δὲ λέγει, ἐπεὶ εἰρήνης ὑπὸ τύχης γινομένης, βουλευτήρια καὶ δικαστήρια ἐστίν. [Αἵγε μὲν ἀνδρῶν.]
6 αἵγε μὲν ἐλπίδες τῶν ἀνθρώπων, κυλίνδονται· ἤγουν ἐν τῇ συστροφῇ τοῦ χρόνου συμφέρονται. τέμνουσαι, ἀντὶ τοῦ ἐλπίζουσαι, λογιζόμεναι πολλὰ ἄνω ἔσεσθαι, τὰ δὲ αὖ κάτω· ψευδῆ μεταμώνια ‡, ἀντὶ τοῦ ψευδῶς, ματαίως. σύμβολον δέ· ἤγουν σημεῖον προγνωστικὸν ἀσφαλές, οὔπω τις κατενόησεν ἀπὸ τοῦ θεοῦ περὶ τῆς ἐσομένης πράξεως· ἤγουν τύχης. τῶν δὲ μελλόντων, ὁ δὲ, ἀντὶ τοῦ γὰρ, ἤγουν αἱ φράδαι γὰρ, τουτέστιν αἱ γνώσεις τῶν μελλόντων τετύφλωνται, ἀντὶ τοῦ ἀφανεῖς, ἄδηλοι εἰσίν. Αἱ δὲ [Ἐλπίδες] κυλίνδονται καὶ δίκην τροχοῦ περιφέρονται. τέμνουσαι καὶ ποιοῦσαι πολλὰ τῶν ἀνδρῶν ἄνω. τὰ δὲ, καὶ ἄλλα δὲ, κάτω, ψευδῆ μεταμώνια καὶ μάταια. τουτέστιν ἕτερά τις ἐλπίζει, καὶ ἑτέρα ἀποβαίνει. ἔστι δὲ τὸ ψευδῆ καὶ τὸ μεταμώνια ἑρμηνεία τοῦ ἄνω καὶ κάτω. καὶ γὰρ ἡ τοιαύτη ἀνατροπή, ψευδεῖς τοὺς ἐλπίζοντας τίθησιν· ἢ τὸ ἐλπίδες, πρὸς τὸ ἀνδρῶν συναπτέον. [Πολλὰ δ' ἀνθρώποις.] πολλὰ δὲ ἔπεσεν, ἀντὶ τοῦ ἐπέσεν, τοῖς ἀνθρώποις παρὰ προσδοκίαν. ἔμπαλιν δὴ τέρψεως, ἤγουν κατὰ τὸ ἐναντίον τῆς παρούσης αὐτοῖς τέρψεως. οἱ δὲ ἀλγειναῖς ζάλαις ἀντικύρσαντες, ἀντὶ τοῦ ἐγκύρσαντες· ἤτοι ἐντυχόντες ἐν μικρῷ χρόνῳ, ἀντὶ τοῦ ἐν βραχεῖ, εἰς πολὺ ἀγαθὸν ἀπὸ πήματος, ἤτοι ἀπὸ κακοπαθείας, ἀπὸ βλάβης, πεδάμειψαν, ἀντὶ τοῦ μετήμειψαν· ἤτοι μετέπεσον. [Υἱὲ Φιλάνορος.] ὦ υἱὲ τοῦ Φιλάνορος Ἐργότελες. ὄντως δὴ καὶ ἡ σὴ τιμὴ τῆς ταχυτῆτος τῶν σῶν ποδῶν, ἄδοξος ἂν κατεφυλλορρόησεν, ἤγουν κατεμαράνθη παρὰ τῇ οἰκίᾳ τῇ συγγόνῳ, ἀντὶ τοῦ συγγενικῇ, * καθὰ ἀλέκτωρ ἔνδον ἐν τῷ οἴκῳ τὰς μάχας ποιούμενος, ἀφανὴς ἐστὶ δηλονότι, εἰ μὴ ἡ μάχη ἡ ἀντιάνειρα, τουτέστι ἡ ἐξ ἐναντιώσεως τῶν ἀνδρῶν γινομένη, ἐστέρησέ σε τῆς πατρίδος τῆς σῆς τῆς Κνωσίας, ἀντὶ τοῦ τῆς Κνωσοῦ. τὸ κτητικόν, ἀντὶ τοῦ ἁπλοῦ. [Νῦν δ' Ὀλυμπίᾳ.] νῦν δὲ, ὦ Ἐργότελες, τούτου γινομένου,
ἐν τῇ Ὀλυμπίᾳ στεφανωσάμενος, ἤγουν νικήσας, καὶ δὶς ἐν Πυθῶνι νικήσας καὶ ἐν τῷ Ἰσθμῷ, τὰ θερμὰ λουτρὰ τῶν Νυμφῶν τὰ ἐν τῇ Ἱμέρᾳ τῇ πόλει βαστάζεις· ἤγουν ὑψοῖς, μεγαλύνεις. ὁμιλῶν τουτέστιν οἰκῶν, ἀναστρεφόμενος παρ' αὐτῇ, τῇ Ἱμέρᾳ δηλονότι, ὥσπερ εἰ ἀναστρέφου παρὰ τῇ οἰκείᾳ γῇ, ἤγουν τῇ πατρίδι σου τῇ Κνωσσῷ. ὅτι Ἡρακλῆς λαβὼν τὰς Γηρυόνου βοῦς ἐπανήει ἐν Σικελίᾳ, αὐτῷ θερμὰ ὕδατα ἐκ τῆς γῆς ἀναδίδοσθαι Ἀθηνᾶ παρεσκεύασεν. ἵνα λουτροῖς αὐτοῖς χρήσαιτο πλεῖστα καμὼν περὶ τὴν ὁδόν. λέγει οὖν τὸ θερμὰ λουτρὰ Νυμφᾶν, ἤτοι τὴν Ἱμέραν πόλιν συνεκδοχικῶς ἀπὸ μέρους.

Left column line beginning "6 αἵγε μὲν ἐλπίδες…"; margin numbers: 9 (beside "ἀντὶ τοῦ ἀφανεῖς, ἄδηλοι εἰσίν. Αἱ δὲ [Ἐλπίδες] κυλίνδονται καὶ δί-"), 14 (beside "σεν, ἀντὶ τοῦ ἐπέσεν, τοῖς ἀνθρώποις παρὰ προσδοκίαν. ἔμπα-"), 19 (beside "ἡ σὴ τιμὴ τῆς ταχυτῆτος τῶν σῶν ποδῶν, ἄδοξος ἂν κατεφυλλορ-"), 25 (beside "ἐν τῇ Ὀλυμπίᾳ στεφανωσάμενος, ἤγουν νικήσας, καὶ δὶς ἐν Πυ-").

* MSS. C. γ. καλεῖ τὴν τύχην ὁ Πίνδαρος. † Editt. ὑψοῦντες. ‡ MSS. C. γ. add. ἐπιρρηματικῶς. * MSS add. πατρικῇ.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ ιγ´. εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ια´. Τὸ πρῶτον, ἀντισπαστικὸν, τρίμετρον καταληκτικὸν ἀπὸ πρώτου ποδὸς ἀδιαφόρου καὶ τροχαίου. ὁ τρίτος ποὺς παρηνομήθη. ὁ γὰρ ἀντίσπαστος ἀπὸ β´, τροχαίου ὅπερ πάσχει κατὰ μέσον. Τὸ β´, φερεκράτειον. Τὸ γ´, ἴαμβος τρίμετρος βραχυκατάληκτος. ὁ β´, ποὺς ἁπανταχοῦ βραχύς. ὁ δ´, ἄτακτος. σπονδεῖος γὰρ εὑρίσκεται παρὰ τοῖς μελοποιοῖς. Τὸ δ´, ἴαμβος τρίμετρος βραχυκατάληκτος. Τὸ ε´, διπλῆ περίοδος. καὶ διπλοῦς ἴαμβος ἀρχόμενος. Τὸ ϛ´, ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον ἀπὸ ἰαμβικοῦ, καὶ Ιωνικοῦ ἀπ᾽ ἐλάσσονος, καὶ τροχαϊκῆς συλλαβῆς τῆς οἰκείας. Τὸ ζ´, δακτυλικὸν πενθημιμερές. Τὸ η´, ἐπιχοριαμβικὸν, ἀπὸ διποδίας τροχαϊκῆς χοριαμβικῆς καὶ χοριάμβου τῆς * καὶ βραχείας οὔσης διὰ τὴν κατάληξιν. Τὸ θ´, προσοδιακὸν, ἢ ἀναπαιστικόν. Τὸ ι´, Εὐριπίδειον. αἱ δὲ ἀποδόσεις, ἐπεὶ μονοσύλλαβοί εἰσιν Ιωνικαὶ ἀπ᾽ ἐλάσσονος. Τὸ ια´, ἡ χορίαμβος, ἡ τροχαῖος ἐπίτριτος.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η δὲ ἐπῳδὴ καὶ αὐτὴ, κώλων ια´. Τὸ α´, προσοδιακὸν δίμετρον ἀκατάληκτον τῆς μοι βραχείας οὔσης. Τὸ β´, ἐγκωμιολογικόν. Τὸ γ´, τὸ αὐτό. Τὸ δ´, ὅμοιον τῷ α´ τῆς στροφῆς. Τὸ ε´, Ιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ϛ´, Εὐριπίδειον. Τὸ ζ´, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η´, δακτυλικὸν, πενθημιμερές. Τὸ θ´, ἐπιωνικὸν ἄτακτον. ὁ γὰρ β´, σπονδεῖός ἐστιν, εἶτα ἥμισυ συζυγίας. γίνεται δὲ ἐπὶ τοῖς ἐπιωνικοῖς ἡ ἀταξία. ὡς ἐν τῷ· Ω καλλίστη πόλι πασῶν ὁπόσας κλέων ἐφορᾷ. Τὸ ι´, Εὐριπίδειον. Τὸ ια´, τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

* Ed. Brub. ad Marg. τελευταίας.

Metrica vero ratio ita habet:

στροφὴ & ἀντιστροφή.	ἐπῳδός.
1. ⏑ ⏑ - ⏑ ⏑ - - ⏑ - ⏑ -	1. - - ⏑ ⏑ - ⏑ ⏑ -
2. - ⏑ - ⏑ ⏑ - ⏑	2. - ⏑ ⏑ - ⏑ ⏑ - - - ⏑ - ⏑
3. ⏑ - ⏑ ⏑ ⏑ ⏑ - - - ⏑ ⏑	3. - ⏑ - - - ⏑ ⏑ - ⏑ ⏑ -
4. - - ⏑ - ⏑ - ⏑ - ⏑ -	4. - ⏑ - - - ⏑ ⏑ -
5. ⏑ ⏑ - ⏑ - - ⏑ - ⏑ ⏑ - ⏑	5. - ⏑ - - - ⏑ - -
6. - - ⏑ - ⏑ ⏑ - - - ⏑ - -	6. - ⏑ - - - ⏑ -
7. - ⏑ ⏑ - ⏑ ⏑ -	7. - ⏑ - - - ⏑ - -
8. - ⏑ - - - ⏑ ⏑ -	8. - ⏑ ⏑ - ⏑ ⏑ -
9. ⏑ ⏑ - - - ⏑ ⏑ -	9. ⏑ ⏑ - - ⏑ - - - ⏑ -
10. - ⏑ ⏑ - - - ⏑ ⏑	10. - ⏑ - - - ⏑ -
11. - ⏑ - - - ⏑ ⏑ -	11. - ⏑ - - - ⏑ - -

ΞΕΝΟ-

ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩ †ΣΤΑΔΙΕΙ ΔΡΟΜΩ ΚΑΙ ΠΕΝΤΑΘΛΩ.*

ΕΙΔΟΣ ΙΓ'.

XENOPHONTI CORINTHIO STADII-CURSORI CURSU ET QUINQUERTIO.

ODE XIII.

ARGUMENTUM.

Xenophontis Corinthii laudes persequuturus, commendata statim ab initio victrice ejus domo tantum obiter, ingreditur in locos commendationis. Primum patriam victoris ab æquitate, justitia, certaminibus & ingenio Corinthiorum commendat. Deinde proprias Xenophontis virtutes recenset. Tertio patris ejus Thessali victorias aliquot percurrit: & Ptœodorum avum laudat. Hinc ad Corinthum redit. Tandem ad ipsum Xenophontem regressus plurimas ejus recenset victorias: & oratione ad Jovem conversa concludit.

στροφὴ α'. κώλων ια'.

Τρισολυμπιονίκαν ἐπαινέων
Οἶκον, ἅμερον ἀστοῖς,
Ξένοισι δὲ θεράποντα, γνώσομαι
Τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου
Πρόθυρον Ποτειδᾶνος, ἀγλαόκουρον.

METAΦP.

Ter-Olympiorum-victricem laudans
Domum, benignam civibus,
Hospitibusque inservientem, notam-faciam
Beatam Corinthum, Isthmii
Vestibulum Neptuni, juvenibus-florentem.

PARAPHRASIS.

Cum suscipiam laudare Xenophontis domum, erga cives benignam, erga peregrinos hospitalem, quæ tres in Olympia victorias obtinuit (siquidem Thessalus pater cursu pedum, Xenophon filius cursu in stadio, & quinquertio vicerunt) eadem opera celebrabo Corinthum fœlici opulentia, florentibusque juvenibus claram, Peloponnesi vestibulum, qua in Peninsulam est aditus, ubi templum habet Neptunus, ab Isthmo, Isthmiisque ei sacris dictus

NOTÆ.

† MSS. Bodl. & α. β. hab. Σταδιοδρόμῳ. Ita etiam Pal. A. & C. Est autem τὸ στάδιον non tantum illud spatium certatoribus decurrendum, quod est 625 pedum seu 125 passuum Geometricorum, in qua significatione & ὁ στάδιος dicitur: verum etiam ipsum genus certaminis eorum, qui in hoc spatio à carcere ad metam decurrebant, quod hoc loco Δρόμος appellatur. Σταδιεὺς juxta Schmid. est, Artifex insignis in decurrendo stadio. Quod si verum sit, Aretius fallitur, qui in hac Inscriptione trium victoriarum mentionem fieri censet. At vide Not. ad κωλ. 42. Atqui hanc vim non inesse voci Σταδιεῖ inde conjicimus, quod in Inscriptione Odæ 14, quæ huic proxime postponitur, puer hoc epitheto ornatur. Atenim cum aliqui ad eam addant, Κλεοδάμῳ, ut sit, Filio Cleodami, potius inspicienda est Odæ Pyth. 11. Inscriptio. Melius, uti videtur, Σταδιεῖ connectitur cum δρόμῳ· ut ex conjunctis his verbis significatus τοῦ Σταδιοδρόμου eliciatur; quod nimirum Schol. alicujus fuit Glossema. * MSS. nostra add. νικήσαντι οθ'. Ολυμπιάδα, cum quibus consent. Diodorus Siculus. Unde Schmid. corruptum esse monet quod Schol. hab. 69 Olympiade. Verum id non apparet. Schol. enim de Patris Thessali victoria id scribit. 1 Τρισολυμπιονίκαν] Aretius ob tres victorias Olympicas, quas in Inscriptione intelligendas esse voluit, hoc nomine insigniri Xenophontem censuit. Verum οἶκος dicitur ter vicisse, non ipse Xenophon. Inter conjecturas nulla magis placet quam, quod Domus dicatur ter vicisse, quia Thessalus pater Xenophontis, & avus Ptæodorus fuere victores. Ed. Brub. leg. Τρισολυμπιονίκας. 2 Αμερον Dor. pro ἥμερον, Mitem. 3 Θεράποντα] Eustath. ad Il. Τ. Παρὰ τῷ Ποιητῇ [Ομήρῳ] θεράποντες, οὐ δοῦλοι, ἀλλὰ τῶν φίλων οἱ δραστικώτεροι· quæ verba transcripsimus, quia hunc locum optime explicant. 4 Ολβίαν] Potest intelligi, Opulentam, ut satis norunt omnes. 5 Ποτειδᾶνος commune leg. MSS. nostra. Ποτειδᾶνος Editt. vulg. Neptunus vero dicitur Isthmius, quia Isthmus ipsi sacer, eique in contentione cum Sole adjudicatus fuit. Hinc eidem ludi Isthmici sacri fuerunt, quia maxime in Isthmo cultus fuit, ubi templum ejus celebre habebatur, cujus Pausan. l. 2. meminit. Αγλαόκουρον] Corinthus nobilis erat ob puellarum pulcritudinem & præsertim meretricularum in templo Veneris, quarum voto Xenophon victor evasit. Fuit enim, ut Athenæus ex Chamæleonte Heracleote de vita Pindari allegat, Corinthi vetusta lex, cum Veneri civitas de magnis rebus supplicaret, ut accirentur in supplicationum pompam meretrices multæ, quæ Deam precarentur, & post aliorum discessum in templis permanerent. Imo & privatæ personæ pro privatis successibus idem fecerunt, ut hic Xenophon. Notum est quod de Laïde passim habetur. Et plusquam mille puellas in templo Veneris prostitutas fuisse sæpius laudatus Schmid. annotat; adeo ut hæc vox referatur ad easdem, æque ac pueros.

Τρισολυμπιονίκαν.] παρ' ὅσον τρεῖς νίκας αὐτοῖς συμβέβηκε γενέσθαι. τῷ μὲν παιδὶ, δύο κατὰ τὴν αὐτὴν ἡμέραν· πεντάθλῳ καὶ σταδίῳ ἀγωνισαμένῳ. τῷ δὲ πατρὶ Θεσσαλῷ τοὔνομα πρῶτον ἐν τῇ ξθ'. Ολυμπιάδι. τὸν τρισολυμπιονίκην οἶκον ἐπαινῶν, τὸν πρᾶον μὲν πρὸς πολίτας, φιλόξενον δὲ πρὸς τοὺς ξένους, εἰς γνῶσιν ἄξω καὶ ὑμνήσω. διὰ τούτων καὶ τὴν εὐδαίμονα Κόρινθον, τὴν τοῦ Ισθμίου Ποσειδῶνος οὖσαν προπύλαιον καὶ οἰκητήριον. ἥτις ἀγλαοὺς κούρους καὶ ἄνδρας ἔχει. ἀγλαόκουρον γὰρ τὴν εὔανδρον λέγει. πρόθυρον τοίνυν καὶ θύραν εἰώθασι καλεῖν τὴν Κόρινθον, διὰ τὸ ἀρχὴν ἢ τέλος εἶναι τῆς Πελοποννήσου τὸν Ισθμόν· πρόθυρον δὲ τοῖς εἰς Πελοπόννησον στελλομένοις. Βακχυλίδης· Ω Πέλοπος λιπαρᾶς νάσου θεόδματοι πύλαι· ἢ οὕτως. ἐπεὶ ἀρχὴ μὲν τοῖς ἀπὸ τῆς Ἑλλάδος εἰς Πελοπόννησον πορευομένοις· ἐσχάτη δὲ τῆς Πελοποννήσου.

Ἐν τᾷ γὰρ Εὐνομία ναίει, κασίγνη-
ταί τε, Δίκα πολίων
Ἀσφαλὲς βάθρον, καὶ ὁμό-
τροπος Εἰράνα, ταμίαι
Ἀνδράσι πλούτου, χρύσεαι
Παῖδες εὐβούλου Θέμιτος.

ἀντιστροφὴ α'. κώλων ια'.

Ἐθέλοντι δ' ἀλεξεῖν ὕβριν, κόρου
Ματέρα θρασύμυθον.
Ἔχω καλά τε φράσαι, τόλμα τέ μοι
Εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν.
Ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.
Υ̓́μμιν δ', παῖδες Ἀλάτα, πολλὰ μὲν νι-
καφόρον ἀγλαΐαν
Ὤπασαν γ', ἄκραις ἀρεταῖς
Ὑπερελθόντων ἱεροῖς

In hac enim Eunomia habitat, ſororesque, Juſtitia urbium
Firmum fundamentum, & iiſdem-moribus-prædita Pax, diſpenſatrices
Hominibus divitiarum, aureæ
Filiæ bene-conſulentis Themidis.

Μεταφρ.

Volunt autem arcere injuriam, ſatietatis
Matrem audaciloquam.
Habeo honeſtaque loqui, audaciaque mihi
Recta linguam incitat ad-dicendum.
Sed difficile *eſt* celare ingenitos mores.
Vobis autem, filii Aletæ, ſæpe quidem victorialem ſplendorem
Præbuerunt *eorum*, *qui* ſummis virtutibus
Superarunt ſacris

Paraphrasis.

Iſthmiacus, in qua hujuſmodi eſt reip. conſtitutio, ut firmis civitatum fundamentis, videlicet bonis legibus, juſtitiæ & paci innitatur, ſororibus eadem matre Themide bona conſilia ſuggerente prognatis: quæ divitias ſuppeditant: & quarum hic eſt ſcopus ut propulſent injuriam, quam mali homines dictis factiſque audacibus inferre ſolent, quum opulentia turgeſcunt, aut alia re quapiam potiores inſoleſcunt. Habeo res præclaras de Corinthiis narrandas, quas ut lingua efferam, honeſta mei animi audacia me impellit: ita ut cum nemini poſſibile ſit proprium ingenium occultare, abſtinere non poſſim quo minus res præſtabiles commendem. Vobis, ô Corinthii filii Aletæ regis, qui in Peloponneſum cum Heraclidis, Heraclides ipſe eorum dux migrando, Corinthi imperium obtinuit, horæ vernantes vario ſubinde tempore ſplendorem præbuerunt ob victorias, quibus plerique veſtrorum civium ſacris

N O T Æ.

6 Editt. vulgatæ leg. ἐν τᾷ δὲ Δί. Δὲ Schol. exponit γὰρ ut alibi, non vero ita legiſſe videtur. 7 & 8 καλα leg. Codd. omnes ante Schmid. --βάθρον πολίων Ἀσφαλὲς Δίκα-- Nos hic, ut alias, virum Clariſſ. ſecuti, metro poſtulante, mutavimus. Δίκα] Gl. MS. γ. Κρίσις. Βάθρον] Gl. MSS. β. γ. Θεμέλιον. 9 Schol. hab. ὁμότροφος ſenſu optimo, i. e. Quæ ſimul nutritur. Sic apud Ariſtoph. Diana dicitur Apollinis ὁμόσπορος. Aretius exponit ὁμότροπος, Semper iiſdem moribus, & ſibi ſimilis. Εἰρηναία leg. MS. α. 10 Χρύσεαι] Gl. γ. Θεῖαι. 11 Θέμιτος] Gl. MS. γ. Δικαιοσύνης. 12 Ed. Steph. leg. ἀλέξειν. H. Steph. lib. 5. Schediaſm. 14. pro κόρου φθόρου reponendum putat. Aliter Hypallage admittenda eſt, cum κόρον τίκτειν ὕβριν Homerus à Schol laudatus canat. Quem verſum non eſſe Homeri, cenſet Schmid. verum Theognidis, apud quem etiam legitur. Noſtra ſane lectio videtur magis conſentanea Autori noſtro, qui hanc vocem κόρου non uno tantum loco habet, quiq; Schemata auribus noſtris ſatis aſpera non videtur faſtidire. 13 Θρασύμυθον Bodl. male. 15 Εὐθεῖα] Gl. MS. γ. Ὀρθή. Ὀρνύει] Gl. γ. Διεγείρει. 17 Sive ὕμμιν leg. cum aſpirat. Sive ὔμμιν Æol. perinde eſt. 19 Cum nullus ſit uſus copulativæ τε recte rejecit Schmid. & non niſi per conjecturam mutavit vocem ὤπασάν τ' in ὤπασαν τ' pro ὤπασαν τὸ Voc. Med. Nos reſtituimus tandem ex MSS. noſtris; licet MSS. Bodl. & α omitt. γ', metro non conſentiente. 20 Ὑπερελθοῦσιν leg. MSS. Bodl. α. β. γ. & Pal. A. & B. Quomodo locus ita corruptus fuerit Schol. Νέωτ. docet. Aliquos enim, ait, culpaſſe Pindarum, quoniam Genitivo uſus ſit non Dativo. Inde mutatio, haud præter ſolitum ſucceſſit.

[Ἐν τᾷ δὲ γάρ.] ἐν γὰρ ταύτῃ τῇ Κορίνθῳ φησὶν, οἰκεῖ ἡ Εὐνομία, καὶ ἡ ἀδελφὴ αὐτῆς ὁμότροφος Εἰρήνη. ὡς Ἡσίοδος· Δεύτερον ἠγάγετο λιπαρὰν Θέμιν, ἣ τέκεν Ὥρας, Εὐνομίην τε Δίκην, καὶ Εἰρήνην τεθαλυῖαν. [Βάθρον δὲ πόλεων,] ἀντὶ τοῦ ἐφ' ὧν πᾶσα πόλις ἀσφαλῶς βέβηκεν. [Ἐθέλοντι δ' ἀλεξεῖν ὕβριν·] ἤτοι εὐκτικῶς εἶπεν, ἀντὶ τοῦ αἱ προειρημέναι θεαὶ ἀπαλεξήσουσιν τῶν πόλεων τὴν ὕβριν· ἤτοι βούλοιντο δ' ἂν ἀπαμύνειν τὴν ὕβριν καὶ ἀποκωλύειν· ἢ περὶ τῶν Κορινθίων φησίν. ὅτι βούλημα δέ ἐστιν αὐτῶν καὶ σκοπὸς ἐκκλίνειν τὴν ὕβριν, ἀντὶ τοῦ καθεστῶτες εἰσὶ, καὶ οὐχ ὑβρισταί. ἔνιοι δὲ, οὕτως. βουλόμεναι δὲ καὶ σκοπὸν ἔχουσιν αἱ τῆς Θέμιδος θυγατέρες, ἀπαλεξεῖν τὴν ὕβριν τὴν τοῦ κόρου μητέρα τὴν θρασεῖαν. [Ἄλλως. Ἐθέλοντι δ' ἀλεξεῖν.] αἱ προειρημέναι θεαὶ, ἀλεξήσουσι τὴν ὕβριν τῶν πόλεων. οὐκ ὀρθῶς δὲ τὴν ὕβριν τοῦ κόρου μητέρα λέγει. ἀλλὰ τὸ ἀνάπαλιν εἰπεῖν ἔδει. Ὅμηρος· Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕποιτο. [Ἔχω καλά τε φράσαι.] ἔχω τοίνυν περὶ τῆς Κορίνθου τὰ κάλλιστα διεξελθεῖν. παρορμᾷ γὰρ τὴν γλῶτταν ἡ τόλμα ἡ εὐθεῖα καὶ προσφόρος, νικᾷ δὲ ἡ συγγενὴς περὶ αὐτῶν. [Υ̓́μμιν δὲ, παῖδες Ἀλάτα.] τουτέστιν οἱ Κορίνθιοι. Ἀλήτης γὰρ ἡγήσατο τῆς ἀποικίας τῶν Ἡρακλειδῶν, ὅτε οἱ Ἡρακλεῖδαι κατῄεσαν εἰς Πελοπόννησον, καὶ αὐτὸς εἷς ὢν τῶν Ἡρακλειδῶν. ἦν γὰρ Ἱππότου τοῦ Φύλαντος τοῦ Ἀντιόχου τοῦ Ἡρακλέους. οὗτος ἐκράτησε Κορίνθου. διόπερ παῖδας εἶπεν Ἀλήτου τοὺς Κορινθίους, ὡς ἀπογόνους. Δίδυμος δέ φησι τὸν Ἀλήτην, μὴ οἰκιστὴν τῆς Κορίνθου γεγονέναι, ἀλλὰ βασιλέα ἔτη τριακοσίῳ, μετὰ τὴν τῶν Δωριέων ἄφιξιν. ὁ δὲ νοῦς. ὑμῖν δὲ, ὦ Κορίνθιοι, τὴν ἀπὸ τῶν νικῶν ἡδονήν τε καὶ τέρψιν παρέσχον αἱ Ὧραι, νικηταῖς γενομένοις ἐν τοῖς μεγίστοις καὶ ἱεροῖς ἀγῶσιν. οὐ μόνον δὲ ἐνδόξους διὰ τὰς νίκας τοὺς Κορινθίους αἱ Ὧραι ἐποίησαν· ἀλλὰ καὶ ταῖς καρδίαις αὐτῶν ἐνέβαλον σοφίαν. φησὶ δὲ ταῦτα, ἐπειδὴ Φείδων τις Κορίνθιος ἀνὴρ, εὗρε μέτρα καὶ σταθμία, καὶ ἄλλα πολλὰ λέγονται εὑρηκέναι οἱ Κορίνθιοι. διὸ καὶ ἐπιφέρει, πᾶν δ' εὑρόντος ἔργον. πολλὰ οὖν εὗρον.

[Ταὶ

Ἐν ἀέθλοισιν· πολλὰ δ' ἐν
Καρδίαις ἀνδρῶν ἔβαλον

ἐπῳδὸς α'. κώλων ια'.

Ὧραι πολυάνθεμοι ἀρ-
χαῖα σοφίσμαθ'. Ἅπαν δ' εὑρόντος ἔργον.
Ταὶ Διωνύσου πόθεν ἐξέφαναν
Σὺν βοηλάτᾳ χάριτες
Διθυράμβῳ; τίς δὲ ἱππεί-
οις ἐν ἔντεσιν μέτρα;
Ἢ θεῶν ναοῖσιν οἰω-
νῶν βασιλῆα δίδυ-
μον ἔθηκ'; Ἐν δὲ Μοῖσ' ἁδύπνοος,

In certaminibus: multas vero *etiam* in
Corda hominum immiserunt

METAPH.

Horæ multum-floridæ anti-
quas artes. Omne vero inventoris opus *est*.
Bacchi unde apparebant
Cum boves-agente venustates
Dithyrambo? quis vero equestri-
bus in instrumentis mensuras?
Aut Deorum templis volu-
crum regem gemi-
num posuit? Ibi vero Musa suave-spirans,

PARAPHRASIS.

in certaminibus potiti sunt. Quinetiam virorum vestrorum mentibus solertia inventa ab initio inspirarunt: quorum authores merito dicantur, cum omne inventum sui sit inventoris. Unde nisi hinc profecta est dithyrambi inventio? quod genus est saltationis in honorem Bacchi, pro qua sacer illi bos, saltatoris erat præmium. Quis alius equestrium instrumentorum, fræni nimirum & currus symmetriam commentus est? Quis Deorum templis prior αἰετώματα *utraque ex parte apposuit? Hic quoque studium Musices & literarum floret, floret & bellorum: ut quum præstantissimos poëtas Eumolpum & Æsonem habuerunt:*

NOTÆ.

21 Ἐν αἰθλ. leg. MS. γ. 23 & 24 κῶλα MS. γ. distinguit in tria, uti sæpius per hanc Oden; ideoque hic saltem non opus erat tam accurate ejus sectiones observare. 25 Διονύσου leg. nonnulli Codd. 26 Βοηλάτᾳ] Gl. MS. γ. Βοῒ λαμπρᾷ. 31 Ed. Brub. notat alios legere ἐπέθηκ' pro ἔθηκ'; ἐν. Corinthii primum templis addiderunt ἀετώματα, i. e. Suida interprete, στεγάσματα τῶν ναῶν. Pinnas aquilarum alis similes, ut docent Schol. & Alii. Ἀδύπνοος] Dor. pro ἡδύπνοος intell. sive dulcia, quæ sunt Horatio, *Flamina tibiæ*; seu vocis modulationem.

[Ταὶ Διονύσου πόθεν ἐξέφαναν.] αἱ τοῦ Διονύσου φησὶ πανηγύρεις, πόθεν ἐξέλαμψαν σὺν τῷ διθυράμβῳ, ἀντὶ τοῦ τὸν διθύραμβον προσλαβοῦσαι. βοηλάτην δὲ τὸν διθύραμβον προσαγορεύει· ἤτοι διὰ τὸ βοῦν εἶναι τῷ νικήσαντι ἔπαθλον, ἱερὸς γὰρ τοῦ Διονύσου· ἢ διὰ τὸ ἐλαύνεσθαι αὐτὸν διὰ βοὸς, καὶ λέγεσθαι. ὁ Πίνδαρος δὲ ἐν μὲν τοῖς ὑπορχήμασιν, ἐν Νάξῳ φησὶν εὑρεθῆναι πρῶτον διθύραμβον. ἐν δὲ τῷ πρώτῳ τῶν Διθυράμβων, ἐν Θήβαις. ἐνταῦθα δὲ, ἐν Κορίνθῳ. ἢ οὕτως ἀκουστέον, αἱ τοῦ Διονύσου διθύραμβοι, ἐν Κορίνθῳ ἐφάνησαν χάριτες. τουτέστι, τὸ σπουδαιότατον τῶν Διονύσου διθυράμβων, ἐν Κορίνθῳ πρῶτον ἐφάνη. ἐκεῖ γὰρ ὠράθη ὁ χορὸς ὀρχούμενος. ἔστησε δὲ αὐτὸν πρῶτος Ἀρίων ὁ Μηθυμναῖος· εἶτα Λάσος ὁ Ἑρμιονεύς. [Ἄλλως.] ὁ λόγος ἐρωτηματικός. ὑπακούεται δὲ δηλονότι ἐκ Κορίνθου. συνίστησι γὰρ ὅτι πρῶτος ἐν Κορίνθῳ διθύραμβος εἰσήχθη· ὃς ἦν κύκλιος χορὸς· Ἀρίονος τοῦ Μηθυμναίου συστήσαντος αὐτόν. [Τίς γὰρ ἱππείοις ἔντεσι μέτρα.] τουτέστι τὰ ἵππεια μέτρα τοῦ χαλινοῦ. ἀποδεδώκασι δὲ τῷ δοκεῖν τὸν Πήγασον πρῶτον ὑπὸ Βελλεροφόντου ἐν Κορίνθῳ κατεζεῦχθαι. Δίδυμος δὲ φησὶ, μήτε τοὺς ἱππικοὺς δρόμους, μήτε τὰς τῶν ἁρμάτων κατασκευὰς, μήτε τὸν χαλινὸν διὰ τούτων δηλοῦσθαι, ἀλλὰ τὸν κεραμεικὸν τροχὸν, ἐκ μεταφορᾶς διχόθεν μετενηνεγμένης. τοῦτο μὲν, ὅτι ἵπποις οἰκεῖος ὁ τροχός. τοῦτο δὲ, ὅτι ἑκατέρωθεν ἐλαύνεται ὑπὸ ποδὸς πτέρνης. Καλλίμαχος· Πτέρνῃ θ' ἵπποις ἐλαυνόμενος. Θεόφραστος δὲ ἐν τῷ περὶ εὑρημάτων, Ὑπέρβιον τὸν Κορίνθιον, φησὶν, εὑρηκέναι τὴν τοῦ κεραμεικοῦ τροχοῦ μηχανήν. μέτρα δὲ αὐτὰ ὁ Πίνδαρος, παρ' ὅσον ἐκ κεραμεικοῦ μετρούμενα. καὶ ὅσα ἄλλα, ψυκτῆρες, κώθωνες. ἔνιοι δὲ ἵππεια ἔντεα, ἅρματα καὶ χαλινούς. ἀπὸ μέρους τοὺς πολεμικούς. ὅτι δὲ παρ' αὐτοῖς ὁ χαλινὸς εὕρηται, δείκνυσιν ἐν τοῖς ἑξῆς. ὁ δὲ νοῦς, οὕτω. τίς γάρ φησιν ἕτερος εὗρε τὰ μέτρα τὰ ἐν τοῖς ἱππείοις ἔντεσι καὶ ὅπλοις γινόμενα. ἱππείοις δὲ ἔντεσιν εἶπε, τοῖς τροχοῖς τοῖς κεραμικοῖς. ἐπειδὴ ἐπὶ τροχοῦ πλάττεται. ὁ δὲ τροχὸς κοινωνεῖ τῷ ἅρματι τῶν ἵππων. [Ἄλλως.] ὁ Δίδυμος ἑτέραν ἀποδίδωσιν οὕτως ἔχουσαν. τὴν ἐν πρόθεσιν, ἀντὶ τῆς εἰς κειμένην, συναπτέον πρὸς τὰ μέτρα. τίς γὰρ τοῖς εἰς τὰ μέτρα ἱππείοις ἔντεσιν ἐχρήσατο πρῶτος, ἢ σὺ ὦ Κόρινθε. Ἵππεια δὲ ἔντεα, τὰ Φειδώνεια ἀγγεῖα ἀκουστέον, διὰ τὴν κοιλότητα. Ὅμηρος· Ἀμφίπολοι δ' ἐπικόσμεον ἔντεα δαιτός. τούτων οὖν τῶν εἰς τὰ μέτρα ἐπιῶν, εὑρετάς φησιν εἶναι τοὺς Κορινθίους. διατί δὲ ἵππεια αὐτὰ εἶπεν· ὅτι Φείδων ὁ πρῶτος κόψας Κορινθίοις τὸ μέτρον, Ἀργεῖος ἦν. τὸ δὲ Ἄργος, ἵππειον λέγουσιν οἱ ποιηταί· Εὐριπίδης· Ὅταν εἰς Ἑλλάδ' ἵππειόν τ' Ἄργος μόλῃς. [Ἢ θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον.] οἰωνῶν βασιλέα, τὸν ἀετὸν, φησί. λέγει δὲ τὸ κατὰ τοὺς ναοὺς τῶν θεῶν ἀέτωμα. τίς οὖν φησιν ἐν τοῖς ναοῖς τῶν θεῶν, τὸν βασιλέα τῶν ὀρνίθων ἐπέθηκε τὸ λεγόμενον ἀέτωμα. Δίδυμος δὲ φησὶν, ὅτι διπλᾶ τὰ ἀετώματα, ὄπισθεν καὶ ἔμπροσθεν. διὰ τὸ ἐξ ἀμφοτέρων τῶν μερῶν κατασκευάζεσθαι αὐτά. [Ἄλλως. Οἰωνῶν βασιλέα.] ὁ ἀετὸς οἰωνῶν βασιλεύς ἐστιν ὁ ἐπὶ τῶν ἱερῶν τιθέμενος. τινὲς δὲ τὸ ἀέτωμα, ὡς φησὶ Δίδυμος, παρατιθέμενος Τίμαιον λέγοντα· Καὶ τοῦτο ἐν ταῖς οἰκοδομίαις αὐτῶν, εὕρημα, καὶ τὰ ἑξῆς. [Ἐν δὲ Μοῖσ' ἁδύπνοος.] ποῦ δὲ ἡ μουσικὴ ἀνθεῖ, καὶ τὰ πολεμικὰ ἀλλαχοῦ; τοῦτο δὲ, διὰ τὸν Εὔμολπον ὄντα Κορίνθιον καὶ γράψαντα νόστον τῶν Ἑλλήνων. ἢ τοῦτο φησὶν, ἀντὶ τοῦ μουσικοὶ εἰσὶ παρ' αὐτοῖς καὶ ποιηταὶ διασημότατοι ἐν Κορίνθῳ ἐγένοντο. ὧν ἦν καὶ Αἴσων, οὗ μέμνηται Σιμωνίδης· ἐν δὲ τῷ Περσικῷ πολέμῳ καὶ οὗτοι ἐστρατεύσαντο, ἔχοντες

[Ἐν

Εν δ' Αρης ἀνθεῖ νέων
Οὐλίαις αἰχμαῖσιν ἀνδρῶν.

Et ibi Mars floret juvenum
Exitiosis præliis virorum.

στροφὴ β'. κῶλων ια'.

Υπατ' εὐρὺ ἀνάσσων Ολυμπίας,
Αφθόνατος ἔπεσσιν
Γένοιο χρόνον ἅπαντα, Ζεῦ πάτερ,
Καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων,
Ξενοφῶντος εὔθυνε δαίμονος οὖρον·
Δέξαι δέ οἱ στεφάνων ἐγκώμιον τε-
θμὸν, τὸν ἄγει πεδίων
Εκ Πίσας, πεντάθλῳ ἅμα
Σταδίου νικῶν δρόμον. Οὐκ
Αντεβόλησεν τῶν ἀνὴρ
Θνατὸς οὔπω τις πρότερον.

Μεταφρ.

O summe late dominans Olympiæ,
Non-invidens carminibus *meis*
Sis *per* tempus omne, Jupiter pater,
Et huncce populum indemnem regens,
Xenophontis dirige fortunæ ventum.
Accipeque ejus coronarum laudatoriam le-
gem, quam reportat campis
Ex Pisæ, *cum* quinquertio simul
Stadii vincens cursum. Non
Consecutus-est hæc vir
Mortalis unquam aliquis antea.

ἀντιστροφὴ β'. κῶλων ια'.

Δυο δ' αὐτὸν ἔρεψαν πλόκοι σελί-
νων ἐν Ισθμιάδεσσιν

Μεταφρ.

Duoque ipsum texerunt plicamenta a-
piorum in Isthmiadibus

PARAPHRASIS.

& quum strenua illorum juventus Græcos ad Salaminem, ad Platæas, ad Thermopylas fortiter contra Persas defendit. O summe Deorum Jupiter pater, qui in Olympia potenter regnas, esto favens per omne tempus laudatoriis versibus, quibus Corinthiacum populum prosequor: cui velim ut inoffensam fœlicitatem largiaris: simulque secunda fortunæ aura Xenophonti aspires. Accipe etiam æquo animo encomiasticum hoc carmen, quod ille, ut lege sancitum est Olympionicas carmine laudare, pro coronis reportat, quas una & eadem Olympiade, stadio fœliciter decurso, & superato quinquertio est adeptus: qui successus post hominum memoriam nulli mortalium obtigit. Nec solum in Olympia vicit: sed bis etiam apio complicato pro decertatis Isthmiis

NOTÆ.

32 Schol. appellat ducem Corinth. * Αδίαντον, cui apud Herodotum in Polymnia Αδίμαντος nomen est, cujus quidem lectionis plures viri docti ad hunc locum meminerunt. 34 Ολυμπίαις leg. C. 71. 35 Αφθόνητος leg. MSS. nostra. 37 Νέμων] Gl. MS. γ. Κυβερνῶν. 40 Τετμὼν leg. MS. α. 41 Πίσης leg. MS. γ. 42 Σταδίου δρόμον] Primum Pentathlo vicit, de quo in Titulo; secundo stadii cursu, ubi, esse σταδίου δρόμον, observa: unde colligimus in Titulo duas tantum victorias intelligi debere. Verba sunt Aretii, quæ, quomodo consentiunt cum iis, quæ antea ex eo citavimus, judicent Lectores. 43 Αντιβόλησεν MSS. Bodl. C. & γ.

ἡγεμόνα * Αδίαντον. [Εν δ' Αρης ἀνθεῖ νέων.] πῶς δέ φησι καὶ τὰ τοῦ πολέμου ἐμπείρως οὕτω γίνεται; τοῦτο δὲ, διὰ τὰ Μηδικὰ, φησίν. ὅτε ἠνδραγάθησαν ἐπὶ Ξέρξου ἐπιλθόντος, καὶ φυγόντος ὑπὸ Αθηναίων, ὅτε καὶ πεντήκοντα ναῦς τοῦ Πέρσου κατέδυσαν. [Αλλως.] τὸν Αρην φησὶν ἐν Κορίνθῳ λάμπειν· τείνων εἰς τὰ περὶ Περσίδα. ἐν οἷς ὑπὲρ τῆς Ελλήνων σωτηρίας ἠνδραγάθησαν οἱ Κορίνθιοι. Θεόπομπος δέ φησι καὶ τὰς γυναῖκας αὐτῶν εὔξασθαι τῇ Αφροδίτῃ, ἔρωτα ἐμπεσεῖν τοῖς ἀνδράσιν αὐτῶν, μάχεσθαι ὑπὲρ τῆς Ελλάδος τοῖς Μήδοις, εἰσελθούσας εἰς τὸ ἱερὸν τῆς Αφροδίτης. ὅπερ ἱδρύσασθαι τὴν Μήδειαν λέγουσιν, Ηρας προστάξασης. εἶναι δὲ καὶ νῦν ἀναγεγραμμένον ἐλεγεῖον εἰσιόντι ἐς τὸν ναὸν ἀριστερᾶς χειρός· Αἵδ' ὑπὲρ Ελλάνων τε καὶ ἀγχεμάχων πολιτᾶν, Εστασαν εὔχεσθαι Κύπριδι δαιμονίᾳ. Οὐ γὰρ τοξοφόροισιν ἐβούλετο δῖ' Αφροδίτα, Μήδοις Ελλάνων ἀκρόπολιν δόμεναι. [Αφθόνατος ἔπεσιν.] ἐπὶ τοῖς ἔπεσι τῆς Ολυμπίας καὶ τοῖς ὕμνοις οἷς λέγω περὶ αὐτῶν, μὴ νεμεσήσῃς ὦ Ζεῦ. [Ξενοφῶντος εὔθυνε.] τουτέστι, τοῦ Ξενοφῶντος εὔθυνε τὴν εὐτυχίαν, οὔριον καὶ εὐδιεινὸν διδοὺς αὐτῷ τὸ δαιμόνιον, ἀντὶ τοῦ, ποίει δὲ αὐτὸν, φησὶν, εὐτυχῆ καὶ εὐδαίμονα. [Δέξαι δέ οἱ στεφάνων ἐγκώμιον.] καὶ προσδέξαι φησὶν ἡδέως τὸν ἐπὶ τῶν στεφάνων αὐτοῦ τεθμὸν, καὶ νόμιμον ἔπαινον. λέγει δὲ τὸν ὕμνον. τεθμὸν δὲ τὸν νόμον φησί. νόμος γάρ ἐστιν οὗτος, Ολυμπιονίκας ὑμνεῖσθαι. [Τὸν ἐγκωμιαστικὸν λόγον.] ὅς ἐστιν ὕμνος τῶν νικηφόρων. ὅντινα ὕμνον ἐκτήσατο καὶ ἄγει φησὶν ἑαυτῷ νικῶν, καὶ στάδιον ὁμοῦ καὶ πένταθλον, ἐν τῷ σταδίῳ τῆς νίκης. [Τῶν ἀνὴρ θνατός.] ὧν εὐτυχημάτων τῶν τῆς διπλῆς νίκης, οὐδέπω πρότερον ἐπέτυχησεν ἀνήρ. πρῶτον δὲ καὶ μόνον φησὶ τὸν Ξενοφῶντα κατὰ τὴν αὐτὴν ἡμέραν στάδιον καὶ πένταθλον νικῆσαι Ολυμπίοις. λέγει δὲ καὶ ἄλλας νίκας αὐτοῦ. [Δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελίνων.] πλόκοι δὲ, ἐξ σελίνων γὰρ οἱ στέφανοι· παρὰ τὸ πλέκεσθαι τοῖς τὰ Ισθμια νικῶσι· Σημειωτέον δὲ ὅτι ἤδη ἀποδέδεικται Ισθμοῖ ὁ ἀπὸ σελίνων στέφανος, ὡς ἐν Νεμέοις. ἀμφότεροι γὰρ ἐπιτάφιοι. ἱερὸν δὲ τὸ σέλινον τῶν Καταχθονίων. τὸ δὲ οὐκ ἀντιξοεῖ, ἀντὶ τοῦ οὐκ ἀντίκειται. ἐνίκησε γὰρ καὶ τὰ Νέμεα. οἱ δὲ ὅτι ἀντίκειται. ἀπὸ μεταφορᾶς τῶν ξύλων τῶν ξεομένων καὶ ἀλλήλοις ἁρμοζομένων. τὰ γὰρ συναρμοζόμενα, συγξέεται· ἀλλ' ἀντιξοεῖ καὶ ἀντιβαίνει πρὸς τὴν ξέσιν ἁρμοστὰ ὄντα.

[Παῖδες

Φανέντα· Νεμέα τ' οὐκ ἀντιξοεῖ.
Πατρὸς δὲ Θεσσαλοῦ ἐπ' Ἀλφεοῦ
Ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται·
Πυθοῖ τ' ἔχει σταδίου τιμὰν, διαύλου
Θ', ἁλίῳ ἀμφ' ἑνί· μη-
νός τέ οἱ τωὐτοῦ κρανααῖς
Ἐν Ἀθάναισι, τρία μὰν
Ἔργα ποδαρκὴς ἁμέρα
Θῆκε κάλλιστ' ἀμφὶ κόμαις·

ἐπῳδὸς ς'. κώλων ια'.

Ἑλλώτια δὲ ἑπτάκις. Ἐν
Δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν
Πτοιοδώρῳ σὺν πατρὶ, μακρότεραι
Τερψίᾳ θ' ἕψοντ', Ἐριτί-
μῳ τ' ἀοιδαί. Ὅσσα τ' ἐν Δελ-
φοῖσιν ἀριστεύσατε,

Conspectum: Nemeaque non discrepat.
Patris autem Thessali ad Alphei
Fluenta decus pedum repositum-est:
Delphisque habet stadii honorem, diau-
lique, sole in uno: men-
seque ipsi eodem asperis
In Athenis, tria sane
Opera celeripes dies
Posuit pulcherrima circa comas:

Μεταφρ.

Hellotiaque septies. In
Mari-cinctis autem Neptuni ritibus
Ptœodoro cum patre, longius-petita
Terpsiamque sequentur, Eriti-
mumque carmina. Quoties etiam in Del-
phis viceritis,

PARAPHRASIS.

coronatus: necnon in Nemea rem fœliciter gessit. Quinetiam pater ejus Thessalus ad Alphei fluvium in Olympia pedum celeritate conspicuus evasit: & uno die stadium, & diaulum in Pythiis cum honore decurrit. Eodem quoque mense apud asperas Athenas dies celeri pede decurrens caput ipsius cinxit coronis ob triplicem pulcherrimam triplici certamine victoriam, stadio, diaulo, & armato cursu. Vicit etiam septies Hellotia, in gratiam Eurytiones & Hellotidis sororum virginum, monitu Minervæ instituta, ut expiaretur earum mors in suo templo crematarum. In Isthmiis præterea, quæ in Isthmo Corinthiaco mari undique circundato, ubi colitur Neptunus, rite celebrantur, majora ipsum oblectamenta, & perquam honorifica carmina cum Ptœodoro patre sequuntur, Xenophontis avo. Quam sæpe etiam Delphis Pythia,

NOTÆ.

47 Νέμεά τ' leg. MSS. nostra. Αντιξοεῖ C. 71. 50 Διαύλου] Stadii iterati. Quando à fine stadii cursus continenter sinuatur ad ejusdem initium, ut ex lib. 5. Pausaniæ patet. Αὐλὸς est fistula, meatus longus & angustus, convallis, & quicquid in longum est porrectum, cujusmodi est stadium. Δίαυλος stadium est geminatum, à δὶς & αὐλίζεσθαι, quod in duobus locis fiat statio, initio & fine. Pauſ. loco laudato comparat scriptioni, quæ fit conversionibus linearum, more sulcorum à bobus arantibus factorum. 53 Μὴν leg. MS. γ. Ed. Rom. μὴν. 54 Ποδαρκὴς ἁμέρα leg. MSS. Bodl. & α. Intra unius diei, quæ tam celeriter transit, spatium tres victorias obtinuit. 57 MSS. α. ζ. γ. hab. Ποτιδᾶνος. Ποτειδᾶνος Editt. nonnullæ. 58 Πτοιοδώρῳ σὺν πατρὶ] Fuit hic Ptœodorus pater non Xenophontis sed Thessali, & ita Xenophontis avus. Unde apparet, Poëtam non de Xenophonte loqui, sed de eo, cujus pater fuit Ptœodorus, & proinde Scholiasten male victorias septem Hellotias Xenophonti tribuere. Μακρότεραι κ. λ.] Id est, ad remotiorum graduum personas spectantes, sequentur, i. e. decantandæ erunt, ad prosequendos laudibus Terpsiam & Eritimum, cognatos, una cum ipso Ptœodoro Thessali patre: utpote qui omnes Isthmici victores evasere. Alii leg. Μακρότεραι τέρψιες θ' ἕψοντ', ἐρίτιμοί τ' ἀοιδαί, cujus lectionis sensus exprimitur in Paraphrasi.

[Πατρὸς δὲ Θεσσαλοῦ.] καὶ τῆς πατρὸς αὐτοῦ Θεσσαλοῦ, ἀνάκειται ἐν τῇ Ὀλυμπίᾳ ἡ δόξα ἡ ἐκ τοῦ δρόμου, ἀντὶ τοῦ ἐνίκησε. [Πυθοῖ τ' ἔχει.] κατὰ δὲ τὴν Πυθίαν, διαύλου καὶ σταδίου τιμὴν ἔλαβε. λέγει δὲ Θεσσαλὸν, τὸν τοῦ Ξενοφῶντος πατέρα. [Ἁλίῳ ἀμφ' ἑνί,] ἀντὶ τοῦ ἐν μιᾷ ἡμέρᾳ. [Μηνός τέ οἱ τωὐτοῦ.] κατὰ δὲ τὸν αὐτὸν μῆνα, τρία ἔργα καὶ ἐν ταῖς Ἀθήναις ταῖς τραχείαις, καὶ τρεῖς ἄθλους περιεποίησεν αὐτοῦ ἡ ὀξύτης τῶν ποδῶν καὶ ἡ ὀξύδρομος ἡμέρα· ἔργα καὶ ἀγωνίσματα κάλλιστα. ἀφ' ὧν ἐστέφθη τὰς κόμας καὶ τὴν κεφαλήν. τρία δὲ ἔργα εἶπεν, δίαυλον, καὶ ὁπλιτικὸν δρόμον, καὶ στάδιον. [Ποδαρκὴς ἡμέρα θῆκε·] ἤτοι ἡ πρὸς τὸν δρόμον τότε ἀποκληρωθεῖσα καὶ ἐπαρκοῦσα, ἢ ἡ παρέχουσα αὐτῷ τὸ τάχος διαρκές. ἢ αὐτὴ οὖσα ἡ ὀξύπορος καὶ ὀξύπους. [Ἑλλώτια δὲ ἑπτάκις.] τὴν προσηγορίαν ταύτην εἰληφέναι φασὶ τὴν Ἀθηνᾶν, ἀπὸ τοῦ ἐν Μαραθῶνι ἕλους ἔνθα ἵδρυται. γίνεται οὖν ἑορτὴ τῆς Ἀθηνᾶς ἐν Κορίνθῳ. ἐν ᾗ καὶ ὁ ἀγὼν τελεῖται ὁ καλούμενος Λαμπαδοδρομικός. ἐν ᾧ ἔτρεχον νεανίαι, λαμπάδας κρατοῦντες. αὕτη δὲ ἡ πανήγυρις, εὑρέθη κατὰ μέν τινας, ἐπειδὴ τὸν ἵππον τοῦ Βελλεροφόντου ὑπέταξεν ἡ θεὸς τὸν Πήγασον, καὶ περιέθηκεν αὐτῷ τὰ χαλινὰ, καὶ οὕτως εἷλεν αὐτόν. ἢ διὰ τοῦτο, ἐπειδὴ Δωριεῖς σὺν τοῖς Ἡρακλείδαις ἐπιθέμενοι Πελοποννησίοις Κόρινθον χειρωσάμενοι, ταύτην τῇ φλογὶ συνέφλεγον. τῶν τοίνυν γυναικῶν ἐν τῇ πορθήσει φευγουσῶν, τινὲς ἐξ αὐτῶν ἅμα Εὐρυτιώνῃ καὶ Ἑλλωτίδι, εἰς τὸν τῆς Ἀθηνᾶς εἰσελθοῦσαι νεὼν, οὕτω διαφυλάξασθαι τὸν κίνδυνον προσεδόκησαν. ὡς δὲ ᾔσθοντο Δωριεῖς, κατὰ τοῦτον πῦρ ἐπέμψαν. αἱ μὲν οὖν ἄλλαι ἔφυγον. ἡ δὲ Εὐρυτιώνη καὶ ἡ Ἑλλωτὶς ἀδελφαὶ τυγχάνουσαι, μετὰ παιδίου συγκατεφλέχθησαν. λοιμοῦ δὲ συμπεσόντος, οὐ πρότερον τὸ νόσημα παύσεσθαι ἔφη ἡ θεὸς, πρὶν ἐξιλεώσασθαι τῶν παρθένων τὰς ψυχάς· καὶ Ἑλλωτίδος Ἀθηνᾶς ἱερὸν ἱδρύσασθαι, καὶ πανήγυριν Ἑλλώτια καλουμένην. καθ' ἣν φησὶν ἑπτάκις νενικηκέναι τὸν Ξενοφῶντα. [Ποτειδᾶνος τεθμοῖσιν.] ἐν τοῖς Ἰσθμικοῖς ἀγῶσιν. οὗτοι γὰρ τῷ Ποσειδῶνι νόμιμοι ἀγῶνες. [Πτοιοδώρῳ σὺν πατρί.] Τερψίας ἀδελφὸς Πτοιοδώρου. καὶ Τερψίονος μὲν παῖδες, Ἐρίτιμος καὶ Ναμερτίδας. Πτοιοδώρου δὲ, Θεσσαλός· οὗ Ξενοφῶν. τινὲς δὲ τὸν Ναμερτίδαν, Ἐρίτιμον φασίν. Ἐριτίμου δὲ Αὐτόλυκον. [Μακρότεραι τέρψιες.] μακρότεραι τέρψιες, καὶ πλείους ἀκολουθοῦσιν ἐπιτερπεῖς ὕμνοι καὶ μέγιστοι. καὶ ἄλλη μὲν ἡ ἐξήγησις, οὕτως· εἶτα τῆς γραφῆς ὡς ἐν τισιν ἐχούσης τὸν τρόπον τοῦτον, μακρότεραι τέρψιες ἕψονται, ἐρίτιμοί τ' ἀοιδαί. εἰ δὲ ὀνόματα λαμβάνομεν τὸ Τερψίας καὶ τὸ Ἐρίτιμος, ἔσται τὰ τῆς διανοίας ὡς εἴπομεν. [Ὅσσα τ' ἐν Δελφοῖσι.] θαυμαστικῶς τὸ ὅσσα, ἀντὶ τοῦ πολλάκις Δελφοῖς ἐνίκησαν τὰ Πύθια.

Ηδὲ χόρτοις ἐν λέοντος,
Δηρίομαι πολέσιν
Περὶ πλήθει καλῶν· ὡς μὰν σαφὲς
Οὐκ ἂν εἰδείην λέγειν
Ποντιᾶν ψάφων ἀριθμόν.

στροφὴ γ'. κώλων ια'.

Επεται δ' ἐν ἑκάστῳ μέτρον. Νοῆ-
σαι δὲ καιρὸς ἄριστος.
Εγὼ δὲ ἴδιος ἐν κοινῷ σταλεὶς,
Μῆτίν τε γαρύων παλαιγόνων,
Πόλεμόν τ' ἐν ἡρωΐαις ἀρεταῖσιν,
Οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ. Σίσυφον μὲν,
Πυκνότατον παλάμαις,
Ως Θεόν. Καὶ τὰν πατρὸς ἀν-
τία Μήδειαν θεμέναν

Et septis in leonis,
Certo *cum* multis
De multitudine honestorum: ut sane clare
Non norim recensere
Marinorum calculorum numerum.

Metaph.

Sequitur vero in quolibet modus. In-
telligere vero occasio est optima.
Quin ego privatus in communi missus,
Prudentiamque laudans majorum,
Bellumque in heroicis virtutibus,
Non mentiar de Corintho. Sisyphum quidem,
Prudentissimum artificiis,
Ut Deum. Et quæ Patrem con-
tra Medeam paravit

Paraphrasis.

& in Nemea sylva, ubi leo ille grassabatur, Nemea strenue vicistis ô Thessale & Xenophon? Libens contendam solus adversus multos infinitum esse numerum præclare gestarum à vobis rerum: ita ut quemadmodum arenam numerare, sic vestras virtutes recensere non possum. Sed mediocritas qualibet in re, proinde etiam in laude, servanda est, ejusque opportunum usum nosse magni est momenti. Porro ego non ut alienus, sed ut ex vobis unus ô Corinthii, in communi missus, progenitorum vestrorum prudentiam, bellumque virtutibus heroicis clarum ita dicam, ut nihil falsi de Corintho proponam. Ac Sisyphum quidem, artificiis instar Dei prudentissimum memorabo, qui omnium hominum fuit astutissimus, ut quum Autolyci præstigias callide repulit. Medeam quoq; quæ invito Æeta patre Jasoni

Notæ.

63 Πόλεσσιν male MSS. β. γ. 64 Alii ὡς, Sic. Μὶν leg. MS. Bodl. 66 Ποντιᾶν] Dor. pro ποντίων. 69 Εν κοινῷ refert ad γαρύων, reddens, ut Publice dicam majorum virtutem. 73 Πυκνότατον] Gl. MS. γ. Φρονιμώτατον. 75 Μήδειαν] Schol. MSS. β. γ. Ιστέον δὲ, ὅτι τὸ χρυσόμαλλον δέρας ἦν τοῦ κριοῦ, ὃς τὸν Φρίξον εἰς Κολχίδα διεπέρασεν. ἐκεῖ δὲ τοῦτο, ὡς φασιν, Φυξίῳ Διῒ ἔθυσαν, καὶ ἀπεκρέμασαν ἐν Αρεος ἄλσει, καὶ ἐφύλασσε τοῦτο δράκων, ὅστις πεντηκόντορον ναῦς μήκει τε πάχει τε, ὥς φασι Πίνδαρος.

[Ηδὲ χόρτοις ἐν λέοντος,] ἀντὶ τοῦ πόσα δὲ καὶ ἐν τῇ Νεμέᾳ. ἥτις ἐστὶ περιορισμὸς τοῦ λέοντος. ἐν ᾧ ἐτράφη ὁ λέων ὁ ὑπὸ τοῦ Ηρακλέος ἀναιρεθείς. [Αλλως. Χόρτοις,] ἀντὶ τοῦ περιορίσμασι. τὸ γὰρ παλαιὸν χόρτους φυτεύοντες ἀντὶ φραγμῶν, περιώριζον τοὺς τόπους. Ομηρος· Αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον. [Δηρίομαι πολέσιν,] ἀντὶ τοῦ φιλονεικήσω πλείστοις περὶ τῶν ὑμετέρων καλῶν, καὶ τοῖς ἄλλοις ἀξιοπρεπέσι τὰ κατορθώματα ὑμῶν ἀντιπαραθεὶς, οὐκ ἐλάττονα ὄντα ταῦτα ἀποδεικνύς. ἢ οὕτω. διαμαχεθήσομαι εἷς ὢν περὶ πλειόνων κατορθωμάτων. ἢ οὕτω. πλεῖστα μὲν οὖν περὶ ὑμῶν πρὸς πάντας καταλέγειν *, σαφῶς μέν τοι καὶ ἀκριβῶς, οὐκ ἂν δυνηθείην πάντα εἰπεῖν. ὥσπερ οὐδὲ θαλασσίας ψηφῖδος τὸν ἀριθμόν. [Επεται δ' ἐν ἑκάστῳ μέτρον.] τὸ μέτρον καιροῦ δεῖ. κἀγὼ οὖν φησι παύσομαι, ὑπὲρ μέτρον ἐπαινῶν ὑμᾶς. [Αλλως.] οὐδὲν οὖν πλεῖον δύναμαι λέγειν. ἵνα μὴ τῷ μέτρῳ λυπήσω τινάς. [Εγὼ δ' ἴδιος ἐν κοινῷ σταλείς.] ὁ νοῦς. ἐγὼ δὴ οὖν φησιν οὐχ ὡς ἀλλότριός τις, ἀλλ' ὡς ἴδιος καὶ κοινὸς ἐν ὑμῖν παρ' οἷς καὶ τὴν σύνεσιν τῶν προγόνων ὑμῶν λέγων. καὶ τὰ ἀνδραγαθήματα τῶν παρ' ὑμῖν ἡρώων τὰ κατὰ πόλεμον καὶ αὐτὰ λέγων, οὐδὲν ἀλλότριον διαψεύσομαι τῆς Κορίνθου. [Αλλως.] ὡς ἴδιος. τουτέστιν, ὡς εἷς ἐξ ὑμῶν ἀποσταλεὶς καὶ προκριθεὶς, τὴν βούλησιν τῶν ὑμετέρων προγόνων, καὶ τὸν ἡρωϊκὸν πόλεμον, οὐ ψεύσομαι περὶ τῆς Κορίνθου γαρύων. τουτέστι, φωνῶν, λέγων. μῆτιν δὲ παλαιγόνων ἔφη, τὴν Σισύφου. ἱστορεῖται γὰρ γεγονέναι συνετός. Ομηρος· Ενθα δὲ Σίσυφος ἔσκεν, ὃς κέρδιστος γένετ' ἀνδρῶν. [Μῆτίν τε.] αὕτη ἐστὶν ἡ μῆτις ἡ προκειμένη τῶν προγόνων. ἧς ὑπόδειγμα Σίσυφος. τὸν μὲν Σίσυφον οὕτω, φησὶ, λέγω συνετώτατον ἐν ταῖς ἐπινοίαις γεγενῆσθαι, ὡς ἂν Θεόν. [Πυκνότατον παλάμαις.] συνετώτατον βουλαῖς, ἢ γνώμαις. [Καὶ τὰν πατρὸς ἀντία Μήδειαν.] καὶ τὴν Μήδειαν ὑμνῶ, τὴν παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς γαμηθεῖσαν. ἐγαμήθη δὲ τῷ Ιάσονι σοφὴ οὖσα. τὴν γενομένην Σώτειραν καὶ βοηθὸν τῇ Αργοῖ. ἐβούλετο γὰρ ὁ Αἰήτης ἀνελεῖν τοὺς Αργοναύτας. [Αλλως. Πατρὸς ἀντία.] ἐπεὶ ἠναντιώθη κατὰ τὸν γάμον τῷ πατρὶ ἡ Μήδεια. ὃν γὰρ ἐκεῖνος οὐκ ἐβούλετο Ιάσονα, τούτῳ ἐγαμήθη, καὶ συναπῆρεν αὐτῷ. Ζητεῖται δὲ, τί δήποτε τὴν Μήδειαν Κολχίδα οὖσαν, εἰς τοὺς περὶ Κορινθίων λόγους προσάγεται; Φασὶ δὲ τὴν Κόρινθον πατρῷον κτῆμα εἶναι Μηδείας. Αἰήτη γὰρ τῷ Ηλίου καὶ Αντιόπης χρησμὸν δοθῆναι πόλιν οἰκίζειν ἐν Κόλχοις, ἀπ' αὐτῆς τὴν ἐπωνυμίαν ἔχουσαν. τὴν δὲ τῆς Κορινθίων τυραννίδα παρακαταθέσθαι Βούνῳ τῷ Ερμοῦ. ἐντειλάμενον εἰ μὲν ἐπανάχθείη, ἀποδοῦναι αὐτῷ. εἰ δὲ μὴ, αὐτὸν ἔχειν. τὴν δὲ Μήδειαν ἐρασθῆναι Σισύφου φησὶ Θεόπομπος. [Αλλως.] διὰ τοῦτο Μηδείας ἐμνημόνευσεν, ὅτι ἡ Κόρινθος πατρῷον αὐτῆς κτῆμα γέγονε, τούτῳ τῷ λόγῳ· Αλωεύς τε καὶ Αἰήτης ὁ Μηδείας πατὴρ, ἐγένοντο παῖδες Ηλίου καὶ Αντιόπης. τούτοις ὁ Ηλιος διένειμε τὴν χώραν. καὶ ἔλαβεν Αλωεὺς τὴν ἐν Αρκαδίᾳ. ὁ δὲ Αἰήτης, τὴν Κόρινθον, Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ, Βούνῳ μέν τινι Ερμοῦ υἱῷ παρέδωκε τὴν

* Deest ἴσως aut aliquid tale; quod monuit vir doctus, qui pauculas Castigationes MSS. ad Edit. Brub. quam inspeximus, addidit.

πόλιν,

Τὸν γάμον αὐτᾷ, ναὶ σώ-
τειραν Ἀργοῖ, καὶ περιπόλοις.

ἀντιστροφὴ γ'. κώλων ια'.

Τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ πρὸ Δαρδάνου
Τειχέων ἐδόκησαν
Ἐπ' ἀμφότερα μαχᾶν τέμνειν τέλος,
Τοὶ μὲν, γένει φίλῳ σὺν Ἀτρέως,
Ἑλέναν κομίζοντες, οἱ δ' ἀπὸ πάμπαν
Εἴργοντες· ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόν-
τα τρόμεον Δαναοί.
Τοῖσι μὲν ἐξεύχετ', ἐν ἄ-
στει Πειράνας σφετέρου

Nuptias sibi, navis serva-
tricem Argus, & vectorum.

Μ ε τ α ρ η.

Quando vero olim fortiter ante Dardani
Muros visi-sunt
Ex utraque-parte pugnarum secare finem,
Alii quidem, progenie chara cum Atrei,
Helenam repetentes, alii vero omnino
Resistentes: ex Lycia vero Glaucum pro-
fectum timuerunt Danai.
Ad-quos quidem gloriabatur, in ur-
be Pirenes sui

P a r a p h r a s i s.

nupsit, navemque Argo. Quod vero ad fortitudinem bellicam attinet: quidam etiam ex majoribus vestris heroes, qui ad Trojam militarunt, utraque ex parte in præliis strenue se gesserunt: quorum alii Euchenore duce, Helenam à Paride raptam, cum Agamemnone & Menelao Atrei filiis repetebant: alii Trojam defendentes istis obsistebant duce Glauco, qui cum Lyciis Ilium profectus, timendum se præbuit Danais, apud quos, à Diomede de generis origine interrogatus, gloriabatur Corinthi, ubi est fons Pirene,

N O T Æ.

76 Αὐτῇ leg. MS. γ. 77 Περιπόλοις] Gl. MSS. β. γ. Ναύταις· Schol. eorum: Ἰσέον, ὅτι τίκτων, ὁ κατασκευάσας τὴν τοῦ Ἰάσωνος ναῦν, ὠνομάζετο Ἀργος· ὅθεν καὶ ἡ ναῦς ἐκαλεῖτο Ἀργώ· καὶ κλίνεται, τοῦ Ἀργοῦς καὶ Ἀργοῦς, τῇ Ἀργοῖ καὶ Ἀργοῖ. ἀπὸ τούτου καὶ Ἀργοναυτικὰ Ἀπολλωνίου. 78 Τὰ δὲ] Schmid. ita interpret. ut τὰ δὲ idem sonet. ac καθ' ἃ δὲ, Secundum quæ, in quibus, ἐδόκησαν. sc. οἱ παλαίγονοι τῶν Κορινθίων, τέμνειν τέλος μαχᾶν ἐν ἀλκᾷ πρὸ τειχέων Δαρδάνου, i. e. Quando vero visi sunt, Corinthiorum majores, pugnas facere in robore, i. e. bello, ad muros Dardani. Aliter Schol. 80 Τέμνειν τέλος μαχᾶν est bellum continuare usque ad perfectionem. Metaphora in τέμνειν, referente Schmidio, est à navigiis mare secantibus, & ita cursum continuantibus. Potius, modo de interpretat. vocum convenit. translata est vox ista à quadrigis directo cursu secantibus aëra, & quæ, quia recta & brevissima via in metam tendunt, eam velle scindere, & quasi percurrere videantur. 83 Γὰρ leg. MS. Bodl. pro δὲ. Schol. pro textu. Δὴ Schmid. 85 Τοῖσι refertur ad Δαναοὺς, quod etiam vidit in autore nostro versatissimus Schmidius. Ad Trojanos tamen refert Scholiastes.

πόλιν, εἰπὼν φυλάττειν τοῖς σεσωσμένοις ἐξ αὐτοῦ. αὐτὸς δὲ εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος, ᾤκησε βασιλεύων. διδάσκει δὲ τοῦτο, Εὔμηλός τις ποιητὴς ἱστορικὸς εἰπών· Ἀλλ' ὅτε δ' Αἰήτης καὶ Ἀλωεὺς ἐξεγένοντο Ἠελίου τε καὶ Ἀντιόπης· τότε δ' ἄνδιχα χώρην Δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός. Ἣν μὲν ἔχ' Ἀσωπὸς, ταύτην πόρε δίῳ Ἀλωεῖ· Ἣν δ' Ἐφύρην, κτεάτεσσ' Αἰήτῃ δῶκεν ἅπασαν· Αἰήτης δ' ἄρ ἑκὼν, Βούνῳ παρέδωκε φυλάσσειν, Εἰσόκεν αὐτὸς ἵκοιτ', ἢ ἐξ αὐτοῖό τις ἄλλος, Ἢ παῖς ἠδὲ υἱωνός· ὁ δ' ἵκετο Κολχίδα γαῖαν. Βοῦνος δὲ Ἑρμοῦ καὶ νύμφης τινὸς παῖς. [Ἄλλως.] Μηδείας μέμνηται, ὅτι ἐν Κορίνθῳ κατῴκει. καὶ ἔπαυσε Κορινθίους λιμῷ κατεχομένους, θύσασα Δήμητρι καὶ νύμφαις Λημνίαις. ἐκεῖ δὲ αὐτῆς ὁ Ζεὺς ἠράσθη. οὐκ ἐπείθετο δὲ ἡ Μήδεια, τὸν τῆς Ἥρας ἐκκλίνουσα χόλον. διὸ καὶ Ἥρα ὑπέσχετο αὐτῇ, ἀθανάτους ποιῆσαι τοὺς παῖδας. ἀποθανόντας δὲ τούτους, τιμῶσι Κορίνθιοι, καλοῦντες μιξοβαρβάρους. [Περιπόλοις.] τοῖς ἐμπορευομένοις. λέγει δὲ τοὺς Ἀργοναύτας. [Τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ.] λείπει τὸ γένη. οἱ Κορίνθιοι, φησὶν, ἐπ' ἀμφότερα τὰ μέρη ἠρίστευσαν ἐν Ἰλίῳ. καὶ γὰρ τοῖς Τρωσὶ συνεμάχησαν καὶ τοῖς Ἕλλησι. Τρωσὶ μὲν Γλαῦκος, τὸ γένος εἰς Βελλεροφόντην ἀνάγων τὸν Γλαύκου τοῦ Σισύφου· τοῖς δὲ Ἀχαιοῖς, Εὐχήνωρ Πολυΐδου τοῦ μάντεως. [Τοὶ μὲν, γένει φίλῳ.] οἱ μὲν γὰρ περὶ τὸν Εὐχήνορα. Κορίνθιος δὲ ὁ ἀνὴρ, ἅμα τοῖς Ἀτρείδαις ἐβούλοντο τὴν Ἑλένην ἀνακομίσαι ἁρπασθεῖσαν ὑπὸ Ἀλεξάνδρου τοῦ Ἰλιώτου. ὅτι δὲ Εὐχήνωρ Κορίνθιος ἦν, καὶ Ὅμηρος φησίν· Ἦν δέ τις Εὐχήνωρ Πολυΐδου μάντιος υἱὸς, Ἀφνειός τ' ἀγαθός τε Κορινθόθι οἰκία ναίων. [Οἱ δ' ἀπὸ πάμπαν εἴργοντες.] οἱ δὲ ἀπεκώλυον καὶ ἀνθίσταντο παντελῶς, οἱ περὶ τὸν Γλαῦκον. λέγεται δὲ καὶ οὗτος Κορίνθιος. πῶς δὲ Κορίνθιος; * (οὐ μόνον ἡ τοῦ Εὐχήνορος ἀνδρεία, τοῦ συστρατεύσαντος τοῖς Ἀτρείδαις διὰ τὴν Ἑλένην, ἀλλὰ καὶ ἡ τοῦ Γλαύκου ὃς ἀντεστράτευε, καὶ ἀνθίσταντο αὐτοῖς.) ὅτι τὸ γένος ἐξ ἀρχῆς Ἑλληνικὸν ἔχει, καὶ ἐκ τῆς Κορίνθου ὁ Γλαῦκος. πῶς δέ; ὁ γὰρ Γλαῦκος γίνεται τοῦ Ἱππολόχου τοῦ Βελλεροφόντου· τοῦ Γλαύκου· τοῦ Σισύφου· τοῦ Αἰόλου· τοῦ Ἕλληνος· τοῦ Διός. βούλεται οὖν δεῖξαι, ὅτι οἱ παρ' Ἕλλησιν ἄριστοι καὶ οἱ παρὰ Τρωσὶν ἔξοχοι, κατὰ τὸ ἀληθὲς Κορίνθιοι ἐτύγχανον· πῶς δὲ ὁ Γλαῦκος γέγονε Λύκιος; Ἱστορία. ὅτι ὁ Βελλεροφόντης πεμφθεὶς εἰς Λυκίαν Κορίνθιος ὢν ἀπὸ τοῦ Προίτου, ὡς ὀφείλων ἐπιβουλευθῆναι διὰ τὴν ἐπιψευσαμένην μοιχείαν παρὰ τῆς γυναικὸς, ἠρίστευσέ τε τὰ μέγιστα. καὶ τὸν προσδοκώμενον αὐτοῦ ἔσεσθαι φονέα, τὸν βασιλέα τῶν Λυκίων τὸν πενθερὸν τοῦ Προίτου, καὶ αὐτὸς πενθερὸν ἔσχε, γαμήσας τὴν αὐτοῦ θυγατέρα Ἀντίκλειαν. ἐξ οὗ Λυκίαν οἰκοῦντος ὡς βασιλέως, υἱὸς γέγονεν Ἱππόλοχος· οὗ Γλαῦκος. οὕτως ἄρα Κορίνθιος Γλαῦκος τὸ γένει. ὄνομα δὲ τῷ Λυκίων βασιλεῖ, Ἰόβατος. καὶ Ὅμηρος τοῦτο μαρτυρεῖ· Ἀλλ' ὅτε δὴ γίνωσκε θεοῦ γόνον ἠὺν ἐόντα. [Ἐκ Λυκίας δέ.] ὁ δὲ σύνδεσμος, ἀντὶ τοῦ γὰρ κεῖται. καὶ ἔστιν, ἐτρόμεον γὰρ οἱ Ἕλληνες τὸν Λύκιον Γλαῦκον. [Τοῖσι μὲν ἐξεύχετο.] παρὰ τοῖς Τρωσίν φησιν ηὔχει καὶ διηγεῖτο, ὅτι ἐν τῷ τῆς Πειρήνης ἄστει, τῇ Κορίνθῳ, τοῦ πατρὸς αὐτοῦ ἔχει τὴν ἀρχὴν καὶ τὸ γένος καὶ τὴν βασιλείαν καὶ τὴν περιουσίαν. κἂν τοι τοῖς Λυκίοις ηὔχει καὶ διηγεῖτο, ἢ τοῖς Τρωσίν. ἀπὸ Λυκίων δὲ τοὺς Τρῶας δεῖ νοεῖν. [Σφετέρου δὲ πατρὸς,] ἀντὶ τοῦ προγόνου. οὐ γὰρ ὁ πατὴρ αὐτοῦ Ἱππόλοχος ἡγεμονίαν εἶχεν εἰς Κόρινθον, ἀλλ' ὁ πρόγονος αὐτοῦ ὁ Σίσυφος. [Πειράνας.] Πειρήνη κρήνη ἐν Κορίνθῳ.

* Parenthesin. add.

Μὲν πατρὸς ἀρχὰν, καὶ βαθὺν
Κλᾶρον ἔμμεν, καὶ μέγαρον,

Quidem patris regnum, & magnas
Opes esse, ac domum *illius*,

ἐπῳδὸς γ'. κώλων ια'.

Ος τᾶς ὀφιώδεος υἱ-
όν ποτε Γοργόνος, ἦ πόλλ' ἀμφὶ κρουνοῖς,
Πάγασον ζεῦξαι ποθέων, ἔπαθεν,
Πρίν γέ οἱ χρυσάμπυκα κού-
ρα χαλινὸν Παλλὰς ἤνεγ-
κ'. Εξ ὀνείρου δ' αὐτίκα
Ην ὕπαρ. Φώνασε δ'· Εὕδεις
Αἰολίδα βασιλεῦ;
Αγε φίλτρον τόδ' ἵππειον δέκευ,
Καὶ Δαμαίῳ μὶν, θύων
Ταῦρον ἀργὸν, πατρὶ δεῖξον.

ΜΕΤΑΡΗ.

Qui serpentigeræ fili-
um olim Gorgonis, sane multa circa fontes,
Pegasum frænare cupiens, pertulit,
Antequam ei aureas-phaleras-habens pu-
ella frænum Pallas attu-
lit. Ex somnio autem statim
Erat res-evidens. Dixit autem: Dormis
Æolida Rex?
Age delinimentum hoc equinum accipe,
Et Domitori illud, sacrificans
Taurum nitidum, patri ostende.

στροφὴ δ'. κώλων ια'.

Κυαναιγὶς ἐν ὄρφνα κνώσσοντί οἱ
Παρθένος τόσα εἰπεῖν

ΜΕΤΑΡΗ.

Cærulum-scutum-gerens noctu dormienti ei
Virgo *hæc* tanta dicere

PARAPHRASIS.

extare præclaram domum, ingentemque hæreditatem, avitumque avi Bellerophontis imperium. Qui multum laboris diu olim pertulit, quum Medusæ Gorgonis, cujus caput scatebat serpentibus, filium Pegasum equum, ex sanguine illius à Perseo truncatæ natum, Corinthi sibi subjicere cuperet, antequam frænum aureum à virgine Pallade accepisset, sibi veraci visione oblatum ex somnio excitato, hisque verbis ab illa compellato. Dormisne Æoli proles rex Bellerophon? Age hoc frænum accipe, quo indomitum equum delinias, tibique subjicias: idque vero tuo patri Neptuno equorum domitori, taurum obesitate tardum sacrificans, ostendito. Hæc illi per noctem dormienti dicere visa est, incorruptæ virginitatis, & nigro horrificoque scuto formidabilis Minerva.

NOTÆ.

91 Πήγασον. MS. γ. 93 Ηνεγκ'] Gl. γ Επεμψεν αὐτοῦ τοῦ κοιμωμένου. 97 Δέχευ MS. Bodl. 98 MS. α. leg. Δαμάσῳ. 99 Αργὸν] Gl. MS. γ. Λιπαρόν. Αργᾶντα leg. Ald. & Pal. C. aliiq; Codd. Ita Schol. & Eusțath. ad Odyss. B. & ad Il. Ψ. ita exponit, ἀργᾶντες ταῦροι, οἱ μετὰ τὸ σφαγῆναι καὶ ἀποδαρῆναι λευκοὶ τῇ πιότητι. 100 Ορφνῃ leg. MSS. β. γ. Κνωσ-- corripitur in hoc κώλῳ, nisi sit mendum. 101 Τόσσα omnes Codd præter Schmid. Edit. qui ita leg. postulante metro.

[Ος τᾶς ὀφιώδεος.] ὅστις τῆς Γοργόνος τῆς ὀφιώδους λεγομένης εἶναι, τὸν υἱὸν Πήγασον ἵππον ὄντα πτερωτὸν, θέλων ὑποζεῦξαι τῷ χαλινῷ, ἀληθῶς πλεῖστα ἔπαθε καὶ ὑπέστη παρὰ τοῖς κρουνοῖς καὶ ῥεύμασι τῆς Πειρήνης· ὅ ἐστιν ἐν τῇ Πειρήνῃ. λέγει δὲ ἐν τῇ Κορίνθῳ, πρὶν τὴν κομίσαι αὐτῷ τὴν Αθηνᾶν χρυσόδετον χαλινὸν παραστᾶσαν καθεύδοντι. ὃ οὖν οἶδεν ὄναρ, τοῦτο διαναστὰς ἐκ τοῦ ὕπνου, δι' ἔργων εὗρεν. [Αλλως.] ὅστις πρόγονος Λσίου καὶ πρὸς πατρὸς ὢν πάππος. λέγει δὲ τὸν Βελλεροφόντην. ὅτε δὲ τῆς Γοργόνος ἀποτμηθείσης τὴν κεφαλὴν ὑπὸ τοῦ Περσέως, ἀνεδόθη ὁ Πήγασος ἵππος, καὶ Ησίοδος μαρτυρεῖ· Τῆς ὅτε δὴ Περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν, Εξέθορε Χρυσάωρ τε, μέγας καὶ Πήγασος ἵππος. [Ζεῦξαι ποθέων, ἔπαθεν.] ὃς πολλὰ ἔπαθε χαλινῶσαι καὶ ζεῦξαι τὸν Πήγασον βουλόμενος, παρὰ τοῖς κρουνοῖς τῆς Πειρήνης. υἱὸς δὲ τῆς Μεδούσης ὁ Πήγασος. [Εξ ὀνείρου δ' αὐτίκα ἦν ὕπαρ.] καὶ τὰ ἑξῆς. τοῦτο εἶπεν, ὡς καθεύδοντι αὐτῷ, τῆς Αθηνᾶς ἐνηνοχυίας τὸν χαλινὸν ᾧ ἔμελλε χαλινώσειν τὸν Πήγασον. εἶπε δέ φησι παραστᾶσα κατ' ὄναρ αὐτῷ ἡ θεὸς, κοιμᾶσαι ὦ βασιλεῦ, ὃς κατάγεις τὸ γένος ἀπὸ Αἰόλου. μὴ πρότερον δὲ καταζεῦξαι, πρὶν μαντεύσασθαι αὐτῷ Πολύϊδον, τὸ δυνάσθαι τόνδε τὸν χαλινὸν αὐτῷ Ποσειδῶνα παρασχεῖν. [Ιππεῖον φίλτρον,] τὸν χαλινὸν φησίν. ὅτι τούτῳ οἱ ἵπποι πείθονται. πικρότερον δὲ τῇ μεταφορᾷ. ὁ δὲ νοῦς. ἄγε δὴ οὖν δέχου τοῦτον τὸν χαλινόν. ὅς ἐστι πεῖσμα καὶ φίλτρον αὐτὸς τοῖς ἵπποις. καὶ τῷ δαμάζοντι Ποσειδῶνι τῷ πατρί σου θύων ταῦρον εὐθαλῆ καὶ μέγαν, οὕτως ἐπίδειξον αὐτόν. [Καὶ Δαμαίῳ.] τῷ δαμαστικῷ. ἵππειος γὰρ ὁ θεός. ἢ Δαμαῖος λέγεται Ποσειδῶν ἐν Κορίνθῳ, ἀπὸ τῆς τῶν ἵππων δαμάσεως. ἀργᾶντα δὲ νῦν, τὸν ἔκδηλον τῷ μεγέθει. πατρὶ δὲ, τῷ Ποσειδῶνι. τῷ μὲν γὰρ λόγῳ ὁ Βελλεροφόντης Γλαύκου ἐστὶ τοῦ Σισύφου. τῇ δὲ ἀληθείᾳ, Ποσειδῶνος, ὥσπερ Ηρακλῆς Αμφιτρύωνος. ἐπιλαμβάνονται δέ τινες τοῦ ἐπιθέτου. ἐπειδὴ ταῦρον εἶπε θύειν Ποσειδῶνι ἀργῆεντα, ὅπερ δηλοῖ λευκὸν· τοῦ Ομήρου εἰπόντος, ὅτι χρὴ θύειν ταύρους παμμέλανας Ενοσίχθονι, Κυανοχαίτῃ. ἀλλὰ βοηθεῖται τὸ ἀργᾶντα. οὐ γὰρ λευκὸν τῇ χροιᾷ βούλεται λέγειν, ἀλλὰ τὸν ἐκλάμποντα τῷ μεγέθει, καὶ ἐπιφανῆ ἐν τῇ ἀγέλῃ. [Κυαναιγὶς ἐν ὄρφνᾳ,] ἀντὶ τοῦ μέλαιναν καὶ φοβερὰν αἰγίδα ἔχουσα. αἰγὶς δὲ τὸ ὅπλον.

[Ανα

Ἔδοξεν. Ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί.
Παρκείμενον δὲ συλλαβὼν τέρας,
Ἐπιχώριον μάντιν ἄσμενος εὗρεν,
Δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν
Πράγματος, ὥς τ' ἀνὰ βω-
μῷ Θεᾶς κοιτάξατο νύ-
κτ', ἀπ' κείνου χρήσιος· ὅπ-
πως τέ οἱ αὐτὰ Ζηνὸς ἐγ-
χεικεραύνου παῖς ἔπορεν

Visa-est. Exsiliit autem recto pede.
Adjacensque quum-arripuisset prodigium,
Indigenam vatem gaudens reperit,
Aperuitque Cœranidæ totam summam
Rei, quomodo in a-
ra Deæ dormiisset no-
ctu, juxta ipsius oraculum: quomo-
doque sibi ipsa Jovis ful-
minatoris filia dederit

ἀντιστροφὴ δ'. κῶλα ια'.

Δαμασίφρονα χρυσόν. Ἐνυπνίῳ
Δ' ὡς τάχιστα πιθέσθαι
Κελήσατό μιν· ὅταν δ' εὐρυσθενεῖ
Καρταίποδ' αὐέρυῃ Γεαόχῳ,
Θέμεν Ἱππείᾳ βωμὸν εὐθὺς Ἀθάνᾳ.
Πληροῖ δὲ Θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον
Καὶ παρὰ ἐλπίδα, κού-
φαν κτίσιν γ'. Ἤτοι καὶ ὁ καρ-
τερὸς ὁρμαίνων ἔλαβεν

METAPH.

Ferociæ-domitorem aureum. Somnio
Vero quam celerrime parere
Jussit ipsum: & postquam præpotenti
Robustum-pedibus *taurum* mactarit Neptuno,
Exstruere Equestri aram statim Minervæ.
At implet Deorum potentia ultraq; jurandum
Et spem, le-
ve opus. Certe & for-
tis alacri-animo accepit

PARAPHRASIS.

Tum ille rectus in pedes surrexit, arreptoque fræno quod mirabili casu adjacebat, vatem Polyidum Cærani filium sedulo quæsivit, & lubens invenit, cui rem totam ut acciderat declaravit: utque ejus consilio, noctu in Deæ templo dormiverat: utque illa Jovis, fulmine tanqam hasta utentis, filia dederat, pretiosum auroque insigne frænum, quo equi ferocem animum perdomaret. Tum vates jussit, ut sublata omni mora ea præstaret, quorum in somnis à Minerva monitus fuerat: ac primum Neptuno, qui latissimum & potentissimum maris terram ambientis imperium tenet, firmum pedibus bovem mactaret: deinde equestri Minervæ aram & templum illico strueret. Quibus peractis rem ante impossibilem adjutus ope divina Bellerophon exegit. Ac sane quod quis juraret; & desperaret fieri posse, id divinæ potentiæ auxilio facillime perficitur.

NOTÆ.

104 Ἀσμενος] Gl. MS. γ. Χαίρων. 107 Κοιτάξατο] Gl. MS γ. Ἐκοιμήθη. 108 Alii leg. ὅ--. 110 Ἔπορε alii leg. Gl. MS. γ. Ἐχάρισεν. 111 Χρυσὸν Editt. vulg. præter Brub. & MSS Bodl. α. & C. 71. 112 Πιθέσθαι MSS. Bodl. & α. 114 Omnes Codd. ἀνερύῃ hab. Legendum tamen αὐρύῃ per Syncopen: præsertim cum ita olim lectum fuisse ex Schol. Νεωτ. pateat. 115 Ἱππίᾳ MSS. Bodl. & α. 118 MSS. Bodl. & α. omitt. γ'.

[Ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί.] λοιπὸν ὁ ποιητὴς ταῦτα φησίν. ἀνήλλατο δὲ ἐκ τῆς κοίτης καὶ ἔστη ἄσμενος. τέρας δὲ τὸν χαλινὸν εἶπεν. ὅτι ὄναρ φανεὶς, ὕπαρ ὤφθη. παρακείμενον δὲ εὑρὼν τὸν χαλινὸν, καὶ ἀναρπάσας αὐτὸν, πρὸς τὸν μάντιν ἦλθεν εὐθέως τὸν ἐπιχώριον. ὅπως εἶπεν ὅτι τοῦ βωμοῦ τῆς Ἀθηνᾶς ἐκαθεύδησεν ἐκ τῆς τοῦ Πολυΐδου προμαντείας καὶ συμβουλῆς. ὡς αὐτοῦ συμβουλεύσαντος αὐτῷ διὰ μαντείας, ἀγωνιῶντι περὶ τῆς κατοχῆς τοῦ ἵππου. [Δαμασίφρονα] δὲ εἶπε χρυσοῦν. ἵν' ᾖ τὸ τίμιον, ἢ ὅτι διάχρυσος ἦν τῇ κατασκευῇ ὁ χαλινός. δαμάζοντα δὲ τὸ φρόνημα τὸ ἄγριον τῶν ἵππων καὶ ἥμερα φρονεῖν ἀναγκάζοντα. καὶ αὐτὸς δὲ ὁ χρυσὸς δαμασίφρων, ἐπεὶ ἱκανὸς ἀπατῆσαι. [Κοιρανίδαν,] τὸν Κοιράνου παῖδα Πολυΐδον. ἐλθὼν οὖν πρὸς τὸν μάντιν, ἔδειξε καὶ διεσαφήνισεν αὐτῷ τὴν ὅλην ὑπόθεσιν τοῦ πράγματος καὶ κατάστασιν. [Ἐνυπνίῳ δὲ τάχιστα πιθέσθαι.] τοῦ Βελλοροφόντου δὲ τὸ ὄναρ διηγησαμένου, εἶπεν ὁ Πολύϊδος· ὡς τάχιστα καὶ ἀνυπερθέτως πείθεσθαι τῷ ἐνυπνίῳ. καὶ ταῦτα αὐτῷ εἰπόντος τοῦ μάντεως, ὡς ἡνίκα τὸν ταῦρον θύῃ τῷ Ποσειδῶνι, τότε δὴ τῇ ἱππικωτάτῃ Ἀθηνᾷ ἱδρύσασθαι βωμὸν· ἤτοι ἄγαλμα. [Κραταίποδα δὲ] τὸν ταῦρον φησίν. οὕτω δὲ Δελφοὶ ἰδίως ἐκάλεσαν. [Αὐερύη δὲ, ἀντὶ τοῦ σφάξεις.] ἀπὸ τοῦ παρακολουθοῦντος. ὡς Ὅμηρος· Αὖ ἔρυσαν μὲν πρῶτα. [Πληροῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον.] ἐπιτελοῦσι δὲ καὶ παρέχουσιν οἱ θεοὶ, καὶ τὰ νομιζόμενα ἀδύνατα. περὶ ὧν ἄν τις καὶ τὴν ἐλπίδα δι' ὅρκων ἀπαγορεύσοι. [Ἄλλως.] οὐχὶ τὴν ἐξ ἐπιορκίας, ἀλλὰ καὶ εὐόρκως ἀπελπισθεῖσαν. ἢ οὕτω. δύναται δὲ θεὸς τελέσαι καὶ τὸ μεθ' ὅρκου, ἀδύνατον νομιζόμενον εἰς περίκτησιν. οἷον, εὐχερές. τοῦτο δὲ γνωμολογεῖ ὅτι δὴ καὶ Βελλεροφόντης ὁ μέγας, μηδέποτε ζευχθήσεσθαι τὸν Πήγασον, δι' ἐπιορκίας θέμενος, δι' Ἀθηνᾶς ὑπὸ ζυγὸν ἐποίησεν· ὁ δὲ νοῦς. καὶ δὴ ἐκ τούτων ὁ γενναῖος Βελλεροφόντης, μετὰ σπουδῆς ἔλαβε τὸν χαλινόν. καὶ τὸν πτερωτὸν ἵππον τὸν Πήγασον, ἐχαλίνωσεν. τοῦτο γάρ ἐστι τὸ, τεῖνον ἀμφὶ γένυν. πραΰνοντα καὶ ἡμεροῦντα, ὡς ἀντιφάρμακον ἰατρικόν. λέγει δὲ τὸν χαλινόν. [Ὁρμαίνων,] προθυμούμενος.

Βελλεροφόντας, φάρμακον	Bellerophontes, remedium
Πραῢ τείνων ἀμφὶ γένυ,	Mite tendens circa mandibulas,
ἐπῳδὸς δ'. κώλων ια'.	Μεταφ.
Ἵππον πτερόεντ'. Ἀναβὰς	Equum alatum. Ubi-aſcendit
Δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν.	Statim vero in armis æratus ludebat.
Σὺν δ' ἐκείνῳ καί ποτ' Ἀμαζονίδων,	Cum illo autem etiam olim Amazonidum,
Αἰθέρος ψυχρᾶς ἀπὸ κόλ-	Aëris frigidi è fini-
πων ἐρήμου, τοξότην βάλ-	bus deſerti, ſagittatorem jaculis-pe-
λων γυναικεῖον στρατόν·	tens muliebrem exercitum:
Καὶ Χίμαιραν πῦρ πνέοισαν·	Et Chimæram ignem ſpirantem:
Καὶ Σολύμους ἔπεφνεν.	Et Solymos interfecit.
Διασιγάσομαι αὐτῷ μόρον.	Reticebo ejus mortem.
Τὸν δ' ἐν Οὐλύμπῳ φάτναι	Illum autem *equum* in Olympo præſepia
Ζηνὸς ἀρχεῖαι δέκονται.	Jovis antiqua recipiunt,
στροφὴ ε'. κώλων ια'.	Μεταφ.
Ἐμὲ δ' εὐθὺν ἀκόντων ἱέντα ῥόμ-	Me autem rectum jaculorum mittentem tur-
βον, παρὰ σκοπὸν οὐ χρὴ	binem, præter ſcopum non decet
Τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.	Multa jacula firmare manibus.

PARAPHRASIS.

Quare fortis Bellerophon alacri animo alatum equum prehendit, & mandibulis inditum ori frænum circumpoſuit, hocque inſtrumento, tanquam mitigatorio pharmaco ferociam illius compeſcuit. Quo conſcenſo æneis armis indutus ſeſe exercuit, ut experiretur num ex eo armatus facile pugnaret. Poſtea cum eo vicit muliebrem & ſagittis valentem exercitum Amazonum, quæ frigidam Scythiam, deſertumque & vacuum volucribus cœlum incolunt, Chimæram quoque flammas ſpirans monſtrum, Solymoſque inter Lyciam Pamphiliamque habitantes interemit. Sed ejus fatum ſilentio præteribo. Equum autem ipſum excuſſo domino in cœlum tranſlatum ferunt, & in antiqua Jovis præſepia receptum. Verum enimvero jam mihi redeundum eſt ad propoſitum laudis argumentum, nec longiori digreſſione ad res alias, quæ ſeſe offerunt, utenti, ab inſtituto encomio diutius deflectendum.

NOTÆ.

121 Τείνων pro τείνων leg. Bodl. Idem hab. γένυι. 122 Πτερόεντα MS. β. γ. 123 Ἐπαιξεν hab. MSS. β. γ. & Editt. nonnullæ. 129 Ἐπέφνε quædam Editt. 130 Διασωπάσομαι leg. MSS. noſtra, & Ald. & Pal. A. B. C. qu. διασιωπήσομαι, quod perinde eſt. Αὐτῷ eſt vel Genitivus Dor. pro αὐτοῦ, vel Dativus cui ι ſubſcribitur. 132 Schmid. leg. ἀρχαῖαι commune. 133 Εὐθὺν] Gl. MS. γ. Εὔκολον. Ἀκόντων] Gl. γ. Κονταρείων. Ἱέντα] Gl. γ. Τοξεύοντα. Ῥόμβον Gl. γ. Πέμψιν. 135 MSS. Bodl. β. γ. κρατύνειν commune Gl. γ. Πέμπειν. ἔρισδιν.

[Χαλκωθεὶς·] ἤτοι χαλκοῦν περιθέμενος θώρακα· ἢ ὅπλα ἐνδὺς χαλκᾶ. [Ἔπαιξεν,] ἤτοι ἐπειρᾶτο, ἐγυμνάζετο εὐκόλως, ὥσπερ παιδιᾶς τρόπον· ἢ ἐπετέρπετο· ἢ ἐνόπλιον ὄρχησιν ἐποιεῖτο. ἢ σὺν τοῖς ὅπλοις εὐχερῶς ἐμάχετο. [Σὺν δ' ἐκείνῳ.] μετὰ δὲ τοῦ ἵππου ὤν· ἢ σὺν αὐτῷ ποτέ, καὶ τὸν στρατὸν τῶν Ἀμαζόνων, τὸν ἐκ τοῦ ἀέρος τοῦ ἐρήμου, καὶ τῶν ψυχροτάτων τόπων τῶν Ὑπερβορέων ἐνίκησεν· ἤτοι τῶν ἐν Σκυθίᾳ. [Ἀέρος ψυχρᾶς.] τὸν ἐν Σκυθίᾳ. κρυώδης γὰρ καὶ δυσχείμερος. μετέωρος γὰρ ὢν ἀνῄρει καὶ ἐνίκα. [Καὶ Χίμαιραν πῦρ πνέοισαν.] ἐνίκησε δὲ σὺν αὐτῷ καὶ τὴν πυρίπνουν Χίμαιραν· καὶ τοὺς Σολύμους ἀνεῖλε. Σόλυμοι δὲ ἔθνος πρὸς τῇ Λυκίᾳ· μεταξὺ Λυκίας καὶ Παμφιλίας πολεμικώτατον. εἶπε δὲ ταῦτα καὶ Ὅμηρος περὶ τοῦ Βελλεροφόντου. [Διασιγάσομαι αὐτῷ μόρον.] τουτέστι, τὸν θάνατον αὐτοῦ σιγήσομαι. ὑποστέλλεται γὰρ τὸ κατὰ τὴν τελευτὴν ἐκβεβηκὸς αὐτῷ εἰπεῖν. ὅτι πεσὼν ἐκ τοῦ Πηγάσου, χωλὸς ἐγένετο. [Ἄλλως.] τὸν θάνατον αὐτοῦ σιγήσομαι. ὑποστέλλεται γὰρ τὸ κατὰ τὴν τελευτὴν ἐκβεβηκὸς αὐτῷ κακόν. λέγεται γὰρ ὅτι ἀναπτῆναι βουληθεὶς τῷ Πηγάσῳ κούφως παρακινδυνεύσας, κατὰ βούλησιν τοῦ Διὸς οἰστρωθέντος τοῦ Πηγάσου, ἐκπίπτει καὶ χωλεύεται. καὶ ἐκπλανᾶται κατὰ τὸ Ἀλήϊον, χωλός, ὡς Ὅμηρος φησίν· Ἤτοι ὁ καππεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο, Ὃν θυμὸν κατέδων. [Ἄλλως.] καταβαλὼν γὰρ τὸν Βελλεροφόντην ὁ Πήγασος, ἀπενόστησεν εἰς οὐρανόν. τοῦτον δὲ αἱ οὐράνιαι φάτναι τοῦ Διὸς ὑπεδέξαντο. κατηστερίσθη γάρ. καὶ Ἄρατος μέμνηται, ὅτι εἰσὶ φάτναι ἐν οὐρανῷ καὶ ὄνοι καλούμενοι ἀστέρες. [Ἐμὲ δ' εὐθὺν ἀκόντων ἱέντα ῥόμβον.] ἀλλ' ὁ μὲν φησὶν οὕτως. ἐμὲ δὲ οὐ χρὴ παρὰ σκοπὸν τὰ βέλη μου τὰ πολλὰ τῇ χεροῖν ἰσχυρῶς ἔχειν· ἀλλ' ὀξεῖάν τινα τὸν ἀκοντισμὸν αὐτῶν ποιεῖσθαι. τὸ δὲ ἑξῆς. ἐμὲ δὲ ἱέντα πολλὰ παρὰ σκοπὸν βέλη, οὐ χρὴ ῥόμβον, τουτέστι ῥῖψιν καὶ ὁρμὴν, ποιεῖσθαι. λέγει δὲ ὅτι οὐ χρὴ περιττολογεῖν περὶ ἄλλων, καὶ ἐκτραπῆναι τοῦ προκειμένου. τὸ δὲ ἀκόντων ῥόμβον, τὴν δίνησιν. καὶ τὴν βολὴν μετὰ ἀκοντίων λέγει. τροπικῶς δὲ, τῶν ἐγκωμιαστικῶν λόγων. ὡς καὶ ἐν ἄλλοις· Πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα βέλη ἐντὶ φαρέτρας. ἀλληγορικῶς οὖν φησίν. ὅτι οὐ χρή με περὶ ἄλλων πολυλογεῖν ἐάσαντα τὸν προκείμενον ἔπαινον. ἀφέμενος γὰρ τοῦ νικηφόρου, εἰς τὰ πάτρια ἀναδραμὼν, πλείονι τῇ παρεκβάσει κέχρηται. διὸ καὶ ἐπιστρέφει ἑαυτόν.

[Μοίσαισι

Μοίσαις γὰρ ἀγλαοθρόνοις ἑκὼν,	Musis enim solia-splendidis cedens,
Ὀλιγαιθίδαισίν τ' ἔβαν ἐπίκουρος,	Oligæthidis veni administer, *propter gesta*
Ἰσθμοῖ, τά τ' ἐν Νεμέᾳ. Παύρῳ δ' ἔπει θή-	In-Isthmo, & in Nemea. At brevi sermone fa-
σω φανέρ' ἀθρόα· ἀλα-	ciam manifesta multa: ve-
θής τέ μοι ἔξορκος ἐπέσ-	raxque mihi jusjurandum ade-
σεται. Ἑξηκοντάκι γὰρ	rit. Sexagies enim
Ἀμφοτέρωθεν γ' ἁδύγλωσ-	Utrinque dulcilin-
σος βοᾷ κάρυκος ἐσλοῦ.	guis vox præconis boni *iis audita est.*
ἀντιστροφὴ ε'. κώλων ια'.	Μεταφρ.
Τά δ' Ὀλυμπίᾳ αὐτῶν, ἔοικεν ἤ-	*Gesta* autem Olympiæ eorum, videntur
δη πάροιθε λελέχθαι·	Jam antea dicta-esse:
Τὰ τ' ἐσσόμενα τότ' ἂν φαίην σαφές.	Futura autem tunc dixerim aperte.
Νῦν δ' ἔλπομαι μέν· ἐν Θεῷ γε μὰν	Nunc autem spero quidem: verum in Deo
Τέλος. Εἰ δὲ δαίμων γενέθλιος ἕρποι,	Eventus. Si vero dæmon congenitus serpat,
Διῒ τοῦτ' Ἐνυαλίῳ τ' ἐκδώσομεν πράσ-	Jovi hoc Martique trademus efficien-
σειν. Τὰ δ' ἐπ' ὀφρύϊ Παρ-	dum. Quæ autem in vertice Par-
νασσίᾳ, ἀμφ' Ἄργεΐ θ' ὅσ-	nassio, in Argisque quam-mul-
σα, καὶ ἐν Θήβαις, ὅσσα τε	ta, & in Thebis, quam-multaque

PARAPHRASIS.

Etenim excelsarum & præstabilium Musarum impulsui morem gerens, auxiliator adversus rerum præclare gestarum oblivionem, veni Oligæthidis familiæ Xenophontis, celebraturus illorum victorias quas in Nemeis & Isthmiis obtinuerunt. Paucis autem illas simul omnes comprehensas declarabo: & veraci jurejurando plane affirmabo illos in Isthmiis triginta totidemque in Nemeis esse adeptos: ac proinde suavi præconis voce, victores in utroque certamine sexagesies promulgatos. Jam vero ante diximus Olympicas eorum victorias, quum Xenophontis domum à principio Olympiorum victricem vocavimus. Futuras autem in posterum, carmine tum declarabo, quum ipsis obtigerint: spero enim fore ut Olympia denuo vincant: sed hujus rei penes Deum est eventus. Quod si ad hoc certamen à suo genio posthac impellatur: hujus operis curam, Jovi cui est sacrum: & Marti indigenæ Deo, quippe Oenomai fuit pater, committemus. Porro quam multas Delphis ad Parnassum Pythiorum victorias reportavit: quam multas Junoniorum & Hecatombæorum Argis, & Jolæorum, Heracleorumque Thebis: quam multas

NOTÆ.

136 Ἑκὼν] Gl. γ. Ὑπολαοσόμενος. 137 Ὀλιγαιθίδαισιν] Gl. γ. τοῖς πατρὶ τοῦ Ὀλιγαίθου. Ed. Rom. --ίδεσιν. 138 MS. Bodl. Ἰσθμοῖ. 142 MSS. Bodl. & α. omitt. γ'. Ἡδύγλωσ--. γ. 143 Ἐσθλοῦ MSS. β. γ. 148 Ἕρποι] Gl. γ. Ἐξαπλοῖ τὴν χάριν αὐτοῦ. 151 Ἀργεΐ τε, ὁ-- Editt. nonnullæ.

[Μοίσαισι γὰρ ἀγλαοθρόνοις ἑκών.] οὐ γὰρ ἦλθον φησὶ δι' ἄλλο τι, ἀλλὰ τῶν Μούσαις ἐπίκουρος καὶ ὑπηρέτης. ἵνα τοὺς Κορινθίους τούτους τοὺς ἀπὸ τῆς πατρίας τῆς Ὀλιγαιθίδος καλουμένης ὄντας, ἐπαινέσω. καὶ τὰ πραχθέντα ὑπὸ αὐτῶν ἐν τῷ Ἰσθμῷ καὶ τῇ Νεμέᾳ. οἱ γὰρ περὶ τὸν Ξενοφῶντα τοῦτον τὸν ἐπαινούμενον Ὀλιγαιθίδαι λέγονται κατὰ πατρίαν. ὡς τὸ ἀνέκαθεν ὄντες ἀπὸ Ὀλιγαιθίδου τινὸς ἀρχαίου. [Παύρῳ δ' ἐπιθήσω,] ἀντὶ τοῦ ἐν ὀλίγῳ καὶ συντόμῳ λόγῳ διάδηλα καὶ φανερὰ πλεῖστα πράγματα καὶ ἀθρόα ἐπιθήσω καὶ ποιήσω· ἤτοι, ἐν ὀλίγῳ φανερὰ τὰ πολλὰ ποιήσω. ἀληθὴς δὲ περὶ τούτων καὶ ἐξαίρετος ὅρκος ἔσται. ὀμνύειν δὲ βούλεται ὡς ἀληθεύων ἐν τοῖς ἐπαίνοις. [Ἄλλως.] ἰδίως ἔφη ἔξορκος· ἢ ἀντίορκος. ὀμόσω οὖν αὐτός φησι τοὺς ἀπὸ τῆς πατρίας Ὀλιγαιθίδος, ἑξηκοντάκις νενικηκέναι ἀμφοτέρωθεν. τουτέστιν, ἔν τε Ἰσθμοῖ καὶ Νεμέᾳ κεκηρύχθαι αὐτούς. [Βοᾷ κήρυκος ἐσλοῦ.] λείπει τὸ, ἀνεκήρυξεν αὐτοὺς ἡ τοῦ κήρυκος βοή. ἑξηκοστὸν νικήσαντας. ἑξηκοντάκις γὰρ ἀμφοτέροις τοῖς ἀγῶσιν, Ἰσθμίοις καὶ Νεμέοις, ἀνεκηρύχθησαν οἱ Ὀλιγαιθίδαι, τριάκοντα ἐν ἑκάστῳ ἀγῶνι. [Τὰ δ' Ὀλυμπίᾳ αὐτῶν, ἔοικεν ἤδη πάροιθε λελέχθαι.] εἶπε γὰρ ἐν ἀρχῇ τοῦ ὕμνου, οὕτω, τρὶς Ὀλυμπιονίκαν. ὁ δὲ νοῦς. τὰ δὲ ἐν τῇ Ὀλυμπίᾳ αὐτῶν νικητήρια ἤδη ὡς ἔοικε προείρηται ἐν τοῖς ἔμπροσθεν λόγοις. τὰ δὲ μέλλοντα φησὶ, τουτέστιν, ἐὰν δὲ πάλιν νικήσῃ Ὀλύμπια, αὖθις σαφέστερον ἐπαινέσω αὐτόν. νῦν δὲ ἐγὼ ἐλπίζω καὶ προσδοκῶ νικῆσαι αὐτόν. ἐν δὲ τῷ κρείττονι, τὸ τοιοῦτον τῆς προσδοκίας δοῦναι. [Εἰ δὲ δαίμων ὁ γενέθλιος ἕρποι.] εἰ δὲ τὸ συγκληρωθὲν δαιμόνιον, καὶ ἡ τύχη, ὅτι τὸ πλεῖστον πρόσοι νικητὰς αὐτοὺς μηνύον, ἀναθήσομαι τὸ τοιοῦτον εὐεργέτημα τῷ Διῒ καὶ τῷ Ἄρεϊ. Διατί δέ φησι τῷ Διῒ καὶ τῷ Ἐνυαλίῳ ἐπιτρέψειν; ὅτι ὁ μὲν Ζεὺς, πατὴρ ἀνδρῶν θεῶν τε, καὶ Ὀλυμπία τοῦ Διὸς ἱερά. τὸν δὲ Ξενοφῶντα, οὐ μόνον ἀθλητὴν γενναῖον φασὶν, ἀλλὰ καὶ τὰ πολεμικὰ ἀγαθόν· ἢ ὅτι τοῦ Οἰνομάου ἐστὶν ὁ Ἄρης, καὶ μετέχει τῆς Ὀλυμπίας. [Ἄλλως.] τῷ μὲν Διῒ, ὅτι ὁ ἀγὼν αὐτῷ ἀνάκειται καὶ τελεῖται· τῷ δὲ Ἄρεϊ, ἐπειδὴ ἐπιχώριος καὶ πατρῷος τῶν Ἠλείων ὁ Ἄρης. μιχθεὶς γὰρ Ἀρπίνῃ θυγατρὶ Ἀσωποῦ τοῦ Θηβαίου ποταμοῦ, ἐτέκνωσε τὸν Οἰνόμαον ὁ Ἄρης· ὃς ἦν βασιλεὺς τῶν τόπων. ἐς χάριν οὖν τοῦ παιδὸς, προΐσταται ἴσως τῆς χώρας τῶν Ἠλείων. [Τὰ δ' ἐπ' ὀφρύϊ Παρνασσίᾳ, ἐν Ἄργει θ' ὅσσα·] ἀντὶ τοῦ, τὰ δὲ ἐν Δελφοῖς Πύθια, ἐκ τοῦ παρακειμένου ὄρους λέγει. ὅ ἐστι Πύθια, ἑξάκις. καὶ ἐν Ἄργει δὲ καὶ ἐν Θήβαις. ἀλλὰ καὶ ἐν Ἀρκαδίᾳ δὲ ὅπως δεσπότης γέγονε τοῦ στεφάνου, ὁ βωμός ἐστι μάρτυς ὁ τοῦ Λυκαίου Διὸς, καὶ ἡ ἐκεῖ ἀγομένη πανήγυρις. ἐκεῖ γὰρ νικήσας, ἐστέφθη.

[Πολλὰ τε

Ἀρκάσ' ἀνάσσων, μαρτυρή-
σει Λυκαίου βωμὸς ἄναξ,
ἐπῳδὸς ε'. κώλων ια'.
Πελλάνα τε, καὶ Σικυὼν,
Καὶ Μέγαρ', Αἰακιδᾶν τ' εὐερκὲς ἄλσος,
Ἅ τ' Ἐλευσὶς, καὶ λιπαρὰ Μαραθὼν,
Ταί θ' ὑπ' Αἴτνας ὑψιλόφου
Καλλίπλουτοι πόλιες, ἅ τ' Εὔ-
βοια. Καὶ πᾶσαν κατ'
Ἑλλάδ' εὑρήσεις ἐρευνῶν
Μάσσον', ἢ ὡς ἰδέμεν.
Ἀλλὰ κούφοισιν ἐκνεῦσαι ποσὶν
Ζεῦ τέλει, αἰδῶ διδοὺς,
Καὶ τύχαν τερπνῶν γλυκεῖαν.

Arcadas vincens *gesserit*, testabi-
tur Lycæi *Jovis* ara regina,
Μεταρη.
Pelleneque, & Sicyon,
Et Megara, Æacidarumq; bene-septus lucus,
Eleusisque, & opulenta Marathon,
Quæque sub Ætna *sunt* altijuga
Divitiis-florentes urbes, & Eu-
bœa. Et totam per
Græciam invenies inquirens
Majora, quam ut *mente* perspicias.
Sed levibus exire *me* pedibus
O Jupiter facito, reverentiam dans,
Et felicitatem *rerum* delectabilium dulcem.

PARAPHRASIS.

etiam Lycæorum in Arcadia, quod testabitur Lycæi Jovis ara regina, in qua sacra fecit idcirco. Præterea virtutis & strenuitatis ejus testis erit Pellene, ubi Theoxenia, Sicyon ubi Pythia, Megara ubi Dioclea, Ægina ubi Æacea, Eleusis ubi Demetria, Marathon ubi Herculea celebrantur. Testes quoque erunt Syracusæ, civitas ad excelsum montem Ætnam sita, & opulentissima: ubi Isthmia & Nemea ad sacrorum illorum quiquennalium exemplar aguntur. Testis etiam Eubœa, in qua ad Geræstum Geræstia Neptuno pro sedata tempestate peraguntur. Quod si Græciam percurras, comperies eum res opinione majores & plures gessisse. Enimvero concede mihi Jupiter, ut peracto hymno leviter evadam, ne cui sim molestus: meque reverendum & honore diguum præsta: eamque fœlicitatem impertire, cum qua jucunde vivam.

NOTÆ.

154 Ed. Rom. disting. puncto post βωμὸς. 156 Αἰακιδῶν MS. Bodl. Εὐερκὲς ἄλσος] Gl. γ. χωρίον τὸ ἔχον καλὸν ἕρκος. 159 MS. Bodl. leg. ἅ τ' Εὔ—. 164 Camerarius leg. Ζεῦ τέλει', αἰδῶ διδοὺς, vel αἰδῶ τε δούς. Ald. vero αἰδῶ τε δίδοι.

[Πελλάνα τε καὶ Σικυών.] ἡ Πελλήνη, τῆς Ἀχαΐας πόλις. ὅπου τὰ Φιλοξένια, καὶ αἱ χλαῖναι δίδονται. ἡ δὲ Σικυὼν, Βοιωτίας. ἐν ᾗ τὰ Πύθια ἄγεται. καὶ ἐν Αἰγίνῃ, τὰ Δελφίνια, καὶ Αἰάκεια. ἐν δὲ Μεγάροις, τὰ Διόκλεια, καὶ Πύθια. καὶ ἐν Ἐλευσῖνι, τὰ Δημήτρεια, ἢ Ἐλευσίνια. εὐερκὲς δὲ ἄλσος φησὶν, διὰ τὸ κύκλῳ ὑπὸ θαλάσσης, ὥσπερ ὑπὸ ἕρκους καὶ τείχους περιβεβλῆσθαι· ἢ διὰ τὴν φιλοξενίαν. [Ταί θ' ὑπ' Αἴτνας ὑψιλόφου.] Καὶ αἱ ὑπ' Αἴτναν, τὸ Σικελικὸν ὄρος, πόλεις, λέγει τὰς Συρακούσας, μαρτυροῦσιν αὐτοῦ τῇ ἀνδρείᾳ. Ἴσθμια γὰρ καὶ ἐν αὐταῖς τελεῖται. ἃ καὶ ἐνίκησεν Ξενοφῶν. [Ἄλλως. Ταί θ' ὑπ' Αἴτνας.] τῆς Σικελίας πόλις. ἐκεῖ γὰρ ἄγεται ἀγὼν Νέμεα καλούμενος· ἢ οὕτως. ἐν Συρακούσαις ἄγεταί φησιν Ἴσθμια καὶ ἐν Κορίνθῳ. ἄποικοι γὰρ Κορινθίων, Συρακούσιοι. [Ἅ τ' Εὔβοια.] καὶ ἐν τῇ Εὐβοίᾳ δὲ πάσῃ φησὶ καὶ τῇ Ἑλλάδι ζητῶν, εὑρήσεις τὰ μείζονα λόγου παντὸς καὶ πάσης γνώσεως νικητήρια. ὑπερβολικῶς δὲ εἶπεν. [Ἄλλως.] ἐν Εὐβοίᾳ, Γεραίστια ὑπὸ πάντων Γεραιστίων ἄγεται τῷ Ποσειδῶνι, διὰ τὸν συμβάντα χειμῶνα περὶ Γεραιστόν. καὶ ἐν Ἀμαρύνθῳ, τῆς Εὐβοίας, Ἀμαρύνθια νενικήκασιν. ὁ δὲ νοῦς. καὶ πᾶσαν τὴν Ἑλλάδα ἐπιπορευόμενος εὑρήσεις μείζονα ἔργα πεποιηκότα αὐτὸν, ἢ ὡς δυνατὸν ἰδεῖν· ἢ οὕτω. τὸ πλῆθος τῶν στεφάνων φησὶν, ἐκπέφευγε τὴν τῆς ὁράσεως μετάληψιν. [Ἀλλὰ κούφοισιν ἐκνεῦσαι ποσίν.] εἶπε τοῦτο πρὸς ἑαυτὸν παρακελευόμενος ἀποδραμεῖν ἀπὸ τούτων, καὶ καταπαῦσαι τὸν ὕμνον. ἐπαύσατο γὰρ τῶν ἐπαίνων. καὶ περὶ ἑαυτοῦ λέγει. ὅτι χρὴ ἀποστῆναι κούφοισι ποσὶν ἀνεπαχθῆ φανέντα. δίδου μοι οὖν φησὶν ὦ Ζεῦ, τελεσικωτάτην τὴν παρὰ σοῦ αἰδῶ τε καὶ εὐτυχίαν. ἐξ ἧς ἐστι τέρπεσθαι καὶ ἥδεσθαι· ἤτοι, αἰδέσιμόν με ποίει καὶ τιμῆς ἄξιον· ἢ οὕτως. αἰδεσικούς τε καὶ αἰδεσίμους αὐτοὺς ποίει ἐπιμελῶς προαρξάμενος.

Τέλος τοῦ τρισκαιδεκάτου τῶν Ὀλυμπίων εἰδοῦς.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ τρισκαιδέκατον τῶν Ὀλυμπίων εἶδος.

Τριολυμπιονίκην λέγει τὸν τοῦ Ξενοφῶντος οἶκον, ἐπειδὴ αὐτῷ μὲν τῷ Ξενοφῶντι δύο Ὀλυμπιακαὶ νῖκαι κατὰ τὴν αὐτὴν ἡμέραν ἐγένοντο, πεντάθλου καὶ σταδίου. κατὰ τὴν οθ'. Ὀλυμπιάδα νικήσαντι. τῷ πατρὶ δὲ Θεσσαλῷ, μία, πρόσθεν. Ἡ Κόρινθος, ἐν τέλει μὲν τοῦ Ἰσθμοῦ, ἐν ἀρχῇ δὲ τῆς Πελοποννήσου κειμένη, εἰκότως προπύλαιον τοῦ ἐν τῷ Ἰσθμῷ τιμωμένου Ποσειδῶνος τῷ Πινδάρῳ καλεῖται. [Τρισολυμπιονίκαν.] τὸν οἶκον ἐπαινῶν τοῦ Ξενοφῶντος λέγει, τὸν τρὶς ἐν Ὀλυμπίᾳ νενικηκότα. τὸν πρᾶον τοῖς πολίταις. τοῖς ξένοις δὲ θεράποντα, ἀντὶ τοῦ θεραπευτικὸν, γνώσομαι· ἀντὶ τοῦ εἰς ἀνάμνησιν ἀνάξω τὴν Κόρινθον, τὴν πατρίδα τοῦ Ξενοφῶντος τὴν μακαρίαν. τὸ πρόθυρον τῆς Πελοποννήσου δηλονότι. τὸ λαμπροὺς ἔχον νέους. τὸ τοῦ Ἰσθμίου Ποσειδῶνος. τουτέστιν ὃ ὁ Ποσειδῶν ὁ ἐν τῷ Ἰσθμῷ τιμώμενος ἔχει κατοικητήριον δηλονότι. ἐν τῇδε γὰρ, ἤγουν ἐν ταύτῃ τῇ Κορίνθῳ οἰκεῖ ἡ Εὐνομία· ἤγουν ἡ κατὰ νόμους καλῶς * ἐνδιαιτωμένη διοίκησις. καὶ αἱ κασίγνηται, ἤτοι αἱ ἀδελφαὶ αὐτῆς τῆς Εὐνομίας δηλονότι. ἡ δίκη ἡ ἀσφαλὴς ἀντὶ τοῦ ἡ ἀσφαλείας ποιητική. τὸ βάθρον· ἤγουν ἡ ἀσφάλεια τῶν πόλεων. καὶ εἰρήνης ὁμότροπος. τουτέστιν, ἡ

* MSS. ἐπιγινομένη.

τὴν

τὴν αὐτὴν αὐτῇ γνώμην ἔχουσι. ταμίαι οὖσαι· ἤγουν παρέχοι πλοῦτε τοῖς ἀνθρώποις. αἱ χρυσαῖ λέγω, ἀντὶ τοῦ αἱ κάλλισαι θυγατέρες τῆς Θέμιδος τῆς εὐβούλε. τουτέστι τῆς δίκαια βουλευομένης. [Ἐθέλοντι δὲ ἀλέξειν] ἤγουν ἀποσοβεῖν, διώκειν τὴν ὕβριν
12 τὴν τοῦ κόρου θυγατέρα δηλονότι. τὴν μητέρα τοῦ θρασέων· ἤτοι τῶν ἐπηρμένων λόγων. [Ὕβριν κόρου.] ὕβριν λέγει τὴν ἀδικίαν καὶ πλεονεξίαν, αἳ πλῆθος πολέμων καὶ σφαγῶν καὶ φόνων καὶ παντοίων κακῶν παρασκευάζουσι γίνεσθαι. καὶ πάντων τούτων τοῖς ἀνθρώποις εἰσὶν αἴτιαι. Ὅμηρος δὲ τὸν κόρον πατέρα λέγει τῆς ὕβρεως, λέγων, Τίκτει τοι κόρος ὕβριν. Κόρος λέγεται κυρίως ἐπὶ τοῦ στομάχου, ὅταν ἐμπλησθῇ βρωμάτων. ἀπὸ τούτου δὲ καὶ ἐπὶ τοῦ μεγάλης περιουσίας ἀπολαυόντων, ἢ τιμῆς, ἢ ἑτέρου τοιούτου, καθὸ λέγεται ἐνταῦθα. ὕβρις δὲ, ἡ ἀδικία καὶ ἀλαζονεία καὶ ἔπαρσις κατὰ τῶν ὑποδεεστέρων. ἣν ἡ Εὐνομία καὶ ἡ Δίκη καὶ ἡ Εἰρήνη ἀποστρέφεται καὶ διώκει. Τὸ συγγενὲς ἦθος. τὸ ἔμφυτον. ὥστε καὶ Κορίνθιοι ἀγαθοὶ ἐκ φύσεως ὄντες, οὐκ ἄν ποτε μεταβληθεῖεν. Ἀλήτης ἀνήρ τις ἡγήσατο Ἡρακλείδαις τῆς πρὸς Πελοπόννησον ἐπανόδου. κατοικήσαντος οὖν Κορίνθῳ ἀπ' αὐτοῦ οἱ Κορίνθιοι καλοῦνται. [Ἔχω καλά τε φράσαι.] ἔχω καλά τε εἰπεῖν ἐπὶ τῇ
14 Κορίνθῳ. τόλμα τέ μοι εὐθεῖα, τουτέστι καὶ προθυμία εὐθεῖα, ἀντὶ τοῦ δικαία τῆς γλώσσαν μου παρορμᾷ εἰς τὸ λέγειν. ἄμαχον δὲ· ἤγουν ἀμήχανον, ἀδύνατον, κρύψαι, ἤτοι σβέσαι, ἐᾶσαι, τὸ συγγεγεννημένον ἐμοὶ φυσικὸν ἦθος. ὑμῖν δὲ ὦ παῖδες, ἀντὶ τοῦ ἀπόγονοι τοῦ Ἀλήτου, τουτέστιν ὦ Κορίνθιοι. πολλάκις μὲν παρέχον αἱ Ὧραι αἱ πολυειδῆ ἄνθη προτείνουσαι, λαμπρότητα νικηφόρον, ἀντὶ τοῦ νικητικὴν. δι' ἐξόχων ἀνδραγαθιῶν † ὑπερελθόντων, ἤγουν νικησάντων ἐν ἱεροῖς ἤτοι θείοις ἀγῶσι. Αἰτιῶνταί τινες ἀσυνέτως τὸν Πίνδαρον διότι ὑπερελθόντων εἶπε, δέον ὑπερελθοῦσιν εἰπεῖν πρὸς τὸ ὑμῖν. νόει δ' ὅτι τὸ ὤπασαν δοτικῇ συντάσσεται. τὸ δὲ ὑπερελθόντων, οὐ πρὸς τὴν σύνταξιν τοῦ ὤπασαν ἐστίν. ἀλλ' ἐπειδὴ αἰτία ἐστὶ τὸ νικηφόρον ἀγλαΐαν, σχηματίζομεν δὲ τὰς αἰτίας καὶ πρὸς τὴν ὄπισθεν σύνταξιν, εἰ δοτικὴ ἢ αἰτιατικὴ ἐστὶ, καὶ πρὸς γενικήν, διὰ τοῦτο καὶ νῦν οὐ πρὸς τὸ ὑμῖν, ἀλλ' ὡς αἰτία πρὸς γενικὴν ἀπεδόθη. ὥσπερ ἐστὶ τοῦτο Πολλῶν περὶ δηρισάμενον συνέβη μοι ἁμαρτωλοῦ ὄντος. Τὸ Ὧραι πολυάνθεμοι, καὶ πρὸς τὸ ὤπασαν ἐκληπτέον. παρέχουσι δὲ αἱ Ὧραι τὰς νίκας διὰ τὸ τὰς πανηγύρεις κατὰ περίοδον φέρειν. ἐν αἷς ἀγῶνες καὶ νῖκαι γίνονται. πῶς δὲ ἀρχαῖα σοφίσματα ἐν τοῖς Κορινθίοις ἔβαλον; ἐπειδὴ ἔν τε τῷ ἔαρι καὶ θέρει, καὶ τοῖς ἄλλοις καιροῖς ἐμηχανήσαντο τὰ πρόσφορα. δέον δὲ εἰπεῖν σοφίσματα ἔβαλλον καταρχάς, ἀρχαῖα εἶπε πρὸς τὸ σοφίσματα. [Ἅπαν δ' εὑρόντος ἔργον.] τοῦ εὑρόντος ἐστὶ δηλονότι. εἰ γὰρ καί τινες τοῖς εὑρεθεῖσι παρὰ Κορινθίων ἐπιδεδωκότες ἐξέλαμψαν, οἱ κατ' ἀρχὰς εὑρόντες αὐτὰ Κορίνθιοι, κρείττους εἰσὶν αὐτῶν, τῷ εὑρεῖν. Βοηλάτην καλεῖ τὸν διθύραμβον. ἢ διότι τῷ κατορθώσαντι αὐτὸν βοῦς ἐδίδοτο ἆθλον· ἢ διότι ἠλαύνετό τε καὶ ἐτελεῖτο. ὁ δὲ διθύραμβος, χορὸς ἦν κυκλικὸς πρὸς τὸν Διόνυσον. ἐλέγετο δὲ διθύραμβος, ἀπὸ τοῦ Διονύσου τοῦ ἐκ δύο θυρῶν ἐξελθόντος, ἔκ τε τῆς μητρῴας αὐτοῦ γαστρὸς, καὶ τοῦ μηροῦ τοῦ Διός. εὗρον δὲ οἱ Κορίνθιοι πρῶτον τοῦτον ἐν τοῖς Διονυσιακοῖς, ὥσπερ καὶ τὸ μέτρον τῆς ἱππικῆς ἀρχῆς. τουτέστι, τοῦ ἅρματος. ὁπόσον δεῖ γίνεσθαι. ὃν ἵππια ἔντεα καλεῖ, καὶ τὰ ἐπάνω τῶν νεῶν διπλᾶ ἀετώματα. [Πολλὰ δ' ἐν καρδίαις.]
21 πολλάκις δὲ ἔβαλον ὑμῖν αἱ Ὧραι ἐν καρδίαις ἀνδρῶν. τουτέστι πολλάκις δὲ ἔβαλλον αἱ Ὧραι ἐν καρδίαις ἀνδρῶν ὑμετέρων, σοφίσματα ἀρχαῖα· ἤγουν ἐπινοίας τεχνῶν πρῶτον εὑρημένας ὑπὸ προτέρων εὑρημένας. [Ἅπαν δ' εὑρόντος ἔργον.] τουτέστιν ἅπασα δ' ἐργασία τεχνικὴ, τοῦ εὑρόντος αὐτὴν τὴν ἀρχὴν, ἤτοι τοῦ ἐφευρόντος ἐστίν. αἱ Χάριτες τοῦ Διονύσου· ἤγουν, αἱ ἑορταὶ αἱ τὸ ἐπαγωγὸν ἔχουσαι. αἱ παρὰ τοῖς Κορινθίοις ὑμῖν τελέμεναι δηλονότι, σὺν ὕμνῳ διθυράμβῳ βοηλάτῃ, τουτέστι, χάριν βοὸς ᾀδομένῳ, πόθεν ἄλλοθεν ἢ παρ' ὑμῶν δηλονότι ἐξέφαναν, ἤγουν ἐλαμπρύνθησαν. τίς δὲ ἄλλος ἔθηκεν, ἀντὶ τοῦ ἐπενόησε συμμετρείας ἐν χαλινώμασιν ἱππείοις, ἀντὶ τοῦ πολεμικοῖς· ἤγουν τίς δὲ ἄλλος ἐπενόησε τὴν ἐν τοῖς ὅπλοις συμμετρείαν. ἢ τίς ἄλλος ἐπενόησεν ἐν τοῖς ναοῖς τῶν θεῶν τὸν βασιλέα τῶν ὀρνέων τὸν διπλοῦν· ἤγουν τὸν διπλοῦν ἀετόν. τουτέστι τὸ λεγόμενον ἀέτωμα. ἐν τούτοις δὲ, τουτέστι τοῖς Κορινθίοις, ἀνθεῖ, ἀντὶ τοῦ ἀκμάζει. προφανὴς ἐστὶ δύναμις ποιητική. ἡδύπνοος, ἡδυμελής, τερπνὰ προτείνουσα μέλη. ἐν
31 τούτοις δὲ ἀνθεῖ Ἄρης. τουτέστι πολεμικὴ ἐμπειρία νέων ἀνδρῶν. ἐν αἰχμαῖς, ἀντὶ τοῦ ἐν μάχαις ὀλεθρίαις. [Μοῖσ' ἁδύπνοος.] τοῦτο λέγει, ἢ ὅτι μουσικώτατοι ἦσαν Κορίνθιοι· ἤγουν ὅτι ἐν Κορινθίοις κάλλιστοι ποιηταὶ ἐγένοντο. ὧν εἷς ἦν Αἴσων. ἀνθεῖ δὲ ἐν αὐτοῖς ὁ Ἄρης, διότι πολεμικώτατοί εἰσι.
34 καὶ ἐν τῷ Περσικῷ πολέμῳ κάλλιστα ἐξέλαμψαν. [Ὕπατ' εὐρὺ ἀνάσσων.] ὦ Ζεῦ πάτερ ἔξοχε, εὐρὺ, ἀντὶ τοῦ μεγάλως, κραταιῶς ἀνάσσων τῆς Ὀλυμπίας. γένοιο κατὰ πάντα τὸν χρόνον ἀφθόνητος, ἀντὶ τοῦ ἐκ ἐῶν ἐπιτίθεσθαι φθόνον τοῖς ἔπεσι τούτοις τοῖς ἐπ' αὐτοῖς. τουτέστι τοῖς ὕμνοις. ἐπίφθονον τὸ ἔχον φθόνον· ἤτοι τὸ φθονούμενον. ἄφθονον, τὸ χωρὶς φθόνου γινόμενον. ἢ διδόμενον. ἐστὶ ἄφθονος χάρις, ἡ χωρὶς φθόνου γινομένη. καὶ ἄφθονος πρᾶξις ἡ χωρὶς φθόνου προπομπή. ἀφ' οὗ ἄφθονος πλοῦτος, ὁ πολύς. καὶ ἄφθονον πλῆθος ὁμοίως, ἀντὶ τοῦ πολύ. ἀφθόνητος δὲ ὁ μὴ φθονούμενος. ἐνταῦθα δὲ τὸ ἀφθόνητος, ἐπὶ ἐνεργείας κεῖται. καὶ τόνδε τὸν λαὸν τοῦ Ξενοφῶντος νέμων· ἤγουν διοικῶν ἀβλαβῆ, ἐπιρρηματικῶς, ἀντὶ τοῦ ἐν ἀσφαλείᾳ, ἐν εὐτυχίᾳ. εὔθυνε· ἤγουν εὔοδον, τοῦ δαίμονος αὐτοῦ· ἤγουν τοῦ θεοῦ τοῦ διοικοῦντος αὐτοῦ τὸν βίον, τὸν οὖρον. τουτέστι τὸν οὔριον ἄνεμον, μεταφορικῶς ἀπὸ τῶν νεῶν, ἀντὶ τοῦ εὐτυχίαν. οὖρος γὰρ ποιητικῶς, ὁ ἀπὸ τῆς οὐρᾶς ἤτοι τῆς πρύμνης τῆς νεὼς ἐπιτήδειος ἄνεμος. ὃν οὔριον πεζογράφοι φασὶν, ἀφ' οὗ καὶ τὸ, ἐξ οὐρίας πλεῖν.
39 [Δέξαι δὲ οἱ στεφάνων.] ὑπόδεξαι δὲ τὸν νόμον τὸν ἐγκώμιον, ἀντὶ τοῦ τὸ ἐγκωμιαστικὸν, τῶν στεφάνων αὐτοῦ, ὃν ἐπάγεται ἀπὸ τῶν χωρίων τῆς Πίσης, νικῶν, ἀντὶ τοῦ νικήσας δύο. τὸν δρόμον τοῦ σταδίου· ἤγουν τὸ στάδιον ἅμα τῷ πεντάθλῳ. ἐλέγετο δὲ στάδιον μὲν ὁ τόπος ἐν ᾧ ἔτρεχον. ἦν δέ φασι * τηχῶν τετρακοσίων διάστημα ‡. πένταθλον δὲ, ὃ εἶχεν ἐν ἑνὶ δρόμῳ, τὰ πέντε ταῦτα. πυγμὴν, πάλην, ἅλμα, δίσκον, καὶ δρόμον. οὐκ ἐπέτυχεν οὐδαμῶς πρότερόν τις ἀνὴρ θνητὸς, τούτων, ἀντὶ τοῦ τούτου τοῦ πράγματος. τουτέστι τοῦ νικῆσαι ἐν μιᾷ ἡμέρᾳ ταύτας
45 τὰς δύο νίκας. [Δύο δ' αὐτὸν ἔρεψαν.] δύο δὲ στέφανοι ἀπὸ σελίνων πεπλεγμένοι ἐστεφάνωσαν αὐτὸν. φανέντα ἤγουν παρρησιασάμενον, ἀγωνισάμενον ἐν Ἰσθμιάσιν, ἀντὶ τοῦ ἐν τῷ ἀγῶνι τῷ ἐν Ἰσθμοῖ. Σημείωσαι ὅτι οὐ μόνον πίτυς ἐδίδοτο ἐν τῷ Ἰσθμῷ, ἀλλὰ καὶ σελίνε στέφανος. ὥσπερ ἐν τῇ Νεμέᾳ. πλὴν ἐν μὲν τῷ Ἰσθμῷ, ἀπὸ ξηρῶν σελίνων φασὶν ἐπλέκετο ὁ στέφανος, ἐν δὲ τῇ Νεμέᾳ
47 ἀπὸ χλωρῶν, καὶ τὰ [Νέμεα οὐκ ἀντιξοεῖ·] ἤγουν οὐκ ἀντίκειται τούτῳ τῷ Ξενοφῶντι. νενίκηκε γὰρ καὶ ἐν αὐτοῖς. τοῦ πατρὸς δὲ αὐτοῦ τοῦ Ξενοφῶντος, τοῦ Θεσσαλοῦ φήμη λαμπρὰ τῆς ἀρετῆς τῶν ποδῶν ἀνάκειται, ἀντὶ τοῦ ἐπικρατεῖ, παραμένει, ἐπὶ τοῖς ῥεύμασι τοῦ Ἀλφειοῦ· ἤγουν, ἐν τῇ Ὀλυμπίᾳ, Θεσσαλὸς, ὁ ἀπὸ Θεσσαλίας. ἐνταῦθα δὲ ὄνομα κύριον ὁ Θεσσαλός. ἐν τῇ Πυθοῖ τε ἔχει ὁ Θεσσαλὸς δηλονότι κλέος νίκης. σταδίου, καὶ διαύλου, ἡλίῳ ἀμφὶ ἑνὶ, ἀντὶ τοῦ ἐπὶ μιᾷ ἡμέρᾳ. καὶ ἐν τῇ Ἀττικῇ τῇ τραχείᾳ ἐστὶ τοῦ αὐτοῦ μηνὸς ἡμέρᾳ ἐν τοῖς δρόμοις διαρκέσαι· ἤγουν ἱκανῶς τοῖς δρόμοις ἀνατεθειμένη, τρία ἔργα κάλλιστα, ἀντὶ τοῦ τριῶν ἔργων καλλίστων στεφάνους ἔθηκεν ἐπὶ τῇ κεφα-
56 λῇ αὐτοῦ. τὰ [Ἑλλώτια δέ.] ἑορτὴ δὲ ἦν αὕτη τῆς Ἀθηνᾶς ἐν τῇ Κορίνθῳ. ἑπτάκις ἔθηκαν δηλονότι στέφανον ἐπὶ τῇ κόμαις αὐτοῦ. Ἰσθμία. Ἑλλώτια, ἑορτὴ Ἀθηνᾶς ἐν Κορίνθῳ. Δωριεῖς μετὰ Ἡρακλειδῶν ἐπιθέμενοι Κορινθίοις, καὶ Κόρινθον χειρωσάμενοι. ταύτην φλογὶ ἔκαιον. φυγοῦσαι δὲ αἱ Κορίνθιοι παρθένοι εἰς τὸν τῆς Ἀθηνᾶς βωμὸν ὅπως σωθεῖεν, αἰδουμένων Δωριέων καὶ πῦρ ἐμβαλλόντων εἰς τὸν ναὸν, αἱ μὲν ἄλλαι τῶν παρθένων ἔφυγον. Ἑλλωτία δὲ μετὰ τῆς ἀδελφῆς Εὐρυτιανῆς κατεφλέχθη. λοιμὸς δὲ ὕστερον γινομένης ἔχρησεν Ἀθηνᾶ μὴ πρότερον παύσασθαι τὸν λοιμὸν, πρὶν τὰς τῶν κατακαεισῶν παρθένων ψυχὰς ἐξιλάσων-

† MSS. ὑπερελθόντι, ἤγουν νικήσαντι. * MS. γ. ὀργυιῶν ‡ MS. Bodl. διαστήματος.

ται.

ται. καὶ ἱερὸν Ἀθηνᾶς Ἑλλωτίας ἱδρύσαντο. ὃ δὴ καὶ γεγόνηται. ἕτεροι δέ φασι, διὰ τὸ ἑλεῖν τὸν Πήγασον ἐν χαλινῷ ὑπ' Ἀθηνᾶς δοθέντι Βελλεροφόντῃ, πηγνύειν καὶ ἱερὸν Ἑλλωτίας Ἀθηνᾶς ὑπ' αὐτοῦ γεγενῆσθαι. ἢ τοῦτο τὸ ὄνομα ἐσχηκέναι τὴν πηγνύειν καὶ τὸν ναὸν, ἀπὸ τῆς ἐν Μαραθῶνι ἕλης. ἔστι γὰρ ἐκεῖ ἄγαλμα Ἀθηνᾶς Ἑλλωτίας. [Ἕψονται·] ἤγουν ἠκολούθησαν αὐτῷ τῷ Θεσσαλῷ. ἔστι δὲ τὸ ἕψονται ἀντιχρονισμός. ἢ τὸ μέλλον μαντευόμενος λέγει. τότε γὰρ ὄντα, ζῶντα νοήσεις τὸν Πτοιόδωρον.
56 [Ἐν δ' ἀμφιάλοισιν.] ἐν δὲ τοῖς ἀγῶσι τοῖς κατὰ νόμους τελουμένοις, τοῖς ἀμφιάλοις, ἤγουν τοῖς ἐν τῷ τόπῳ τῷ ἀμφοτέρωθεν θάλασσαν ἔχοντι. τουτέστι, τοῖς ἐν τῷ Ἰσθμῷ, ὧν ἔφορος ὁ Ποσειδῶν, μακρότεραι, ἀντὶ τοῦ μείζονες τέρψεις, καὶ καταπολὺ τίμιοι ὕμνοι ἕψονται, ἀντὶ τοῦ ἕπονται· ἤγουν, ἀκολουθοῦσιν αὐτῷ δηλονότι, σὺν τῷ πατρὶ αὐτοῦ τῷ Πτοιοδώρῳ. εἶτα ἀποτείνων τὸν λόγον πρὸς αὐτοὺς φησί. καὶ ἐν τοῖς Δελφοῖς βαβαὶ τῶν ἀνδραγαθημάτων ὅσα ἠνδραγαθήσατε. καὶ ἐν τοῖς χόρτοις τοῦ λέοντος· ἤγουν, καὶ ἐν τῷ περιορισμῷ τῷ τόπῳ ἔνθα ὁ λέων ἐτάφη ὁ ὑπὸ τοῦ Ἡρακλέους ἀναιρεθεὶς, τουτέστι καὶ ἐν τῇ Νεμέᾳ. ἐν αὐτῇ γὰρ ἐτάφη ἐκεῖ ὁ λέων, βαβαὶ δηλονότι
63 τῶν ἀνδραγαθημάτων ὅσα ἠνδραγαθήσατε. [Δηρίομαι·] ἤγουν μάχομαι, φορτικὸς γίνομαι πολλοῖς ἀνθρώποις δηλονότι, περὶ τοῦ πλήθους τῶν ἀνδραγαθημάτων τῶν ὑμετέρων. καταπολὺ μέν τοι ἀκριβῶς οὐκ ἂν εἰδείην ὥστε λέγειν τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων, ἤγουν τῆς ψάμμου, ἀντὶ τοῦ καταπολὺ μέν τοι ἀκριβῶς οὐκ ἂν εἰδείην τὸν ἀριθμὸν αὐτῶν λέγειν· ἤγουν τῶν ὑμετέρων ἀνδραγαθημάτων, ὥσπερ οὐδὲ τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων. ἕπεται δὲ, ἀντὶ τοῦ προσήκει ἐπάγεσθαι ἑκάστῳ πράγματι, μέτρον· ἤγουν συμμετρίαν. τὸ νοῆσαι δὲ αὐτὸ, ἤγουν τὸ μέτρον, καιρὸς ἐστὶν ἄριστος. τουτέστιν, εὐκαιρία· εὐστοχία ἐστὶν ἀρίστη. Τὸ δηρίομαι πολλοῖσι. τοῦτο λέγει, ἀντὶ τοῦ ἐρίζω πρὸς τοὺς πολλοὺς περὶ τοῦ πλήθους τῶν ὑμετέρων ἀνδραγαθημάτων. καὶ οὐδένα τῶν πάντων τοσαῦτα κατωρθωκότα εὑρήσω. ἐπεὶ δὲ πλήθει ἀορίστως εἶπε, ἀλλὰ τοῦτο φησίν. ὡς μὴν σαφὲς, τουτέστι πόσα ἐστὶ ταῦτα τῇ ἀληθείᾳ, οὐ δύναμαι λέγειν τὸν ἀριθμὸν τῆς ἄμμου. ὥστε ὥσπερ τοῦτο ἀδύνατον, οὕτω καὶ τὸ ταῦτα ἀπαριθμήσασθαι. διὸ τὸ ἄμετρον πλῆθος παραιτούμενος, ὡς ἀδύνατον, τὴν συμμετρίαν αἱρεῖται, καὶ φησίν. ἕπεται δὲ ἐν ἑκάστῳ μέτρον. τουτέστι πᾶν πρᾶγμα συμμετρίαν ἔχει. ὃ δὴ καὶ ποιήσω
69 σύμμετρα ἐκλεξάμενος. [Ἐγὼ δὲ ἴδιος.] ἐγὼ δὲ ὡς ἴδιος καὶ οὐκ ἀλλότριος ὢν, ἐν τῇ κοινότητι ὑμῶν παραγενόμενος, τὴν φρόνησίν τε ὑμνήσων τῶν πάλαι γεγενημένων ὑμετέρων ἀνδρῶν· καὶ τὸν πόλεμον τὸν ἐν ταῖς ἀρεταῖς τῶν † ἀνδραγαθίαις τοῖς ἥρωσι προσηκούσαις, οὐ ψεύσομαι περὶ τῆς Κορίνθου. τὸν Σίσυφον μὲν ὑμνῶν δηλονότι πυκνότατον παλάμαις, ἀντὶ τοῦ βουλαῖς, πράξεσι. τουτέστι συνετώτατον ὡς θεὸν, καὶ τὴν Μήδειαν ὑμνῶν * ὡς συνετωτάτην, τὴν ποιήσασαν ἑαυτῇ τὸν γάμον κατ' ἐναντιότητα τῆς γνώμης τοῦ πατρὸς αὐτῆς. τὴν γενομένην σώτειραν τῆς νηὸς τῆς Ἀργοῦς καὶ τῶν ‡ προσπόλων, ἀντὶ τοῦ τῶν ἐπιμελουμένων αὐτῆς. κυρίως δὲ ‡ πρόσπολος ὁ νεωκόρος. Διατί ἐμνημόνευσε τῆς Μηδείας Κολχίδος οὔσης; Καί φαμὲν ὅτι ἡ Κόρινθος πρότερον αὐτῆς ἦν κτῆμα, οὕτως. Ἱστορία. Ἀλωεὺς καὶ Αἰήτης ὁ Μηδείας πατὴρ, ἐγένοντο παῖδες Ἡλίου καὶ Ἀντιόπης. τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν. καὶ ἔλαβεν Ἀλωεὺς μὲν τὴν Ἀρκαδίαν· τὴν δὲ Κόρινθον Αἰήτης. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ, Βουνόμῳ μέν τινι Ἑρμοῦ υἱῷ, παρέδωκε τὴν πόλιν. εἰπὼν φυλάσσειν τοῖς ἐσομένοις ἐξ αὐτοῦ. αὐτὸς δὲ εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος, καὶ καταλαβὼν ἐκεῖ χώραν τινὰ, ἐβασίλευεν. Ἰάσων οὖν ἐλθὼν εἰς αὐτὸν διὰ τὸ χρυσόμαλλον δέρας, ἠράσθη παρὰ Μηδείας. ἣ παρασκευάσασα αὐτὸν λαβεῖν τὸ χρυσόμαλλον δέρας, συναπήγετο αὐτῷ πρὸς τὴν Ἑλλάδα, ἄκοντος Αἰήτου. εἰρήκαμεν δὲ τὴν ἱστορίαν πλατύτερον ἐν τῇ τοῦ Λυκόφρονος παραφράσει. Τὸ ποτὲ πρὸς τὸ ἔδοξαν συναπτέον. τὸ δὲ τάδε πρὸς τὸ, ἀλκάν. οὕτω. τάδε ἐν ἀλκῇ, ἔδοξάν ποτε. Οἱ Κορίνθιοι ἐπ' ἀμφότερα ἠρίστευσαν ἐν Ἰλίῳ. καὶ γὰρ τοῖς Τρωσὶ συνεμάχησαν καὶ τοῖς Ἕλλησι. Τρωσὶ μὲν Γλαῦκος, τὸ γένος εἰς Βελλεροφόντην ἀνάγων, τὸν Γλαύκου τοῦ Σισύφου. τοῖς δὲ Ἀχαιοῖς, Εὐχήνωρ ὁ Πολυείδου τοῦ μάντεως. ὅτι δὲ Εὐχήνωρ Κορίνθιος ἦν, καὶ Ὅμηρος μαρτυρεῖ λέγων· Ἦν δέ τις Εὐχήνωρ Πολυΐδου, μάντιος υἱὸς, Ἀφνειός τ' ἀγαθός τε Κορινθόθι οἰκία ναίων. [Τὰ δὲ, καὶ ποτέ.] τὰ 78
δὲ, ἀντὶ τοῦ κατὰ δέ. τουτέστι, καὶ κατὰ τὸ ἕτερον δὲ μέρος· ἤγουν καὶ κατὰ τὸν πόλεμον δὲ περὶ τῶν τειχῶν τοῦ Ἰλίου ποτὲ, ἤτοι πάλαι, ἔδοξαν οἱ Κορίνθιοι ἐπ' ἀμφότερα τὰ μέρη τῶν πολεμίων, ἐν ἰσχύϊ τέμνειν τέλος, ἀντὶ τοῦ ἔχειν τὸ ἔξοχον. οἱ μὲν, οἱ περὶ τὸν Εὐχήνορα δηλονότι, σὺν τῷ γένει τοῦ Ἀτρέως, τῷ προσφιλεῖ αὐτοῦ, δηλονότι τῷ Ἀτρεῖ. τουτέστι, σὺν τοῖς παισὶ τοῦ Ἀτρέως, τῷ Ἀγαμέμνονι, καὶ τῷ Μενελάῳ τὴν Ἑλένην κομίζοντες, ἀντὶ τοῦ ζητοῦντες κομίσασθαι. οἱ δὲ, ἤγουν, οἱ περὶ τὸν Γλαῦκον, ἀπείργοντες, τουτέστι κωλύοντες πάμπαν. ἐκ τῆς Λυκίας γὰρ τὸν Γλαῦκον ἐλθόντα σύμμαχον τοῖς Τρωσὶν, ἔτρεμον οἱ Ἕλληνες. τούτοις μὲν, ἤγουν τοῖς Λυκίοις ηὔχετο. τουτέστι διηγεῖτο φιλοτιμούμενος. ἐν τῇ πόλει τῆς Πειρήνης τῆς πηγῆς, ἤτοι, ἐν τῇ Κορίνθῳ, εἶναι τὴν βασιλείαν τοῦ σφετέρου πατρὸς, ἀντὶ τοῦ ἑοῦ· ἤγουν τοῦ ἑαυτοῦ πάππου. τουτέστι, τοῦ Βελλεροφόντου καὶ μεγάλην κληρονομίαν, καὶ μέγαρον, ἤτοι οἰκίαν, καθέδραν. Ἄσυ Πειρήνης λέγει τὴν Κόρινθον, ἀπό τινος γυναικὸς οὕτω καλουμένης. Ἡ τοῦ Προίτου γυνὴ ἐρασθεῖσα Βελλεροφόντου, ὡς οὐκ εἶχεν αὐτὸν πειθόμενον, κατεψεύσατο αὐτοῦ πρὸς τὸν ἴδιον ἄνδρα Προῖτον. καὶ ὃς πρὸς τὸν τῆς Λυκίας βασιλέα κηδεστὴν ὄντα αὐτοῦ, Ἰοβάτην ἀποστέλλει, ὑπ' αὐτοῦ τεθνηξόμενον. Ἰοβάτης οὖν, ἐκπέμπει αὐτὸν κατὰ τῆς Χιμαίρας, ὑπ' αὐτῆς νομίζων αὐτὸν διαφθαρήσεσθαι. Βελλεροφόντης δὲ, θέλων μετὰ τοῦ Πηγάσου ἵππου, τὸν πρὸς τὴν Χίμαιραν ἐργάσασθαι πόλεμον, ἐπεὶ πολλὰ παθὼν οὐχ οἷός τ' ἦν αὐτὸν ὑποτάξαι, καθ' ὕπνους εἶδε τὴν Ἀθηνᾶν, ἐγχειρίζουσαν αὐτῷ χαλινόν. καὶ ἀναστὰς, ὕπαρ εὗρε τὸ ὄναρ. ὅθεν χαλινώσας τὸν Πήγασον, καὶ καταπολεμήσας Χίμαιραν, ἔλαβεν ἆθλον τὴν θυγατέρα τοῦ Ἰοβάτου. ἀφ' ἧς ἔσχεν Ἱππόλοχον, τὸν τοῦ Γλαύκου πατέρα. [Ὃς τᾶς ὀφιώδεος.] ὃς, ἤγουν ὁ Βελλεροφόντης, πάλαι 89
τὸν Πήγασον ἵππον τὸν υἱὸν τῆς Γοργόνος τῆς ὀφιώδους, τουτέστι, τῆς ὁμοίωσίν τινα ὄφεως ἐχούσης ποδῶν ζεῦξαι, ἀντὶ τοῦ ὑπαγαγεῖν, τῷ χαλινῷ ὑποτάξαι, οὕτω πολλὰ ἔπαθεν ἐπὶ τοῖς ῥεύμασι τῆς Πειρήνης δηλονότι τῆς ἐν Κορίνθῳ πηγῆς, ἕως ἐνεγκοῦσα ἔδωκεν αὐτῷ ἡ παρθένος ἡ Ἀθηνᾶ χαλινὸν χρυσάμπυκα, ἀντὶ τοῦ χρυσᾶ φάλαρα ἔχοντα, ἐν ὕπνῳ δηλονότι. ἐπάγεται γὰρ, ἐξ ὀνείρου δ' αὐτίκα ἦν ὕπαρ. τουτέστιν, ἦν δὲ ἡ δόσις αὐτίκα ἐκ τοῦ ὀνείρου ἐν τῷ φανερῷ. ἐφώνησε δὲ ἡ Ἀθηνᾶ τῷ Βελλεροφόντῃ, ἐν τῷ ὕπνῳ δηλονότι. καθεύδεις, ἤγουν ὑπνώττεις, ὦ Αἰολίδη βασιλεῦ. τουτέστιν, ἀπόγονε τοῦ Αἰόλου. ἄγε δέχου τόδε τὸ φίλτρον τὸ τῶν ἵππων· ἤγουν τὸ φάρμακον τὸ θεραπευτικὸν τῶν ἵππων. καὶ τῷ πατρὶ τῷ σῷ τῷ Ποσειδῶνι τῷ δαμασικῷ τῶν ἵππων, ἤγουν τῷ ἱππικῷ, δεῖξον αὐτὸ, θύων αὐτῷ ταῦρον πρεπώδη, εὐσεβῆ. Φίλτρον ἵππειον λέγει τὸν χαλινὸν, τὸν διὰ μακρὸν ἔθος, ὡσανεὶ προσφιλῆ τοῖς ἵπποις ὄντα. ἢ τὸν ποθούμενον ὑπὸ σοῦ καὶ φιλούμενον· ζητεῖς γὰρ εὑρεῖν ἱππικὸν δεσμὸν κατὰ τοῦ Πηγάσου. [Πατρὶ δεῖξον.] ὅτι τῇ ἀληθείᾳ Βελλεροφόντης Ποσειδῶνος ἦν υἱὸς, 99
δοκῶν εἶναι Γλαύκου. [Κυαναιγὶς ἐν ὄρφνᾳ.] τοσαῦτα ἔδοξεν εἰ- 100
πεῖν αὐτῷ, ἐν νυκτὶ ὑπνώττοντι ἡ παρθένος. τουτέστιν, ἡ Ἀθηνᾶ ἡ κυαναιγὶς· ἤγουν, ἡ μέλαιναν ἔχουσα αἰγίδα. ἀνεπήδησε δὲ ὁ Βελλεροφόντης, γενόμενος δηλονότι ἐν ὀρθῷ ποδί. παρ' ἑαυτῷ δὲ κείμενον εὑρὼν τέρας, ἤτοι θαῦμα, τουτέστι τὸν χαλινὸν, οὕτω θαυμασίως φανέντα, τὸν ἐπιχώριον μάντιν τὸν † Πολυείδου τὸν υἱὸν τοῦ Κοιράνου ζητήσας, εὗρεν ἀσμένως· ἤγουν, μετὰ περιχαρείας. καὶ ἔδειξεν, ἀντὶ τοῦ ἐδήλωσεν αὐτῷ πᾶσαν τὴν τελευτὴν· ἤγουν, τὴν ἀπόβασιν τοῦ πράγματος. ὅπως τε ἐν τῷ ναῷ τῆς θεᾶς, ἤτοι τῆς Ἀθηνᾶς ὕπνωσε κατὰ τὴν νύκτα, μετὰ τὴν μαντείαν ἐκείνου. ἐκεῖνος γὰρ ὡς ἔοικεν ἔχρησεν αὐτῷ, ἀμηχανοῦντι περὶ καταζεύξεως τοῦ Πηγάσου, ἀπελθεῖν καὶ καθευδῆσαι ἐκεῖ. ὅπως τε παρέσχεν αὐτῷ τὸν χαλινὸν, τὸν δαμάζοντα τὰ φρονήματα τῶν ἵππων αὐτὴ ἡ παῖς τοῦ Διὸς, τοῦ τῷ κεραυνῷ ὡς

† MSS. ἀνδρείαις. * MSS. ὁμοίως. ‡ MSS. hab. προσπόλων quod expon. ἐπιβατῶν, & πρόσπολος. † MSS. Πολυΐδου.

ἐγχει

ἔγχει κεχαρημένη· ἤγουν, ἡ Ἀθηνᾶ. ἐκέλευσε γὰρ αὐτὸν ὁ μάντις, πειθῆναι τῷ ἐνυπνίῳ ὅτι τάχιστα. Συνάπτει τὸ Κοιρανίδαν πρὸς τὸ μάντιν. ὁ γὰρ Πολύειδος ὁ μάντις, Κοιράνου υἱὸς ἦν. ὃς καὶ προυπέθετο Βελλεροφόντῃ καταδαρθεῖν παρὰ τῷ τῆς Ἀθηνᾶς βωμῷ, ὡς ἐκεῖθεν ἐσομένης αὐτῷ τῆς τῶν ζητουμένων λύσεως. Δαμασίφρονα λέγει, ὃν πρόσθεν εἶπε χρυσάμπυκα χαλινόν· ὡς τὰς φρένας τῶν ἵππων δαμάζοντα, καὶ εὐπειθεῖς ἐργαζό-
113 μενον. [Ὅταν δ' ὀρθωθενεῖ.] ὅταν δὲ ἀνερύῃ, ἀντὶ τοῦ † ἀνερύῃ· ἤγουν, ἀνατρέπῃ· ἀντὶ τοῦ σφάζῃ, θύῃ. ἀπὸ τοῦ παρακολουθοῦντος, τὸν κραταιὸν τοὺς πόδας ταῦρον, τῷ Ποσειδῶνι τῷ συνέχοντι τὴν γῆν, τῷ καταπολὺ ἰσχυρῷ, ἐκέλευσεν αὐτίκα ποιῆσαι τῇ Ἀθηνᾷ τῇ ἱππικῇ * ναόν. ‡ πληροῖ δὲ, ἡ δύναμις τῶν θεῶν κούφως, τουτέστιν ἰσχυρῶς, τὴν κτίσιν, ἀντὶ τοῦ τὴν πρᾶξιν καὶ τὴν παρ' ὅρκον· ἤγουν, τὴν μὴ δεομένην βεβαιώσεως ὅρκων εἰς τὸ μὴ πραχθῆναι. ὡς ἀνέλπιστον δηλονότι οὖσαν καὶ ἀδύνατον. καὶ τὴν παρὰ ἐλπίδα. τουτέστι, καὶ ἣν οὐκ ἄν τις ἐλπίσαι ποτὲ πρᾶξιν. Οἱ θεοὶ καὶ τὰ νομιζόμενα ἀδύνατα, ῥᾷστα ποιοῦσι, περὶ ὧν ἄν τις καὶ δι' ὅρκου ἀπαγορεύσειεν. ὡς οὐχ οἷά τε γενέσθαι. ἔστι δὲ τὸ παρ' ἐλπίδα, καὶ τὸ παρ' ὅρκον, ταυτόν. τὰ γὰρ ἀδύνατα, καὶ
118 ἀνέλπιστα. [Ἦτοι καὶ ὁ καρτερός.] τὸ ἤτοι, ἀντὶ τοῦ δή· ἤγουν, καὶ δὴ καὶ ὁ ἰσχυρὸς Βελλεροφόντης ὁρμαίνων, ἤτοι προθυμούμενος, ἔλαβεν, ἵππον ὑπόπτερον. τουτέστι, τὸν Πήγασον. φάρμακον πραῢ, ἀντὶ τοῦ πραϋντικόν· ἤγουν, τὸν παρὰ τῆς Ἀθηνᾶς χαλινόν. τείνων, ἀντὶ τοῦ ἐφαπλώσας, ἐπενεγκών, ἀμφὶ τῇ γένυϊ, ἀντὶ τοῦ, περὶ τῇ γένυϊ. τουτέστιν, ἐπὶ τῷ στόματι αὐτοῦ δηλονότι. ἀναβὰς δ' εὐθὺς ἐπ' αὐτὸν ἔπαιζεν ἐνόπλιον παιδιὰν, χαλκωθεὶς, ἤτοι ὁπλισάμενος. κραταιὸς κοινὸν, κρατερὸς ποιητικόν, τὸ αὐτὸ κατὰ μετάθεσιν τοῦ ρ̄ †. σὺν ἐκείνῳ δὲ, ἤτοι τῷ Πηγάσῳ ποτὲ ἐφόνευσε καὶ τὸν στρατὸν τὸν γυναικεῖον τῶν Ἀμαζόνων τὸν τοξότην, βάλλων αὐτόν. τουτέστιν, βολαῖς ἐπιτιθέμενος αὐτῷ ἄνωθεν ἀπὸ τῶν κοιλωμάτων τοῦ αἰθέρος τῆς ψυχρᾶς, ἀντὶ τοῦ ἀέρος τοῦ ψυχροῦ, τοῦ ἐρήμου· ἤγουν, ἐφ' ᾧ οὐ διατρίβει τινὰ διὰ τὴν ψυχρότητα καὶ τὴν Χίμαιραν τὴν πνέουσαν πῦρ*. καὶ τοὺς Σολύμους. ἔθνος δὲ ἦσαν οἱ Σόλυμοι μεταξὺ Λυκίας, καὶ Παμφυλίας, πολεμικώτατον. Αἰθέρος εἶπε θηλυκῶς ὁ ποιητής, ψυχρᾶς δὲ, ἐπεὶ καὶ ὁ ἀὴρ αἰθὴρ λέγεται, ἔνθα οἰκοῦσιν αἱ Ἀμαζόνες. ἐρήμου δὲ, διὰ τὸ τοῦ ἀέρος κενόν. λέγει δὲ ὡς σὺν τῷ Πηγάσῳ, τὰς ἀπὸ τοῦ Ὑπερβορέου κλίματος Ἀμαζόνας, καὶ τὴν Χίμαιραν, καὶ τοὺς Σολύμους ἔθνος ἀπώλεσε. Τὸ διασιγάσομαι εἶπε, διὰ τὸ συμβὰν αὐτῷ ἐν τῇ τελευτῇ κακόν. οὐ γὰρ ἄξιον, πολλοὺς καὶ μεγάλους ἐπαίνους ὑπὲρ αὐτοῦ διϊόντα, καὶ τῶν συμβάντων αὐτῷ μνησθῆναι κακῶν. φασὶ γὰρ ὡς βουληθεὶς πρὸς οὐρανὸν ἀναπτῆναι σὺν τῷ Πηγάσῳ, ἐξοιστρωθέντος τοῦ ἵππου παρὰ τοῦ Διὸς, πίπτει καὶ χωλοῦται. κατὰ δέ τινας, καὶ τυφλοῦται, καὶ ἐκπλανᾶται κατὰ τὸ Ἀλήϊον, χωλός. φησὶ δὲ καὶ Ὅμηρος περὶ αὐτοῦ· Ἤτοι ὁ καππεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο· Ὃν θυμὸν κα-
133 τέδων, πάτον ἀνθρώπων ἀλεείνων. [Ἐμὲ δ' εὐθύν.] τὰ μὲν τοῦ Βελλεροφόντου, καὶ τοῦ Πηγάσου, οὕτως ἔχει. ἐμὲ δὲ ἵεντα εὐθὺν ῥόμβον ἀκόντων, ἤγουν σκοπὸν θέμενον ἐπαινεῖν Ξενοφῶντα, οὐ χρὴ κρατύνειν τὰ πολλὰ βέλη, ἐν ταῖν χεροῖν παρὰ σκοπόν· ἤγουν, οὐ δεῖ παρεκβάσει πολλῇ χρήσασθαι, καὶ τοὺς πλείστους τῶν ἐπαίνων, εἰς ἑτέρους ἀναλίσκειν. [Διασιγάσομαι·] ἤγουν, σιγήσω τὸν θάνατον αὐτοῦ, τοῦ Βελλεροφόντου δηλονότι. τοῦτο δέ φησιν, ἐπεὶ δυστυχὲς αὐτῷ τὸ τέλος ἐγένετο, πεσόντι ἀπὸ τοῦ ἵππου καὶ χωλωθέντι. τόνδε, ἤγουν τὸν ἵππον, αἱ φάτναι τοῦ Διὸς αἱ ἀρχαῖαι, ἐδέξαντο ἐν οὐρανῷ. ἄστρα γὰρ λέγουσιν εἶναι ἐν οὐρανῷ ἀρχῆθεν φάτναι καλούμενα καὶ ὄνοι. Ἐμὲ δὲ χρὴ ἵεντα, ἤγουν βάλλοντα ῥόμβον, ἀντὶ τοῦ βολὴν ἀκόντων εὐθεῖαν, οὐκ ἔξω τοῦ σκοποῦ ἐρείδειν τὰ πλείω βέλη διὰ τῶν χειρῶν. συμβολικὸς ὁ λόγος, ἀντὶ τοῦ, ἐμὲ δὲ χρὴ προσήκουσαν ποιούμενον τὴν ὁρμὴν τῶν λόγων. τουτέστι, διὰ τὸ κατὰ τὸ προσῆκον ποιεῖσθαι τὴν ὁρμὴν τῶν λόγων, οὐκ ἔξω τῆς ‡ προσηκούσης ὑποθέσεως, ποιεῖσθαι τοὺς * πλείστους λόγους. Ῥόμβος, ἡ κοινῶς στρούμβα· ἥτις καὶ βέμβιξ λέγεται, καὶ στρόμβος. ἀφ' οὗ καὶ τὸ στρομβηδόν. ἐνταῦθα δὲ ῥόμβον λέγει, ἀντὶ τοῦ στρόμβησιν. λέγει δὲ οὕτω, τὴν βολὴν τῶν ἀκόντων, διὰ τὸ μετὰ δινήσεως αὐτὴν γίνεσθαι. Ὀλιγαιθίδαι φατρία ἐν Κορίνθῳ, ἀπό τινος Ὀλιγαίθου, ἧς ἦν Ξενοφῶν. [Ἐπίκουρος·] ἤγουν, βοηθός. βοήθεια γὰρ τῶν ἀγαθῶν ἔργων τὰ ἔπη, οὐκ ἐῶντα τὴν λοιποῦ λήθην αὐτῶν καταχαυχήσασθαι. [Ἀληθής τέ μοι ἔξορκος·] ἤγουν, εἰ ὅρκῳ χρήσομαι ὡς κατὰ ἀλήθειαν
καὶ οὐ πρὸς χάριν ἐπαινῶ αὐτὸν ἀληθεύσω. [Μοίσαις γὰρ ἀγλαο- 136
θρόνοις.] ταῖς Μούσαις γὰρ ταῖς ἐπὶ λαμπρῶν θρόνων ἱδρυμέναις, ἤγουν ταῖς τιμίαις καὶ ἐν ἐνδόξῳ τάξει τεταγμέναις εἴκων, ἤτοι ὑπηρετῶν, ἦλθον ἐπίκουρος τοῖς Ὀλιγαιθίδαις. τουτέστι τῇ φατρίᾳ τοῦ Ξενοφῶντος, ἀντὶ τοῦ τοῖς Κορινθίοις, διὰ τὰ ἐν Ἰσθμῷ αὐτῶν ἔργα, καὶ διὰ τὰ ἐν Νεμέᾳ. ἐν βραχεῖ δὲ λόγῳ ποιήσω φανερὰ πολλὰ ὁμοῦ. καὶ ὅρκος ἔσται ἐμοὶ ἐπὶ τούτοις ἀληθής. ἑξηκοντάκις γὰρ ἀμφοτέρωθεν, ἤγουν, ἀπὸ τοῦ Ἰσθμοῦ, καὶ τῆς Νεμέας, βοὴ κήρυκος ἀγαθοῦ κατὰ τὸ κηρύττειν δηλονότι ἡδύφωνος, ἀνεκήρυξεν αὐτοὺς δηλονότι. ἡδύγλωσσον δὲ λέγει τὴν βοὴν· οὐ διὰ τὸ ἐμμελὲς αὐτῆς, ἀλλὰ διὰ τὸ τερπνὴν παρέχειν τὴν ἀνακήρυξιν τοῖς ἀνακηρυττομένοις. τὰ δὲ ἔργα αὐτῶν τὰ ἐν Ὀλυμπίᾳ, τουτέστιν, αἱ νῖκαι δὲ αὐτῶν αἱ ἐν Ὀλυμπίᾳ, δοκοῦσιν ἤδη πρότερον εἰρῆσθαι. ἔφη γὰρ αὐτοὺς ἐν τῇ ἀρχῇ τρὶς νενικηκέναι ἐν τῇ Ὀλυμπίᾳ. καὶ τὰ ἐσόμενα, ἤγουν, καὶ τὰς ἐσομένας αὐτοῖς νίκας τότε ἂν, ὅτε ἔσονται δηλονότι, φαίην σαφῶς. νῦν δ' ἐν ἐλπίσιν ἔχω τὸ τέλος τῆς νίκης αὐτῶν, ὅμως ἐν τῷ θεῷ.
[Εἰ δὲ δαίμων γενέθλιος.] εἰ δὲ ὁ δαίμων ὁ γενέθλιος, ἤγουν 148
ὁ θεὸς ὁ διοικῶν τοῦ Ξενοφῶντος τὸν βίον ἀπὸ γενέσεως ἕρποι, τουτέστι προκόπτοι. ἐπιδοίη τῷ Διῒ καὶ τῷ Ἐνυαλίῳ, ἤγουν, τῷ Ἄρει, δώσομεν πράττειν τοῦτο. τῷ μὲν Διῒ, ὅτι ὁ ἀγὼν ἦν αὐτῷ ἀνατεθειμένος· τῷ δὲ Ἄρει, ἐπειδὴ ἐπιχώριος, καὶ πατρῷος τῶν Ἠλείων ὁ Ἄρης. τὰ δὲ ἐπὶ τῇ ὀφρύϊ, ἀντὶ τοῦ τῇ ἐξοχῇ τοῦ Παρνασοῦ, τουτέστιν ἐν τοῖς Πυθίοις ἔργα αὐτοῦ, καὶ τὰ ἐπὶ τῷ Ἄργει, ἔνθα ἐτελεῖτο τὰ Ἡραῖα, τὰ καὶ Ἑκατόμβαια. ἐδίδοτο δὲ τῷ νικήσαντι ἀσπὶς χαλκῆ. καὶ ἐν ταῖς Θήβαις, ἔνθα ἤγετο τὰ Ἡράκλεια, τὰ καὶ Ἰολάϊα, βαβαὶ τοῦ πλήθους ὅσα ἐστί. καὶ ἐν τοῖς Ἀρκάσιν ἀνάσσων, ἤγουν νικῶν, φεῦ τοῦ πλήθους, ὅσα ἐστὶν ἔργα
αὐτοῦ. [Μαρτυρήσει Λυκαίου.] μαρτυρήσει τὰ ἔργα αὐτοῦ ὁ βω- 153
μὸς τοῦ Λυκαίου Διός. ὁ ἄναξ ὁ ἐν Ἀρκαδίᾳ· καὶ ἡ Πελλήνη. πόλις δὲ ἦν αὕτη τῆς Ἀχαΐας. ἔνθα ἐτελεῖτο τὰ Θεοξένια, καὶ τὰ Ἑρμαῖα. τὸ δὲ ἆθλον ἦν χλαῖνα. καὶ ἡ Σικυὼν, ἔνθα ἤγετο τὰ Πύθια. τῆς Βοιωτίας δὲ ἦν αὕτη πόλις. καὶ τὰ Μέγαρα. ἐν οἷς ἐτελεῖτο τὰ Διόκλεια. καὶ τὸ ἄλσος, ἀντὶ τοῦ, καὶ ἡ καθέδρα τῶν Αἰακιδῶν, ἡ καλῶς τῇ θαλάττῃ περιειλημμένη, ἤγουν, ἡ Αἴγινα, ἔνθα ἐτελεῖτο τὰ Αἰάκεια. μαρτυρήσει καὶ ἡ Ἐλευσὶς τὰ ἔργα αὐτοῦ. ἔνθα ἤγετο τὰ Δημήτρεια, τὰ καὶ Ἐλευσίνια, καὶ ἡ πλουσία Μαραθὼν, ἔνθα ἐτελεῖτο τὰ Ἡράκλεια. ἦν δὲ τὸ ἆθλον, ἀργυρᾶ φιάλη· καὶ αἱ πόλεις αἱ καλλίπλουτοι, ἤγουν αἱ πλούτῳ κομῶσαι, αἱ ὑποκάτω τῆς Αἴτνης τῆς ὑψηλὴν ἐχούσης κορυφὴν, τουτέστιν αἱ Συράκουσαι, ἔνθα ἐτελεῖτο ἀγὼν Ἴσθμια καλούμενος. καὶ ἡ Εὔβοια μαρτυρήσει αὐτοῦ τὰ κατορθώματα καὶ κατὰ πᾶσαν τὴν Ἑλλάδα ἐρευνῶν, εὑρήσεις ἔργα αὐτῶν μείζονα, ἢ ὡς ἰδεῖν, ἀντὶ τοῦ νοῆσαι. Ἀλλὰ ὦ Ζεῦ, τέλει· ἤγουν ποίει ἐκνεῦσαί με ἤτοι ἐξελθεῖν ἀνύσαντα ἤδη τὸν ὕμνον ἐλαφροῖς ποσὶν, τουτέστιν, ἀνεπαχθῶς, ἐλαφρῶς, ὑπ' οὐδενὸς βαρούμενον. αἰδῶ διδοὺς, ἀντὶ τοῦ δύναμιν αἰδέσιμον, καὶ εὐτυχίαν ἡδεῖαν πραγμάτων γλυκεῖαν.

† MSS. ἀνερύῃ. * MSS. add. πολεμικῇ. ‡ Πληροῖ leg. MS. Bodl. † MSS. add. κάρτιρος. * MSS. add. οὐ ἔτι πῦρ. ‡ MSS. leg. περικειμένης. * MSS. πλείστας.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΟΥ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΥ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟ τεσσαρεσκαιδέκατον εἶδος μονοστροφικόν ἐστι κώλων, ιη'. καὶ ιζ'. Τὸ α', Σαπφικὸν ἐννεασύλλαβον. Τὸ β', φαλαίκιον. Τὸ γ', ἐκ χοριάμβου καὶ Ιωνικοῦ ἀπ' ἐλάσσονος τρίμετρον ἀκατάληκτον. Τὸ δ', φερεκράτειον ἀτελές. Τὸ ε', ἐπιωνικὸν ἀπ' ἐλάσσονος τρίμετρον ἀκατάληκτον. Τὸ ς', δακτυλικὴ διποδία ἑξασύλλαβον. Τὸ ζ', ἐκ παιώνων δύο, καὶ ἀντισπαστικοῦ πενθημιμερές. Τὸ η', τροχαϊκὸν ἐφθημιμερές. Τὸ θ', ἐκ δακτυλικῆς διποδίας καὶ τροχαϊκῆς καὶ ἰαμβικῆς βάσεως πενθημιμερές. Τὸ ι', ἐξ ἀντισπάστου παντασήμου, καὶ τροχαϊκῆς καταχλεῖδος. Τὸ ια', Ιωνικὸν ἀπὸ μείζονος ἐφθημιμερές. Τὸ ιβ', δακτυλικὸν πενθημιμερές. Τὸ ιγ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιδ', ἐξ Ιωνικῆς βάσεως ἀπ' ἐλάττονος καὶ τροχαίου, ἐφθημιμερές. Τὸ ιε', Ιωνικὸν ἀπ' ἐλάσσονος ἐφθημιμερές. Τὸ ις', ἐξ Ιωνικῆς βάσεως ἀπ' ἐλάσσονος καὶ ἰαμβικοῦ ἡμιολίου ἀτάκτου. Τὸ ιζ', ἐκ χοριαμβικοῦ καὶ ἰαμβικοῦ ἐφθημιμερές. Τὸ ιη', ἰαμβικὸν ἐφθημιμερές.

Τὰ δὲ λοιπὰ ἑπτακαίδεκα, οὕτως.

Τὸ α', φαλαίκειον. Τὸ β', ἐκ χοριάμβου καὶ ἰάμβου ἐφθημιμερές. Τὸ γ', ἀκμαιώνειον δεκασύλλαβον. Τὸ δ', ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ε', ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς βάσεως. Τὸ ς', χοριαμβικὸν ἐφθημιμερές. Τὸ ζ', ἐξ ἀντισπαστικῆς καὶ ἰαμβικῆς καταχλεῖδος. Τὸ η', ἐκ χοριαμβικοῦ εἰς ἀντισπαστικόν. Τὸ θ', ἐξ Ιωνικῆς βάσεως καὶ τοῦ πεντασήμου, καὶ χοριαμβικοῦ, καὶ Ιωνικοῦ ἀπὸ μείζονος. Τὸ ι', ἀσκληπιάδειον. Τὸ ια', δακτυλικὴ τετραποδία. Τὸ ιβ', δακτυλικὸν ἐφθημιμερές. Τὸ ιγ', ἐξ ἀντισπάστου καὶ ἰαμβικοῦ, ἐφθημιμερές. Τὸ ιδ', γλυκώνειον. Τὸ ιε', ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ις', ἐκ χοριαμβικοῦ καὶ ἰαμβικοῦ, ἐφθημιμερές. Τὸ ιζ', ἰαμβικὸν πενθημιμερές.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

Οὗτος ἐνίκησε τὴν ος'. Ολυμπιάδα σταδίῳ. Κηφισὸς δὲ ποταμὸς ἐν Ορχομενῷ. ἔνθα καὶ αἱ Χάριτες τιμῶνται. ταύτας γὰρ Ετέοκλος ὁ Κηφισοῦ τοῦ ποταμοῦ, πρῶτος ἔθυσεν, ὥς φησιν Ησίοδος. διὰ δὲ τοῦ Ορχομενοῦ ὁ Κηφισὸς ῥεῖ. δύο δὲ Ορχομενοί. ὁ μὲν Μινύειος ὁ ἐν Βοιωτίᾳ. ὁ δὲ Πολύμηλος, ὁ ἐν Αρκαδίᾳ. τοῦ δὲ Μινυείου νῦν μέμνηται.

στροφὴ α.

1. - - ∪ - ∪ ∪ - ∪ -
2. - - ∪ - ∪ ∪ - ∪ - ∪ -
3. - - ∪ ∪ - ∪ - ∪ - ∪ ∪ - -
4. ∪ ∪ ∪ - ∪ ∪ ∪
5. ∪ - ∪ - ∪ ∪ - ∪ - ∪ -
6. - ∪ - - ∪ ∪
7. - ∪ - - ∪ - ∪ - - ∪ ∪ -
8. - ∪ - - ∪ ∪ -
9. - ∪ ∪ - ∪ ∪ - ∪ - ∪ ∪
10. ∪ - - ∪ - ∪ ∪
11. - - ∪ ∪ - ∪ ∪
12. - ∪ ∪ - ∪ ∪ -
13. - ∪ - ∪ - ∪ - ∪
14. ∪ ∪ ∪ - - ∪ - ∪ -
15. - ∪ - - ∪ ∪ -
16. ∪ ∪ - ∪ ∪ ∪ - - ∪ ∪ -
17. - ∪ ∪ - ∪ - ∪ - -
18. ∪ - ∪ - ∪ - ∪

στροφὴ β.

1. - ∪ - ∪ ∪ - ∪ - ∪ - ∪
2. - ∪ ∪ - ∪ - ∪ - - - ∪
3. ∪ - ∪ - - ∪ ∪ - ∪ -
4. - ∪ - ∪ ∪ - ∪ - ∪
5. - ∪ ∪ - ∪ - ∪ -
6. - ∪ ∪ - ∪ - ∪ - -
7. - - ∪ ∪ - ∪ -
8. - ∪ ∪ - ∪ ∪ - ∪
9. ∪ ∪ - ∪ ∪ - ∪ ∪ - ∪ - ∪ ∪ - ∪
10. - ∪ - ∪ ∪ - - ∪ ∪ ∪ -
11. - ∪ ∪ - ∪ ∪ - ∪
12. - ∪ ∪ - ∪ - ∪
13. ∪ ∪ - ∪ ∪ - ∪ - ∪ ∪ - ∪
14. ∪ - - ∪ ∪ - ∪ -
15. - - ∪ ∪ - - - ∪ ∪ ∪
16. - ∪ ∪ - ∪ - ∪ - ∪ - ∪
17. ∪ - ∪ - -

ΑΣΩΠΙΧΩ ΟΡΧΟΜΕΝΙΩ *ΠΑΙΔΙ †ΣΤΑΔΙΕΙ.

ΕΙΔΟΣ ΙΔ΄.

ASOPICHO ORCHOMENIO PUERO STADII-CURSORI.

ODE XIV.

ARGUMENTUM.

Laudatur Asopichus Orchomenius Cleodami filius à victoria Olympica, & à patria. Interim quia Charites Orchomeni coluntur, ipsis hymnum hunc poëta commendat: easque suis à proprietatibus eleganter celebrat.

Εἶδος ‡ Μονοστροφικόν.

στροφὴ α΄. κώλων ιη΄.

Καφησίων ὑδάτων λαχοῖ-
σαι, αἵ τε ναίετε καλλίπωλον ἕ-
δραν, ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
Χάριτες Ὀρχομενοῦ,
Παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
Κλῦτ', ἐπεὶ εὔχομαι·
Σὺν γὰρ ὑμῖν τὰ τερπνὰ καὶ τὰ γλυκέα

Ode Monostrophica.

METAPH.

Cephisias aquas sorti-
tæ, quæq; colitis pulcris equis-claram se-
dem, O splendidæ celebres Reginæ
Gratiæ Orchomeni,
Antiquorum Minyarum præsides,
Audite, quoniam preces-fundo.
Per vos enim jucunda & dulcia

PARAPHRASIS.

O celebres Gratiæ Orchomeni Minyei fœcundi soli dominæ, quibus Cephisus fluvius per medium Orchomenum labens, in sortem obtigit: quæ apud gentem illam egregio equitatu valentem habitatis, & antiquorum Minyarum præsides & curatrices estis, quas fundo preces exaudite. Quicquid enim apud mortales jucundum existit & suave,

NOTÆ.

* MS. Bodl. & Editt. vulgatæ add. Κλεοδάμου, Dor. pro Κλεοδήμου, quod hab. MS. γ. Aretius deducit à Κλέος & Δῆμος, ut sit, Gloria populi. Cæterum ex nomine insigni vix quicquam constare potest, nisi pulchram fuisse illius originem memoriæ proditum sit. Nos Schmid. secuti, Παιδὶ, pro Puero accipimus. Vide Not. ad κῶλ. 32 hujus εἴδους. Idem vero sonat vox Παιδὶ in Inscript. Od. 11. Pyth. quod omnes agnoscunt. Addit etiam Schmid. inde colligi, personam Asopichi juvenis alias non multum materiæ laudis Poëtæ suppeditasse; quod generales potius & alienas laudes quam proprias tractarit Poëta. In hac enim Oda, non tam Asopichus quam Charites laudantur: & post Exordium prolixius, quæ ad finem annexa sunt, Poëticæ potius œconomiæ quam laudi Victoris inserviunt. † Σταδιεῖ interpretatur Schmid. in hoc loco, Victori cursu simplici, & Puerili; quod Od. præced. erat ei, Artifici insigni in decurrendo stadio; quod quidem virum doctum parum attente dixisse ibi monuimus. MS. Bodl. add. νικήσαντι οζ΄. Ὀλυμπιάδα, secus atque Schol. & Alii, qui commentarios ediderunt in Autorem nostrum, qui Asopichum hanc victoriam Olympiade 76 obtinuisse scribunt, Schol. forsan auctoritati innixi. ‡ Μονοστροφικὸν dicitur, non quod unicam στροφὴν habeat, ut scribit Lonicerus, sed solam sine ἀντιστροφῇ & ἐπῳδῷ. Schmid. Vocem vero στροφὴ addid. ex MSS. nostris. 1 Καφισίων, pro Κηφισίων quod etiam nonnulli Codd. habent, leg. Schmid. & MSS. nostra. Doricum tamen, quod leg. Editt. vulg. retinuimus. Dores enim mutant η in α, & ι in η. Editt. plurimæ & MS. γ. hab. λαχοῖσαι in hoc κώλῳ. Gl. γ. εἰς κληρονομίαν λαβοῦσαι. 2 Καλλίβωλον leg. MSS. Bodl. & γ. Meminit hujus lectionis & Schol. Νεωτ. qui exponit εὔγεον. Hac voce etiam utitur alter Schol. unde vix dubites quin καλλίβωλον legeret; nisi forte istum esse significatum vocis καλλίπωλον crederet. Eustath. sane ad Ιλ. Γ. idem docet καλλιβώλακα esse ac εὔπωλον & quid ni igitur καλλίπωλον; Εὔπωλος vero hoc sensu, non deducitur à πῶλος, Equus; sed πωλέω sonante, Verto, aro. Lexica autem docebunt, ἐρίβωλον, æque ac ἐριβώλακα inter composita τοῦ βῶλος inveniri: & pari modo καλλίβωλον, perinde atque καλλιβώλακα. Τοῦτο δὲ (subjicit autor laudatus) καὶ λιπαρὰν σημαίνει γῆν, καὶ εὔκαρπον ἀρότρῳ ἐν τῷ πωλεῖσθαι. Ἕδραν leg. Editt. vulg. & MS. Bodl. in hoc κώλῳ. 3 Λιπαρᾶς] i. e. Pinguis soli. Schmid. censet hoc epitheton Orchomeno attribui propter Divitias. 5 Παλαιγόνων] Idem ac παλαιγενέων. Pindar. Lexic. docet aliquos legere παλαιγόνων, & intell. Majores. Distinguit vero inter παλαίγονον, Passive acceptum pro eo, qui olim est genitus, seu antiquus; & παλαιγόνον, Active sumptum, pro eo, qui aliquem olim genuit, quiq; est de majorum numero. 7 Σὺν ὑμῖν] Schol. MS. τοῦ γ. Δι' ὑμῶν ἐστι αὐτοῖς τὰ περιτερπέστατα πάντα.

Καφησίων ὑδάτων λαχοῖσαι.] ἐπειδὴ χαριέντως ἀπέβη τῷ ἀγῶνος τὸ ἐπιχείρημα, προσφωνεῖ ταῖς Χάρισι τιμωμέναις κατὰ τὸ Βοιωτικὸν Ὀρχομενόν. αἷς λέγεται πρῶτος Ἐτέοκλος ὁ Κηφισοῦ παῖς τεθυκέναι. ὁ δὲ Κηφισὸς, τοῦ Ὀρχομενοῦ ποταμός. ὁ δὲ νοῦς, οὕτως. ὦ ἀοίδιμοι βασίλειαι Χάριτες, αἳ τὰ τοῦ Κηφισοῦ ὕδατα ἐκληρώσατε, καὶ κατοικεῖτε τὴν εὔγεον Ὀρχομενὸν, τυγχάνουσαι καὶ τοῦ τῶν Μινυῶν γένους ἐπίσκοποι, ἐπακούσατέ μου νῦν εὐχομένου. [Αἵ τε ναίετε] ἱππικοὶ λέγονται οἱ Ὀρχομένιοι. Ἐργῖνος γὰρ ἵππῳ νικήσας Θηβαίους φόρου ὑποτελεῖς εἶχεν, ἄχρις οὗ Ἡρακλῆς αὐτοὺς ἠλευθέρωσε.

[Παλαιγόνων Μινυᾶν.] τὸ τῶν Μινυῶν γένος, ἀρχαῖον ἀπὸ Μινύου τοῦ Θετταλοῦ. Μινύας δὲ, ἐκ Καλλιῤῥόης τῆς Ὠκεανοῦ καὶ Ποσειδῶνος. καὶ τοῦ γένους τῶν Ἀργοναυτῶν. πλησιόχωροι δὲ, καὶ γείτονες οὗτοι οἱ Μινύαι, Ὀρχομενίων. ὁ γὰρ Μινύας, πρῶτος ἦρξεν Ὀρχομενίων. [Σὺν γὰρ ὑμῖν τὰ τερπνά.] μεθ' ὑμῶν γὰρ, ὦ Χάριτες, τὰ ἐπιτερπῆ τε καὶ ἡδέα γίνεται καὶ συμβαίνει τοῖς ἀνδράσι. καὶ εἴτε σοφὸς ὡς Ὅμηρος, δι' ὑμᾶς. οἱ γὰρ ἐπιχαρεῖς δι' ὑμᾶς, πᾶσι μόνιμοι διὰ παντός. εἴτις ἀγλαὸς, ἢ ἀνδρεῖος. αἱ γὰρ τρεῖς ἀρεταὶ δι' ὑμᾶς, ἡ σοφία, τὸ κάλλος, καὶ ἡ ἀνδρεία.

Γίνεται πάντα βροτοῖς·	Eveniunt omnia hominibus:
Εἰ σοφὸς, εἰ καλὸς, εἴ τις ἀγλαὸς	Si sapiens, si pulcher, si quis splendidus
Ἀνήρ. Οὔτε γὰρ Θεοὶ	Vir *est*. Neque enim Dii
Σεμνᾶν Χαρίτων ἄτερ	Venerandis absque Gratiis
Κοιρανέοντι χορούς,	Regunt choros,
Οὔτε δαῖτας· ἀλλὰ πάντων	Neque convivia: sed omnium
Ταμίαι ἔργων ἐν οὐρανῷ,	Dispensatrices operum in cœlo,
Χρυσότοξον θέμεναι	Aureo-arcu-insignem habentes
Παρὰ Πύθιον Ἀπόλλωνα θρόνους,	Juxta Pythium Apollinem thronos,
Ἀέναον σέβοντι πατρὸς	Sempiternum colunt Patris
Ὀλυμπίοιο τιμάν.	Olympii honorem.
στροφὴ β'. κώλων ιζ'.	Metaph.
Πότνι' Ἀγλαΐα, φιλησίμολπέ	Colenda Aglaia, cantuumque-a-
Τ' Εὐφροσύνα, Θεῶν κρατίστου παῖδες,	mans Euphrosyna, Deorum summi filiæ,
Ἐπάκοοι νῦν· Θαλία τε ἐ-	Exauditrices nunc *estote*: Thaliaque can-
ρασίμολπε, ἰδοῖσα τόνδε	tuum-amans, conspicata hunc
Κῶμον ἐπ' εὐμενεῖ τύχᾳ	Chorealem-hymnum ob propitiam sortem
Κοῦφα βιβῶντα, Λυδῷ γὰρ	Leviter incedentem, Lydio enim
Ἀσώπιχον ἐν τρόπῳ,	Asopichum in modo,
Ἐν μελέταις τε ἀείδων,	Inque præmeditatis-carminibus celebrans,

Paraphrasis.

vestro sit beneficio: sive quis sapientia, sive quis forma, sive quis fortitudine claret. Quicquid pariter apud Immortales: adeo ut ipsi Dii choros sibi ab hominibus institutos, & quæ sibi ex sacrificiis celebrantur convivia, non sine Gratiis disposita regant: quæ etiam rerum omnium quæ in cœlo geruntur sunt dispensatrices: & suas sedes juxta Pythium Apollinem aureo arcu insignem posuerunt, sicuti ad dextram ejus in Delphico templo collocatæ pinguntur: ipsumque Jovem patrem honore perenni prosequuntur. O veneranda Aglaia, & carminis amans Euphrosyne, tu quoque studiosa cantus Thalia, filiæ Jovis Deorum potentissimi, exaudite me conversis benevolis oculis ad chorealem hunc hymnum, qui leviter in sublime fertur, contextus pro victoria quam prospera fortuna Asopicho impertivit. Nam quia Orchomenus ubi colimini, Minyorum urbs, vestro beneficio, victoria Olympica clarescit, Asopichum victorem ejus civem Lydia harmonia & carmine studiose composito celebraturus

Notæ.

9 C. 71. leg. ἤ τις ἀγλαὸς. 11 Editt. vulg. & MSS. nostra præter C. 71. leg. commune Χαρίτων. Horat. Od. 4. l. 1. *Junctæ Nymphis Gratiæ decentes, Alterno terram quatiunt pede--.* Quod vero ille de Nymphis, Pindarus de Diis ipsis cecinit. 13 Κοιρανέοντι] Gl. γ. Διακοσμοῦσι. Horat. loco laudato, *Jam Cytharea choros ducit Venus--* Κοίρανος λέγεται ὁ ἡγεμών· γίνεται ἀπὸ τοῦ καιροῦ, ὡσεὶ ὁ τοῦ καιροῦ κύριος. Κοιρανεῖν ἐστιν ἡγεμονεύειν, juxta Eustath. ad Vers. Hom. Ὡς ὅγε κοιρανέων δίεπε στρατὸν--. 14 Ταμίαι] Gl. γ. Κυβερνῆται. Idem quod Βασίλισσαι, quod hab. Gl. MS. β. 17 Αἴνναον leg. MSS. Bodl. β. γ. 21 Θαλία τε claud. κῶλ. in MS. Bodl. 24 MS. Bodl. transfert γὰρ in init. seq.

[Κοιρανέοντι χορούς·] ἤτοι ὑπὸ τὴν ἐξουσίαν ἔχοντι τοὺς χορούς. ἢ βασιλεύουσι τῶν χορῶν. ἵνα πτῶσις ἀντὶ πτώσεως· αἰτιατικὴ ἀντὶ γενικῆς. τὸ δὲ οὔτε δαῖτας, ἀντὶ τοῦ οὔτε τῶν εὐωχιῶν καὶ θυσιῶν. ἀλλὰ καὶ τῶν ἐν οὐρανῷ πάντων προεστᾶσι καὶ κρατοῦσιν αἱ Χάριτες. [Παρὰ Πύθιον Ἀπόλλωνα.] παρὰ τῷ Ἀπόλλωνί φησι καθέζεσθαι τὰς Χάριτας, διὰ τὴν εἰς αὐτὸν οἰκειότητα. ἐν γοῦν Δελφοῖς, ἐπὶ τῆς δεξιᾶς εἰσιν ἱδρυμέναι τοῦ Ἀπόλλωνος. ὁ δὲ νοῦς. πλησίον γὰρ τοῦ χρυσοτόξου Ἀπόλλωνος ἀποθέμεναι τοὺς ἑαυτῶν θρόνους, καὶ ἐγγὺς αὐτοῦ ἱδρυμέναι, ἀέναον καὶ ἄφθαρτον οὖσαν τὴν τοῦ πατρὸς αὐτῶν τιμὴν Διὸς, σέβουσιν· ἀέναον δὲ, κυρίως μὲν τὸ ἀεὶ ἐν τῷ ῥεῖν καὶ νάειν ὄν. νῦν δὲ τὸ αἰώνιον, ἢ, ἀντὶ τοῦ ἀνελλιπῶς καὶ αἰωνίως παρὰ τῷ πατρὶ Διῒ τιμῶνται τῷ ἐν οὐρανῷ ὄντι. [Πότνι' Ἀγλαΐα.] ἀπὸ τῆς περὶ αὐτῶν λόγου μετῆλθεν ἐπὶ τὴν πρὸς αὐτάς. ὁ δὲ λόγος. ὦ σεμνὴ καὶ τιμία Ἀγλαΐα, καὶ Εὐφροσύνη, ἡ τοῖς ὕμνοις χαίρουσα, τοῦ τῶν θεῶν κρατίστου παῖδες Διός. [Ἐπήκοοι νῦν.] λείπει γίνεσθε. τὰ δὲ ὀνόματα τῶν τριῶν καταλέγει Ἡσίοδος· Τρεῖς δὲ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρῄους, Ἀγλαΐην τε καὶ Εὐφροσύνην, Θαλίην τ' ἐρατεινήν. [Κρατίστου παῖδες.] οὐχ' ὅτι κρατίστους ἔχουσι παῖδας, ἀλλ' ὅτι αὐταὶ κράτισται παῖδές εἰσι. νέαι γὰρ, αἱ κράτισται τῶν παίδων τῶν θεῶν· ἢ τῶν κρατίστων θεῶν. [Ἐπάκοοι νῦν.] ἐπήκοοι νῦν γίνεσθε. [Ἐν μελέταις ἀείδων·] ἤτοι ἐπιμελείαις. ἔνθεν καὶ ἡ μέλισσα τὸ ζῶον ἐπιμελέστατον. ἦλθον οὖν φησιν ὑμνήσων τὸν Ἀσώπιχον ἐμμελῶς καὶ ἡδέως. ὁ δὲ Ἀρίσταρχος ἰδίως φησὶ προστάξας τὰ ὀνόματα τῶν Χαρίτων, ἑνικῶς ἐφώνησε. σὺ ἕκατι, ὦ Χάρι, προσφωνοῦσί τε οἱ

ποιηταὶ,

Μόλον· ἕνεκ' Ὀλυμπιόνικος ἁ Μινύεια
Σεῦ ἕκατι· μελαντειχέα δόμον
Φερσεφόνας ἴθι ἀχοῖ,
Πατρὶ κλυτὰν φέροισ' ἀγ-
γελίαν, Κλεόδαμον ὄφρ' ἰδοῖσ', υἱ-
ὸν εἴπῃς, ὅτι οἱ νέαν
Κόλποισι παρ' εὐδόξοιο Πίσας,
Ἐστεφάνωσε κυδίμων ἀέθλων
Πτεροῖσι χαίταν.

Veni: quoniam Olympica-victrix Minyea
Te propter, nigros-muros-habentem domum
Proserpinæ accede cum-resonantia,
Patri celebre afferens nun-
cium, Cleodamum ut conspicata, *de* fi-
lio dicas, quod sibi juvenilem,
Sinus apud illustris Pisæ,
Coronaverit inclytorum certaminum
Alis cæsariem.

PARAPHRASIS.

veni. Cæterum tu Echo ito ad inferos, tenebrosum Proserpinæ regnum, & patri Asopichi Cleodamo refer celebrem filii victoriam: & dic eum pro stadii cursu in illustri Olympia coronam oleaginam accepisse, quo inclytorum illorum certaminum præmio juveniles comas cinxit: sibique tanquam alas addidit, quibus in sublime attollatur, & per ora virorum volet.

NOTÆ.

27 MS. Bodl. leg. ἤμολον, ἕνεκ' Ὀλ--. Ed. Brub. leg. ἀμινύεια. 28 MSS. nostra, uti & Schol. leg. μελαντειχέα νῦν. 29 Περσεφόνας Schmid. Φερσεφόνας vero, est Dor. & Æol. pro Περσεφόνης. Ἴθι] Ἐλθὲ leg. Pal. C. & Ald. quod & Schol. Νεωτ. hab. Schol. scil. pro Textu. Gl. ϐ. γ. Πορεύου. Schol. & omnes, qui commentarios ediderunt in hunc Autorem præter Schmid. volunt Ἀχοῖ in Vocativo casu Dorice positum pro Ἠχοῖ· hic tamen censet, continuationem esse sermonis ad Thaliam, & hoc modo disponit, ὦ Θαλία μελαντειχέα δόμον Περσεφόνας ἴθι ἀχοῖ, πατρὶ φέροισ' ἀγγελίαν, adeo ut ἀχοῖ Appellative accipiat, pro ἠχοῖ, qui est casus sextus Doricus. 31 MSS. Bodl. ϐ. γ. leg. ὄφρ' ἴδοις i. e. Ut videas Editt. vulg. ὄφρ' ἰδοῖσ'. Pal. A. B. C. & Ald. ὄφρ' ἰδοῖσα. 32 Νέον leg. MS. Bodl. licet Gl. hab. νίαν. Hinc Schmid. colligit, quod Juvenis vicerit. 33 C. 71. leg. Πίσσας. 34 Quidam referunt ἐστεφάνωσε ad Charitum aliquam; non enim iis sensus expeditus visus est. 35 Πτεροῖσι leg. C. 71. Intell. etiam Gloriam Olympionicarum, & Laudes, quæ à Poëtis cane bantur: vel etiam referri potest ad Pind. hymnos, uti similes phrases alibi, qui instar alarum heroas in sublime ferunt. MS. Bodl. leg. χαίτα.

ποιηταὶ, τοὺς χοροὺς τοὺς ἐκ πλήθους συνεστῶτας, ἑνικῶς. βεβιασμένον ἐν νυνὶ συντάξαντα τὰ ὀνόματα, λέγειν, ἕκατι σου ἑνικῶς. ἢ ὅτι πρὸς αὐτὴν λέγει τὴν νικηφόρον. ὁ δὲ νοῦς. διότι τούτου δραμόντος, ἔδοξε πολίνικος ἀναγορευθῆναι ἡ τῶν Μινυῶν πόλις. τὸ δὲ σεῦ ἕνεκεν, ὡς πρὸς ἑκάστην ἰδίᾳ. καὶ τοῦτο μὲν, κοινὸν ὅλων. ἔνιοι δὲ τὸ σεῦ ἕκατι, ἀντὶ τοῦ σοῦ ἕνεκεν ὦ νικηφόρε. ἢ πρὸς μίαν τῶν Χαρίτων ἀπὸ τοῦ πλήθους μετέβη. [Μελαντειχέα νῦν δόμον Φερσεφόνας ἴθι Ἀχοῖ.] παραγενοῦ νῦν, φησὶν, εἰς τὸν σκοτεινὸν τῆς Περσεφόνης οἶκον, ὦ Φήμη καὶ Ἠχὼ διηγησομένη καὶ ἀγγελοῦσα τὴν καλλίστην ἀγγελίαν τῷ πατρὶ Ἀσωπίχου Κλεοδάμῳ περὶ τοῦ υἱοῦ αὐτοῦ. ὅτι ὁ υἱὸς αὐτοῦ ἐστεφάνωσε τὴν χαίτην. τουτέστιν, ἵν' εἴπῃς αὐτῷ, τὸν υἱὸν αὐτοῦ νενικηκέναι, καὶ νεώτερον ἐόντα ἐν τῇ ἐνδοξοτάτῃ Ὀλυμπίᾳ, ἐστέφθαι τοῖς τῆς ἀθλήσεως στέμμασι τὰς κόμας τὰς νεωτέρας αὐτοῦ. ἀπὸ μέρους δὲ, τὸ τῆς ἡλικίας νέον λέγει. [Πτεροῖσι χαίταν.] τοῦτο λέγει ἐπὶ εὐδαιμονίᾳ καὶ εὐμοιρίᾳ. Θάλεια δὲ ἡ Χάρις, παρὰ τὸ τεθηλέναι τὴν μνήμην τῶν εὖ πεπονθότων. τὸ δὲ ἰδοῦσα, κοινὸν ἐπὶ ὅλων. ἰδοῦσα, ὦ Σωφροσύνη. ἰδοῦσα ὦ Θάλεια. ἰδοῦσα ὦ Ἀγλαΐα. θεασάμεναι τοῦτον τὸν χορὸν σὺν εὐμενεῖ τύχῃ, εὐκόλως χορεύοντα. ἀπὸ κοινοῦ, ἐπήκοοι γίνεσθε. ἔνιοι δέ φασι, πρὸς τὴν τρίτην Θάλειαν τοῦτο λέγεσθαι. ὅτι δὲ τρεῖς εἰσὶ καὶ Ἡσίοδος ἐν Θεογονίᾳ λέγει.

Τέλος τοῦ τεσσαρεσκαιδεκάτου καὶ τελευταίου τῶν Ὀλυμπίων εἰδοῦς.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΩΝ

Εἰς τὸ τεσσαρεσκαιδέκατον καὶ τελευταῖον τῶν Ὀλυμπίων εἶδος.

Καφισίων ὑδάτων.] ὦ Χάριτες ἀοίδιμοι, ἤγουν, περιβόητοι, βασίλισσαι τῆς πλουσίας Ὀρχομενοῦ, ἔφοροι τῶν Μινυῶν τῶν ἀρχαίων τῶν γένεσιν. αἵτινες οἰκεῖτε ἕδραν· ἤτοι καθέδραν. τόπον καλλίπωλον. τουτέστιν ἵπποις κομῶντα, ἢ καλλίβωλον, ἤτοι εὔγεον τὸν τῶν Κηφισοῦ ποταμοῦ ὑδάτων τὸν κλῆρον εἰληχυῖαι. τοῦτο γὰρ δύναται τὸ λαχοῦσαι. κλῦτε, ἀντὶ τοῦ ἐπακούσατε ἐμοῦ δηλονότι, ἐπεὶ εὔχομαι ὑμῖν· ἤγουν, ἐπικαλοῦμαι ὑμᾶς. σὺν ὑμῖν γὰρ, ἀντὶ τοῦ, δι' ὑμῶν γίνεται τοῖς ἀνθρώποις πάντα τὰ τερπνὰ, καὶ τὰ γλυκέα. λέγω, εἴτις ἀνὴρ ἐστὶ σοφὸς, ἤγουν φρόνιμος, καὶ ψυχικὴν ἀρετὴν ἔχων, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τῆς φρονήσεως. εἴτις ἐστὶ καλὸς ἢ εὔμορφος, καὶ σωματικῇ ἀρετῇ χρῆται, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τοῦ κάλλους. εἴτις ἐστὶν ἀγλαὸς, τουτέστι λαμπρὸς, περιφανὴς τὰ ἐκτὸς, καὶ εὐδοξίαν ἔχων, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τῆς λαμπρότητος. καὶ γὰρ καὶ οἱ θεοὶ χωρὶς τῶν σεβασμίων Χαρίτων, οὔτε χοροὺς κοιρανοῦσιν, ἀντὶ τοῦ διατάζοντες διατάττουσιν. χοροὺς δὲ λέγει, οὓς οἱ ἄνθρωποι αὐτοῖς τελοῦσιν· οὔτε δαῖτας, ἤγουν ἑορτάς· θυσίας ἀνθρώπων· δηλονότι ἐπ' αὐτοὺς διατάζοντες, διατάττουσιν. [Ἀλλὰ πάντων ταμίαι ἔργων.] ἀλλὰ πάντων τῶν ἔργων ταμίαι· ἤγουν, διεξαγωγεῖς αἱ Χάριτες οὖσαι δηλονότι, τὴν ἀΐδιον τιμὴν τοῦ πατρὸς αὐτῶν τοῦ οὐρανίου· ἤγουν, τοῦ Διός. σέβουσιν, ἀντὶ τοῦ * δοξάζουσιν ἐν οὐρανῷ θέμεναι· ἤγουν, θεῖσαι τοὺς ἑαυτῶν θρόνους, πλησίον τοῦ Ἀπόλλωνος τοῦ χρυσοτόξου τοῦ ἐν τῷ Πυθῶνι τιμωμένου. ἐκεῖ γάρ φασιν, ἧσαν αὗται ἱδρυμέναι, ἐν τοῖς δεξιοῖς τοῦ Ἀπόλλωνος. Ταῦτά εἰσι

* MSS. leg. δοξάζοντα ἐν οὐρανῷ. punct. appon.

τῶν

τῶν τριῶν Χαρίτων τὰ ὀνόματα, Ἀγλαΐα, Εὐφροσύνη καὶ Θα-
λία. ποιεῖται δὲ πρῶτον τὸν λόγον, πρὸς τὰς δύο· ἔπειτα πρὸς
19 τὴν Θαλίαν. [Πότνι' Ἀγλαΐα,] ὦ σεβασμία Ἀγλαΐα. καὶ ὦ
Εὐφροσύνη ἡ φίλη τῶν μολπῶν· θυγατέρες τοῦ κρατίστου τῶν θεῶν·
ἤγουν, τοῦ Διός. ἐπήκοοι νῦν γένεσθε δηλονότι. καὶ ὦ Θαλία
ἐρασίμολπε· ἤγουν, ἡ τῶν μολπῶν ἐρῶσα· ἐπήκοος γενοῦ, ἰδοῦσα
τόνδε τὸν κῶμον, *ἀντὶ τοῦ ἐπήκοος γενομένη, ἐπίσκεψαι τοῦτον τὸν
σὺν ὕμνῳ χορὸν, τὸν μετεώρως στρεφόμενον, ἐπὶ μοίρᾳ εὐμενεῖ· ἤγουν,
ἀγαθῇ φρονήσει. τὸν Ἀσώπιχον γὰρ ἦλθον ἀείδων, ἀντὶ τοῦ ᾄσων,
24 ἤγουν ὑμνήσων. [Λυδίῳ γὰρ Ἀσώπιχον ἐν τρόπῳ,] τουτέστι, ῥυθμῷ
Λυδίῳ, καὶ ἐν μελέταις, ἀντὶ τοῦ συνθήκαις ἐπῶν, διότι Ὀλυμπι-
όνικος ἐγένετο δηλονότι, ἡ τῶν Μινυῶν πόλις· τουτέστιν ἡ Ὀρχομενὸς
ἡ πατρὶς τοῦ Ἀσωπίχου, σοῦ χάριν ὦ Θαλία. ἁ Μινύεια,
Ὀλυμπιόνικος γέγονε δηλονότι. δέον δὲ, καὶ ἡ Μινύεια εἰπεῖν,
28 ἀσυνδέτως εἶπε. [Μελαντειχέα νῦν δόμον ἐλθὲ Ἀχοῖ.] νῦν
ὦ Ἠχοῖ, τουτέστι φήμη, ἄπιθι εἰς τὴν καθέδραν τῆς Περσεφό-
νης τὴν μέλανα τείχη ἔχουσαν· ἤγουν, εἰς τὸν Ἅδην, φέρουσα
ἀγγελίαν περιᾳδομένην, τῷ τοῦ Ἀσωπίχου πατρὶ τῷ Κλεο-
δήμῳ ὅπως ἰδοῦσα τὸν Κλεόδημον εἴπῃς τὸν υἱὸν αὐτοῦ, ὅτι
ἐστεφάνωσε τὴν χαίτην, ἀντὶ τοῦ τὴν κόμην αὐτοῦ παρὰ ταῖς
κοιλάσι τῆς ἐνδόξου Πίσης, ἤγουν ἐν τῇ ἐνδόξῳ Ὀλυμπίᾳ. πτε-
ροῖς εὐδόξων ἀγώνων, ἀντὶ τοῦ στεφάνοις ἐπαίρουσι, καὶ οἱονεὶ πτεροῦσι, τοὺς στεφανουμένους. ἀπὸ τοῦ πράγματος δὲ ὀφείλων θεῖναι τὸ εἴπῃς· ἵν' ᾖ ὁ λόγος οὕτως, ὅπως ἰδοῦσα τὸν Κλεόδημον, εἴπῃς ὅτι ὁ υἱὸς αὐτοῦ τὴν νέαν κόμην αὐτοῦ ἐν τῇ Ὀλυμπίᾳ ἐστεφάνωσεν· ὁ δὲ, ἀπὸ τοῦ ὀνόματος αὐτὸ τίθησιν. εἶτα ἐπάγει τὸ πρᾶγμα, καὶ ποιεῖ τὸν λόγον ὅμοιον, τῷ· Εἰπέ μοι τὸν Πολύδωρον εἰ ζῇ. κατ' αἰτιατικὴν δὲ λέγεται ἐν τούτοις τοὔνομα. τὸ γὰρ λέγειν, αἰτιατικὴν ἀεὶ λαμβάνει, ὅτε πρὸς τὸ λεγόμενον ἀποτείνει. [Τὸ Κλεόδημον.] πρὸς τὸ ἰδοῦσα· τὸ δὲ υἱὸν, πρὸς τὸ εἴπῃς. ἵνα ἰδοῦσα Κλεόδημον εἴπῃς αὐτῷ, τὸν υἱὸν ὅτι ἐστεφάνωσεν ἑαυτοῦ ὁ Ἀσώπιχος τὴν νέαν αὐτοῦ χαίτην, ἤτοι τὴν κεφαλὴν, ἐν τοῖς κόλποις τῆς Πίσης· ἤγουν, ἐν τῇ Ὀλυμπίᾳ, ἐν τοῖς πτεροῖς τῶν κυδίμων ἀέθλων, τοῖς δίκην πτερῶν αἴρουσι τὸν νικήσαντα. τοιαύτη δὲ καὶ ἡ παρὰ Ἀριστοφάνει σύνταξις· Οἳ τὸν οὐρανὸν λέγοντες ἀναπείθουσιν, ὡς ἔστι πνιγεὺς, κἄστι περὶ ἡμᾶς. καὶ πάλιν· Ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης, ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὐτῆς πόδας. MSS. β. γ. add. Ἄλλοι δέ τινες οὕτω συντάσσουσιν. Ὅπως ἰδοῦσα αὐτὸν τὸν Κλεόδημον, εἴπῃς διὰ τὸν υἱὸν αὐτοῦ τὸν Ἀσώπιχον. ὅτι ἐστεφάνωσεν αὐτὸς τὴν αὐτοῦ χαίτην τὴν νέαν παρὰ τοῖς κόλποις τῆς ἐνδόξου Πίσης. Πτεροῖς· ἤτοι στεφάνοις ἐπαίρουσι τοὺς στεφανωμένους, οἷα πτεροῖς κυδίμων ἀέθλων.

* MSS. add. ἀντιστρόφως λάμβανε τὸ νῦν.

Τέλος τῶν εἰς τὰ Ὀλύμπια σχολίων.

ΥΠΟΘΕΣΙΣ ΠΥΘΙΩΝ.

Ὁ τῶν Πυθίων ἀγὼν, ἐτέθη μὲν πρότερος τῶν Ἰσθμίων πολλοῖς ἔτεσιν. ἡ δὲ αἰτία, τοιαύτη μυθολογεῖται περὶ αὐτῶν. Λητὼ γὰρ ἡ Κοίου τοῦ Οὐρανοῦ καὶ Γῆς, καὶ Φοίβης τῆς Κρόνου, ᾗ ὁ Ζεὺς ἐμίγη ὄρτυγι εἰκασθεὶς, ἔγκυος γενομένη, ὤδινεν ἐπὶ τοῦ Ζωστῆρος τῆς Ἀττικῆς· τίκτει τε Ἄρτεμιν, καὶ Φοῖβον, ἐν Δήλῳ, τῇ πρότερον Ὀρτυγίᾳ καλουμένῃ. ἡ μὲν οὖν Ἄρτεμις αὐξηθεῖσα, ἦλθεν εἰς Κρήτην, καὶ τὸ Δικτυώιον ὄρος κατέσχεν. Ἀπόλλων δὲ, ἐν Λυκίᾳ. τῇ δὲ μητρὶ, τὴν Δῆλον ἀπένειμεν. ἔρχεται τοίνυν εἰς Δελφοὺς ὁ Ἀπόλλων, Πυθῶνι τὰς βοῦς νέμων. Ἑρμῆς δὲ χέλυν εὑρὼν τετράχορδον, λίνα ἀντὶ χορδῶν ἐνημμένην, ἐπειδὴ οὔπω ἡ τῶν νεύρων χρῆσις εὕρητο, καὶ ἄλλως τὰς τοῦ Ἀπόλλωνος βοῦς κλέπτων, ἀντὶ τῆς κλοπῆς, τὴν χέλυν δίδωσι τῷ Ἀπόλλωνι, λαβὼν παρ' αὐτοῦ τὸ κηρύκειον. ἑπτάφθογγον δὲ αὐτὴν ἐποίησεν, ἁρμοσάμενος πρὸς τὰς τοῦ Πανὸς σύριγγας. οὐ τοῦ Ἑρμοῦ καὶ Πηνελόπης, ἀλλὰ τοῦ Διὸς καὶ Θύμβρεως. ἢ τάχα ἑπτὰ φθόγγοις αὐτὴν ἐκέρασε, διὰ τὸ αὐτὸν ἑπταμηνιαῖον γεγενῆσθαι. δοκεῖ δὲ οὗτος τὰ λίνα ἐξελὼν, τοῖς νεύροις ἐντεῖναι τὴν λύραν. ὅθεν καὶ λέγεται λίνον εὑρηκέναι. ἔμαθε δὲ καὶ τὴν μαντικὴν τέχνην ὑπὸ τοῦ Πανός. οὗτος γὰρ τοῖς Ἀρκάσι θεμιστεύει πᾶσιν ἐπιμελῶς. εἶτα ἔρχεται ἐπὶ τὸ μαντεῖον, ἐν ᾧ πρώτη Νὺξ ἐχρησμῴδησεν, εἶτα, Θέμις. Πύθων δὲ τότε κυριεύσαντος τοῦ προφητικοῦ τρίποδος, ἐν ᾧ πρῶτος Διόνυσος ἐθεμίστευσε, καὶ ἀποκτείνας τὸν ὄφιν τὸν Πύθωνα, ἀγωνίζεται τὸν Πυθικὸν ἀγῶνα κατὰ ἑβδόμην ἡμέραν. πρῶτον μὲν, ὅτι ἀπεπειράθη τῆς κατὰ τὸ θεῖον μάχης. ἴαμβον δὲ, διὰ τὴν λοιδορίαν τὴν γενομένην αὐτῷ περὶ τῆς μάχης. λέγεται γὰρ ἰαμβίζειν, τὸ λοιδορεῖν. δάκτυλον δὲ, ἀπὸ Διονύσου, ὅτι πρῶτος οὗτος δοκεῖ μετὰ τοῦ τρίποδος θεμιστεῦσαι. Κρητικὸν δὲ, ἀπὸ Διός. μητρῷον δὲ, ὅτι Γῆς ἐστι τὸ μαντεῖον. σύριγμα δὲ, διὰ τὸν τοῦ ὄφεως συριγμόν. οὕτω μὲν οὖν κατέστη πρῶτον ὁ τῶν Πυθίων ἀγών. μετὰ δὲ ταῦτα, Κίρρης κτισθείσης ἐπὶ τὸ στενὸν τῆς εἰς Δελφοὺς ἀγούσης ὁδοῦ, καὶ πολλὰ τῶν Κιρραίων ἐργαζομένων ἐπὶ τοὺς Ἕλληνας, καὶ ἀποσυλώντων τοὺς ἐπὶ τὸ χρηστήριον βαδίζοντας, οἱ Ἀμφικτύονες ἐλθόντες εἰς τὴν Κίρραν μετὰ τῶν ἄλλων συμμάχων, καὶ κύριοι αὐτῆς γενόμενοι, διέθηκαν ἕτερον ἀγῶνα, ἐν ᾧ καὶ αὐληταὶ ἠγωνίσαντο. οἱ δὲ τὸν γυμνικὸν ἀγῶνα νικήσαντες, εἰσὶν οὗτοι· ὅτε Ἀπόλλων ἔθηκε Πύθια, ἐν τῷ τοῦ Πύθωνος ἀγῶνι. Κάστωρ, στάδιον· πὺξ, Πολυδεύκης· δόλιχον, Κάλαϊς. ὁπλίτην, Ζήτης. δίσκον, Πηλεύς. πάλην, Τελαμών. παγκράτιον, Ἡρακλῆς. οὓς τῷ φυτῷ τῆς δάφνης ἐστεφάνωσεν.

ΑΛΛΩΣ ΥΠΟΘΕΣΙΣ ΤΩΝ ΑΥΤΩΝ.

Εὐρύλοχος ὁ Θεσσαλὸς, καταπολεμήσας Κιρραίους, ἀνεκτήσατο τὸν ἀγῶνα τοῦ θεοῦ· οἱ δὲ Κιρραῖοι, λῃστρικῇ ἐφόδῳ χρώμενοι, ἐφόνευον τοὺς παραβάλλοντας εἰς τὰ τοῦ θεοῦ ἄλση. περιεγένετο δὲ αὐτῶν, ἐπὶ ἄρχοντος Ἀθήνησι μὲν, Σιμωνίδου, Δήλῳ δὲ, Γυλίδα. οἱ μὲν οὖν Κιρραῖοι, εἰς τὴν παρακειμένην τῷ Παρνασσῷ Κίρφιν, ὄρος οὕτω καλούμενον, ἀπέφυγον, ὅσοι δὴ καὶ περιλειφθέντες ἐτύγχανον. καταλιπὼν δὲ ὁ Εὐρύλοχος ἐνίους τῶν Θεσσαλῶν, μετὰ Ἱππίου τοῦ στρατηγοῦ, ὥστε τοὺς ὑπολοίπους χειρώσασθαι, ᾤχετο ἀνακτησόμενος τὸν ἀγῶνα. καὶ δὴ, τοῦτον χρηματίτην μόνον ἔθετο. μετὰ δὲ χρόνον ἑξαετῆ καταγωνισαμένων τῶν λοιπῶν τοὺς ὑπολελειμμένους τῶν Κιρραίων, ἐπὶ μὲν Ἀθήνησιν ἄρχοντος Δαμασίου, ἐν δὲ Δήλῳ, Διοδώρου, ὕστερον καὶ στεφανίτην ἔθεντο κατορθώσαντες. τὸν δὲ Εὐρύλοχον νέον ἐκάλουν Ἀχιλλέα· ὡς Εὐφορίων ἱστορεῖ· Ὁπλοτέρου τ' Ἀχιλῆος ἀκουόμενοι Εὐρυλόχοιο, Δελφίδες ᾧ ὕπο, καλὸν Ἰήϊον ἀνεβόησαν. μόνων δὲ κιθαρῳδῶν ἀγωνιζομένων τὸ παλαιὸν, ἐποίησεν ὁ Εὐρύλοχος καὶ τὰ ἕτερα ὑπάρχειν ἀγωνίσματα.

ΑΛΛΩΣ.

Τὰ Πύθια ἐτέθη ὡς μέν τινες ἐπὶ τῷ δράκοντι, ὃν φύλακα ὄντα τοῦ ἐν Δελφοῖς μαντείου, ὁ Ἀπόλλων ἔκτεινεν, ἐκλήθη δὲ ὁ ἀγὼν ἀπὸ τοῦ τόπου. τῷ δὲ τόπῳ ἦν τὸ ὄνομα Πυθώ· ἤτοι ἀπὸ τοῦ τοὺς φοιτῶντας ἐπὶ τὸ μαντεῖον τοῦ θεοῦ πυνθάνεσθαι, ἢ διὰ τὸ σαπῆναι τὸ θηρίον αὐτόθι ἀναιρεθέν. πύθεσθαι γάρ ἐστι τὸ σήπεσθαι ὡς παρ' Ὁμήρῳ· Λευκ' ὀστέα πύθεται ὄμβρῳ. καθαρθεὶς δὲ ὁ Ἀπόλλων τὸν τῆς δρακοντοκτονίας φόνον ἐν Κρήτῃ παρὰ Χρυσοθέμιδι, ἐκεῖθεν ἦλθεν εἰς τὰ Θεσσαλικὰ Τέμπη, ἔνθεν μετεκομίσατο τὴν Δάφνην. μέχρι δὲ πολλοῦ, ἡ εἰς τοὺς τῶν νικώντων στεφάνους χωροῦσα Δάφνη, ἐντεῦθεν ἐκομίζετο ὑπὸ παιδὸς Ἀμφιθαλλοῦς. ἐτελεῖτο δὲ ὁ ἀγὼν κατ' ἀρχὰς μὲν, διὰ ἐνναετηρίδος. μετέστη δὲ εἰς πενταετηρίδα, διὰ τὸ τὰς Παρνασίδας νύμφας Ἀπόλλωνι κτείναντι τὸ θηρίον, τὰς ἐν ταῖς χερσὶν ὀπώρας προσενεγκεῖν δῶρα. ἔκτισαν δὲ τὸν ἀγῶνα οἱ Ἀμφικτύονες, Εὐρυλόχου τοῦ Θεσσαλοῦ θέντος αὐτόν.

ΑΛΛΩΣ.

Τὸν Πυθικὸν ἀγῶνα διέθηκεν Εὐρύλοχος ὁ Θεσσαλὸς, σὺν τοῖς Ἀμφικτύοσι τοὺς Κιρραίους καταπολεμήσας, ὠμούς τινας ὄντας καὶ βιαζομένους τοὺς περιοίκους, ἐπὶ ἄρχοντος Δελφοῖς μὲν Γυλίδα, Ἀθήνησι δὲ Σίμωνος. καὶ νικήσας, ἔθετο χρηματικὸν ἀγῶνα. χρήμασι γὰρ μόνοις τοὺς νικήσαντας ἐτίμων, οὔπω στεφάνου ὄντος. ἔθετο δὲ ἀγῶνα κιθαρῳδικὸν, ὥσπερ καὶ πρότερον. προσέθηκε δὲ αὐλητὴν καὶ αὐλῳδόν. καὶ τοῦ τῶν Ἀμφικτυόνων στρατεύματος ἀναχωρήσαντος, ὀλίγοι περιελείφθησαν, ὥστε τὴν Κίρφιν διαπορθῆσαι. ἡγεῖτο δὲ τῶν παραλειφθέντων, Ἱππίας ὁ Θεσσαλός. καὶ ἔτει ἕκτῳ μετὰ τὴν τῆς Κίρρας ἅλωσιν, ἀνεκήρυξαν τῷ θεῷ τὸν στεφανίτην, ἐπὶ Διοδώρου μὲν ἄρχοντος Δελφοῖς, Ἀθήνησι δὲ, Δαμάσιδος. ἀντίκειται δὲ ἐκ μεσημβρίας τῷ ὄρει τοῦ Παρνασσοῦ, Κιρραῖον πεδίον καὶ ὄρος, ὃ Κίρφιν καλοῦσιν. ἐν ᾧ, μέσος ὁ Πλεῖστος ὀνομαζόμενος φέρεται ποταμός. καὶ ὅτι Εὐρύλοχος ὁ Θεσσαλὸς τοὺς Κιρραίους ἐπόρθησε, μαρτυρεῖ καὶ Εὐφορίων· Ὁπλοτέρου τ' Ἀχιλῆος ἀκουόμενοι Εὐρυλόχοιο, Δελφίδες ᾧ ὕπο, καλὸν Ἰήϊον ἀνεβόησαν· Περθήσαντι λυκάρεος οἰκία Φοίβου.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΩΝ ΠΥΘΙΩΝ ΕΙΔΟΥΣ.

Η Στροφὴ, καὶ ἀντίστροφος, κώλων. ιβ΄. Τὸ πρῶτον, σύγκειται ἐκ διμέτρου τροχαϊκοῦ ἀκαταλήκτου. Τὸ δεύτερον, πενθημιμερὲς ὑπερκατάληκτον, ὅμοιον τῷ· Μῆνιν ἄειδε θεά. Τὸ τρίτον, ἑνδεκασύλλαβον Σαπφικόν. ᾧ τὸ πρῶτον ὅλον ἐκ Σαπφοῦς γέγραπται. ἔστι δὲ, δίμετρον τροχαϊκὸν ἀκατάληκτον, καὶ χοριαμβικόν. Τὸ τέταρτον, Πινδαρικὸν ἐκ Σαπφικοῦ. σύγκειται δὲ, ἐκ τροχαϊκῆς συζυγίας, καὶ χοριαμβικῆς, καὶ Ιωνικῆς ἀπ᾽ ἐλάσσονος, καὶ συλλαβῆς. Τὸ πέμπτον, ἀντισπαστικὸν, ὑπερκατάληκτον, τοῦ πρώτου ποδὸς τῆς πρώτης συζυγίας διαφερούσης. Τὸ ἕκτον, σύνθετον ἐκ τοῦ λεγομένου προσοδιακοῦ, καὶ ἰαμβικῆς συζυγίας. Τὸ ἕβδομον, Πινδαρικὸν, ἐκ Σαπφικοῦ διαφέροντος τοῦ τετάρτου, ὅτι ἐκεῖνο μὲν ὑπερκατάληκτον· τοῦτο δὲ, καταληκτικόν. Τὸ ὄγδοον, τροχαϊκὸν δίμετρον καταληκτικόν. Τὸ ἔννατον, πενθημιμερὲς δακτυλικὸν, ὅμοιον τῷ· Μῆνιν ἄειδε θεά. τὸ δέκατον, ὅμοιον τῷ ἑβδόμῳ. τὸ ἑνδέκατον, προσοδιακὸν, ἔχον τὴν ἰαμβικὴν συζυγίαν. Τὸ δωδέκατον, τροχαϊκὴ διποδία. ὅ ἐστι μονόμετρον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η δὲ ἐπῳδὸς, κώλων πεντεκαίδεκα. Τὸ πρῶτον, δακτυλικὸν δίμετρον καταληκτικόν. Τὸ δεύτερον, τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐελπίδειον. Τὸ τρίτον, προσοδιακὸν δίμετρον ἀκατάληκτον, τῆς τελευταίας ἀδιαφόρου οὔσης. Τὸ τέταρτον, κατὰ τὸ Πινδαρικὸν ἐκ Σαπφικοῦ, διαφέρον τοῦ τετάρτου ὅτι ἐκεῖνο μὲν ὑπερκατάληκτον, τοῦτο δὲ καταληκτικόν., ὅμοιον τῷ ἑβδόμῳ, καὶ τῷ δεκάτῳ τῆς στροφῆς. Τὸ πέμπτον, δίμετρον τροχαϊκὸν, ἀκατάληκτον. ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ ἕκτον, δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ἕβδομον, προσοδιακὸν, ὅμοιον τῷ ἕκτῳ τῆς στροφῆς. Τὸ ὄγδοον, ὅμοιον τῷ τρίτῳ τῆς στροφῆς. Τὸ ἔνατον, δίμετρον Ιωνικὸν ἀπ᾽ ἐλάσσονος καταληκτικόν. Τὸ δέκατον ὅμοιον, ἐκείνου ὑπερκαταλήκτου ὄντος. Τὸ ἑνδέκατον, δίμετρον τροχαϊκὸν ἀκατάληκτον, ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ δωδέκατον, ὁμοίως. Τὸ τρισκαιδέκατον, πενθημιμερὲς δακτυλικὸν, ὅμοιον τῷ· Μῆνιν ἄειδε θεά. Τὸ τεσσαρεσκαιδέκατον, προσοδιακόν· ὃ σύγκειται ἐξ Ιωνικῆς ἀπ᾽ ἐλάσσονος, καὶ χοριαμβικῆς συζυγίας. Τὸ δέκατον πέμπτον, δίμετρον τροχαϊκὸν ἀκατάληκτον, ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς.

Metrica vero ratio ita habet:

στροφὴ & ἀντιστροφή.

1.	- ᴗ - -	- ᴗ - -		
2.	- ᴗ ᴗ	- ᴗ ᴗ	-	
3.	- ᴗ - -	- ᴗ ᴗ -		
4.	- ᴗ - -	- ᴗ ᴗ -	ᴗ ᴗ - -	-
5.	- - - ᴗ	- - - ᴗ	-	
6.	- - ᴗ ᴗ	- ᴗ ᴗ -	- - ᴗ ᴗ	
7.	- ᴗ - -	- ᴗ ᴗ -	ᴗ ᴗ -	
8.	- ᴗ - -	- ᴗ - -	- ᴗ -	
9.	- ᴗ ᴗ	- ᴗ ᴗ	-	
10.	- ᴗ - -	- ᴗ ᴗ -	ᴗ ᴗ -	
11.	- - ᴗ ᴗ	- ᴗ ᴗ -		
12.	- ᴗ - ᴗ			

ἐπῳδός.

1.	- ᴗ ᴗ	- ᴗ ᴗ	- ᴗ
2.	- ᴗ - -	- ᴗ -	
3.	- ᴗ ᴗ	- ᴗ ᴗ	- ᴗ
4.	- ᴗ - -	- ᴗ ᴗ -	ᴗ ᴗ -
5.	- ᴗ - -	- ᴗ - -	
6.	- ᴗ - ᴗ	ᴗ ᴗ -	
7.	- - ᴗ ᴗ	- ᴗ ᴗ -	- - ᴗ ᴗ
8.	- ᴗ - -	- ᴗ ᴗ -	
9.	ᴗ ᴗ - -	- ᴗ ᴗ	
10.	- ᴗ - -	- ᴗ ᴗ -	ᴗ ᴗ - -
11.	- ᴗ ᴗ -	- - ᴗ ᴗ	-
12.	- ᴗ - -	- ᴗ - -	
13.	- ᴗ ᴗ	- ᴗ ᴗ	-
14.	ᴗ ᴗ - -	- ᴗ ᴗ -	
15.	ᴗ ᴗ ᴗ -	- - ᴗ -	-

ΠΙΝΔΑΡΟΥ
ΠΥΘΙΑ.

ΙΕΡΩΝΙ ΑΙΤΝΑΙΩ	HIERONI ÆTNÆO
ΣΥΡΑΚΟΥΣΙΩ, ΑΡΜΑΤΙ.	SYRACUSIO, CURRU.
ΕΙΔΟΣ Α΄.	ODE I.

ARGUMENTUM.

Hiero Syracusanus tyrannus, in quem est & primum Olympiorum encomium, primo hoc Pythiorum carmine commendatur à victoria, liberis, patria, vita honesta, aliisque virtutibus. Præter quas Hieronis laudes, citharæ Musicesque commendationem addit: & pro suo more fabulas, historias, sententias per digressionem interserit.

στροφὴ α΄. κώλων ιϛ΄.

Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων
Σύνδικον Μοισᾶν κτέανον.

METAPHRASIS.

O Aurea cithara, Apollinis, & violaceos-crines-habentium
Conveniens Musarum possessio.

PARAPHRASIS.

O *eximia cithara, quam jure inventionis Apollo, & jure communicationis Musæ possident, ut ea comite & adjutrice suos cantus edant:*

NOTÆ.

* Schol. hoc loco refert, Gelonis, Fratris Hieronis, mortem incidisse in Olympiad. 85. Recte vero observat Benedict. Hieronem ipsum mortuum fuisse ante hoc tempus. Hiero vero Geloni in regno successit. Ipse tamen Benedict. hic & in Commentario ad Olymp. 1. hallucinatus est, dum obiisse utrobique asserat Olympiade 77. cum tamen Schol. literæ ad exprim. numerum sunt πε΄. 1 Χρυσέα] Citharam forte vocat Auream, quia Apollinis erat, cui Χρυσοκόμας & similia ab Auro petita nomina à Pindaro attribuuntur, quiq; apud Poëtas Latinos *Aureus* dicitur, 2 Editt. plurimæ hab. comma post Ἀπόλλωνος, quia forsan Citharam proprie esse Apollinis credebant Editores; vel etiam ob causam, quam in Nota ad superius κῶλ. attigimus. Nos tamen Schmid. & Cratandr. Editt. secuti, punctum post φόρμιγξ posuimus. Ἰοπλοκάμων] Compositum ex ἴον Viola, & πλόκαμος Capilli nexi & crispi, παρὰ τὸ πλοκὴν, quæ vox iterum à πλέκω derivatur. Hoc vero epitheton duo pulchritudinis indicia nobis exhibet. Color enim violaceus olim in pretio habitus fuit. Hic autem color non solum erat Purpureus, & κιῤῥὸς, ut ait Eustath. i.e. Fulvus & flavescens, sed & Albus. Sunt enim λευκόϊα, Violæ sc. albæ. Attamen quia Virgilio Eclog. 3. *Hyacinthus* est *suave-rubens*, & alias *Ferrugineus*, in quo colore designando Theocrit. secutus est, nos non nisi istum colorem intelligimus hoc loco. Sed & Forma ornatior est, quando cincinni & crispati crines effinguntur. 3 Σύνδικον] Σύνδικοι proprie dicuntur plures patroni, qui eandem causam defendunt. Inde vox transfertur ad signif. Comites, & Adjutrices. Cur vero Cithara Musarum Comes & Adjutrix appellatur? Quia Lyricorum carmina à Musis dictata ad Citharam canebantur ita, ut Cithara Musas & Poëtas & Cantores quodammodo comitaretur, & in sonis & cantibus edendis adjuvaret. Pind. Lex. Tumulus Jolaï alias dicitur testis σύνδικος Ἐφαρμόστῳ, sc. Poëta ibi Tumulum, prope quem certabant, eum victorem fuisse, testatus est; testisque illius præsentis auctoritate confirmavit. Et hic videtur Apollinem & Musas eodem jure Citharam possidentes inducere.

Ἐξήγησις παλαιὰ πάνυ ὠφέλιμος.

Πινδάρου Πύθια.] Πύθια μὲν οὖν ἐκλήθη ὁ ἀγών, ἀπὸ τοῦ τόπου. τῷ δὲ τόπῳ ἦν τὸ ὄνομα Πυθώ, ἤτοι παρὰ τὸ πυνθάνεσθαι τοὺς ἀφικνουμένους, ἢ παρὰ τὸ σήπεσθαι τὸν Πύθωνα ἐν αὐτῇ. ἐκαλεῖτο δὲ πρότερον, Νάπη· εἶτα Πετρήεσσα· εἶτα Κείασα· εἶτα Πυθώ. [Ἱέρωνι Αἰτναίῳ.] Γέγραπται μὲν ὁ ἐπινίκιος, Ἱέρωνι. λέγεται δὲ ὁ Πίνδαρος οὕτως ἐπιβεβλῆσθαι κατὰ Ἀρτέμονα τὸν ἱστορικόν, ὅτι δὴ αὐτῷ ὁ Ἱέρων, χρυσῆν ὑπέσχετο κιθάραν. τὰ δὲ τοιαῦτα περιεργείας πεπλήρωται. οἰκειότατα γὰρ Πυθίου ὄντος τοῦ ἀγῶνος, τὸν θεὸν προστάτην ὄντα ἀνυμνεῖ. [Συρακοσίῳ.] ὁ δὲ Ἱέρων, ἄνωθεν Συρακούσιος ἐστί. τὴν δὲ Κατάνην ἀνακτίσας, ὁμωνύμως τῷ παρακειμένῳ ὄρει, Αἴτναν προσηγόρευσε, καὶ Αἰτναῖον ἑαυτὸν, κατὰ τοὺς ἀγῶνας νικῶν, ἀνεκήρυξεν. [Ἅρματι.] ἐνίκησε δὲ ὁ Ἱέρων τὴν μὲν εἰκοστὴν ἕκτην Πυθιάδα καὶ τὴν ἑξῆς, κέλητι. τὴν δὲ εἰκοστὴν ἐννάτην, ἅρματι, εἰς ἣν ὁ ὑποκείμενος ἐπινίκιος τέτακται. Ἔσχε δὲ ὁ Ἱέρων τὴν τῶν Συρακουσίων ἀρχὴν, μετὰ τὴν τοῦ Γέλωνος τοῦ ἀδελφοῦ τελευτὴν * τῇ ὀγδοηκοστῇ πέμπτῃ Ὀλυμπιάδι. Στέφονται δὲ δάφνῃ οἱ νικῶντες. [Χρυσέα φόρμιγξ.] τινὲς χρυσῆν ὑποσχέσθαι φασὶ κιθάραν τὸν Ἱέρωνα τῷ Πινδάρῳ. διὸ καὶ ὁ ποιητὴς ὑπομιμνήσκων αὐτὸν τῆς ἐπαγγελίας, ἀπὸ τῆς κιθάρας ἤρξατο τοῦ προοιμίου. ἡ χρυσέα φόρμιγξ, ἀντὶ τοῦ τιμία κιθάρα, ὡς· Χρυσῆ Ἀφροδίτη. [Ἀπόλλωνος.] οὐ μάτην αὐτῷ παρέζευκται, τὸ Ἀπόλλωνος κτῆμα εἶναι τὴν κιθάραν, ἀντὶ γὰρ τῆς τῶν βοῶν κλοπῆς, παρ' Ἑρμοῦ πρῶτος ἐκτήσατο τὸ ὄργανον. ἢ Ἀπόλλωνος, διὰ τὸ τὸν Ἀπόλλωνα προκατάρχειν τοῦ χοροῦ τῶν Μουσῶν. [Σύνδικον.] συνῳδὸν, οἱονεὶ, οὐκ ἐναντίον. ὁ δὲ Ἀπολλώνιος, σύντροπον ἤκουσε τὸ σύνδικον. δίκη γὰρ ὁ τρόπος. ὡς καὶ Ὅμηρος· Αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν. ὁ δὲ νοῦς, ὦ χρυσῆ κιθάρα, καὶ τοῦ Ἀπόλλωνος κτῆμα καὶ τῶν μελανοπλοκάμων Μουσῶν σύνδικον· ἤγουν, συνῳδὸν καὶ σύντροπον. παρ' ὅσον ὁ μὲν Ἀπόλλων τῇ κιθάρᾳ, τῶν ᾠδῶν προκαθηγεῖται τῶν Μουσῶν. αὗται δὲ χορεύουσι.

[Τὰς,

Τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά·
Πείθονται δ' ἀοιδοὶ σάμασιν,
Ἁγησιχόρων ὁπόταν τὰν φροιμίων
Ἀμβολὰς τεύχῃς ἐλελιζομένα·
Καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
Ἀενάου πυρός. Εὕ-
δει ἀνὰ σκάπτῳ Διὸς αἰετός, ὠ-
κεῖαν πτέρυγ' ἀμφοτέρω-
θεν χαλάξαις,

ἀντιστροφὴ α'. κώλων ιϛ'.

Ἀρχὸς οἰωνῶν· κελαινῶ-
πιν δ' ἐπί οἱ νεφέλαν

Quam audit quidem gressus, lætitiæ initium:
Obtemperant vero & concentores signis,
Choros-ducentium quando hymnorum
Præludia facias leniter-percussa:
Et cuspidatum fulmen extinguis
Perpetui ignis. Dor-
mit vero super sceptro Jovis Aquila, ve-
locem alam utrin-
que demittens,

Metaph.

Rex avium: obscu-
ram vero ei nebulam super

Paraphrasis.

cui tripudiantis chori gressus gestusque obsequitur, inde lætitiæ suæ ducens initium: cujus monitis excitati cantores obsecundant, quum prætentatis pollice fidibus hymnorum choros ducentium proludia moliris: quæ trisulci fulminis inextinctum ignem, Jovis iram placans extinguis, & Jovis avi, aquilæ oscinum principi, sub ejus sceptro somnum concilias, quo fit ut remissis & laxatis utrinque velocibus alis dormiat, quum nubem obscuram soporis,

Notæ.

4 Τᾶς ἀκούει βάσις] Cui obediunt pedes saltantium, & motum ad Citharæ numeros accommodant. Schmid. aliique. Bene monet Aretius, quod βάσις non possit esse ῥυθμὸς aut κροῦσις, quia sic esset βάσις Citharæ; alterius autem est βάσις, quæ sequitur Citharam. Ἀγλαΐας ἀρχά] Ἀρχὴν referendum esse ad βάσιν autumat Schmid. & non opus esse copula, quam interseruit Lonicer. Ἀγλαΐα est convivium splendidum & lætitia & hilaritate plenum, Celebritas hominum. Juxta Schmid. ἀρχὴ est apex seu maxima pars; ut hic locus similis sit isti Homer. Odyss. A. Μολπή τ' ὀρχηστύς τε, τὰ γάρ τ' ἀναθήματα δαιτός, quem sensum aliter expressit idem Poëta, Φόρμιγξ δαιτὶ ἑταίρη. Ἀναθήματα enim sunt verbis Eustath. κόσμος τις ἀνακείμενος τῇ δαιτί, ὥσπερ ναοῖς ἀναθήματα. 5 Πείθονται δ' ἀοιδοὶ σάμασιν] Lonicer. reddidit, Quando Cantores vel signis persuadentur. Cantores vero accommodant vocem ad signa tonorum, & ita duci Citharæ videntur parere. Aretius de saltatoribus accipit, qui gestum accommodant ad accentus musicos. 6 Ἀγησιχόρων Lonicer. reddidit, Choro admirandorum, tanquam ab ἀγάομαι, Miror. Alii deriv. ab ἄγω. Lex. vero Pindar. & Schmid. ab ἁγέομαι, quod Dor. & Æol. est pro ἡγέομαι. Quod eo verisimilius est, quoniam α primæ Syllabæ producitur, ut in Ἀγησίας, &c. Editt. vulg. & MSS. Ϲ. γ. leg. προοιμίων & omitt. τῶν. Est autem τὸ φροίμιον Attic. pro προοίμιον, componiturque ex οἶμος & οἴμη, quorum utrumque est via, & posterius etiam Cantus. Odyss. Θ v. 38. quæ nomina genuinum Spiritum hab. asperum, uti etiam Suidas & Eustath. asperarunt. Et asperanda esse vel Atticorum hoc φροίμιον convincit, qui, dum præpositio cum prima syllaba in unum coëat, ad exprimendum spiritum π in φ mutarunt, sicut in φροῦδος propter aspirationem τῆς ὁδὸς, & similia. Quod si leniter fuissent ista aspiranda, πρόιμιον debebat dici, quod hab. Ed. Steph. nisi malis esse erratum. Inde aliqui Latinis literis Prohœmium scripsere. Hoc loco pro Hymno accipitur. Schmid. Ita & Thucydides l. 3. Homeri hymnum in Apollinem vocat προοίμιον Ἀπόλλωνος, ubi Schol. addit, ὕμνους τὰ προοίμια ἐκάλουν. Sic Pausan. in Phoc. Ἀλκαῖος ἐν προοιμίῳ τῷ εἰς Ἀπόλλωνα. Et in Bœot. Τὸ εἰς Σαλάδαν προοίμιον. 7 Ἀμβολὰς pro ἀναβολάς. Est autem ἀναβολὴ, Præcentio, & quod dicitur propriè Procœmium. Unde ostendit Schmid. προοιμίων hujus loci idem esse ac Hymnorum, non vero Procœmiorum. Ἀναβάλλεσθαι vero interpret. Ovid. Metam. lib. 5. hoc versu, *Calliope querulas prætentat pollice chordas.* Pindarus vero imitatur Homerum Odyss. A. ut constat ex versu à Schol. citato, & eo, quem supra laudavimus, qui ambo aliique similes ibi inveniuntur. Ἐλελιζομένα fingitur à sono ἐλελεῦ. 8 Σβεννύῃς leg. Editt. vulg. quasi connectend. cum τεύχῃς Atqui σβεννύεις non refertur ad ὁπόταν. Hinc Poëta Musicæ vires canere aggreditur; quæ tantæ sunt, quantæ iratum Jovem placare possunt. 11 MS. C. 71. leg. πτέρυγ'. 12 Χαρέξας leg. MSS. Ϲ. γ. Forte corrupte pro χαλάξας, quod hab. C. 71. Particip. à Dor. Χαλάζω, idem quod Commune χαλάσας· è χαλάξας vero Æoles inserendo ι formant χαλάξαις. 13 Ἀρχὸς] Seu Dux, seu Princeps vertas, ut Alii, perinde est. Κελαινῶπιν à κελαινῶπις, non κελαινώψ, ut Aretius vult; inde enim formatur κελαινῶπα, ut ex Analogia Grammatica ostendit Schmidius.

[Τᾶς ἀκούει μὲν βάσις.] βάσιν ἔνιοι τὸν ῥυθμὸν φασί. πρὸς γὰρ τὸν ῥυθμὸν, ἡ ἁρμονία τῶν μελῶν διατυποῦται. οἱ δὲ, τὴν τῶν χορδῶν κροῦσιν. προκατάρχονται γὰρ αἱ ᾠδαὶ παρὰ τῆς κιθάρας. εἶθ' οὕτως, ἕπεται ὁ τῶν χορευτῶν ῥυθμός. ἡ βάσις ὁ ῥυθμὸς, παρὰ τὸ βαίνειν εἰς τὸν ῥυθμὸν τοῖς κρούσι τὴν γῆν τοῖς ποσίν. [Ἀγλαΐας ἀρχά·] ἀμφίβολον, πότερον, ἡ βάσις ἀγλαΐας ἀρχὴ οὖσα, ἢ σὺ, ὦ κιθάρα, ἀγλαΐας τυγχάνεις ἀρχή; κἀντεῦθεν δὲ ἄδηλον· ἤτοι ἀγλαΐαν τὴν κατὰ τὰς πανηγύρεις φησὶ, καθ' ἣν πάντες γαννύμενοι τερπόμεθα, ἢ τὴν διάχυσιν καὶ εὐφροσύνην. ἡ ἀγλαΐας ἀρχὰν, τὴν ἀρχὴν καὶ τὰς προανακρούσεις. [Πείθονται δ' ἀοιδοί.] ἀοιδοὶ, ἤτοι ἐν τῷ καθόλου οἱ χορευταὶ, ἢ οἱ κιθαρῳδοὶ, ἢ οἱ ποιηταὶ, ἢ ἐπὶ τῶν Μουσῶν ὁ λόγος. ὡς γὰρ ἔφην, Ἀπόλλων μὲν προκατάρχει τῶν Μουσῶν· πρὸς δὲ τὰ κρούματα, εὐρύθμως αἱ Μοῦσαι χορεύουσι. σάμασι δὲ, τοῖς σημείοις. τοῖς συνθήμασιν, ἢ τοῖς κελεύσμασιν. ἀπὸ τοῦ σημῆναι, διὰ τῆς προανακρούσεως. [Ἀμβολὰς τεύχῃς.] τὰς προαναφωνήσεις κατασκευάζῃς. ὡς καὶ Ὅμηρος· Ἤτοι ὁ φορμίζων, ἀνεβάλλετο καλὸν ἀείδειν. [Ἐλελιζομένα δὲ,] διακινουμένη. ὁ δὲ νοῦς. ἧς, σὺ ὦ κιθάρα κατακούει μὲν ἡ τῶν ποδῶν κροῦσις, τῆς εὐφροσύνης καὶ τῆς διαχύσεως ἀρχὴ οὖσα. πείθονται δὲ καὶ οἱ ἀοιδοὶ τοῖς σοῖς συνθήμασιν, ὅταν τῶν προοιμίων, τῶν ἡγουμένων τῶν χορῶν, τὰς προαναφωνήσεις καὶ κρούσεις, διακινουμένη κατασκευάζῃς. [Καὶ τὸν αἰχματὰν κεραυνόν.] κατὰ τὸ ἐναντίον προήγαγεν. ἔδει γὰρ εἰπεῖν, αἰχμητοῦ κεραυνοῦ πῦρ. τὸ δὲ τοιοῦτο σχῆμα τοῦ λόγου, καὶ παρ' Ὁμήρῳ· Ὁ δὲ χασσάμενος, πελεμίχθη. πελεμιχθεὶς γὰρ ἀνεχώρησεν. [Ἀενάου πυρός.] τὸ ἀέναον, κυρίως ἐπὶ τῶν ὑδάτων τίθεται. καταχρηστικῶς δὲ ὁ Πίνδαρος νῦν, καὶ ἐπὶ τοῦ κεραυνοῦ τέθεικε, ἀντὶ τοῦ, ἄσβεστον. σκάπτῳ δὲ Δωρικῶς τῷ σκήπτρῳ. [Διὸς αἰετός.] πάνυ γὰρ διετύπωσεν ὅτι δὴ ὁ ἀετὸς ἐπικαθήμενος τῷ τοῦ Διὸς σκήπτρῳ· καὶ κατακηλούμενος ταῖς Μουσικαῖς ᾠδαῖς εἰς ὕπνον κατάγεται ἀμφοτέρας χαλάσας τὰς πτέρυγας, καὶ ταλαντευόμενος καὶ ζυγοστατούμενος, ὥσπερ διὰ τὴν τοῦ σκήπτρου στενότητα, ὥστε αὐτὸν μὴ ἐξολισθαίνειν τῇ ᾠδῇ, ἀλλ' ἀσφαλῆ τὴν βάσιν ὑπάρχειν. ἡ δὲ Σαπφὼ, ἐπὶ τοῦ ἐναντίου, ἐπὶ τῶν περιστερῶν· Ταῖσι ψυχρὸς μὲν ἐγένετο θυμός. παρ' δ' ἱεῖσι τὰ πτερά. ὁ δὲ νοῦς. καὶ τὸν ἰσχυρότατον καὶ πολεμικώτατον κεραυνὸν σβεννύῃς τοῦ διὰ παντὸς ὄντος πυρός. ἀφυπνοῖ δὲ, τῇ ἡδονῇ συσχεθεὶς ἐπὶ τοῦ σκήπτρου τοῦ Διὸς ὁ ἀετὸς, τὴν ταχεῖαν ἑαυτοῦ πτέρυγα ἐξ ἀμφοτέρων τῶν μερῶν χαλάσας, ὁ τῶν ὀρνέων βασιλεύς. [Κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν·] ἤτοι κατ' αὐτῆς τῆς νεφέλης τὸ ἐπίθετον, ἵνα σωματικώτερον ἀναπλάσῃ τὴν νεφέλην, τὴν μέλανας ἔχουσαν ὀφθαλμοὺς, ἢ τὴν μελαίνουσαν τοὺς ὀφθαλμοὺς νεφέλην, ἢ κελαινῶπιν νεφέλαν, τὴν ἐπίχυσιν τοῦ ὕπνου φησί,

παρ'

Αγκύλῳ κρατὶ, βλεφάρων	Adunce-rostratum caput, palpebrarum
Αδὺ κλαΐςρον, κατέχευας. Ο δὲ κνώσσων	Suave claustrum, offundis. At illa dormiens
Υγρὸν νῶτον αἰωρεῖ, τεαῖς	Madidum tergum effert, tuis
Ριπαῖσι καταχόμενος. Καὶ γὰρ βια-	Jaculationibus occupata. Quinetiam vio-
τὰς Αρης, τραχεῖαν ἄνευθε λιπὼν	lentus Mars, asperam ubi-sepofuit
Εγχέων ἀκμὰν, ἰαίνει καρδίαν	Hastarum cuspidem, delectat cor
Κώματι. Κῆλα δὲ καὶ	*Tuo* cantu. Tela vero *tua* etiam
Δαιμόνων θέλγει φρένας, ἀμφί τε Λα-	Dæmonum mulcent animos, cum La-
τοΐδα σοφίᾳ, βαθυκόλ-	toidæ sapientia, & quæ-profunde-suc-
πων τε Μοισᾶν.	cinctos-sinus-habent Musarum.
ἐπῳδὸς α'. κώλων ιε'.	Μεταφ.
Οσσα δὲ μὴ πεφίληκε	Quoscunque vero non amat

PARAPHRASIS.

super aduncum ejus rostrum, qua suaviter clauduntur palpebræ, oculis affudisti. Tum vero illa dormiens, diffusu facile & flexibile dorsum attollit, tanquam tuæ harmoniæ jaculis superata & oppressa. Quinetiam Mars violentus, ac proinde viri fortissimi, depositis quandoque asperis acutisque armis, tui concentus voluptate animum recreant: Imo Dii ipsi bonique genii vitæ nostræ auspices & comites tuæ melodiæ dulcedine capiuntur, cujus authores sunt Latonæ filius Apollo, pulchræque Musæ canendi peritia insignes, & scientiarum profunditate admirabiles. Contra vero quæcunque Jupiter in terra marique odit,

NOTÆ.

15 Κρατὶ] ab ; vel τὸ κρᾶς· non vero opus est deducere à κάρα. Γλεφάρων leg. MSS. C. 71. C. γ. 16 Aliqui κλαῖθρον, sera, vel κλεῖθρον, cujus exemplum affertur ex Luciano. Κλαΐςρον leg. per Diæresin pro κλαῖςρον, ne syllaba deesset. Hoc vero idem est ac κλᾷςρον vel κλᾷθρον Hesychio, nisi, ut Schmid. suspicatur, menda subsit pro κλᾷθρον· quæ omnia à Dorico κλᾴω pro κλείω deducuntur. Εγκατέχευας leg. Schmid. soli conjecturæ innixus, cujus ratio erat defectus syllabæ, quare admittendam existimamus Diæresin in κλαΐςρον ; nil vero mutandum nisi ex Codd. fide. Κατέχευσας leg. MSS. C. γ. quod Critico deberi videtur. 17 Υγρὸν νῶτον αἰωρεῖ] Juxta Schmid. explicanda sunt hæc verba. Tergum cum reliquo corpore, humidum, vel delectatione perfusum attollit inter dormiendum ; cui igitur cum Schol. fere convenit. Metaphoram tamen Dithyrambicam putat contineri in voce ὑγρόν. Aliter etiam Schol. interpretatur ; quomodo vero intelligi velit, se nescire fatetur vir laudatus. Verba sunt, αἰωρεῖται τὸ νῶτον, ἐπὶ θάτερα ῥέπων· i. e. si sumas αἰωρεῖται Active, Evehit sursum tergum Aquila, in hanc aut illam partem propendens ; si vero Passive accip. αἰωρεῖται, subintell. κατὰ aut similia: ut dici possit in sublime ferri quoad dorsum. humidum, scil. quia, ut humida omnia, in utramvis partem facile movetur. Schol. vero potius ad proprium vocis ὑγρὸν significatum, quam ad Autoris sensum respicere videtur. 18 Ριπαῖσι] i. e. Ictibus, vel Jaculis ; eadem fere Metaphora, qua infra dicuntur κῆλα. Intelliguntur autem, explicante Porto, Carminum, quæ canuntur, soni harmonici, qui aures animosque suis illecebris, ut telis feriunt & penetrant. Vide Indicem in voce βέλος. Καταγχόμενος leg. Ald. & Pal. C. & MS. C. 71. Αγχω est Hesychio, Fræno ; & sæpius hoc verbo designant Autores, Coërceo, & fauces constringo ; ut sane esse reponendum suspicemur, quoniam tam accurati Codd. id habeant ; & vix possit esse erratum aut Scholion. Βιατὰς] Vide Indicem. Non tantum Mars ipse notatur : sed etiam viri bellicosi. Exemplum de Achille hab. Homerus Il. I. Τὸν δ' εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ. Ad quem vers. hæc Eustath. Τὸν τις δὲ παλαιὸς φησὶ, καὶ αὐτὸς ὅτι μουσικὸς ὢν ὁ Αχιλλεύς, κιθάρᾳ τὴν μῆνιν κατευνάζει, i. e. Cithara animi tumultum sopivit. Aretius hunc locum exponit, Homines fortissimi non alienam à se putarunt Musicam ; quasi Poëta inter summas Musicæ laudes recensuisset, quod viro forti non esset indecora. Est autem Emphasis in hac voce, quæ sonat, Vi omnia agens & furore bellorum proprio, non illecebris ; ita ut præter tacitam Antithesin innuatur, delinimenta Musicæ τῇ βίᾳ potentiora esse, ut ingeniose Schmid. 20 Ιαίνει] Calfacit, vel, ut Eustath. ad Il. Ω exponit θυμὸν ἰαίνειν. διαχέειν, i. e. Diffundit. 21 Κώματι] Hæc vox deducit Eustath. à κώμμα. Vulgo enim sumitur pro Veterno. Schmid. existimat hic idem esse ac κῶμον alibi, i. e. Voluptatem ex cantu convivali, vel ἐγκωμιαστικόν. Quod vero id non repugnet Grammaticorum judiciis indeliquet, quod in Textum τοῦ C. γ. irrepserit vox κώμῳ. 22 Δαιμόνων] Alii vertunt Deorum. Aretius Bonos Genios exponit, quia post de malis loquitur Poëta, ut ait ille. Exemplum 1 Sam. 16. huc spectat ex sententia Schmid. Horat. *Carmine Dii superi, placantur carmine manes.* Et Ovid. de Orpheo --*Nec Regia Conjux Sustinet oranti, nec qui regit ima negare : Eurydicenq vocant*--. Similia Virgil. & Alii. Αμφί τε κ. λ.] Si artificiose concentum fuerit. Schmid. 23 Leg. cum Ald. -τοΐδα. Ita vero legendum ; vel primum tempus longum resolvendum in duo brevia, metri gratia, ut Schmid. Aliique, sc. Λατοΐδα, quod Dor. est pro Λητοΐδου, à Λητώ, Mater Apollinis. Βαθυκόλπων] i. e. Sinus altos propter profundum cinctum habentium, vel Sinus habitu vegeto corporis bene explentium, sc. in optimo & pulcherrimo vigore constitutarum. Idem est ac βαθύζωνοι Schmidio ; qui Eustath. sententiam vix probat ; nempe hoc epitheton usurpari ab Homero loco vituperii de fœminis barbaris, qu. sumptum à dedecente habitu. Lex. Pindar Musas hoc epitheto ornari docet, ob ipsam scientiarum profunditatem, obscuritatem, atque multiplicem difficultatem. Ea sane interpretatio huic loco satis congrua est ; præcipue cum Theocrit. de Mari utatur, Idyll. 17. Mare enim quod finibus profundis variegatur, nautis difficillimum est. Nihil tamen statuimus.

παρ' ὅσον ἀρρηγής ἐστι κατέχευας φησὶν, ὦ κιθάρα, ἁπαλὸν καὶ ἡδὺ κλεῖθρον κατὰ τῶν βλεφάρων, ἀντὶ τοῦ, εἰς ὕπνον καταφερόμενος ὑπὸ σοῦ, ὦ κιθάρα, ὁ ἀετὸς, αἰωρεῖ) τὸν νῶτον ἐπὶ θάτερα ῥέπων. [Αγκύλῳ κρατὶ·] ἤγουν, τῇ ἐπικεκαμμένῃ ῥινὶ τοῦ ἀετοῦ. οὕτω δὲ εἶπε, διὰ τὸ ἐπικαμπὲς τῆς ῥινὸς αὐτοῦ. ἀπὸ μέρους τὸ πᾶν. καὶ Ομηρος ἀγκυλοχείλην τὸν ἀετὸν φησί. τὸ δὲ κλαΐςρον, ἀντὶ τοῦ κλεῖθρον. [Υγρὸν νῶτον αἰωρεῖ,] ἀντὶ τοῦ, εἰς ὕπνον φερόμενος ὑπὸ σοῦ, ὦ κιθάρα, αἰωρεῖ) τὸν νῶτον ἐπὶ θάτερα ῥέπων. [Αλλως. Υγρὸν νῶτον αἰωρεῖ.] τὸ εὐδιάχυτον ὑπὸ τῆς ἡδονῆς. χαριέστατα δὲ συνδιατιθέμενον τῇ ἡδονῇ, καὶ θελγόμενον τὸν ἀετὸν ὑπετύπωσε. [Ριπαῖσι,] ταῖς βολαῖς. λέγει δὲ τοῖς μέλεσιν. ὁ δὲ νοῦς. ὁ ἀετὸς εἰς ὕπνον τῇ ἡδονῇ καθελκόμενος, τὸ εὐδιάχυτον αὐτοῦ νῶτον ἐποίησε, τοῖς σοῖς βέλεσι θελχθείς. [Βιατὰς Αρης.] ὁ γὰρ ἰσχυρότατος Αρης, τὴν τραχυτάτην τῶν δοράτων ἀκμὴν καταλιπών, τουτέστι τὸν πόλεμον, εὐφραίνει τὴν καρδίαν τῷ τῆς κιθάρας κώματι, ἤγουν θελγματι. [Κῆλα δέ·] κῆλα μὲν Ομηρος, τὰ τοξικὰ βέλη· Τὰ δ' ἐπῴχετο κῆλα θεοῖο. δυνατὸν δὲ ἀκούειν καὶ νῦν ἐπιτηδειότερον βέλη, τὰ θελκτικὰ τῆς μουσικῆς πάθη. κῆλα δὲ κατὰ συναίρεσιν, τὰ κηλήματα, ἤγουν τὰ ὑπὸ τῆς μουσικῆς θέλγματα. ὁ δὲ νοῦς. τὰ δὲ τῆς μουσικῆς κηλήματα, καὶ τῶν θεῶν θέλγει τὰς φρένας διὰ τῇ σοφίᾳ τοῦ Απόλλωνος καὶ τῶν ἰοπλοκάμων Μουσῶν. [Οσσα δὲ μὴ πεφίληκε.] τοῦτο εἶπεν, ἵνα ἕτοιμοι ὦσιν οἱ ἀκροαταὶ πρὸς τὴν ἀκρόασιν. ὁ δὲ νοῦς. ὅσα δὲ μήτε κατὰ τὴν γῆν, μήτε κατὰ τὴν ἄπειρον θάλασσαν φιλεῖ ὁ Ζεὺς, ἀποστρέφονται τὴν ᾠδὴν τῶν Μουσῶν.

Ζεὺς, ἀτύζονται βοὰν	Jupiter, *illi* consternantur vocem
Πιερίδων ἀΐοντα,	Pieridum ubi-audierint,
Γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον·	Tam in terra quam in mari impetuoso:
Ος τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖ-	*Qualis est ille* qui in horrendo Tartaro ja-
ται, Θεῶν πολέμιος,	cet, Deorum hostis,
Τυφὼς ἑκατοντακάρανος· τόν ποτε	Typhos *inquam* centiceps: quem olim
Κιλίκιον θρέψεν πολυώ-	Cilicium enutrivit famo-
νυμον ἄντρον· νῦν γε μὰν	sum antrum: nunc vero
Ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι,	Et quæ supra Cumam mari-septa littora,
Σικελία τ' αὐτοῦ πιέζει	Et Sicilia *superimposita* ejus premit
Στέρνα λαχνάεντα· κίων	Pectora hirsuta: columna
Δ' οὐρανία συνέχει,	Vero cœlestis *eum* cohibet,
Νιφόεσσ' Αἴτνα, πάνετες	Nivosa Ætna, per-totum-annum
Χιόνος ὀξείας τιθήνα·	Nivis acute-gelidæ nutrix:

PARAPHRASIS.

ac proinde quivis improbi, suaves Musarum cantus oderunt & aversantur, eorumque nulla delectatione recreantur: sed potius iis turbantur expavefacti. Qualis gigas ille centiceps Typhœus, Deorum hostis, qui in horribili Tartaro prostratus jacet, quem olim celebre factum flagitiis ipsius Typhoneum Ciliciæ antrum aluit: & qui nunc in Sicilia sepultus est, & in littore Siculi maris quod Cumam alluit, villosum pectus oneris mole oppressum habet, imo & sub Ætna monte altissimo, perpetuisque nivibus frigidissimo detinetur:

NOTÆ.

26 Ατύζονται] Terrore percelluntur, & uti ait Plutarch. περὶ Δεισιδαιμονίας, διαγριαίνονται καὶ ἀγανακτοῦσι, i.e. Ejusmodi generis humani monstra, Musicæ contemptricia, ad auscultationem illius efferantur, Quod exemplo Tigridum ostendit loco laudato, quæ audito tympano in rabiem agi, & semetipsas præ furore dilaniare dicuntur. Isti igitur Musicam aversantur juxta Poëtam, qui *Diis iratis & inimicis nati sunt*, ut loquitur Plautus. 27 Αιόντα leg. Ed. Cratandr. Augustan. Cod. δ' ἀΐοντας. 28 Αμαιμάκετος est Vastus, vehemens, ab α ἐπιτατικῷ & μαιμάω, Cum impetu cupio, & in aliquid feror. 32 Κιλίκιον] Videsis Not. ad Ol. 4, 11. In hoc κώλῳ primus pes pro prima syllaba longa duas habet breves. 34 Κύμας] Κύμη seu Κῦμαι, Urbs in Campania Italiæ, de qua Vide Strab. l. 5. Aliqui Typhonem partim sub Sicilia comprimi, partem eousque extensum esse statuunt, ut partes ejus aliquæ sub Cumano littore contineantur. Quia vero iis locis Typhonem subjectum Poëtæ finxerunt, quæ ignium fœcunda sunt; totus autem ille tractus, qui à Cumis ad Siciliam usque pertingit, ignitus, & in profundo cavernas quasdam, & inter sese & Continenti conterminas habet; ideo Typhonem hisce locis totius hujus tractus substratum esse, dicere licet. Κύμας potest esse vel Accusativ. Plural. vel Genitiv. Singular. quomodo Schol. accepit. 39 Χιόνος ὀξείας] Lambin. ad hoc exemplum ab Horat. l. 1. Od. 9. *Gelu acutum* dici observavit.

[Εν αἰνᾷ Ταρτάρῳ.] πάλιν κατὰ τὸ ἴδιον ἔθος, θηλυκῶς τὴν Τάρταρον προήγαγεν. ὡς καὶ τὴν Ισθμόν, καὶ τὸ, Τυφώς· ἔδει γὰρ Τυφών· Ομηρος δὲ, ἑτέραν εὐθεῖαν οἶδεν ὁ Τυφωεύς· Τυφωέϊ γαῖαν ἱμάσσει. [Ατύζονται βοάν.] ἀπὸ κοινοῦ τὸ ἀτύζεται. ἀποστρέφεταί φησι καὶ ὁ Τυφὼν ἑαυτὸν τὴν μουσικὴν, ὁ ἐν τῷ Ταρτάρῳ κείμενος ὁ πολέμιος τῶν θεῶν. [Εκατοντακάρανος.] οὐκ ἀριθμητικῶς, ἀλλ' ἀντὶ τοῦ, πολυκέφαλος. [Τόν ποτε, Κιλίκιον θρέψεν.] ὅν ποτε, τὸν Τυφῶνα φησὶν, ἔθρεψε μὲν τὸ ἐν Κιλικίᾳ πολυθρύλλητον σπήλαιον. νῦν δὲ, αἱ τῆς Κύμης ὄχθαι, καὶ ἡ Σικελία, τὰ δασέα αὐτοῦ στήθη πιέζει. [Αλλως.] στασιάζεται καὶ ἡ περὶ τοῦ Τυφῶνος ἱστορία. οἱ μὲν γὰρ αὐτὸν ὄρει τῆς Βοιωτίας ὑποκεῖσθαι ἔφασαν. καὶ ὡς εἰσὶν αὐτόθι πυρὸς ἀναδόσεις· οἱ δὲ, ἐν Φρυγίᾳ· ἕτεροι δὲ, ἐν Λυδίᾳ. Αρτέμων δέ τις ἱστορικὸς, πιθανώτερον λογοποιεῖ. καθάπαξ γάρ φησι πᾶν ὄρος ἔχον πυρὸς ἀναδόσεις, ἐπὶ Τυφῶνι κάιεται. ἔστι δὲ τὸ πιθανὸν ἐξ αὐτῆς τῆς τοῦ ὀνόματος ἱστορίας. τύφειν γὰρ τὸ κάιειν. ὁ δὲ Πίνδαρος φησὶ τὸν Τυφῶνα ἐν Κιλικίᾳ τεθράφθαι, ὡς καὶ Ομηρος· Εἰν Αρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς. ὑποκεῖσθαι δὲ τῷ ὄρει καὶ αὐτόθι, πυρὸς κρατῆρας, καὶ τοὺς ἀναδιδομένους πρηστῆρας. πολυώνυμον δὲ, ἀντὶ τοῦ, πολυθρύλλητον, διὰ τὸ ἀναβαφῆναι ἐν αὐτῷ τὸν Τυφῶνα. [Ταί θ' ὑπὲρ Κύμας.] Κύμη, νῆσος παρακειμένη τῇ Σικελίᾳ. ἔστι δὲ καὶ ἑτέρα τῶν Αἰολέων. φαίνεται δὲ οὐχ' ἡ Κύμη πῦρ ἀναδιδοῦσα, ἀλλ' ἡ καλουμένη Περσύλη. ἣν καὶ Πιθηκούσας ὀνομάζουσι. συμβαίνουσι γὰρ αὐτόθι, κυμάτων ἐξαισίων κινήσεις, καὶ ἀνέμων σφοδροτάτων ἐπίπνοιαι, καὶ πρηστήρων ἐπιφάνειαι, καὶ πυρὸς καταφλέξεις. μυθολογεῖται ὑποκεῖσθαι τὸν Τυφῶνα. [Αλιερκέες ὄχθαι·] ἤτοι αἱ τὴν ἅλα ἕρκος ἔχουσαι, ἢ τῆς ἁλὸς αὐτῆς ἕρκος οὖσαι. διὰ τὸ μὴ συγχωρεῖν ἐπιπρόσθεν φέρεσθαι τὰ κύματα. [Κίων δ' οὐρανία.] ἡ Αἴτνη τὸ ὄρος. ἣν οὕτως ὠνόμασε, διὰ τὸ ὕψος ὑποστηρίζουσαν τὸν οὐρανόν. ὁ δὲ νοῦς. ἡ δὲ οὐρανία κίων, συνέχει τὸν Τυφῶνα, ἡ κατὰ πᾶσαν ὥραν ἔτους χιονιζομένη καὶ τῆς ὀξείας χιόνος τροφὸς οὖσα· ἤγουν, ἡ Αἴτνη. [Πάνετες] τὸ πάνετες ἀμφίβολον· ἤτοι γὰρ διαπαντὸς συνέχει τὸν Τυφῶνα ἡ Αἴτνη καὶ δι' αἰῶνος, ἢ τῷ ἑξῆς συναπτέον, ὀξείας χιόνος τιθήνα. ἵν' ᾖ, δι' ἔτους ἀεὶ τιθηνουμένη καὶ τρέφουσα τὴν χιόνα, ἢ ὅτι οὐ κατὰ παντὸς, ἀλλὰ κατὰ πᾶσαν ὥραν ἔτους. ἵνα εἰς ὑπερβολὴν ἄρῃ τὸν λόγον, λέγων καὶ χειμῶνι καὶ θέρει χιονίζεσθαι τὴν Αἴτνην. [Χιόνος ὀξείας.] ὀξεῖαν δὲ τὴν χιόνα φησὶν, ἤτοι παρὰ τὴν πυκνότητα τῆς καταφορᾶς, ἢ παρὰ τὴν ψυχρότητα. ὅτι οἱ ἐφαπτόμενοι, ὅμοιόν τι πάσχουσι τοῖς κεντουμένοις.

[Απλάτου

στροφὴ β'. κώλων ιε'.

Τᾶς ἐρεύγονται μὲν ἀπλά-
του πυρὸς ἁγνόταται
Ἐκ μυχῶν παγαί· ποταμοὶ
Δ' ἁμέραισιν μὲν προχέοντι ῥόον καπνοῦ
Αἴθων'· ἀλλ' ἐν ὄρφναισιν, πέτρας
Φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
αν φέρει πόντου πλάκα σὺν πατάγῳ.
Κεῖνο δ' Ἀφαίστοιο κρουνοὺς ἑρπετὸν
Δεινοτάτους ἀναπέμ-
πει· τέρας μὲν θαυμάσιον προσιδέ-
σθαι· θαῦμα δὲ καὶ παριόν-
των ἀκοῦσαι,

ἀντιστροφὴ β'. κώλων ιε'.

Οἷον Αἴτνας ἐν μελαμφύλ-
λοις δέδεται κορυφαῖς,
Καὶ πέδῳ· στρωμνὰ δὲ χαράσ-
σοισ', ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ.

METAPH.

Cujus eructantur inaccessi *i. e. furentis-*
simi ignis liquidissimi
Ex cavernis fontes: fluviique *igniti*
Profundunt fluxum fumi
Candentem: noctu vero, saxa
Punicea evoluta flamma in profun-
dum defert maris æquor cum fragore.
Illa autem Vulcani bellua gurgites
Horrendissimos eje-
ctat: prodigium quidem mirabile aspe-
ctu: mirandum vero & trans-
euntibus auditu,

METAPH.

Quomodo Ætnæ inter nigrifron-
des ligatus sit *Typhon* vertices,
Et *inter* fundamina: lectus vero scul-
pens, totum dorsum inclinatum pungat.

PARAPHRASIS.

Cujus ex penetralibus, imisque recessibus, ignis inaccessi & copiosi fontes purissimi scaturiunt, & ejectantur. Hinc ejusdem ignis fluvii perennes interdiu quidem ardentis fumi vortices agglomerant: noctu vero rutila flamma liquefactorum saxorum fragmenta vehementi cum strepitu in mare profundum devolvit. Tum etiam serpens ille Typhon maxime horrendos ejectat ignis gurgites. Quare res est visu portentosa, & ex illis qui illac transeundo viderunt, auditu miranda, quo pacto monstrum illud est illigatum imis radicibus, summisque montis Ætnæ cacuminibus, quæ obscura sunt arborum densitate: quoque pacto stratus lectus totum dorsum inclinatum lancinat & pungit.

NOTÆ.

40 Τᾶς ἐρεύγονται] Hunc autem locum Virgil. 3 Æneid. imitatus est. Uti autem alias Græcos Poëtas plerumque superavit: ita hic Pindaro inferior à Phavorino judicatus fuit, ut videri potest apud Gell. l. 17. c. 10. & Macrob. lib. 5. Saturn. c. 17. qui fere exscripsit locum Gellii laudatum; uti scriba, qui exaravit MS. C. 71. totum illum Macrobii locum Margini Cod. illius apposuit. Jovianus Pontanus vero in Antonio, quem secutus est & Scaliger, Virgilium contra Phavorinum defendit. Neque ab horum judicio multum abest Cerdanus ad hunc Virgilii locum; cujus Commentarios siquis inspexit, si æquus sit harum rerum æstimator, utri Poëtarum Laurus debetur, nullo negotio intelliget. 41 MSS Ϛ. γ. & Ed. Rom. leg. ἁγνώταται. 42 Ἐκ μυχῶν] Ex recessibus, quos, χειρῶνας vocant. Lonicer. redd. Ex angulis: Philippus, Ex fundo: Vulgata rectius, Ex penetralibus: Portus eodem sensu, Ex visceribus. Παγαί] Aristot. quoque de Mundo c. 4. vocat πυρὸς πηγάς, & c. 6. dicit, quod ignes Ætnæ fluant χειμάρρου δίκην, i. e. Instar Torrentis. 44 Αἴθων' leg. MSS. Ϛ. γ. Πέτρας Lonicer. Genitivum esse censet, & reddit, Ex petra: φέρει autem cum Philippo pro φέρεται, redditque, Promit. Philippus vero. Fertur. 45 MSS Ϛ. γ. leg. εἰς βαθεῖαν. 46 Πλάκα] i. e. proprie Tabulam, æquatam planiciem. 47 Ἑρπετὸν] Proprie Reptile, & Strabo lib. 16. refert, aliquos putasse Typhœum esse serpentem. Translata est hæc vox ad signif. quæcunque Bruta. Ita & Odyss. Δ. Ὅσσ' ἐπὶ γαῖαν ἑρπετὰ γίνονται. Ovid. eum *flammas ore vomere* ait. Lonicer. τὸ ἑρπετὸν de incendio, quod per Typhonem notatur, accipit; Desid. Haraldus quoque ad Arnob. Ignem intelligi putat. 49 MS. C. 71. leg. θαυμάσιόν τι πυθέσθαι quæ lect. perinde est; cum tamen in Pal. C. omitt. τὶ Syllaba deficiat. MSS Ϛ. γ. leg. —άσιόν τι ἰδέσθαι, qua ratione etiam metrum servatur; cujus leges itidem violantur legendo θαυμάσιον ἰδέσθαι, cum Cod. August. 52 Δέδεται κορυφαῖς, καὶ πέδῳ] Tmesis Schmidio videtur pro ἐνδέδεται κορυφαῖς καὶ πέδῳ, scil. interligatus inter vertices Ætnæ, seu ipsam Ætnam, quæ Typhoni superimposita est: & inter solum & fundamina Siciliæ, quæ instar lecti ei substrata sunt. 54 Χαράσσοισ', ἅπαν νῶτον] Ita Lycophron. Γιγάντων νῆσος, ἣ μετάφρενον θλάσασα, καὶ Τυφῶνος ἀγρίου δέμας φλεγμῷ ζέουσα.

[Ἀπλάτου δὲ πυρός.] ἀπροσπελάστου. ἢ πολλοῦ. [Ἁγνόταται ἐκ μυχῶν.] ἁγνότατον τὸ πῦρ φησιν, ὅτι ἁγνιστικόν ἐστιν. ἢ καὶ διὰ τὸ θεῖον τὸ αὐτόθι γινόμενον, ᾧ καθαιρόμεθα. ὡς καὶ Ὅμηρος· Ὄφρα θεειώσω μέγαρον. τῇ δὲ ἑξῆς ἐπιμελεῖ δηλοῦν, πυρὸς ποταμοὺς καὶ πηγὰς λέγων, διὰ τὴν ἄγαν τοῦ πυρὸς ἀνάδοσιν. ὁ δὲ νοῦς, ἀφ' ἧς τινος Αἴτνης ἀναφυσῶνται καὶ ἀναδίδονται ἐκ τῶν μυχῶν, ἀπροσπελάστου πυρὸς πηγαί. οἱ δὲ ποταμοὶ τοῦ πυρὸς ἐν μὲν ἡμέρᾳ, ῥοῦν καὶ φθορὰν προχέουσι καπνοῦ· * ἤτοι μέλανα, ἢ καυστικόν. ἐν δὲ νυκτὶ, ἡ ξανθὴ τοῦ πυρὸς φλὸξ, ἐκρήγνυσι τοῦ ὄρους τὰς πέτρας, καὶ εἰσκυλίει τῇ παρακειμένῃ θαλάσσῃ. [Ἀφαίστοιο ἑρπετὸν,] ὁ Τυφών. παρ' ὅσον ἐξ αὐτοῦ ἤτοι δι' αὐτὸν, οἱ τοῦ πυρὸς ἀναδίδονται πρηστῆρες. κρουνοὺς μὲν ἐσχηκῶς φησιν ὡς ἐπὶ ποταμοῦ. ἐμφαίνει δὲ τὰς τοῦ πυρὸς ἀναφυσήσεις. ὁ δὲ νοῦς, ἐκεῖνο δὲ τὸ τοῦ Ἡφαίστου ἑρπετὸν, κρουνοὺς πυρὸς δεινοτάτους ἀναδίδωσι. θαυμαστὸν μὲν ἰδεῖν, θαυμαστὸν δὲ καὶ τῶν παριόντων καὶ ἑωρακότων ἀκοῦσαι. [Ἐν μελαμφύλλοις.] τοῖς πολυδένδροις. ἡ γὰρ τῶν δένδρων πυκνότης, βαθεῖαν ἀπεργάζεται τὴν ὕλην. Ζητητέον δὲ πῶς φησι τὸν Τυφῶνα ἐνδεδέσθαι ταῖς τῆς Αἴτνης κορυφαῖς, ὃν φησιν ὑπ' αὐτῇ κεῖσθαι; Ῥητέον δὲ, ὅτι ὑπόκειται μὲν αὐτῷ τὸ ἔδαφος ὑπὸ τὸν νῶτον. ἐπίκειται δὲ τῷ στήθει ἡ Αἴτνη ὥσπερ δεσμιος καὶ σχοινίον ἐν μέσῳ αὐτὸν συνέχουσα. [Χαράσσοισα.] ἐπιξύουσα, ἐπινύσσουσα. ὁ δὲ νοῦς. τὸ ὑπεστρωμένον ἔδαφος κεντρῶδες, καὶ ἐπιξύει τὸ τοῦ Τυφῶνος νῶτον, τῆς δὲ κεντρώσεως αἴτιόν ἐστι, τὸ τῇ Αἴτνῃ ἐπικείμενον βάρος. τὸ μὲν κεκλιμένον νῶτον κεντεῖ ἐπιξύουσα, ἡ ὑποκειμένη τοῦ ἐδάφους κεντρώδης στρωμνή.

* Subintellige αἴθωνα.

Εἴη, Ζεῦ, τὶν εἴη ἁνδάνειν,
Ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
ας μέτωπον, τοῦ μὲν ἐπωνυμίαν
Κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
Γείτονα· Πυθιάδος
Δ' ἐν δρόμῳ κάρυξ ἀνέειπέ νιν, ἀγ-
γέλλων Ἱέρωνος ὑπὲρ
Καλλινίκου

ἐπῳδὸς ϛ'. κώλων ι'.

Ἅρμασι. Ναυσιφορήτοις
Δ' ἀνδράσι πρῶτα χάρις
Ἐς πλόον ἐρχομένοις, πομ-
παῖον ἐλθεῖν οὖρον· ἐοικότα γὰρ
Κἂν τελευτᾷ φερτέρου νό-
στου τυχεῖν. Ὁ δὲ λόγος
Ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει,
Λοιπὸν ἔσσεσθαι στεφάνοι-
σί τε ἵπποις τε κλυτάν,

Fiat, Jupiter, fiat *me* tibi placere,
Qui hunc adminiſtras montem, fertilis ter-
ræ frontem, cui *monti* cognominem
Inclytus conditor claram-fecit urbem
Vicinam: Pythiadis *ſiquidem*
In curſu præco proclamavit eam, nun-
cians *ſpectatoribus* de Hierone
Splendido-victore

METAPH.

Curribus. Qui vero navibus-vehuntur
Viris prima gratia *ſeu felicitas eſt*,
Navigationem auſpicantibus, *ſibi* ſecun-
dum venire ventum: veriſimile enim
Etiam-in fine feliciorem redi-
tum *eos* conſecuturos. Atque hæc ratio
Hoſce propter eventus opinionem affert,
Deinceps futuram-eſſe *Ætnam* coro-
nis equiſque *victoribus* inclytam,

PARAPHRASIS.

Utinam tibi placeamus, tuaque benevolentia fruamur Jupiter qui in hoc monte coleris, Siculæ regionis fœcundæ parte frontis inſtar conſpicua. Cui quidem cognominem fecit urbem vicinam Hiero, quum Catanen amplificatam, multiſque ædificiis recens decoratam novo nomine Ætnam appellavit. Unde præco, denuntians egregiam illius victoriam, quam curruli certamine in Pythiis eſt adeptus, ejus mentionem fecit, & victorem ab ea Ætnæum cognomento pronunciavit. Quemadmodum autem navigantibus gratiſſimum eſt, quum primum mari ſeſe committunt, ventis frui ſecundis, ut cito tutoque ad optatam ſedem & ſtationem deferantur. Et ex læto ſuſceptæ navigationis principio, ſpem fauſti reditus concipiunt. Sic etiam ego primum hunc Ætnæ novæ urbis ſucceſſum celebrans, quum ejus conditor Pythicam victoriam reportavit, ex hoc fœlici principio ſpem fœlicis progreſſus concipiens, dico ipſam in poſterum etiam victoriis & coronis illuſtrem fore,

NOTÆ.

56 Τὶν poſt εἴη poſterius aliqui contra rationem metri collocant. Ἁνδάνειν] Scil. ἐμὲ, juxta Schmid. Tametſi Philippus Ἱέρωνα ſubaudit. 58 Ἐπωνυμίαν] Idem quod ἐπώνυμον. Ol. I. 61 Δρόμῳ] Non quidem pedeſtri, ſeu ſtadio, ſed equeſtri: ideoque ad differentiam ſubjungit ἅρματι. 64 Ἅρμασι] Plurali utitur, quaſi Hiero ſolitus ſit Curribus vincere; ſuperius vero eadem ratione in plurali numero hac voce utitur, niſi admittas lect. variantem. 65 Πρῶτον leg. MSS. ϛ. γ. 66 Ἀρχομένοις leg. Alii omnes præter Schmid. qui ex Cod. Auguſt. cui conſentiunt Schol. ad Nem. 1. hunc locum reſtituit. Neque enim ἄρχεσθαι ἐς τι dicitur: neque Tmeſis eſſe poteſt pro ἐσάρχεσθαι quod non eſt in uſu. Et licet ἔσπλοον legere vellemus: obſtaret tamen conſtructio verborum Incipiendi cum Genitivo. Sed neque ſic ſignificatio congruet. Eſt enim ἔσπλοος Aditus & introitus portus, ubi è ſicco in naves ingrediuntur; accipiturque de loco non de actione. 67 Ἐοικότα] Enallage numeri pro ἐοικός. Aretius vertit, Probabile eſt Philippus, Gratum eſt Lonicer. Decorum eſt, Schol. ſecutus. 68 Κἂν pro καὶ ἐν, non pro καὶ ἐὰν, ut alibi: ideo etiam accentu caret. Sophocles, Ἔργου δὲ παντὸς ὅστις ἄρχεται καλῶς, καὶ τὰς τελευτὰς εἰκὸς ἔσθ' οὕτως ἔχειν, quem ſenſum Plautus expreſſit, *Atque adepol ferme ut quiſque rem accurat ſuam, Sic ei procedit poſt principia.* Φερτέρα leg. MSS. ϛ. γ. 69 Ὁ λόγος] Hæc oratio, Verſio vulgata: vel hic hymnus, ut Philippus & Lonicerus. Portus, Ipſa ratio. Sic vero interpret. Schmid. ut λόγος ſit Ratio i. e. proportio. Hæc fauſti auſpicii navigationis ad fauſtum reditum proportio. 70 Συντυχίαις] Secundum Schmid. Eventibus convenientibus cum dicta proportione, cum auſpicio felicis navigationis. Δόξαν φέρει] Alii, Gloriam addit. 71 Ἔσεσθαι leg. MSS. ϛ. γ. 72 Alii leg σὺν, ἵπποισίν τε, ubi τὶ ante πω corripitur; cujus rei exempla alibi extant, ſi Schmidio credimus. Nos id incommodum vitamus, ſecuti Cod. MS. accuratiſſimum C. 71. Κλυτὰν καὶ ὀνομαστάν] Qui intelligunt Gloriam per Δόξαν, hanc vocem ad eam referunt; eamque exponunt futuram inclytam & celebrandam. Areti ad Hieronem & ſimiles victores refert, & exponit, Probabile eſſe eos, qui certamina ingreſſi incipiunt vivere, deinceps etiam laudabiles fore. Cui interpr. non favet Grammatica. Ita Schmid. παρερμηνεύει, Probabile eſſe Ætnam nuper inſtauratam mox victoria Hieronis nobilitatam, deinceps etiam futuram κλυτὰν καὶ ὀνομαστὰν ſimilibus victoriis.

[Εἴη Ζεῦ.] ἐπειδὴ τὰ περὶ τῆς Τυφῶνος λόγον ἐκίνησε, καὶ τὰς τιμωρίας αὐτοῦ διεξῆλθεν, ὥσπερ φόβῳ διατεθεὶς πρὸς τὰ διηγήματα, καταφεύγει ἐπὶ τὸν Δία εὐχὴν εὐμενῆ. ὁ δὲ νοῦς, εἴη σοι φησὶν ὦ Ζεῦ ἀρέσκειν, ὅστις τοῦτο τὸ ὄρος περιέπεις τὴν Αἴτνην, ἥ ἐστι τῆς εὐκάρπου Σικελίας πρόσωπον· ἤτοι διὰ τὸ ἐπιφανὲς, ἢ διὰ τὸ ὕψος. τιμᾶται δὲ κατὰ τὸ ὄρος τῆς Αἴτνης ὁ Ζεύς. [Γαίας δὲ μέτωπον,] τὴν Αἴτνην μεταφορικῶς φησιν ἀπὸ τῶν ζώων· ἤτοι διὰ τὸ ἐπίσημον αὐτὴν εἶναι, ἢ διὰ τὸ ὕψος καὶ τὴν ἀνάβασιν. [Τοῦ μὲν ἐπωνυμίαν.] τούτου οὖν τοῦ ὄρους τὴν ὁμώνυμον πόλιν Αἴτνην, ὁ ἔνδοξος οἰκιστὴς Ἱέρων ἐδόξασεν, ἀνακηρύξας κατὰ τὰ Πύθια· ἀνεκήρυξε γὰρ ὑπὲρ τὸ καλλίνικον ἅρμα τοῦ Ἱέρωνος ὁ κῆρυξ, οὖσαν αὐτοῦ πατρίδα.

[Ναυσιφορήτοις.] ὡς τοῖς διὰ νηὸς φερομένοις ἀνδράσι χάρις καὶ ἡδονὴ πρώτοις φερομένοις διὰ θαλάσσης, πόμπιμον καὶ οὔριον ἐπιπνεῦσαι ἄνεμον, οὕτω καὶ τῇ Αἴτνῃ ἀνακηρυχθείσῃ πρῶτον ἐν ἀγῶσιν, ἐπιφανεστάτην γενέσθαι φησι. [Ἐοικότα γάρ.] ἐοικὸς γὰρ καὶ πρέπον φησὶ, τὸν ἐξ ἀρχῆς ἀγαθῆς ἀρξάμενον, τοῦτον καὶ τέλους ἐνδόξου τυχεῖν ἔσεσθαι. οὕτως οὖν καὶ τὴν Αἴτνην ἐκ πρώτης ἀρξαμένην ἐν τοῖς ἀγῶσιν, ἐπίδοξον εἶναι ὑπολαμβάνω, καὶ διηνεκῶς εὐπραγήσειν. [Ὁ δὲ λόγος.] ὁ δὲ ἐμὸς ἐγκωμιαστικὸς λόγος, φησὶ, κοσμεῖ καὶ δοξάζει τὴν Αἴτνην, τὴν συντυχίαις ταύταις τῆς νίκης, καὶ εἰς τὸ λοιπὸν αὐτὴν ἵπποις τε καὶ στεφάνοις ἔνδοξον, καὶ σὺν θαλίαις καὶ κώμοις ἥδιστον ὀνομαστὴν ἀποδείκνυσιν, ὥστε τὴν μνήμην αὐτῆς διαμένειν ἄσβεστον.

[Λύκιε,

Καὶ σὺν εὐφώνοις θαλίαις ὀνομαστάν.
Λύκιε, καὶ Δάλοι' ἀνάσσων
Φοῖβε, Παρνασοῦ τε κράναν
Κασταλίαν φιλέων,
Ἐθελήσαις ταῦτα νόῳ
Τιθέμεν, εὔανδρόν τε χώραν.

στροφὴ γ΄. κῶλον ιϛ΄.

Ἐκ Θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς·
Καὶ σοφοὶ, καὶ χερσὶ βιαταὶ, περίγλωσσοί τ' ἔφυν. Ἄνδρα δ' ἐγὼ [κεῖνον
Αἰνῆσαι μενοινῶν, ἔλπομαι
Μὴ χαλκοπάραον ἄκονθ' ὡσεί τ' ἀγῶνος βαλεῖν ἔξω παλάμᾳ δονέων,
Μακρὰ δ' ἐκείψαις ἀμεύσαιθ' ἀντίους.
Εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω, καὶ κτεάνων δόσιν εὐθύνοι, καμάτων δ' ἐπίλασιν παράσχοι·

Et in dulcisonis conviviis celebrem.
O Lycie, & Delo imperans
Phœbe, Parnasique fontem
Castalium amans,
Velis hæc *quæ cano* animo
Ponere, & bene-viris-instructam regionem.

METAPH.

A Diis enim conatus omnes humanis virtutibus *veniunt*:
Et *divinitus* sapientes, & manibus fortes, facundiq; nascuntur. At virum ego illum
Laudare in-animo-habens, spero *me*
Non æreâ-cuspide-munitam sagittam ut extra certamen jacturum, manu vibrantem,
Sed longe ejaculatum victurum adversarios.
Utinam enim omne tempus felicitatem quidem sic, & opum donationem dirigat, dolorum vero *morbi* oblivionem præbeat:

PARAPHRASIS.

& sacris conviviis, ubi Musicæ melos usurpatur celebrem. Quod ut consequi possit, ô Lycie, ô Deli rex, & qui Parnassi fontem Castalium amas Apollo, regionem hanc viris fortibus, hujus meæ precationis memor, instruere velis. Nam quicquid cum animi tum corporis bonorum nobis inest, sive simus prudentes, sive robusti, sive eloquentes, id nos mortales non à nobis habemus, sed à Diis immortalibus mero dono accipimus. Cæterum cum mediter Hieronis laudes, spero me hoc encomio nihil extra rem, nihil præter meritum ejus dicturum: imo etiam quosvis in eo prædicando æmulos carminis excellentia longe superaturum. Atque utinam vir ille perennem fœlicitatem, & perpetuam bonorum possessionem consequi, quinetiam temporis longinquitate gravissimum morbum oblivioni tradere possit.

NOTÆ.

74 Δάλοιο Editt. vulg. Δάλῳ MSS. ϐ. γ. Δαλίῳ MS. C. 71. 78 Τιθέμεν] Pro quo Schol. legisse videtur τιθέμεν, qui exponit πράττειν, συμβαίνειν καὶ ἀποτελεῖν; quod reddendum est juxta Schmid. Consummare vel perficere Εὐανδρεῖν ex sententia Schmid. posset legi. Ita non opus esset repetere τὸ τιθέμεν. Εὐανδρεῖν juxta analogiam πολυανδρεῖν & ὀλιγανδρεῖν, est, Generosis viris abundare, nec invenitur nisi εὐανδρεῖσθαι in hoc sensu; ideoque si εὐανδρεῖν legeretur, posset Active significare. Sed hæc mera est conjectura; & infirmo nititur fundamento. Non enim exinde constat, hanc esse veram lectionem, quia facilior est; aut quia non opus est si ita legimus, ἀπὸ κοινοῦ repetere Verbum cum superioribus connexum. 81 Βιαταὶ Comm. MSS. C. 71. ϐ. γ. 84 Χαλκοπάραον] Dor. pro Χαλκοπάρηον, qu. χαλκὸς παρειὰς ἔχοντα, i. e. Penetrantem, & qu. in animis stimulos relinquentem. Lonicer. & Philippus τὸ μὴ refer. ad χαλκοπάραον, qu. remotione hujus epitheti vellet indicare Poëta se Metaphoricam, non ære armatam sagittam, intelligere. Quasi id non esset cuivis apertum. Adde quod Negativa particula hoc modo conjuncta cum χαλκοπάραον, sensus esset, spero me sagittam extra ἀγῶνα jacturum. Ἀγὼν vero est, Locus certaminis seu arena. Schmidio vero ἔξω ἀγῶνος est, Alienum à Scopo, & falsum. Constructionis vero ordo in Schol. traditur. 86 Alii leg. μακρὰ δὲ ῥίψαις, i. e. Si laudes Hieronis quam longissime extendero; explicante Schmidio. Nos MS. C. 71. secuti mutav. quo facilius esset metrum. Istud vero MS. ἐκρίψαις commune hab. Ἀμεύω & ἀμεύσασθαι est, Transitu superare. Pindar. Lex. deducit, vel ab ἀμὸς Dor. pro ἡμὸς vel ἡμὸς, ut sit, In meam vel nostram potestatem redigo: vel ab ἀμείβομαι, quod aliquando signif. Transeo, ut in phrasi Homer. Ἀμείψεται ἕρκος ὀδόντων. Forsan tamen hoc verbum est ex iis, quæ jacta sunt qu. fundamenta Græcæ linguæ, nec ab alio derivantur. Ἀμεύσασθαι leg. MSS. ϐ. γ. Ἀντίους] Per hanc vocem interpretes intelligunt Poëtas æmulos & adversarios, Bacchyliden aliosque, quibus Schmid. add. Hieronis malevolos. 88 Κτεάνων δόσιν εὐθύνοι] Per hæc verba Schmid. intelligit, Poëtam cum arguere Hieronem, quod non recte elargitionem semper faciat; tum monere, ut Citharam auream promissam tandem sibi exhibeat.

[Λύκιε, καὶ Δάλοιο ἀνάσσων.] ὦ Λύκιε Ἄπολλον, καὶ τῆς Δάλου βασιλεύων, καὶ τοῦ Παρνασοῦ τοῦ ἐν Φωκίδι ὄρους τὴν Κασταλίαν κρήνην φιλῶν, ἐθελήσαις ταῦτα ἃ εὔχομαι, τῷ σῷ νόῳ πράττειν καὶ συμβαίνειν, καὶ εὔανδρον ἀποτελεῖν τὴν χώραν. [Ἐκ θεῶν γὰρ μαχαναί.] ἐκ θεῶν γάρ φησι ταῖς ἀνθρωπίναις ἀρεταῖς, πᾶσαι μηχαναὶ δωροῦνται. κατὰ δαίμονα γάρ τινες σοφοὶ, καὶ τῇ χειρὶ ἀνδρεῖοι, καὶ ἄγαν εὔγλωσσοι, καὶ δυνατοὶ κατὰ τὸ λέγειν ἐγένοντο. [Ἄνδρα δ' ἐγὼ κεῖνον.] τὸν δὲ Ἱέρωνα ἐγκωμιάσαι προθυμούμενος, ἐλπίζω παρὰ σκοπὸν μὴ ῥίψειν τὸν ὕμνον, ἀντὶ τοῦ, κατὰ σκοπὸν δοκῶ βαλεῖν τοὺς ὕμνους, καὶ ἄξιον ὄντα τὸν Ἱέρωνα ἀνυμνεῖν. [Μὴ χαλκοπάραον.] τὸ ὑπερβατον, οὕτω. μὴ ὥσπερ χαλκοπάραον ἄκοντα παλάμᾳ δονέων ἀγῶνος ἔξω βαλεῖν. [Μακρὰ δὲ ῥίψαις.] ἐλπίζω δὲ μακρῶς καὶ δυνατῶς ἀκοντίσας, παρελθὼν, καὶ νικῆσαι τοὺς ἐναντίους. [Εἰ γὰρ ὁ πᾶς χρόνος.] τὸ εἰ τοῦτο νῦν, εὐκτικόν ἐστιν, ἀντὶ τοῦ εἴθε. εἴθε γάρ φησιν ὁ πᾶς χρόνος τήν τε εὐδαιμονίαν καὶ τὸν πλοῦτον, ἐπ' εὐθείας ἀγάγοι, καὶ τῶν καμάτων τῶν τῆς λιθείας ἐπίλησιν ἀγάγοι, ὡς ἐγὼ τοὺς ἐναντίους νικῆσαι προσδοκῶ. [Καμάτων δ' ἐπίλασιν παράσχοι.] καμάτων φησὶ, τῶν συνεχόντων τὸν Ἱέρωνα ἐκ τοῦ νοσήματος τῆς λιθείας. φησὶ γάρ τις καὶ Ἀριστοτέλης, ἐν τῇ τῶν Γελῴων πολιτείᾳ, Γέλωνα τὸν τοῦ Ἱέρωνος ἀδελφὸν, ὑδέρῳ νοσήματι τὸν βίον τελευτῆσαι. αὐτὸν δὲ τὸν Ἱέρωνα ἐν τῇ τῶν Συρακουσίων πολιτείᾳ δυσουρίᾳ δυστυχῆσαι.

ἀντιστροφὴ γ'. κώλων ιϐ'.

Ηκεν ἀμμνάσειεν οἵαις
Εν πολέμοισι μάχαις
Τλάμονι ψυχᾷ παρέμει-
ν', ἀνίχ' εὑρίσκοντο Θεῶν παλάμαις τιμὰν,
Οἵαν οὔτις Ελλάνων δρέπει,
Πλούτου στεφάνωμ' ἀγέρωχον. Νῦν γε μὰν
Τὰν Φιλοκτήταο δίκαν ἐφέπων,
Εστρατεύθη. Σὺν δ' ἀνάγκᾳ μιν φίλον
Καί τις ἐὼν μεγαλά-
νωρ, ἔσανεν. Φαντὶ δὲ Λαμνόθεν ἕλ-
κει τειρόμενον μεταλλάσ-
σοντας ἐλθεῖν

ἐπῳδὸς γ'. κώλων ιε'.

Ηρωας ἀντιθέους Ποί-
αντος υἱὸν τοξόταν·

METAPH.

Certe in-mentem-revocaturum-esset qualibus
In bellis pugnis
Toleranti animo perseveranter-interfue-
rit, cum invenerint Diis juvantibus honorem,
Qualem nemo Græcorum decerpit,
Opum decus magnificum. Nunc quidem
Philoctetæ morem imitatus
Militavit. Ex necessitate vero ei amico
Etiam aliquis existens magnani-
mus, blanditus-est. Ajunt vero è-Lemno ul-
cere vexatum *abducendum* investi-
gaturos *eo* venisse

METAPH.

Heroas divinos Pœ-
antis filium Sagittatorem:

PARAPHRASIS.

Sane in memoriam facile revocaret, quales pugnas quam patienti, fortique animo in bellis sustinuerit, quando divina ope adjutus Siculum regnum est adeptus, quale Græcorum nullus obtinet, quodque ejus divitias magnificentia dignitatis exornat. Tum temporis autem quum in militiam profectus est, ægrotabat quemadmodum Philoctetes quum ad expeditionem Trojanam est pertractus: eique necessitate adactus, tanquam amico adblanditus est magnus quidem vir, puta Anaxilaus qui minis ejus à bello in Locros Italos parato est deterritus. Dicunt autem Philocteten cum ulcere vexaretur in Lemno, inde ad Trojanum bellum adductum fuisse, quum quæsitum iverunt Heroes divini illum Pœantis filium insignem sagittarium,

NOTÆ.

91 Alii ἂν μνάσειεν Αμμνάσειεν est Syncope Æol. & Poët. pro ἀναμνάσειεν. Οἵαις leg. Edit. Rom. 93 Παρέμεινε] redd. alii sustinuerit, sensum satis exprimentes, quasi οἵας μάχας ὑπέμεινε. Schmid. intelligit hæc de Anaxilao vel Therone, vel Carthaginensibus & Tyrrhenis, æque ac bello inter Hieronem & Gelonem; de quo Schol. 96 Στεφάνωμα] Forte alludit ad τιμὰν ἐν τοῖς ἀγῶσι, quæ erat Corona. Νῦν γε μὰν Omitt. MS. C. 71. 97 Εφέπων leg. Cod. Aug. qnod metrum rejicit. 98 Ανάγκα] Quia scil. viribus se imparem intellexit. Schmid. Φίλον] Ut conciliaret Hieronem sibi φίλον. 99 Μεγαλάνωρ] Schmid. intell. non solum de iis, quorum Schol. meminit sed & de Therone. De cujus dissidio vide Ol. 2 MS. C. 71. leg. μεγαλά-- propter incuriam scribæ, qui ex hoc errore in alium delapsus est. Propter similitudinem enim hujus τοῦ μεγαλά-- cum μεταλλά-- facile omisit quæcunque interjacent qui hoc exemplar exscripsit; adeo ut ab hac voce, usque ad μεταλλάσσοντας deficiat. 101 MS. γ. leg. μεταλλάσοντες, quod Dor. pro μεταλλήσοντες. Cæterum in scansione unum λ quasi obliteratur; & ideo Steph. legisse videtur μεταλάσ--. Ita etiam in voce ἀιδαλλ. alterum λ eliditur propter metrum Pyth. 4.

[Η κεν ἂν μνάσειεν.] καὶ τάχα ἂν εἰς ὑπόμνησιν ἀγάγοι, ὁποίας ὁ Ἱέρων ἐν τοῖς πολέμοις, τῇ πολεμικῇ ἑαυτοῦ, καὶ ὑπομονητικῇ ψυχῇ ὑπέμεινε μάχας, ἡνίκα ἐκτῶντο τὴν Σικελικὴν τυραννίδα, ἣν αὐτοῖς οἱ θεοὶ ταῖς ἑαυτῶν μηχαναῖς ἐδωρήσαντο, ὁποίαν οὐδεὶς τῶν ἄλλων Ελλήνων δρέπεται, τὸ τοῦ πλούτου οὖσαν στεφάνωμα τίμιον. φασὶ δὲ τὸν Ἱέρωνα καὶ πρὸς Γέλωνα τὸν ἀδελφὸν ἐστασιακέναι, τῆς ἀρχῆς ἕνεκα. [Αλλως. Ηκεν ἂν μνάσειεν.] ἀναμνήσειεν ἂν ὁ χρόνος, εἰ ἐπίλησις γένοιτο τῶν καμάτων, ὥστε φανερὰν αὐτοῦ γενέσθαι τὴν ἀρετὴν ἣν εἶχεν ἐν πολέμοις. [Ανίχ' εὑρίσκοντο θεῶν.] ὁ μὲν λόγος ἐστὶ περὶ Ἱέρωνος, καὶ Γέλωνος, τῶν τυραννησάντων ἐν Συρακούσαις. τὸ δὲ σημαινόμενον, ὅτε σὺν τῇ τῶν θεῶν μηχανῇ ἀνεκτῶντο τὴν βασιλείαν. τιμὴν γὰρ εἴωθε τὴν βασιλείαν ὀνομάζειν. [Νῦν γε μὰν,] τὰν Φιλοκτήταο δίκαν. ὅτι δὲ τοῦ παρόντος, τὸν Φιλοκτήτου τρόπον ὁ Ἱέρων μετερχόμενος, ἐστρατεύθη καὶ τὴν μάχην ἐνίκησε. φορείῳ δὲ φερόμενος ὁ Ἱέρων διὰ τὴν λιθουρίαν κατηγωνίζετο τοὺς ἐναντίους. παραβάλλων δὲ αὐτὸν, τῷ Ποίαντος Φιλοκτήτῃ παρείκασε. [Σὺν δ' ἀνάγκᾳ φίλον.] σὺν δὲ τῇ ἀνάγκῃ τῆς νόσου, καί τις ὑπερήφανος, ἔσανε καὶ ἐκολάκευσεν αὐτὸν τὸν Ἱέρωνα δηλονότι. βούλεται δὲ λέγειν ὅτι καὶ νοσοῦντα αὐτὸν, πολλοὶ τῶν ὑπερηφάνων ἐκολάκευσαν. [Αλλως. Καί τις ἐὼν μεγαλάνωρ.] αἰνίττεται δὲ τοῦτο, εἰς Αναξίλαον τὸν τῶν Ρηγίνων βασιλέα· βουληθέντα Λοκροὺς καταπολεμῆσαι τοὺς ἐν Ἰταλίᾳ, καὶ ἐμποδισθέντα τῇ τοῦ Ἱέρωνος ἀπειλῇ. ὅτι δὲ Αναξίλαος Λοκροὺς ἠθέλησεν ἄρδην ἀπολέσαι, καὶ ἐκωλύθη πρὸς Ἱέρωνος, ἱστορεῖ καὶ Επίχαρμος ἐν Νάσοις· ἕτεροι δὲ, τὸν Θήρωνα λέγειν, ἔφασαν, ὡς τοῦ Θήρωνος μεγάλα μὲν δυναμένου, κολακεύοντος δὲ τὸν Ἱέρωνα. [Φαντὶ δὲ Λαμνόθεν.] ταύτῃ τῇ ἱστορίᾳ καὶ Βακχυλίδης συμφωνεῖ ἐν τοῖς Διθυράμβοις, ὅτι δὴ οἱ Ελληνες ἐκ Λήμνου μετεστείλαντο τὸν Φιλοκτήτην, Ελένου μαντευσαμένου. εἵμαρτο γὰρ ἄνευ τῶν Ηρακλείων τόξων μὴ πορθηθῆναι τὴν Ιλιον. [Μεταλλάσοντας.] ἐπιζητήσοντας. ἡ δὲ μεταφορὰ, ἀπὸ τῶν τὰ μέταλλα ἐπιζητούντων. ἐπειδὴ δὲ διὰ τὸ πάθος τῷ Φιλοκτήτῃ τὸν Ἱέρωνα εἴκασε, τῇ ἐπεξεργασίᾳ χρώμενος, ἐπιπλέον αἴρει τὰ ἐγκώμια. ὁ δὲ νοῦς, φασὶν, ἐκ Λήμνου, τῷ ἕλκει καταπονούμενον τὸν τοῦ Ποίαντος υἱὸν τοξότην ἐπιζητήσοντας ἐλθεῖν τοὺς ἰσοθέους ἥρωας.

[Os

Ος Πριάμοιο πόλιν πέρ-	Qui Priami urbem ever-
σεν, τελεύτασέν τε πόνους Δαναοῖς,	tit, finivitque labores Danais,
Ασθενεῖ μὲν χρωτὶ βαίνων·	Infirmo ſane corpore incedens:
Αλλὰ μοιρίδιον ἦν.	Sed *ita fieri* fatale erat.
Οὕτω δ' Ἱέρωνι Θεὸς ὀρθωτὴρ πέλοι	Sic vero Hieroni Deus rector adſit
Τὸν προσέρποντα χρόνον, ὧν	Sequenti tempore, *eorum* quæ
Εραται, καιρὸν διδούς.	Optat, opportunam-facultatem tribuens.
Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι,	O Muſa, & apud Dinomenem ad-canendum;
Πείθεό μοι, ποινὰν τεθρίππων.	Obſequere mihi, præmium quadrigarum.
Χάρμα δ' οὐκ ἀλλότριον νι-	Gaudium enim non alienum *à filio* vi-
καφορία πατέρος.	ctoria patris.
Αγ', ἔπειτ' Αἴτνας βασιλεῖ	Age, deinceps *futuro* Ætnæ regi
Φίλιον ἐξεύρωμεν ὕμνον.	Gratum excogitemus hymnum.
στροφὴ δ'. κώλων ιϛ'.	**Metaph.**
Τῷ πόλιν κείναν θεοδμά-	Cui urbem illam divinitus-fun-
τῳ σὺν ἐλευθερίᾳ,	data cum libertate,

Paraphrasis.

qui Trojam, ubi erat Priami regia, ſubvertit, & Græcorum diuturnæ ac laborioſæ obſidioni finem impoſuit. Nam etſi corpore eſſet invalido, erat tamen in fatis, ut non ſine ipſo, qui ſagittas Herculis habebat, Græci Ilium caperent. Quemadmodum autem Philoctetæ Deus fuit recuperandæ ſanitatis author: ſic etiam velim ut divino beneficio liberatus morbo Hiero, votorum omnium fiat compos in poſterum. Cæterum ô Muſa, obſequere mihi jubenti, ut apud Dinomenem decantes hoc encomium quod patri Hieroni pro currulis certaminis præmio contexo. Non enim id illi moleſtum fore puto, quandoquidem ingenuo filio debet eſſe jucunda patris victoria. Poſtea etiam ô Muſa eidem Dinomeni Catanes inſtauratæ, Ætnæque cognominatæ regi gratum hymnum excogitemus: cui quidem pater Hiero urbem illam divina libertate donatam,

Notæ.

109 Schmid. leg. Ἱέρωνί τις ὀρθωτὴρ vel Θεὸς σωτήρ. Licet vero priorem conjecturam probemus, nec in Textum repoſuimus: neque ſenſum talem admittimus, qualem ipſe verbis tribuit. Nam τὶς ὀρθωτὴρ ei eſt Machaon. Quod ſi alii ita intellexiſſent, vix in locum τοῦ τὶς τὸ Θεὸς ſuffectum fuiſſet. Et ſane ſequentia ad Θεὸς melius referri poſſunt, quod & ipſe Schmid. ſenſit, ut ex poſteriore conjectura patet. Qui vero id cogitat forſan non abſurde Θεὸς eſſe Scholion judicabit; præſertim quando tam levis mutatio metrum aperte tueatur. Nulli tamen Codd. hanc lect. agnoſcunt. Πέλει leg. Alii. Sophocles Philoſtratus & Pauſan. in Arcad. ſcribunt, Philocteten ſanatum Rubrica, qualis eſt Bolus Armena; vel rectius, judice Medico, Benedicto ſcilicet, Terra Lemnia & Sphragide. Alio tamen Medicamento uſum fuiſſe docet Schol. 110 Τόν γε leg. C. 71. 112 Aug. Cod. καὶ περὶ Δεινομένει. 113 Πείθεό μοι] i. e. Schmid. Perſuadearis mihi. Lonicer. redd. Active, Perſuade mihi. Ποινὰν] Schmid. interpret. Pretium vel mercedem, & honorem debitum. Hinc ἄποιν' ἀρετᾶς Pyth. 2. pro Hymno. 114 Χάρμα κ. λ.] Lonicer. reddit, Lætitiamque à victoria Patris minime alienam, concinam. Ad κελαδῆσαι enim refert; & νικαφορίᾳ in Dativo accipit. 116 Ἔπειτ' Αἴτνας βασιλεῖ] Τὸ ἔπειτα ad βασιλεῖ refertur, ſubintellecto Participio ἐσομένῳ q. d. Δεινομένει ἔπειτα— βασιλεῖ. Deinceps Regi, i. e. poſt mortem Patris. Verum omen fefellit Poëtam; Nam Catanæi ab Hierone expulſi, ſtatim poſt mortem ejus poſtliminio reverſi, inquilinos expulerunt, ſepulcrumq; Hier diruerunt, ut ex Strab. conſtat. 118 Κλεινὰν leg. Cod. Aug.

[Ος Πριάμοιο πόλιν πέρσεν.] ὃς τις Φιλοκτήτης, τὴν Ἴλιον ἐπόρθησε, καὶ ἐπὶ τέλος ἤγαγε τοῖς Ἕλλησι τοὺς πόνους. ἀνεῖλε γὰρ τὸν Πάριν. ἀσθενεῖ μὲν καὶ ἀδυνάτῳ σώματι βαδίζων, ἀλλὰ μεμοιραμένον ἦν τὸ τὴν Ἴλιον ἁλῶναι τοῖς Ἡρακλείοις τόξοις. [Οὕτω δ' Ἱέρωνι Θεός.] οὕτω δέ φησι τῷ Ἱέρωνι ὁ Θεὸς, ὀρθωτὴρ καὶ ἰατὴρ γένοιτο, ὡς καὶ τῷ Φιλοκτήτῃ. φησὶ γὰρ Διονύσιος, χρησμοῖς Ἀπόλλωνος ἀπολειπόμενον τὸν Φιλοκτήτην, ἀφυπνῶσαι. τὸν δὲ Μαχάονα ἀφελόντα τοῦ ἕλκους τὰς διασαπείσας σάρκας, καὶ ἐπικλύσαντα οἴνῳ τὸ τραῦμα, ἐπιπάσαι βοτάνην, ἣν Ἀσκληπιὸς εἰλήφει παρὰ Χείρωνος, καὶ οὕτως ὑγιασθῆναι τὸν ἥρωα. [Ἄλλως. Οὕτω δ' Ἱέρωνι Θεὸς] οὕτως οὖν καὶ τῷ Ἱέρωνι ὡς τῷ Φιλοκτήτῃ, ὁ Θεὸς, ὀρθωτὴρ καὶ ὑγείας αἴτιος γένοιτο εἰς τὸν ἐσόμενον χρόνον, ὧν ἐπιθυμεῖ εὐεργεσίαν παρεχόμενος. [Ἄλλως.] οὕτω δὲ τῷ Ἱέρωνι ὀρθωτὴρ καὶ θεραπευτὴς καὶ ἰατὴρ ὁ Θεὸς γένοιτο, ὡς καὶ τῷ Φιλοκτήτῃ. [Μοῖσα καὶ πὰρ Δεινομένει.] ὦ Μοῦσα, πείθου μοι χορεῦσαι καὶ παρὰ τῷ Ἱέρωνος υἱῷ Δεινομένει, ποινὴν καὶ ἀντίκτισιν τῷ νικηφόρῳ ἅρματι παρεχομένη τὸ ἐγκώμιον. οὐ γὰρ ἀλλοτρία ἡδονὴ τῷ παιδὶ, ἡ τοῦ πατρὸς νίκη. Δεινομένης δὲ υἱὸς Ἱέρωνος, ἐκ τῆς Νικοκλέους τοῦ Συρακουσίου θυγατρὸς, κατὰ Φίλιστον καὶ Τίμαιον. ἐκ γὰρ τῆς Αναξιλάου θυγατρὸς, καὶ τῆς Θήρωνος ἀνεψιᾶς, οὐκ ἐπαιδοποίησεν ὁ Ἱέρων, προγήμας ταύτην. ὅθεν ἐστὶ καὶ ὁ παῖς, ὁμώνυμος τῷ πάππῳ. Δεινομένης γὰρ ὁ πατὴρ Ἱέρωνος. [Ἀγ' ἔπειτ' Αἴτνας.] ἄγε τοίνυν ὦ Μοῦσα, ἐπὶ τῷ τῆς Αἴτνης βασιλεῖ Δεινομένει, προσφιλέστατον ἀνευρῶμεν ὕμνον. [Τῷ πόλιν κείναν.] ᾧ τινι Δεινομένει ὁ Ἱέρων δηλονότι, τὴν Αἴτνην ἔκτισε, καὶ διοικεῖν ἔδωκε, σὺν θείᾳ ἐλευθερίᾳ. καὶ τοῖς νόμοις τῆς Δωρίου δικαιοσύνης. ἀπὸ κοινοῦ τὸ διοικεῖν ἔδωκεν. [Ἄλλως.] ἀνακτίσας τὴν Κατάνην ὁ Ἱέρων, καὶ Αἴτνην μετονομάσας, διοικεῖν Δεινομένει τῷ υἱῷ ταύτην δέδωκεν, ἐν νόμοις τῆς Δωρίδος στάθμης. τοῦτο δὲ λέγει, ἐπεὶ στρατηγὸν αὐτῆς κατέστησεν αὐτὸν, ἐλευθέρους ἀφεὶς τοὺς Αἰτναίους, καὶ τοῖς Λακωνικοῖς τρόποις, ἢ νόμοις χρωμένους.

Ὑλλίδος στάθμας Ἱέρων
Ἐν νόμοις ἔκτισε. Θέλοντι δὲ Παμφύλου
Καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι,
Ὄχθαις ὕπο Ταϋγέτου ναίοντες, αἰ-
εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ
Δωριῆς. Ἔσχον δ᾽ Ἀμύκλας ὄλβιοι,
Πινδόθεν ὀρνύμενοι,
Λευκοπώλων Τυνδαριδᾶν βαθύδο-
ξοι γείτονες, ὧν κλέος ἄν-
θησεν αἰχμᾶς.

ἀντιστροφὴ δ΄. κώλων ιϛ΄.

Ζεῦ τέλει᾽ αἰεὶ δὲ τοιαύ-
ταν, Ἀμένα παρ᾽ ὕδωρ,
Αἶσαν, ἀστοῖς καὶ βασιλεῦ-
σιν, διακρίνειν ἔτυμον λόγον ἀνθρώπων.
Σύν τοι τίν κεν ἁγητὴρ ἀνὴρ,

Hyllidis amussis Hiero
In legibus condidit. Volunt vero Pamphyli
Atque etiam Heraclidarum posteri,
Sub collibus Taygeti habitantes, sem-
per manere in legibus Ægimii
Dorienses. Sed coluerunt Amyclas fortunati,
E-Pindo profecti,
Albis-equis-vectorum Tyndaridarum ce-
leberrimi vicini, quorum gloria flo-
ruit hastæ *i. e. virtutis bellicæ.*

Μεταφ.

Jupiter perfice *quæ peto*: semperque ta-
lem, Amenæ juxta aquam *habitantibus*,
Fortunam, largire civibus & regi-
bus, ut-dijudicent veram famam hominum.
Tua ope vir ductor *ad virtutem*,

PARAPHRASIS.

& Laconicis legibus institutam tradidit, collocatis in ea Gelois, Megarensibus, & Syracusiis, qui Doriensium erant coloni. Neque enim aliam instituendæ reipub. rationem sequi potuisset: cum illi Pamphyli & Heraclidarum posteri, Laconicæ regionis incolæ Dorienses, in statutis ab Ægimio Pamphyli patre legibus permanere velint. Quas fortunati illi homines ex Pindo ad Peloponnesum & Laconiam occupandam profecti attulerunt, ibique habitantes observarunt: ubi Dioscurorum, qui ex Amyclis natali solo sedes in vicinum Argos transtulerunt, celeberrimi vicini evaserunt, & armorum gloria floruerunt. O Jupiter effice quæso ut cum populus Ætnæus, tum reges ejus prope fluvium Amenam habitantes, hujusmodi prospera fortuna in perpetuum fruantur: & reipsa comprobent verum esse quod dicunt homines, ipsos libertatem servare, legesq; Laconicas observare. Quinetiam Siciliæ rex Hiero,

NOTÆ.

123 Ὄχθαις] Schmid. interprete, Clivis præruptis. 125 Δωριῆς Att. pro Δωριεῖς. Alii absque ι subscripto leg. Quod Schmid. censet Atticum esse pro Δωριεῖς. Bened. vero Dor. pro Δωριεῦς. Interpret. vulg. reddidit Doricis, scil. legibus; quo sensu Δωρικοῖς scribi debet. 128 Ἄνθησεν] i. e. Viguit, incrementa accepit. 129 Αἰχμᾶς] Scil. ἕνεκεν, Propter cuspidem, vel refertur ad κλέος. 130 Alii τέλει᾽, quasi ex τέλεε, à verbo Poët. τελείω pro τελέω. 131 Ἀμένα] Strabo lib. 5. vocat Ἀμένανον. Et MS. C.71. hab. Ἀμενάν. 133 Βασιλεῦσι Alii. Διακρίνειν κ. λ.] Schmid. interpret. Ut recta ratio intelligat, vel ut quivis sanæ mentis cognoscat talem fuisse fortunam iis, qualis fuit Heraclidis. 134 Τίν est Dor. pro σοί, quod regitur à præpositione σύν. Aug. Cod. σύν τοι τίς κεν. MS. C. 71. leg. ἁγιστήρ.

[Ὑλλίδος στάθμας.] νόμῳ τῆς Δωρίδος δικαιοσύνης, ἀπὸ Ὕλλου τοῦ ἐπιφανεστάτου τῶν Δωριέων, ὃς ἐβασίλευσε τῶν περὶ Ἰταλίαν οἰκησάντων. ἔνιοι δὲ τὸ Ὑλλίδος στάθμας, τῆς Λυκούργου φασὶ νομοθεσίας. οὗτος γὰρ ἑνδέκατός ἐστιν ἀπὸ Ἡρακλέους, ὡς Ἔφορος ἱστορεῖ. ὁ οὖν Ἱέρων Γελώους καὶ Μεγαρεῖς, καὶ Συρακουσίους, ὄντας τῶν Δωριέων ἀποίκους, ἐνῴκησε τῇ Αἴτνῃ. καὶ οὕτως ἂν ὁ λόγος ἀκολουθίαν ἔχοι. ὡς καὶ Δωριεῦσιν οὖσιν Αἰτναίοις, καὶ Λακωνικοὺς νόμους θέσθαι τὸν Ἱέρωνα. [Θέλοντι δὲ Παμφύλου.] Πάμφυλος, καὶ Δύμας, καὶ Δῶρος, υἱοὶ Αἰγιμίου. ἀφ᾽ ὧν Παμφυλὶς, καὶ Δυμανὶς, φυλαὶ ἐν Λακεδαίμονι. ὁ δὲ νοῦς. θέλουσι δὲ οἱ Ὑλλίδαι, τουτέστιν οἱ Λακεδαιμόνιοι, ἀπὸ Ἡρακλέους καὶ Παμφύλου κατάγεσθαι. [Ἄλλως.] οἱ Δωριεῖς οἰκοῦντες πρότερον τὴν Πίνδον, μίαν οὖσαν τῆς τετραπόλεως τῆς ἐν Περραιβίᾳ, ἀφικνοῦνται εἰς τὴν μεταξὺ Οἴτης καὶ Παρνασσοῦ Δωρίδα, ἑξάπολιν οὖσαν. ἔστι δὲ Ἐρινεὸν· Κύτινον· Βοιὸν· Λίλαιον· Κάρφαια· Δρυόπη. ἐκ δὲ τούτων σὺν τοῖς Ἡρακλείδαις, εἰς Λακεδαίμονα κατέρχονται. ὁ δὲ νοῦς ἐπαμφοτερίζει. θέλουσι δὲ οἱ ἀπὸ Παμφύλου Ἡρακλέους ἀπόγονοι Δωριεῖς, οἱ παρὰ τοῖς ὄχθαις τοῦ Ταϋγέτου μένοντες, ἐμμένειν τοῖς Αἰγιμίου νόμοις. [Ὄχθαις ὕπο Ταϋγέτου] Ταΰγετον, ὄρος Λακωνικὸν, οὗ καὶ Ὅμηρος μέμνηται· Ἢ κατὰ Τηΰγετον περιμήκετον.

[Ἔσχον δ᾽ Ἀμύκλας.] κατέσχον τὴν Σπάρτην. ἀπὸ μιᾶς γὰρ πόλεως, τὴν πᾶσαν ἐμφαίνει Λακωνικήν. [Πινδόθεν.] λέγει ὅτι οἱ Δωριεῖς, διὰ Πίνδου τὴν κάθοδον ποιησάμενοι, εὐχερῶς τῆς Πελοποννήσου ἐγένοντο ἐγκρατεῖς. Πίνδος δὲ Περραιβίας ὄρος. [Ἄλλως.] Πινδόθεν τοὺς Ἡρακλείδας θέλει λέγειν ὁρμῆσαι, καθ᾽ ὃν χρόνον ἀνεκτήσαντο τὴν Πελοπόννησον καὶ Λακωνικήν. [Βαθύδοξοι γείτονες.] ἔδει σύνοικοι εἰπεῖν. ἀλλὰ ῥητέον ὅτι ἱστοροῦσι τινὲς τοὺς Διοσκούρους, μετῳκηκέναι εἰς Ἄργος. γειτνιᾷ δὲ τὸ Ἄργος τῇ Λακεδαίμονι. καὶ οὕτως ὁ Πίνδαρος κατὰ λόγον, γείτονας φησὶ τοὺς Λακεδαιμονίους τῶν Διοσκούρων. [Ζεῦ τέλει᾽.] ὦ Ζεῦ τέλειε διὰ παντὸς τοῖς Αἰτναίοις τοῖς περιοικοῦσι τὸν Ἀμένην ποταμὸν, τοιαύτην μερίδα βασιλεῦσί τε, καὶ δημόταις παρέχου, ὥστε τὸν τῶν ἀνθρώπων λόγον διακρίνειν τοῦτο καὶ ἀληθὲς ἀποφαίνειν, ὅτι ἐν ἐλευθερίᾳ εἰσίν. οἱ δὲ, τοιαύτην μοῖραν τοῖς Αἰτναίοις ἀνδρείας θείας, καὶ Λακεδαιμονίοις κατὰ πόλεμον ἔχουσι, δίδου τοῖς βασιλεῦσι, καὶ τοῖς ἀστοῖς, μοῖραν εὐτυχίας. [Σύν τοι τίν κεν ἁγητήρ.] σὺν σοὶ ὦ Ζεῦ, ὁ τῆς Σικελίας, ἡγητὴρ, ἤγουν βασιλεὺς Ἱέρων, τοῦ ἑαυτοῦ υἱῷ Δεινομένει ἐντελλόμενος, τὸν τῶν Αἰτναίων δῆμον ἐπιστρέπει διὰ παντὸς, εἰς σύμφωνον καὶ εἰρηναίαν ἡσυχίαν.

[Λίσσομαι,

Υἱῷ τ' ἐπιτελλόμενος, δᾶμόν τε γέ-
ρων τράποι σύμφωνον ἐφ' ἡσυχίαν.
Λίσσομαι, νεῦσον Κρονίων, ἅμερον
Ὄφρα κατ' οἶκον ὁ Φοί-
νιξ, ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ,
Ναυσίστονον ὕβριν ἰδὼν,
Τὰν πρὸ Κύμας·

ἐπῳδὸς δ'. κώλων ιε'.

Οἷα Συρακοσίων ἀρ-
χῷ δαμασθέντες πάθον,
Ὠκυπόρων ἀπὸ ναῶν·
Ὅς σφιν ἐν πόντῳ βάλεθ' ἁλικίαν,
Ἑλλάδ' ἐξέλκων βαρείας
Δουλείας. Αἱρέομαι

Filioque præcipiens, populumque se-
nex vertat ad concordem pacem.
Supplex-oro, annue Saturnie, pacifica
Ut in domo Phœ-
nix,Tyrrhenorumq; strepitus *se* contineat,
Navibus-suis-noxiam cladem intuitus,
Quæ ante Cumam *ei venit*:

METAPH.

Qualia Syracusiorum *à* du-
ce victi passi-sunt,
Velocibus à navibus:
Qui ipsis in mari disjecit juventutem,
Græciam extrahens *è* gravi
Servitute. Amplector quidem

PARAPHRASIS.

tua ope adjutus, filium Dinomenem mandatis paternis obnoxium regens, Ætnæamque gentem honore cumulans, mutuæ pacis & concordiæ vinculis inter se obliget, quo tranquillitatem, præstantissimum reip. bonum foveant. Tibi quoque supplico Saturni fili, ut annuas Phœnicibus & Tyrrhenis bello non ita pridem vexatis, tranquilla in domo considere, intuitus cladem illam quam ante Cumas navali prælio acceperunt: quando Hiero Syracusanus tyrannus veloci classe militibus instructa ad Cumæorum, quos illi oppressuri videbantur, defensionem, florentem juventutem in mare projectam perdidit: & hanc Græciæ regionem à gravi servitute imminenti liberavit.

NOTÆ.

135 Επιτελλόμενος.] Exortus, ex sententia Schmid. factus, vel existens, dux scil. ad omnem virtutem. Utrum tamen ita hoc loco significet, non satis constat. Quare ad Schol. interpretationem accedimus, propter υἱῷ, cui annecti videtur. Schmid. vero hoc modo ordinat, Ἱέρων, ἐπιτελλόμενος ἀγητήρ τι, γέρων τι, τράποι δᾶμον υἱῷ ἐφ' ἡσυχίαν σύμφωνον. Δᾶμον γεραίρων MSS.C.71. & γ. Δᾶμόν τε γεραίρων Cæteræ Editt. præter Cratand. & qui eam secuti sunt, metri gratia. 136 Τράπῃ leg. MS. γ. Cod. Aug. hab. ἐς ἡσυχίαν. Rom. omitt. ἐφ'. 137 Ἅμερον] Innuitur, antea Hieronem ab iis lacessitum fuisse, sed defensorem sui & vicinorum, victorem evasisse. Schmid. 140 Ὕβριν ἰδὼν] Lonicer. reddit, ut per singulas domos Phœnix Tyrrhenorumque turba sentiat naves contristantem vim, observans ante Cumas, qualia perpessi sunt &c. Refert vero ἔχῃ ad ὕβριν, & post ὕβριν comma ponit; refertque ἰδὼν tantum ad sequentia. Aliter etiam Schol. ἰδὼν referens ad Κρονίων. 142 Συρακουσίων leg. Codd. omnes, præter Schmid. quem sequimur. 143 Δαμασθεὶς leg. MS. γ. & δὲ supra script. habet. 145 Ηλικίαν Commune MS. γ. Florem militarem. 147 Ελέομαι Schmid. ex sola conjectura. In hoc κώλῳ vero αἱ-- est brevis syllaba.

[Λίσσομαι, νεῦσον Κρονίων.] καθικετεύω σε ὦ Κρόνου παῖ Ζεῦ, ἐπίνευσον. ὅπως ὅ, τε τῶν Φοινίκων, καὶ ὁ τῶν Καρχηδονίων, καὶ Τυρσηνῶν θόρυβος, ἥσυχον καὶ εἰρηναῖον ἔχῃ τὸν οἶκον. ἢ ἐπίνευσον θεασάμενος τὴν περὶ τῆς Κύμης ναυμαχίαν, ἃ καταπολεμηθέντες, ὑπὸ τοῦ Ἱέρωνι πεπόνθασιν. [Ἄλλως.] χαριέστατα ἐκ τῶν θορύβου τὴν τῶν βαρβάρων ἀκοσμίαν ὑπεσήσατο, ὡς καὶ Ὅμηρος· Ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει. [Ἄλλως.] Τυρσηνοὶ καὶ Καρχηδόνιοι, οἵ εἰσι Φοινίκων ἄποικοι, διεμάχοντο πρὸς Κυμαίους, μελλόντων οὖν ἄρδην ἀπόλλυσθαι τῶν Κυμαίων, Ἱέρων συμμαχήσας, τοὺς μὲν Κυμαίους διέσωσε· τῶν δὲ Τυρσηνῶν τοὺς πλείστους ἀπώλεσε. κατεύχεται οὖν ὁ Πίνδαρος, εἰρηνικὰ καὶ ἀστασίαστα μένειν λοιπὸν τὰ πράγματα, Καρχηδονίοις καὶ Σικελιώταις. [Οἷα Συρακουσίων.] ὁποῖα γὰρ ὑπὸ τοῦ ἄρχοντι καὶ βασιλεῖ τῶν Συρακουσίων Ἱέρωνι, ἀναιρεθέντες πεπόνθασιν οἱ Καρχηδόνιοι καὶ Τυρσηνοί. [Ὅς σφιν ἐν πόντῳ.] ὅς τις Ἱέρων, ἀπὸ τῶν ταχέων νεῶν, ἐνέβαλε τῇ θαλάσσῃ πᾶσαν τὴν ἡλικίαν. [Ἑλλάδ' ἐξέλκων.] ἔνιοι μὲν Ἑλλάδα, τὴν ἐν Σικελίᾳ ἤκουσαν. ἔνιοι δὲ, Ἑλλάδα τὴν Ἀττικήν. ἱστορεῖται γάρ τι τοιοῦτον. ὅτι Ξέρξου μέλλοντος στρατεύειν ἐπὶ τὴν Ἑλλάδα, πρέσβεις ἦλθον πρὸς Καρχηδονίους κελεύοντες πλεῖν ἐπὶ Σικελίαν, καὶ τοὺς τὰ τῶν Ἑλλήνων φρονοῦντας καταστρέφεσθαι, καὶ οὕτως ὁρμᾶν ἐπὶ τὴν Πελοπόννησον. οἱ μὲν οὖν Καρχηδόνιοι ὑπήκουσαν. κατὰ δὲ τὸν αὐτὸν χρόνον, πρὸς Ἱέρωνα πρέσβεις ἦλθον παρ' Ἀθηναίων ἀξιοῦντες συμμαχεῖν τοῖς Ἕλλησιν. ὧν ὑπήκουσαν οἱ περὶ τὸν Γέλωνα. καὶ κατασκευασάμενοι διακοσίας ναῦς, καὶ δισχιλίους ἱππέας, καὶ μυρίους πεζοὺς, τὸν τῶν Καρχηδονίων στόλον κατεναυμάχησαν, κατὰ τῆς Σικελίας ὁρμῶντα. ὥστε καὶ τοὺς Σικελιώτας, καὶ τοὺς ἄλλους Ἕλληνας ἐλευθερῶσαι. [Ἄλλως.] Εἰκὸς δὲ τῶν Ἐφόρου ἱστορίαις ἐντυχόντα τὸν Πίνδαρον, ἐξηκολουθηκέναι αὐτὸν αὐτοῦ. ἱστορεῖ γὰρ Ἔφορος τοιοῦτον. ὅτι παρασκευαζομένου Ξέρξου τὸν ἐπὶ τῇ Ἑλλάδι στόλον, πρέσβεις παραγενέσθαι πρὸς Γέλωνα τὸν τύραννον, ἱκετεύοντας εἰς τὸν τῶν Ἑλλήνων σύλλογον ἐλθεῖν. ἐκ δὲ Περσῶν, καὶ Φοινίκων, πρέσβεις πρὸς Καρχηδονίους προστάσσοντας, ὡς πλεῖστον δέοι στόλον εἰς Σικελίαν βαδίζειν, καταστρεψόμενον τοὺς τὰ τῶν Ἑλλήνων φρονοῦντας, πλεῖν ἐπὶ Πελοπόννησον. ἀμφοτέρων δὲ τὸν λόγον ὑποδεξαμένων, καὶ τῶν μὲν Ἱέρωνος συμμαχῆσαι τοῖς Ἕλλησι προθυμουμένου, τῶν δὲ Καρχηδονίων ἑτοίμων ὄντων συμπρᾶξαι τῷ Ξέρξῃ, Γέλωνα διακοσίας ναῦς διατειπίσαντα, καὶ δισχιλίους ἱππεῖς, καὶ πεζοὺς μυρίους, κατακαῦσαι στόλον Καρχηδονίων πλέοντα ἐπὶ Σικελίαν, καὶ διαμαχησάμενον, οὐ μόνον τοὺς Σικελιώτας ἠλευθέρωσεν, ἀλλὰ καὶ τὴν Ἑλλάδα σύμπασαν. εἰκὸς οὖν ταύτῃ τῇ ἱστορίᾳ ἐντετυχηκέναι τὸν Πίνδαρον. [Αἱρέομαι πὰρ μὲν Σαλαμῖνος.] αἱροῦμαι καὶ ἀποδέχομαί φησι τὴν παρὰ Σαλαμῖνος καὶ Ἀθηναίων χάριν, καὶ μισθὸν, ὅτι ἐκινδύνευσαν ὑπὲρ πάσης τῆς Ἑλλάδος· ἤτοι, λαμβάνω καὶ λογίζομαι σωτηρίαν τῆς Ἑλλάδος, τὴν τῶν Ἀθηναίων νίκην. ἢ αἱροῦμαί φησι τὴν τῆς Ἑλλάδος σωτηρίαν, τὸν παρ' Ἀθηναίων μισθόν. τουτέστιν, ἡ περὶ Σαλαμῖνος χάρις. λαμβάνω τὴν χάριν τουτέστι τὴν Σαλαμῖνος. εἰς μισθὸν καὶ εἰς σωτηρίαν τῆς Ἑλλάδος παρ' Ἀθηναίων. οἱ γὰρ Ἀθηναῖοι εἰς Σαλαμῖνα ναυμαχήσαντες περὶ τοὺς Πέρσας, ἔσωσαν τὴν Ἑλλάδα.

Παρὰ μὲν Σαλαμῖνος, Ἀθηναίων χάριν,	Apud Salaminem Athenienſium, beneficium,
Μισθὸν· ἐν Σπάρτᾳ δ᾽ ἐρέω	Mercedem: & in Sparta dicam
Πρὸ Κιθαιρῶνος μάχαν·	Ante Cithæronem *commiſſam* pugnam:
Ταῖσι Μῆδοι μὲν κάμον ἀγκυλότοξοι·	QuibusMedi laborarunt curvos-arcus-gerentes:
Παρὰ δὲ γε τὰν εὔυδρον ἀκτὰν	Veruntamen ad pulchre-aquoſam ripam
Ἱμέρα, παίδεσσιν ὕμνον	Himeræ, filiis hymnum
Δεινομένευς τελέσαις,	Dinomenis *ubi prius* perfecero,
Τὸν ἐδέξαντ᾽ ἀμφ᾽ ἀρετᾷ,	Quem accipere-promeriti-ſunt per virtutem,
Πολεμίων ἀνδρῶν καμόντων.	Hoſtibus viris profligatis.
στροφὴ ε´. κώλων ιϛ´.	Μεταρη.
Καιρὸν εἰ φθέγξαιο, πολλῶν	Opportune ſi dixeris, multarum rerum
Πείρατα συντανύσαις	Summas complexus *oratione*
Ἐν βραχεῖ· μείων ἕπεται	In brevi: minor ſequitur
Μῶμος ἀνθρώπων. Ἀπὸ γὰρ κόρος ἀμβλύνει	Reprehenſio hominum. Nam ſatietas obtundit
Αἰανὴς ταχείας ἀπάδις.	Ingrata celeres mentes.
Ἀστῶν δ᾽ ἀκοὰ κρύφιον θυμὸν βαρύ-	Civium vero fama occulte animum mole-
νει, μάλιστ᾽ ἐσλοῖσιν ἐπ᾽ ἀλλοτρίοις.	ſtat, maxime bona ob aliena.

PARAPHRASIS.

Memorabiles ſane ſunt clades Perſarum ad Salaminem: ita ut mercedem in gratiam Athenienſium pro barbaris ibi profligatis, & liberata Græcia repoſcere liceret. Item Medorum ſagittariorum ad Platæas ante Cithæronem, adeo ut Lacones ob partam in iſtos victoriam merito prædicarem. Sed res ab Hierone aliiſque ejus fratribus Dinomenis filiis, ad Himeram præclarum Siciliæ fluvium adverſus Pœnos geſtæ, non ſunt minoris momenti: adeo ut merito illos decorem hymno, quem præcipitatis in mare hoſtibus, pro tam inſigni fortitudinis ſpecimine jure ſibi acquiſiverunt. Quorum quidem virtutem multis perſequi poſſem: verum res quas geſſerunt, ſatius eſt paucis complecti, ad declinandam nimiæ laudis invidiam. Etenim quiſquis res multas dicendo in pauca verba opportune contrahit, in nullam hominum reprehenſionem incidit. Sed verborum copia, & orationis prolixitas eſt faſtidioſa, celereſque hominum mentes obtundit. Quanquam autem fama clarorum virorum animis civium plerumque eſt moleſta, quoniam alienis bonis facile invident,

NOTÆ.

149 Alii Codd. leg. δ᾽ ἐρέω τάν, quod rejecit Schmid. MS. γ. leg. δ᾽ αὖ ἐρέω, quod etiam metrum reſpuit. 151 Μῆδοι κάμον leg. Alii. Nos vero lect. MS. C. 71. ſequimur. 152 Παρὰ δὲ leg. MS. C. 71. 154 Δεινομένεος leg. Editt. vulg. Ald. vero & MS. γ. ſequimur: vide & Epigramma in Schmid. Non intelligitur autem Dinomenes ille, cujus antea fuit facta mentio, Hieronis filius: ſed iſtius Dinomenis avus, pater Hieronis, & ejus fratrum, qui hic Δεινομένεος παίδων nomine veniunt, utpote victoriæ illius de Carthaginenſibus conſortes. Schmid. 157 Πολλῶν πείρατα] Lonicer. de Perſonis intelligit, redditque, Multorum ſummas res geſtas & virtutes. Συντανύσαις Commune leg. MSS C. 71. & γ. 161 Αἰανὴς juxta Schol. pro αἰώνιος. Inde forſan MS. C. 71. hab. αἰανὸς. Deducimus vero, ut Pyth. 4. ab αἶ, αἶ, quæ particula Lamentationis eſt; vel cum Lex. Pindar. ab αἶα, Terra; ut ſonet, Nigra & obſcura; quam ſignificationem mutuatur à Colore Terræ. Inde vox tranſlata eſt ad ſignif. Triſtis, funeſtus. Ἀπάδις] Ἐλπίδας leg. MSS. C. 71. γ. Pal. C. &. Cod. Aug. & Ald. Promptas auditorum mentes, juxta Schmid. In vulgatis Lex. extat ἀπαδία, cujus exemplum in veteri quodam Lexico ex Pindari Olympiis (in quibus tamen hodie nec ἀπαδία nec ἄπαδις habetur) allegatum Steph. notat. Ἀπάδις Pindar. Lex. format ex ἄπαδις, in Accuſat. Plural. ἀπαδίας, & καλὰ κέρατα ἀπάδις. Cum vero derivat περπίδας παρὰ τὸ περαπιδεῖν, ad eundem modum veriſimili conjectura ἄπαδις παρὰ τὸ ἄπο, τυτέστιν ἄπωθεν, ἰδεῖν. ut proprie ſecundum hoc Etymon ἄπαδις denotet vim animi, qua futura proſpicit. Hæc autem vox ex iis eſt, quæ vix alias leguntur, ideoque in conjecturis, quales congruum ſenſum fundant, permanendum eſt. 162 Ἀστῶν MS. γ. Ἀκοὰ] Portus vertit, Aures. 163 Ἐσθλοῖσιν MS. C. 71.

[Ἐν Σπάρτᾳ δ᾽ ἐρέω.] αἱροῦμαι καὶ ἀποδέχομαί φησι τὴν περὶ Κιθαιρῶνος μάχην τῶν Σπαρτιατῶν. καθ᾽ ὧν οἱ τοξόται τῶν περσικῶν ἡγούμενοι περὶ Πλαταιὰς, τὴν περσικὴν ἀνετρέψαντο δύναμιν. [Παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν Ἱμέρα.] Ἱμέρας ποταμὸς Σικελίας, περὶ οὗ καὶ Αἰσχύλος φησὶν ἐν Γλαύκῳ. Καλοῖσι λουτροῖς ἐκλέλουμαι δέμας, εἰς ὑψίκρημνον Ἱμέραν δ᾽ ἀφικόμην. λέγει τοίνυν, παρὰ δὲ τὴν εὔυδρον ἀκτὴν τοῦ Ἱμέρα ποταμοῦ, τὸν ὕμνον τοῖς τοῦ Δεινομένεος παισὶ τελέσαις ἀπὸ κοινοῦ τὸ αἱρέομαι. ὅ ἐστιν, ἐπιθυμῶ. [Τὸν, ἐδέξαντο·] ἤγουν ὅντινα ὕμνον ἐδέξαντο περὶ τῇ ἑαυτῶν ἀρετῇ τῶν πολεμίων ἀνδρῶν ἀναιρεθέντων, φησὶ δὲ τὸν Γέλωνα τοῖς ἀδελφοῖς φιλοφρονούμενον, ἀναθεῖναι τῷ θεῷ χρυσοῦς τρίποδας ἐπιγράψαντα ταῦτα. Φημὶ Γέλων᾽, Ἱέρωνα, Πολύζηλον, Θρασύβουλον, Παῖδας Δεινομένους, τοὺς τρίποδας θέμεναι· Βάρβαρα νικήσαντας ἔθνη, πολλὴν δὲ παρασχεῖν Σύμμαχον Ἕλλησι χεῖρ᾽ ἐς ἐλευθερίην. ἢ οὕτως, ὅντινα ὕμνον ἐδέξαντο νικήσαντες τοὺς Καρχηδονίους. [Καιρὸν εἰ φθέγξαιο.] οἱ μὲν φασὶ τὴν κατὰ πρόθεσιν λείπειν. ἵν᾽ ᾖ, κατὰ καιρὸν εἰ φθέγξαιο. εἰ καιρίως λέγων, τῆς πολυλογίας τὰ πέρατα εἰς ἓν συντείνας καὶ συμπλέξας, ἐκφύγοις ἂν τὸν φθόνον. ἡ δὲ μεταφορὰ, ἀπὸ τῶν δικτύων. τὸ δὲ ἑξῆς, εἰ ἐν βραχεῖ φθέγξαιο κατὰ καιρὸν, πολλῶν πείρατα συντανύσαις, μείων ἕπεται μῶμος ἀνθρώπων. [Ἄλλως.] αἰσθάνεται ἑαυτοῦ ἐκπεπλωκότος. ὁ δὲ νοῦς. εἰ τὰ καίρια λέγοις τῶν πολλῶν εἰς ἓν συντεμὼν καὶ συμπλέξας, οὐκ ἀκολουθήσει μέμψις, οὐδὲ φθόνος. ὁ γὰρ αἰανὴς κόρος, ἤγουν, αἰώνιος καὶ διηνεκὴς, καὶ ἡ μακρολογία, ἀμβλύνει τὰς τῶν ἀκουόντων ταχείας ἀπάδις, ἀντὶ τῆς διανοίας. [Ἀστῶν δ᾽ ἀκοά.] ἡ δὲ τῶν πολιτῶν φησιν ἀκοὴ, κρυφίως λυπεῖ τὴν ψυχὴν, ἐπὶ τοῖς ἀλλοτρίοις τῶν πολιτῶν κατορθώμασιν. ἀλλήλοις γὰρ ὡς ἐπὶ τὸ πλεῖστον φθονοῦσιν· ἤτοι, ἀντὶ τοῦ, λυποῦνται οἱ πολῖται, ἐπὶ τοῖς τῶν ἀλλοτρίων καλοῖς, καὶ ἐπὶ τοῖς σοῖς Ἱέρων καλοῖς φθονοῦσι τινές.

[Ἀλλ᾽

Ἀλλ' ὅμως, κρέσσων γὰρ οἰκτιρμῶν φθόνος,
Μὴ παρίει καλά· νώ-
μα δικαίῳ πηδαλίῳ στρατόν, ἀ-
ψευδεῖ δὲ πρὸς ἄκμονι χάλ-
κευε γλῶσσαν.

Attamen, nam melior miserationibus invidia,
Ne prætermittas honesta: gu-
berna justo clavo populum, ve-
racemque ad incudem fabricando-qua-
si-forma linguam.

ἀντιστροφὴ ι'. κώλων ιϛ'.

Μεταφρ.

Εἴ τι καὶ φλαῦρον παραιθύσ-
σει, μέγα τοι φέρεται
Πὰρ σέθεν. Πολλῶν ταμίας
Ἐσσί· πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί.
Εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
Εἴπερ τι φιλεῖς ἀκοὰν ἀδεῖαν ἀ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·
Ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
Ἱστίον ἀνεμόεν,

Si quid *enim* quantumvis leve à-te-profe-
ctum fuerit, magnum utique circumfertur
A te. Multorum administrator
Es: multi testes *sunt* ambobus fide-digni.
Tu vero generoso in proposito permanens,
Si vel-tantillum amas famam dulcem sem-
per audire, ne defatigeris valde sumptibus:
Sed expande tanquam *navis* gubernator vir
Velum ventosum,

Paraphrasis.

cave tamen rerum præclararum studium negligas & omittas ô Hieron. Nam satius est ut tibi virtutis nomine invideant, quam ut ob vitia, comitesque illorum calamitates tui misereantur. Rerum autem præclararum has potissimum capesse. Subditos tuos justo rectarum legum gubernaculo rege. Veritatem in promissis sectare. Nam siquid à te perperam leviterque committeretur, magni momenti videretur: siquidem omne animi vitium tanto conspectius in se crimen habet quanto qui peccat major habetur: sicut tu qui numerosa populo imperas: quem, subditosque, multi testes fide digni circumspiciunt. In primis vero generosis insistens moribus si bene apud homines audire amas, ne te pigeat sumptus facere: sed ut principem virum decet, vela liberalitatis expande,

NOTÆ.

164 Οἰκτιρμῶν leg. MS. C. 71. Horat. *Invidiam placare paras virtute relicta? Contemnere miser.* 165 Quamvis Schmid. ex conjectura leg. παρίεις, quo facilior sit constructio; non tamen ideo Textum ingredi debeat. Lonicer. reddidit, ne prætereas, qu. παρίει esset à παρίημι. Deducimus vero ex ἵημι, unde in Imperativo ἵει, qu. ex ἵεε ab ἱέω. Inde Παρίημι, Omitto. 169 Τί καὶ φλαῦρον] Lonicer. reddit. Quid inhonesti. Etsi exiguum aliquid promiseris: tamen magnum illud censebitur, propterea quod à te Rege magnifico promissum fuerit. Schmid. Παραιθύσσει] i. e. Emicat, ab αἰθύσσω, splendeo; inde παραιθύσσω inter alia apparere. Schmid. Juvenal. Sat. 8. *Omne animi vitium tanto conspectius in se Crimen habet, quanto major qui peccat habetur.* 171 Πὰρ σέθεν] Abs te dictum. 172 Ἀμφοτέροις] Schmid. intell. de promissa Cithara, qu. d. Quia multorum Rex es, & multos semper circa te habes proceres & ministros: idcirco nihil quantumvis leve promittere potes, cujus testes in utramque partem non produci possint. qui & pro eo, qui promissum urget, & contra te qui promissum fecisti, testentur. Μάρτυρες igitur ei sunt aulici Hieronis, quibus blanditur, ut Hieronem promissæ Citharæ aureæ admoneant. Aliter vero Schol. 173 Ὀργᾷ] Dor. pro ὀργῇ. Sonat vero quemvis animi impetum, uti & Pyth. 2. & apud Soph. in Trach. 176 Ὥστε leg. Alii Codd. præter August. quem, ut metrum non violetur, sequitur Schmid. Et Schol. saltem ita interpretatur, si non leg. ὥσπερ. Posset etiam legi ὥστις, ut conjicit autor laudatus. 177 Pro voce ἀνεμόεν leg. MSS. 71. & γ. ἀμπετάσας, idem quod ἀναπετάσας, à πετάννυμι, Pando; ut sit sensus. Tu vero, qui clavum tenes, committas navim ventis, expansis velis. Ita significatus vocis ἐξίει non admodum detorquetur. Si vero leg. ἀνεμόεν prima Syllaba, qu sit Dor. pro ἠνεμόεν, producitur. Ita intelligunt Interprett. ut similis sit locus illi Martial. *Sint Mæcenates, non deerunt, Flacce, Marones.*

[Ἀλλ' ὅμως κρέσσων γάρ.] ἀλλ' ὅμως βέλτιον φθονεῖσθαι, ἤπερ οἰκτείρεσθαι. [Μὴ παρίει καλά.] μὴ οὖν παρέλκε, μηδὲ παρόρα τὰ καλὰ ὦ Ἱέρων διὰ τὸν φθόνον, ἀλλ' τὸν νῦν τεταγμένον σοι δῆμον, δικαίῳ καὶ ἀγαθῷ κυβέρνα πηδαλίῳ. τὸ νώμα γάρ, ἀντὶ τοῦ κυβέρνα. [Ἀψευδεῖ δὲ πρὸς ἄκμονι.] ἄκμονα, τὸ στόμα ἀπὸ μεταφορᾶς τῶν χαλκευόντων ἔφη. πρὸς ἄκμονα δὲ ἀψευδῆ, χάλκευε τὴν γλῶσσαν. ὅ ἐστι, φιλαλήθης ἔσο· ἤτοι, ἀλήθευε. ἴσως δέ τι ἐπηγγείλατο τῷ Πινδάρῳ ὁ Ἱέρων. [Εἴ τι καὶ φλαῦρον.] λείπει ὁ γάρ· ἐὰν γάρ τι καὶ εὐτελὲς παρὰ σοῦ λεχθῇ καὶ ὁρμήσῃ, τοῦτο μέγα καὶ διὰ πάντων φέρεται. φησὶ δὲ μεγάλα εἶναι τὰ τῶν ἀρχόντων ἁμαρτήματα, κἂν εὐτελῆ τυγχάνῃ. εἰ καί τι οὖν εὐτελὲς ἁμάρτῃς, καὶ τοῦτο μέγιστον ἔσται. [Πολλῶν ταμίας.] πολλῶν γὰρ βασιλεὺς τυγχάνεις, καὶ δεσπότης, καὶ διοικητής. βασιλεὺς γὰρ εἶ. [Πολλοὶ μάρτυρες ἀμφοτέροισι.] τῷ, τε ἀληθεῖ, καὶ τῷ ψευδεῖ. ἢ σοὶ καὶ τῷ υἱῷ. ὁ δὲ Σιδώνιος, σοὶ καὶ τοῖς ὑποτεταγμένοις. [Εὐανθεῖ δ' ἐν ὀργᾷ.] εὐθυμεῖ. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν εὐθυμεῖ δέ φησι τρόπῳ παραμένων, εἰ δή τι φιλεῖς τὴν ἡδεῖαν τῶν ἐγκωμίων ἀκοὴν, μὴ ἀπόκαμνε πρὸς τὰς δαπάνας. ἐκ δὲ τούτου προτρέπεται τὸν Ἱέρωνα, μισθὸν αὐτῷ παρασχεῖν τοῦ ἐπινίκου χάριν. [Ἐξίει δ' ὥστε κυβερνάτας ἀνήρ.] ὥσπερ δὲ κυβερνήτης ἄριστος, ἔα πρὸς πνεῦμα τὸ ἱστίον. τροπικῶς δὲ οὕτω φησίν. ἵνα ὡς ἱστίον μὲν τὸν μισθὸν, πνεῦμα δὲ, τὸ ἐγκώμιον ἀκούσωμεν.

[Μὴ

Μὴ δολωθῇς ὦ φίλε, εὐτραπέλοις	Ne fallaris, O amice, urbanis
Κέρδεσ᾽. Ὀπιθόμβροτον αὔ-	Lucris. Post-mortem-sequens glo-
χημα δόξας,	riatio laudis.
ἐπῳδὸς ε΄. κώλων ια΄.	METAPH.
Οἷον ἀποιχομένων ἀν-	Sola defunctorum viro-
δρῶν δίαιταν μανύει,	rum vitæ-rationem indicat,
Καὶ λογίοις, καὶ ἀοιδοῖς.	Tam per-Oratores, quam per-Poetas.
Οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά.	Non perit Crœsi comitatem-sapiens virtus.
Τὸν δὲ ταύρῳ χαλκέῳ καυ-	At *in* tauro æneo *hominum* ustula-
τῆρα, νηλέα νόον	torem, sævum mente
Ἐχθρὰ Φάλαριν κατέχει παντᾶ φάτις·	Odiosa Phalarin tenet ubique fama:
Οὐδέ μιν φόρμιγγες ὑπω-	Neque ipsum citharæ dome-
ρόφιαι κοινωνίαν	sticæ *in* consortium
Μαλθακὰν παίδων ὀάροισι δέχονται.	Suave puerorum sermonibus admittunt.

PARAPHRASIS.

nec te inhonesti lucri studio decipi sine. Quæ si diligenter observaris, honesta tui memoria nunquam morietur. Nam rerum bene gestarum gloriosæ laudes, scriptis vel historicis vel poeticis mandantur, quibus vita defunctorum declarata posteris innotescit. Sic illa Crœsi virtus cum comitate conjuncta, nunc etiam integra prædicatur, & nostris auribus insonat. Sed insigniter odiosum est nomen Agrigentini illius tyranni immanissimi, qui ænea tauro hospites crudeliter comburebat. Ita ut eum pueri nec cithara domi celebrare, nec suavibus sermonibus immiscere dignentur: adeo est indignus qui hominum in ore versetur.

NOTÆ.

178 Nos legimus hoc κῶλον juxta MS. γ. quod cum, ut supra observavimus, minus accurate κῶλα partiri soleat, à Critico emendari non sit censendum. MS. C. 71. Schmidii lectioni favet. quæ hæc est Μὴ δολωθῇς, ὦ φίλε, κέρδεσιν ἐυ-- licet fatendum sit, virum cætera diligentiss. per errorem, in Textu suo lectionem, quam recte corruptam esse in Commentario docet, & quam aliis vitio vertit, reliquisse. Si igitur legas cum eo secuto Ald. Pal. C. & Aug. --τραπέλοις ad initium κώλ. 11. hujus ἀντιστροφῆς addendum est, & τραπε-- duæ breves Syllabæ pro una longa recensendæ, ut τραπέλοις fit spondæus, quod & alibi evenire monuimus. Aliorum vero lectiones ad leges metricas nullatenus quadrant; qualis sit illa Edit. Steph. in qua omiss. ὦ ad finem coli add. τρα-- & Edit. Commel, κέρδεσσιν, ubi tamen geminatio τοῦ σ nostram lect. fulcit. Benedict. secutus est Schmid. erratum; forsan non inspecto illius Commentario; aut potius neglecta ratione metrica, in quæ forte incidit, hæc in sua transtulit. 179 Ὀπισόμβροτον Editt. Rom. & Cratander. Alii etiam ὀπισθόμβροτον Commune, pro Dor. ὀπιθόμβροτον. MS. C. 71. ὀπισόβροτον qu. ὀπίσω τῶν βροτῶν, Post mortales. 181 Οἷον] Lonicer. vertit, Ceu. qu. esset οἷον. 184 Schmid. legend. existimat φθινεῖ in Futuro, quo facilius, ut conjicimus, Syllaba prima corripiatur. Sed lectio omnium librorum adversatur, & potior videtur sensus in Præsenti. 187 Ἐχθρὰ] i. e. Invisa, ingrata. Quod Schol. exprimit per αἰσχρά, nisi malis cum Schmid. judicare eum ita legisse. Φάλαριν] Ex Epistolis ejus optimi Principis idea, & crudelitas ipsi invito per malitiam hominum extorta, apparet. Nihilominus tamen hoc fatum peculiare habuit, ut Crudelitatis nomine male audiret, virtutibus ejus eximiis plane silentio etiam inter doctos involutis. His & pluribus Phalarin defendit Schmid. Lubinum maxime secutus. 188 Μὴν αἱ φόρμιγγες leg. MS. C. 71. 190 Ὀάροι sunt Amicæ confabulationes, quales sunt viri cum uxore. Eustath. enim ὄαρος ab ὄαρ, γυνὴ ἀνδρὶ συνεζευγμένη, deducit. Ὄαρος vero est ei παιδιὰ καὶ παιδεία. Παιδιὰν vero idem esse ac Lusum Latine, omnes norunt. Forte alludit ad morem, quem attigimus in Not. ad Ol. 1, 25. Nisi malis ἐν ὀάροις ad παιδείαν eorum qui Musicam didicerunt vel discere cœperunt, referre.

[Μὴ δολωθῇς.] μὴ δολωθῇς, φησὶν, ὦ προσφιλέστατε Ἱέρων, τῇ ἐχθροτάτῃ φιλοκερδείᾳ. [Ὀπιθόμβροτον.] τὸ φροντίδος ἀξιούμενον ὑπὸ τῶν ἀνθρώπων. τὸ μετὰ ταῦτα καὶ μετὰ θάνατον λεγόμενον ἐγκώμιον· ἤτοι, τὸ μετὰ ταῦτα ἐσόμενον τῆς δόξης καύχημα. [Οἷον ἀποιχομένων.] ὅπερ μόνον τῶν τεθνηκότων ἀνθρώπων τὸν βίον καταμηνύει τοῖς τε λογίοις, καὶ ποιηταῖς. οἱ δὲ, οὕτως. [Οἷον ἀποιχομένων.] τὸ μετὰ ταῦτα μόνον ἐσόμενον τῆς δόξης καύχημα τῶν τεθνηκότων ἀνθρώπων, τὸν βίον καταμηνύει, τοῖς τε λογίοις, καὶ ἀοιδοῖς. λογίοις μὲν, τοῖς πεζογράφοις· ἀοιδοῖς δὲ, τοῖς ποιηταῖς. [Οὐ φθίνει Κροίσου.] οὐδαμῶς φθείρεταί φησι καὶ λήθην λαμβάνει, ἡ τοῦ Κροίσου φιλοφρονητικὴ ἀρετή. ὅτι δὲ πλούσιος καὶ φιλόφρων ὁ Κροῖσος ἦν, δῆλος ὁ λόγος. [Τὸν δὲ ταύρῳ.] κατὰ δὲ τοὐναντίον, φασὶ, Φάλαριν τὸν ἐν τῷ χαλκῷ βοῒ κατακαίσαντα τοὺς ἀνθρώπους, αἰσχρὰ φάτις ἔχει. τὸν δὲ τοῦ Φαλάριδος ταῦρον, οἱ Ἀκραγαντῖνοι κατεπόντωσαν, ὥς φησι Τίμαιος. τὸν γὰρ ἐν τῇ πόλει δεικνύμενον, μὴ εἶναι τοῦ Φαλάριδος καθάπερ ἡ πολλὴ κατέχει δόξα, ἀλλ᾽ εἰκόνα εἶναι Γέλωνος τοῦ ποταμοῦ. κατασκευάσαι δὲ αὐτόν, φασι, Περίλαον καὶ πρῶτον ἐν αὐτῷ καταναλῶσαι καὶ Καλλίμαχος. Πρῶτος ἐπεὶ τὸν ταῦρον ἐκαίνισεν· ὃς τὸν ὄλεθρον εὗρε τὸν ἐν χαλκῷ καὶ πυρὶ γινόμενον. ὁ δὲ νοῦς, τοῦ μὲν Κροίσου, οὐδαμῶς φθείρεται ἡ φιλοφρονητικὴ ἀρετή. τὸν δὲ χαλκῷ ταύρῳ τῶν ξένων καυτῆρα, καὶ ἀνηλεῆ τὸν νοῦν Φάλαριν, αἰσχρὰ πανταχοῦ κατέχει φήμη. [Οὐδέ μιν φόρμιγγες.] οὐδὲ αὐτόν φησι τὸν Φάλαριν, αἱ ἐποικίδιαι κιθάραι, παρὰ συμποσίοις καὶ δείπνοις εἰς κοινωνίαν ἡδεῖαν δέχονται. λείπει γὰρ τῷ λόγῳ, ἡ εἰς πρόσθεσις, διὰ τῶν παίδων ὁμιλίαις, καὶ τοῖς ὕμνοις. τουτέστιν, οὐδέποτε τὸν Φάλαριν ἐν συμποσίοις παῖδες ὑμνοῦσιν.

Εὖ δὲ παθεῖν, τὸ πρῶτον ἄθλων·	At bona fortuna uti, primum præmiorum:
Εὖ δ' ἀκούειν, δευτέρα μοῖ-	Bene vero audire, secunda *est* felici-
ρ'. Ἀμφοτέροισι δ' ἀνὴρ	tas. *In* utraque autem vir
Ὃς ἂν ἐγκύρσῃ, καὶ ἕλῃ,	Quicunque inciderit, & *ea* acceperit,
Στέφανον ὕψιστον δέδεκται.	*Is* coronam summæ dignitatis accepit.

PARAPHRASIS.

Quare quisquis studio virtutis addictus rem prospere gesserit, præstantissimum nactus erit, & primum laborum præmium. Siquidem virtus optima sibi est merces. Quod si præterea apud bonos, imo apud quosvis bene ob scriptorum commendationem audiat, secundam fælicitatem obtinuerit. Quibus ambobus si simul fruatur, summum fælicitatis gradum, & fortunæ apicem illustrissimum, ita ut ulterius promoveri non liceat, gloriosissime attigerit.

NOTÆ.

191 Alii leg. Τὸ δὲ παθεῖν εὖ, πρῶτον ἀέθλων. Nos quidem necessaria vocum transpositione post Schmid. usi sumus. Ἀέθλων Alii leg. quibus συνιζήσει opus est. Nos vero ex MS. γ. ἄθλων reposuimus. 194 Ἕλῃ] Scil. ἀμφότερα.

[Τὸ δὲ παθεῖν εὖ.] τὸ δὲ ἐπιτυχεῖν ἀέθλων καὶ ἀγῶνος, καὶ εὖ πρᾶξαι, πρωτεύει. ἀνυμνεῖσθαι δὲ νικήσαντα δευτέρα μοῖρα. ἀμφοτέροις δὲ τούτοις ὃς ἂν ἐπιτύχῃ καὶ κρατήσῃ, στέφανον ὑψηλότατον δέχεται.

Τέλος τοῦ πρώτου τῶν Πυθίων εἴδους.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΩΝ ΠΥΘΙΩΝ ΕΙΔΟΥΣ.

ΤΗΣ δευτέρας ᾠδῆς ἡ μὲν στροφὴ, καὶ ἀντίστροφος, κώλων. ιε'. Τὸ α', δίμετρον τροχαϊκὸν καταληκτικὸν, λελυμένους ἔχον τοὺς δύο πόδας. Τὸ β', ἰαμβικὸν δίμετρον, βραχυκατάληκτον. Τὸ γ', τροχαϊκὸν δίμετρον, βραχυκατάληκτον. Τὸ δ', ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ε', χοριαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ς', ἀναπαιστικὸν, δίμετρον ὑπερκατάληκτον. Τὸ ζ', Ιωνικὸν ἀπὸ μείζονος, δίμετρον καταληκτικὸν, τῆς πρώτης συλλαβῆς διαφόρου οὔσης. Τὸ η', χοριαμβικὸν, τρίμετρον ἀκατάληκτον. Τὸ θ'. τρίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ ι', ἐπιωνικὸν, δίμετρον ἀκατάληκτον. Τὸ ια', μονόμετρον, ἀναπαιστικόν. Τὸ ιβ', δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον. Τὸ ιγ', τρίμετρον ἰαμβικὸν ἀκατάληκτον. Τὸ ιδ', δίμετρον τροχαϊκὸν, καταληκτικὸν, Εὐειπίδειον. Τὸ πεντεκαιδέκατον, πενθημιμερὲς, ἰαμβικόν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η δὲ ἐπῳδὸς, κώλων δεκατεσσάρων. Τὸ α', δίμετρον, τροχαϊκὸν, ἀκατάληκτον. Τὸ β', δίμετρον ἰαμβικὸν, βραχυκατάληκτον. Τὸ γ', δίμετρον χοριαμβικὸν, καταληκτικόν. Τὸ δ', τρίμετρον ἀντισπαστικὸν ἀκατάληκτον, ἀπὸ ἰαμβικῆς ἀρχόμενον, καὶ καταληγόμενον ἰαμβικῇ. Τὸ ε', παιωνικὸν δίμετρον καταληκτικόν. Τὸ ς', γλυκώνειον, τοῦ πρώτου ποδὸς ἀδιαφόρου, εἶτα τροχαίου, εἶτα διϊάμβου. Τὸ ζ', ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον Πινδαρικὸν, ἀπὸ τροχαίου εἰς τροχαῖον. Τὸ ὄγδοον, σύνθετον ἀπὸ παίονος, καὶ διμέτρου Ιωνικοῦ ἀκαταλήκτου, τοῦ, τε ἀνακλωμένου, καὶ τοῦ ἀπὸ μείζονος. Τὸ ἔννατον, πενθημιμερὲς ἰαμβικόν. Τὸ δέκατον, Ιωνικὸν δίμετρον καταληγόμενον, ἐκ τροχαϊκῆς διποδίας. Τὸ ἑνδέκατον, χοριαμβικὸν, τρίμετρον καταληκτικόν. Τὸ δωδέκατον, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ τρισκαιδέκατον, Πινδαρικὸν, διὰ τὸ πολλάκις τὸν Πίνδαρον αὐτῷ κεχρῆσθαι. σύγκειται δὲ ἐξ ἀντισπαστικοῦ χοριάμβου, καὶ ἰάμβου καὶ συλλαβῆς. Τὸ τεσσαρεσκαιδέκατον, Ιωνικὸν, ἀπὸ μείζονος ἀκατάληκτον.

Observandum est, esse commutationem pedum in κώλῳ quarto στροφῆς & ἀντιστροφῆς, ubi Pœon secundus sæpius usurpatur pro Ionico à majore.

Metrica vero ratio ita habet:

στροφὴ & ἀντιστροφή.

1. u u u u u u - u -
2. u - u u u u -
3. u u u - u u -
4. - - u - - u - -
5. - u u - u u
6. - - u u - u u - u u - -
7. u - u u - u -
8. - u u - u - u u - u u - u -
9. - - u u u u - u - u u -
10. - - u u u u - u -
11. u u - u u -
12. u u u - u u - u u -
13. - - u - - - u u - u -
14. - u - u - u -
15. u u - u - -

ἐπῳδός.

1. u u u - u u - u - -
2. u - u u - u -
3. - u u - u - u
4. u - u u - u - - u u - u -
5. u u u - u u -
6. u - - u u - u u
7. u u u - u u - - u - u u
8. u u u - u u - u - - u u
9. u - u - u
10. u - u u - u - -
11. u - u - - u u - - u u
12. - - u - u u -
13. u - - u - u u - u - -
14. u - u u - u - -

ΤΩ

ΤΩ ΑΥΤΩ ΙΕΡΩΝΙ, EIDEM HIERONI,

†ΑΡΜΑΤΙ. CURRU.

ΕΙΔΟΣ Β'. ODE II.

ARGUMENTUM.

Primum laudat Hieronem à victoria Curruli; deinde ad Gratitudinem digreditur; Postremo monet, ne adulatoribus aurem accommodet.

στροφὴ α'. κῶλον ιε'.

Μεγαλοπόλιες ὦ Συράκοσαι, βαθυπολέμου
Τέμενος Ἄρεος, ἀνδρῶν
Ἵππων τε σιδαροχαρμᾶν
Δαιμόνιαι τροφοί·

METAPHRASIS.

Grandiurbes O Syracusæ, bellicosi
Delubrum Martis, virorum
Equorumque armis-ferreis-gaudentium
Fælices alumnæ:

PARAPHRASIS.

O Syracusæ civitas amplissima, urbs maxima ex quatuor urbibus, Achradina, Neapoli, Epipolis, & Tyche conflata, quas subactas Archias in unam redegit: Syracusæ bellicosis viris refertæ, divinæ altrices virorum equis ferroq; gaudentium,

NOTÆ.

† Schmidius de eadem cum præcedentis εἴδυς victoria Curruli, intelligit. Sicut enim alibi Poëta scriptionem ἐπινικίου omissam aut diu suspensam, τόκῳ compensat, ut in Olymp. 10, & 11. vidimus, ita rursus hic scriptionem de eadem victoria iteratam excusare videtur, & commendare, ut ex 25 & 128 versibus apparet. Videtur autem præcipua scribendi causa Poëtæ fuisse, ut sese apud Hieronem contra calumnias æmulorum, Bacchylidis & Simonidis, qui in Aula Hieronis versabantur defenderet, ut ex 132 & 172 κώλοις patet. Quia vero hujus Argumenti tractatio, sola, videri poterat ingrata: idcirco ἐπινίκιον præmisit; ut ita acceptiore velo laudum Hieronis prætenso, apologiam sui commodius subnectere posset. Hæc ille. Id sane liquet ejusdem generis cum priore esse; si eandem esse non putes. 1 Μεγαλοπόλιες] Magnis urbibus constitutæ, Lonicer. Ex pluribus urbibus in unam magnam coalitæ. Strabo l.6. ex quinque urbibus, coalitas, & muro 180. stadiis longo inclusas fuisse scribit. * Archias vero (vide infra Schol.) qui Coloniam in Siciliam deduxit, ex quatuor urbibus, unam effecit magnam. † Τύχη apud Schol. vocatur, quia ibi fuit Templum Fortunæ celebre. Idem Epitheton Athenis etiam tribuitur. Pyth. 7. 2 Editt. quædam leg. Commune Συράκουσαι. MS. C.71. --κόσσαι, quod admitti potest; quia, ut alibi dictum est, τὸ σ Pindaro vix tanquam litera habeatur. Βαθυπολέμου] Lex. Pind. exponit. ὁ βαθὺν πόλεμον ἐγείρων, Qui grave bellum movet, vel ὁ εἰς βαθὺν πόλεμον ἐρχόμενος, Qui in profundas & intimas militum cohortes penetrat. Βαθὺ sæpe τὸ εὖ vel πολὺ significat, ut ex βαθύδοξος, & βαθυλείμων Schmidio judice, apparet. Similiter Epaminondas, Bœotiam. Ἄρεως ὀρχήστραν. Xenophon Ephesum πολέμου ἐργαστήριον vocavit, ut Plut. in Marcello, cujus ætate Romam, exemplo Syracusarum, βαθυπολέμου τέμενος Ἄρεος appellari potuisse censet. 3 Τέμενος] Quod Mars ibi peculiariter coli videatur; ibique præsens esse, & tanquam in Templo habitare videatur. 4 Σιδηροχαρμᾶν Commune leg. MS. γ.

Τῷ αὐτῷ Ἱέρωνι, ἅρματι.] Καὶ οὗτος ὁ ἐπινίκιος Ἱέρωνι ἐπιγέγραπται, νικήσαντι ἅρματι. ἄδηλον δὲ εἰς ποῖον ἀγῶνα. διστάζεται γὰρ οὐ μετρίως τοῖς περὶ ἡμᾶς. οἱ μὲν γὰρ, οὐδὲ ὅλως αὐτόν φασιν ἐπινίκιον εἶναι. Τίμαιος δὲ, θυσιαστήριον. Καλλίμαχος δὲ, Νεμεακόν. Ἀμμώνιος δὲ καὶ Καλλίστρατος, Ὀλυμπιακόν. ὡς καὶ Ἀπολλώνιος ὁ εἰδογράφος. ἔνιοι δὲ, Παναθηναϊκόν. αὐτίκα γοῦν Διονύσιος ὁ Φασηλίτης, οὐκ οἴεται δεῖν γράφεσθαι, τῶν λιπαρῶν ἀπὸ Θηβῶν, ἀλλὰ τῶν λιπαρῶν ἀπ' Ἀθηνῶν, διὰ τὸ Παναθηναϊκὸν εἶναι τὸ ἐπινίκιον. καταφέρεσθαι γάρ φησί πως τὸν Πίνδαρον, εἰς τὸ, τὰς μὲν Ἀθήνας λιπαρὰς ἀγορεύειν, τὰς δὲ Θήβας, χρυσαρμάτους, καὶ εὐαρμάτους, καὶ λευκίππους, καὶ κυανάμπυκας, τέλεον δυσχερὴς τις ὤν. καὶ γὰρ καὶ ἄλλας πλείους λιπαρὰς καλεῖ, ὥσπερ τὴν Σμύρναν. Καὶ λιπαρῷ Σμυρναίῳ ἄστει. καὶ τὴν Αἴγυπτον, ἐν διθυράμβοις. Τὰν λιπαρὰν μὲν Αἴγυπτον ἀγὲ κτήμων. καὶ τὰς Θήβας δέ που εἶπε λιπαράς. Λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον. ἄλλως τε, σύνηθες ἀπὸ τῶν Ἀθηνῶν φάναι τῷ Ἱέρωνι τὸ μέλος φέρεσθαι. οὐ γὰρ τὸ μέλος, ἀλλ' ἡ νίκη αὐτοῦ Ἀθήνηθεν ἀφικνεῖται. ὁ δὲ Πίνδαρος, οὐκ Ἀθηναῖος, ἀλλὰ Θηβαῖος. ὥστε, ἀπὸ Θηβῶν δεῖ γράφεσθαι, ὅθεν ἐστὶν ὁ Πίνδαρος ὁ τὸ ποίημα συνθείς. [Μεγαλοπόλιες.] μεγαλοπόλιας εἶπε τὰς Συρακούσας, ἐπειδὴ * Ἀρχίας τέσσαρας πόλεις καταστρεψάμενος, εἰς μίαν συνήγαγεν. εἰσὶ δὲ αὗται, Ἀχραδινὴ, Νεάπολις, Ἐπιπολαὶ, καὶ † Τύχη. οὐκ ἐκ τοῦ παρατυχόντος οὖν μεγαλοπόλιας εἶπε τὰς Συρακούσας. ὁ δὲ νοῦς, ὦ μεγαλοπόλιες Συράκουσαι, τοῦ μεγαλοπολέμου Ἄρεος τέμενος οὖσαι· ἀντὶ τοῦ ἀνδρεῖοι ὄντες. [Ἀνδρῶν, ἵππων τε,] ἀνδρῶν σιδήρῳ καὶ ἵπποις χαιρόντων, καὶ πολεμικῶν τροφοὶ οὖσαι δαιμόνιοι. τοῦτο δὲ εἴρηκε, διὰ τὸ νικῆσαι, Καρχηδονίους καὶ Λίβυας, καὶ Τυρσηνοὺς, ὑπὸ τῶν περὶ Γέλωνα καὶ Ἱέρωνα, μὴ μόνον τῇ νήσῳ ἐπιπλεύσαντας καθηττῆσθαι, ἀλλὰ καὶ ὑπ' αὐτοῖς τὴν Καρχηδόνα γενέσθαι, ὥστε καὶ ὑπακούειν. τὸ γοῦν ἀνθρωποθυτεῖν φησιν ὁ Θεόφραστος ἐν τῷ περὶ Τυρσηνῶν παύσασθαι αὐτοὺς, Γέλωνος προστάξαντος. ὅτι δὲ καὶ ἐκέλευσεν αὐτοὺς χρήματα εἰσφέρειν, Τίμαιος διὰ τῆς τεσσαρεσκαιδεκάτης ἀναγέγραφε.

Ὑμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν	Vobis hoc præclaris à Thebis
Φέρων μέλος ἔρχομαι,	Afferens carmen venio,
Ἀγγελίαν τετραορίας ἐλελίχθονος·	Nuncium quadrigarum terram-quatientium:
Εὐάρματος Ἱέρων ἐν ᾇ κρατέων,	Curru-vincendi-artifex Hiero in qua vincens,
Τηλαυγέσιν ἀνέδησεν Ορ-	Eminus-fulgentibus redimivit Or-
τυγίαν στεφάνοις,	tygiam coronis,
Ποταμίας ἕδος Ἀρτέμιδος·	Fluvialis sedem Dianæ:
Τᾶς οὐκ ἄτερ, κείνας ἀγαναῖσιν ἐν	Qua non sine, illius agilibus in
Χερσὶ, ποικιλανίους	Manibus, pictis-habenis-ornatos
Ἐδάμασσε πώλους.	Domuit pullos.

ἀντιστροφὴ α'. κώλων ιε'.	METAPH.
Ἐπὶ γὰρ Ἰοχέαιρα παρ-	Nam Sagittis-gaudens vir-
θένος, χερὶ διδύμᾳ,	go, manu gemina,
Ὅ, τ' ἐναγώνιος Ἑρμᾶς,	Præsesque-certaminum Mercurius,
Αἰγλᾶντα τίθησι κόσμον,	Radiantem imponit ei ornatum,

PARAPHRASIS.

ad vos fœcundis ex Thebis venio, vobisque hoc carmen affero, quo laudes Hieronis prædico, quas meritus est, quandoquidem curruli certamine fœlix, ita quadrijugum currum terram concutientem agitavit, & direxit, ut victoria potitus sit, & coronam adeptus, unde Ortygiæ, ubi equos alit, splendidissima lux accessit, & longe lateque inclaruit sedes, ubi positum est simulachrum fluvialis Dianæ: sine cujus ope, ejus quæ etiam est equestris, equos variegatis habenis ornatos placidis manibus non domuit. Etenim illa Sagittis venaticis gaudens virgo, & Mercurius certaminum præses, manibus ambabus coruscum & splendidum adhibet ornamentum,

NOTÆ.

6 Nos ὔμμιν Æolicum inverso spiritu leg. secuti Ed. Commel. Alii Codd. leg. ὔμμιν. i. e. In vestri gratiam, ut Lonicer. vel Ad vos, ut Schmid. Λιπαρᾶν ἀπὸ Θηβᾶν] Vide Schol. ad Inscriptionem hujus εἴδους, ubi Dionysium inducit legentem λιπαρᾶν ἀπ' Ἀθηνᾶν. Idque confirmat quia Poëtæ usitatum sit, Athenas nominare λιπαράς. Etsi autem ex proprio Epitheto, quale est Cecropiæ Athenarum, urbem vel aliquam aliam rem ominari possimus: nimis tamen infirmum est ex ejusmodi epithetis, quale est λιπαρᾶν rem quamvis certam velle colligere; quod tamen Grammaticis solenne est; ut, cum de epitheto Apollinis ab auro sumpto sermo esset, observavimus. Portus reddidit, Fertilibus Thebis, ad soli feracitatem respiciens: quæ interpretatio non conveniret Athenis, quæ asperæ fuerunt; siquidem λεπτὴ καὶ τραχεῖα χώρα fuit, ut hab. Strabo lib. 8. 8 Τετραορίας ἐλελίχθονος] Schmid. Quadrigarum-recturæ terram-quatientis. 12 Ποταμίας] Id est Scholiasti Ἀλφειώας. Eadem etiam Ἀλφειαία dicta fuit. Pauſ. in El. Post. Et Dianæ Ἀλφειονίας ἢ Ἀλφειούσης lucum ad Alphei ostia fuisse, scribit Strabo lib. 8. 13 Κείνας] Plerique Genitivum esse volunt pertinentem ad Ἀρτέμιδος, ut hæc sit σύνταξις, τᾶς οὐκ ἄτερ, ἐδάμασσε πώλους ποικιλανίους ἐν χερσὶν ἀγαναῖσιν ἐκείνης. Lonicer. Accusativum esse mavult, & refert ad πώλους. Quod Schmid. non probat, quia nulla ratio significationis Demonstrativæ vel Relativæ subsit. Ἀγαναῖσιν] Lonicer redd. Admirandis. Vulg. Placidis. 17 Χερὶ Commune leg. Codd. omnes præter MS. γ. & Schmid. qui metri causa χερὶ legendum conjecit. Διδύμᾳ] Aliqui referunt Διδύμα ad παρθένος accipientes in Nominativo; cum Diana ita fuerit cognominata, utpote uno partu cum Apolline edita. Schmid. intell. Manu altera Dianæ, altera Mercurii. 18 MS. C. 71. leg. ὅτ' licet forsan non, sit erratum, quoniam solet Codex omittere puncta. Ἐναγώνιος] Mercurio ἐναγωνίῳ ara peculiaris collocata fuit Olympiæ, prope stadium. Pauſ. El. pr.

[Τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν.] λιπαρὰς φησὶ τὰς Θήβας, διὰ τὸν Διόνυσον, καὶ τὸν Ἡρακλῆ, καὶ αὐτόν. οὐκ αὐτὸς δὲ ὁ Πίνδαρος ἥκων εἰς τὰς Συρακούσας ταῦτα φησίν. οὐ γὰρ ἀφίκται πρὸς τὸν Ἱέρωνα ἀλλ' ἡ ᾠδὴ ἐπιστολιμαία ἐστίν. ἤτοι οὖν ἐκ τοῦ διακομίσαντος τὴν ᾠδὴν πρὸς τὸν τύραννόν ἐστιν ὁ λόγος, ἢ ἐκ τοῦ χοροῦ. διὰ γὰρ χοροῦ ἔπεμπε τοὺς ἐπινικίους. ὁ δὲ νοῦς, ἀπὸ τῶν εὐδαιμόνων Θηβῶν παραγίνομαι, τὸ μέλος φέρων. [Ἀγγελίαν τετραορίας·] ἤγουν, ἀνακήρυξιν τοῦ ἅρματος τοῦ κατὰ τὴν χθόνα ἐλελίζοντος, καὶ ἀνακινοῦντος. [Εὐάρματος Ἱέρων ἐν ᾇ.] ἐν ᾗ ὁ εὐάρματος Ἱέρων νικῶν, ἀσυνόπτοις καὶ διαυγεστάτοις στεφάνοις ἀνέδησε τὴν Ὀρτυγίαν. ἐν τῇ Ὀρτυγίᾳ γὰρ ἦν τὰ ἱπποτροφεῖα τοῦ Ἱέρωνος. Ὀρτυγίαν δὲ, τὴν ἐπὶ τῆς Σικελίας χερρόννησόν φησιν. αὕτη γὰρ νῆσος οὖσα τὸ πρότερον, συνήφθη ταῖς Συρακούσαις. [Ποταμίας ἕδος] τῆς Ἀλφειώας. φασὶ γάρ τινες τὸν Ἀλφειὸν ἐρασθῆναι τῆς Ἀρτέμιδος, καὶ διώξαντα ἄχρι τῆς Ὀρτυγίας παύσασθαι. ὅθεν Ἀλφειώας Ἀρτέμιδος ἱερὸν ἐκεῖ καθιδρύθη. νῦν δὲ ποταμίας εἶπεν. [Ἄλλως.] ἵδρυται γὰρ ἄγαλμα Ἀρτέμιδος ἐπὶ τῇ Ἀρεθούσῃ. ἡ δὲ Ἀρέθουσα, ἐξ Ἀλφειοῦ τοῦ ποταμοῦ δέχεται τὰ ῥεύματα. διὰ τοῦτο οὖν ποταμίαν Ἄρτεμιν αὐτὴν κατωνόμασε. [Τᾶς οὐκ ἄτερ] ἥστινος ἐκείνης τῆς Ἀρτέμιδος δηλονότι οὐ χωρὶς, τὰς πεποικιλμένας ἡνίας ἐχούσας πώλους, ταῖς ἀγαναῖς ἑαυτοῦ χερσὶν ἐδάμασε, καὶ ὑπέζευξε. τὸ δὲ κείνας, τῷ πώλους συναπτέον. ἐπεὶ ἱππικὴ καὶ ἡ Ἄρτεμις. καὶ Ὅμηρος. Τὸν δὲ χολωσαμένη, χρυσήνιος Ἄρτεμις ἔκτα. [Ἐπὶ γὰρ ἰοχέαιρα.] τὸ ἐπὶ, τῷ τίθησι συναπτέον. διδύμα δὲ ἡ Ἄρτεμις καλεῖται. ὁ δὲ νοῦς, ἡ δὲ παρθένος Ἄρτεμις, ἀμφοτέραις αὐτῆς ταῖς χερσὶ, καὶ ὁ ἐναγώνιος Ἑρμῆς, τὸν λαμπρὸν ἐπιτίθησι κόσμον τῷ ἅρματι. [Ὅ, τ' ἐναγώνιος.] ἐναγώνιος δὲ ὁ Ἑρμῆς, ὡς τῶν ἀγώνων προστάτης. ὡς καὶ Αἰσχύλος. Ἐναγώνιε Μαίας καὶ Διὸς Ἑρμᾶ.

[Ξεστὸν

Ξεστὸν ὅταν δίφρον,	Politum quando *ad* currum,
Εν θ' ἅρματα πεισιχάλινα καταζευ- γνύῃ σθένος ἵππιον,	Adque capistra habenis-parentia jun- xit robur equinum,
Ορσοτρίαιναν εὐρυβίαν καλέων Θεόν.	Tridentigerum late-potentem invocansDeum.
Αλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ	Aliis vero aliquis perficere-solet alius vir
Εὐαχέα βασιλεῦσιν ὕ- μνον, ἄποιν' ἀρετᾶς.	Canorum Regibus hy- mnum, præmium virtutis.
Κελαδέοντι μὲν ἀμφὶ Κινύ- ραν πολλάκις φᾶμαι Κυπρίων, τὸν ὁ	*Nam* resonant quidem circa Ciny- ram sæpe laudes Cypriorum, quem
Χρυσοχαίτας προφρόνως	Auricomus propense
Εφίλασ' Απόλλων,	Dilexit Apollo,
ἐπῳδὸς α'. κώλων ιδ'.	ΜΕΤΑΡΗ.
Ιερέα κτίλον Αφροδίτας.	Sacerdotem principem-&-familiarem Veneris.

PARAPHRASIS.

quando Neptunum longe lateque potenti imperio valentem, & tridente terram concutientem Deum invocans, robustos equos vel ad bigas, vel ad quadrigas eorum currum trahentium habenis obedientes jungit. Cæterum alii poetæ alios reges dulcisono hymno prosequuntur, quo meritum virtutis præmium illis pendant. Et sic quidem plerunque Cyprii poetæ sonoro carmine decorant regem suum Cinyram, quem propenso animo dilexit aureis capillis insignis Apollo, sacerdotem Veneris, virum, uon secus ac aries aliquis gregis dux, eximium, illius familiarem.

NOTÆ.

20 Ξεστὸν δίφρον] Affabre exornatum currum, & quidem duorum sessioni aptum, Domini & Aurigæ, qu. διφορον, quales erant certantium currus, licet vulgo pro quovis curru accipiatur. Schmid. 21 Αρματα] Currus vertunt Alii, quo sensu in Paraphrasi videas Virgil. l. 1. Georg. *Fertur equis Auriga, neque audit currus habenas.* 23 Ορσοτρίαιναν] Nota, quum cætera nomina primæ simplicium in ας longum desinant, & accentum in penultima habeant, composita à τρίαινα aliter se habere, ut ὀρσοτρίαιναν, εὐτρίαιναν, Attice. Schmid. 25 Εὐαχέα] Pal. C. εὐαυχέα, & Schol. ibidem λαμπρόν. † Eam lectionem admittit Scholiastes, ubi interpretatur, ἐφ' ᾧ ἔστιν αὐχεῖν. 29 Χρυσοχαίτα Attice pro χρυσοχαίτας, ut ἱππότα pro ἱππότης legendum conjicit Conrad. Ritt. ad Oppiani Αλ. l. 5. v. 6. Eum sequitur Schmidius; licet nulli, quos inspeximus Codd. habeant. Et quidem Ditrochæus esse debeat; & de hoc pede, quid sit statuendum nemo non videt, qui ad reliquas στροφὰς & ἀντιστροφὰς attendit. Vide tamen, quæ annotavimus ad init. Isth. 4. Ex iis enim patet, Ditrochæum pro Epitrito secundo usurpari; & quidni Epitritum secundum pro Ditrochæo? Id vero hic accidit. Et hac quidem ratione, nihil de legibus metricis derogatur; nec emendatione opus est. 30 C. 71. hab. Commune ἐφίλησ'. 31 Κτίλον] Ducem reliquorum. Nicandri Schol. ex Emped. citat, ἦσαν γὰρ κτίλα πάντα, Erant omnia mansueta: & ᾠὰ κτίλα sunt ova tenera. Κτιλοῦν est etiam Delinire, demulcere.

[Ξεστὸν ὅταν δίφρον.] ὅταν τὸν δίφρον καταζευγνύῃ φησὶ, καὶ τὰ πεισιχάλινα ἅρματα, τὰς σειρὰς δηλονότι, καὶ τὰ ζυγά· πεισιχάλινα δὲ πῶς τὰ ἅρματα; χαλινοῖς γὰρ οὐ χρῶνται πρὸς τὴν κατάζευξιν· ἤτοι οὖν τὰς ἡνίας δεκτέον χαλινοὺς εἰρῆσθαι, διὰ τὸ χαλᾶσθαι αὐτὰς, καὶ πάλιν ἕλκεσθαι, ἢ καὶ ἐπὶ τῶν κελήτων δεκτέον. ἠγώνισαι γὰρ καὶ κέλησιν. ὅταν οὖν ὁ Ιέρων εἰς τὸν ἀγῶνα παρασκευάζῃ τὰ ἅρματα, ἡ Αρτεμις προσάπτεται αὐτοῦ τῶν ὀχημάτων, κατὰ τὸ Ομηρικόν. Ιππείου δὲ διὰ ζυγοῦ ἥψατο, φώνησέν τε. ἢ οὕτως. ἐπιτίθησί φησι τὰς χεῖρας ἡ Αρτεμις καὶ ὁ Ερμῆς τῷ Ιέρωνι, ὅταν εἰς τὸν εὔξεστον δίφρον, καὶ τὰ πεισιχάλινα ἅρματα, ὅ ἐστι τὰς ἡνίας, καταζευγνύῃ τὸ ἵππιον σθένος, ἀντὶ τοῦ, ὅτε τοὺς ἵππους ζεύγνυσιν ὁ Ιέρων, καλῶν τὸν Ποσειδῶνα, ὡς ἵππειον θεόν. [Εν θ' ἅρματα.] ἡ ἐν, ἀντὶ τῆς εἰς. ἵν' ᾖ, ὅταν εἰς τοὺς δίφρους καὶ χαλινοὺς ζευγνύῃ τὸ ἵππιον σθένος, τουτέστι, τὰς ἵππους. [Αλλοις δέ τις ἐτέλεσεν.] ἄλλοις βασιλεῦσιν ἄλλος ποιητὴς ὕμνον εὔηχον, καὶ εὔρυθμον, † ἢ ἐφ' ᾧ ἐστιν αὐχεῖν, κατασκευάζει ὄντα τὸν ὕμνον, ἀμοιβὴν καὶ λύτρα τῆς ἀρετῆς· εἶτα ἡ ἀνταπόδοσις τοῦ νοῦ· ἐγὼ δέ σε ὦ Ιέρων, καὶ ἐπισυνάπτει ἐργασίαν. [Κελαδέοντι μὲν ἀμφὶ Κινύραν.] περὶ μὲν τὸν Κινύραν τὸν τῶν Κυπρίων βασιλέα οἱ ὕμνοι γίνονται. ἐγὼ δὲ περὶ σέ. οὗτος δὲ ἦν Απόλλωνος υἱὸς καὶ Πάφου. κατ' ἐνίους, Εὐρυμέδοντος, καὶ Παφίας νύμφης. ἐγένετο δὲ βασιλεὺς τῶν Κυπρίων, καὶ ἱερεὺς τῆς Κυπρίας Αφροδίτης. ὁ δὲ νοῦς, χορεύουσι μὲν περὶ τὸν Κινύραν πολλάκις οἱ τῶν Κυπρίων ὕμνοι. ὅντινα ὁ χρυσοκόμης ἠγάπησεν Απόλλων, ἱερέα καὶ σύντροφον, καὶ συνήθη τῆς Αφροδίτης ὄντα. ἡ δὲ ἀνταπόδοσις τοῦ λόγου αὕτη. περὶ μὲν τὸν Κινύραν, οἱ τῶν Κυπρίων ὕμνοι. περὶ δὲ σὲ, ὁ ἐμὸς καὶ τῶν Συρακουσίων. Διαπορεῖται δὲ, τί ποτε ἐν τῷ τοῦ Ιέρωνος ὕμνῳ τοῦ Κινύρα ἐμνημόνευσε; καὶ φασί τινες ὅτι ὁ Κινύρας οὗτος, ἱεροφάντης τῶν θεαῖν ἀπεδέδεικτο. Δεινομένους γάρ υἱεῖς εἰσιν οἱ περὶ τὸν Ιέρωνα, τοῦ τὰ ἱερὰ ἐκ Τελόπου τῆς Κύπρου, εἰς Σικελίαν κομίσαντος. ὁ δὲ Κινύρας οὗτος ἐστὶν, ἀφ' οὗ οἱ ἐν Κύπρῳ Κινυρίδαι, τῇ θεᾷ ἀνιέρωντο. ἢ οὕτως. εἰσὶν οἱ λέγοντες τὸν Δεινομένην τὸν πατέρα Ιέρωνος ἀνέκαθεν τυγχάνειν Κύπριον. διὸ νῦν εὐλόγως γράφων εἰς τὸν Ιέρωνα, μέμνηται Κινύρα, οὗ καὶ Ομηρος μέμνηται. Τόν ποτέ οἱ Κινύρης δῶκε ξεινήϊον εἶναι. [Ιερέα κτίλον] Ομηρος μὲν προηγούμενον τῆς ποίμνης κριὸν, κτίλον ὀνομάζει. ἡ δὲ τοῦ ὀνόματος ἐτυμολογία, οὐχ οὕτως ἔχει αὕτη ἡ παρὰ τῷ Πινδάρῳ. ἔστι γὰρ παρὰ τὸ κτίσαι, ὅ ἐστι θρέψαι. καθάπερ φησὶ καὶ ἐν ἄλλοις ὁ Πίνδαρος, Ορικτίτου υἱὸς, τὸν ἐν ὄρεσι τεθραμμένον. νῦν οὖν κτίλον, οἱονεὶ τὸν συντεθραμμένον καὶ συνήθη λέγει, καὶ εἰθισμένον τῇ χειρί. καὶ αὐτὸς γὰρ ὁ Πίνδαρος, τὸ πιθασεῦσαι, καὶ κτιλεύεσθαι λέγει. Ενθα ποιμένες κτιλεύονται χάτερον λεόντων τέ. ἀγαπᾶσθαι δὲ τὸν Κινύραν φησὶν ὑπὸ Απόλλωνος, οὐχ ὅτι ἐρώμενος αὐτοῦ ἦν, ἀλλ' ὅτι ὑπὸ τῶν μουσικῶν ἐγκωμιαζόμενος.

Ἄγει δὲ χάρις φίλων	Impellit autem *ad hoc* gratia amicorum
Ποίτινος ἀντὶ ἔργων	Remuneratrix pro *bene* factis
Ὀπιζομένα. Σὲ δ᾽ ὦ Δεινομένειε παῖ,	Sequens. Te vero O Dinomenee fili,
Ζεφυρία πρὸ δόμων	Zephyria ante ædes
Λοκρὶς παρθένος ἀπύει,	Locrensis virgo *sonora voce* celebrat,
Πολεμίων καμάτων ἐξ ἀμαχάνων,	Bellicis laboribus ex *sibi* insuperabilibus,
Διὰ τεὰν δύναμιν, δραμεῖσ᾽ ἀσφαλές.	Propter tuam potentiam, currens secure.
Θεῶν δ᾽ ἐφετμαῖς,	Deorum autem mandatis
Ἰξίονα φαντὶ ταῦτα	Ixionem ajunt hæc

PARAPHRASIS.

Ac illi quidem ad hujusmodi præconia laudum impelluntur, ut pro beneficiis acceptis gratiam referant, quæ à gratis animis statim proficiscitur. Te vero fili Dinomenis Hiero, ante ædes laudant Zephyriæ Locrenses virgines, idque gratitudinis causa, quod post fœlicem dubii belli eventum nunc intuentur securitatem, cujus ipsis author fuisti, quando missis ad Rheginorum regem Anaxilam, à quo obsidebantur, legatis, ut obsidionem solveret obtinuisti. Ac sane quod æquum est illæ fecerunt: quandoquidem gratitudinem ipsi Dii commendant: quorum jussu Ixion

NOTÆ.

32 Ἄγει δὲ χάρις] Schmid. subintelligendum putat τινὰ vel ἐμὲ & ἄγει reddit per ὀτρύνει. 33 Nonnullæ Editt. & MS. γ. leg. ποί τινος divisim, Alicujus vel cujusdam. Ποίτινος Lex. Pind. deducit ἐκ τοῦ ποινήτινος, ἡ ποινὴν τίνουσα. Ποινὴν enim à Pindaro maxime usurpari sensu ἀντιτικτικῶς seu Compensationis Eustath. ad Il. P. annotat. Ita ut hac ratione sit Retributrix, seu ut Philippus reddidit, Mutua. Quod si cui conjectura magis placet, cum Spigelio & Schmidio legat ποίνιμος. 35 Ζεφυρία] Lonicerus προσωποποιΐαν facit Locridis Epizephyriorum in Italia, sub persona puellæ vel Nymphæ. Πρὸ δόμων] Hoc est, In loco tuto, & quidem Publice, quum jam tuto prodire liceat. Schmid. 36 Editt. vulg. male hoc κῶλον distinguunt. 37 Ἀμηχάνων Commune leg. Ed. Rom. 38 Editt. quas inspeximus hab. δρακεῖσ᾽ Ita & MS. γ. cujus sensus exprimitur in Paraphrasi. Hæc itidem lectio fuit Scholiastæ, cui ἀσφαλὲς est ἐλεύθερον. Ἀσφαλῶς tamen Ald. MSS. γ. &. Pal. C. Scholion pro Textu. Schmid. vertit, Videns tutum, vel libertatem suam. Nos tamen multo melius, ut quidem putamus, leg. cum C. 71. δραμοῖσ᾽ ἀσφαλές, h. e. δραμοῦσα ἀσφαλῶς, referentes ad πρὸ δόμων ἀπύει. Libere ante domos discurrens laudat. 39 Alii ἐφετμαῖσιν, quibus abundat Syllaba. 40 Φαντί] τυτέστιν αἱ παλαιαὶ ῥήσεις, Fama est. Exordium est Fabulæ.

[Ἄγει δὲ χάρις.] ἄγει δὲ ἑαυτὴν ἡ χάρις πρὸς ἀμοιβὴν τινὸς ἀποστρεφομένη τῶν προϋπαρξάντων ἀσφαλεστάτων ἔργων. ὁ δὲ λόγος αὐτῷ, ὅτι προευεργετηθεὶς ὑπὸ Ἱέρωνος, νῦν ἀμείβεται αὐτὸν τοῖς ὕμνοις καὶ ἐγκωμίοις. ἀντὶ γὰρ ἔργων ἡ χάρις ἄγει τὴν ποιητὴν εἰς τὸ λέγειν καὶ ὑμνεῖν· ἤτοι, ὁ μισθός. ποίτινος δὲ, ἀμειπτική. [Ἄλλως.] ἔξωθεν προσδεκτέον τὸ χάριν, ὥστε εἶναι τὸν λόγον τοιοῦτον. ἡ δὲ χάρις χάριν ἄγει, ἀντὶ φίλων ἔργων σεβομένη τὸν εὐεργετήσαντα. ἡ ὀπιζομένη, ἀντὶ τοῦ ἀμειβομένη, ἀνταποδιδοῦσα, ἐντρεπομένη. μετ᾽ αἰδοῦς γὰρ χαρίζεται, ἀλλ᾽ οὐ μετὰ θράσους. ἡ τὸ ὀπιζομένη, ἀντὶ τοῦ ὕστερον ἐπακολουθοῦσα. ἡ γὰρ ἀμειπτικὴ χάρις, ὑστέρα τῆς προκαταρκτικῆς. τοῦτο δὲ εἶπε, διὰ τὸ, τοὺς Λοκροὺς χάριν ὁμολογεῖν τῷ Ἱέρωνι, προευεργετήσαντι αὐτούς. Λοκροὺς δὲ, τοὺς Ἐπιζεφυρίους φησὶ, τοὺς πρὸς τῇ Ἰταλίᾳ οἰκοῦντας. [Σὲ δ᾽ ὦ Δεινομένει παῖ.] Ἀναξίλα τοῦ Μεσσήνης καὶ Ῥηγίου τυράννου Λοκροῖς πολεμοῦντος, Ἱέρων πέμψας Χρόμιον τὸν κηδεστὴν, διηπείλησεν αὐτῷ, εἰ μὴ καταλύσαιτο τὸν πρὸς αὐτοὺς πόλεμον, αὐτὸν πρὸς τὸ Ῥήγιον στρατεύειν. οὐ δὴ πρὸς τὴν ἀπειλὴν ἐνδόντος· ἐν εἰρήνῃ διῆγον οἱ Λοκροί. ἐφ᾽ οἷς οὖν ἔπαθον αἱ Λοκρίδες, ᾖδον καὶ καθύμνουν τὸν Ἱέρωνα. ὁ δὲ νοῦς, ἀνυμνοῦσι μὲν τὸν Κινύραν οἱ Κύπριοι. σὲ δὲ ὦ Δεινομένει παῖ Ἱέρων, αἱ Ἐπιζεφύριοι παρθένοι προελθοῦσαι τῶν οἴκων, τῶν πολεμικῶν καμάτων ἐξ ἀπροσδοκήτου ἀπαλλαγεῖσαι, καὶ διὰ τὴν σὴν δύναμιν ἐλεύθερον βλέπουσαι. καὶ γὰρ Ἀναξίλας ὡς ἔφαμεν καὶ Κλεόφρων ὁ τούτου παῖς, Ἰταλίας ὄντες τύραννοι, ὁ μὲν ἐν Μεσσήνῃ τῇ Σικελιωτικῇ, ὁ δὲ ἐν Ῥηγίῳ τῷ περὶ Ἰταλίαν, πόλεμον ἠπείλουν Λοκροῖς. διαπρεσβευσάμενος δὲ πρὸς αὐτοὺς ὁ Ἱέρων, ἔπαυσε τοὺς Λοκροὺς τοῦ πολέμου. [Θεῶν δ᾽ ἐφετμαῖς Ἰξίονα φαντί.] ταῖς τῶν θεῶν δὲ ἐντολαῖς καὶ βουλήσεσι τὸν Ἰξίονα φησὶν ἡ Λοκρὶς παρθένος ταῦτα τοῖς ἀνθρώποις βοᾶν, τῷ τάχει τοῦ τροχοῦ πανταχοῦ δινούμενον. ὥστε τὴν εὐεργέτην προσιοῦσιν ἀμειβαῖς μετερχομένοις, ἀμείβεσθαι. Ἄξιον δὲ εἰπεῖν, τίνος ἕνεκα τοὺς περὶ τὸν Ἰξίονα παρεμβέβληκε νῦν λόγους ὁ Πίνδαρος. εἰ γὰρ οἱ Λοκροὶ ἀνθ᾽ ὧν εὐηργετήθησαν ὑφ᾽ Ἱέρωνος, ᾄδουσιν αὐτῷ, εἰς οὐδὲν ὁ Ἰξίων αὐτοῦ προσήκεται. τότε γὰρ ἐχρῆν εἰς παράδειγμα αὐτὸν ἄγεσθαι, εἰ μή γε χάριτος οἱ Λοκροὶ ὥσπερ ὁ Ἰξίων ἐμνήσθησαν. Φαμὲν οὖν, ὅτι καθόλου παρακελεύονται αἱ Λοκρίδες τῷ Ἰξίονι λέγειν τοῖς ἀνθρώποις, ὡς τὴν εὐεργέτην προσήκει τοῖς αὐτοῖς ἀεὶ ἀμείβεσθαι. Τὸν δὲ Ἰξίονα, οἱ μὲν Ἀντίονος γενεαλογοῦσιν, ὡς Αἰσχύλος. Φερεκύδης δὲ, Πεισίωνος. ἔνιοι δὲ, Ἄρεος. οἱ δὲ, Φλεγύα. Ἀσκληπιάδης δὲ, ἐν τῷ τρίτῳ τῶν τραγῳδουμένων οὕτω γράφει. προσιστοροῦσι δὲ ἔνιοι, ὡς καὶ μανείη ὁ Ἰξίων. ὡς καὶ Φερεκύδης. καὶ τὴν ἐπὶ τοῦ τροχοῦ δὲ κόλασιν αὐτῷ παρεγκεχειρήκασιν. ὑπὸ γὰρ δίνης καὶ θυέλλων αὐτὸν ἐξαρπασθέντα φθαρῆναί φασιν. οὗτος ἔγημε Δίαν τὴν Δηϊονέως θυγατέρα. ἔθος δὲ τοῖς παλαιοῖς τῶν νυμφῶν τοῖς πατράσι, δῶρά τινα ἐνάγειν, ὡς Ὅμηρος. Πρῶτ᾽ ἑκατὸν βοῦς δῶκεν ἔπειτα δὲ χίλι᾽ ὑπέστη, Αἶγας ὁμοῦ καὶ ὄϊς. ὁ γοῦν Δηϊονεὺς κατὰ τὸ σύνηθες, γήμαντα Ἰξίονα τὴν αὐτοῦ θυγατέρα, τὴν τῶν δώρων εἰσεπράττετο δόσιν· ὁ Ἰξίων δὲ βιαζόμενος παρ᾽ αὐτοῦ καὶ ἀναγκασθεὶς, βόθρον διώρυξε. καὶ πληρώσας αὐτὸν πυρὸς, ὡς ἐπὶ εὐωχίαν ἐκάλεσεν. ὁ δὲ ἀπρονόητος ὢν τοῦ μηχανήματος, καὶ εἰσελθὼν εἰς τὴν πυρὰν, ἔνδον ἔπεσε καὶ κατεκαύθη. τοῦ δὲ μύσους μηδενὸς καθαίροντος τὸν Ἰξίονα, ἀποστραφέντων δὲ αὐτοῦ καὶ τῶν ἄλλων θεῶν, μόνος ὁ Ζεὺς οἰκτείρας αὐτὸν, ἐκάθηρε τοῦ φόνου καὶ εἰς τὸν οὐρανὸν τοῦτον ἀνήγαγε· καὶ συνέστιον ἑαυτῷ ἐποιήσατο. ὁ δὲ Ἰξίων μὴ τῆς προτέρας ὥσπερ τοῦ Διὸς ἀπομνημονεύσας χάριτος, δευτέρῳ πάλιν ἐπιχειρεῖ ἁμαρτήματι· καὶ εἰς ἔρωτα τῆς Ἥρας κινηθεὶς, ἐπεχείρει ταύτῃ συμμίγνυσθαι. ὁ δὲ Ζεὺς καὶ τοῦτο μαθὼν, ὁμοίαν τῇ Ἥρᾳ νεφέλην ἐξετύπωσε, καὶ ἀνέπλασεν. ἣν καὶ θεασάμενος Ἰξίων, συνεμίγει τε αὐτῇ, καὶ ἄγριόν τινα καὶ τερατώδη ἄνδρα ἐκ ταύτης πεποίηκε, κένταυρον καλονομάσας. ὕστερον μέντοι τοῦ τροχοῦ τὰς χεῖρας καὶ τοὺς πόδας τοῦ Ἰξίονος ὁ Ζεὺς ἐδέσμευσε, καὶ τὸν τροχὸν ἀειδίνητον παρεσκεύασε. ταύτης οὖν τῆς ἱστορίας νῦν ὥσπερ ἀπομνημονεύει ὁ Πίνδαρος ὡς προσήκει τοὺς εὐεργετήσαντας βελτίοσιν ἀμείβεσθαι, καὶ μὴ τοῖς ἐναντίοις καταβλάπτειν. δεδεμένος φησὶ τῷ τροχῷ ὁ Ἰξίων βοᾷ, ὅτι δεῖ τοὺς εὐεργετήσαντας ἀντευεργετεῖν.

Βροτοῖς λέγειν, ἐν πτερόεντι τροχῷ
Παντᾶ κυλινδόμενον,
Τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς
Εποιχομένους τίνεσθαι.

Mortalibus dicere in celeri rota
Perpetuo volutatum, *ut*
Benefactorem benevolis compensationibus
Excipientes remunerent.

στροφὴ β'. κώλων ιβ'.

Εμαθε δὲ σαφές. Εὐμενέσ-
σι γὰρ παρὰ Κρονίδαις
Γλυκὺν ἑλὼν βίοτον, μα-
κρὸν γ' οὐχ ὑπέμεινεν ὄλβον,
Μαινομέναις φρασὶν
Ηρας ὅτ' ἐράσσατο, τὰν Διὸς εὐναὶ
Λάχον πολυγαθέες.
Αλλά νιν ὕβρις εἰς αὐάταν ὑπεράφανον
Ωρσεν. Τάχα δὲ παθὼν ἐοικότ' ἀνὴρ,
Εξαίρετον ἕλε μόχθον. Αἱ
Δύο δὲ ἀμπλακίαι,
Φερέπονοι τελέθοντι· τὸ μὲν

Μ ε τ α φ ρ.

Didicit autem *Ixion* rem-certam. Benevo-
los enim apud Saturnidas
Dulcem adeptus vitam, lon-
gam non sustinuit *eam* felicitatem,
Insana mente
Junonem quando deperiit, quam Jovis cubilia
Sortita-sunt gaudiorum-plena.
At ipsum injuria in damnum insolentem
Impulit. Mox vero passus se-digna vir *ille*,
Exquisitam sustinuit ærumnam. Hæc
Duo autem peccata,
Quæ-ærumnam-hanc-ei-attulerunt, sunt: &

P a r a p h r a s i s.

dum in celeri rota volutatur, monet homines ut parem gratiam referant : & beneficium beneficio rependant. Suo autem periculo, imo damno perspicue didicit benefactori esse vicissim benefaciendum. Cum enim per Jovis Saturni filii benevolentiam & humanitatem, expiato ejus homicidio, in consortium Deorum esset admissus, & suavi illorum conversatione donatus, fœlicitatem illam non diu servavit inoffensam. Sed nescio qua mentis insania percitus, Junonis, quæ solius Jovis conjugium jucundum est sortita, amore flagravit. Cui quod stuprum obtulisset vir ille insolens, damnum ingens accepit : & merita eaque gravi pœna statim est mulctatus. Atque hic quidem duorum scelerum fuit conscius, reusque, ob quæ labori illi ærumnoso est addictus.

N O T Æ.

41 Πετρόεντι leg. Alii, i. e. Saxea. MS. γ. leg. πτερόεντι. 44 Εποιχομένους leg. Aug. & MS. γ. Perinde. Simile est quod Virgil. 6. Æn. hab. *—Phlegyasque miserrimus omnes Admonet, & magna testatur voce per umbras, Discite justitiam moniti, & non temnere Divos.* 48 Editt. nonnullæ omitt. γ'. 49 Φρασὶν Commune Alii. 50 Editt. plurimæ & MSS. nostra ἱμείρατο Commune. 52 Omnes Codd. hab. ἐς præter MS. γ. 53 Editt. omnes ὦρσε. 54 Ελε] Alii leg. ἔχε, quod etiam ferri potest. 56 Τὸ μὲν] Si referas ad supplendum ἁμάρτημα vel ἀμπλάκημα. Syntaxis est ad Intellectum non vocem, ut sane alibi apud Autorem nostrum. Et hac ratione ad τὸ μὲν, non infertur τὸ δὲ, quod Græcis solenne est, sed ὅτι τί. Sic Vulg. versio; quam sequitur Benedict. Duæ sunt culpæ ærumnæ portatrices : una, quod Heros cognatum sanguinem primus non sine fraude miscuit inter homines: *altera*, quod, &c. Eodem sensu Portus. Sed aliter videtur ordinare Schol. quem & Schmid. sequitur: δύο ἀμπλακίαι τελέθοντι· ὅτι τὸ ἥρως ἐπίμιξε τὸ μὲν ἐμφύλιον αἷμα, κ. λ. ὅτι τὸ ἐπείρατο. Atque ita ὅτι τὸ, ὅτι τὸ, bipartitæ enumerationi inserviat, & τὸ μὲν ad αἷμα referatur.

[Εμαθε δὲ σαφές.] ἔμαθε δὲ σαφῶς ὁ Ιξίων, ὅτι δεῖ τὸν εὐεργέτην ἀνταμείβεσθαι. παρὰ γὰρ τοῖς τοῦ Κρόνου παισὶν, εὐμενῶς διατεθεῖσιν αὐτῷ, ἡδύν τε δεξάμενος βίον τὸν ἐν θεοῖς διαγωγὴν, τὸν μακρὸν καὶ ὑπεραίροντα τὴν ἑαυτοῦ φύσιν, ἐνεγκεῖν οὐκ ἴσχυσεν, ὅτε τῆς Ηρας ταῖς μαινομέναις φρεσὶν ἐπεθύμησεν. ἥντινα Ηραν μόναι αἱ τοῦ Διὸς κοῖται ἔλαχον. [Ες αὐάταν.] εἰς ἄτην καὶ βλάβην. Αἰολικῶς δὲ τὸ αὐάταν προσήγαγεν. ἐκεῖνοι γὰρ ἐὰν ὦσι δύο φωνήεντα μεταξὺ, ἐντιθέασι τὸ υ', ὡς ἐπὶ τοῦ ἀὴρ, αὐὴρ, καὶ ἀὼς αὐὼς. ὅτε δὲ σύμφωνόν ἐστιν, οὐκέτι. Καὶ τάχα ἄν τις ἡμῖν ἀπορήσειε λέγων. πῶς τὸ ἄτη τοῦ τ' ὄντος μεταξὺ, τὸ υ' ἀνεδέξατο, εἴπερ τοῦτο γίγνοιτο, ὁπηνίκα σύμφωνόν ἐστι μεταξὺ; Καὶ φαμὲν ὅτι ἀπὸ συναιρέσεως γέγονεν. ἦν γὰρ ἀάτη. καὶ Ομηρος. Πρέσβα Διὸς θυγάτηρ Ατη, ἣ πάντας ἀᾶται. ἀναλόγως οὖν εἰ καὶ κατ' ἔκθλιψιν γέγονεν, ἀλλ' οὖν διὰ τὸ ὑπάρχειν δυνάμει τὸ ἕτερον α', τὸ υ' ἀνεδέξατο. ὁ δὲ νοῦς, ἀλλὰ αὐτὸν τὸν Ιξίονα ἡ ὕβρις εἰς ἄτην μεγίστην ἐνέβαλε. [Τάχα δὲ παθών.] Ομηρος τὸ τάχα, ἀντὶ τοῦ ταχέως. ταχέως δὲ παθὼν καὶ τιμωρηθεὶς, τὸν πρέποντα αὐτῷ καὶ ἁρμόζοντα μισθὸν ἀνεδέξατο. ἐξαίρετον δέ φησι, τὸν ἐξηλλαγμένον· ἤτοι δὲ, ὅτι μέγας, ἢ ὃν οὐδεὶς ἄλλος ἔχει. οὐδεὶς γὰρ ἄλλος παραδίδοται οὕτως ἐπὶ τροχῷ κολαζόμενος. [Αἱ δύο δ' ἀμπλακίαι.] τόν τε ἐμφύλιον φόνον, καὶ τὴν τῆς Ηρας ἐπιθυμίαν φησί. λέγει δὲ τοῦτο, ὅτι τὸ μὲν τοῦ φόνου ἁμάρτημα συνέγνωσαν οἱ θεοὶ, τὸ δὲ δεύτερον οὐκέτι. φησὶν οὖν ὅτι αἱ δύο ἁμαρτίαι, φερέπονοί εἰσιν. οἱονεὶ, πόνον καὶ τιμωρίαν τοῖς ἁμαρτάνουσιν ἐπιφέρουσαι. τῶν οὖν δύο ἁμαρτημάτων διαίρεσιν ποιεῖται. καὶ φησὶν, Ιξίων ἐμφύλιον φόνον ἐνέμιξεν ἀνθρώποις. οὗτος πρῶτος τὸν ἐμφύλιον φόνον ἐν ἀνθρώποις εἰργάσατο. δεύτερον δὲ, ὅτι τοῖς μεγάλοις καὶ ἀκατασκευάστοις θαλάμοις τοῦ Διὸς, τὴν γαμετὴν Ηραν ἐπείρα τε καὶ ἐνήδρευε. τὸ γὰρ ἐπειράτο, ἀντὶ ἐνεργητικοῦ ἐστιν. σημαίνει δὲ, τὸ ἐνήδρευεν. οὕτω γὰρ καὶ πειρατὰς τοὺς κατὰ πέλαγος λῃστὰς λεγόμεθα. κυρίως δὲ, τοὺς ἐν ὁδῷ κακουργοῦντας. παρ' ὃ δὴ, καὶ ὀδουροὺς αὐτοὺς λέγουσιν· Εὐριπίδης ἐν Αρχελάῳ. Επαυσ' ὀδουροὺς λυμεῶνας. καὶ Σοφοκλῆς ἐν Αἰγεῖ. Πῶς δῆθ' ὀδουρεῖν ὅμοιος ἐξέβης λαθών.

[Οὐκ

Ἥρως ὅτι τ' ἐμφύλιον αἷμα πρώ-
τιστος οὐκ ἄτερ τέχνας
Ἐπέμιξε θνατοῖς·

ἀντιστροφὴ β'. κώλων ιε'.

Ὅτι τε μεγαλοκευθέεσ-
σιν ἔν ποτε θαλάμοις
Διὸς ἄκοιτιν ἐπειρᾶ-
το. Χρὴ δὲ καθ' αὐτὸν αἰεὶ
Παντὸς ὁρᾶν μέτρον.
Εὐναὶ δὲ παράτροποι, ἐς κακότατ' ἀ-
θρόαν ἔβαλον ποτὶ
Καὶ τὸν ἱκόντ'. Ἐπεὶ νεφέλᾳ παρελέξατο,
Ψεῦδος γλυκὺ μεθέπων ἄϊδρις ἀνήρ.
Εἶδος γὰρ ὑπεροχωτάτᾳ
Πρέπεν οὐρανιᾶν
Θυγατέρι Κρόνου· ἅν τε δόλον
Αὐτῷ θέσαν Ζηνὸς παλάμαι, καλὸν

Quod heros cognatum sanguinem pri-
mus non sine fraude
Admiscuit hominibus:

METAPH.

Et quod magna-penetralia-habenti-
bus aliquando in thalamis
Jovis uxorem de-stupro-insidiose-sollici-
tavit. Oportet autem ut se semper decet
Cujusque *rei & facti* respicere modum.
Concubitus vero illegitimi, in malum in-
gens conjecerunt ad *inconcessa*
Et hunc accedentem. Quia Nube concubuit,
Deceptionem dulcem sectatus inscius vir.
Forma enim *Nubis*, præstantissimæ
Conveniebat cœlesti
Filiæ Saturni: Hancque *in* dolum
Ipsi fecerant Jovis manus, pulchrum

PARAPHRASIS.

Nam primus inter Græcos cognato sanguine sese contaminavit, quando Dioneum socerum pro data uxore munera acrius efflagitantem, ad simulatum convivium invitavit, ac si illa traditurus esset: attamen in foveam carbonariam, igni intus occultato, & tenuissimis trabibus superius instratam miserum dolose detrusit. Deinde Junonem Jovis uxorem stuprare conatus est in ejus thalamis amplissimis, & magna penetralia habentibus: nulla illius magnitudinis, nulla suæ conditionis, sed flagitiosæ tantum cupiditatis habita ratione. Attamen metiri se quemque suo modulo ac pede verum est. Cæterum non legitimi sed perversi concubitus, istum qui ad eos accessit, in repentinam calamitatem conjecerunt, postquam cum nube rem habuit, falsæ Junonem esse ratus, & nesciens se illius dulce simulachrum amplecti. Nam illa nubes erat Junoni cœlesti filiæ præstantissimæ Saturni simillima, & Jovis arte ad illius speciem exquisitissime efficta, ut sic deceptum pulchritudine virum in perniciem conjiceret.

NOTÆ.

57 Ἥρως] Propter originem & genus, utpote Marte genitus. Schmid. 59 Vel Schol. leg. ἐνέμιξε, vel ita saltem exponit. Quis nam fuit primus parricida inter Romanos, eorum historiæ tradunt. Sed Græci aliter loquuntur, ac si de omnibus mortalibus verum esset, quod de Gente sua unice intelligendum est. 63 Καθ' αὐτὸν] Schmid. κατὰ τὸ αὐτοῦ πρέπον, ne quis plura aut majora aut aliter appetat, quam sibi competat. Consentit fere cum eo, quod Philosophus virtutem ait consistere ἐν μεσότητι πρὸς ἡμᾶς. Hæc ille. Sed Schol. expositio forsan magis accommodatur ad Poëtæ sensum. Horat. *Metiri se quemque suo modulo ac pede verum est.* 65 Εὐναὶ παράτροποι] Oppian. lib. 1. κυνηγ. v. 246. vocat φιλότητ' ἀπόμουσον· Phocylides, κύπριν ἄθεσμον. Κακότατ'] Lonicer. reddit, Ignaviam. Lectionem ὀρθὰν pro ἀθρόαν apud Schol. rejicit. metrum. 67 Aliqui distinguunt post ἔβαλον, hæc verba, ποτὶ καὶ τὸν ἱκόντα, i. e. ποθίκοντα, pro προσήκοντα, ad παρελέξατο referentes & τὸ νεφέλα, quia Dores ι subscriptum negligunt. Nominative accipientes; quorum sensum ita exprimit Lonicer. Nam accedentem nebula illexit, secumque concumbere fecit. Rem itaque vanam, secutus est iners homo. Quibus Schmidius reponit, quod neque παραλέγομαι Transitivam significationem habeat; neque ad hoc verbum in Transitiva significatione acceptum, subsequens Nominativus ἀνὴρ rationem habeat. Ausonius, *Perjurum Lapitham Junonia ludificat nubes.* 70 Οὐρανίᾳ refert. Schol. ad Κρόνου quasi Dor. pro Οὐρανίου putaret. MS.C. 71. leg. οὐρανιᾶν, forte ad ὑπεροχωτάτῃ referens, q.d. οὐρανίων ὑπεροχωτάτῃ. Sed οὐρανίων nulla, quam scimus, Dial. hanc formam induit: sed nihil obstat, quin οὐρανιδᾶν hoc loco posset legi. 72 Καλὸν πῆμα] Hesiod. de Pandora, -ἑὸν κακὸν ἀμφαγαπῶντες.

[Οὐκ ἄτερ τέχνας.] οὐ χωρὶς δόλου. τοῦτο δὲ λέγει διὰ τὸν βόθρον. σημειωτέον δὲ ὅτι, καὶ τοὺς δόλους, καὶ τὰς πανουργίας, τέχνας τινὲς ἐκάλουν. [Εὐναὶ δὲ παράτροποι.] παρατρόπους εὐνάς φησι, τὰς μοιχιδίους καὶ τοῦ δέοντος παρεκτετραμμένας. αἳ καὶ εἰς κακότητα ἐνέβαλον τὸν Ἰξίονα. ἔνιοι δὲ γράφουσιν εἰς κακότητα ὀρθήν, καὶ οὐχὶ ἀθρόαν. ἵν' ᾖ εὐθεῖα, ἀπὸ μεταφορᾶς τῶν ὁδῶν. [Χρὴ δὲ καθ' αὐτόν.] προσῆκόν ἐστί φησι, τὴν κατὰ τὴν ἑαυτοῦ δύναμιν τὸ μέτρον σκοπεῖν, καὶ τούτων ἐπιθυμεῖν. καὶ μὴ τὴν ὑπὲρ δύναμιν ὀρέγεσθαι. ὅμοιον δὲ τοῦτο, τῷ ὑπὸ Χίλωνος εἰς Δελφοὺς ἐγγεγραμμένῳ. ὅπερ τινές φασι Σωδάμου εἶναι. [Εἶδος γάρ.] τὸ γὰρ εἶδος ἡ νεφέλη ὁμοία ἦν τῇ ὑπερεχούσῃ τῶν οὐρανίων Κρόνου θυγατρί. [Αντε δόλον.] ἥντινα νεφέλην Ἰξίονι κατεσκεύασαν αἱ τοῦ Διὸς τέχναι. [Καλὸν πῆμα·] ἤγουν ἀξίαν βλάβην. ὡς καὶ Ἡσίοδος. Καλὸν κακόν. πῆμα δὲ καλόν φησι, τὴν νεφέλην. καλὸν μὲν, διὰ τὸ ὡμοιῶσθαι τῇ Ἥρᾳ. πῆμα δὲ, ὡς πρὸς τὸ ἀποτέλεσμα. [Τὸν δὲ τετράκναμον.] κνήμη ἐστὶν ἡ τοῦ τροχοῦ ῥάβδος, ἡ διήκουσα ἀπὸ τῆς χοινικίδος ἐπὶ τὸν κύκλον. οἱ δὲ ἁρμάτειοι τροχοὶ τῶν ἀνθρώπων, ἑξάκνημοί εἰσιν· οἱ δὲ τῶν θεῶν, δι' ὑπερβολὴν κόσμου παρὰ τῷ Ὁμήρῳ, ὀκτάκνημοι εἶναι λέγονται. οἰκείως δὲ ὁ Πίνδαρος τὸν τοῦ Ἰξίονος τροχὸν, τετράκνημόν φησιν, ἵνα τοῖς μὲν δυσὶ ποσὶ τὰς δύο, ταῖς δὲ δυσὶ χερσὶ, τὰς δύο περιάπτῃ κνήμας. ἴσον ταῖς χερσὶ καὶ τοῖς ποσὶν, ὡς εἰς τὴν δέσιν ἀμφοτέρων ἐξαρκεῖν ποδῶν δηλονότι, καὶ χειρῶν. ὁ δὲ νοῦς, τὸν δὲ τετράρραβδον δεσμὸν ἤνυσε καὶ κατειργάσατο ὁ Ἰξίων ἑὸν ὄντα δεσμὸν ὀλέθριον.

[Εν

Πῆμα. Τὸν δὲ τετράκναμον ἔπραξε δεσμόν,

ἐπῳδὸς β'. κῶλον ιδ'.

Ἑὸν ὄλεθρον ὅ γ'. Ἐν δ' ἀφύκτοισι γυιοπέδαις πεσών,
Τὰν πολύκοινον ἀνεδέξατ' ἀγγελίαν. Ἄνευ δ' οἱ Χαρίτων τέκε
Γόνον ὑπερφίαλον,
Μόνα, καὶ μόνον, οὔτ' ἐν ἀνδράσι γερασφόρον, οὔτ' ἐν Θεῶν νόμοις·
Τὸν ὀνύμαξε τράφοισα Κένταυρον. Ὃς Ἵπποισι Μαγνητίδεσσιν ἐμίγνυτ' ἐν Παλίου σφυροῖς. Ἐκ δ' ἐγένοντο στρατὸς

Malum. Quadriradium autem fecit *dum peccavit* vinculum,

METAPH.

Suam perniciem ille. In vero non-evitabilia membrorum-vincula illapsus,
Illud multum-commune in-se-susce-pit nuntium. Absque vero ei Gratiis peperit
Sobolem superbam,
Sola, & solam, neque inter homines honoratam, neq; in Deorum legibus:
Quam nominavit nutrix Centaurum. Qui Equabus Magnesiis miscebatur in Pelii convallibus. Ex *eo* vero nati erant exercitus

PARAPHRASIS.

Porro Ixion rotam fecit quatuor habentem radios, quorum duobus manus, duobus pedes alligarentur, in proprium exitium. Itaque in compedes istos unde evadere non possent irretita membra conjectus, hoc præceptum accepit vulgo enunciandum, ut benefactori vicissim benefacerent homines. Porro ex hoc nefando concubitu nubes sola solum unicumque peperit filium superbum, à quo ita erant alienæ Gratiæ, ut neque apud homines, neque apud Deos in honore esset: quem nutrix Centaurum appellavit. Qui Centaurus postea ad Pelii montis radices cum Magnesiis equabus rem habuit, unde prognatum est genus hippocentaurorum admirandum,

NOTÆ.

74 Ἔπραξε non ἐποίησε usurpat, quia materiam & opus rotæ ipse non fecit; πράξε vero hanc pœnam sibi accersivit. Schmid. 77 Vulgatam de se accepit famam; seu, Rumorem, vel Prædicationem, vertunt Portus Aliique. Schmidius ita, Publicam illam ad multos, imo omnes pertinentem in se-suscepit proclamationem; qui & τὸ ἀγγελία Activam potius quam Passivam significationem habere docet. Qui & ἀνδέξατ' leg. Ita & MS. γ. Sed nihil persuadet elidendum esse τὸ ε'. duæ enim breves ἀνε— per ἰσοδυναμίαν pro longa habentur. MS. C. 71. omitt. ἀνδέξατ'. 78 MS. C. 71. Ita hoc κῶλον leg. κὶν τ' ἀγγελίαν κ. λ. Ἄνευ Χαρίτων] Agrestem & monstrosam Sobolem. † Legendum forsan ἄχαρις in loco Sapphus à Schol. laudato. 80 Male distinguunt hoc κῶλον Codd. nonnulli ἀνδρ— in eodem legentes. Ἐν ἀνθρώποις leg. Aug. Scholion pro Textu. 82 Τράφοισα] Æolice accentu retracto, pro τραφοῖσα quod Ald. habet, & Dor. est pro τραφοῦσα. 83 Ἵπποισι Μαγνητίδεσσιν ἐμίγνυε] Galenus lib. 3. De Usu part. hunc locum carpit, quippe qui cum Physicis rationibus non consentiat. Nec tamen opus fuit patrono, qui Pindarum defenderet, qualis est Schmidius. Ipse enim Galenus agnoscit Poëtis licere, monstrosa fingere & sane haud periculum est, ne quis crederet hanc narrationem de Hippocentauris esse veram. Verum Poëta hanc fabulam non commentus est, quin potius vulgatam descripsit, & in sua transtulit. Vide v. 40. 84 Ἐν Παλίου σφυροῖς] Τὸ σφυρὸν est Malleolus pedis. Hoc loco inferiores partes montis, ejusque radices notat. Additur autem hoc de Pelio, ut intelligatur Magnesia Thessaliæ, quum fuerit & alia Magnesia in Asia, de qua hic non est sermo. Schmid. Galenus loco laudato legit, πολιοσφύρεσι, ut sit epitheton Equarum albos pedes habentium, quales pro generosis habentur.

[Ἐν δ' ἀφύκτοισι γυιοπέδαις.] ἐν δεσμοῖς τοῖς τὰ γυῖα πεδοῦσι πεσών, τὴν πᾶσιν ἐγνωσμένην, κοινὰ γὰρ τὰ τοῦ Ἰξίονος, ἢ τὴν ὠφέλιμον, ἀνεδέξατο ἀγγελίαν καὶ φήμην. ἣν δεδεμένος ἐν τῷ τροχῷ ἔλεγε. φημὶ δὲ, τὸ, ὅτι χρὴ τοὺς εὐεργέτας καλῶς ἀμείβεσθαι. τὸ δὲ [Ἄνευ δ' οἱ χαρίτων,] ἀντὶ τοῦ ἔξω συνουσίας. χαρίζεσθαι γὰρ κυρίως, τὸ συνουσιάζειν λέγεται· ὥσπερ Θεόπομπος ἐν Μήδῳ, εἰσάγει τὸν Λυκαβηττὸν λέγοντα, Παρ' ἐμοὶ τὰ λίαν μειράκια χαρίζεται τοῖς ἡλικιώταις. καὶ Ἀριστοφάνης ἐν Ἱππεῦσιν, ἐκ μεταφορᾶς. Πολλῶν γὰρ ἤδη πειρασάντων αὐτὴν, ὀλίγοις χαρίσασθαι καὶ Σαπφώ. † Μίκρα μοι παῖς ἔμμεναι ἐφαίνεο κἄχαρις. ἢ μήπω δυναμένη ἀλλὰ τὴν ἡλικίαν χαρίσασθαι. Ἀρίσταρχος δὲ ἀφ' ἑτέρας ἀρχῆς νῦν ἐπὶ τῆς Νεφέλης ὑφίστησι τὸν λόγον τῆς τῷ Ἰξίονι συνευνασθείσης. [Ἄνευ δ' οἱ χαρίτων.] οἷον, τὸν ἄχαριν γόνον, ἄχαρις γὰρ ἦν τις καὶ ἄγριος, ὁ Νεφέλης καὶ Ἰξίονος Κένταυρος. ἰστέον δὲ ὅτι ἐκ Νεφέλης καὶ Ἰξίονος, συνίστησιν ὁ Πίνδαρος τοὺς διφυεῖς κενταύρους. ἐκείνους μὲν γάρ φησι τεκεῖν τοιοῦτον γόνον, ὃς οὔτε ἐν ἀνθρώποις οὔτε ἐν θεοῖς τιμὴν εἶχεν. ὄνομα δὲ αὐτῷ φησιν εἶναι Κένταυρον. τοῦτον δὲ ἐν Μαγνησίᾳ τῇ Θρακικῇ ἵπποις μιγνύμενον, (ἔστι δὲ καὶ ἐν τῇ Ἀσίᾳ ἑτέρα Μαγνησία,) τοὺς διφυεῖς γεννῆσαι Κενταύρους. ὥστε καὶ ἐκείνους κατὰ τὸ γενικὸν ὄνομα ὀνομασθῆναι Κενταύρους, ἀπὸ τῆς τοῦ πατρὸς ὀνομασίας. εἰσί γε μὴν, οἱ τὸν ὅλον μῦθον παρεγκεχειρήκασιν, ὡς οὐ διφυῶν γεγονότων. Λέγουσι γάρ φασι πρότερον αὐτοὺς προσαγορευομένους, διὰ τὸ ἀποκεντῆσαι τοὺς ἵππους, προσαγορευθῆναι Ἱπποκενταύρους. οἱ δὲ, ὅτι ἵπποις κέλησιν ἐποχηθέντες, πρῶτοι πάντων τοῦτο διεπράξαντο. [Μόνα καὶ μόνον,] ἀντὶ τοῦ, μονομερῆ καὶ ξένον τὴν φύσιν. οἱ δὲ, ἀντὶ τοῦ μόνον, καὶ οὐκέτι ἕτερον. οὐδεὶς γὰρ ἄλλος υἱὸς Νεφέλης ἐγένετο. καὶ παρὰ τὰς ἄλλας Νεφέλας μόνη ἔτικτε Κένταυρον, ἐγέννησεν οὖν φησι παῖδα ἡ Νεφέλη τῷ Ἰξίονι, οὔτ' ἐν ἀνθρώποις γέρας ἀποφερόμενον. ὅ ἐστι, τὸν τῆς ἀνθρώπων φύσεως ξένον ὄντα, οὔτ' ἐν τοῖς τῶν θεῶν νόμοις τιμώμενον· ἢ τὸν οὔτε τῆς τῶν ἀνθρώπων μετέχοντα φύσεως, οὔτε τῆς τῶν θεῶν. [Κένταυρον, ὃς ἵπποισιν.] τοῦτον Κένταυρον ἄνδρα φησὶ γεννηθῆναι ἐκ τῆς Νεφέλης καὶ τοῦ Ἰξίονος, ὃν μιγνύμενον ταῖς ἵπποις ταῖς Θεσσαλαῖς κατὰ τὰς ὑπωρείας τοῦ Πηλίου, γεννῆσαι τοὺς διφυεῖς Κενταύρους. τὰ μὲν κάτω, ἐμφερεῖς τῇ μητρί· τὰ δ' ἄνω, τῷ πατρί. [Ἐκ δ' ἐγένοντο στρατὸς θαυμαστός.] ἡ φράσις κατὰ σχῆμα. ἀπὸ πληθυντικοῦ γὰρ ἑνικὸν ἐπήγαγεν, εἰπὼν, ἐκ δ' ἐγένοντο στρατός. καὶ ἔστι τοῦτο, ἐναντίον τῷ παρ' Ὁμήρῳ. Ἡ πληθὺς ἐπὶ νῆας, ἀπὸ στρατοῦ ἀπονέοντο. καὶ πάλιν. Αἱ δὲ γυναῖκες ἱστάμεναι, θαύμαζον ἐπὶ προθύροισιν, ἑκάστη. Ζητεῖται δὲ, διατί εἰ ἐν Μαγνησίᾳ τῆς Θετταλίας, οἱ Κένταυροι ἐτράφησαν, πῶς ἐν Φολόῃ τῇ Ἀρκαδικῇ Ἡρακλεῖ ἀντιτάσσονται; Καὶ ῥητέον ὅτι, Πειρίθους ὁ Ἰξίονος παῖς, καὶ Δίας τοῦ Δηϊονέως, ὡς ἂν οἰκειότητα ἔχων πρὸς τοὺς

Κενταύρους,

Θαυμαστὸς, ἀμφοτέροις
Ὁμοῖοι τοκεῦσι, τὰ ματρόθεν μὲν,
Κάτω, τὰ δ' ὕπερθε, πατρός.

Admirandus, utrisque
Similes parentibus, quæ à-matre quidem,
Inferius, desuper vero Patris.

στροφὴ γ'. κώλων ιε'.

ΜΕΤΑΓΡ Η.

Θεὸς ἅπαν ἐπὶ ἐλπίδεσ-
σι τέκμαρ ἀνύεται.
Θεὸς ὃ καὶ πτερόεντ' αἰ-
ετὸν κίχε, καὶ θαλασσαῖ-
ον παραμείβεται
Δελφῖνα, καὶ ὑψιφρόνων τιν' ἔκαμψε
Βροτῶν· ἑτέροισι δὲ
Κῦδος ἀγήραον παρέδωκ'. Ἐμὲ δὲ χρεὼν,
Φεύγειν δάκος ἀδινὸν, κακαγοριᾶν.
Εἶδον γὰρ ἑκὰς ἐὼν, τὰ πόλ-
λ' ἐν ἀμαχανίᾳ
Ψογερὸν Ἀρχίλοχον βαρυλό-

Deus omnem spe *i. e. voluntate sua*
Exitum perficit.
Deus *inquam* qui & pernicem aqui-
lam assequitur, & mari-
num antevertit
Delphinem, & superborum aliquem flexit
Mortalium: cæteris vero *non-superbis*
Decus non-senescens dedit. Me vero decet
Fugere morsum nimium, maledicentiam.
Vidi enim *quamvis* procul existens, utpluri-
mum in angustiis
Conviciatorem Archilochum maledi-

PARAPHRASIS.

qui utrisque parentibus similes erant, imaque parte matrem, superna patrem referebant. Ex his quæ in Ixionem ingratum fecit Jupiter, vides quanta sit Dei potentia, qui quæ vult perficit, qui volucrem aquilam avium præstantissimam assequitur: qui piscium velocissimum delphinem prætervehitur, qui fastu turgidos homines subvertit, alios vero, nimirum modestos in gloriam immortalem, & decus æternum evehit. Cæterum cum de bene merito bene sit loquendum, ut de Cinyra Cyprii, & de Hierone Locri Epizephyrii loquuntur: non tamen non benefacienti est male dicendum. Atque hoc vitium apud te declinare velim, ut quo injuste homines mordeantur. Quod ut faciam monet me conviciatoris Archilochi exemplum,

NOTÆ.

87 Galenus ibidem etiam legit ὅμοιοι, Perinde. Τὰ ματρόθεν, i. e. κατὰ τὰ ματρόθεν, Quoad partem equinam. κάτω· κατὰ τὸ πατρὸς δὲ, Quoad partem humanam, ὕπερθε. Autor laudatus leg. ματρὸς, & ὕπερθεν sensum potius quam metrum attendens. 89 Ἐπὶ ἐλπίδεσσι] Versio vulg. Pro votis. 90 Τέκμαρ] Aristot. 1 Rhet. Τὸ τέκμαρ καὶ πέρας ταυτόν ἐστι κατὰ τὴν ἀρχαίαν γλῶτταν. 91 Αἰετὸν leg. Ald. eumque sequitur Schmid. metri gratia; de qua re vide quæ annotavimus ad metricam rationem hujus κώλου. 93 Παραμείβεται] Lonicer. Permutat. 94 Ἔκαμψε] Vulgata, Contudit. Schmid Retundere solet. 97 Δάκος proprie est Animal morsu aut ictu venenato noxium. Hoc loco Metonymice & Metaphorice pro Morsu viperino aut virulento. Schmid. Ἀδινὸν] Lonicer. Imbellem, Philippus, Lugubrem, à quo non longe abest Vulgata, Tristem. Schmid. Frequentem. Quia enim admodum prolixe hactenus scelera & pœnas Ixionis commemoravit, jam tandem finem facit, ne nimis prolixa commemoratio Maledicentiæ nomine cuiquam veniat, aut Poëta Ixioni insultare videatur. Scholiastes reddit κακὸν, non commode, sed τοῦ ὑποκειμένου ἀπεὶξ ἐχόμενον, quia hæc est natura τῶν κακηγόρων, ut ἀδινῶς καὶ ἀδιαλείπτως maledicant, nec unquam suum maledicendi κακοηθὲς explesse satis se existiment. Desid. Harald. ad Arnob. Ἄδικον vero alii leg. saltem ut ait Bened. 98 Ἑκὰς ἐὼν] Procul adhuc existens, i. e. Interprete Schmidio, Novi hoc de Archilocho, licet olim diu ante me natum, fuerit factum.

Κενταύρους, τὴν τῶν γάμων ἑστίασιν ἐπιτελῶν, κέκληκεν αὐτούς. ἐπιλαθόμενος δὲ τῷ Ἄρει θῦσαι, ἔσχε μηνιῶντα τὸν θεόν. καὶ οὕτως οἱ Κένταυροι τῆς τῶν κρατήρων ἀποπνοίας ἐμφορηθέντες κατὰ τὴν εὐωχίαν, ἑαυτοὺς οὐδαμῶς ἠδυνήθησαν τῆς ἐμφύτου μανίας κατασχεῖν. ἀκράτου γὰρ οἴνου ἐμφορηθέντες, ταῖς τῶν Λαπιθῶν γυναιξὶν ἀκολάστως ἐφώρμησαν. πολλῶν δὲ ἀναιρεθέντων ἐκ τῶν Κενταύρων, οἱ περιλειφθέντες εἰς τὴν Φολόην ἀπέφυγον, τὴν οὕτω κληθεῖσαν ἀφ' ἑνὸς τῶν Κενταύρων. [Θεὸς ἅπαν ἐπὶ ἐλπίδεσιν.] ἐλπίδας νῦν τὰς φρένας φησὶ καὶ τὰς διανοίας. λέγει δὲ ὅτι, θεὸς ὅ,τι ἂν διανοηθείη, τοῦτο καὶ ἀνύει. τοῦτο δὲ γνωμολογεῖ διὰ τὸν Ἰξίονα, ἐπεὶ ὁ Ζεὺς τὴν Νεφέλην τῇ Ἥρᾳ ἴσχυσεν ἀπεικάσαι. [Θεὸς ὃ, καὶ πτερόεντ'.] ἐπεὶ τῶν ζώων τὰ μέν ἐστι χερσαῖα, τὰ δὲ θαλάσσια, τὰ δὲ μετάρσια, ἀφ' ἑκάστου εἴδους τῶν τριῶν, ἓν παρέλαβε τὸ κρατιστεῦον. τὸν ἀετὸν οὖν φησι τὸν βασιλέα τῶν πτηνῶν ὁ θεὸς καταλαμβάνει, καὶ παραλλάσσει. ὁ Δελφὶς δὲ, δοκεῖ τῶν ἐναλίων προέχειν καὶ ταχύτατος εἶναι. καὶ τοῦτον δὲ παραμείβεται. καὶ ὁ ἄνθρωπος προέχει τῶν ἐπιγείων. καὶ τοῦτον ὑψηλοφρονοῦντα, καὶ καυχώμενον, κατακάμπτει ὁ θεὸς καὶ καταπαλαίει. τοῖς δὲ ἀγαθοῖς τῶν ἀνθρώπων, ἀγήραον καὶ ἄφθαρτον εὐδοξίαν ἀπένειμεν. [Δάκος ἀδινὸν.] ἰδίως τὸ δάκος ἀδινὸν εἶπεν, ἀντὶ τοῦ κακόν. βούλεται δὲ λέγειν, ἐμὲ δὲ φεύγειν δεῖ τὰς κακαγορίας τουτέστι τὸ κατηγορεῖν τινων. αἰνίττεται δὲ εἰς Βακχυλίδην. ἀεὶ γὰρ αὐτὸν τῷ Ἱέρωνι διέσυρεν. [Εἶδον γὰρ ἑκὰς ἐών.] εἶδον γάρ φησιν ἐν ἀπορίᾳ βίου τὸν Ἀρχίλοχον καθεστῶτα, διὰ τὴν λοιδορίαν, πάντων αὐτὸν ἀποστρεφομένων. τὸν γὰρ ὑπὸ τῶν ἀνθρώπων τοιούτοις ἔχθεσι πιαινόμενον, βαρὺν ἐπιφέρουσιν αὐτῷ λόγον. Δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι, ἵνα διὰ μὲν τοῦ πολλ' ἐν ἀμηχανίᾳ ψογερὸν Ἀρχίλοχον, νοήσωμεν παρὰ τοῖς ἀνθρώποις ψεγόμενον τὸν Ἀρχίλοχον, ἐπεὶ βαρυλόγοις ἔχθεσιν ἐπαίνετο καὶ ἔχαιρεν, εἰς λοιδορίαν ἀνθρώπων κακομηχάνων, τῇ ποιήσει καταχρώμενος. Ἢ οὕτως. εἶδον τὸν Ἀρχίλοχον πιαινόμενον λόγοις ψογεροῖς ἐν ἀπορίᾳ. ψογερὸν γὰρ ἦν.

[To

γοις ἔχθεσιν πιαινόμενον. Τὸ πλουτεῖν δὲ σὺν τύχᾳ πότμου
Σοφίας, ἄριστον.

ἀντιστροφὴ γ΄. κῶλον ιε΄.

Τὺ δὲ σάφα νιν ἔχεις, ἐλευθέρᾳ φρενὶ πεπαρεῖν,
Πρύτανι, κύριε πολλᾶν
Μὲν εὐστεφάνων ἀγυιᾶν,
Καὶ στρατοῦ. Εἰ δέ τις
Ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ
Λέγει ἕτερόν τιν' ἀ-
ν' Ἑλλάδα τῶν πάροιθε, γενέσθαι ὑπέρτερον,
Χαύνᾳ πραπίδι παλαιμονεῖ κενεᾷ.
Εὐανθέα δ' ἀναβάσομαι
Στόλον, ἀμφ' ἀρετᾷ
Κελαδέων. Νεότατι μὲν, ἀ-
ρήγει θράσος δεινῶν πολέμων· ὅθεν

cis odiis impinguatum. Ditescere autem ita ut conjuncta sit sors
Sapientiæ, optimum *est*.

METAPH.

Tu vero indubitato hoc potes, liberali animo suppeditare,
O Rex, domine multorum
Bene-coronatorum *muris* vicorum,
Et *numerosi* populi. Si vero quis
Jam divitiisque & honore,
Dicit alium quendam per
Græciam majorum fuisse superiorem,
Laxa mente luctatur & inani.
Sed *omissis hisce* amœnam conscendam
Classem, de virtute *Hieronis*
Dicturus. Juventuti quidem *tuæ* auxiliatur audacia gravium bellorum: Unde

PARAPHRASIS.

quem cum pinguefaceret & delectaret odium maledicum, vidi ad tristes angustias sæpissime redactum. Itaque tuas laudes persequar, dicamque divitias cum fœlicitate & sapientia conjunctas rem esse præstantissimam. Quales cum habeas, pateatque omnibus te sapientem esse, simulque divitem, libera mente præditus eas aliis benigne impertire potes ô rex, qui in civitates fortibus viris munitas, & præstantibus muris cinctas imperium habes. Honore autem & divitiis adeo insignis es, ut nemo nisi qui stolida mente veritati adversatur, dicat regem ullum ex iis qui ante tua tempora regnarunt in Græcia, honoribus opibusque majorem te extitisse. Sed ut fortitudinem tuam celebrem, est quod tu eximiam classem conscendam, qua strenue bellasti contra eos qui bellum in Siciliam invehebant. Certe ut juvenili ætate gravia bella cum Gelone fratre sustinuisti, in quibus edidisti tuæ fortitudinis

NOTÆ.

101 Πιαινόμενον] Aretio, Ditatum. Est vero Pœon secundus pro Ionico à majore. Vide Notam ad metricas leges hujus εἴδους. 104 Σάφα] Lonicerus, Clare; sed inseruit τὸ Utrumque, intelligens de Divitiis & Sapientia. 105 Πεπαρεῖν hab. omnes Codd. quod & Hesych. agnoscit, & exponit ἐνδεῖξαι καὶ σημῆναι. Unde autem descendat, nemo indicat. Portus, qui de lectione dubitat, si vere legatur πεπαρεῖν, censet esse Aor. 2 Poët. pro παρεῖν, à Verbo Πείρω, Figo. Sed hoc nihil ad rem præsentem facere, ipse statim fatetur. Suspicatur ergo legendum esse πεπορεῖν, quod & Aug. superne scripsit à πορέω, suppedito. Cui significationi commode competit expositio Schol. Schmidius tamen conjicit deducendum à πιπαίρω significante πορίζω, tametsi propter rariorem usum Lexicographis, cum aliis multis, non innotuerit. Forsan autem πείρω non longe diversum sensum olim habuit. Et ab hoc verbo deduci potest πόρε, quod sæpius legitur sensu suppeditandi. Hodie vero sæpius non possumus nisi ex Derivativis Primitivorum significatum eruere. 106 Πρύτανι] Hac voce Athenienses designabant, quemvis ex quinquaginta viris, quorum officium erat quæ ad Remp. tractandam pertinerent, administrare. Unde ὁ πρύτανις idem est quod βασιλεύς. Aristoteli lib. 6. Polit. item πολλῶν καὶ μεγάλων κύριος, ut lib. 5. Polit. c 5. idem exponit. Pindarus igitur subjungit ad explicationem πολλᾶν ἀγυιᾶν καὶ στρατοῦ κύριε. 107 Εὐστεφάνων ἀγυιᾶν] Αγυιὰ est vicus in Urbe, via, Eleis id quod Atticis στενωπὸς, Angiportus. Pausf. El. pr. Pro Oppido hoc loco interpretes accipiunt. 109 Κτεάτεσσι] Κτεάνεσσι leg. Aug. Perinde. C. 71. omitt. περί. 115 Νεότατι ἀρήγει] Auxiliatur quoad laudes, vel laudes suppeditat. Schmid. Theocr. Ποιεῖν τι δεῖ, οἷς γῆρας ἀρήγει.

[Τὸ πλουτεῖν δέ.] τὸ δὲ ἐπιτυγχάνειν πλούτου μετὰ σοφίας, ἄριστόν ἐστιν. Ἢ οὕτω. τὸ εὐπορεῖν σοφίας σὺν εὐτυχίᾳ, ἄριστον. τοῦτο δὲ ἐπὶ Ἱέρωνος ἀκουστέον. ἀπέστρεψε γὰρ εἰς τοῦτον τὸν λόγον. καὶ φησὶν, ὃ σὺ ἔχεις σὺν εὐτυχεῖ πότμῳ σοφίας, ἄριστόν ἐστι. Ζητεῖται δὲ, πῶς τὸ πλουτεῖν σοφίας λέγεται ἄριστον· σοφία γὰρ πλούτου κρείττων. μή ποτε οὖν οὐκ εἴρηται συγκριτικῶς τοῦ πλούτου τοῦ πρὸς τὴν σοφίαν συγκρινομένου. ἐχρήσατο γὰρ ἂν οὐχ ὑπερθετικῇ τῇ λέξει τῇ ἄριστον, ἀλλὰ συγκριτικῇ τῇ ἄρειον. ἄρειον μὲν τόδε, τοῦδε. ἄριστον δὲ ἐπὶ πολλῶν. δῆλον οὖν ὅτι, τὸ πλουτεῖν τέτακται οὐ κυρίως ἐπὶ τοῦ νοουμένου κατὰ τὸν βίον πλούτου, οἷον περιουσιάζειν χρήμασιν, ἀλλὰ μεταφορικῶς τὸ πληθύνειν ἐν πότμῳ σοφίας, ἄριστόν ἐστιν. οἷον, τὸ τῇ σοφίᾳ πλουτεῖν, ἄριστον. Ἀρίσταρχος δὲ οὕτως. οἷον εἴ τις λέγει εὐποτμότατός ἐστιν ὁ πλουτῶν καὶ σοφίας ἅμα τυγχάνων. [Τὺ δέ.] τοῦτο πρὸς τὸν Ἱέρωνα εἶπε. σὺ δὲ ἐλεύθερος ὢν ὦ Ἱέρων, ἐν ἐλευθέρᾳ τῇ φρενὶ τὴν ἀρετὴν ἔχων καὶ τὴν σοφίαν ἣν προείπε, καὶ πλουτῶν, δύνασαι καὶ ἑτέροις πεπαρεῖν· ἤγουν, πορίζειν καὶ παρασκευάζειν. ἢ παραχεῖν, καὶ πλουσίους ἀποδεῖξαι. [Πρύτανι κύριε.] κυριωτικὲ καὶ τελεστικέ. τουτέστι, πάντων ἔχων τὴν κυριότητα. ἢ ὅτι κυριεύεις πάντων.

[Εὐστεφάνων δὲ,] ἤγουν ὑψηλῶν, ἢ εὖ τετειχισμένων. στέφανος γὰρ πόλεώς ἐστι, τὸ τεῖχος. [Εἰ δέ τις ἤδη] εἰ δέ τις πλούτῳ καὶ τιμῇ φησιν, ἕτερόν τινα τῶν κατὰ τὴν Ἑλλάδα τῶν πρὸ τούτου μείζονα, καὶ ἀξιολογώτατον λέγει γεγενῆσθαι, κούφῃ καὶ ματαίᾳ φρενὶ διαπλέκει καὶ μάχεται· ἤτοι, ἀνόητός ἐστι καὶ ἀναίσθητος. [Εὐανθέα δ' ἀναβάσομαι.] ἤδη δὲ ὁρμήσω ἀνθηρῶς ἀνυμνήσων, τὴν ἀρετὴν τοῦ Ἱέρωνος. ἢ οὕτως. ἐπὶ τὸν ἀνθηρὸν στόλον λέγων τὴν ἀρετὴν τοῦ Ἱέρωνος, διὰ τοὺς στεφάνους, ἢ διὰ τὸ περὶ Ἰξίονος προειπεῖν, μεταβὰς νῦν φησιν ἐπὶ τὴν εὐανθῆ ὁδὸν ὁρμήσω. ἐπειδὴ γὰρ περὶ λοιδοριῶν διεξῆλθε, καὶ τῆς ἐξ ἀρχῆς δυσφημίας, φησὶν ὅτι ἐπ' εὐανθεστέραν ὁδὸν λέγων ἀναβήσομαι, καὶ ὑμνήσω σε Ἱέρων, περὶ τῆς ἀρετῆς λέγων τῆς σῆς. ἡ δὲ μεταφορὰ τοῦ εὐανθῆ στόλον, ἀπὸ τῶν πλεόντων ἡδέως. [Νεότατι μέν.] τῇ νεότητι μὲν βοηθεῖ ἡ περὶ τὸ πολεμεῖν θρασύτης. τοῦτο δὲ ἐν τῷ καθόλου, γνωμικῶς ἀναπεφώνηκεν. ὅθεν φημὶ καὶ σὲ δοξασθῆναι, ἐκ τῶν πολέμων δηλαδὴ τῶν σοὶ κατορθωμένων διὰ τὴν νεότητα. τοῦτο δέ φησι, παρ' ὅσον, νέος ὢν ὁ Ἱέρων, σὺν Γέλωνι τῷ ἀδελφῷ, τοὺς ἐπὶ Σικελίας πολέμους διήνεγκε. τὸ δὲ ὅθεν, ἀντὶ τοῦ ἀπὸ τῆς θρασύτητος τῆς περὶ τοὺς πολέμους.

 [Βολαὶ

Φαμὶ καὶ σὲ τὰν ἀπεί-
ρονα δόξαν εὑρεῖν,

ἐπῳδὸς γ'. κώλων ιδ'.

Τὰ μὲν ἐν ἱπποσόαισιν ἄνδρά-
σι μαρνάμενον, τὰ δ' ἐν
Πεζομάχαισι· βουλαὶ
Δὲ πρεσβύτεραι, ἀκίνδυνον ἐμοὶ ἔπος
Ποτὶ ἅπαντα λόγον
Επαινεῖν παρέχοντι. Χαῖ-
ρε. Τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν
Μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται.
Τὸ Καστόρειον
Δ' ἐν Αἰολίδεσσι χορδαῖς
Θέλων, ἄθρησον χάριν ἑπτακτύπου
Φόρμιγγος ἀντόμενος.

Censeo etiam te tam immen-
sam gloriam invenisse,

M E T A P H.

Cum inter equestres vi-
ros pugnantem, tum inter
Pedestres: Consilia
Vero tua-senioris, tutam mihi materiam
Ad omnem rationem
Laudandi præbent. A-
ve. Hoc sane ad-modum Phœniciæ mercis
Carmen trans canum mare mittitur.
Castoreum
Vero *meum* in Æoliis fidibus
Si-approbas, considera gratiam septisonæ
Citharæ obvians *i. e. promptus.*

P A R A P H R A S I S.

specimina, unde assero te immensam gloriam esse consequutum, tum in equestribus, tum in pedestribus pugnis, quando inter tuos equites peditesque præliabaris. Nec sola, qualem juvenes decet, fortitudine valuisti: sed & consilio prudentiaque senili in bello claruisti: quo fit ut mihi te laudandi suppetat ansa, nec in periculo reprehensionis verser, ac si non laudabilem virum immerito laudarem. Salve rex Hiero, Hoc encomiasticum carmen itinere marino ad te mitto, more Phœnicum mercatorum, qui merces lucri causa per mare vectant navibus. Et ut Castoreum illud carmen saltationi accommodum, Æolico rhythmo compositum, quod ad te antehac misi, approbatum suaviter excepisti: sic & istud excipe, considerans ad citharam septem fidibus totidem diversos sonos edentem concinne esse contextum.

N O T Æ.

121 Πεζομάχαισι leg. Aug & MS. γ. Editt. Vulgatæ πεζομάχαις, quibus deest Syllaba. 122 Ακίνδυνον] Cum Hieronis juventus audaci & forti, maturior vero ætas prudenti animo inclaruerit, jam carmen non incerta nititur spe; ut aliter solet, cum Poëticæ vires in ominando, quæ bene sunt cessura, consumantur. 123 Ποτὶ πάντα Editt. vulg MS. γ. add. ἅπα. 129 Επτακτύπου] Virgil. Æn. 6. *Obloquitur numeris septem discrimina vocum.* Schmid. ita vocari Citharam existimat, ob septem voces Musicales, quas natura ostendit, & quibus sine omni mutatione uti possumus; Quo respectu perfectum esse instrumentum, quod has voces edat.

[Βουλαὶ δὲ πρεσβύτεραι, ἀκίνδυνον ἐμοὶ ἔπος.] ἤγουν, ὑπὲρ τὴν νεότητα βουλαὶ δ' ἤ. καὶ Σοφοκλῆς ἐπὶ τοῦ Τρωΐλου· Τὸν ἀνδράπαιδα δεσπότης ἀπώλεσα. παῖδα μὲν τῇ ἡλικίᾳ, ἄνδρα δὲ τῷ φρονήματι. τοῦτο δὲ εἶπεν ὁ Πίνδαρος, ὅτι ἐν τῇ νεότητι μὲν, πολεμικὸς ἦν ὁ Ἱέρων· ἐν ἡλικίᾳ δὲ, εὔβουλος. ὁ δὲ νοῦς, αἱ δὲ σαὶ γνῶμαι, καί τοι ἀκμαίου ὄντος, συνεταί εἰσι. Διὸ ἀκίνδυνόν μοι παρέχουσιν αἱ σαὶ γνῶμαι, τὸ ἐγκωμιάζειν σε. Η οὕτως. ἀκίνδυνον ἐμοὶ τῷ τοὺς ἐπαίνους παρέχοντι, πρὸς πάντα λόγον σε ἐπαινεῖν. ἤγουν, οὐκ ἐλεγχθήσομαι ὑπό τινος ὡς ψευδῶς σε ἐπαινῶ. ἃ γὰρ ἔχεις, ταῦτα καὶ λέγω. [Τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολάν.] ἤγουν ἐπὶ κέρδει καὶ πράσει. οἱ γὰρ Φοίνικες παλιγκάπηλοι. καὶ Σοφοκλῆς. Ὠνὴν ἔθου καὶ πρᾶσιν ὡς Φοῖνιξ ἀνὴρ, Σιδώνιος κάπηλος. καὶ ὁ Κωμικός. Εὐθὺς Φοῖνιξ γίγνομαι. τῇ μὲν, δίδωμι χειρί· τῇ δὲ, λαμβάνω. τοῦτο δὲ εἶπεν ὁ Πίνδαρος, παρ' ὅσον διὰ μισθοῦ συντέταχε τὸν ὕμνον τῷ Ἱέρωνι. ἔστι δὲ ὁ λόγος, τοιοῦτον. τοῦτο μὲν τὸ μέλος καὶ ᾠδὴ ὁ ἐπινίκιος, κατὰ τὴν τῶν Φοινίκων ἐμπορείαν ᾄδεται· ἤτοι λαβὼν παρὰ σοῦ μισθὸν, τοῦτο τὸ μέλος διὰ τῆς λευκῆς θαλάσσης διαπέμπομαί σοι. [Τὸ Καστόρειον δ' ἐν Αἰολίδεσσι χορδαῖς.] τὸ δὲ ὑπορχηματικὸν μέλος, τὸ Αἰολικῷ ῥυθμῷ συντεταγμένον, ὅπερ ὡς χάριν καὶ ξένιά σοι διεπεμψάμην, ἀπαντήσας τῷ μέλει δηλονότι τῷ καστορείῳ, καὶ ὑποδεξάμενος αὐτὸ τὸ μέλος διὰ τῆς ἑπταχόρδου λύρας, ἑκὼν ἐπιθεώρησον, ἀντὶ τοῦ, κρῖνον καὶ δοκίμασον τὸ μέλος, εἰ μὴ εὐρύθμως ᾄδεται, ἢ γέγραπταί σοι. ἐν Αἰολίδεσσι χορδαῖς, ἤγουν Βοιωτίαις. ἐκεῖθεν γὰρ ὁ Πίνδαρος· ἐπεὶ οἱ Αἰολεῖς κιθαρῳδοί. τὸ δὲ μέλος Αἰολικῷ ῥυθμῷ συνέταξε. τοιοῦτόν ἐστι, καὶ τὸ, Αἰολεὺς ἔβαινε, Δωρίας κέλευθον ὕμνων. ἰστέον δὲ ὅτι τὸν ἐπινίκον ἐπὶ μισθῷ συντάξας ὁ Πίνδαρος, ἐκ περιττοῦ συνέγραψεν αὐτῷ προῖκα ὑπόρχημα. οὗ ἡ ἀρχή. Σύνες ὅτι λέγω ζαθέων Ἱερῶν ἐπώνυμε· ὃ δὴ Καστόρειον εἶπε, διὰ τὸ τὴν ἔνοπλον ὄρχησιν κατ' ἐνίους τοὺς Διοσκούρους εὑρεῖν. ὀρχηστικοὶ γάρ τινες οἱ Διόσκουροι. ὁ δὲ Ἐπίχαρμος, τὴν Ἀθηνᾶν φησὶ τοῖς Διοσκούροις τὸν ἐνόπλιον νόμον ἐπαυλῆσαι. ἐξ ἐκείνου δὲ τοὺς Λάκωνας, μετ' αὐλοῦ τοῖς πολεμίοις προσιέναι. τινὲς δὲ, ῥυθμόν τινα φασὶ τὸ καστόρειον. χρῆσθαι δὲ αὐτῷ τοὺς Λάκωνας, ἐν ταῖς πρὸς τοὺς πολεμίους συμβολαῖς. διέλκεται δὲ ἡ τῆς Πυρρίχης ὄρχησις, πρὸς ἣν τὰ ὑπορχήματα ἐγράφησαν. ἔνιοι μὲν οὖν φασὶ πρῶτον Κούρητας τὴν ἔνοπλον ὀρχήσασθαι ὄρχησιν. αὖθις δὲ Πύρριχον Κρῆτα συντάξασθαι. Θάλητα δὲ πρῶτον τὰ εἰς αὐτὴν ὑπορχήματα. Σωσίβιος δὲ, τὰ ὑπορχηματικὰ πάντα μέλη, Κρητικὰ ἀξιοῖ λέγεσθαι, ἔνιοι δὲ, οὐκ ἀπὸ Πυρρίχου τοῦ Κρητὸς τὴν Πυρρίχην ὠνομάσθαι, ἀλλ' ἀπὸ Πύρρου τοῦ Ἀχιλλέως παιδὸς, ἐν τοῖς ὅπλοις χρησαμένου· ἐν τῇ κατὰ Εὐρυπύλου τοῦ Τηλέφου νίκῃ. Ἀριστοτέλης δὲ, πρῶτον Ἀχιλλέα ἐπὶ τῇ τοῦ Πατρόκλου πυρᾷ τῇ Πυρρίχῃ φησὶ κεχρῆσθαι, ἣν παρὰ Κυπρίοις φησὶ πρύλιν λέγεσθαι. ὥστε παρὰ τὴν πυρὰν, τῇ Πυρρίχῃ τὸ ὄνομα τεθῆναι. ὁ δὲ νοῦς, τὸ δὲ Καστόρειον μέλος, τὸ ὑπορχηματικὸν, τὸ Αἰολικῷ ῥυθμῷ συντεταγμένον, ὑποδεξάμενος διὰ τῆς ἑπταμίτου κιθάρας, ἑκὼν ἐπιθεώρησον, ἀντὶ τοῦ, κρῖνον καὶ δοκίμασον εἰ εὐρύθμως γέγραπται.

[Γέγει

Γένοι' οἷος ἐσσί, μαθών· καλός τοι
Πίθων παρὰ παισὶν, αἰεὶ

στροφὴ δ'. κώλων ιε'.

Καλός. Ο δὲ Ραδάμανθυς εὖ
πέπραγεν, ὅτι φρενῶν
Ελαχε καρπὸν ἀμώμη-
τον· οὐδ' ἀπάταισι θυμὸν
Τέρπεται ἔνδοθεν·
Οἷα ψιθύρων παλάμαις ἕπετ' αἰεὶ
Βροτῶν. Αμαχον κακὸν
Αμφοτέροις, διαβολιᾶν ὑποφάτιες,
Οργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι.
Κέρδει δὲ, τί μάλα τοῦτο κερ-
δαλέον τελέθει;
Ατε γὰρ εἰνάλιον πόνον ὀ-

Sis, qualis es, quum-ſcias. Pulcher ſane
Simiolus apud pueros, ſemper

METAPH.

Pulcher. Rhadamanthus autem bea-
tus eſt, quod mentis
Sortitus-eſt fructum inculpa-
tum: neque dolis *in* animo
Oblectatur intus:
Qualia ſuſurronum ad-artes ſequuntur ſemper
Mortalium. Inextricabile malum *ſunt*
Utriſque, calumniarum interpretes,
Moribus impenſe vulpibus ſimiles.
Quoad lucrum vero, quid adeo hoc lu-
croſum eſt?
Nimirum enim marinum laborem ſuſti-

PARAPHRASIS.

Ceterum permane tibi ſimilis, nec bonos mores tuos adulatorum calumniis vitiatos immutes: hoc ſciens, nimirum ſimiam, etſi ſit deformis, pulchram tamen videri pueris: ſic & adulatores, etſi non ſint probi, probos tamen iis videri quibus blandiuntur. Vides ut fœlix clarusque fuit Rhadamanthus, quia juſtitia & integritate illæſa & intemerata, non ſolum à maledicorum reprehenſione immunem ſe tutatus eſt, ſed etiam in animo non eſt delectatus fraudulentis illis deceptionibus, quas arte ſua ſemper moliuntur calumniarum ſuſurratores. Sane qui calumnias ſubloquuntur, vulpibus omnino ſunt ſimiles; tamque doloſo valent ingenio ut malum inexpugnabile creent ambobus, nimirum ei quem calumniantur, dum eum clam accuſant, ut cauſam dicendi non ſit locus, & odio obruatur: & ei apud quem calumniam effutiunt, dum falſis opinionibus ipſum imbuunt, injuſtumque in odium impellunt. Illi vero quanquam aliquid commodi ex accuſati incommodo aucupantur, quid tamen lucri faciunt? Nihil omnino. Quod in illis expertus ſum qui mihi apud te maledicunt. Hi quidem more vulpeculæ clam inſidiantur calumniis, ut meam famam deturpent: at nihil proficiunt. Nam ut ſuber piſcatorium mari perpetuo innatat,

NOTÆ.

131 Γένοιο δ' οἷος leg MS. C. 71. & Codd. vulg. Καλός τις Ed. Steph. & C. 71. 135 Male diſting. hoc κῶλ. C. 71. ἀμώ-- claud. 140 Ὑποφάτιες ex ſententia Aretii opponuntur τοῖς προφήταις. 144 Ενάλιον leg. Alii. Aug. vero pro πόνον hab. πόντον. Εχθίστας pro ἰχύσης leg. Ald. Pal. C. Aug. & γ. Aretius refert ad φιλλός.

[Γένοιο δ' οἷος ἐσσὶ μαθών.] μαθὼν δὲ ἐξ ὧν ἔγραψά σοι οἷος εἶ, ἢ ἐπισκεψάμενος δὲ τὸν ἀποσταλέντα σοι ὕμνον, διαμένοις τῷ ἐξ ἀρχῆς τρόπῳ ἴσος, καὶ μὴ μεταβληθῇς τὴν προαίρεσιν ὑπὸ τῶν κολακευόντων σε. ἢ μαθὼν τὸ γεγραμμένον, γενοῦ οἷος εἶ σοφὸς, καὶ σύνες ὅπερ οἱ παῖδες εἰώθασι λέγειν, πίθων καλὸς· πρὸς τὸν πίθηκον οὐκ ὄντα καλόν. Αλλως ἐδέχθη. μαθὼν γοῦν τοῦτό φησι, γενήθητι οἷος εἶ. ἀναίσχυντον γάρ ἐστι τὸν μὲν πίθηκον παρὰ τοῖς παισὶν ἀεὶ εἶναι καλὸν, τοὺς δὲ συνετοὺς ἄνδρας ἐξ ἀρετῆς εἰς κακίαν μεταπίπτειν. ἢ οὕτως, μὴ πείθου τῇ τῶν κολάκων ἀπάταις. μὴ δὲ λέγεσθαι μὲν σοφὸς βέλου, τῷ δὲ πράγματι εἶναι ἄσοφος. ὥσπερ ὁ πίθηκος. ὡς γὰρ παρὰ τοῖς παισὶ καλός ἐστιν ὁ πίθηκος, οὕτω παρὰ τοῖς ἄφροσι καὶ κόλαξιν, οἱ ὑπερέχοντες λέγονται σοφοὶ, καὶ πάντα ἔχειν τὰ ἀγαθά. δεῖ δὲ αὐτοῖς μὴ πιστεύειν, ἀλλὰ τοῖς βελτίοσι καὶ σοφοῖς. ταῦτα δὲ αἰνίττεται εἰς Βακχυλίδην. εὐδοκιμῆσαι γὰρ αὐτόν φασι παρὰ Ιέρωνι. ἢ οὕτως. ὅτι παρὰ τοῖς παισὶ μὲν δοκεῖ καλὸς εἶναι ὁ πίθηκος, παρὰ δὲ τοῖς ἀνδράσιν οὐκέτι. γινώσκεται γὰρ ἀκριβῶς τὸ ζῶον. ὥσπερ ὁ πίθηκος δοκεῖ καλὸς εἶναι τοῖς παισὶ φαῦλος ὢν, οὕτω καὶ ὁ Βακχυλίδης παρὰ παισὶν ἄφροσιν εὐδοκιμείτω. παρὰ δὲ σοὶ σοφῷ ὄντι, πίθηκος ἔστω. ἢ οὕτως. ὡς ὁ πίθηκος ἀκούων παρὰ τῶν παίδων ὅτι καλός ἐστιν ἐπαίρεται, οὕτω καὶ οἱ μάταιοι τῶν ἀνθρώπων ἐπαίρονται καὶ καυχῶνται. ὅπερ τοῖς φρονοῦσιν οὐχ' ἁρμόζει, εἰδόσιν ὡς κατὰ ἀλήθειαν οὐκ ἐπαινοῦνται. μή ποτε οὖν χαριέστερον οὕτως ἀκούειν. Θρασύδαιος τις ἐπαῖρος ἦν Πινδάρου. Ιέρων δὲ ἐπεπολεμήκει Θήρωνι τῷ Θρασυδαίου πατρί. εἰκὸς οὖν διαβεβλῆσθαι τὸν Πίνδαρον τῷ Ιέρωνι. ὅθεν ἀπολογούμενος εἰς τοῦτο, πᾶσαν ἀναφέρει παραίνεσιν. [Ο δὲ Ραδάμανθυς] φησὶ διὰ τὸ μὴ εὐεξαπάτητος εἶναι, σοφὸς ὑπείληπται. καὶ σὺ οὖν ὦ Ιέρων, διαβολῇ μὴ πείθου, σοφὸς ὤν. μήτε μιμοῦ πιθηκισμοῖς; ὅ ἐστιν ἀπάταις. ὁ δὲ λόγος, παραινετικός ἐστιν Ιέρωνι. ὅτι οὐ προσήκει σὲ κολακεύουσι ἥδεσθαι. οἱ γὰρ τοιοῦτοι φιληδεῖς εἰσι παισί. τελείοις γενοῦ, οὐκέτι. ὁ γάρ τοι Ραδάμανθυς ἐπίδοξος γέγονεν, ὅτι ἄψεκτον εἶχε τὸν λογισμὸν, καὶ οὐδαμῶς ταῖς ἀπάταις ἐτέρπετο τὴν ψυχήν. οἷα μάλιστα ταῖς τῶν κολάκων καὶ ἀπατεώνων ψυχαῖς εἴωθε παρακολουθεῖν. [Οἷα ψιθύρων.] ψιθύρους τοὺς κόλακας λέγει καὶ ἀπατεῶνας, παρὰ τὸ ἠρέμα ὑποψιθυρίζειν. ὁ δὲ λόγος, γνωμικός. ἀκαταμάχητον κακὸν, τὸ τῶν κολάκων φῦλον. τὸ δὲ ἄμαχον κακὸν, δύναται συνάπτεσθαι τῷ ἀμφοτέροις. ἵν' ᾖ, οἱ ψίθυροι, ἄμαχον κακόν εἰσι τοῖς ἀμφοτέροις καὶ τῷ διαβαλλομένῳ, καὶ τῷ πρὸς ὃν διαβάλλουσιν. ὑποφάτιες δὲ, ἀντὶ τοῦ, ἑρμηνευταὶ, καὶ διάβολοι. παρὰ τὸ φατίζειν, καὶ λέγειν. [Οργαῖς ἀτενές.] τὸ ὀργαῖς, ἀντὶ τοῦ, τρόποις. διὰ δὲ τούτου, τὸ ὁμοιότατον δηλοῖ. καθόλου γὰρ τοῖς τῶν ἀλωπέκων τρόποις εἰσὶν ὅμοιοι. [Κέρδει δὲ τί μάλα τοῦτο;] ἐρωτηματικὸς ὁ λόγος. τί γάρ φησιν αὐτοῖς τοῦτο τὸ κατηγορεῖν ἐπικερδὲς τυγχάνει; ὁ αὐτὸς καὶ ἐν ἄλλοις. Ακέρδεια λέλογχε θαμινὰ κακηγόρους. τὸ δὲ διαβάλλειν οὐδὲν ἐπικερδὲς ἔχει. [Αλλως.] τί αὐτοῖς κέρδος ἐστὶ, τὸ διαβάλλειν ἐμὲ; [Ατε γὰρ ἐνάλιον.] ἐγὼ γὰρ ὡς φελλὸς ἁλιευτικοῦ δικτύου, αὐτοῦ ὄντος ἐν βάθει, ἐπιπλέω καὶ οὐ βαπτίζομαι.

ὡς

χοίσας βαθὺ σκευᾶς ἑτέρας, ἀβά-
πλιστός εἰμι, φελλὸς ὥς,
Ὑπὲρ ἕρκος ἅλμας.

ἀντιστροφὴ δʹ. κώλων ιεʹ.

Αδύνατα δ' ἔπος ἐκβαλεῖν
Κραταιὸν ἐν ἀγαθοῖς,
Δόλιον ἀστόν. Ομως μὰν
Σαίνων ποτὶ πάντας ἄγαν,
Πάγχυ διαπλέκει.
Οὔ οἱ μετέχω θράσεος. Φίλον εἴη
Φιλεῖν· ποτὶ δ' ἐχθρὸν ἅ-
τ' ἐχθρὸς ἐών, λύκοιο δίκαν ὑποθεύσομαι,
Αλλ' ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς.
Εν πάντα δὲ νομὸν, εὐθύγλωσ-
σος ἀνὴρ προφέρει·
Παρὰ τυραννίδι· χώπόταν ὁ
Λάβρος στρατός· χὤταν πόλιν οἱ σοφοὶ

nente profunde funiculo altero, immersa-
bilis sum, suberis instar,
Super septum maris-salsi.

METAPH.

Impossibile *est* verbum emittere,
Valens inter bonos,
Dolosum civem. Et tamen
Adulans omnes admodum,
Valde *omnia* perplexa-facit.
Non participo audaciam. Amicum liceat
Amare: contra inimicum vero utpo-
te inimicus existens, lupi more curram,
Aliis *vestigiis* alias inambulans viis obliquis.
Ad omnem autem administrationem, recti-
linguis vir prodest:
Et in Tyrannide: & quando
Ferox populus: & quando urbem sapientes

PARAPHRASIS.

dum sagena, reliquusque ad piscandum apparatus, à quo gravatur, in profundum demersus, laborem sustinet: sic ego calumniarum undis sum immersabilis: quibus etsi calumniatores meam famam obscurare conantur, tamen clarus inter homines maneo. Siquidem fieri non potest ut dolosus & calumniator civis, dicat quicquam quod pondus habeat, valeatque apud bonos. Quanquam tamen omnes blanditiis deliniens varios sermones callide implicat, quasi omnium sit amicus. At ego non ita me gero, neque sum hujusmodi audaciæ particeps, sed candide vivo. Amici amicum me profiteor, inimici inimicum, in quem lupi instar sævire, aliasque aliis ejus vestigiis insistendo, & obliquis etiam viis euntem insequendo ulcisci non dubitem. Constat autem eum qui veriloquus est, quavis in administratione reipub. præstare & præferri mendacibus & maledicis, sive in regno, sive in democratia quæ est populi vehementis, sive in aristocratia versetur, ubi optimates civitatem tuentur & conservant.

NOTÆ.

145 Σκευᾶς ἑτέρας] Intellige, Retis piscatorii funiculum inferiorem, cui plumbeæ massæ appensæ sunt, ut profundiora gravitate permeet, ne pisces sub reti elabantur; dum interim superior suberibus annexis in superficie retinetur, ne supra rete piscibus detur effugium. 147 Ερκος] Lonicerus male reddit, Perspicuitatem, ex Scholiaste, qui tamen non ponit διαφάνειαν, sed ἐπιφάνειαν. Aretius refert ad φελλὸς, quasi sit, φελλὸς, ἕρκος ὑπὲρ ἅλμας. Ερκεος leg. MS. γ. cum Scholiaste. 148 Schmid. omitt. δ' quod metrum turbet. Nam leg. ἀδύνατον cum Codd. vulgatis. Nos difficilem lectionem tutius admittimus. Nam sub forma plurali in α, alibi forma singularis in ον accipienda est. 153 Οὐχ οἱ MS. C. 71. 155 Λύκοιο δίκαν] Aretius refert ad Hostes, qui lupi instar agitandi sunt, atque hic lupis conferuntur ut prius vulpibus & inde canibus. Lupi vim contra injurias illatas apertam, opponit Vulpis astutiis dissimulatis in inferendis injuriis. Schmid. 156 Etiam cum maximo periculo pellendi sunt adulatores, ut lupi per asperrimas petras & sylvas persequendi, donec liberemur eorum vicinia. Aret. 157 Εν πάντα] Portus legendum censet, ἀν' πάντα pro ἀνὰ, ita ut idem significet, quod κατὰ vel ἐν παντὶ νομῷ· non animadvertens ἐν Dor. esse pro ἐς vel εἰς. Ita & Vulgata, in omni regimine. 158 Προφέρει] Aliqui reddunt, Antecellit: Aliqui, Emolumento est, vel utilis est. Prior Interpretatio ad istam Syntaxin, ἐν παντὶ νομῷ, de qua superius diximus. 160 Λαῦρος Editt. vulgatæ. Pal. C. scripsit λάυρος, υ pro β posito, quod superioribus sæculis usitatum fuisse, nemo fere dubitat, qui Codd. MSS. inspexit. Qua scriptione recte monet Schmid. alios deceptos fuisse, qui legerint & reposuerint λαῦρος pro λάυρος. præsertim quum hoc ipsum. λαῦρος, significatione à λάβρος vel λάυρος non discrepet. MSS. nostra hab. λάβρος, β vero non multum à τῷ υ in altero eorum discrepat. Χὤταν est ex Contractione, & ι subscribendum Dorice est omissum, ut & χὠπόταν. Quod monendum, quia Plant. & Commel. hab. χ' ὁπόταν & χ' ὅταν, qu. esset ex Apostropho, quum metri ratio reclamet.

ὡς ὑπὸ ἄλλης σκεύης βαρυνόμενος) ὁ φελλὸς καὶ οὐ δύνει, οὕτω κἀγὼ ἀβάπτιστός εἰμι ὡς ὁ φελλός. ἐκεῖνοι μὲν οὖν φησι κατηγοροῦσί μου. ἐγὼ δὲ ὥσπερ σαγήνης πονούσης, καὶ βάθος λοιπὸν ἐχούσης κατὰ τὸ πελάγους, ἀβάπτιστός ἐστιν ὁ φελλὸς, καὶ ἐπινήχεται ὑπὲρ τὴν τῆς θαλάσσης ἐπιφάνειαν, ἀβαπτίστου φύσεως ὤν, οὕτω κἀγὼ τὰς τῶν ἄλλων κατηγορίας ἀβάπτιστός εἰμι· ἑτέρας σκευῆς ὢν ὡς πρὸς τὴν σαγήνην τὸ φελλόν. ὁ φελλὸς δὲ, καὶ ἀρσενικῶς καὶ θηλυκῶς κλίνεται). [Ὑπὲρ ἕρκεος ἅλμας.] τῆς θαλασσίας ἐπιφανείας. ὅτι τῇ ἑαυτῆς ἐπιφανείᾳ περιτειχίζεται). [Αδυνατον δ' ἔπος.] ἀδύνατον δέ ἐστι διαβάλλοντα ἐν ἀγαθοῖς ὄντα ἀνθρώποις εἰπεῖν τι ἰσχυρόν. ἀσθενὲς γὰρ λέγει. μᾶλλον δὲ ἀδύνατόν ἐστι, τὸν δόλιον ἄνδρα πεῖσαί τινα συνετόν. [Ομως μάν.] ὅμως πάντας κολακεύων ὁ δόλιος ἀνὴρ, ἐπιπολὺ καλῶς διανύει τὸν βίον, πλοκήν τινα ποιῶν. [Φίλον εἴη φιλεῖν.] εἴη μοι, τοὺς μὲν φίλους τῶν ἀνθρώπων φιλεῖν.

[Ποτὶ δ' ἐχθρόν.] πρὸς δὲ τὸν ἐχθρὸν, λύκου τρόπον ὑποδραμοῦμαι καὶ τὰ ἴχνη αὐτοῦ, ὡς λύκος φυλάξω, ἐπ' ἄλλο καὶ ἄλλο βαίνων. οἱονεὶ, ἐπιπαθῶν αὐτοῦ τοῖς ἴχνεσι, καὶ βλάπτων αὐτὸν οὐκ ἐκ τοῦ φανεροῦ, ἀλλὰ λεληθότως. [Αλλως.] μὴ πρὸς πάντας εἴη μοι σαίνειν φησὶ, καὶ φίλους καὶ ἐχθρούς. ἀλλὰ τὸν μὲν φίλον σαίνω. τὸν δὲ ἐχθρὸν ἐπιτηρήσω, ἵνα μετέλθω καθάπερ λύκος ἐνεδρεύων οὐκ εὐθείαις, ἀλλὰ σκολιαῖς ὁδοῖς. τουτέστιν, οὐχ ἑνὶ τρόπῳ. ἀλλὰ παντοῖος ἔσομαι. [Εν πάντα δὲ νομόν.] ἐπειδὴ τρεῖς φησι πολιτείας εἰσὶ, δημοκρατίαν, ἀριστοκρατίαν, καὶ βασιλείαν, κατὰ πᾶσαν ἀρχὴν ὁ ἀθυρήμων καὶ παῤῥησιαστικὸς, ὁ μὴ ἕτερα μὲν λέγων, ἕτερα δὲ νοῶν, κρείττων ἐστί. εἴτε βασιλείᾳ, εἴτε ἀριστοκρατίᾳ, καὶ ἐν δημοκρατίᾳ, ὅταν τὴν πόλιν οἱ σοφοὶ καὶ ἄριστοι διοικῶσι. προφέρει γὰρ οὐχ ὑποκρινόμενος.

[Χρὴ

Τηρέοντι. Χρὴ δὲ πρὸς	Custodiunt. Oportet vero contra
Θεὸν οὐκ ἐρίζειν,	Deum non contendere,
ἐπῳδὸς δ'. κῶλον ιδ'.	Μεταφ.
Ὃς ἀνέχει ποτὲ μὲν τὰ κείνων·	Qui stabilit interdum quidem res illorum:
Τοτ' αὖ δ' ἑτέροις ἔδω-	Interdum rursus vero aliis dare-so-
κεν μέγα κῦδος. Ἀλλ' οὐ-	let magnam gloriam. Sed ne-
δὲ ταῦτά γε νόον ἰαίνει φθονερῶν. Στάθμας	que hæc animum oblectant invidorum. Libra
Δέ τινος ἑλκόμενοι	Vero alicujus, qui-trahuntur
Περισσᾶς, ἐνέπαξαν ἕλ-	Abundante, infligere-solent ul-
κος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ,	cus dolorificum suo prius cordi,
Πρὶν ὅσα φροντίδι μηχανῶνται τυχεῖν.	Quam quæ cogitatione quærunt assequantur.
Φέρειν δ' ἐλαφρῶς,	Ferre vero leviter,
Ἐπαυχένιον λαβόντα	Super-humeros assumptum
Ζυγόν γ' ἀρήγει. Ποτὶ κέντρον δέ τοι	Jugum *mihi* prodest. Contra stimulum vero
Λακτιζέμεν, τελέθει	Calcitrare, est
Ὀλισθηρὸς οἶμος. Ἁδόντα δ' εἴη	Perniciosa ratio. Placentem vero liceat
Με τοῖς ἀγαθοῖς ὁμιλεῖν.	Me cum bonis conversari.

Paraphrasis.

Præterea non est resistendum Deo. Qui nunc res illorum extollit, & nunc his nunc illis pro libito magnum decus impertit. Quod tamen faciunt ii qui alienæ fœlicitatis osores, eis nocere calumniando cupiunt. Sed harum rerum consideratio invidorum animum nullo pacto emollire potest, & sic afficere ut à maledicentia abstineant. Imo quisque sui odii graviori pondere deorsum trahitur, & in invidiam inemendabilem fertur, quæ ipsi cordi tabificum impacto dolore ulcus inurit, priusquam finem suum assequatur, & excogitatam inviso sibi homini noxam inferre possit. Sed quid faciat is quem petit invidia? Juvat ipsum huic malo patientiam opponere, & calamitatem hanc, ut leve jugum submisso collo perferre, resque suas agendo calumniam contemnere: ita ut invidenti non invideat invicem: alioqui in lubrica & periculosa via versaretur. Nam si cum invidente invidia certaret, ita læderetur ut bos qui magis læditur quum adversus stimulum calcitrat, quam quum stimulo monitus aratrum acrius trahit. Quæ cum ita sint, faxit Deus, ut neglectis inimicorum injuriis fruar jucunda virorum bonorum consuetudine, quibus mea carmina placent.

Notæ.

163 Τὰ 'κείνων leg. Alii. 164 Τοτὲ δ' αὖθ' ἑτέροις omnes Codd. 165 Ἔδωκε Edd. Vulgatæ. MS. C.71. νῦν hab. in hoc κώλῳ. 166 Alii leg. ταῦτα νόον. 167 Ἑλκόμενοι Alii omnes. ex MS. C.71. vero mutavimus. 168 Ἐνέπαξεν etiam Alii ad ἑλκόμενος referentes. 169 Πρόσθεν MS. C 71. 170 Μηχανῶνται leg Ed. Cratand. sola Retinemus μηχανῶνται, quando antea reposuimus ἑλκόμενοι MSS. nostra μητίονται, eodem sensu ac metro. 173 Omnes Codd. præter MS. γ. leg. Ζυγὸν ἀρήγει Schmid. vero vidit opus esse particula, ideoque ex conjectura inseruit μ' pro μέ. 175 Alii omnes hab. ἅδοντα, Canentem. Schmid. vero ἀδόντα, quæ vox occurrit alibi. Nos ἅδοντα quasi ab ἅδω, Præsenti inusitato scribimus.

[Χρὴ δὲ πρὸς θεόν.] προσήκει μὴ φιλονεικεῖν πρὸς τὸ δαιμόνιον. ἀλλ' οἷα ἂν διδῷ, ταῦτα καὶ φρονεῖν. πολλάκις γὰρ τὰ τούτων ὑψοῖ, ἄλλοτε δὲ, τὰ τῶν ἑτέρων ἄλλοις ἔδωκεν. [Ἄλλως.] οἱ διαβάλλοντές φησι τοῖς θεοῖς ἐρίζουσιν. οὐ δεῖ γοῦν θεοῖς ἀντιβαίνειν. κἀγὼ δέ φησι τὰ νῦν εἴξω τῷ Βακχυλίδῃ παρὰ θεῶν εὖ πράττοντι, καὶ οὐκ ἀντιβήσομαι τῇ προαιρέσει ἐπὶ πλεῖον. [Ἀλλ' οὐδὲ ταῦτα.] ἐπεὶ προείρηκεν ὅτι τὸν μὲν ὁ θεὸς ὑψοῖ, τὸν δὲ κατακρύπτει, καὶ οὐκ ἐν τῇ αὐτῇ τάξει τὰ πράγματα μένει, φησὶν ὅτι οὐδὲ ταῦτα τοὺς φθονεροὺς καὶ διαβόλους κινεῖ, εἰς τὸ ἀπέχεσθαι τῆς πρὸς τοὺς πέλας φθόνου, καὶ λογίζεσθαι ὡς οὐ παραμένει αὐτοῖς, ἡ νῦν δοκοῦσα παρεῖναι εὐτυχία. [Ἄλλως.] οὐκ ἰαίνει οὖν φησι ταῦτα καὶ οὐ προσπαθῆ ποιεῖ τὸν νοῦν αὐτῶν, ἵνα παύσωνται διαβάλλοντες. [Στάθμας δέ τινος.] οἱ σταθμώμενοι δὲ πολλὰ καὶ περιγράφοντες μεγάλα τινὰ μέλλοντα αὐτοῖς ἔσεσθαι, προαδυνήθησαν πρὶν τυχεῖν ὧν ἐπιζητοῦσι καὶ ἐλπίζουσιν. ἡ δὲ ἀναφορὰ, πάλιν εἰς Βακχυλίδην. εἴληπται δὲ οὕτως ἡ διάνοια, διὰ τὸ παρὰ Ἱέρωνι τὰ Βακχυλίδου ποιήματα προκρίνεσθαι. καὶ φησὶν, φέρειν δεῖ τὰ τῆς τύχης συμπτώματα. [Φέρειν δ' ἐλαφρῶς.] φέρειν δὲ ἐλαφρῶς καὶ ἄνευ φιλονεικίας τὸ παρὰ τῆς τύχης ζυγὸν συμβάλλεται, ὥσπερ βοῦν ὑποδύντα τὸν ζυγόν. τουτέστι τὰ παρὰ τῆς τύχης ἐπισυμβαίνοντα. πάλιν δὲ αὐτῷ πρὸς τὸ τοῦ Βακχυλίδου μέρος ἀναφέρεται ὁ λόγος. ἕλξω γάρ φησι τὸν ζυγὸν ὡς ἡ τύχη ἐβουλήθη, διὰ τὸ τιμᾶσθαι παρὰ σοὶ ὦ Ἱέρων, μᾶλλον ἐμοῦ τὸν Βακχυλίδην. [Πρὶν ὅσα.] πρὶν κακῶσαί τινα· καὶ κατορθῶσαι ἃ κατ' ἀλλήλων μηχανῶνται. ὅ ἐστιν οἱ ἄδικα φρονοῦντες, πρότερον ἑαυτοὺς ὀδυνῶσι, πρὶν ἄλλον κακῶσαι. [Ποτὶ κέντρον.] μάχεσθαι δὲ τῇ τύχῃ ἄνθρωπον ὄντα, οὐ συμφέρει. ἡ δὲ τροπὴ, ἀπὸ τῶν βοῶν. τῶν γὰρ βοῶν οἱ ἄτακτοι κατὰ τὴν γεωργίαν κεντριζόμενοι ὑπὸ τοῦ ἀροτῆρος, λακτίζουσι τὸ κέντρον, καὶ μᾶλλον πλήττονται.

Τέλος τοῦ δευτέρου τῶν Πυθίων εἰδοῦς.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΤΡΙΤΟΥ ΤΩΝ ΠΥΘΙΩΝ ΕΙΔΟΥΣ.

ΤΗΣ τρίτης ᾠδῆς ἡ στροφὴ, καὶ ἀντιστροφὴ, κώλων ιγ'. Τὸ ᾱ, ὅμοιον τῷ, ἀμβολὰς τεύχεις ἐλελιζομένα. Τὸ β', τὸ αὐτὸ τῷ πρώτῳ. Τὸ γ', δίμετρον, ἰαμβικὸν ἀκατάληκτον. ὅμοιον τῷ, τίς σὰς παρήειρε φρένας. Τὸ δ', προσοδικόν. Τὸ ε', δακτυλικὸν πενθημιμερές. Τὸ ς', ἀναπαιστικὸν, μονόμετρον. Τὸ ζ', δίμετρον ἰαμβικὸν, ἀκατάληκτον. Τὸ η', Ιωνικὸν ἀπὸ μείζονος, μονόμετρον ὑπερκατάληκτον, ἢ ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον. Τὸ θ', προσοδικόν. Τὸ ι', δίμετρον Ιωνικὸν ἀπ' ἐλάσσονος, καταληκτικόν. Τὸ ια', πενθημιμερὲς δακτυλικόν. Τὸ ιβ', χοριαμβικὸν τρίμετρον καταληκτικόν. Τὸ ιγ', ἐγκωμιολογικόν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η δὲ ἐπῳδὸς, κώλων ιε'. Τὸ ᾱ, ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ β', τροχαϊκὸν τρίμετρον καταληκτικὸν, Πινδαρεικόν. Τὸ γ', ἐπιχοριαμβικὸν, τρίμετρον ἀκατάληκτον. Τὸ δ', δίμετρον Ιωνικὸν ἀπ' ἐλάσσονος. Τὸ ε', ὅμοιον τῷ, ταί θ' ὑπὸ Κύμας ἁλιερκέες ὄχθαι. Τὸ ς', πενθημιμερὲς δακτυλικόν. Τὸ ζ', ὅμοιον τῷ, τίς σὰς παρήειρε φρένας. Τὸ η', ὅμοιον τῷ ς'. Τὸ θ', ὅμοιον τῷ ζ'. Τὸ ι', ὅμοιον τῷ ς'. ἢ τῷ η', Τὸ ια', προσοδικόν. Τὸ ιβ', δίμετρον τροχαϊκὸν ἐπιχοριαμβικόν. Τὸ ιγ', Ιωνικὸν ἀπ' ἐλάσσονος, δίμετρον καταληκτικόν. Τὸ ιδ', μονόμετρον, ἀναπαιστικὸν, ὅμοιον τῷ ἕκτῳ τῆς στροφῆς. Τὸ ιε', ὅμοιον τῷ, τίς σὰς παρήειρε φρένας.

Metrica vero ratio ita habet:

στροφὴ & ἀντιστροφή.

1. - υ - - - υ υ - υ υ -
2. - υ - - - υ υ - υ υ -
3. - - υ - - - υ -
4. - - υ υ - υ υ -
5. - υ υ - υ υ -
6. υ υ - υ υ -
7. - - υ - υ - υ -
8. - - υ υ -
9. - υ - - - υ υ -
10. υ υ - - - υ -
11. - υ υ - υ υ -
12. - υ - - - υ - - - υ -
13. - υ υ - υ υ - - - υ - -

ἐπῳδός.

1. - υ - - - υ υ - υ - -
2. - υ - - - υ - - - υ -
3. - υ - - - υ υ -
4. υ υ - - - υ -
5. - υ - - - υ υ - υ υ - -
6. - - υ - υ υ -
7. - - υ - - - υ -
8. - υ υ - υ υ -
9. - - υ - - - υ -
10. - υ υ - υ υ -
11. - - υ υ - υ υ -
12. - υ - - - υ υ -
13. υ υ - - - υ - -
14. υ υ - υ υ -
15. - - υ - - - υ -

ΤΩ ΑΥΤΩ ΙΕΡΩΝΙ, ΚΕΛΗΤΙ. ΕΙΔΟΣ Γʹ.

EIDEM HIERONI, EQUO-DESULTORIO. ODE III.

ARGUMENTUM.

Hieronem λιθουρίᾳ laborantem Poëta consolatur. Ideo statim à Voto orditur, quo Chironem vel Æsculapium medicum precatur, qui illius morbo opem medicam afferret. Sequitur Historia Æsculapii. Postea laudes victoris celebrat. Deinde, mala leviora fieri Patientia, docet; & exemplis Cadmi & Pelei ostendit, humanam vitam nunquam adeo felicem esse, quin aliquot nævos habeat aspersos.

στροφὴ αʹ. κώλων ιγʹ.

Ἤθελον Χείρωνά κε Φιλλυρίδαν
Εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσ-
σας κοινὸν εὔξασθαι ἔπος,
Ζώειν τὸν ἀποιχόμενον,
Οὐρανίδα γόνον εὐ-
ρυμέδοντα Κρόνου,
Βάσσαισί τ' ἄρχειν Παλίου,

METAPHRASIS.

Velim Chironem Phillyriden,
Si fas sit hoc nostra à lin-
gua *per* commune optare carmen,
Vivere defunctum,
Cœlo-sati Sobolem la-
te-potentem Saturni,
Vallibusque *denuo* imperare Pelii,

PARAPHRASIS.

Vellem equidem (si mihi fas esset usitatum vulgo votum pronunciare, ut quum dicunt, optarem ut hic viveret, quo res sic se haberet) vellem ut Chiron Philyræ Oceani filiæ, & Saturni Cœli filii filius vita defunctus in vivis nunc esset, & in vallibus Pelii montis late dominans imperaret,

NOTÆ.

2 Εἰ χρεὼν τοῦθ'] Correctio voti, quod scil. optet ex affectu humano, salvo tamen fato Divino. Schmid. Et sane ubique ne impia proferat, & quæ Diis displiceant, cavere videtur. Potest etiam intelligi hic locus de magnitudine voti; εὐχὴ enim, verba sunt Aretii, ista forsan est major, quam ut mea lingua & carmine fieri debeat. Verti possunt hæc verba, si Operæ pretium sit hoc precari; si tale votum non sit irritum. Et generatim hujusmodi vota esse insolentiora innuit. Ἁμετέρας] i. e. ἀνθρωπίνης, vel potius ἡμῶν, ut alibi. 3 Ἔπος est verbum, vel potius, ut Homero & alibi Autori nostro, Carmen. Dicitur vero κοινὸν juxta Schol. quinque modis, quibus Schmid. add. sextum, Quia Pindaro cum omnibus bonis votum pro Hierone fuerit commune. Poëta forte intelligendus est de hoc hymno, cui id votum audacius initium est. 6 Εὐρυμέδοντος leg. Schol. & Lonicer. referentes ad Κρόνου, quæ lectio per metrum non stat. Ex sequentibus vero patet cur hoc epitheto utitur. Nam ἦρχεν [ὁ Χείρων] βήσσαις Πηλίου, ὄρους. 7 Βάσσαισι leg. C. 71. forsan corrupte pro βάσσαισι, quod hab. Schol. nisi sit erratum.

ΤΩ αὐτῷ Ἱέρωνι, κέλητι.] Γράφει τὸν ἐπινίκιον Ἱέρωνι, νικήσαντι κέλητι τὴν εἰκοστὴν ἕκτην, καὶ τὴν εἰκοστὴν ἑβδόμην Πυθιάδα. καὶ φανερὸν, ὅτι εἰς ἀμφοτέρας τὰς νίκας τὸν ἐπινίκιον συντάττει. δι' ὧν ὀνομάζει, στεφάνους δὲ θαλῶν, καὶ κάμους ἀέθλων. τὸ δὲ προοίμιον, πρὸς τὴν τοῦ Ἱέρωνος νόσον ἐστίν. [Ἄλλως.] Ἱέρωνι νικήσαντι τὴν κϛʹ. Πυθιάδα, γέγραπται. μέμνηται δὲ καὶ τῆς περὶ ταύτης Πυθιάδος. ὥστε ἐπὶ τὰς δύο νίκας τὴν ᾠδὴν συντετάχθαι. συνᾴδει δὲ καὶ τὰ ἀπὸ τῶν χρόνων. ὡς γὰρ ἤδη βασιλεύοντός φησιν, ὃς Συρακόσαισι νέμει βασιλεὺς, πραῢς ἀστοῖς. καθίστατο δὲ ὁ Ἱέρων βασιλεὺς κατὰ τὴν ἑβδομηκοστὴν ἕκτην Ὀλυμπιάδα· τῆς εἰκοστῆς ὀγδόης Πυθιάδος, τῇ προκειμένῃ Ὀλυμπιάδι, συγχρόνου οὔσης. ὥστε, πάντη τε καὶ πάντως μετὰ τὴν ὑστέραν Πυθιάδα, ἥτις γέγονε περὶ τὴν ἑβδομηκοστὴν ἕκτην Ὀλυμπιάδα, συντετάχθαι τόνδε τὸν ἐπινίκιον. πρὸς δὲ τὴν παροῦσαν τύχην τοῦ Ἱέρωνος ἁρμοσάμενος, εὔχεται ἀναβιῶναι τὸν Χείρωνα. καὶ ὑγιάσαι τὴν νόσον τῆς λιθουρίας. εὔχεται δὲ ἐν ταῖς πτυχαῖς τοῦ Πηλίου διάγειν τὸν Χείρωνα, ὑπὲρ τοῦ δύνασθαι τὸν Ἱέρωνα θεραπείας τυχεῖν ὑπ' αὐτοῦ. λιθιάσει γὰρ νόσῳ κατείχετο ὁ Ἱέρων. τὸν δὲ Χείρωνα, Φιλλύρας, μιᾶς τῶν Ὠκεανίδων καὶ Κρόνου γενεαλογοῦσιν. ὁ δὲ νοῦς, οὕτως. βουλοίμην τὸν Χείρωνα εἰ προσῆκον τοῦτο εὔξασθαι, ἀναβιῶναι τὸν ἤδη τεθνηκότα. τὸ δὲ ἑξῆς, ἤθελον, τὸν ἀποιχόμενον οὐρανίδου Κρόνου γόνον Εὐρυμέδοντος Φιλλυρίδην Χείρωνα, εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσσης κοινὸν εὔξασθαι ἔπος. κοινὸν δὲ εὔξασθαι ἔπος, ἤγουν, κοινῶς λεγόμενον ἐν τῷ βίῳ. οἷον εἰ ἔζη ὁ δεῖνα, ἐποίει ἂν τάδε. ἢ κοινὸν, τὸ ἐσόμενον κοινὸν ἀγαθόν. εἰ γὰρ ἀνέζησε, πολλοὺς ἂν ὑγίασεν. ἢ κοινὸν ἀγαθὸν, ἐμοί τε, καὶ τῷ Ἱέρωνι. εἰ γὰρ ὑγίαινεν ὁ Ἱέρων, ἐμὸν ἦν ἀγαθὸν, καὶ τὸ Ἱέρωνος. ἢ κοινὸν, τὸ ἐσόμενον κοινὸν διὰ τὴν ἐμὴν δύναμιν. τὸ γὰρ ποίημα κοινὸν εἴωθε λέγειν, διὰ τὸ πανταχόσε διικνεῖσθαι. ἢ ὡς κοινῆς οὔσης πᾶσι τῆς εὐτυχίας, τὸν Ἱέρωνα ἀπαλλαγῆναι τῆς νόσου. [Βάσσαισί τ' ἄρχειν.] καὶ ἐν τοῖς βασίμοις τόποις καθηγεῖσθαι τοῦ Πηλίου φησὶ τὸν Χείρωνα. τὸν ὄντα μὲν, θῆρα ἄγριον κατὰ τὸ σῶμα. Κένταυρος γάρ. τὸν δὲ νοῦν ἔχοντα προσφιλέστατον τοῖς ἀνθρώποις.

Φῆρ' ἀγρότερον,
Νοῦν ἔχοντ' ἀνδρῶν φίλον· οἷ-
ος ἐὼν θρέψεν ποτὲ
Τέκτον' ἀνωδυνίας
Αμερον γυιαρκέος Ασκλαπιὸν
Αρωα, παντοδαπᾶν ἀλκτῆρα νούσων.

ἀντιστροφὴ α'. κώλων ιγ'.

Τὸν μὲν εὐίππου Φλεγύα θυγάτηρ,
Πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλει-
θυίᾳ, δαμεῖσα χρυσέοις
Τόξοισιν ὕπ' Ἀρτέμιδος,
Εἰς Ἀΐδα δόμον, ἐν
Θαλάμῳ, κατέβα,

v. cit. ad Od. Γ, 280

Bestiam *quidem* agrestem, *sed*
Mentem habentem viris amicum: qua-
lis existens educavit olim
Effectorem indolentiæ
Mitem membris-sufficientis Æsculapium
Heroa, omnium propulsatorem morborum.

Metaph.

Quem boni-equitis Phlegyæ filia,
Antequam finiisset cum matribus-præsente Lu-
cina, domita aureis
Sagittis à Diana,
In Plutonis domum, in
Thalamo, descendit,

ad iusta partus tempora perduxisset

PARAPHRASIS.

Ille corpore quidem agrestis veluti fera, quatenus Centaurus ex Saturno in equum mutato natus: animo autem erga hominum genus benigno quatenus arte medendi opitulator insignis. Qui talis corpore, talisque animo cum esset, olim educavit instituitque Æsculapium præstantissimum virum, heroica virtute clarum, medicum ad propulsandos quosvis morbos summopere idoneum, mitissimum indolentiæ procuratorem, ut sedatis doloribus, restitutaque membris bona valetudine, corpus sustinendis laboribus par esset. Quem priusquam in lucem maturo partu ederet, opem ferente Lucina quæ parturientium auxiliatrix circa matres versatur, Coronis Phlegyæ præstantis equitis filia, Dianæ sagittis aureis in Thalamo suo,

NOTÆ.

8 Φῆρ' Æol. pro Θῆρ', nisi malles accipere, ut quidam apud Eustath. pro φυῆρ' i. e. à φύω, Centaurum in quo, equus & homo concreverunt. Ed. Rom. puncto distinguit post φῆρ' secus quam omnes aliæ. Si vero ita legimus ἀγρότερον referri debet ad νοῦν cum tamen Chiron describatur, νοῦν ἔχων ἀνδρῶν φίλον.. Aliter igitur interpretatus est vocem. ἀγρότερον, quisquis ex Grammaticorum familia ibi comma appinxit. Et sane potest verti, venatorium, scil. animum habens; qui cum Centaurus sit, & ad artem venatricem animum appulerit., fuit amantissimus virorum. Per ἄνδρας enim intell. Viros fortes & bellicosos, qualis fuit Achilles. ὃς ἐτέχθη τοῖς κρέασι, τοῖς ἐκ τοῦ κυνηγετικοῦ, ὅτε ὁ Χείρων ἐπαιδαγώγει αὐτόν· ὃς καὶ εἰς ἐπιστήμην τῶν Τακτικῶν ἀγαγών, ἄριστον πολεμιστὴν εἰς Τροίαν ἐπεμψε. Verba sunt Eustath. qui etiam pluribus exponit, qualem vitam agerent Centauri, ut jure dici possent φῆρες ab Homero, Nec venandi studium ab imagine talis viri longe abest Hunc sensum alibi tribuit Autor huic voci. Sed quicquid fiat de eo significatu, certe ἀγρότερον de vivendi ratione intelligendum putamus; non vero de Corpore Chironis; uti omnes alii Schol. secuti. Neque necesse est fingere oppositionem quandam inter mentem & Corpus; ut huic ἀγρότερον, illi vero ἀνδρῶν φίλον attribuas. 9 Νόον leg. Alii, quibus συνιζήσεως opus est. Nos sequimur MSS. nostra, ut & Schmid. Οἷος] scil. φίλος ἀνδρῶν. 10 Alii leg. ἔθρεψέ ποτε, & θρέψε ποτέ, quæ lectiones eundem sensum habent. 11 Lectio Codd. omnium ante Schmid. fuit τέκνον ἀνωδυνίας, qu. Filium Indolentiæ. Licet Aretius interpret. qu. Filius Coronidis; monetque eum etiam esse Filium Sanitatis ob peritiam artis medendi. Sed cum Schol, interpret. κατασκευαστὴν ὑγείας. vix dubitandum est, quin legerit τέκτονα. Unde cum & Pal. C. qui supra τέκνον scripsit, γρ. τέκτονα, secutus Schmid. hunc locum feliciter restituit. Idem etiam MS. γ. scriptum habet. Nec est τέκτων, vox Pindari lectori inaudita. 12 Γυιαρκέος] i. e. Reddentis membra valentia, & ad labores diu ferendum apta. Pindar. lex. Schmidio est, Perfectæ. Ultima ος pro longa ponitur. Ασκλαπιὸν Comm. leg. MS. γ. Ασκληπιὸς dictus fuit initio ἤπιος, duo respectu Schmid. putat à Pindaro vocari ἥμερον. 13 MS. C. 71. leg. comm. ἥρωα. Αλκτῆρα leg. Alii: unde per Syncopen formatur ἀλκτῆρα. Id vero pro ἀλεξητῆρα. 14 Φλέγυα leg. MS. γ. Phlegyas Rex Orchomeni Bœotiæ, omnium sui temporis bellator acerrimus fuit, teste Pausan. in Corinth. unde & hic εὔιππος appellatur. 15 Πρὶν τελέσσαι] Potes cum Schmid. ita ordinare, ut sit Tmesis, pro, πρὶν συντελέσσαι Ἐλειθυίᾳ, i. e. Antequam vectigalis qu. esset Lucinæ, i. e. dolores partus exsolvisset: vel, antequam contributa esset Lucinæ ματροπόλῳ, i. e. antequam in numerum matrum ope Lucinæ relata esset. MS. C. 71. leg. τελέσαι. 16 Δαμεῖσα τόξοις] i. e. Schmid. mortua peste. Vide not. ad. v. 64. 18 Alii leg. Αΐδαο per συνίζησιν duarum poster. Syllabarum. Nos sequimur MS. C. 71.

[Οἷος ἐών.] ὁ νοῦς. ὁποῖος ὢν τὴν φύσιν καὶ τὸν νοῦν ὁ Χείρων, ἀνέθρεψε τὸν τῆς ἀνωδυνίας, καὶ ὑγείας περιβόητον κατασκευαστὴν Ἀσκληπιὸν, τὸν ὄντα παντοίας νόσου βοηθόν. γυιαρκῆ δὲ, τὸν ἀνωδυνίαν φησί. τότε γὰρ τοῖς μέλεσιν ἐπαρκούμεθα τοῦ σώματος, ὅταν ὦμεν ἀνώδυνοι. [Τὸν μὲν εὐίππου.] τὸν Ἀσκληπιόν. οἱ μὲν Ἀρσινόης, οἱ δὲ Κορωνίδος φασὶν αὐτὸν εἶναι. Ἀσκληπιάδης δέ φησι τὴν Ἀρσινόην, Λευκίππου εἶναι τοῦ Περιήρους. ἧς καὶ Ἀπόλλωνος, Ἀσκληπιὸς, καὶ θυγάτηρ, Ἐριῶπις. Η δ' ἔτεκ' ἐν μεγάροις Ἀσκληπιὸν, ὄρχαμον ἀνδρῶν. Φοίβῳ ὑποδμηθεῖσα, ἐϋπλόκαμόν τ' Ἐριῶπιν. καὶ Ἀρσινόης ὁμοίως, Ἀρσινόη δὲ μιγεῖσα Διὸς καὶ Λητοῦς υἱῷ, Τίκτ' Ἀσκληπιὸν υἱὸν ἀμύμονά τε κρατερόν τε. Σωκράτης δὲ, γόνον Ἀρσινόης τὸν Ἀσκληπιὸν ἀποφαίνει, παῖδά τε Κορωνίδος εἰσποιητόν. ἐν δὲ τοῖς εἰς Ἡσίοδον ἀναφερομένοις ἔπεσι φέρεται ταῦτα περὶ τῆς Κορωνίδος. Τῆ μὲν ἄρ' ἦλθε κόραξ. φράσε δ' ἄρα ἔργ' ἀΐδηλα Φοίβῳ Ἀκερσεκόμῃ, ὅτ' ἄρ' Ἴσχυς ἔγημε Κορωνίν, Εἰλατίδης Φλεγύαο, Διογνήτοιο θύγατρα. ἐν δὲ τοῖς Ὁμηρικοῖς ὕμνοις. Ἰητῆρα νόσων, Ἀσκληπιὸν ἄρχομ' ἀείδειν, Υἱὸν Ἀπόλλωνος. τὸν ἐγείνατο δῖα Κορωνίς, Δωτίῳ ἐν πεδίῳ κούρη Φλεγύα βασιλῆος. Ἀριστείδης δὲ ἐν τῷ περὶ Κνίδου συγγράμματι, φησὶν οὕτως. Ἀσκληπιὸς Ἀπόλλωνος παῖς, καὶ Ἀρσινόης. αὕτη δὲ παρθένος οὖσα, ὠνομάζετο Κορωνίς. Λευκίππου δὲ θυγάτηρ ἦν τοῦ Ἀμύκλα τοῦ Λακεδαίμονος. καὶ Ἀσκληπιοῦ δὲ Ἠπιόνης, καὶ Ποδαλείριος καὶ Μαχάων. [Πρὶν τελέσσαι.] ἤτοι, πρὶν ἐκτελέσαι τὰς κατὰ τὰς ὠδῖνας. πρὶν τεκεῖν. ματροπόλον δὲ τὴν εἰλήθυιαν, διὰ τὸ περὶ τὰς μητέρας εἰλεῖσθαι, ἢ πολεῖσθαι τῶν γεννωμένων. [Εἰς ἀΐδαο δόμον.] Σημειοῦνται δὲ οἱ ὑπομνηματισάμενοι, τὰ δύο κῶλα, τόδε τὸ σημεῖον ⁜ παρεντιθέντες, ὅτι ἀσυνάρτητά εἰσι. πῶς γὰρ φησὶν εἰς ἀΐδαο δόμον, καὶ πάλιν ἐν θαλάμῳ κατέβα; καὶ ἐξηγούμενοι περιττεῦον λαμβάνουσι τὸ ἐν θαλάμῳ. ἔστι δὲ τὸ ἑξῆς οὕτως. ὑπὸ χρυσέοις τόξοις ἐν θαλάμῳ δαμεῖσα, εἰς ἀΐδαο δόμον κατέβα, τέχναις Ἀπόλλωνος. ὅτι δὲ τὸ ἐν θαλάμῳ πλεονάζει, δῆλον, ἱκανὸν γὰρ ἦν εἰπεῖν εἰς ἀΐδαο δόμον κατέβη, καὶ περιάδει τὸν καὶ συνδεσμον. ἵν' ᾖ, εἰς δόμον καὶ εἰς θάλαμον κατέβη. [Ἄλλως.] πρὶν γεννήσῃ ἐν τῷ θαλάμῳ. ἐχαριεντίσατο δὲ εἰπὼν τὸν ᾅδην θάλαμον.

[Χόλος

Τέχναις Ἀπόλλωνος. Χόλος	Technis Apollinis. Ira
Δ' οὐκ ἀλίθιος	Enim non irrita
Γίνεται παίδων Διός. Ἁ	Est filiorum Jovis. Illa
Δ' ἀποφλαυρίξαισά μιν	Vero contempto ipso *Apolline*
Ἀμπλακίαισι φρενῶν,	Errore mentis,
Ἄλλον αἴνησε γάμον, κρύβδαν πατρὸς	Alias laudavit nuptias, clam patre
Πρόσθεν ἀκερσεκόμᾳ μιχθεῖσα Φοίβῳ.	Antea intonso commixta Phœbo.
ἐπῳδὸς α'. κώλων ιε'.	METAPH.
Καὶ φέροισα σπέρμα θεοῦ καθαρὸν,	Quumque ferret semen Dei purum,
Οὐκ ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν,	Non expectavit dum-veniret mensa sponsalis,
Οὐδὲ παμφώνων ἰαχὰν	Neque omnisonorum clamor
Ὑμεναίων, ἅλικες	Hymenæorum, coætaneæ
Οἷα παρθένοι φιλέοισιν ἑταῖραι	Uti virgines solent sociæ
Ἑσπερίαις ὑποκου-	Vespertinis juveniliter-lu-
ρίζεσθ' ἀοιδαῖς. Ἀλλά τοι	dere cantibus. At
Ἤρατο τῶν ἀπεόν-	Amavit absen-
των. Οἷα καὶ πολλοὶ πάθον.	tia. Qualiter etiam multi affecti-fuerunt
Ἔστι δὲ φῦλον ἐν ἀν-	Est vero genus inter ho-

PARAPHRASIS.

jussu & arte Apollinis interempta ad inferos descendit. Neque enim Jovis filiorum, omniumque Deorum irritatorum vana & inefficax est ira. Ratio autem cur irati Coronidi Apollo & Diana eam interemerint, hæc est, quoniam Apollinem contempserat cujus clandestinum concubitum, patrique ignotum cum prius passa esset, non multo post pleno ejus conjugio fruitura, alias tamen nuptias nescio quo mentis errore probavit. Cumque ferret in utero purum Dei semen, libidinis tamen æstro percita, non potuit expectare dum venisset tempus quo legitima sponsalia celebrarent, & publicarum nuptiarum hymenæi quoslibet sonos edentes canerentur, qualibus coætaneæ sociæ virgines nocturnis cantilenis inter se ludentes sponsum & sponsam prosequi solent. Sed absentium & peregrinorum amore capta fuit: quod multis etiam accidere solet. Siquidem inter homines

NOTÆ.

20 Τέχναις] i. e. Jussu Apollinis, vel illius more. 23 Ἀποφλαυρίξασα] leg. Alii. Φλαυρίζειν vero est Etym. Magn. & Suidæ Atticum pro φαυλίζειν, licet hic differentiam aliquam notet. Φλαῦρον μὲν γάρ ἐστι τὸ μικρὸν κακὸν· φαῦλον δὲ τὸ μέγα. Φλαῦρον, φλύαρον, ἀηδὲς, δύσφημον, λυπηρόν. 25 Αἴνησε] Probavit, nuptiisque assensit. 26 Ἀκερσεκόμα MS. γ. 28 MS. C. 71. & Editt. vulg. leg. νυμφιδίαν. Intellige vero convivium nuptiale, & legitimas nuptias, Apollinis scil. ut Lonicer. & Arct aiunt, sed cujuscunque alterius juxta Schmid. Id vero, quia Dearum connubium cum Hominibus leguntur; non autem Deorum, si ei fides. 32 Ἑσπερίαις ἀοιδαῖς] Quæ canebantur antequam sponsus & sponsa cubitum deducerentur. Schmid.

[Χόλος δ' οὐκ ἀλίθιος.] ἡ δὲ ὀργὴ φησὶ τῶν τοῦ Διὸς παίδων, οὐκ ἔστι ματαία, ἀλλὰ δυνατὴ τελειῶσαι. [Ἁ δ' ἀποφλαυρίξαισα.] αἰτίαν ὑποτίθησι, δι' ἣν ἀνῃρέθη ὑπὸ τῆς Ἀρτέμιδος. κατὰ τὰς Ἀπόλλωνος τέχνας. ὥστε τὸ δὲ, αἰτιατικὸν παρειλῆφθαι, ἀντὶ τοῦ γάρ. ἀποσκυβαλίσασα γὰρ αὐτὸν ταῖς ἀμαρτίαις τῶν φρενῶν ἄλλον γάμον ἐπῄνεσεν, Ἴσχυϊ γὰρ συνεμίγη. διὸ καὶ χαλεπήνας ὁ θεὸς, Ἀρτέμιδι συνέταξεν αὐτὴν ἀνελεῖν. [Κρύβδαν πατρὸς.] τοῦτο πρὸς τὸ προκείμενον συναπτέον, οὐ πρὸς τὸ ἑξῆς· ἤτοι, κρύβδην πατρὸς καὶ πρότερον μιγεῖσα τῷ Ἀπόλλωνι. ἢ στικτέον εἰς τὸ, πατρὸς, ἵν' ᾖ τὸ κρύβδαν, ἐπὶ τοῦ δευτέρου γάμου. εἰ γὰρ ὁ πατὴρ αὐτὴν ἐβιάσατο συγγενέσθαι τῷ Ἴσχυϊ, συνέγνω ἂν αὐτῇ ὁ Ἀπόλλων. διὰ τί δὲ προετίμησε τὸν Ἴσχυν τοῦ Ἀπόλλωνος, Ἀγησίλαος φησιν, ὡς κατὰ δέος ὑπεροψίας θνητῷ βουληθεῖσα συνεῖναι. [Ἄλλως.] ἐπανάληψις τοῦ διηγήματος. ἡ δὲ δὴ Κορωνὶς φησὶν ἐκφαυλίσασα τὸν Ἀπόλλωνος γάμον ταῖς τῶν φρενῶν ἁμαρτίαις, ξένον ἐπῄνησε γάμον λάθρα τοῦ πατρὸς, πρότερον τῷ τὰς κόμας ἀτμήτῳ συνελθοῦσα Ἀπόλλωνι. [Καὶ φέροισα σπέρμα θεοῦ.] ἐπειδὴ γὰρ ὑπ' Ἀπόλλωνος φθαρεῖσα, ἐξ αὐτοῦ εἶχε καθαρὸν τὸν Ἀσκληπιὸν ἀνεπίμικτον θνητοῦ σπορᾶς, ἐμοιχεύθη φησὶ τὸ τοῦ θεοῦ καθαρὸν σπέρμα. ἢ ἐπεὶ παρθένον οὖσαν ἔτι καὶ καθαρὰν, διεπαρθένευσεν· οὐκ ἔμεινεν οὖν φέρουσα τὸ τοῦ θεοῦ σπέρμα καθαρὸν, οὐδὲ τοὺς ὑμεναίους τοὺς ἐσομένους τοῦ γάμου. οὐ γὰρ ὑπέμεινε φησὶν ἡ Κορωνὶς, ἐλθεῖν τὴν νυμφιδίαν τράπεζαν, ἀντὶ τοῦ, νόμῳ γαμηθῆναι, οὐδὲ τὴν ὑμεναίων τὴν ἠχὴν, ὁποῖα μάλιστα αἱ ὁμήλικες παρὰ ταῖς ἑαυτῶν φίλαις φιληδοῦσι, ταῖς ἑσπεριναῖς ᾠδαῖς νεωτερίζεσθαι τὴν ψυχὴν καὶ παίζειν. ἔνιοι δὲ τὸ ὑποκουρίζεσθαι ἀοιδαῖς, ἀντὶ τοῦ ἀμφοτέρους τοὺς κόρους ὑμνεῖν, τὸν νυμφίον, καὶ τὴν νύμφην. ἢ τὸ ὑποκουρίζεσθαι ἀοιδαῖς εἶπεν, διὰ τὸ τοὺς ὑμνοῦντας ἐπευφημιζομένους λέγειν σὺν κόροις τε καὶ κόραις. Αἰσχύλος Δαναΐσι. Κἄπειτα δ' εἶσι λαμπρὸν ἡλίου φάος, ἕως ἐγείρω πρευμενεῖς τοὺς νυμφίους, νόμοισι θέντων, σὺν κόροις τε καὶ κόραις. κὰν τῷ βίῳ ἀκορεῖ, ἀντὶ τοῦ, κόρας κορώνας. παρατηροῦντες δ' ἔνιοί φησιν, ἐκκορεῖ κόρους κορώνας, αἰγύνην ἐξαντλίζων· [Ἔστι δὲ φῦλον.] ἔδει εἰπεῖν, ὅπερ φῦλον, νῦν δὲ ὃς εἶπεν. ἵνα ᾖ, ὃς ἀνθρώπων.

[Ἔστι

θρώποισι ματαιότατον,
Ὅστις αἰσχύνων ἐπιχώ-
ρια, παπταίνει τὰ πόρσω,
Μεταμώνια θη-
ρεύων ἀκράντοις ἐλπίσιν.

mines vanissimum,
Quicunque contemnens indige-
na, circumspicit ad remota,
Vana con-
sectans irrita spe.

στροφὴ β΄. κώλων ιγ΄.

Ἔσχε τοιαύταν μεγάλαν ἀυάταν
Καλλιπέπλου λῆμα Κορωνίδος. Ἐλ-
θόντος γὰρ εὐνάσθη ξένου
Λέκτροισιν ἀπ' Ἀρκαδίας.
Οὐδ' ἔλαθε σκοπόν. Ἐν
Δ' ἄρα μηλοδόκῳ
Πυθῶνι τόσ' εἰσάϊεν
Ναοῦ βασιλεὺς
Λοξίας, κοινῶνι παρ' εὐ-
θυτάτῳ, γνώμαν πιθών,
Πάντα ἰσάντι νόῳ.

METAPH.

Habuit hujusmodi magnam calamitatem
Bene-vestitæ fastus Coronidis. Ve-
nientis enim cubuit hospitis
In stratis, ab Arcadia.
Non autem latuit speculatorem. In
Enim ovium-mactatarum-receptrice
Pythone hæc-omnia sensit
Templi *ibidem* Rex
Loxias, *quum* consiliarium apud rectissi-
mum, opinionem *de Coronide* ratam fecisset,
Omnia *apud* scientem intellectum.

PARAPHRASIS.

quidam adeo stulti existunt, ut rebus parabilibus, patriisque, & quæ sunt ante pedes obviæ, relictis & neglectis, remotas, exoticas, inutilesque, imo noxias futuras circumspiciendo appetant, & spe fallaci aucupentur. Sic pulchre vestita, animoque superbo Coronis, cum relictis indigenis peregrinum maluisset conjugium in magnam calamitatem incidit. Nam posthabito Apolline ex quo conceperat, cum advena Arcadico Ischye contraxit nuptias. Quod sane rescivit Apollo Deli speculator, qui omnia videt, auditque. Et quamvis Coronis in Laceria, ipse vero in Pythone esset ubi mactantur oves: ille tamen fatidici rex templi, & ambiguorum responsorum dator, non ex corvo, ut quidam fabulantur, Coronidis facinus audivit: sed à mente sua, quam nihil latet, tanquam à socio familiari rectissimo declaratum accepit.

NOTÆ.

38 Ὅστις] Alias etiam Syntaxis ad intellectum potius quam ad vocem refertur, ut observat Schmid. 43 Λῆμα] Hesychio Voluntas. consilium. Ald. & Pal. C. leg. λῆμμα, quod est Assumptum. Ita & Schol. 46 Σκοπὸν] Nescio quare non intelligunt Apollinem ipsum per hanc vocem Interpretes. 48 Πυθῶν leg. C. 71. Alii leg. ἰσάϊε. Sic licet ordinare hæc verba, βασιλεὺς ναοῦ ἐν Πυθῶνι εἰσάϊεν. 50 Κοινῶνι] Pind. Lex. pro κοινωνὸς sumit, & vertit Socio. Communicatore interpret. Schmid. per quam vocem intelligit Vim divinatricem, quæ ipsius γνώμῃ omnia communicando notificat. 51 Γνώμαν πιπιθών leg. Alii Codd. MS. γ. leg. γνώμα πιπιθών· Si vero augmentum Jonic. πι rejicias, erit simplex Aoristus secundus, quem Schmid. secuti metri gratia retinuimus. Hæc vero pro κατὰ γνώμαν πιθών, ut nonnullis placet, i. e. secundum notitiam persuasus. Schmid. vero, cum persuasisset suæ sententiæ vel scientiæ; i. e. Cum certo se hoc scire statueret. Similis locus isti Homerico Il. Π. Σοὶ δὲ φρένας ἄφρονι πεῖθεν.

[Ἔσχε τοιαύταν.] τοιαύτην φησὶν ἔσχεν ἄταν καὶ βλάβην τὸ λῆμμα τῆς Κορωνίδος, περιφραστικῶς ἡ Κορωνίς. ὡς παρ' Ὁμήρῳ. Ἱερὴ ἲς Τηλεμάχοιο. τὰ γὰρ ἐπιχώρια ἐάσασα, ἐσπούδασε ξένῳ γαμηθῆναι. τῷ Ἴσχυϊ δηλονότι, ἐλθόντι ἐξ Ἀρκαδίας. [Οὐδ' ἔλαθε σκοπόν.] σκοπὸν τὸν νῦν λέγει τοῦ Ἀπόλλωνος. Ἡσίοδος δὲ, τὸν κόρακα, ὅπερ ἐστὶν ἀπίθανον. μηλοδόκῳ δὲ, τῇ πολλὰ ὑποδεχομένῃ θύματα. [Πυθῶνι, τόσ' εἰσάϊεν,] ἀντὶ τοῦ τυχὼν ὁ Ἀπόλλων. τὸ δὲ ἀΐειν, ἀντὶ τοῦ, ᾔσθετο. Ὅμηρος. Οἱ δὲ πληγῆς ἀΐοντες. τὸ δὲ ναοῦ, πρὸς τὸ Πυθῶνι. ἵν' ᾖ, τῷ ἐν Πυθῶνι ναῷ. ὁ δὲ νοῦς, ἐν δὲ Πυθῶνι ὢν ὁ Ἀπόλλων, ἐπῄσθετο τῷ ἱερῷ νόῳ τὸ ἁμάρτημα. ὅντινα, τὸν νοῦν αὐτοῦ δηλονότι, φησὶν εἶναι κοινῶνα ὁ Πίνδαρος, διὰ τὴν μαντικήν. [Ἄλλως.] κοινὸν τοῦ Ἀπόλλωνος ὁ νοῦς ἐστιν. διατί; ὅτι οὐκ ὥσπερ ἡμεῖς παρ' ἑτέρου πυθόμενοι παρακολουθοῦμεν τοῖς οὖσιν· οὕτω καὶ Ἀπόλλων, ἀλλὰ δι' ἑαυτοῦ οἶδεν. ἡνίκα γοῦν ἡ Κορωνὶς τῷ Ἴσχυϊ συνῆλθεν, ἐν Πυθῶνι τυχὼν ὁ Ἀπόλλων, ᾔσθετο. καλῶς δὲ ὁ Πίνδαρος τὴν περὶ τὸν κόρακα παρακρουσάμενος ἱστορίαν, δι' ἑαυτοῦ φησι τὸν Ἀπόλλωνα κατειληφέναι τὴν Κορωνίδα. [Ἄλλως.] ἐπαινεῖ τὸν Πίνδαρον ὁ Ἀρτέμων, ὅτι παρακρουσάμενος τὴν περὶ τὸν κόρακα ἱστορίαν, αὐτὸν δι' ἑαυτοῦ ἐγνωκέναι φησὶ τὸν Ἀπόλλωνα. ἱστορεῖται γὰρ, ὅτι τὴν Ἴσχυος μίξιν ἐδήλωσεν αὐτῷ ὁ κόραξ. παρὸ καὶ δυσχεράναντα ἐπὶ τῇ ἀγγελίᾳ τὸν Ἀπόλλωνα, ἀντὶ λευκοῦ μέλανα αὐτὸν ποιῆσαι. τοῦτον οὖν τὸν μῦθον διωσάμενόν φησι τὸν Πίνδαρον, τῷ ἑαυτοῦ νῷ καταλαβεῖν τὰ πεπραγμένα τῇ Κορωνίδι. παράλογον γὰρ, τὸν ἄλλοις μαντευόμενον, αὐτὸν μὴ συμβαλεῖν τὰ κατ' αὐτοῦ δρώμενα. χαίρειν οὖν φράσας τῷ τοιούτῳ μύθῳ τέλεον ὄντι ληρώδει, αὐτόν φησι τὸν Ἀπόλλωνα παρὰ τοῦ νοῦ πυθόμενον, ἐπιπέμψαι τῇ Κορωνίδι τὴν Ἄρτεμιν. τὸν δὲ περὶ τὸν κόρακα μῦθον, φασὶ καὶ Ἡσίοδον μνημονεύοντα λέγειν οὕτω. Τῷ μὲν ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτὸς, Πυθὼ ἐς ἠγαθέην. καί ῥ' ἔφρασεν ἔργ' ἀΐδηλα Φοίβῳ Ἀκερσεκόμῃ, ὅττι Ἴσχυς γῆμε Κορωνὶν Εἰλατίδης, Φλεγύαο Διογνήταο θύγατρα. [Γνώμαν.] τὴν πρόγνωσιν φησὶ, τὴν περὶ τὴν Κορωνίδα. τὸ δὲ πιπιθὼν, ἀντὶ τοῦ πεισθεὶς ὑπὸ τοῦ κοινοῦ αὐτοῦ νοῦ. τούτῳ γὰρ ἀνακοινοῦται καὶ συνδιακρίνει τὰ ὄντα πάντα.

[Ψευδέων

Ψευδέων δ' οὐχ ἅπτεται· κλέπτει τέ μιν
Οὐ θεός, οὐ βροτός, ἔργοις οὔτε βουλαῖς.

ἀντιστροφὴ β'. κῶλον ιγ'.

Καὶ τότε γνοὺς Ἴσχυος Εἰλατίδα
Ξενίαν κοίταν, ἄθεμίν τε δόλον,
Πέμψεν κασιγνήταν μένει
Θύοισαν ἀμαιμακέτῳ,
Ες Λακέρειαν. Επεὶ
Παρὰ Βοιβιάδος
Κρημνοῖσιν ᾤκει παρθένος.
Δαίμων δ' ἕτερος,
Ες κακὸν τρέψαις ἐδαμά-
σατό νιν. Καὶ γειτόνων
Πολλοὶ ἐπαῦρον. Αμᾶ
Δ' ἔφθαρεν, πολλὰν τ' ὄρει πῦρ ἐξ ἑνὸς
Σπέρματος ἐνθορὸν ἀΐστωσεν ὕλαν.

Nam mendaciis non tangitur: fallitque eum
Nec Deus, nec homo, *nec* factis nec consiliis.

Μεταφρ.

Itaque & tunc sentiens Ischyis Elatidæ
Peregrinum concubitum, nefariumque dolum,
Misit Sororem *Dianam* animi-ardore
Furentem impetuoso,
In Laceream. Nam
Ad Bœbiadis
Ripas habitabat virgo.
Dæmon vero alter *malus scilicet*,
Ad malum qui-impulerat, perdi-
dit eam. Et vicinorum
Multi participes-fuerunt. Nam simul
Perdidit, multamque *in* monte ignis ex uno
Semine insiliens vastavit silvam.

PARAPHRASIS.

Neque enim mendaciis unquam fallit, nec vicissim fallitur, quem neque Deus, neque homo factis apertis, consiliisve occultis decipit. Cum igitur omnia sciendi facultate cognovisset Ischyem Elati filium ex peregrina regione advenam, nefario & doloso concubitu prægnantem suo semine Coronidem constuprasse: Dianam sororem indomito animi furore ardentem in Laceriam misit, ubi prope lacum Bœbiadem habitabat puella, ut ibi pestem excitaret: & ipse Ischyem adulterum occidit. Dæmon autem ille malus à quo Coronis ad scelus impulsa fuerat, ipsam ad exitium comparavit, eidemque exitio multos vicinos implicavit, multos simul immissa peste perdens: quæ ut scintilla exigua magnum ignem paulatim excitans multam sylvam comburit: sic ab uno in alios sensim sine sensu grassans magnam stragem edit.

NOTÆ.

56 Αθεμιν δόλον] Vide Ovid. Metam. lib. 2. 61 Ωκει] Atque ita non apud parentes. Forte extra ædes paternas paritura, & onus quod χρύσδαν πατρὸς susceperat, pari ratione inter peregrinos depositura. Schmid. Παρθένος] Sic Hercules apud Sophocl. Trachin. Deianiram jamdiu matrem, παρθένον vocat. Et Virgil 6. Eclog. Pasiphaën jam matrem, *Virginem infelicem* nominat. Nisi malis, quod habitaverit ibi sub æstimatione Virginis. 62 Δαίμων ἕτερος] Malus Genius. Bonum vero Callimachus hymno 6. vocat δαίμονα δεξιόν. Malum Poëta hic ἕτερον, Homer. Odyss. E. Στυγερόν, & Od. K. Κακόν. 64 Γειτόνων] Hinc patet esse pestem, quam immisit Diana, jussu Apollinis. 65 Επαῦρον] Aor. 2. neglecto augmento τοῦ ἐπαυρίω, vel. Dor. pro ἐπηῦρον. Eustath. ἐπαυρεῖν, γεύσασθαι καὶ ἁπλῶς ἅψασθαι· ἐπαυρεῖν λίθου, προσκροῦσαι λίθῳ. 66 Πολλὰν δ' ἐν ὄρει leg Pal. C. & Aug. In monte, Versio votis. 67 Ενθορὸν] Prosiliens, versio vulg. Αΐστωσεν] i. e. Perdidit obliteravit, ab ἄϊστον ποιῶ, ut incertum sit ubi antea fuerit. Dor. est vero pro ἠΐστωσεν unde α producitur; Non vero Ionicum augmento abjecto.

[Ψευδέων δ' οὐχ ἅπτεται.] ὁ τοῦ Απόλλωνός φησι νοῦς, οὐδέποτε ψευδῶν λόγων ἐφάπτεται. [Κλέπτει τέ μιν.] τὸν νοῦν φησι τοῦ Απόλλωνος, ὃν οὐδεὶς παραλογίζεται, οὔτε θεὸς οὔτε ἄνθρωπος, οὔτε ἔργοις, οὔτε βουλαῖς. οὐκ ἄρα ὁ κόραξ εἶπεν, ἀλλ' ὁ νοῦς καθὸ μαντικὸς καὶ ἀπαραλόγιστος. [Καὶ τότε γνοὺς Ἴσχυος.] τότε φησὶ μαθὼν ὁ Απόλλων τοῦ Ἴσχυος τοῦ Ελάτου παιδὸς τὴν ξένην κοίτην, καὶ τὴν ἄδικον κακουργίαν, ἢ ξενίαν κοίτην, τὴν μετὰ φιλίας γενομένην, ἢ τὴν λαθραίαν ὑπὸ τοῦ ξένου· ἔπεμψε τὴν ἀδελφὴν Αρτεμιν τῇ ἀκαταμαχήτῳ δυνάμει ὁρμῶσαν, εἰς τὴν Λακέρειαν, ἡ δὲ Λακέρεια πόλις Θεσσαλίας. [Επεὶ παρὰ Βοιβιάδος.] ἐπεὶ ἡ παρθένος Κορωνὶς, ᾤκει παρὰ ταῖς ὄχθαις τῆς Βοιβιάδος λίμνης. ἡ δὲ Βοιβιὰς, λίμνη παρακειμένη τῇ Λακερείᾳ. ὅτι δὲ ἡ Κορωνὶς ἐν Λακερείᾳ ᾤκει πρὸς ταῖς πηγαῖς τοῦ Αμύρου, Φερεκύδης ἐν πρώτῃ ἱστορεῖ. ἔνθα καὶ περὶ τοῦ κόρακος διηγεῖται, καὶ ὅτι Αρτεμιν ἔπεμψεν ὁ Απόλλων, ἣ πολλὰς ἅμα γυναῖκας ἀπέκτεινε, καὶ ὡς τὸν Ἴσχυν Απόλλων κτείνει, τὸν δὲ Ασκληπιὸν δίδωσι Χείρωνι. ἡ δὲ Βοιβιὰς, καὶ Κορωνὶς, ἡ κατ' ἐνίους Νεσωνὶς ἐλέγετο. ὥσπερ Αρχῖνος ἐν Θεσσαλικοῖς φησιν. ἡ δὲ Βοιβιὰς ἐκλήθη ἀπὸ μιᾶς τῶν νυμφῶν Βοιβιάδος. [Δαίμων δ' ἕτερος.] ὁ κακοποιὸς, ὡς πρὸς τὸν ἀγαθοποιόν. ὁ δὲ νοῦς, ὁ δὲ κακοποιὸς δαίμων εἰς τὴν μοιχείας κακουργίαν τρέψας τὴν Κορωνίδα, καὶ ἀναιρεθῆναι αὐτὴν κατεσκεύασε. [Καὶ γειτόνων πολλοί.] καὶ τῶν γειτόνων φησὶ πολλοὶ ἀπήλαυσαν τοῦ κακοῦ τοῦ περὶ τὴν Κορωνίδα. λοιμὸς γὰρ ἐγένετο. αἴτιοι δὲ τοῦ λοιμοῦ, Απόλλων καὶ Αρτεμις. λοιμοῦ οὖν γενομένου, συναπήλαυσαν καὶ οἱ μηδὲν αἴτιοι. Ησίοδος. Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα. Καλλίμαχος δέ φησιν, οὐ πάντες, ἀλλ' οὓς ἔχεν ἕτερος δαίμων. [Αμᾶ δ' ἔφθαρε.] τὸ ἅμα ὡς Ηρωδιανός φησιν ἐν τῇ ιθ'. οἱ Δωριεῖς περισπῶσι, καὶ τὸ παντᾶ, ὥσπερ τὸ κρυφᾶ παρὰ Πινδάρῳ. τοιοῦτον δέ ἐστι καὶ τὸ ἀμᾶ περισπώμενον, ἀπὸ τοῦ ἀμὴ γινόμενον. (ζητεῖται) δὲ ἐν τῷ περισπωμένῳ ἀμᾶ, εἰ προσεθήσεται τὸ ι. [Πολλὰν τ' ὄρει.] λείπει τὸ, ὡς καὶ περιπλέκει ὅ,τι. ἔστι γάρ, ὥσπερ δὲ πῦρ ἐμπεσὸν ὄρει πολλὴν ὕλην φθείρει, οὕτω τὸ ἁμάρτημα τῆς Κορωνίδος, πολλοὺς ἔφθειρεν. [Αλλως.] ὥσπερ γὰρ εἴ τις εἰς ὕλην πολλὴν σπινθῆρα βάλοι, οὐ μόνον ἐκεῖνο τὸ μέρος εἰς ὃ βέβληται κατακαίεται, ἀλλὰ καὶ πᾶσα ἡ ὕλη συγκατακαίεται, οὕτω θανάτου βληθέντος εἰς τὴν Κορωνίδα ὑπὸ Αρτέμιδος, καὶ λοιμικοῦ πάθους ἐνσκήψαντος, πολλοὶ τῶν γειτόνων ἀπώλοντο. καὶ Ευελπίδης. Μικροῦ γὰρ ἐκ λαμπτῆρος Ιδαῖον σέλας προσθεὶς ἂν τις.

[Αλλ'

ἐπῳδὸς β΄. κώλων ιε΄.	Μεταφρ.
Ἀλλ᾽ ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ	At postquam strue collocarunt in lignea
Σύγγονοι κούραν, σέλας δ᾽ ἀμφέδραμε	Cognati puellam, fulgorque circumcurrit
Λάβρον Ἀφαίστου, τότ᾽ εἶ-	Creber Vulcani, tunc di-
πεν Ἀπόλλων, οὐκ ἔτι	xit Apollo: Nondum
Τλάσομαι ψυχᾷ γένος ἀμὸν ὀλέσαι	Sustinebo animo genus meum perdere
Οἰκτροτάτῳ θανάτῳ,	Miserandissima morte,
Ματρὸς βαρείᾳ σὺν πάθᾳ.	Matris gravi cum calamitate.
Ὣς φάτο. Βάματι δ᾽ ἐν	Sic dixit. Gressuque in
Πρώτῳ, κιχὼν παῖδ᾽, ἐκ νεκροῦ	Primo, complexus puerum, ex cadavere
Ἅρπασε. Καιομένα	Eripuit. Ardens
Δ᾽ αὐτῷ διέφαινε πυρά.	Autem ipsi divisa-apparuit pyra.
Καί ῥά μιν Μάγνητι φέρων	Et sane eum Magnesio afferens
Πόρε Κενταύρῳ, διδάξαι	Tradidit Centauro, ut-doceret *eum*
Πολυπήμονας ἀν-	Multinocuos homi-
θρώποισιν ἰᾶσθαι νόσους.	nibus sanare morbos.

στροφὴ γ΄. κώλων ιγ΄.	Μεταφρ.
Τοὺς μὲν ὦν, ὅσσοι μόλον, αὐτοφύτων	Eos igitur, quotquot venere, sponte-enatorum
Ἑλκέων ξυνάονες, ἢ πολιῷ	Ulcerum participes, aut fulgido
Χαλκῷ μέλη τετρωμένοι,	Ære membra vulnerati,

PARAPHRASIS.

Postquam autem extincta fuit Coronis, eam in rogo muri instar constructo cognati cremandam posuerant. Quam cum accensam, ejusque flammis vehementibus puellæ cadaver obsessum vidisset Apollo: paterna commiseratione permotus animum continere non potuit quin ita loqueretur. Non sustinebo ut mea proles miserrima morte pereat, & maternæ calamitatis consors fiat. Tum ita locutus, uno passu ex Pythone in Laceriam repente transiit, & infantem ex cadaveris utero eripuit inter flammas pyræ, quæ Deo venienti divisa viam fecit. Itaque ereptum incendio filium Chironi Centauro Magnesio attulit educandum, artemque medicam docendum, qua morbos curaret, qui hominum generi multa mala inferunt. Quare ab ipso doctus, omnes qui ipsum adirent, aut ulceribus interna causa ortis conflictantes, aut vulneribus,

NOTÆ.

70 Ἀπέστου leg MS. γ. 72 Ὀλέσθαι leg. Schmid. Nos retinuimus Codd. omnium lectionem. Non animum inducere potuit, ad perdendam charam Sobolem. Ita vero verbo τλάω vel τλῆμι utuntur Græci, quod docebunt Lexica. 75 Βάματι δ᾽ ἐν πρώτῳ] i. e. uno saltu. 78 Διέχαινε leg. Schmid. forsan innixus interpret. Schol. διεσχίσθη. Nos retinemus lectionem omnium Codd. Διέφαινε vero est Elucebat, & Neutraliter accipitur Plutarcho in Pompeio. 80 Πόρεν leg. Alii. 84 Ξυνάονες à ξυνὸς, communis, Hesiod. Κακῶν ξυνήονες ἔργων. MS.C. 71. ξυνάορει. 85 Χαλκῷ] Homer. Il. Ψ. Πολιόν τε σίδηρον. Arma ex ære antiquitus fiebant, ut passim ex Homero liquet.

[Ἀλλ᾽ ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ.] τῇ πυρκαϊᾷ δηλονότι, ἐφ᾽ ἧς ἐτέθη τὸ σῶμα τῆς Κορωνίδος εἰς ἀφανισμόν. [Σέλας δ᾽ ἀμφέδραμεν·] ἤγουν, καὶ ἐπεὶ ἐξήφθη ἡ πυρά, εἶπεν ὁ Ἀπόλλων, οὐκέτι ὑπομένω τὸ ἐμὸν σπέρμα ἰδεῖν συναπολλύμενον τῇ Κορωνίδι. [Βάματι δ᾽ ἐν πρώτῳ.] ἐὰν μὲν γράφηται ἐν πρώτῳ, ὡς νῦν γέγραπται, ἔσται ἐν ἑνὶ βήματι ὁ Ἀπόλλων ἀπὸ τῆς Πυθῶνος ἐληλυθὼς εἰς τὴν Θεσσαλίαν. ἐὰν δὲ ὡς ἔν τισι, βάματι δ᾽ ἐν τριτάτῳ, ἔσται παραφράζων τὸ, τρὶς μὲν ὀρέξατ᾽ ἰὼν ὁ Ἀπόλλων. ἔστι δὲ σεμνότερον, καὶ μᾶλλον πρέπον τῷ θεῷ, τὸ ἅμα, τῷ πρώτῳ βήματι ῥύσασθαι τὸν παῖδα. ἔστι δὲ καὶ πρὸς τὴν ἀντίστροφον, σύμφωνον. ὁ μέν τοι Ἀρίσταρχος γράφει τριτάτῳ. [Διέφαινε πυρά.] οὐ λέγει ὅτι διαφανὴς ἐγένετο καὶ λαμπρά, ἀλλ᾽ ὅτι ἡ φύσις τοῦ πυρὸς, οἷον διεσχίσθη, καὶ διάσημα τοῦ πυρὸς ἐγένετο, ἕως ἂν ὅτου ὁ Ἀπόλλων ἀνείλετο τὸν παῖδα. [Καί ῥά μιν.] καὶ δὴ τὸν ἑαυτοῦ παῖδα ἐνεχείρισεν ὁ Ἀπόλλων, τῷ Κενταύρῳ τῷ Θεσσαλῷ, ἀναδιδάσκειν τὰς πολλῶν πημάτων αἰτίας, καὶ τοῖς ἀνθρώποις νόσους θεραπεύειν. [Τοὺς μὲν ὦν.] τούτους μὲν, ὅσοι παρεγένοντο αὐτοφύτων ἑλκῶν κοινωνοί, ταῦτα γὰρ αὐτόφυτα ἕλκη, ὡς ἂν οὐχ ὑπ᾽ ἄλλων ἐπακτὰ ὄντα, ἀλλ᾽ αὐτόματα γινόμενα. ἢ τῷ πολιῷ λαμπρῷ σιδήρῳ τὰ μέλη τετρωμένοι, ἢ χερροπληθεῖ λίθῳ μακρόθεν βεβλημένοι. ἀπὸ κοινοῦ δὲ τὸ τὰ μέλη τετρωμένοι· ἢ τῷ θερμαντικῷ πυρὶ πορθούμενοι καὶ κατακαιόμενοι τὸ σῶμα, ἢ φρίκῃ, ἢ ῥίγει, ἤτοι ῥιγοπυρέτῳ, ἀπολύσας ἄλλον ἀλλοίων λυπῶν καὶ θλίψεων, ἐξήγαγεν ὁ δεῖνα τῶν νόσων.

[Τοὺς

Η χερμάδι τηλεβόλῳ,	Aut ſaxo eminus-jacto,
Η θερινῷ πυρὶ περ-	Aut æſtivo calore depo-
θόμενοι δέμας, ἢ	pulati corpus, aut
Χειμῶνι· λύσαις ἄλλον ἀλ-	Frigore-hyberno: liberans alium *ex* ali-
λοίων ἀχέων	is doloribus
Εξᾶγεν· τοὺς μὲν μαλακαῖς	Eduxit: alios quidem mollibus
Επαοιδαῖς ἀμφέπων,	Incantationibus curans,
Τοὺς δὲ προσανέα πί-	Alios vero convenientia biben-
νοντας, ἢ γυίοις περάπτων πάντοθεν	tes, aut membris circum-nectens undique
Φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς.	Pharmaca, aliosque ſectionibus, reſtituit ſanos.

ἀντιστροφὴ γ'. κώλων ιγ'.	Metaph.
Αλλὰ κέρδει καὶ σοφία δέδεται.	Verum lucro etiam Sapientia irretiri-ſolet,
Ετρεπεν κἀκεῖνον ἀγάνορι μι-	Pervertit *enim* & illum ingenti mer-
σθῷ χρυσὸς ἐν χερσὶν φανεὶς,	cede aurum in manibus apparens,
Ανδρ' ἐκ θανάτου κομίσαι,	Virum è morte ut-reduceret,
Ηδη ἁλωκότα. Χερ-	Jam captum *i. e. mortuum*. Mani-
σὶ δ' ἄρα Κρονίων	bus igitur Saturnius *fulmen*
Ρίψαις δι' ἀμφοῖν, ἀμπνοὰν	Jaculatus per utrumque, reſpirationem
Στέρνων καθέλεν	Pectorum abſtulit
Ωκέως· αἴθων δὲ κεραυ-	Celeriter: ardenſque ful-

Paraphrasis.

ſive ferro, ſive lapide eminus miſſo, ſive alia externa cauſa inflictis ſauciati: vel qui ardenti febre conſumerentur, vel qui algida laborarent, ſanavit: imo alios aliis doloribus liberavit: ad eos demulcendos, nunc blandis incantamentis, magiciſque verbis utens, nunc mitigantia pharmaca bibenda propinans, nunc medicamenta membris undique admovens, nunc decumbentes & languentes chirurgicis ſectionibus levatos erigens. Sed hac facultate morbos curandi non contentus, mortuos etiam in vitam revocare tentavit, ad id muneribus illectus, quibus etiam viri ſapientes irretiuntur. Ut enim oblatam auri mercedem in manibus vidit fulgentem, ejus vi ſtatim impulſus eſt, ut virum vita jam defunctum morti eriperet. Quo auſo irritatus exarſit Jupiter, manibuſque fulmen jaculatus

Notæ.

91 Εξᾶγεν] Pro ἐξῆγεν, vel ἐξάγαγεν. 94 Περάπτων metri gratia pro περιάπτων quod Alii hab. 97 Ετρεπε Alii. Ex MSS. ν add. Αγάνορι μισθῷ] i. e. Mercede generoſis viris digna. 99 Κομίσαι Editt. vulg. Sonat vero Repetere. Alias habemus Εκῖνον κομίζοντες, & Ψυχὰν κομίξαι ab inferis ſcil. 100 Editt. vulg. ἁλωκότα. Mortuus inducitur tanquam Captivus, quem liberat Æſculapius ab ejus vinculis. MSS. noſtra & Editt. vulg. confundunt hoc κῶλον cum ſequente. 102 Ρίψαις commune Ald. & Pal. C. & Aug. Reticet κεραυνὸν, quia facile ſubintelligitur, utque vividiorem imaginem velocitatis referant hæc verba. Αμπνοὰν leg. Clemens Alexand. in προτρεπτ. 103 Καθέλεν leg. Codd. vulg. & MS. C. 71.

[Τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς.] καὶ τοὺς μὲν, προσηνέσιν ᾠδαῖς θεραπεύων, τοὺς δὲ, προσηνῆ φάρμακα πίνοντας, ἢ τοῖς μέλεσιν αὐτῶν περιάπτων τινὰ εἰς θεραπείαν. τοὺς δὲ, τομαῖς καὶ χειρουργίαις ταῖς διὰ σιδήρου, ἀνέστησεν ὀρθοὺς, καὶ ὑγιεῖς ἀπέδειξεν. ὅτι δὲ ἀρχαία ἦν καὶ ἡ δι' ἐπῳδῆς ἰατρικὴ, καὶ οὐ μόνον ἡ διὰ φαρμάκων καὶ διαίτης, φησὶ καὶ Ομηρος. Επαοιδῇ δ' αἷμα κελαινὸν Εσχεθεν. [Αλλὰ κέρδει.] ἀλλὰ καὶ ἡ σοφία φησὶ, κέρδει δέδεται καὶ ἥττηται. μετέστρεψε γάρ φησι καὶ τὸν θεὸν τὸν Ασκληπιὸν, τῷ πλείονι μισθῷ, ὁ χρυσὸς ἐν ταῖς χερσὶ φανείς. ὥστε ἄνδρα ἐκ τοῦ θανάτου ἀναγαγεῖν, ἤδη τῷ μοιριδίῳ ληφθέντα. λέγεται δὲ ὁ Ασκληπιὸς χρυσῷ δελεασθεὶς, ἀναστῆσαι Ιππόλυτον τεθνηκότα· οἱ δὲ, Τυνδάρεων· ἕτεροι, Καπανέα· οἱ δὲ, Γλαῦκον· οἱ δὲ ὀρφικοὶ, Υμέναιον. Στησίχορος δὲ, ἐπὶ Καπανεῖ καὶ Λυκούργῳ. οἱ δὲ διὰ τὸ τὰς Προιτίδας ἰάσασθαι, οἱ δὲ, διὰ τὸν Ωρίωνα. Φίλαρχος, ὅτι τοὺς Φινείδας ἰάσατο. Φερεκύδης δὲ, ὅτι τοὺς ἐν Δελφοῖς θνήσκοντας ἀναβιοῦν ἐποίει. [Χερσὶ δ' ἄρα Κρονίων.] προσυπακουστέον δὲ τὸ ῥίψαις, τὸν κεραυνόν. τοῦτόν φησι ῥίψας δι' ἀμφοτέρων, τοῦ τε Ασκληπιοῦ, καὶ τοῦ ἀναστάντος ἀπὸ τοῦ θανάτου, ἀνεῖλεν αὐτούς. [Ρίψαις δι' ἀμφοῖν.] οὕτω πρόθυμος ἐγένετο ὁ Ζεὺς, ὥστε ἐνσκῆψαι βέλος διαμπὰξ, δι' ἀμφοτέρων τῶν μαστῶν, ἢ τῶν πλευρῶν, δι' αὐτοῦ τε τοῦ Ασκληπιοῦ, καὶ τοῦ ἰατρευθέντος. ὥστε καὶ τὸν Ασκληπιὸν ἀναιρεῖσθαι καὶ τὸν ἀναβεβιωκότα. ὁ δὲ Κράτης, τὸν Ασκληπιόν φησι, καὶ τὸν διδάξαντα αὐτὸν Χείρωνα. οὐδεὶς δὲ τούτῳ μαρτυρεῖ.

[Χρὴ

νὸς ἐνέσκηψε μόρον.
Χρὴ τὰ ἐοικότα παρ
Δαιμόνων μαστευέμεν θναταῖς φρεσὶ,
Γνόντα τὸ πὰρ ποδὸς, οἵας εἰμὲν αἴσας.

men inflixit mortem.
Oportet convenientia è
Diis quærere mortalibus mentibus,
Scientem quod ante pedes, qualis ſimus ſortis.

ἐπῳδὸς γ'. κώλων ιε'.

Μὴ φίλα ψυχὰ βίον ἀθάνατον
Σπεῦδε. Τὰν δ' ἔμπρακτον ἄντλει μαχανάν.
Εἰ δὲ σώφρων ἄντρον ἔναιε
Ετι Χείρων, καί τί οἱ
Φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι
Αμέτεροι τίθεν· ἰ-
ατῆρά τοί κέν μιν πίθον,
Καί νυν ἐσλοῖσι παρα-
σχεῖν ἀνδράσι θερμᾶν νόσων,
Η τινα Λατοΐδα
Κεκλημένον, ἢ πατέρος.

Μ ε τ α φ ρ.

Ne anime mi vitam immortalem
Affecta. Sed poſſibilem exerce artem.
Si vero prudens antrum *ſuum* inhabitaret
Adhuc Chiron, & aliquod ei
Incitamentum in animo dulciloqui hymni
Noſtri ponerent: Medicum, utique ipſi perſuaderem,
Ut & nunc *aut ſeipſum* bonis præberet viris calidorum morborum,
Aut aliquem Latoidæ
Dictum, aut Patris *ejus*, *i. e. Jovis*, *filium*:

P a r a p h r a s i s.

utriuſque nimirum Æſculapii, ejuſque quem reſuſcitaverat Hippolyti pectora tranſverberavit, & ſublata reſpiratione extinxit. Qua ex temeritatis pœna hoc diſcendum, oportere ut mortales mortalia ſapiant, & quæ ſuo captui conveniunt, à Diis petant, cognoſcendo ſe ipſos & perſpiciendo quæ ſit humanæ vitæ ſors & conditio. Itaque hoc obſervato anime mi, ne quaſi vitam vivas immortalem, res homini non poſſibiles moliaris, ſed eas aggredere quas homo cum ſis, perficere poſſis. Quod ſi, inquam, ut eſt in votis, etiamnum viveret prudens ille Chiron Philyræ filius, Pelioque in antro habitaret, meique hymni quorum mellea eſt modulatio, tanquam potentes illecebræ ad meorum votorum finem pellicere poſſent, ipſum utique perſuaſionibus adduxiſſem, ut ſe viris præclaris vehementium morborum medicum præberet, vel ſuo loco aliquem ex Apollinea ſtirpe & arte, utpote Æſculapium, aut Jovis filium, nempe Apollinem, qui id præſtaret.

N O T Æ.

105 Ἐνέσκηψε μόρον] Interpr. vetus vertit. Irruens immiſit mortem. Σκήπτω non ſolum ſignif. Nitor, ſed & Active ſonat, Immitto cum impetu, ut apud Euripid. in Medea Θεοὶ ἐνέσκηψαν ἀλάστορα, i. e. Dii Furiam immiſerunt. Deducit Euſtath. σκήπτω à σκηρίπτω per Syncopen. Σκηρίπτω vero apud Homer. non leg. alio ſenſu, quam neutrali. Si vero hoc verbum à ῥίπτω derives, jam habes, quomodo σκήπτω hunc ſignificatum adoptavit. Utuntur vero Herodotus & Alii hac locutione, licet vel cum Dativo perſonæ, vel cum Præpoſitione εἰς. Supple igitur αὐτοῖς vel εἰς αὐτοὺς· ni malles ἀπὸ κοινοῦ repetere ἀμφοῖν. 108 Γνόντας leg. Alii. Schmid. vero mutavit ex Cod. Aug. 110 Σπεῦδε] Poteſt intell. Noli contra fata immortalem aut redivivum precari Chironem, ex Schmidii ſententia. Redit ſane ad Chironem poſt hæc verba. Forſan idem hic, quod Ol. 5. ult. κωλ. effert Μὴ ματεύσῃ Θεὸς γενέσθαι. Ἄντλει] Metaphora ſumpta ab antliis, quæ machinæ utiliſſimæ navibus. Schmid. exponit exhauri, & penitus ediſce. 111 Εἰ δὲ] Lonicer. reddidit, Utinam. Ἔναιεν leg. Alii. MS. C. 71. partitur vocem ἔναιεν, cujus poſtrema Syllaba ἐν inchoat proximum κῶλον. 112 Ἔτι] Nondum ſcil. mortuus, ſi novam correctionem eſſe voti cum Schmidio cenſendum ſit. Τί οἱ] Hunc locum Interrogative accipit Lonicerus, Quantum illi dulces hymni noſtri voluptatis præberent? 113 Φίλτρον eſt quicquid affectum amicum conciliat, ut nobis illi auſcultent, quos volumus. 114 Τίθεν pro ἐτίθησαν imperfect. Act. Dor. & Bœotic. 115 Τοί κεν] Lonicer. reddidit, Atqui, novam ſententiam inchoans. 117 Θερμᾶν νόσων] Benedictus exiſtimat, hoc intelligi. Feroces, præcipites morbos, vel vehementes.

[Χρὴ τὰ ἐοικότα.] πρέπει τὰ ἀρέσκοντα τοῖς θεοῖς, καὶ τὰ πρέποντα, ἢ τὰ ἁρμόζοντα τοῖς ἀνθρώποις, ἐκεῖνα παρὰ θεῶν αἰτεῖν, γινώσκοντας τὰς παρὰ πόδας ὁποίας ἔχομεν μοίρας. οἷον τὸ ἐνεστὼς, τὰ καθεστῶτα, οἵαν μοῖραν εἰλήχαμεν. ὅμοιον τῷ Χίλωνος ἀποφθέγματι, τῷ, Γνῶθι σαυτόν. τὸ δὲ ὅλον, ὅτι θνητοὶ πεφύκαμεν. [Μὴ φίλα ψυχά.] ὁ λόγος πρὸς ἑαυτόν. μηδαμῶς δὲ ὦ προσφιλεστάτη ψυχὴ θνητὴ τυγχάνουσα, ἐπ' ἀθάνατον σπεῦδε βίον. ἀλλὰ μᾶλλον ἐπιζήτει μηχανὴν, ἣν καὶ καταπράξασθαι δύνασαι. οἷον τοιούτοις ἐπιχείρει, ἃ δύναται πραχθῆναι. τοῦτο γὰρ σημαίνει τὸ ἔμπρακτον. ἣν δέον ἐστὶ πράξειν ἀνύειν, ταύτην διαπράττου. πρὸς δὲ τὸ ἄντλει, καὶ τὴν μηχανὴν ἐπήγαγεν. [Εἰ δὲ σώφρων ἄντρον.] ἀνέδραμε πάλιν ἐπὶ τὴν ἀρχὴν τοῦ ἐπινίκου. τοῦτο γὰρ ἐκείνῳ προσταπλέον. ἤθελον Χείρωνά κε Φιλλυρίδαν. καὶ μετὰ τὴν διάνοιαν ἐκείνην, τὴν εὐχικὴν εἰκότως προσάπτομεν. [Αλλως.] ἐπανέλαβε τὰ ἐν ἀρχῇ ῥηθέντα. ἤθελον Χείρωνά κε Φιλλυρίδαν. ἐπεὶ πολλὰ ἐστὶ τὰ διὰ μέσου ῥηθέντα, εἰ οὖν ὁ σώφρων Χείρων ἐκεῖνος ἄντρον ἔναιεν ἔτι, καί τι αὐτῷ φίλτρον καὶ ἡδονὴν ἐν τῇ ψυχῇ ἐποίουν οἱ ἐμοὶ ὕμνοι, ἐκήλησα ἂν αὐτὸν ἰατρὸν ὄντα, παρασχεῖν τῷ Ἱέρωνι τῶν καυστικῶν νόσων ἀπόλυσίν τινα. διάπυροι γὰρ αἱ νόσοι. τοῦτο δέ φησιν, ἢ ὅτι ἐπύρεττεν ὁ Ἱέρων ὥς ἔνιοι τῶν ἱστορικῶν ἠβουλήθησαν, ἢ ὅτι ἐποδαλγία. τὸ δὲ νόσημα τοῦτο, τῶν διαπύρων φασίν· οἱ δὲ, τὴν λιθουρίαν ἀποδεδώκασιν. ὁ νοῦς, οὕτως. εἰ δὲ ὁ σώφρων καὶ ὁ συνετώτατος, κατὰ τὸ Πήλιον ἔτι ᾤκει ἄντρον Χείρων, καί τι αὐτῷ φίλτρον καὶ ἡδονὴν οἱ ἐμοὶ ἡδύφωνοι ὕμνοι ἐτίθεσαν, ἰατρὸν ἂν αὐτὸν καὶ ἐπὶ τοῦ παρόντος τοῖς ἀγαθοῖς ἀνδράσιν ἔπεισα παρασχεῖν. [Η τινα Λατοΐδα.] μητρωνυμικὸν τοῦ Ἀπόλλωνος, φησὶ δὲ τὸν Ἀσκληπιόν. [Αλλως.] ἤ τινα τοῦ τῆς Λητοῦς παιδὸς Ἀπόλλωνος, ἀπόγονον, κεκλημένον, ἢ καὶ υἱὸν αὐτοῦ. ἀπὸ κοινοῦ δὲ τὸ κεκλημένον. ἢ πατέρος, ἤγουν, τοῦ Διός. παρὰ τὸ Ὁμηρικὸν, Πατὴρ ἀνδρῶν τε θεῶν τε. ἢ πατέρος υἱὸν, τὸν Ἀπόλλωνα.

[Ιονίαν

Καί κεν ἐν ναυσὶ μόλον, Ι-	Et ſane in navibus proficiſcerer,
ονίαν τέμνων θάλασσαν,	Ionium ſulcans mare,
Ἀρέθουσαν ἐπὶ	Arethuſam apud
Κράναν, παρ' Αἰτναῖον ξένον,	Fontem, ad Ætnæum hoſpitem,
στροφὴ δ'. κώλων ιγ'.	Μεταφρ.
Ὃς Συρακόσσαισι νέμει, βασιλεὺς	Qui Syracuſas gubernat, Rex
Πραῢς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς,	Clemens civibus, non invidens bonis,
Ξείνοις δὲ θαυμαστὸς πατήρ.	Hoſpitibus autem admirandus pater.
Τῷ μὲν διδύμας χάριτας,	Cui quidem geminam gratiam,
Εἰ κατέβαν, ὑγίει-	Si deſcendiſſem, & ſanita-
αν ἄγων χρυσέαν,	tem afferens auream,
Κῶμόν τ' ἀέθλων Πυθίων,	Celebrationemque certaminum Pythiorum,
Αἴγλαν στεφάνοις,	Quæ-eſſet-ſplendor coronis,
Τοὺς ἀριστεύων Φερένι-	Quas vincens Phereni-
κος ἕλε Κίρρᾳ ποτὲ·	cus *equus* accepit Cirrhæ aliquando :
Ἀστέρος οὐρανίου,	Stella cœleſti,
Φαμὶ, τηλαυγέστερον κείνῳ φάος	Opinor, ſplendidius illi lumen
Ἐξικόμαν κε, βαθὺν πόντον περάσαις.	Venirem utique profundo mari trajecto.

PARAPHRASIS.

Tum certe Ionio mari me in navibus committens, in Siciliam, ubi eſt fons Arethuſa, contendiſſem ad amicum meum Hieronem urbis Ætnæ conditorem, Qui Syracuſis regiam habet, rex civibus ſuis benignus, erga bonos candidus, erga peregrinos hoſpites paterna benevolentia ſuſpiciendus. Ad quem ſi venire potuiſſem geminum hoc beneficium afferens, pretioſam nimirum ſanitatem, ejuſque victoriæ in Pythiis certaminibus partæ laudatorem hymnum, quo ſplendidæ redduntur coronæ, quas re omnium optime geſta, quondam in Locrorum oppido Cirrha, Delphorum Pythoniſque vicina, Pherenicus eſt meritus, ſane trajecto mari immenſo, Sole ſplendidiſſimo gratior ipſi affulſiſſem, & adveniſſem.

NOTÆ.

122 Huic κώλῳ annumerant vocem κράναν Editt. vulgatæ. Sed Schmid. & MS. γ. rejiciunt in initium proximi. 123 Ξένον] Intell. Active, qui hoſpitio excipit. 124 Συρακόσσαισι. leg. Alii. 128 Καταβαίνω eſt abſoluta navigatione è navi egredi. 131 Αἴγλαν] Lonicerus refert ad ἀέθλων, redditque. Qua certamina ſuum per coronas ſplendorem habent. 133 Κίρρα eſt navale Delphorum cum oppido, diſtans à Delphis ſtadiis 60. Inter hanc & Delphos campus interjectus Apollini ſacer, & certaminibus Pythiis dicatus erat, Pauſan. lib. 10. 136 Περάσας commune leg. MS. C 71.

[Ιονίαν τέμνων.] Ἰόνιον πέλαγος τὸ περὶ Σικελίαν, τὸ περὶ τὸ Ἀδριατικὸν πέλαγος. ὡς καὶ Θουκυδίδης. Ἐπίδαμνός ἐστι πόλις, ἐν δεξιᾷ εἰσπλέοντι τὸν Ἰόνιον πόντον. περίκειται δὲ καὶ ἡ Σικελία. ἀπὸ τῶν γειτνιόντων οὖν τὴν νῆσον ἐδήλωσεν. [Ἄλλως.] τὸ Ἰόνιον πέλαγος τὸ περὶ Σικελίαν, τὸ ὄνομα ἔλαβεν ὡς μὲν ἔνιοι, ἀπὸ Ἰοῦς. Θεόπομπος δὲ, ἀπὸ Ἰονίου ἀνδρὸς Ἰλλυριοῦ. Ἀρχίδαμος δὲ, ἀπὸ τῶν ἀπολλυμένων ἐν αὐτῷ Ἰώνων. ἡ δὲ Ἀρέθουσα, κρήνη ἐν Ὀρτυγίᾳ τῇ Σικελικῇ. ἣν διὰ πολλῶν οὖσαν ἱερὰν, Ἀπόλλων ἀπέδωκεν. ὁ δὲ νοῦς. καὶ δὴ διαπλεύσας τὸ Ἰόνιον πέλαγος, παρεγενόμην ἐπὶ τὴν Ἀρέθουσαν τὴν ἐν τῇ Ὀρτυγίᾳ τὴν Σικελιωτικὴν κρήνην, παρὰ τὸν Αἰτναῖον φίλον Ἱέρωνα. ὃς τῶν Συρακουσῶν βασιλεύει. τοῖς πολίταις πραΰτατος ὢν καὶ ἀνεπαχθής. καὶ τοῖς ἀγαθοῖς οὐ διαφθονῶν. τοῖς τε ξένοις, ἀξιάγαστος ὑπάρχων πατὴρ, διὰ τὴν φιλοξενίαν, καὶ φιλοφροσύνην. [Τῷ μὲν, διδύμας χάριτας.] τήν τε τοῦ ἰατρεύοντος Χείρωνος εἰ ἀνεβίωσε, καὶ τὴν τῶν ὕμνων, ὧν εἰς αὐτὸν γράφει. τὸ δὲ κατέβαν, ἀντὶ τοῦ, ἦλθον. Ὅμηρος, Πρίν τινα κεκλημένον καταβήμεναι ἐκ Διὸς οὖρον, ἀντὶ τοῦ ἐλθεῖν. ὁ δὲ νοῦς. τῷ δὲ Ἱέρωνι διπλασίας χάριτας, ἔξωθεν παρέσχον ἂν, εἰ παρεγενόμην ὑγίειαν ἅμα κομίζων τιμίαν, καὶ ὕμνον τῶν Πυθικῶν ἄθλων, αἴγλην ὄντα καὶ λαμπηδόνα. οὓς τινας στεφάνους ἀριστεύων τῷ τάχει, ἔλαβεν ὁ Φερένικος ποτὲ ἐν τῇ Κίρρᾳ. εἶτα ἡ ἀνταπόδοσις πρὸς τὸ πρῶτον. εἰ κατῆλθον εἰς Σικελίαν. παρεγενόμην ἂν βαθὺ πέλαγος διαπεράσας, ἀστέρος λαμπρότερον καὶ ἐπιφανέστερον ἄγων ἐκείνῳ φάος, τήν τε θεραπείαν καὶ τὸν ὕμνον. [Ἀστέρος οὐρανίου,] τὸν ἥλιον φησιν. εἰ οὖν εὐξάμενος παρεσκευασάμην φησὶ τὸν Χείρωνα ἀπαλλάξειν αὐτὸν τῆς νόσου, καὶ τὸ ἐπὶ τῇ νίκῃ ποίημα κατεσκευασάμην, τότε ἂν ἐφάνην αὐτῷ τοῦ ἡλίου λαμπρότερος, διαβὰς τὸ πέλαγος, καὶ ἐλθὼν εἰς τὴν Σικελίαν.

ἀντιστροφὴ δ'. κώλων ιγ'.	Μεταφρ.
Ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω	Sed vota facere equidem volo
Ματρὶ, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον	Matri, quam puellæ juxta meum vestibulum
Σὺν Πανὶ μέλπονται θαμὰ	Cum Pane celebrant frequenter
Σεμνὰν Θεὸν ἐννύχιαι.	Venerandam Deam nocturnæ.
Εἰ δὲ λόγων συνέμεν	Si vero sermonum intelligere
Κορυφὰν Ἱέρων	Summam O Hiero
Ὀρθὰν ἐπίστα· μανθάνων	Veram potes: edoctus
Οἶσθα προτέρων·	Scis *ex hominibus* prioribus :
Ἓν παρ' ἐσλὸν, πήματα σὺν	*Quod* unum ad bonum damna una
Δύο δαίονται βροτοῖς	Gemina distribuant mortalibus

P A R A P H R A S I S.

Sed cum horum utrumque præstare non possim, magnam Deorum & hominum matrem Rheam, quam utpote venerandam Deam prope meas ædes ubi templum habet, simulque comitem & assessorem ejus Pana Thebanæ puellæ noctu canunt & celebrant, volo flectere precibus, ut tibi sit benigna. Verum enimvero, Hiero, si rectas sententias quæ principatum in orationibus tenent, intelligere potes, ex veterum dictis didicisti, divinam providentiam res humanas sic administrare & dirigere,

N O T Æ.

137. MS. C. 71. omitt. μὲν 139 Μέλποντι leg Editt. Vulg. 143 Ἐπίστα Poët & Dor. pro ἐπίστασαι Nosti. Lex Pind. 146 Locus Homeri quem Pindarus indicare videtur voce προτέρων, & qui apud Schol. inveniri potest, duo dolia malorum, unum bonorum aperte continet. Quod licet non agnoscat Schol. nihil tamen affert præter significatum vocis ἕτερος. quasi semper distributioni inserviat. Cui respondet Schmid. hoc verbum sæpe denotare diversitatem, interdum etiam oppositionem ; quod sane cuivis hunc autorem vel Homerum legenti abunde constat, nec exemplis opus est. Aliqui leg. σύνδυο. Δαίονται hab. Plutarch. Consol. ad Apoll.

[Ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω ματρί.] Ἀριστόδημός φησιν Ὀλύμπιχον αὐλητὴν διδασκόμενον ὑπὸ Πινδάρου, γενέσθαι κατὰ τὸ ὄρος, ὅπου τὴν μελέτην συνετίθει, καὶ ψόφον ἱκανὸν καὶ φλόγα ἰδεῖν καταφερομένην. τὸν δὲ Πίνδαρον ἐπαισθόμενον συνιδεῖν μητρὸς θεῶν ἄγαλμα λίθινον τοῖς ποσὶν ἐπερχόμενον. ὅθεν αὐτὸν συνιδρύσασθαι πρὸς τῇ οἰκίᾳ, μητρὸς θεῶν, καὶ Πανὸς ἄγαλμα. τοὺς δὲ πολίτας πέμψας ἐς θεοῦ, πυνθάνεσθαι περὶ τῶν ἐκβησομένων. τὸν δὲ ἀνειπεῖν, μητρὸς θεῶν ἱερὸν ἱδρύσασθαι. τοὺς δὲ ἐκπλαγέντας τὸν Πίνδαρον διὰ τὸ προσειληφέναι τὸν χρησμὸν, ὁμοίως τῷ Πινδάρῳ ἐκεῖσε τιμᾶν τὴν θεὸν τελεταῖς. ὁ δὲ νοῦς. ἀλλ' ἐπεύξασθαι μὲν καὶ καθικετεῦσαι ἐγὼ βούλομαι τὴν Ῥέαν. ἣν τινα αἱ κόραι πλησίον τῶν ἐμῶν οἴκων σὺν τῷ Πανὶ ἀνυμνοῦσι κατὰ τὴν νύκτα, τὴν σεμνὴν θεόν. λέγεται δὲ Ῥέας ἱερὸν πλησίον τῶν Πινδάρου οἴκων εἶναι. φησὶν οὖν ὅτι, κατεύξομαι τὴν Ῥέαν εὐμενῆ εἶναι Ἱέρωνι. παρ' ὅσον δοκεῖ τῶν νόσων αὐξητικὴ καὶ μειωτικὴ εἶναι. [Παρ' ἐμὸν πρόθυρον.] ὅτι ἐγγύτατα τῇ Πινδάρου οἰκίᾳ μητρὸς θεῶν ἱερὸν καὶ Πανὸς, ὅπερ αὐτὸς ἱδρύσατο. [Σὺν Πανί.] οὐχ' ὅτι αἱ κόραι σὺν τῷ Πανὶ χορεύουσι καὶ ἀνυμνοῦσι τὴν Ῥέαν, ἀλλὰ τὴν Ῥέαν καὶ τὸν Πᾶνα ἀνυμνοῦσι. πάρεδρος γὰρ ὁ Πὰν τῇ Ῥέᾳ, ὡς αὐτὸς ὁ Πίνδαρος ἐν τοῖς κεχωρισμένοις τῶν παρθένων φησίν. ὦ Πὰν Ἀρκαδίας μεδέων, ἕως τοῦ, ματρὸς μεγάλας ὀπαδὲ, σεμνῶν χαρίτων μέλημα τερπνόν. [Ἄλλως.] πρὸς τῇ οἰκίᾳ τοῦ Πινδάρου, μητρὸς θεῶν ἵδρυτο ἱερὸν καὶ Πανὸς, ὅπερ αὐτὸς ἱδρύσατο. οἱ δὲ, ὅτι καθάρτειά ἐστι τῆς μανίας ἡ θεός. καὶ τὸν Διόνυσον δὲ καθαρτικὸν μανίας φασὶ· τὸν δὲ Πᾶνα παρείληφεν ὡς μὲν ἔνιοί φασιν, ὅτι καὶ ὁ Πὰν πλησίον καθίδρυτο Πινδάρου. ἢ ὅτι συνέστι τῇ θεῷ, ὡς ὄρειος ὤν. καὶ ἡ Ῥέα δὲ ὄρειος λέγεται, διὰ τὸ ἐν Ἴδῃ οἰκεῖν. ἐννύχιαι δὲ, ἐπεὶ νυκτὸς αὐτῇ τὰ μυστήρια τελεῖται. κοῦραι δὲ, αἱ τοῦ Πινδάρου θυγατέρες, Πρωτομάχη καὶ Εὐμήτις, ἢ αἱ νύμφαι. [Εἰ δὲ λόγων συνέμεν.] εἰ δὲ δύνασαι συνιέναι τὴν τῶν λόγων ὀρθὴν κορυφὴν, γινώσκεις ἀσφαλῶς μανθάνων τὰ τῶν παλαιῶν. λέγει δὲ τὰ παρὰ τοῦ ποιητοῦ, ὅτι περὶ ἓν ἀγαθὸν δύο πήματα ἀπονέμουσιν οἱ θεοί. φησὶ γάρ πω, Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει, Δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἑάων. Ὧ μέν κ' ἀμμίξας δώῃ Ζεὺς τερπικέραυνος· Ἄλλοτε μέν τε κακῷ ἐπιμίσγεται, ἄλλοτε δ' ἐσθλῷ. δοκοῦσι γὰρ οἱ εὐδαίμονες συγκεκραμένον ἔχειν τοῖς ἀγαθοῖς καὶ φαῦλον. οἱ δὲ δυστυχεῖς, ἄκρατον τὴν δυστυχίαν. διὸ καὶ περὶ τοῦ Δημοδόκου τοῦ κιθαρῳδοῦ φησιν, Τὸν περὶ μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε κακόν τε. Ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν. διὸ εἴ τις λέγει, διατί θεοφιλὴς ὢν πήρωσιν ἐδυστύχησεν; ἔχομεν λέγειν, ὅτι ἀδύνατόν ἐστιν ἄνθρωπον ὄντα, τελέως ἐν πᾶσιν ἀτυχεῖν, καὶ ἀπαθῆ εἶναι. ὁ μέν τοι Πίνδαρος οὕτως ἐδέξατο, δύο πίθους εἶναι φαύλων, καὶ ἕνα ἀγαθῶν. διὸ καὶ αὐτός φησιν, ἓν παρ' ἐσλὸν πήματα σύνδυο. οὐκ ἔστι δὲ τοῦτο. δύο γὰρ πίθοι εἰσί. καὶ ὁ μὲν εἷς, ἀγαθῶν· ὁ δὲ ἕτερος, φαύλων. τὸ μὲν γὰρ ἕτερος, ἐλέγχει παρακείμενον, ὅπερ ἐπὶ δυϊκοῦ μόνου ἀριθμοῦ λέγεται οἷον, τῶν δύο, τὸ ἕτερον. ὁ λόγος οὖν πρὸς τὴν Ἱέρωνος νόσον καὶ πρὸς τὸ τῆς βασιλείας ἀξίωμα. μηδαμῶς φησιν ὦ Ἱέρων ἀλγύνου. ἀδύνατον γάρ ἐστιν ἄνθρωπόν σε ὄντα καὶ εὐδαιμονοῦντα, μὴ ἔχειν τι καὶ βλάβης. ἀνασηκοῦσι γὰρ ὥσπερ τὰ ἀγαθὰ, τῇ τῶν φαύλων μερίδι. [Ἄλλως.] ἔνιοι ἀπεκδοχὴν φασιν εἶναι ταῦτα τῶν Ὁμηρείων, ὡς εἰπόντος αὐτοῦ ὅτι τριῶν ὄντων πίθων ἑνὸς μὲν τῶν ἀγαθῶν, δυοῖν δὲ τῶν κακῶν, ὁ Ζεὺς δίδωσιν ἐξ ἑκάστου μοῖραν, ἐλέγχεται δὲ, ὅτι τὸ ἕτερος, ἐπὶ δύο μόνων λέγεται. εἰ γὰρ ᾔδει τρεῖς ὄντας τοὺς πίθους, ἄλλος ἂν εἶπε καὶ οὐχ' ἕτερος. ἔστι δὲ ὑποστίξαντα εἰς τὸ δώρων οἷα δίδουσι, διαστεῖλαι εἰς τὸ, κακῶν. ἵν' ᾖ κακῶν, ἕτερος δὲ ἑάων. δύο οὖν λέγει πίθους Ὅμηρος, κακῶν τε καὶ ἀγαθῶν. καὶ ᾧ μὲν ἀνθρώπων, ἓν παρ' ἓν ἀγαθὸν καὶ κακὸν δῷ, εὐδαίμων ἐστίν. ᾧ δ' ἂν ἐκ θατέρου δῷ δύο μοίρας τῶν κακῶν, τοῦτον οὖν εἶναι κακοδαίμονα. ταῦτα δὲ λέγει, παραμυθούμενος τὸν Ἱέρωνα, ὑπὲρ τοῦ πρᾴως φέρειν τὴν λιθουρίαν. [Ἓν παρ' ἐσλόν.] ὡς δὲ λεγόμενον προφέρεται τὸ τοιοῦτον, ὅτι τοῖς ἀνθρώποις οἱ θεοὶ τὴν τρίτην τῶν ἀγαθῶν μοῖραν, τῶν δὲ κακῶν, τὰ δύο ἀπομερίζουσι.

[Τὰ

Ἀθάνατοι. Τὰ μὲν ὦν	Immortales. Illa vero
Οὐ δύνανται νήπιοι κόσμῳ φέρειν,	Non possunt stulti decenter ferre.
Ἀλλ᾽ ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω.	Sed boni, meliora qui-obvertere-solent extra.
ἐπῳδὸς δ΄. κώλων ιε΄.	METAPH.
Τὶν δὲ μοῖρ᾽ εὐδαιμονίας ἕπεται.	Tibi vero sors felicitatis contingit.
Λαγέταν γάρ τοι τύραννον δέρκεται,	Ducem-populorum etenim tyrannum respicit,
Εἴ τιν᾽ ἀνθρώπων, ὁ μέγας	Si quenquam hominum, magnum
Πότμος. Αἰὼν δ᾽ ἀσφαλὴς	Fatum. Vita vero omnis-calamitatis-expers
Οὐκ ἔγεντ᾽, οὔτ᾽ Αἰακίδᾳ παρὰ Πηλεῖ,	Non fuit, neque Æacidam apud Peleum,
Οὔτε παρ᾽ ἀντιθέῳ	Neque apud divinum
Κάδμῳ· λέγονται μὰν βροτῶν	Cadmum: dicuntur tamen mortalium
Ὄλβον ὑπέρτατον οἳ	Felicitatem summam qui
Σχεῖν· οἵτε καὶ χρυσαμπύκων	Habuisse: quique & aureis-reticulis-redimitas
Μελπομενᾶν ἐν ὄρει	Canentes in monte *Pelio*
Μοισᾶν, καὶ ἐν ἑπταπύλοις	Musas, & in septem-portas-habentibus

PARAPHRASIS.

ut bonum unum duobus malis temperent. Sed adversam fortunam homines desipientes moderate ferre non possunt, & nunquam non fronte infortunium produnt: prosperam vero fortunam sua stultitia obruunt. At contra sapientes, quemadmodum puriorem & pulchriorem vestium partem conspiciendam obvertimus, sordidiorem intus occulimus, sic dolores occulunt, lætitiam patefaciunt. Quod autem ad te attinet, quanquam calculo affligeris, alia tamen fœlicitate sublevaris, quatenus divino munere rex es, si quisquam hominum alius, populorum ductor fœlix, quo non fœlicior alter. Quod si hæc fœlicitas morbi infortunio temperetur, nihil mirum. Nulli enim quantumvis præstanti heroi contigit unquam vitæ inoffensæ metam contingere, exempli gratia Peleo Æaci filio & divino Cadmo. At nihilominus fama est illos omnium mortalium fuisse fœlicissimos: quandoquidem Peleus in monte Pelio apud Chironem, marini Dei fatidici Nerei, ac proinde bona consilia dantis Thetin inclytam filiam: & Cadmus Thebis, quæ septem portis sunt nobiles,

NOTÆ.

151 Sensus ex Schmid. sententia est, si quenquam hominum. certe eum qui alios regere debet, magnum Fatum seu Providentia Divina, respicit. Portus existimat legendum γάρ τυ pro γάρ σι Dorice. Sed ita τυ corriperetur. 154 Codd. vulg. leg. Οὐκ ἐγένετ᾽ & παρ Πηλεῖ. MS. γ. Γένετ᾽ ὕθλω, & παρά. 155 Αντιθέῳ] Monet Schmid. hoc epitheton de virtute Cadmi accipi posse. 156 Λέγονταί γε Editt. vulg. Schmid vero & MSS. nostra non habent.

[Τὰ μὲν ὦν.] ταῦτα μὲν οὖν τὰ φαῦλα ἀδυνάτως ἔχουσιν οἱ ἄφρονες, κοσμίως καὶ ἀνθρωπίνως φέρειν. ἀλλ᾽ οἱ συνετοὶ φέρουσι, τὰ καλὰ περιβάλλοντες ἔξω. καὶ λογιζόμενοι, ῥᾷον φέρουσι τὰ φαῦλα. τὴν μεταφορὰν δὲ εἴληφεν ὥς ἄν τις νοήσειεν ἐπὶ τῶν ἱματίων. ὅταν γὰρ ἔχῃ κηλῖδας οὐ δυνάμενός τις εὐκόσμως χρῆσθαι, τὸ μὲν κηλιδωθὲν, ἔνδον ἔστρεψε· τὸ δὲ καλὸν, ἔξω. τοὐναντίον δὲ, ἐὰν ἄφρων ᾖ, τὰς κηλῖδας ἔξω ἐᾷ. καὶ τὸν βίον οὖν τῶν ἀνθρώπων φησὶ κοινῇ μὲν πάντων ἔχειν πήματα· ταῦτα δὲ, τοὺς μὲν ἄφρονας ἐν φανερῷ παρέχειν. τοὺς δὲ σώφρονας, μετὰ κόσμου φέρειν ἀποκρυπτομένους, καὶ τὰ καλὰ τοῦ βίου ἔξω τρέποντας. [Τὶν δὲ μοῖρ᾽.] τοῦτο ἔχεις φησὶν ἀγαθόν. μοῖρα γάρ σοι τῆς εὐδαιμονίας σύνεστιν. ἢ οὕτω. σοὶ δὲ ἡ τῆς εὐδαιμονίας μοῖρα ἀκολουθεῖ. ἀποκεκλήρωσαι γὰρ τὰ ἀγαθά. ὁ δὲ νοῦς, σοὶ δὲ ὦ Ἱέρων, μοῖρα ἀγαθῶν ἀκολουθεῖ. τὸν γὰρ δὴ τῶν λαῶν ἡγούμενον πλοῦτον καὶ τύραννον, ἡ ἐξ ἀρχῆς ἐδωρήσατό σοι καταβολή. καὶ ὁρᾷ σε εἴπερ τινὰ ἄλλων εὐδαίμονα. [Λαγέταν γὰρ τύραννον.] τὸν γὰρ Λαγέτην τύραννον ἔχεις πλοῦτον. Λαγέτας δὲ ὁ πλοῦτος, ἐπεὶ, πάντας ἄγει τοὺς λαούς. ὑποτάσσονται γὰρ αὐτῷ πάντες. ἀλλὰ μὴν καὶ τύραννος ἐστι, τοῦτο περὶ ἓν παρ᾽ ἐσθλὸν, πήματα σύνδυο. καὶ τῷ Ἱέρωνι μὲν γὰρ ἡ τῆς τυραννίδος εὐδαιμονία, ὥσπερ τι μέγιστον ἕπεται, παρεπλάκη γε μήν τοι αὐτῇ, ὥσπερ τι κακὸν ἡ νόσος. [Αἰὼν δ᾽ ἀσφαλής.] βίος δὲ ἀσφαλὴς καὶ ἄπταιστος, οὐδαμοῦ ἐγένετο, οὔτε παρὰ τῷ Αἰακίδῃ Πηλεῖ, οὔτε παρὰ τῷ ἰσοθέῳ Κάδμῳ. καίτοι λέγονται τὴν ἀνθρώπων εὐδαιμονίαν μεγίστην ἐσχηκέναι. [Ἄλλως.] βίος δὲ ἄνευ σφάλματος οὐκ ἐγένετο καὶ βλάβης, οὔτε τῷ Πηλεῖ, οὔτε τῷ Κάδμῳ. ταῦτα δὲ διὰ τὴν νόσον αὐτῷ παραινεῖ. τὸν δὲ Κάδμον παρέλαβε, διὰ τὸ, καὶ τοῦτον εὐδαιμονήσαντα ἐκπεσεῖν εἰς Ἰλλυριούς. ὅλως δὲ αὐτὸν ἀποστεμνυνοῦσιν, διαπεφυκότα τὸ γένος εἰς θεούς. πρόπαππος γὰρ ὁ Ζεύς. καὶ πάππος, ὁ Ποσειδῶν· ὁ δὲ Ἄρης, κηδεστής. ἡ δὲ Ἀφροδίτη, πενθερά. ἡ δὲ Θυώνη καὶ ἡ Λευκοθέα, θυγατέρες. ὁ δὲ Διόνυσος, καὶ ὁ Παλαίμων, θυγατριδοῖ. τὸ δὲ ὅλον, καὶ ὑπὸ θεῶν καὶ ὑπ᾽ ἀνθρώπων αὐτὸν μάλιστα πάντων κατὰ τὴν Ἑλλάδα τετιμῆσθαι. διόπερ καὶ αὐτὸς ἀπεθεώθη μετὰ τῆς γυναικὸς αὐτοῦ Ἁρμονίας. καὶ ἀπελθὼν ἐπὶ δρακόντων ἅρματος κατῴκησεν ἐν Ἠλυσίῳ πεδίῳ, ὡς οἱ ποιηταὶ καὶ οἱ μυθογράφοι παραδεδώκασιν ἡμῖν. [Οἵτε καὶ χρυσαμπύκων.] οἳ, οὗτοι. συλληπτικὸς ὁ τρόπος. οἵ τινες καὶ τῶν μουσῶν ᾀδουσῶν καὶ ἐν τῷ Πηλίῳ ὄρει καὶ ἐν ταῖς ἑπταπύλοις Θήβαις κατήκουσαν. καὶ ταῦτα διὰ τὴν νόσον αὐτῷ παραινεῖ. καὶ γὰρ ὁ Πηλεὺς καὶ ὁ Κάδμος φησὶν, εὐδαιμονέστατοι γενόμενοι τῶν ἀνθρώπων, εἴς τινα καὶ ἐδυστύχησαν. διὸ ὦ Ἱέρων μὴ καταπονοῦ διὰ τὸ πάθος τῆς λιθιάσεως. τὰ γὰρ ἄλλα πάντα εὐτυχεῖς. [Καὶ ἐν ἑπταπύλοις.] καὶ ἐν τούτῳ τῷ χωρίῳ τὸ ἑκάστῳ συμβεβηκὸς, συλληπτικῶς ἐπ᾽ ἀμφοτέρων τίθησι. καὶ λίαν πυκνὸς ἐστι ἐν τοῖς τοιούτοις. ὁ μὲν

Αἴον Θήβαις, ὁπόθ' Ἁρ-
μονίαν γᾶμεν βοῶπιν·
Ο δὲ Νηρέος εὐ-
βούλου Θέτιν παῖδα κλυτάν.

στροφὴ ε'. κώλων ιγ'.

Καὶ Θεοὶ δαίσαντο παρ' ἀμφοτέροις·
Καὶ Κρόνου παῖδας βασιλῆας ἴδον
Χρυσέαις ἐν ἕδραις· ἕδνα τε
Δέξαντο· Διὸς δὲ χάριν
Ἐκ προτέρων μεταμει-
ψάμενοι καμάτων,
Ἔστασαν ὀρθὰν καρδίαν.
Ἐν δ' αὖτε χρόνῳ,
Τὸν μὲν ὀξείαισι θύγα-

Audierunt Thebis, quando Harmoni-
am duxit magnis-oculis-insignem.
Alter vero *Peleus* Nerei pru-
dentis Thetin filiam inclytam.

METAPH.

Et Dii epulati-sunt apud utrosque:
Et Saturni filios Reges viderunt
Aureis in thronis: muneraque-sponsalia
Ab illis acceperunt: Jovis vero gratia
Ex prioribus mutata-fortuna-ere-
pti malis,
Firmarunt cor rectum.
At posteriore tempore
Illi quidem *Cadmo* acutis fili-

PARAPHRASIS.

formosam Harmoniam uxorem duxit: ubi Musarum aurea redimicula habentium suavissimos cantus audiverunt. Quandoquidem etiam Dii utriusque nuptiarum epulis interfuerunt: in quibus Cadmus & Peleus Saturni prolem regiam in aureis sedilibus mensæ accumbentem viderunt, & ab omnibus dona acceperunt: Peleus à Neptuno equos, à Vulcano gladium: Cadmi sponsa frumenti fructum à Cerere, lyram à Mercurio, monile, peplum, & tibias à Pallade, aureum monile à Venere, aliaque ab aliis Diis. Hoc autem beneficio nuptiarum accepto à Jove prioribus liberati laboribus animum erexerunt. Nam Peleo tentatæ pudicitiæ à Cretheide falso accusato, & in Pelio monte feris exposito, per Vulcanum misit gladium quo se ab iis tueretur, eumque vinculis solutum, & debellato Acasto Thetidis conjugio decoravit. Et Cadmo, post difficultates in quærenda Europa superatas, Harmoniam collocavit. Sed hunc alio postea tempore, graves trium filiarum calamitates

NOTÆ.

162 Βοῶπιν] i. e. majusculis oculis præditam. Istud vero indicium erat pulchritudinis apud Græcos. 167 Χρυσέαις] In scansione facienda est συνίζησις. In Throno majestatis quemque suæ. 169 Προτέρων καμάτων] Peleus cum Telamone Phocum fratrem jactu disci interfecerat, & ex Ægina Insula profugus discesserat: paulo post ab Acasto feris objectus fuerat, qua de re Nem. 4. Sed devictis feris, & occupata Phthia Thessaliæ nuptiis Thetidis ornatus est. Quod vero ad Cadmum attinet, à Patre Agenore ad quærendam Europam extrusus, & cum non invenisset, exilio è regno exclusus, Bœotiæ acquisitione & Harmoniæ conjugio beatus factus est. 171 Ἔστασαν ὀρθάν] i. e. Vitam beatiorem sortiti sunt; iis enim Θεὸς ὀρθωτὴρ ἐγένετο, ut alibi Pindarus loquitur. 172 Ἐν δ' αὖτε χρόνῳ] Successu autem temporis.

γὰρ Πηλεὺς ἐν Πηλίῳ τῷ ὄρει παρὰ Χείρωνι τὴν Θέτιν ἐγήματο. ὁ δὲ Κάδμος, ἐν Θήβαις τὴν Ἁρμονίαν. λέγει δὲ, ὅτι τῶν μουσῶν ᾀδουσῶν καὶ ἐν τῷ ὄρει καὶ ἐν ταῖς ἑπταπύλοις Θήβαις, κατήκουσαν. ὁ δὲ τρόπος συλληπτικός· πρὸς ὃν καὶ τὸ σημεῖον. [Καὶ θεοὶ δαίσαντο.] καὶ οἱ θεοὶ παρ' ἀμφοτέροις εὐωχήθησαν. τουτέστιν, ἐν τοῖς ἀμφοτέρων γάμοις. καὶ Ὅμηρος. Πάντες δ' ἀντιάασθε γάμου θεοί, ἐπὶ τοῦ Πηλέως φησί. [Καὶ Κρόνου παῖδας.] καὶ τοὺς Κρόνου παῖδας, βασιλεῖς ἐθεάσαντο ἐν ταῖς χρυσαῖς καθέδραις. [Ἕδνα τ' ἐδέξαντο.] ἀκύρως δὲ τὰ δῶρα εἶπεν ἕδνα. τῷ μὲν γὰρ Πηλεῖ γαμοῦντι τὴν Θέτιν, ὁ Ποσειδῶν διὰ τὴν σωφροσύνην ἐδωρήσατο ἵππους. Ἥφαιστος δὲ, μάχαιραν. τῷ δὲ Κάδμῳ γαμοῦντι τὴν Ἁρμονίαν, ἡ Ἀφροδίτη χρυσοῦν ὅρμον ἐδωρήσατο. ὃν κτησάμενος Πολυνείκης κατὰ διαδοχὴν τοῦ γένους, παρέσχεν Ἐριφύλῃ, ἵνα πείσῃ Ἀμφιάραον εἰς τὸν πόλεμον ἐξελθεῖν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. καὶ δῶρα παρ' αὐτῶν ἔλαβον. ἀλλ' ὅμως φησὶ καὶ οὗτοι ἄπταιστον οὐκ ηὐτύχησαν βίον. ὁ μὲν γὰρ Κάδμος εἰς ὄφιν μεταβληθεὶς, ἀπέθανεν. ὁ δὲ Πηλεὺς ἐν Κῷ τῇ νήσῳ ἀτυχήσας τὸν βίον, οἰκτρῶς καὶ ἐπωδύνως ἀπέθανεν. ὡς καὶ Καλλίμαχος μαρτυρεῖ. [Διὸς δὲ χάριν.] κατὰ δὲ τὴν Διὸς γνώμην μεταβαλόντες ἐκ τῶν προτέρων ἀγαθῶν, διὰ τῶν δευτέρων καμάτων ἔστησαν ὀρθὴν τὴν καρδίαν. τουτέστι, διὰ τὰς ὑπερβαλούσας ἀτυχίας ἔμπληκτοι ὥσπερ καὶ καρδίαν πληγέντες γεγόνασιν. Οἱ δὲ, οὕτως. ἐκ τῶν προτέρων ἀγαθῶν μεταβαλλόμενοι τὴν ὀρθὴν καρδίαν καὶ εὐδαιμονίαν, διὰ καμάτων καὶ συμφορῶν ἰσχυρῶν ἦλθον. Οἱ δὲ ἄλλως. ἐπεὶ ἐξέφυγον ἐκ τῶν πατρίδων· ἤγουν, ἐκ τῶν προτέρων κακῶν μεταβαλόντες, ηὐφράνθησαν. θεῶν γὰρ ἔτυχον γάμων. [Τὸν μὲν, ὀξείαισι.] τὸν μὲν Κάδμον, αἱ τρεῖς θυγατέρες ἀπολλύμεναι ταῖς ὀξείαις συμφοραῖς τὸ τῆς εὐφροσύνης μέρος ἠρήμωσαν καὶ ἀφείλοντο. ἐν σχήματι δὲ εἶπεν, ἀντὶ τοῦ εὐφροσύνης ἔρημον ἐποίησαν. εἰς δὲ τὸ τῆς ἐπεράστου Σεμέλης λέχος ὁ Ζεὺς παρεγένετο. ὅτι δὲ αἱ θυγατέρες τοῦ Κάδμου ἐδυστύχησαν, δῆλος ὁ λόγος. ἡ μὲν γὰρ Σεμέλη, ἐκεραυνώθη πρὸς Διός. ἡ δὲ Ἀγαυὴ καὶ Ἰνὼ, εἰς μανίαν τραπεῖσαι, τοὺς παῖδας διέσπασαν. καὶ ἡ μὲν Ἀγαυὴ, τὸν Πενθέα· ἡ δὲ Ἰνὼ κατά τινας τὸν Μελικέρτην εἰς λέβητα κατέθηκε. πολλοὶ γὰρ τὸν Ἀθάμαντα παραδιδόασιν ἐμβεβληκέναι τῷ λέβητι.

[Ἱμερτὸν

τρες ἐρήμωσαν πάθαις	æ abſtulerunt malis
Εὐφροσύνας μέρος αἱ	Lætitiæ partem
Τρεῖς. Ἀτὰρ λευκωλένῳ γε Ζεὺς πατὴρ	Tres. Sed albis-ulnis Jupiter pater
Ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.	Venit in cubile amabile Thyonæ.
ἀντιστροφὴ ε'. κῶλον ιγ'.	METAPH.
Τοῦ δὲ παῖς, ὅν περ μόνον ἀθανάτα	Hujus autem filius, quem ſolum immortalis
Τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ	Peperit in Phthia Thetis, in bello
Τόξοις ἀπὸ ψυχὰν λιπὼν,	Sagittis anima amiſſa,
Ὦρσεν πυρὶ καιόμενος	Concitavit igni concrematus
Ἐκ Δαναῶν γόον. Εἰ	*Editum* à Danais planctum. Si
Δὲ νόῳ τις ἔχει	Vero mente quis habet
Θνατῶν ἀλαθείας ὁδὸν·	Mortalium veritatis viam:
Χρὴ πρὸς Μακάρων	Decet *illum* à Beatis
Τυγχάνοντ' εὖ πασχέμεν. Ἄλ-	Aſſecutum *quamcunq; ſortem* bene ferre. A-
λοτε δ' ἀλλοῖαι πνοαὶ	lias vero alii flatus *ſunt*

PARAPHRASIS.

Lætitia privarunt, quum Ino & Agave furore percitæ, altera Pentheum, altera Melicerten: & Semele formoſa à Jove compreſſa eſt, & fulmine extincta. Illum vero nempe Peleum lætitia privavit filius Achilles, quem illi Thetis immortalis in Phthia ſolum genuit, quum in bello Trojano à Paride telis confosſus, animam exhalavit, & pyræ impoſitus luctum Græcis excitavit. Cæterum decet virum prudentem bona fortuna, quam conſequutus eſt Deorum munere, frui & uti, quandoquidem ſua dona contemni nolunt. Verum ut alias alii ſpirant venti, nunc ſecundi, nunc adverſi,

NOTÆ.

177 Θυώνᾳ] Oppiano Κυνηγ. l. 1. v. 27. Θυωναῖος Διόνυσος à matre Thyone vel Semele dicitur Bacchus; qui eſt Horatio l. 1. Od. 17. Semeleius Thyoneus. 180 Τόξοις] Paridis, ex ſententia Schmidii, dum Achillem, ex inſidiis, ope Deiphobi, qui eum in templo Apollinis Thymbræi ſub ſpecie amicitiæ & futuræ aſſinitatis, propter Polyxenam ſororem ipſi deſponſandam, arcte amplexus fuerat, ad aram, gladio per utrumqne latus ictu geminato transfixit. Et ſane res tam aperta eſt & hiſtoria tam nota, quam quæ maxime; ut merito miremur, qui factum eſt, ut Schol. allucinatus ſit. Nempe dicendum, quod facile forſan credet quiſquis Grammaticorum ſcripta inſpexit, vocem τόξοι Schol. fefelliſſe. Ubicunque enim iſta natio in hanc vocem incidit, modo ſenſus non ſit finitus addito Genitivo, ſolet adſcribere Apollinis. idque abſque judicio, ut hic ſatis conſtat. Illius enim ſunt Epitheta iſta Ἀργυρότοξος, Κλυτότοξος & ſimilia. 182 Ἐκ Δαναῶν] Quia fortiſſimo duce privati erant: Ἀι claud. hoc κῶλ. in MS. γ.

[Ἱμερτὸν Θυώνᾳ.] Θυώνην τὴν Σεμέλην λέγει. οὕτω δὲ ὀνομάζεται, ἀπὸ τοῦ περὶ τὸν Διόνυσον πάθους. ὅτι θύει καὶ ἐνθουσιᾷ κατὰ τοὺς χορούς. οὕτω καὶ Θυάδες αἱ Βάκχαι. καὶ θύσθλα, οἱ θύρσοι. [Ἄλλως.] Θυώνη, τῇ Σεμέλῃ φησί. διωνυμίᾳ γὰρ ἐκέχρητο. εἰσὶ δὲ οἳ καὶ τὴν αὐτὴν Διώνην λέγουσι. ὥσπερ Εὐριπίδης ἐν Ἀντιγόνῃ. Ὦ παῖ Διώνης. ὃς ἔφυς μέγας θεὸς Διόνυσε, θνητοῖς τ' οὐδαμῶς ὑποστάτης. ἔνιοι δὲ τὴν Θυώνην, ἑτέραν τῆς Σεμέλης φασὶν εἶναι τροφὸν τοῦ Διονύσου. ὥσπερ Πανύασις ἐν τρίτῳ Ἡρακλείας. Καὶ ῥ' ὁ μὲν ἐν κόλποιο τροφοῦ θόρε ποσσὶ Θυώνης. ἐτυμολογοῦσι δὲ τὴν Θυώνην, ἀπὸ τῆς θυηλῆς. Σεμέλη δὲ κατὰ τὸ μυθικὸν, ἡ τὰ μέλη τοῦ σώματος ὑπὸ τῶν βροντῶν διασαλεύσασα. κατὰ δὲ τὸ φυσικὸν, ὅτι σείει τὰ μέλη τῶν οἰνουργούντων αὐτὴν ὁ Διόνυσος, ἐν ᾧ τοὺς βότρυς ἀλλήλοισι πατοῦσιν. ἡ δὲ Θυώνη κατὰ τὸ μυθικὸν, διὰ τὸ κεραυνοῖς τεθάφθαι. κατὰ δὲ τὸ φυσικὸν, ὅτι, πυρώδης ἡ κρᾶσις τοῦ οἴνου. [Τοῦ δὲ παῖς, ὅνπερ μόνον ἀθανάτα τίκτε.] τοῦ δὲ Πηλέως παῖς, ὁ Ἀχιλλεὺς, ὅνπερ μόνον ἡ ἄφθαρτος Θέτις ἐγέννησεν, τῷ Ἰλιακῷ πολέμῳ τοῖς Ἀπόλλωνος τόξοις ἀπολιπὼν τὴν ψυχὴν, τῷ πυρὶ καιόμενος, ἐκίνησεν ἐπ' αὐτῷ γόον ἐκ τῶν Ἑλλήνων. μετὰ γὰρ τὸ τελευτῆσαι, ἐκάη. [Ἄλλως.] οὐ μόνον αὐτὸν ἐγέννησεν, ἀλλὰ καὶ ἄλλους. οὓς βουλομένη ἀπαθανατίζειν, ἔκτεινε. φασὶ δὲ ὅτι καὶ τὸν Ἀχιλλέα μέλλουσα καίειν, καὶ συλληφθεῖσα ὑπὸ τοῦ Πηλέως, εἰς θάλασσαν ἔφυγεν. τὸ δὲ ἑξῆς, ὃς ἐκ Δαναῶν πυρὶ καιόμενος, ὦρσε γόον· ἤγουν, διορμῆσαι ἐποίησεν· [Εἰ δὲ νόῳ τις ἔχει.] εἰ δέ τις τὴν ἀλήθειαν τῶν πραγμάτων προϊδεῖν δύναται, δεῖ πρὸς τῶν θεῶν εὖ πάσχοντα ἑαυτὸν μὴ λυπεῖν. ἀλλὰ συνεπιδιδόναι τὴν ψυχὴν ταῖς ἀπὸ τῶν θεῶν εὐεργεσίαις. τὸ δὲ εὖ, κοινὸν, πρός τε τὸ, πασχέμεν καὶ πρὸς τὸ, μακάρων τυγχάνοντα. [Ἄλλως.] εἰ δέ τις τῶν ἀνθρώπων οἶδε τῆς ἀληθείας τὴν ὁδὸν, τουτέστιν ὀρθῶς λογίζεται, καὶ φρόνιμός ἐστι, προσήκει αὐτὸν παρὰ θεῶν εὐεργετούμενον, ὑφίστασθαι καὶ τῆς εὐπραγίας ἀπολαύειν. Ὅμηρος. Οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα· Ὅσσα κεν αὐτοὶ δῶσιν. ἑκὼν δ' οὐκ ἄν τις ἕλοιτο. [Ἄλλοτε δ' ἀλλοῖαι πνοαί.] ὥσπερ οὐχ οἱ αὐτοὶ ἄνεμοί φησι διαπαντὸς πνέουσιν, ἀλλ' ἄλλοτε ἄλλοι, οὕτω καὶ αἱ τύχαι τῶν ἀνθρώπων, οὐχ αἱ αὐταὶ παραμένουσιν, ἀλλ'

Ὑψιπετᾶν ἀνέμων.	Alte-volantium ventorum.
Ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται.	Divitiæ non ad longum hominum veniunt.
Ὃς πολὺς εὖτ' ἂν ἐπιβρίσαις ἕπηται·	Quæ magnæ si prægravantes *me* sequantur:
ἐπῳδὸς ε'. κώλων ιε'.	Μεταφρ.
Σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις	Parvus inter parvos, magnus inter magnos
Ἔσσομαι. Τὸν δ' ἀμφέποντ' αἰεὶ φρασὶ	Ero. Procurantem vero semper animo
Δαίμον' ἀσκήσω, κατ' ἐμὰν	Deum continuis-exercitiis-colam, pro meis
Θεραπεύων μαχανάν.	Honorans viribus.
Εἰ δέ μοι πλοῦτον Θεὸς ἁβρὸν ὀρέξαι,	Si vero mihi divitias Deus lautas præbeat,
Ἐλπίδ' ἔχω κλέος εὑ-	Spem habeo, gloriam me-inven-
ρέσθαι κεν ὑψηλὸν πρόσω.	turum excelsam in-futurum.
Νέστορα καὶ Λύκιον	Nestorem *quippe* & Lycium
Σαρπηδόν', ἀνθρώπων φάτις,	Sarpedonem, hominum famas,
Ἐξ ἐπέων κελαδεν-	Ex carminibus sono-
νῶν, τέκτονες οἷα σοφοὶ	ris, artifices qualia sapientes

PARAPHRASIS.

ſic alias alio vultu, nunc ſereno, nunc torvo fortuna reſpicit. Nec fœlicitas diu apud homines commoratur. Quæ ſi forte aliquando gravi pondere me comitetur, hoc faciam: Nimirum apud tenues, & me inferiores me deprimam, apud magnos & me majores magnum agam, illiſque me æquiparabo: & eam quæ me circundabit, pro viribus & facultate colens fortunam, animo fovebo. Quod ſi inter cæteras fœlicitates divina benignitas mihi divitias amplas ſuppeditaret, ſperarem me altiſſimam apud poſteros gloriam adepturum, cum poetis mearum laudum præconibus liberalem me præberem, Hiero: quorum ſane eſt clarorum virorum laudes tradere poſteritati. Vides ut Neſtoris Pylii, & Sarpedonis Lycii fama ad poſterioris ſæculi homines dimanavit carminum eximie ſonantium opera, qualia ſolummodo docti poeſeos artifices compegerunt.

NOTÆ.

189 Ὄλβος δ' οὐκ leg. Omnes Codd. præter Schmid. quem ſequimur, ne perturbetur metrum. 191 Σμικρὸς ἐν σμικροῖς] Poteſt hoc ita accipi juxta Schmid. Ut, ſi parvus habeatur, in parvis tantum hominibus talem ſe cenſum iri velit: contra, ſi magnus, in magnis. 192 Αφέποντ' leg. Rom. niſi ſit erratum. Interpres Vulg. Semper autem ad eam fortunam quæ me ampleſtetur, me in animo accommodabo, juxta meam facultatem colens eam. Φρεσὶ Commune leg. Alii. 193 Ἀσκήσω θεραπεύων] Reverenter habebo, reverenter ea utar. 198 Nos totum hunc locum, ſecuti Schmid. qui eum primus accurate deſcripſit, aliter atque ſolet explicari, interpretamur. Primo igitur comma poſuimus poſt Σαρπηδόν', deinde φάτις contractum putamus pro φάτας, & exegetice referri ad Νέστορα καὶ Σαρπηδόνα, quos per Metonymiam vocat, Fabulas hominum, propter celebritatem nominis. Illos, inquit, γινώσκομεν ἐξ ἐπέων. Alii leg. κελαδεινῶν comm. Poſt ἅρμοσαν vero comma, ubi fuit plena diſtinctio; & pro Γινωσκομένα quod ut Participium acceptum fuit, leg. γινώσκομεν. Poſt γινώσκομεν diſtinguimus; & α verſum claudens aſpero ſpiritu notamus, ut ſit ἃ Dor. pro ἣ, adeoque initium ſequentis ſententiæ conſtituimus.

ἄλλοτε μὲν εἰς κακὸν μεταβάλλουσιν, ἄλλοτε δὲ εἰς ἀγαθόν. Εὐριπίδης. Κάμνουσι γάρ τοι καὶ βροτοῖς αἱ συμφοραὶ, καὶ πνεύματ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει. [Ὄλβος δ' οὐκ ἐς μακρόν.] ἡ δὲ τῶν ἀνθρώπων εὐδαιμονία, οὐκ ἐς μακρὰν φησὶ παραγίνεται, ἀντὶ τοῦ, οὐκ ἐπὶ πολὺ παραμένει. ἐπειδὰν μάλιστα ἐπακολουθήσας, πολὺς ἐπιβαρήσῃ καὶ παραγένηται. καὶ Εὐριπίδης. Ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς. [Σμικρὸς ἐν σμικροῖς.] τινὲς οὕτως. ἐὰν σμικρὰ ᾖ τὰ περὶ ἐμὲ, καὶ αὐτὸς ἐκ τῆς ἀνάγκης ἔσομαι σμικρός. ἐὰν δὲ μεγάλα, εἰκότως ἐπαρθήσομαι, καὶ μεγάλα φρονήσω. ἄτοπον δὲ καὶ οὕτω κατὰ Πίνδαρον τὴν ἀλαζονείαν δοκεῖν ταῖς τύχαις συσχηματίζεσθαι. ἔστιν οὖν ὃ λέγει τοιοῦτον. σμικροῖς συνὼν καὶ καταδεεστέροις ἐμοῦ, σμικρὸν ἑαυτὸν ποιήσω, συμμετρήσας ἐκείνοις. ἐν δὲ τοῖς μείζοσι πάλιν ὁ αὐτὸς τυγχάνων, ἐξισωθήσομαι ἐκείνοις. [Τὸν δ' ἀμφέποντ' ἀεὶ δαίμον'.] τὸν δὲ περιέχοντά με δαίμονα καὶ τὴν τύχην, οἴσω τῇ διανοίᾳ, καὶ θεραπεύσω αὐτὸν κατὰ τὴν ἐμαυτοῦ γνώμην. Ἢ οὕτως. ἀεὶ τὸν περιέχοντά με δαίμονα ἀσκήσω καὶ θεραπεύσω ἐν ταῖς φρεσὶ, μικρὰ μὲν πράσσων ἐν μικροῖς· ἐν δὲ μεγάλοις μεγάλας ἐπιβολὰς λαμβάνων. [Εἰ δέ μοι πλοῦτον.] αἰνίττεται εἰς τὸν Ἱέρωνα, προτρεπόμενος αὐτὸν ἀφειδῶς τοῖς ποιηταῖς χορηγεῖσθαι τὸν μισθὸν, ὥστε ἀνυμνεῖσθαι αὐτόν. ὁ δὲ νοῦς. ἐὰν δέ μοι ὁ Θεὸς πλοῦτον ἀνθηρὸν καὶ εὐδαίμονα παράσχῃ, ἐλπίζω δόξαν εὑρεῖν ὑψηλοτάτην. καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον. [Νέστορα, καὶ Λύκιον Σαρπηδόν'.] καὶ τὸν Νέστορά φησι καὶ τὸν Σαρπηδόνα διὰ τοὺς ὕμνους τῶν ποιητῶν γινώσκομεν. τὸ δὲ ἑξῆς. Νέστορα, καὶ Λύκιον Σαρπηδόνα ἀνθρώπων φάτις ἔχει ἐξ ἐπέων κελαδεινῶν, οἷα σοφοί τε καθήρμοσαν ἀνθρώπων. [Ἀνθρώπων δὲ φάτις.] περιφραστικῶς. ἡμεῖς δὲ οἱ ἄνθρωποι. ἢ προσύπτεμεν τὸ, ἴσασι. καὶ ἕξει τὴν ἀκολουθίαν, οὐκέτι διὰ ὑπερβατοῦ, ἀλλ' ἀκολούθως. ἢ λείπει τῷ λόγῳ, τὸ ἔχει. ἵν' ᾖ, Νέστορα καὶ Λύκιον Σαρπηδόνα, ἀνθρώπων φάτις ἔχει. καὶ ἐξ ἐπέων κελαδεινῶν, αὐτοὺς γινώσκομεν, οἷα σοφοὶ τέκτονες ἥρμοσαν ποιηταί.

[Γινωσκο-

Ἁρμοσαν, γινώσκομεν. Α
δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς
Χρονία τελέθει.
Παύροις δὲ πράξασθ' εὐμαρές.

Concinnarunt, scimus. Vir-
tus enim inclytis carminibus
Diuturna est.
Paucis vero hoc assequi facile est.

PARAPHRASIS.

Etenim virtus quæ carminum celebrium beneficio nobilis evadit, æternam vitam obtinere solet: sed talia componere paucis facile est, ut res insignium heroum gestas immortalitati consecrent.

NOTÆ.

202 Α δ' ἀρετὰ] Schol. novam sententiam inchoasse post γινώσκομεν ejus Interpretatio arguit; tametsi ipsius tempore textum voce γινωσκομένα corruptum fuisse liquet; si idem Grammaticus hæc Scholia omnia adscripserit; quam rem quo facilius intelligas, notas numerorum apposuimus. Schmid. vero id ita factum fuisse putat, quia τὸ φάτις accusativum Pluralem esse non viderit, & ita in quam lectionem aut distinctionem inclinet, non statuerit. 204 Τελέθει leg. MS. C. 71. 205 Δὲ πράξασθ'] Schol. exponit διαπεράξασθαι, nisi sic legisse cuivis videatur. Hæc vox vero sonat, Conficere negotium, scil. τὸ πλουτεῖν κὴ ἐπαινεῖσθαι, quem significatum ei tribuere Pindarus non solet. Sed Interp. plurimi consentiunt, eum accipere prout Activ. πράξειν Isthm. 5. 10, pro Obtinere, quem sensum in Translatione expressimus. Versio vulg. hab. Facere. Quidni significatus τῦ εὐπράξειν eliciatur? Πρᾶξις est εὐπραγία, ut in isto, Πρᾶξιν φίλαν δίδοι.

[Γινωσκομένα δ' ἀρετά] ἡ δὲ ἀρετὴ, τοῖς ἐνδόξοις ἀρετῆς γινωσκομένη, χρονία κὴ διηνεκὴς παραμένει. ἢ οὕτως. ἡ δὲ ἀρετὴ τῶν ἀνθρώπων, ἐπὶ χρόνον παραμένει, ὕμνων τυχοῦσα. τὸ δὲ τοιοῦτον διαπράξασθαι, ὀλίγοις ῥᾴδιόν ἐστι, κὴ εὐκατόρθωτον. τὸ πλουτεῖν δηλονότι, κὴ ἐπαινεῖσθαι. περιτρέπεται δὲ αὐτὸν δωρεῖσθαι τοῖς ποιηταῖς, ἵνα ὑμνηθῇ.

Τέλος τοῦ τρίτου τῶν Πυθίων εἰδοῦς.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΩΝ ΠΥΘΙΩΝ ΕΙΔΟΥΣ.

ΤΗΣ τετάρτης ᾠδῆς ἡ στροφὴ, καὶ ἀντιστροφὴ, , κώλων δεκατεσσάρων. Τὸ πρῶτον, ὅμοιον τῷ, ἤθελον Χείρωνά κε Φιλλυρίδαν. Τὸ δεύτερον, ὅμοιον τῷ πρώτῳ. Τὸ τρίτον, ἰαμβέλεγος. Τὸ τέταρτον, ὅμοιον τῷ πρώτῳ, καὶ δευτέρῳ. Τὸ πέμπτον, ·δίμετρον ἰαμβικὸν ὑπερκατάληκτον. Τὸ ἕκτον, δακτυλικὸν πενθημιμερές. Τὸ ἕβδομον, δίμετρον Ιωνικὸν ἀπ' ἐλάσσονος ἀνακλώμενον. Τὸ ὄγδοον, δακτυλικὸν πενθημιμερές. Τὸ ἔννατον, ὅμοιον τῷ, τίς σὰς παρήειρε φρένας. Τὸ δέκατον, δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ἑνδέκατον, δακτυλικὸν ἐφθημιμερές. Τὸ δωδέκατον, Εὐριπίδειον. Τὸ τρισκαιδέκατον, χοριαμβικὸν, δίμετρον καταληκτικόν. Τὸ τεσσαρεσκαιδέκατον, δίμετρον τροχαϊκὸν ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η δὲ ἐπῳδὸς, κώλων δεκατριῶν. Τὸ πρῶτον, ὅμοιον τῷ, ἤθελον Χείρωνά κε Φιλλυρίδαν. Τὸ δεύτερον, ὅμοιον τῷ, τίς σὰς παρήειρε φρένας. Τὸ τρίτον, δακτυλικὸν πενθημιμερές. Τὸ τέταρτον, ἰαμβέλεγος. Τὸ πέμπτον, δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ἕκτον, προσοδιακὸν τρίμετρον καταληκτικόν. Τὸ ἕβδομον, ὅμοιον τῷ, τίς σὰς παρήειρε φρένας. Τὸ ὄγδοον, προσοδιακόν. Τὸ ἔννατον, ἰαμβέλεγος, τοῦ πρώτου πενθημιμεροῦς λείποντος μιᾷ συλλαβῇ. Τὸ δέκατον, ὅμοιον τῷ, τίς σὰς παρήειρε φρένας. Τὸ ἑνδέκατον, τὸ αὐτό. Τὸ δωδέκατον, ὅμοιον τῷ πρώτῳ. Τὸ τρισκαιδέκατον, δίμετρον τροχαϊκὸν ἀκατάληκτον.

Metrica vero ratio ita habet:

στροφὴ & ἀντιστροφή.

1. - υ - -   - υ υ -   υ υ -
2. - υ - -   - υ υ -   υ υ -
3. - - υ -   - - υ υ   - υ υ -
4. - υ - -   - υ υ -   υ υ -
5. - - υ -   - - υ -   -
6. - υ υ   - υ υ   -
7. υ υ - -   - υ - υ
8. - υ υ   - υ υ   -
9. - - υ -   - - υ -
10. - - υ -   - υ - -
11. - υ υ   - υ υ   - υ υ   -
12. - υ - -   - υ -
13. - - υ -   - υ υ
14. υ υ υ -   - - υ -   -

ἐπῳδός.

1. - υ - -   - υ υ -   υ υ -
2. - - υ -   - - υ -
3. - υ υ   - υ υ   -
4. - - υ -   - - υ υ   - υ υ -
5. - υ - -   - υ - -
6. - υ υ -   υ υ - -   υ υ -
7. - - υ -   - - υ -
8. - - υ υ   - υ υ -
9. - - υ υ   - υ υ -   υ υ -
10. - - υ -   - - υ -
11. - - υ -   - - υ υ   -
12. - υ - -   - υ υ -   υ υ -
13. - υ - -   - υ - -

ΑΡΚΕ-

ΑΡΚΕΣΙΛΑΩ ΚΥΡΗΝΑΙΩ ΑΡΜΑΤΙ.

ΕΙΔΟΣ Δ'.

ARCESILAO CYRENÆO CURRU.

ODE IV.

ARGUMENTUM.

Arcesilaum Cyrenes regem ab urbe Cyrene, à majoribus, à Thera insula ad quam Argonautæ appulerant, unde Arcesilai progenitorum origo, & à Pythiaca victoria laudat. Denique pro Demophilo, qui ex urbe ob seditionem quandam pulsus fuerat, intercedit, ut ad priorem functionem eum admittat.

στροφὴ α'. κώλων ιδ'.

Σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ
Στάμεν, εὐίππου βασιλῆϊ Κυρά-
νας, ὄφρα κωμάζοντι σὺν Ἀρκεσίλᾳ,
Μοῖσα, Λατοΐδαισιν ὀφειλόμενον

METAPHRASIS.

Hodie oportet te apud virum amicum
Stare, bellicosæ regem Cyre-
nes, ut festa-agente cum Arcesilao,
O Musa, Latoidis debitum

PARAPHRASIS.

Oportet ô Musa ut hodierno die te sistas apud Arcesilaum, ut virum illum mihi charum, & equis insigni Cyrenæ imperantem laudes, & cum eo choros pro victoriæ successu agitante, Cyrenæis ob civem,

NOTÆ.

Not.] Vide Schol. ad hoc signum † ubi pro ἣ γέγονεν vir doctus ad Ed. Brub. quam inspeximus annot. legendum. ὃς γέγονεν· & * ubi Ed. Brub. οἰκίσας· & ‡ ubi γεγωνὶς, Alii. Ed. Brub. postea † hab. Δαμοφύλου. 2 Εὐίππου] Cyrene εὔιππος dicitur, quia bonis abundabat equis: unde Dionysius eodem epitheto eam appellat. Aretius.

Ἀρκεσιλάῳ, Κυρηναίῳ, ἅρματι.] Γέγραπται μὲν ἡ ᾠδὴ Ἀρκεσιλάῳ Πολυμνήστου παιδὶ Κυρηναίῳ τὸ γένος τῆς Λιβύης, νικήσαντι τὴν τριακοστὴν πρώτην Πυθιάδα· ἔνιοι καὶ τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα. ἀλλ' οὐκ ἔγραψεν εἰς τὴν Ὀλυμπιακὴν αὐτοῦ νίκην, καί τοι μετὰ τὴν Πυθικὴν γενομένην, ἀλλ' εἰς τὰ Πύθια μόνον. γράφει δὲ εἰς ταύτην καὶ ἑτέραν αὐτοῦ νίκην ἐφεξῆς, ἥτις καὶ οἰκειοτέρα ἐστὶ κατὰ τὰ νοήματα καὶ κατὰ τὴν οἰκονομίαν ἐπινίκιος. ἡ γὰρ δὴ προκειμένη ᾠδὴ, ἱστορικὴν ἔχει παρέκβασιν. τὰ γὰρ ἐπὶ Κυρήνης κτίσεως καὶ τὴν ἐπ' αὐτῇ ταραχὴν περιέχει. καὶ ὡς Ἀρκεσίλαος τοὺς μὲν ἀνεῖλε, τοὺς δὲ ἐφυγάδευσεν, ἐν οἷς τις ἦν καὶ Δαμόφιλος. ὃς ἐκπεσὼν τῆς πατρίδος, ἦλθεν εἰς Θήβας. ὑπὲρ οὗ φαίνεται ὁ Πίνδαρος παρακαλῶν, καὶ βουλόμενος αὐτὸν διαλλάξαι, καὶ ἀξιῶν τὴν Μοῦσαν παραστῆναι τῷ Ἀρκεσιλάῳ, καθ' ἣν ἡμέραν διαπέμπεται τὸ ἐπινίκιον. οὐ γὰρ προσκαλεῖται αὐτῷ γράφων παραστῆναι τὴν Μοῦσαν· οὐ γὰρ ἂν διωρίσατο ἐν μιᾷ ἡμέρᾳ γράψαι τὸν ὕμνον. [Ἄλλως.] ταύτην ἔγραψεν Ἀρκεσιλάῳ τῷ Κυρηναίων βασιλεῖ, νικήσαντι τὴν τριακοστὴν πρώτην Πυθιάδα, † ἣ γέγονεν ἀπὸ τοῦ πρώτου Βάττου. Κυρήνης γὰρ πρῶτος ἐβασίλευσε Βάττος ὁ Πολυμνήστου, ὁ καὶ τὴν ἀποικίαν ἐκ Θήρας εἰς Λιβύην ἀπαγαγὼν, καὶ Κυρήνην * οἰκήσας. ὃς διάδοχον τῆς ἀρχῆς κατέλιπεν υἱὸν Ἀρκεσίλαον. παρὰ δὲ τούτου παρέλαβε τὴν βασιλείαν Βάττος ὁ ἐπικληθεὶς εὐδαίμων· τοῦ δὲ Βάττου, ἄλλος γίνεται Ἀρκεσίλαος. καὶ οὕτω παῖς παρὰ πατρὸς τὴν δυναστείαν παρέλαβε. καὶ τέσσαρες μὲν Βάττοι, τέσσαρες δὲ Ἀρκεσίλαοι ἐγένοντο. πέμπτος δέ ἐστιν Ἀρκεσίλαος, Φερετίμης υἱὸς, ὡς Ἡσίοδος μνημονεύει. ὁ δὲ τελευταῖος οὗτος Ἀρκεσίλαος δολοφονηθεὶς ὑπὸ Κυρηναίων, ἀπέβαλε τὴν Βαττιαδῶν τὴν ἀρχὴν, ἔτη διακόσια διαμείνασαν. Ἡρόδοτος μὲν οὖν φησιν, ὅτι ἡ Πυθία τὸν πρῶτον Βάττον οὕτω προσηγόρευσεν, Ἀριστοτέλην πρότερον λεγόμενον τῇ Λιβύων φωνῇ Λίβυες γὰρ Βάττους τοὺς βασιλέας φασίν. οἱ δὲ, ὅτι ἰσχνόφωνος ἦν, καὶ περὶ τῆς φωνῆς πυνθανόμενον, ἡ Πυθία Βάττον προσηγόρευσεν. ἐπεὶ καὶ τὸ ἐπέχεσθαι τὴν γλῶτταν, βατταρίζειν φαμέν. ἔνιοι δὲ Κόκκυγα αὐτὸν καλεῖσθαι, διὰ τὸ μὴ ‡ γεγωνῶς φθέγγεσθαι. ὁ δὲ Ἀκέσανδρος μὴ ἐκ γενετῆς αὐτόν φησιν ἰσχνόφωνον γεγενῆσθαι, ἀλλ' ἀπὸ ταυτομάτου λυθῆναι τὴν γλῶτταν. ἦν δὲ ὁ ἀνὴρ ἐπιεικής φασιν, καὶ συμβουλεύσασθαι δυνάμενος. [Ἄλλως.] τάττεται ἡ ᾠδὴ εἰς τοὺς ἐπινίκους, μεῖζόν τι ἢ κατὰ ἐπίνικον οὖσα διὰ τὸ μεμηκύνθαι, καὶ πραγμάτων ἔχειν ἀφήγησιν ἐντοπίων. τὸ δὲ ἀνωτάτω, καταλλαγὴν φυγάδος † Δαμοφίλου τινός. [Σάμερον μὲν χρή σε] διαλέγεται δὲ ὁ Πίνδαρος πρὸς τὴν Μοῦσαν, καὶ παραινεῖ αὐτῇ σήμερον παραστῆναι τῷ Ἀρκεσιλάῳ, εἰς ἐκείνην τὴν ἡμέραν ἀναφέρων τὸν λόγον, ἐν ᾗ ἔμελλε δέξασθαι τὸ ἐπίνικον ὁ Ἀρκεσίλαος. οὐ γὰρ εἰ ἐν νουμηνίᾳ, λόγου χάριν, ἐγράφη, ἐκείνῃ ὑπεστήσατο τῇ ἡμέρᾳ καὶ παρὰ τῷ Ἀρκεσιλάῳ ἔσεσθαι, ἀλλ' ὃ ἔμελλεν ἔσεσθαι, τοῦτο ὡς ἐπὶ τοῦ καιροῦ καὶ ἐνεστηκότος εἶπε. τὴν δὲ Κυρήνην εὔιππον εἶπεν, οὐκ ἐκ τοῦ παρατυχόντος, ἀλλ' ὅτι Ποσειδῶν τοὺς Λίβυας διδάξειε τὴν τῶν ἁρμάτων κατάζευξιν. καὶ τὴν ἱππείαν δὲ Ἀθηνᾶν, ἐν Λιβύῃ γενέσθαι φασί. τινὲς δὲ, ὡς ὅτι ἱππικὴ ἐν τῇ Λιβύῃ εὑρέθη. ἡ δὲ διάνοια, σήμερον μὲν προσήκει σε παραστῆναι καὶ τῷ προσηνεστάτῳ ἀνδρὶ καὶ βασιλεῖ τῆς εὐίππου Κυρήνης, ὅπως ἂν, ὦ Μοῦσα, σὺν τῷ Ἀρκεσιλάῳ κώμους ἄγοντι, καὶ χορεύοντι ἐπὶ τῇ νίκῃ, τοῖς τε Λητοῦς παισὶ καὶ τῇ Πυθῶνι, τὸν ὀφειλόμενον ὕμνον αὐξήσῃς, καὶ ἀποδῷς τὸν ὕμνων οὖρον. [Λατοΐδαισιν ὀφειλόμενον·] ἤτοι τοῖς Ἀπόλλωνος, φησὶν, ἢ τῷ Ἀπόλλωνι μόνῳ. ὥστε τὸ πληθυντικὸν ἀπὸ τοῦ ἑνικοῦ ἐξενεχθῆναι, ὅπερ καὶ βέλτιον τῷ αἰτίῳ τῆς νίκης ὀφείλεσθαι τὸν ὕμνον, καὶ τῷ τόπῳ, οὗπερ ὁ ἀγὼν ἐπώνυμος. δύναται δὲ καὶ τοὺς Κυρηναίους νοεῖσθαι, διὰ τὸ Ἀπόλλωνος καὶ Κυρήνης τὸν Ἀρισταῖον γενέσθαι, ὃν παρὰ Κυρηναίοις, ὡς οἰκιστὴν διὰ τιμῆς ἄγεσθαι. δύναται δὲ, καὶ τοὺς Δελφοὺς λέγειν. ἑτέρωθι γὰρ Ἀπολλωνίδας αὐτοὺς προσηγόρευσεν· Δελφοὶ θεμιστῶν ὕμνων μάντιες Ἀπολλωνίδαι.

Πυθῶνί τ' αὔξῃς οὖρον ὕμνων.
Ενθα ποτὲ χρυσέων
Διὸς αἰητῶν πάρεδρος,
Οὐκ ἀποδάμου Απόλ-
λωνος τυχόντος γ', ἱέρεα
Χρῆσεν, οἰκιστῆρα Βάττον
Καρποφόρου Λιβύας· ἱερὰν
Νᾶσον ὡς ἤδη λιπὼν,
Κτίσσειεν εὐάρματον
Πόλιν ἐν ἀργινόεντι μαστῷ·

Delphisq; augeas ventum-ſecundum odarum.
Ubi olim aureis
Jovis aquilis aſſidens *Pythia*,
Non abſens Apol-
lo quum-eſſet, ſacerdos
Oraculo-edixit, conditorem Battum
Frugiferæ Lybiæ *futurum*: ſacra
Inſula ut jam relicta
Conderet curribus-præſtantem
Urbem in albicante ubere *terræ*:

conf. plura in Callimachi Spanh. p. 85, 89, 93–95.
Apoll. Aug. 4, 1551.

P A R A P H R A S I S.

& Pythoni ob certaminis ſedem, debitum perſolvas hymnum, quo tanquam ſecundo vento in honoris portum provehantur: Pythoni inquam hymnum perſolvas, ubi olim ſacerdos (quæ aſſidet aureis aquilis à Jove in Apollinis templo conſecratis, in memoriam aquilarum quas pari celeritate præditas, alteram ab ortu, alteram ab occaſu emiſerat, ut terrarum orbis medium definiret, & quæ eodem tempore circa Pythonem, ſeu Delphos convolarant, huncque orbis umbilicum eſſe oſtenderant) cum præſens eſſet Apollo, certaque reſponſa ſuggereret, oraculum edidit Batto, eum in fœcundam Libyam deducturum coloniam, ut relicta Thera inſula, ob Neptuni & Minervæ templum ſacra, in uberi colle curru præſtantem Cyrenen conderet:

N O T Æ.

7 Αἰετῶν Commune hab. plerique. Ald. vero nobiſcum leg. 8 Οὐκ ἀποδάμου] Tum dicebatur domi Apollo, quum vera promerentur ocacula: quando dubia & falſa, dicebatur abſens domo Deus; ſic mendacia ſpecioſo fuco tegebantur. Aret. Syllaba λω- pertinet ad κῶλον nonum. 9 Edd. plurimæ omitt. γ' Plantiniana & Commellin. Editt. habent ἱέρεια. 14 Εν ἀργινόεντι μαστῷ] Scholia Pal. C. exponunt, ἐν καλῷ τόπῳ Λιβύης.

[Ενθα ποτὲ χρυσέων Διὸς αἰετῶν πάρεδρος.] λόγος τὶς τοιοῦτος περιηχεῖ, ὅτι ὁ Ζεὺς τὸ μεσαίτατον τῆς οἰκουμένης καταμετρήσασθαι βουληθεὶς, ἴσους κατὰ τὸ τάχος ἀετοὺς, ἐκ δύσεως καὶ ἀνατολῆς ἀφῆκεν. οἱ δὲ διιπτάμενοι, συνέπεσον ἀλλήλοις κατὰ τὴν Πυθῶνα. ὥστε τὴν σύμπτωσιν δεῖξειν αὐτόθι, τῆς ὅλης οἰκουμένης τὸ μεσαίτατον. ὕστερον δὲ σημεῖον τοῦ γεγονότος, καὶ χρυσοῦς ἀετοὺς κατασκευάσας, ἀνέθηκε τῷ τοῦ θεοῦ τεμένει. ὧν φασιν αἱ εἰκόνες ἤρθησαν ἐν τῷ Φωκικῷ πολέμῳ, ὃν Εὔμηλος συνεστήσατο. ὁ δὲ νοῦς, ὅπου ποτὲ ἡ τῶν χρυσῶν τοῦ Διὸς ἀετῶν πάρεδρος, καὶ ἱέρεια τοῦ Απόλλωνος Πυθία, οὐκ ἀποδημοῦντος τοῦ θεοῦ ἀλλὰ παρόντος, ἐχρησμῴδησε συνοικιστὴν γενέσθαι τῆς Λιβύης τὸν Βάττον, ὅπως ἂν τὴν ἱερὰν νῆσον Θήραν καταλιπὼν ὁ Βάττος, κτίσῃ τὴν εὐάρματον καὶ ἱππικωτάτην πόλιν, ἐν τῷ εὐφημοτάτῳ καὶ ἄκρῳ μέρει τῆς Λιβύης, καὶ τὸ τῆς Μηδείας ἔπος ἀνασώσῃ τὸ περὶ τῆς Θήρας· ὅτι δὴ ἑπτακαιδεκάτῃ γενεᾷ ἀποικία ἔσται ἐκ Θήρας εἰς Λιβύην. ὅπερ δὴ ἔπος, ἡ τοῦ Αἰήτου παῖς ὀργίλος Μήδεια, ἐκ τοῦ ἀθανάτου ἀπεφθέγξατο στόματος ἡ τῶν Κόλχων βασιλίς. [Οὐκ ἀποδάμου Απόλλωνος.] διὰ τούτων ἐμφαίνει τῶν χρηθέντων τὸ ἀσφαλές. τότε γὰρ ἡ Πυθία μάλιστα ἀκριβέστερον χρησμῳδεῖ, ὅτε πάρεστι τῷ μαντείῳ ὁ θεός. [Ιέρεα.] τὸ Ιέρεα, προπαροξυτόνως τονιστέον. ἔστι γὰρ κατὰ ἀποβολὴν τοῦ ι'. οὐ γὰρ κατὰ Αττικοὺς ἱερέα ἡ ἱέρεια λέγεται. Ομηρος γοῦν φησι· Τὴν γὰρ Τρῶες ἔθηκαν Αθηναίης ἱέρειαν, συστείλας τὴν τελευταίαν. [Οἰκιστῆρα Βάττον.] λείπει τὸ ἔσεσθαι. περὶ τῆς τοῦ Βάττου εἰς τὸ μαντεῖον ἀφίξεως, οὐχ ὁμολογοῦσιν ἀλλήλοις οἱ συγγραφεῖς. οἱ μὲν γὰρ, ἕνεκεν τῆς φωνῆς φασὶν αὐτὸν ἐλθεῖν. καὶ τὸν χρησμὸν ἄνωτε καὶ κάτω ἐπιθρυλλοῦσι· Βάττ' ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Απόλλων, Εἰς Λιβύην πέμπει μηλοτρόφον, οἰκιστῆρα. οἱ δὲ, στάσεως προσπεσούσης πολιτικῆς. ὁ δὲ Μενεκλῆς, πιθανωτέραν δοκεῖν φησι, τὴν στάσεως αἰτίαν. μυθικωτέραν δὲ, τὴν περὶ τῆς φωνῆς. φησὶ δὲ ὅτι οἱ πολῖται ἐν τῇ Θήρᾳ ἐστασίασαν, καὶ διέστησαν ἀλλήλων. ἡγεῖτο δὲ τῆς ἑτέρας τῶν στάσεων ὁ Βάττος. διαγωνισαμένων δὲ τῶν στασεων, τοὺς τοῦ Βάττου συνέβη ἐκπεσεῖν τῆς πόλεως, καὶ φυγεῖν τὴν χώραν. ἀπογινώσκοντας δὲ τὴν εἰς πατρίδα κάθοδον, περὶ ἀποικίας βουλεύεσθαι. ἀποδημήσας δὲ εἰς Δελφοὺς Βάττος, ἠρώτα περὶ τῆς στάσεως, πότερον διαγωνίσονται περὶ τῆς εἰς τὴν πατρίδα ἐπαναστροφῆς, ἢ ἑτέρωσέ ποι ἀποικίαν στείλονται. τὸν δὲ θεὸν χρῆσαι, Βάττε προσέθου καλὸν, τὸ δὲ δεύτερον ἐσθλὸν ἐρεύνα. Ερχεο λειφ' ἀλίαν χώραν· ἤπειρος ἀμείνων Ηῶος. πρότερον δόλον ἔκβαλε πείθεῖ πείθων. Στέρξον γῆν ὁσίως, ἣν μισεῖ πολλὴν * ἀθεμίστως. Οἷά τ' ἀνὴρ ἔρξει, τοῖον τέλος αὐτὸν ἱκάνει. [Ιερὰν νᾶσον.] ἱερὰν εἶπε τὴν Θήραν, ἤτοι διὰ τὸ περὶ τὴν γῆν ἰδίωμα, κισσηρώδης γὰρ οὖσα, πολύφορός ἐστι καὶ πολύκαρπος, ἢ ὅτι Κάδμος ἐπικαλῶν, καὶ τὴν νῆσον οἰκίσας, βωμοὺς ἱδρύσατο Ποσειδῶνος καὶ Αθηνᾶς. Ιεροκλῆς δέ φησι τοὺς ἐκ Λακεδαίμονος ἀποικίσαντας Απόλλωνι αὐτὴν ἀνιερῶσαι. ἐγχωρεῖ δὲ καὶ κόσμου χάριν ἐγκεῖσθαι τὸ ἐπίθετον. ἡ ἱερὰν νῆσον αὐτὴν οὐχ ἁπλῶς ὀνομάζει, ἀλλ' ὅτι Κάδμος κατὰ ζήτησιν Εὐρώπης τῆς ἀδελφῆς στελλόμενος, προσορμισθεὶς τῇ νήσῳ, ἀνέκτισε Ποσειδῶνος καὶ Αθηνᾶς ἱερὸν αὐτόθι, ὡς ἱστορεῖ Θεόφραστος. [Αργινόεντι μαστῷ.] Αρίσταρχος μὲν τὸ Ομηρικὸν, Οὖθαρ ἀρούρης, παράγειν αὐτόν φησι πιθανῶς, ὑπαλλαξάμενον τὸν μαστόν. Ιεροκλῆς δέ φησι κεῖσθαι τὴν πόλιν ἐπὶ λόφου μαστοειδοῦς λευκογείου. μᾶλλον δὲ ἀπὸ τῆς εὐτροφίας, ὡς Αρίσταρχος. καὶ γὰρ ὁ ἀργινόεις συνᾴδει τούτῳ μᾶλλον, ἀπὸ τοῦ γάλακτος.

* Ed. Brub. hab. aſteriſcum.

[Καὶ

ἀντιστροφὴ α'. κώλων ιβ'.

Καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαιτ-
ο, ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ,
Θήραιον· Αἰήτα τό ποτε ζαμενὴς
Παῖς ἀπέπνευσ᾽ ἀθανάτου στόματος,
Δέσποινα Κόλχων. Εἶπε δ᾽ οὕτως
Ἡμιθέοισιν Ἰά-
σονος αἰχματᾶο ναύταις·
Κέκλυτε παῖδες ὑπερ-
θύμων τε φωτῶν καὶ Θεῶν·
Φαμὶ γὰρ τᾶσδ᾽ ἐξ ἁλιπλάγ-
κτου ποτὲ γᾶς, Ἐπάφοιο κόραν

METAPH.

Et Medeæ vaticinium reporta-
ret, cum ſeptima & decima generatione,
Theræum: Æetæ quod quondam cordata
Filia efflavit *ab* immortali ore,
Regina Colchorum. Dixit vero ſic
Semideis Ja-
ſonis bellicoſi nautis:
Audite filii magnani-
morumque virorum & Deorum:
Dico enim ex hac mariva-
ga aliquando terra, Epaphi filiam

PARAPHRASIS.

& vaticinium illud curaret ac perficeret quod in Thera inſula, ubi gleba ab Eurypylo in hoſpitale munus Eumelo data, aquis exundantibus diſſoluta eſt, iracunda Medea Æetæ filia Colchorum regina, immortali ore pronunciavit, fore ut qui decimus ſeptimus ab Eumelo naſceretur, ex Thera in Libyam migraret. Etenim hæc illius verba fuerunt ad ſemideos Jaſonis bellicoſi ſocios. Aures menteſque advertite, ô viri magnanimorum virorum & Deorum filii, aſſero ex hac inſula Thera, quæ fluctibus undique percutitur, aliquando deductum iri coloniam, quæ in Libya Epaphi filiæ

NOTÆ.

15 Ἔπος ἀγκομίσαιτο] Vaticinium ratum faceret. Portus. 17 Θηραῖον MS. γ. Ζαμενής] Schmidius interpretatur Magnos animi motus habens, propter vim vaticinandi. Vide quomodo Autor utitur hoc epitheto P. Od. 9, 65. ubi ſenſum ab iracundia longe remotum ei tribuas neceſſe eſt. 18 Ἀθανάτου] Propter vim oraculorum, quæ quaſi ab immortali Deo prolata videbantur. Schmid. 20 Ἡμιθέοισιν] Explicat in ſequentibus. quinam Semidei iſti vel Heroës fuere, παῖδες φωτῶν καὶ Θεῶν, eadem ratione ac Heſiodus Ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται Ἡμίθεοι. MS. C. 7. leg. Ἡμιθέοις τοῖς Ἰά — Iſtud vero τοῖς videtur inſertum ad explicationem vocis ἡμιθέοισιν ſc. τοῖς ναύταις κ.λ. Ad Syllabarum numerum, ut alibi obſervavimus; non ad quantitatem attenderunt, qui Codd. MSS. exarari curavere. Ideo iis videbatur abundare -σιν in quorum Codd. irrepſerat τοῖς. 21 Αἰχμάταο leg. Edd. quædam. Acc. in Antep. 24 Ἀλιπλάγκτου] Hæc vox deducitur vel à πλάζω, & juxta hoc etymon vertimus in Metaphraſi: vel à πλήττω. & iſtius vocis ſenſum expreſſit Paraphraſtes ex vet. Interpr. Lat. & Schol. Unde & Pal. C. quia in compoſitis à πλήττω, non invenitur, omiſit legitque ἀλιπλάκτου. Hoc epitheton Inſulis, quæ dicuntur natantes, proprie quadrat. Utrum tamen Thera talis fuerit, non conſtat ex Hiſtoricis. Quia vero Sophocles Pana vocat ἀλίπλαγκτον, utpote in Promontoriis cultum, ideoque & ipſa hoc epitheto notantur; veriſimile eſt, Inſulas & oras ita nominari, quod oculis navigantium & in mari jactatorum eæ etiam errare videantur. 25 Γᾶς, Ἐπάφοιο] Schol. poſt Ἐπάφοιο diſtinguit, & refert Ἐπάφοιο ad γᾶς æque ac κόραν. Terra Epaphi eſt Libya; verum Poëta ex Thera inſula non ex Libya originem Cyrenes aliquando futuram, Medeam vaticinantem introducit. Diſtinguendum igitur poſt γᾶς, aliter quam Edd. Brub. ac Rom.

[Καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι.] ἀντὶ τοῦ ἀνακομίσειεν, ἐπιμελείας ἀξιώσειεν. ἔχει δὲ ἡ ἱστορία οὕτως. ἡνίκα εἰς τὴν Σύρτιν ἐμπεσόντες οἱ Ἀργοναῦται, ἔφερον διὰ Λιβύης ἐπ᾽ ὤμων τὴν Ἀργώ, εἶτα καθῆκαν εἰς τὴν θάλασσαν, συντυχόντες Εὐρυπύλῳ τῷ τοῦ Ποσειδῶνος παιδί. καὶ ἐπιγνόμενοι πρὸς τὸν πλοῦν, ἐδέξαντο ξένια τὰ παρατυχόντα. ἐκεῖνος γὰρ βῶλον ἀπὸ τῆς γῆς λαβών, ἔδωκεν. ὁ δὲ Εὔφημος ἐδέξατο. εἶτα πρὸς τῇ Θήρᾳ ὑποκλύσαντος τοῦ κύματος, καὶ διαλυθείσης τῆς βώλου, ἐμαντεύσατο ἡ Μήδεια ἐν τῇ Θήρᾳ ὄντων αὐτῶν, τοὺς ἀπ᾽ Εὐφήμου ἑπτακαιδεκάτῃ γενεᾷ, ἀποικίαν στείλασθαι ἐκ Θήρας εἰς Λιβύην. ὁ δὲ Εὔφημος παῖς Ποσειδῶνος ἦν, καὶ Μηκιονίκης τῆς Εὐρώτα θυγατρὸς, ὃς ἔγημε θυγατέρα Ἀλκμήνης Λαονόμην. ἀφ᾽ οὗ ἑπτακαιδέκατος ὢν ὁ Βάττος, ὁ καὶ Ἀριστοτέλης, ἀποικίαν ἐς Λιβύην ἐστείλατο· κατὰ τὴν μαντείαν οὖν τῆς Μηδείας, ἑπτακαιδέκατος ὢν ὁ Βάττος, ἐδυσύχησε τῇ φωνῇ. καὶ ἐκ θεοῦ, τίς λύσις εἴη, ἀνερωτῶντι αὐτῷ, ἀνείλετο οὕτω· Βάττ᾽ ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων, Εἰς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα. τὸ δὲ σημεῖον, ὅτι ἑπτακαιδεκάτῃ γενεᾷ ἀπὸ τῶν Ἀργοναυτῶν, φησί, γενομένην ἐκ τῶν Λημνιαδῶν, οἰκίσαι τὴν πρότερον Καλλίστην, ὕστερον δὲ Θήραν. Θήραιον δέ, τὸ περὶ τῆς Θήρας λεχθέν, ἢ τὸ ἐν Θήρᾳ εἰρημένον. ἐκεῖ γὰρ ὁ λόγος τῆς Μηδείας καὶ τὸ μάντευμα ἐξέβη. [Ζαμενής.] ζαμενὴς ἡ ἄγαν ὀργίλος. τὸ δὲ ἐπίθετον ἐκ τῆς ἱστορίας. ὅτι ὑπέμεινε τοὺς ἑαυτῆς παῖδας ἀποσφάξαι, καὶ τὸν ἀδελφὸν Ἄψυρτον. [Ἀθανάτου στόματος.] ἀθάνατον στόμα τὸ Μηδείας εἶπεν, ὡς μὲν Χαῖρις, ἐκ μέρους τὸ ἀθάνατον. ἐπεὶ καὶ Ἡσίοδος ἐν τῇ Θεογονίᾳ, ἀθάνατον αὐτὴν φησίν. ὡς δὲ Ἀσκληπιάδης, ὅτι οὐδὲν τῶν ῥηθέντων ὑπ᾽ αὐτῆς, ἀτελὲς γέγονεν, οὐδὲ ἐφθάρη. [Κέκλυτε] ἐπακούσατε ὦ μεγαλοψύχων τε ἀνδρῶν, καὶ θεῶν παῖδες. [Φαμὶ γὰρ τᾶσδ᾽ ἐξ ἁλιπλάκτου γᾶς·] τῆς Θήρας φησίν· ἤτοι ὅτι ἐνάλιος οὖσα πλήττεται ὑπὸ τῶν κυμάτων, ἢ τῆς βώλου τῆς διαλυθείσης ὑποκλύσαντος τοῦ κύματος τὴν ναῦν. ὁ δὲ νοῦς. φημὶ γὰρ ἐκ ταύτης τῆς γῆς τῆς Ἐπάφου, κόρην Λιβύην τῶν πολιτῶν τὴν ῥίζαν καὶ καταβολὴν φυτεῦσαι, καὶ ἄπειρα τοῖς ἀνθρώποις ἐν ἐπιμελείᾳ οὖσαν, ἐν τοῖς τοῦ Ἄμμωνος θεμέθλοις· τουτέστιν ἐν τῇ Λιβύῃ. [Ἐπάφοιο κόραν.] τὴν Λιβύην φησὶ τὴν ἡρωΐδα. ἀφ᾽ ἧς καὶ ἡ χώρα ὁμώνυμος. Ἐπάφου γὰρ τοῦ Διὸς, καὶ Ἰοῦς τῆς Ἰνάχου, ὁμώνυμος Λιβύη. ἧς καὶ Ποσειδῶνος, Βῆλος. εἰώθασι δὲ οὕτω συμπλέκειν τὰ τῶν χωρῶν, ἢ τῶν πόλεων καὶ τὰ τῶν ἡρωΐδων ὀνόματα διακοινοποιοῦντες, οἷον, εὐάρματε χρυσοχίτων, ἱερώτατον ἄγαλμα Θήβα. τὸ μὲν γὰρ εὐάρματε, τῆς πόλεως· τὸ δὲ χρυσοχίτων, τῆς ἡρωΐδος.

[Ἀσίων

Ἀστέων ῥίζαν φυτεύ-	Urbium radicem plantatu-
σεσθαι μελησίμβροτον,	ram-esse quæ-sit-curæ-mortalibus,
Διὸς ἐν Ἄμμωνος θεμέθλοις.	Jovis in Ammonis fundamentis.
ἐπῳδὸς α΄. κώλων ιγ΄.	Μεταφρ.
Ἀντὶ δελφίνων δ᾽ ἐλαχυπτερύγων	Pro delphinis vero parvas-habentibus-alas
Ἵππους ἀμείψαντες θοάς,	Equas permutantes veloces,
Ἀνία τ᾽ ἀντ᾽ ἐρετμῶν,	Habenasque pro remis,
Δίφρους τε νωμάσοισιν ἀελλόποδας.	Currusque gubernabunt citos.
Κεῖνος ὄρνις ἐκτελευτά-	Illud augurium effici-
σει, μεγάλαν πολίων ματρόπολιν	et, magnarum urbium metropolin
Θήραν γενέσθαι· τόν ποτε	Theram fieri: quod olim
Τριτωνίδος ἐν προχοαῖς	Tritonidos in ostiis
Λίμνας, Θεῷ ἀνέρι εἰδομένῳ,	Paludis, à-Deo homini assimilato,
Γαῖαν διδόντι ξείνια,	Terram dante pro-xeniis,
Πρώραθεν Εὔφαμος καταβὰς	E-prora Euphemus descendens

PARAPHRASIS.

cognomine Cyrenen incolet, ex qua tanquam radice ac metropoli mortalibus curæ futura, in Jovis Ammonis sacro solo, aliæ producentur, ut Apollonia & Teuchira, quas Cyrenæi condent. Tum vero quum Theræi ab insularibus facti erunt mediterranei, & Cyrenen incolent, non amplius delphinos brevibus pinnis tanquam alis mare secantes sed celeres equas, non remos sed habenas, non naves sed veloces currus regent: omniaque instrumenta & opera marina, maris in posterum ignari, terrestribus permutabunt. Gleba illa quam olim in Tritonide palude Triton juveni Eurypylo Neptuni filio, regionis illius regi assimilatus, in hospitale munus dedit Argonautis, & quam ad eum ex prora descendens accepit Euphemus: gleba inquam illa utpote certum augurii symbolum, portendit Theram insulam, magnarum urbium, nimirum Cyrenes, Apolloniæ & Teuchiræ olim metropolin

NOTÆ.

26 Ἀστέων ῥίζαν] Cyrene enim erat mater duarum urbium, ut apud Schol. videamus, licet ipsa metropolin, Theram scilicet, agnoscere debeat. 27 Μελησίμβροτον] Aret. monet Active sumi, Quæ curam Reip. & suorum civium gerit. Nos quidem vertimus, Curam hominum, nempe eorum, qui eam olim ornaturi sunt. Compositum enim est ex μελήσει Futur. τοῦ μέλει, ac βροτός. 28 Θεμέθλοις] Pind. Lex. ipsum Templum per hanc vocem intelligit. 29 Δελφίνων] Neander per δελφῖνας intelligit naves, quæ vela habent similia pennis delphinum. Ελαχυπτερύγων] Lonicer. reddidit, Pennis alarum instar insignium. 34 Μεγάλαν est vel Accus. Sing. & sic refertur ad ματρόπολιν· vel, quod aptius videtur, Genitiv. Plur. Doric. Quæ enim magnarum urbium metropolis est, merito ipsa major videtur. Schmid. Μητρόπολιν Commune leg. MS. γ. 36 Προχοαῖς] Vulg. versio, Fluentis. 37 Θεῷ κ. λ.] Vulg. vers. Ad Deum, sc. descendens, quam sequitur Paraphrastes. 39 Εὔφημος Commune leg. MS. C. 71. Videtur hic Euphemus, is esse, quem Orpheus & Apollonius Polyphemum vocant. Herodotus Εὔθυμον, ut & putat Schmid.

[Ἀστέων ῥίζαν.] τὴν Κυρήνην φησίν. ἐξ αὐτῆς γὰρ καὶ Ἀπολλωνία καὶ Τεύχειρα ἐκτίσθησαν. [Μελησίμβροτον] δέ φησι, τὴν διὰ φροντίδος οὖσαν πολλοῖς. βούλεται δὲ λέγειν, ὅτι ἐκ τῆς Θήρας ἡ Λιβύη μεταφυτευθήσεται, πόλεων ῥίζα. [Διὸς ἐν Ἄμμωνος.] Ἄμμωνα Λίβυες τὸν Δία προσαγορεύουσι. καὶ οὕτω τιμῶσι. καὶ ἔστιν αὐτοῦ μαντεῖον ἐν Λιβύῃ. καὶ γὰρ καὶ Φαῖστος ἐν τοῖς Λακεδαιμονικοῖς ἐπιβάλλων, φησί· Ζεῦ Λιβύης Ἄμμων κερατηφόρε, κέκλυθι μάντι. ἐνταῦθα δὲ πῶς τὴν Κυρήνην τοῦ μαντείου πλησίον εἶναί φησιν, ἀπέχει γὰρ ἱκανοῖς σταδίοις; ἀλλὰ ῥητέον ὅτι πᾶσα ἡ χώρα ἀφιέρωται τῷ θεῷ. [Ἐλαχυπτερύγων.] τὸ ἐλαχὺ, πρὸς σύγκρισιν τῶν ὀρνέων. ἀντὶ δὲ νησιωτῶν καὶ θαλασσίων ἔργων, ἠπειρωτικὰ καὶ ἱππικὰ μεταλήψονται. ὁ δὲ λόγος, ὅτι νησιῶται ὄντες οἱ Θηραῖοι, ἠπειρῶται γενήσονται. ὁ δὲ νοῦς. ἀντὶ δὲ τῶν μικροπτερύγων δελφίνων, ἵππους μεταλήψονται, καὶ ἡνία ἀντὶ κωπῶν. καὶ δίφρους κινήσουσι κατὰ τὸν δρόμον. πτέρυγας δὲ τῶν δελφίνων τὰς ἀκάνθας φησί, τὰς ἑκατέρωθεν τῶν βραγχίων, αἷς καὶ διανήχονται, καὶ διίπτανται ὥσπερ οἱ ἰχθύες. ἀελλόποδας δὲ, ἀπὸ τῶν ἑλκόντων τοὺς δίφρους εἴρηκεν. [Κεῖνος ὄρνις.] ἐκεῖνο τὸ σύμβολον, ἐκεῖνος ὁ οἰωνὸς, τουτέστιν ἡ βῶλος· τὸ γὰρ ὄρνεον, ὅτι τὴν βῶλον λαμβάνουσι, παρασκευάσει τῶν μεγίστων πόλεων μητρόπολιν γενέσθαι τὴν Θήραν. ἀπὸ γὰρ ταύτης ἡ Κυρήνη ἀνακτίζεται. [Τόν ποτε Τριτωνίδος.] Τρίτων ποταμὸς Λιβύης, ἐν ᾧ ἡ Ἀθηνᾶ ἐγεννήθη. ἀφ᾽ οὗ καὶ Τριτογένεια ὀνομάζεται. [Ἄλλως.] Τριτωνίδος λίμνης οὔπω καλυμμένης περὶ τὴν Λιβύην. καθ᾽ ἣν συντρέχοντες τῷ Εὐρυπύλῳ οἱ Ἀργοναῦται, τὴν βῶλον ἐδέξαντο. ὁ δὲ νοῦς. ὅνπερ ὄρνιν, λέγει δὲ τὴν βῶλον, ἐν ταῖς προχοαῖς τῆς Τριτωνίδος λίμνης, θεῷ ἀνδρὶ ὁμοιωθέντι, καὶ ξένια παρεχομένῳ ἐκ τῆς πρώρας καταβὰς ὁ Εὔφημος ἐδέξατο. Ζητητέον δὲ, δι᾽ ἣν αἰτίαν ὑπεδέξατο τὴν βῶλον ὁ Εὔφημος. Καὶ οἱ μέν φασιν, ὅτι πρωρεὺς ἦν. φαίνεται γὰρ καὶ ὁ Εὐρύπυλος ἐπιστὰς τῇ πρώρᾳ, καὶ ἐπιδοὺς τὸ ξένιον. οἱ δὲ, διὰ τὴν συγγένειαν. ἀμφότεροι γὰρ Ποσειδῶνος ὅ, τε δοὺς, καὶ ὁ λαβών. ὁ δὲ Ἀσκληπιάδης, τὰ ἐν ταῖς μεγάλαις Ἠοίαις παρατίθεται· Ἠοίη υἱεῖν πυκινόφρων Μηκιονίκη, Ἡ τέκεν Εὔφημον, γαιαόχῳ ἐννοσιγαίῳ, Μιχθεῖσ᾽ ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης. [Θεῷ ἀνέρι εἰδομένῳ.] τοῦτο καινοτέρως ὁ Πίνδαρος ἱστορεῖ, ὅτι θεὸς Εὐρυπύλῳ παρεικασθεὶς παρέστη τοῖς Ἀργοναύταις.

[Αἴσιον

Δέξατ'· αἴσιον δ' ἐπί οἱ Κρονίων
Ζεὺς πατὴρ ἔκλαγξε βροντάν,

στροφὴ ϛ'. κώλων ιδ'.

Ανίκ' ἄγκυραν ποτὶ χαλκόγενυν
Ναΐ κριμνάντων ἐπέτοσσε, θοᾶς
Αργοῦς χαλινόν. Δώδεκα δὲ πρότερον
Αμέρας ἐξ ὠκεανοῦ φερόμεθα
Νώτων ὕπερ γαίας ἐρήμων
Εἰνάλιον δόρυ, μή-
δεσιν ἀνασπάσαντες ἁμοῖς.
Τουτάκι δ' οἰοπόλος
Δαίμων ἐπῆλθεν, φαιδίμαν
Ανδρὸς αἰδοίου πρόσοψιν
Θηκάμενος· φιλίων δ' ἐπέων

Accepit: faustum autem ei Saturnius
Jupiter pater superintonuit tonitru,

Metaph.

Quando ad anchoram æreas-genas-habentem,
De nave suspendentibus forte accessit, velocis
Argus frænum. Duodecim vero prius
Dies ex oceano ferebamus
Super terga terræ deserta
Marinum lignum, consi-
liis quum-extraxissemus meis.
Tunc vero solivagus
Deus accessit, illustrem
Viri venerandi faciem
Quum-assumpsisset: amica vero verba

P A R A P H R A S I S.

futuram. Quod fœlix faustumque fore Saturnius ipse Jupiter innuit, quando cum fragore lævum intonuit. Quum autem avulsa ænea anchora, eaque à navi suspensa, qua immota retinetur, ut equus fræno à cursu cohibetur, soluturi essent Argonautæ, illis supervenit Triton. Prius autem per duodecim dies, per Libyæ deserta, ereptam Syrtibus navim meo consilio vectaveramus. Tunc inquam solivagus ille Deus assumpto viri reverendi Cyrenæ regis Eurypyli decoro vultu, supervenit. Porro eos verbis amicis

N O T Æ.

40 Επί οἱ ἔκλαγξε] Nimirum Danti vel Accipienti, non vero Medeæ vaticinanti, ut annot. Neander. 42 Χαλκόγενυν] Pari ratione sagittam Poëta vocat χαλκοπάρᾳον. Hinc Anchora dicitur mordere, ut in Ænigmate Symphorii: *Servitor aquas medias, ipsas quoque mordeo terras.* Virg. 1 Æn. --*Naves imo non alligat anchora morsu.* & alibi, --*Dente tenaci Anchora fundabat naves*, ubi *Dens* est quod hic γένυν. 43 Επέτοσσε] Portus annot. esse à verbo πετόω quod est supervenio forte fortuna, derivato à πέτω idem quod πίπτω vel à πέτω idem quod πέτομαι, qua ratione significatum Advolandi habet: vel ab ἐπιποτίζω (vide illius not. ad Pyth. 10. in voce ἐπιτόσσαις) κατὰ συγκοπὴν ἐπέτοσσε ab ἐπεπότισε. Sic ἐπιποτίζειν sumitur pro ἐπὶ τόπῳ τινὶ ἐπιτυχεῖν. Sed Schmid. existimat verbum esse ἐπιτόσσω. At quomodo id rescivit? Sane Particip Indef. 1. ἐπιτόσσαις aliud videtur indicare. Attamen cum nil melius ipse proferat, Portum ridicula scripsisse, statuit. Si conjecturæ indulgendum esset, Portus eam quoque suppeditaret; scilicet ἐπιτύξας vel ἐπιτυχέσας legendum. Lexica vulgata silent. Syntaxis, ἀνίκα ἐπέτοσσε (ὁ Τρίτων) ποτὶ ἄγκυραν χαλκόγενυν (ἡμῶν) κριμνάντων (αὐτὴν) ναΐ, ni malles admittere Hypallagen, ut sit pro ἐπέτοσσε ποτὶ κριμνάντας ἄγκυραν ναΐ. MS. C. 71. leg. θοάς. 45 Ωκεανοῦ] Καταχρηστικῶς. Ωκεανὸς enim proprie est vastum illud mare Europam, Asiam & Africam suo complexu extrinsecus cingens. Hic vero notatur ea pars maris Mediterranei, quæ Libycum mare vulgo appellatur. Hæc Schmidius κριτικωτέρως. Quasi non esset solenne Poëtis veteribus nomine Oceani designare mare Mediterraneum ejusque sinus; imo, quasi hæc non esset vulgariter recepta illius interpretatio, & alter ille significatus non esset recentior. 46 Νώτων ὕπερ κ. λ.] Id est, Per syrtes, quas Poëta ita vocat propter latitudinem & altitudinem: ἔρημα, propter τὸ ἀμμῶδες, & quod naves ibi raro visantur. Schmid. Sed νώτων potius dixit, respiciens ad φέρομεν. 47 Εινάλιον Commune hab. Impressi omnes. Δόρυ] Lonicer. Hastam reddit. Sed primarium hujus vocis significatum retinet Pindarus, prout sumitur pro Quercu seu Ligno, & quicquid ex eo fit. Ideo Vulg. vers. hab. Machinam. 48 Μήδεσιν Impressi. 50 MS. γ. leg. ἐπῆλθεν, quod & metrum jubet. Alii omitt. ν finale.

[Αἴσιον δ' ἐπί οἱ Κρονίων.] αἴσιον δὲ ἐπὶ τῇ δόσει βροντήσας, ἐπεκλίπησεν ὁ Ζεύς. [Ανίκ' ἄγκυραν.] τὸν Τρίτωνά φησιν αὐτοῖς συντετυχηκέναι ἀναγομένοις ἤδη. ὅταν γὰρ τὰς ἀγκύρας βυθοῦ ἀνασπάσαντες ἐκκρεμῶσι τῆς νεώς. Αργοῦς δὲ χαλινὸν, τὴν ἄγκυραν λέγει ἀπὸ μεταφορᾶς τῶν ἵππων, διὰ τὸ ἐπέχειν τὰς ναῦς δίκην χαλινοῦ. πρὸς τῇ νηῒ γὰρ κριμνάντων, ἐπεκύρησε· τουτέστιν, ἀναγομένων. τίς δὲ ἐπεκύρησεν; ὁ ἀνδρὶ εἰκασμένος Τρίτων. ὁ νοῦς. ὅτε τὴν ἄγκυραν τὴν χαλκᾶς ἔχουσαν γένυς, πρὸς τῇ νηῒ ἀνελκυσάντων τῶν Αργοναυτῶν καὶ κριμνάντων, ἐπέτυχεν ὁ Εὐρύπυλος. σημαίνει δὲ διὰ τούτων τὸν ἀπόπλουν. ὅτε γὰρ πλεῖν μέλλουσιν, ἀνάγουσι τὰς ἀγκύρας. ἐπέτοσσε δὲ, ἀντὶ τοῦ ἐπέτυχε. [Δώδεκα δὲ πρότερον ἁμέρας.] τοῦτο προσανειληφέναι φησὶ Δίδυμος Πίνδαρον, τερατείας χάριν τῆς πρὸς ἡμᾶς. ἐπεὶ οὐδὲ πρέπον τὸ πρὸς εἰδότας λέγειν. ὁ δὲ Αμμώνιος περὶ τούτων οὕτω γράφει, καὶ ἑαυτὸν συμπεριλαμβάνει, διὰ τὸ ταῖς αὐτῆς βουλαῖς, τὴν ἔξω φυγὴν ποιήσασθαι. ἐκβιβάσαι γὰρ συνεβούλευσε, καὶ διὰ τῆς Αδρίας ποιῆσαι τὸν πλοῦν. τοῦτο δὲ ἐναντίον, τὸ ἐκ τοῦ Ωκεανοῦ ὑπὲρ τὴν Λιβύην κομίσαι τὴν ναῦν εἰς τὴν Τριτωνίδα. ἀλλὰ μᾶλλον, ὡς διὰ τοῦ Φάσιδος εἰς τὸν ὠκεανὸν ἐκπεπλωκότων. ὁ νοῦς. οἱ λόγοι παρὰ τῆς Μηδείας· ἐν δώδεκα ἡμέραις τὸ πρότερον ἔξω τοῦ ὠκεανοῦ ἐφερόμεθα, κατὰ τῶν νώτων τῆς ἐρήμου καὶ ὁμαλῆς γῆς, τὸ θαλάττιον δόρυ. τουτέστι, τὴν ναῦν, τοῖς ἡμετέροις βουλεύμασιν ἀνασπάσαντες. [Μήδεσιν ἀνασπάσαντες ἁμοῖς.] τὸ πρόσωπον τῆς Μηδείας μιμεῖται ὁ ποιητής. τοῖς ἡμετέροις φησὶ βουλεύμασιν ἀνασπάσαντες. παρὰ τὸν Λιβυκὸν Ωκεανὸν ἐλθόντες, καὶ μὴ δυνάμενοι ἐξελθεῖν, διὰ τὸ εἶναι τεναγώδη, συμβουλαῖς τῆς Μηδείας τὴν ναῦν βαστάσαντες διεκόμισαν εἰς τὴν Τριτωνίδα λίμνην. [Τουτάκι δ' οἰοπόλος.] τὸ τηνικαῦτα δὲ ὁ μόνος ἀναστρεφόμενος θεὸς παρεγένετο. ἀνδρὸς αἰδεσίμου, καὶ ἀξιοπρεποῦς, φαιδρὰν καὶ εὐπρεπῆ ὄψιν ἑαυτῷ περιθείς. ὅ ἐστιν, ὁ Τρίτων, Εὐρυπύλῳ ὁμοιούμενος Κυρήνης βασιλεῖ. [Φιλίων δ' ἐπέων.] λόγων δὲ προσφιλῶν καὶ φιλοφρονητικῶν κατήρχετο, ὥσπερ τοῖς ξένοις παραγεγονόσιν οἱ ξενισταὶ, τὰ δεῖπνα καὶ τὴν φιλοφροσύνην πρῶτον ἐπαγγέλλονται, οὕτω καὶ αὐτὸς ταῦτα ἐπηγγείλατο. τοῦτο γὰρ δεῖ συνυπακοῦσαι.

Ἄρχετο, ξείνοις ἅτ' ἐλ-
θόντεσσιν εὐεργέται
Δεῖπν' ἐπαγγέλλοντι πρῶτον.

ἀντιστροφὴ β'. κώλων ιδ'.

Ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ
Κώλυεν μεῖναι. Φάτο δ', Εὐρύπυλος
Γαιαόχου παῖς ἀφθίτου Ἐννοσίδα
Ἔμμεναι. Γίγνωσκε δ' ἐπειγομένους.
Ἂν δ' εὐθὺς ἁρπάξαις ἀρούρας
Δεξιτερᾷ προτυχὸν
Ξείνιον, μάστευσε δοῦναι.
Οὐδ' ἀπίθησέ νιν· ἀλ-
λ' ἥρως ἐπ' ἀκταῖσιν θορὼν,
Χειρί οἱ χεῖρ' ἀντερείσαις,
Δέξατο βώλακα δαιμονίαν.

Ordiebatur, hoſpitibus velut adveni-
entibus benefici
Cœnam denunciant primum.

METAPH.

Veruntamen reditus occaſio dulcis
Prohibebat manere. Dixit vero, *ſe* Eurypylum
Terrā-continentis filium immortalis Neptuni
Eſſe. Agnoſcebat vero *nos* feſtinantes.
Statim itaque arripiens terræ
Dextra obvium
Hoſpitale-munus, quæſivit *Euphemo* dare.
Neque inobediens-fuit ipſi : ſed
Heros *Euphemus* in littora proſiliens,
Manui ejus manum quum-contra-porrexiſſet,
Accepit glebam felicem.

PARAPHRASIS.

compellavit : utque ſolent benefici hoſpites, ad hoſpitium invitatis ante omnia cœnam denunciavit. Verumenimvero prætextus jucundi in patriam ad quam properabant reditus, prohibuit quominus manerent, & beneficiis ab hoſpite blando oblatis fruerentur. Is autem profitebatur ſe appellari Eurypylum : ſeque Neptuni terram continentis & tridente concutientis Dei immortalis filium dicebat. Et quia nos feſtinare cognoſcebat, nec ſine munere abire volebat, quidvis obvium nobis offerre quæſivit, glebamque raptim è ſolo captam dextra manu prætendit. Tum Heros Euphemus non neglecto tam benigni hoſpitis munuſculo, protinus in ripam è prora deſiliit, & dextram dextræ jungens, beatam illam quæ à Deo offerretur, glebam accepit.

NOTÆ.

53 Ξείνοις Commune Impreſſi fere omnes. 55 Δεῖπν'] Diphthongus διαλυθεῖσα in ſcanſione cenſetur. Πρῶτον] Nam altero vel ſequente die, vel etiam in ipſo diſceſſu Xenia (quale erat Gleba quam Euphemus accepit) dare, veteribus moris erat. 56 Νόστου πρόφασις] Quia jam poſt 12 dierum laborem in Syrtibus exantlatum, in oſtio Tritonis, profundum inveneramus. Schmid. 57 Κώλυε leg. Impreſſi. 59 Γίγνωσκε] Vulg. hab. Animadvertebat. Ἐπειγομένους] Incitatos amore ſcil. Patriæ & ſpe in eam redeundi. 60 Ἁρπάξας Commune MSS. γ. & C. 71. 61 Προτυχὸν] Tumultuarium, quod ad manus eſſe poterat. Aret. 62 Ξένιον Comm. Editt. pleræque. 63 Οὐδ' ἀπίθησέ νιν] Neander vertit, Neque recuſavit eam glebam. 65 Ἀντερείσας Commune leg. MS. γ. 66 Δαιμονίαν] Felicem, quia terræ Libycæ occupandæ erat ſymbolum ; vel Fatalem, eodem reſpectu.

[Ἀλλὰ γὰρ νόστου πρόφασις.] ἀλλὰ γὰρ ἡ γλυκείας ἀνακομιδῆς πρόφασις, ἐκώλυσεν αὐτοὺς παραμένειν, καὶ τῆς θεοῦ δεξιώσεως ἀπολαύειν. [Φάτο δ' Εὐρύπυλος.] ἔλεγε δὲ ὁ Εὐρύπυλος τοῦ ἀφθάρτου Ποσειδῶνος εἶναι παῖς. τοῦτον Ἀπολλώνιος, ποτὲ μὲν Εὐρύπυλον προσαγορεύει, ποτὲ δὲ, Τρίτωνα. Ἀκέσανδρος δέ φησιν αὐτὸν ἀδελφὸν εἶναι τὸν Εὐρύπυλον Τρίτωνος, γράφων οὕτως· Εὐρύπυλος, Ποσειδῶνος καὶ Κελαινοῦς τῆς Ἄτλαντος, Τρίτωνος ἀδελφός. οὗτος γαμεῖ Στερόπην, τὴν Ἡλίου, καὶ Πασιφάης ἀδελφὴν, καὶ γεννᾷ παῖδας δύο, Λυκάονα, καὶ Λεύκιππον. [Γίγνωσκε δ' ἐπειγομένους.] συνεώρα δὲ καὶ αὐτός φησιν ἡμᾶς ἐπειγομένους. [Δεξιτερᾷ προτυχόν.] Χαῖρις φησὶ δεῖν γράφειν † παρατυχὸν ἵν' ᾖ, ἀναρπάσας εὐθὺς ἐκ τῆς γῆς τῇ δεξιᾷ χειρὶ τὸ παρατυχὸν ξένιον, ἐζήτει παραδοῦναι. ὅπερ ἦν βῶλος. Διατί δὲ Εὔφημος ἐδέξατο πολλῶν ὄντων ζητεῖται. Καὶ οἱ μέν φασι, διὰ τὸ ἐγγύς. πρῳρεὺς γὰρ ἦν. διό φησι Πίνδαρος προθόρηθεν. οἱ δὲ, διὰ συντυχίαν. οἱ δὲ, ὅτι ὁ δοὺς τὴν βῶλον, εἴτε Τρίτων ἦν εἰκασμένος Εὐρυπύλῳ, εἴτε Εὐρύπυλος, οὗτος ἦν Ποσειδῶνος υἱός. ἄλλως δὲ καὶ ὅλη ἡ Λιβύη, ἱερὰ Ποσειδῶνος, διὰ τὸ μεμίχθαι Λιβύῃ τὸν Ποσειδῶνα. ταύτῃ οὖν καὶ ὁ Εὔφημος διὰ τὴν οἰκειότητα ἐδέξατο. προσθείη δ' ἄν τις, ὅτι καὶ Ταινάρου ἐβασίλευεν. αὕτη δὲ Ποσειδῶνος ἱερά. Ἀσκληπιάδης δέ φησιν, ὅτι καὶ Περικλύμενος, καὶ Ἐργῖνος, καὶ Ἀγκαῖος, υἱοὶ Ποσειδῶνος. τί οὖν οὐδεὶς εἴληφε τούτων ; φησὶ γοῦν αὐτὸς, δῶρον ἔχειν τὸν Εὔφημον παρὰ Ποσειδῶνος τὴν θάλασσαν ἀπημάντως διαπορεύεσθαι ὡς διὰ γῆς. πρὸς δὲ τοὺς λέγοντας, ὅτι κυβερνήτης ὁ Εὔφημος ἦν καὶ πρῳρεύς· τοῦτο γὰρ ἱστορεῖ Θεόπομπος· λεκτέον ὅτι καὶ πάνυ λόγον ἔχει τὸν κυβερνήτην ὡς ἡγούμενον τῆς νεὼς, τὴν βῶλον παρὰ τοῦ Τρίτωνος λαβεῖν. [Οὐδ' ἀπίθησέ νιν.] Παθητικῶς. οὐδ' ἀπιθῆ αὐτὸν πεποίηκε πρὸς τὴν ὑποδοχήν. [Ἀλλ' ἥρως ἐπ' ἀκταῖσι θορών.] ὁ δὲ ἥρως Εὔφημος ἐπιθορὼν τῆς ἀκταῖς, τῇ αὐτοῦ χειρὶ τὴν αὐτοῦ ἀντερείσας, ἤγουν ἀνθαρμόσας, ἢ συνάψας, καὶ ἐπεκτείνας χεῖρα, ἐδέξατο τὴν θείαν βῶλον. [Βώλακα δαιμονίαν,] τὴν θείαν. ἤτοι ὅτι ἐξ αὐτῆς ἀποικίαι καὶ χρησμοὶ Ἀπόλλωνος, ἢ ὅτι θεὸς ὁ δωρησάμενος.

† Omnes hab. προτυχὸν.

[Πεύθομαι

Πεύθομαι δ' αὐτὰν κατα-
κλυσθεῖσαν ἐκ δούρατος,
Εναλίᾳ βᾶμεν σὺν ἅλμᾳ,

ἐπῳδὸς ϛ'. κῶλον ιγ'.

Εσπέρας ὑγρῷ πελάγει σπομέναν.
Η μάν νιν ὄτρυνον θαμὰ
Λυσιπόνοις θεραπόν-
τεσσι φυλάξαι. Τῶν δ' ἐλάθοντο φρένες.
Καὶ νῦν ἐν τᾷδ' ἄφθιτον νά-
σῳ κέχυται Λιβύας εὐρυχόρου
Σπέρμα, πρὶν ὥρας. Εἰ γὰρ οἴ-
κοι νιν βάλε πὰρ χθόνιον
Αἴδα στόμα, Ταίναρον εἰς ἱερὰν
Εὔφαμος ἐλθὼν, υἱὸς ἱπ-
πάρχου Ποσειδάωνος, ἄναξ,

Audio autem eam sub-
mersam è ligno *i. e. navi*,
Marina abiisse cum salsugine,

METAPH.

Vesperæ humido pelago subtractam.
Certe ipsam mandabam sæpe
A-labore-liberantibus-heros famu-
lis servare. At eorum oblitæ-sunt mentes.
Et nunc in hacce immortale in-
sula diffusum est Libyæ spaciosæ
Semen, ante tempus. Si enim do-
mi ipsam projecisset juxta terrestre
Inferni ostium, Tænarum ad sacram
Euphemus ubi-pervenisset, filius equi-
tum-præsidis Neptuni, rex,

PARAPHRASIS.

At eam è mari delapsam audio esse submersam, & aquæ marinæ permixtam: cum per occidentale pelagus ferretur. Attamen ego subinde famulos, quorum est cura laboribusque liberare dominos, hortabar ut eam diligenter custodirent. Verum ut video, mandatorum obliti sunt. Et nunc in hac insula Thera, ante tempus idoneum dissoluta est illa gleba, quæ portendit Euphemi posteros in spatiosa Libya habitaturos. Si enim rex Euphemus, Neptuni præsidis equitum filius

NOTÆ.

69 Βᾶμεν σὺν ἅλμᾳ] Coïvisse & se permiscuisse cum salsugine. Vulg. 70 Εσπέρας πελάγει σπομέναν] Vulgata versio habet, Hesperium pelagus sequutam. 71 Μιν leg. Codd. omnes præter Pal. C. ex quo Schmid. restituit νιν εὐφωνίας causa. Ita & Schol. in Ed. Steph. Ὄτρυνον] Hortabar. Vulg. 73 Θεραπόντεσσι Impressi. 75 Εὐρυχώρου leg. omnes Codd. Nos Schmid. secuti, metri causa Æolicum εὐρυχόρου, quod passim apud Homer. invenitur, reposuimus. 76 Πρὶν ὥρας] Non refertur ad σπέρμα Λιβύας, sed ad κέχυται. Debebat enim nondum abjici, sed tamdiu asservari, donec ad Laconiam pervenissent. Schmid. 77 Χθόνιον Αἴδα στόμα] Prope Tænarum spelunca ostendebatur, per quam Hercules Cerberum ex Orco eduxerit. Χθόνιον vero, Schmidio judice, appellatur respectu locorum quorundam aquaticorum, per quæ & ipse descensus ad Inferos credebatur, ut per paludem Acherusiam &c. Quod non apparet· Χθόνιος vero in Soph. Aj. usurpatur pro Subterraneo. Ita & apud Eurip. Et iste significatus est appositus ad antrum, de quo loquitur Poëta: vel cum Aretio sentiendum, χθόνιον στόμα appellari quod sit Inferorum porta. Vide vers. 283. hujus ᾠδ. ubi χθονίων est Inferorum sc. Dæmonum. Sic enim interpretari licet, qu. esset στόμα τῶν Χθονίων εἰς Αἴδ vel sensu isto accipias vocem Χθόνιον quem ei tribuit Schol. Aristoph. ut sit Dirus, Niger, vel aliquid ejusmodi. Hoc saltem epitheton mire cum iis consentit, quæ de hac Spelunca à Pausan. & Strab. & Apollon. traduntur. 79 Υἱὸς ἱππάρχου Ποσειδάωνος] Ποσειδάονος Editt. nonnullæ. Exaggerat damnum amissæ glebæ, quod jam peregrinis potius & Theræis incolis Phœnicibus Libya olim occupanda restet, quum illa rite asservata futurum fuisset, ut Græci tantum eam occuparent, & quidem Duce aliquo ex sanguine Euphemi Spartano: ideo dicit Euphemum hunc esse filium Neptuni, qui Deus Græcis & Libybus maxime colebatur: & Europæ filiæ Tityi hominis Græci: & quidem Regem, vel in Regio honore constitutum: natum ad Cephisum fluvium in Bœotia Græciæ regione. Schmid.

[Πεύθομαι δ' αὐτάν.] ἔτι περὶ τῆς βώλου τὸν λόγον ποιεῖται ἡ Μήδεια, ὅτι πέπυσμαι χθὲς αὐτὴν διατετηκυῖαν, καίπερ παρακελευομένη φυλάξαι. [Αλλως.] μετέπεσεν ἐπὶ τὸ ποιητικὸν πρόσωπον. καὶ οὐκέτι τὸ τῆς Μηδείας ἐφύλαξε διὰ παντός. φησὶν οὖν· καταχέω δὲ αὐτὴν τὴν βῶλον κατακλυσθεῖσαν ἐκ τῆς νεὼς, σὺν τῇ θαλάσσῃ τῆς δύσεως ἐκβεβλῆσθαι, καὶ διαλυθῆναι συμφερομένην τοῖς κύμασι. τὴν σὺν οὖν πρόθεσιν, συντακτέον τῷ, βᾶμεν. ἵν' ᾖ, συμβῆναι, ἤτοι συμβεβηκέναι, καὶ εἰς ταυτὸ συνελθεῖν, καὶ γεγενῆσθαι τῇ θαλασσίᾳ ἅλμῃ, ὅ ἐστι κατὰ περίφρασιν, τῇ θαλάσσῃ. ἐκ δούρατος δὲ, ἐκ τῆς νηός. [Εσπέρας ὑγρῷ πελάγει.] ἤτοι κατὰ τὸν καιρὸν τῆς ἑσπέρας, ἢ τῷ πελάγει τῆς δυτικῆς θαλάττης ἀκολουθήσασαν. [Η μάν νιν.] τὴν βῶλον. ναὶ μὴν συνεχῶς τοῖς λυσιπόνοις οἰκέταις φυλάξαι φησί. τούτων δὲ εἰς λήθην ἦλθον αἱ φρένες. ἐπειδὴ δὲ οἱ οἰκέται τῶν δεσποτῶν τοὺς πόνους διαλύουσι τῇ θεραπείᾳ, λυσιπόνους αὐτοὺς ἐκάλεσεν, ὡς Εὐριπίδης· Δούλοισι γάρ τε ζῶμεν οἱ ἐλεύθεροι. [Καὶ νῦν ἐν τᾷδε.] ὁ λόγος περὶ τῆς Μηδείας. ὡς προεσορμισθείσης καὶ κατὰ τὸ τηνικαῦτα διαλεγομένης περὶ τῆς βώλου. φησὶν οὖν, καὶ νῦν ἐν δὲ τῇ τῇ ἀφθάρτῳ νήσῳ, πρὸ τοῦ δέοντος καιροῦ, διεχύθη τῆς εὐρυχώρου Λιβύης τὸ σπέρμα, τουτέστιν ἡ βῶλος. [Λιβύας εὐρυχώρου σπέρμα.] διχῶς τὸ σπέρμα δύναται νοεῖσθαι. καὶ ὅτι Λιβυκὴ ἡ βῶλος, καὶ ὅτι αὕτη ἀρχὴ τῆς εἰς Λιβύην ἀποικίας. [Πρὶν ὥρας.] πρὸ τοῦ δέοντος καιροῦ. [Εἰ γὰρ οἴκοι νιν βάλεν.] εἰ γὰρ τὴν βῶλον ἔσωσεν εἰς Ταίναρον, ἥτις ᾅδου ἐστὶ στόμα, μετὰ τέσσαρας ἂν γενεὰς ἐγένετο ἡ ἀποικία. καὶ ἔλαβε σὺν τοῖς ἄλλοις τὴν εὐρεῖαν ἤπειρον, τὴν Λιβύην. ἐπειδὴ γὰρ οὐ διεσώθη, ἀλλ' ἐτάκη ἐν τῇ νήσῳ Θήρᾳ, οὐκέτι φησὶν ἐλεύσεσθαι ἐκ τῆς Λακωνικῆς τὴν ἀποικίαν μετὰ τέσσαρας γενεὰς, ἀλλὰ μετὰ ἑπτακαίδεκα, ἐξ ἀλλοδαπῶν γυναικῶν γεννηθέντας τινὰς, καθέξειν τὴν Λιβύην. ἔσχε δὲ γυναῖκα ὁ Εὔφημος Λαονόμην, Ηρακλέους ἀδελφὴν, Αμφιτρύωνος γὰρ θυγατέρα καὶ Αλκμήνης. Ταίναρον γὰρ, πόλις Λακωνική. ἐν ᾗ πύλη ἐστὶν εἰς ᾅδου. [Αλλως.] εἰ γὰρ δὴ αὐτὴν τὴν βῶλον ἐν τοῖς ἑαυτοῦ οἴκοις ἤγαγε, παρὰ τὸ χθόνιον τοῦ ᾅδου στόμα εἰς τὴν ἱερὰν Ταίναρον παραγενόμενος, ἐκ γὰρ τούτου εἰς Λακεδαίμονα ἐλθὼν ὁ τοῦ ἱππικοῦ Ποσειδῶνος υἱὸς, ὃν τινά ποτε ἡ Εὐρώπη ἡ τοῦ Τιτυοῦ θυγάτηρ ἐγέννησε, παρὰ ταῖς ὄχθαις τοῦ Κηφισοῦ τοῦ Βοιωτικοῦ ποταμοῦ.

[Τετράτων

Τόν ποτ' Εὐρώπα Τιτυοῦ θυγάτηρ
Τίκτε Καφισοῦ παρ' ὄχθαις·

στροφὴ γ'. κώλων ιδ'.

Τετράτων παίδων κ' ἐπιγεινομένων
Αἷμά οἱ κείναν λάβε σὺν Δαναοῖς
Εὐρεῖαν ἄπειρον. Τότε γὰρ μεγάλας
Ἐξανίστανται Λακεδαίμονος, Ἀρ-
γείου τε κόλπου, καὶ Μυκηνᾶν.
Νῦν γε μὰν ἀλλοδαπᾶν
Κριτὸν εὑρήσει γυναικῶν
Ἐν λέχεσιν γένος, οἵ
Κεν τάνδε σὺν τιμᾷ Θεῶν
Νᾶσον ἐλθόντες, τέκωνται
Φῶτα κελαινεφέων πεδίων

Quem olim Europa Tityi filia
Peperit Cephisi ad ripas:

Μεταγη.

Quartis liberis prognatis
Sanguis ejus illam accepisset cum Danais
Latam continentem. Tunc enim è-magna
Summoventur Lacedæmone, Ar-
givoque sinu, & Mycenis.
Nunc vero peregrinarum
Selectum inveniet mulierum
In lectis genus *virorum*, qui
Hancce cum honore Deorum
In insulam venientes, gignant
Virum nigrorum camporum

P A R A P H R A S I S.

quem olim ad Cephisi ripas Europa Tityi filia peperit, ad Neptuno sacram usque Tænarum, domum suam pervenisset, eamque in Tænarias Orci fauces projecisset, quarta generatione Euphemi nepotes cum Græcis latam continentem possedissent, & ex Lacedæmone, Argis & Mycenis in Libyam profecti fuissent: tunc enim quarta generatione migraturi sunt Heraclidæ in hanc insulam. Nunc vero quia in hac insula dissoluta est gleba, decimaseptima tantum generatione Euphemi illi posteri, Cyrenen Libyæ Coloniam deducent. Et certe qui ex peregrinis mulieribus Lemniacis nascentur Argonautis, selectum virorum genus, à Thera Heroë in Callistam quam à se Theram denominabit, deducentur. Ex illis autem, postquam huc venerint, honore sic à Diis affecti, orietur ex progenitore Samo Battus, ab Euphemo, qui ex Lemniacarum aliqua filium susceperat, decimus septimus, ille qui Lybicorum camporum pluviis nubibus fuscorum dominus erit:

N O T Æ.

83 Ἐπιγεινομένων in Aor. leg. conjicit Schmid. 86 Ἐξανίσανται] In Præsenti Temp. Forte ob stabilem fatorum ordinem, ut tam certum sit, ac si jam factum videas; saltem ita Medeæ vaticinanti appareat. Sic τίκωνται postea. 88 Μὶν Commune leg. MSS. nostra. 93 Κελαινεφέων] Propter adustam terram, & arenæ turbines, qui obfuscant visum iter facientium & terræ superficiem tegunt, ut ex Curtio Aretius.

[Τετράτων παίδων.] οἱ γὰρ ἐξ Εὐφήμου τέταρτοι, ἔμελλον ἀποικίαν στέλλεσθαι ἀπὸ Λακεδαίμονος εἰς Λιβύην. νῦν δὲ, διὰ τὸ διαλελύσθαι τὴν βῶλον εἰς Θήραν, ἐκ Λακεδαίμονος οἱ τέταρτοι ἀπὸ Εὐφήμου ἔρχονται, καὶ ἀπὸ Θήρας οἱ ἑπτακαιδέκατοι. ὡς μετὰ τὴν δ'. γενεὰν Εὐφήμου τὴν ἐλθοῦσαν εἰς Θήραν, φημὶ ἄλλας τρεισκαίδεκα γενεὰς εἰς Θήραν. ὁ δὲ νοῦς. τετάρτων ἐξ Εὐφήμου παίδων γεγονότων γένος αὐτοῦ, ἐκείνην ἔλαβε καὶ κατέσχε σὺν τοῖς Ἕλλησι, τὴν μεγάλην καὶ πλατεῖαν ἤπειρον τῆς Λιβύης. [Τότε γὰρ μεγάλας.] τότε γὰρ οἱ Ἡρακλεῖδαι κατελθόντες μετὰ τέσσαρας γενεὰς, ἐξανέστησαν τοὺς προκατέχοντας Μυκηνῶν, καὶ Ἄργους, καὶ Λακεδαίμονος. ἤλλακται δὲ ὁ χρόνος. ἐξανίσανται γάρ φησιν, ἀντὶ τοῦ, ἐξαναστήσονται. ταῦτα γάρ φησιν ἡ Μήδεια· ὡς ἐσόμενα ὕστερον. ἡ τότε γὰρ τῆς μεγάλης Λακεδαίμονος ἀνάστατοι γίνονται, καὶ τοῦ Ἀργείου κόλπου, καὶ τῶν Μυκηνῶν. [Νῦν γε μάν.] ἐπὶ δὲ τοῦ παρόντος τῶν ξένων γυναικῶν, τὸ ἔκκριτον γένος εὑρήσει τὴν ἀποικίαν. ἡ δὲ ἱστορία, τοιαύτη. ταῖς Λημνίαις γυναιξὶν, ἀσεβῶς διακειμέναις περὶ τὰς τῆς Ἀφροδίτης τιμὰς, ἡ θεὸς δυσοσμίαν προσέπεμψε. καὶ οὕτως αὐτὰς οἱ ἄνδρες ἀπεστράφησαν. αἱ δὲ συνθέμεναι πρὸς ἑαυτὰς, ἐξ ἐπιβουλῆς τοὺς ἄνδρας ἀνεῖλον. τηνικαῦτα δὲ οἱ Ἀργοναῦται τὴν εἰς Σκυθίαν στελλόμενοι ἀπόπλουν, προσωρμίσθησαν τῇ Λήμνῳ. καὶ εὑρόντες ἔρημον ἀρσένων τὴν νῆσον, συνελθόντες ταῖς γυναιξὶν, ἀπηλλάγησαν. οἱ δὲ φύντες ἐξ αὐτῶν, ἦλθον εἰς Λακεδαίμονα κατὰ ζήτησιν τῶν πατέρων. καὶ προσδεχθέντες παρ' αὐτῶν τῶν Λακώνων δηλαδὴ, καὶ πολιτευσάμενοι, συνέθεντο ἐπίθεσιν τῇ Σπάρτῃ. γνωσθέντες δὲ συνελήφθησαν, καὶ καθείρχθησαν ἐν εἱρκτῇ. κατὰ δέ τινας, αἱ μητέρες συνελθοῦσαι πρὸς αὐτοὺς, τὰς μὲν αὐτῶν ἐσθῆτας ἐκείνοις περιέθεσαν, καὶ αὐτόθι ἔμειναν. ἐκείνους δὲ ὡς γυναῖκας ἀποπέμψασαι κατακεκαλυμμένους, διέσωσαν. οἱ δὲ παῖδες, τῷ μηχανήματι λαθραίως ἀπέφυγον. τῶν δὲ Λακώνων βουλομένων αὐτοὺς ἀνελεῖν, Θήρας ὁ Αὐτεσίωνος κατὰ συντυχίαν τότε, ἀποικίαν στέλλων καθικέτευσε τοὺς Λάκωνας εἰς τὴν ἀποικίαν αὐτοῦ τοὺς ἄνδρας παραλαβεῖν. καὶ δεξάμενος, εἰς τὴν Θήραν ἐκόμισε. σὺν τούτοις δὲ αὐτοῦ καὶ Σάμος, οὗ ἀπόγονος Βάττος, ὃς πρῶτος ἀποικίαν εἰς Κυρήνην ἀπέστειλεν. [Ἄλλως.] ζητεῖται, τίνες εἰσὶν αἱ ἀλλοδαπαὶ γυναῖκες, ὧν φησι τοὺς φύντας καθέξειν τὴν Κυρήνην. πότερον αἱ ἐν Θήρᾳ ᾤκησαν συνεξορμήσασαι μετὰ Κάδμου, ὅτε ἐπὶ τὴν τῆς Εὐρώπης ζήτησιν ἀπῄρεν ἐκ Φοινίκης. ὑπέμειναν γὰρ ἐν Θήρᾳ μετὰ Μεμβλιάρεω τοῦ Κάδμῳ συνεξορμήσαντος Φοίνισσαί τινες γυναῖκες; ἢ ἀλλοδαπὰς γυναῖκας τὰς Λημνίας λέγει. περὶ ὧν ἡ ἱστορία προείρηται. [Κριτὸν εὑρήσει γυναικῶν ἐν λέχεσι γένος.] τίς εὑρήσει; ἡ προειρημένη ἤπειρος, ἡ Λιβύη. ὁ νοῦς δὲ τοιοῦτός ἐστιν. ἐπὶ δὲ τοῦ παρόντος τῶν ἀλλοδαπῶν καὶ ξένων γυναικῶν, τὸ ἐν ταῖς κοίταις ἔκκριτον καὶ διαπρεπὲς γένος, εὑρήσει τὴν ἀποικίαν. οἵ τινες σὺν τιμῇ θεῶν εἰς ταύτην παραγενόμενοι, τέκωσι τὸν Βάττον τὸν τῆς Λιβύης πεδίων δεσπότην. [Κελαινεφέων δὲ πεδίων,] τῶν τῆς Λιβύης φησίν. οἱ μὲν, διὰ τὸν αὐτόθι συνεχῆ ὄμβρον, καὶ τοὺς χειμῶνας. διὸ καὶ εὔκαρπος ἡ Κυρήνη, διὰ τὸ συνεχῶς βρέχεσθαι. τινὲς δὲ, διὰ τὸ τῶν πεδίων μέγεθος. Ἀμμώνιος δέ φησι, διὰ τὸ περὶ τὴν Κυρήνην μόνην ἵστασθαι νέφος παρὰ τὴν ἄλλην Λιβύην. ἢ μᾶλλον, μεγέθους τὶς ἔμφασις δηλοῦται, διὰ τὸ ἀποσκοτοῦσθαι τὰς ὄψεις, τοῦ πέρατος μὴ ὁρωμένου.

[Οἵ κεν

Δεσπόταν τὸν μὲν πολυ-
χρύσῳ ποτ' ἐν δώματι
Φοῖβος ἀμνάσει θέμισσιν,

Dominum *Battum*: quem quidem au-
ri-divite aliquando in æde
Phœbus admonebit oraculis,

ἀντιστροφὴ γ'. κώλων ιδ'.

Πύθιον ναὸν καταβάντα, χρόνῳ
Δ' ὑστέρῳ νάεσσι πολεῖς ἀγαγὲν
Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα.
Ἦ ῥα Μηδείας ἐπέων στίχες. Ἔ-
πταξαν δ' ἀκίνητοι σιωπᾷ
Ἥρωες ἀντίθεοι,
Πυκινὰν μῆτιν κλύοντες.
Ὦ μάκαρ υἱὲ Πολυ-
μνάστου, Σὲ δ' ἐν τούτῳ λόγῳ
Χρησμὸς ὤρθωσεν Μελίσσας
Δελφίδος αὐτομάτῳ κελάδῳ·

Μεταφρ.

Pythium templum ingressum, tempore
Insequente navibus multos ducere
Nili ad pingue sacellum Saturnii.
Erant sane Medeæ verborum series *hæ*. Ob-
stupuerunt vero immoti silentio
Heroes divini,
Sapiens vaticinium audientes.
O beate fili Poly-
mnesti, Te vero in hoc sermone
Oraculum erexit Sacerdotis
Delphicæ spontanea voce:

PARAPHRASIS.

393 Σὺν δ'] Ponitur Adverbialiter. 394 Ἀντίτομα] Contra ſecantia, contra aciem adverſam ſuam obvertentia. Pariter Eurip. in Alceſtide. Φάρμακα πολυπόνοις ἀντίτομα βροτοῖσι. Ideo non audiendus Spigelius, qui ἀντίτονα legit ab ἀντιτείνω, Reſiſtentia. 395 Καταίνησαν] Collaudarunt, approbarunt. Αἰνησε γάμον Vide alibi apud Autorem noſtrum. Lonicer. redd. Quum jam viſum eſſet illis aliquod operæ pretium, ut nuptiis mutuo complexu dulcibus conſocientur, h. e. Ea ratione Medea pharmacum apparavit, quo poſſet in certaminibus ſuperior evadere Jaſon, ut ſe duceret in Uxorem; alioqui tam fidam ei ſeſe non exhibuiſſet. 398 Ἐν μέσσοις] Argonautis & Colchis. 400 & 401] Edd. male diſtinguunt hæc κῶλα, cum inter eas & MS. γ. conveniat cætera. Schmid. ratione metri habita leg. κῶλ. 401. Πνέον [pro πνέον] γενύων [idem quod γενύων] καιομένοιο πυρὸς, omittens ξανθᾶν. Audias vero quomodo tueatur ſuam Textus corruptionem: Γενύων hic idem eſt ac γναθμῶν vel γναθῶν. Buccarum. Atque inde occaſio errori data videtur, quod aliquis ſupra γενύων, Scholion ſcripſerit γναθμῶν· quod librarium non recte legentem, ξανθᾶν Textui inſeruiſſe veriſimile eſt. Verum quærendum, qui error librarii Dor. ξανθᾶν inſerere, & imaginem non ineptam aut frivolam, & quæ librarium ſaperet, ſed Pindaricam & præſtantem menti offerre, potuit? Paraphraſtes tamen probat Schmidii conjecturam. Γενύων habendum eſt in ſcanſione ut *Tenuu* & *Tenuia* apud Romanos, pro duabus vel tribus ſyllabis; & in πνέον, εο quaſi coaleſcunt. 402 Ἀράσσεσκον] Lonicer. vert. Incidebant: Philipp. Arabant. Portus ex Vulg. Proſcindebant. Ἀράσσειν Heſychio eſt, Σιδήρῳ τέμνειν. Ἀράσσειν etiam eſt, Cum ſtrepitu pulſare, quem ſignificatum expreſſimus. 403 Τοὺς ἀγαγὼν] Syntaxis eſt: τοὺς ἀγαγὼν, μοῦνος πέλασσε ζεύγλᾳ, ita ut τῇ ζεύγλᾳ non cum ἀγαγὼν ſed cum πέλασσε ſit connectendum; & τὸ πέλασσε, Appropinquare fecit, Active ſignificet: non Neutraliter, Appropinquavit: quomodo Lonicer. redd. Solus ad juga adducens appropinquabat; & de Jaſone accepit. 405 Ἐντανύσας Edd.

[Σὺν δ' ἐλαίῳ.] ἡ Μήδεια κατέχρισε τὸν Ἰάσονα διὰ τοὺς πυρπνόους ταύρους. πρῶτον γὰρ ὁ Αἰήτης ζεύξας αὐτοὺς καὶ καταγωνισάμενος, προσέθηκε τῷ Ἰάσονι. ἵν' οὖν μηδὲν ὑπὸ τοῦ πυρὸς πάσχῃ, φάρμακα ἐλαίῳ μίξασα, ἔδωκεν Ἰάσονι ἡ Μήδεια. ἀντίτομα δὲ εἶπε, τὰ ἀλεξιφάρμακα· κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ῥιζοτόμων. ἁπλούστερον δὲ τῇ ἰατρικῇ χρώμενοι, τὰ πολλὰ τῶν παθημάτων ῥίζαις ἀπεθεράπευον. ἃς τέμνοντες, ἐπετίθεσαν, ὡς Πάτροκλος· Ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν, Χερσὶ διατρίψας. [Καταίνησάν τε.] κατήνεσαν δὲ καὶ συνέθεντο κοινὸν ποιῆσαι τὸν γάμον τὸν γλυκὺν, καὶ ἀλλήλοις μίξειν. [Ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον.] οἱ μὲν, ὡς ἐκ τοῦ τῆς ἀδάμαντος φύσεως τὸ ἰσχυρὸν ἤκουσαν· οἱ δὲ, ὅτι ἀληθῶς ἐξ ἀδάμαντος ἦν. εἶχε γὰρ ὁ Αἰήτης χαλκόποδας ταύρους. οἳ τοὺς προσπελάζοντας κατέκαιον, προχέοντες πῦρ ἐκ τῶν μυκτήρων. οὓς ὁ Αἰήτης καταζεύξας, εἰς μέσον ἤγαγε καὶ ἠροτρίασε τὴν γῆν. εἶτα λύσας, ἐκέλευσε τὸν Ἰάσονα ζευγνύειν. [Ἄλλως.] τοὺς πυρίπνους ταύρους Ἀντίμαχος ἐν Λύδῃ, Ἡφαιστοτεύκτους λέγει. καὶ σοφο δὲ χαλκοῦς βοῦς ἀδερμάτους φ χαλκοσκελεῖς γὰρ ἐκπνέουσι πνευμάτων ἄπο. φλέγει δὲ μυκτὴρ, ὡς καὶ Ἀπολλώνιος· Δοιὼ πεδίον τὸ Ἀρήϊον ἀμφινέμονται Ταῦροι χαλκόποδες, στόματι φλόγα φυσιόωντες. ὁ δὲ νοῦς, οὕτως. ὅτε δὲ ὁ Αἰήτης ἐν μέσοις, τὸ ἀδαμάντινον κατέθηκεν ἄροτρον, καὶ τοὺς βοῦς οἵτινες φλόγα ἀνέπνεον τῶν ξανθῶν γενύων, καιομένου πυρὸς, καὶ ταῖς χαλκαῖς ὁπλαῖς ἑαυτῶν ἐπέξεον καὶ ἐπεχάρασσον τὴν γῆν ἐπιστρεφόμενοι, καὶ κατὰ τὴν πορείαν προβαίνοντες. τὸ γὰρ ἀμειβόμενοι, οὕτως ἀκουστέον. τοὺς πόδας ἐναλλάσσοντες, κατὰ τὴν πορείαν. [Ὀρθὰς δ' αὔλακας ἐντανύσαις.] ἐντείνας δὲ, ἐλαύνε. καὶ ἐπ' εὐθείας ἔτεμνε τὰς αὔλακας. τουτέστι, τὰς εὐθείας τοῦ ἀρότρου τομάς. αὔλακες δὲ εἴρηνται, παρὰ τὸν αὐλόν. πᾶν γὰρ ἐπίμηκες, οὕτως εἴρηται· καθ' ἃς αὔλακας, ὀργυιὰς μέτρον ἔσχισε τὴν γῆν εἰς βάθος κάτω, τῷ ἀρότρῳ. φησὶν οὖν, ὅτι διέτεμνε τὰς αὔλακας, ὀργυιὰς μέτρον ἔχουσας κατὰ τὸ βάθος. ὁ δὲ λόγος, τὸ δὲ ἀναβωλακίας γῆς τὸν νῶτον, ἔσχιζεν ἐπ' ὀργυιάν. ἀναβωλακίας δὲ, τῆς ἐν τῇ τμήσει τοὺς βώλους ἄνω πεμπούσης.

Ἤλαυν'· ἀναβωλακίας δ' ὀργυι-
ὰν σχίζε νῶτον γᾶς. Εἶ-
πεν δ' ὧδε· Τοῦτ' ἔργον, βασιλεὺς
Ὅς τις ἄρχει ναός, ἐμοὶ τελέσαις,
Ἄφθιτον στρωμνὰν ἀγέσθω,

Agebat: & arationis juge-
rum *illis* resecabat, dorsum terræ. Et
Ita dicebat: Hoc opus, rex
Qui præest *huic* navi, mihi si-perfecerit,
Incorruptibile stragulum auferat,

στροφὴ ια'. κῶλον ιδ'.

METAPH.

Κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ.
Ὣς ἄρ' αὐδάσαντος, ἀπὸ κρόκεον
Ῥίψαις Ἰάσων εἷμα, θεῷ πίσυνος
Εἴχετ' ἔργου. Πῦρ δέ νιν οὐκ αἰόλλει,
Παμφαρμάκου ξείνας ἐφετμαῖς.
Σπασάμενος δ' ἄροτρον,

Vellus splendidum aurea fimbria.
Sic sane locuto *Æeta*, croceo ab-
jecto Jason vestimento, Deo fretus,
Occupabatur opere. At ignis eũ non turbabat,
Veneficiorum-peritissimæ hospitæ præceptis.
Protracto vero aratro,

PARAPHRASIS.

in altum mittit. Quod fecit Æetes ut ad sui imitationem provocaret Jasonem: ideoque sic loquutus est; Quum rex qui Argoni navi præest, laborem hujusmodi mihi absolverit, pro præmio reportabit incorruptibile stragulum, nimirum vellus illud, quod villis aureis tanquam aurea fimbria præfulget. Tunc Jason audita Æetæ oratione, vestem croceo colore splendentem abjecit, & divino fretus auxilio Veneris nempe, vel amoris, aut Jovis, aggressus est opus oblatum, cœpitque terram arare. Nec eum turbabat ignis ille quem æreis pedibus boves efflabant, siquidem munitus erat præsidio præceptorum Medeæ hospitæ omnis veneficiorum generis peritæ, quæ præceperat ut à tergo spirante aura duceret aratrum, & sulcos ab eodem principio semper inchoaret. Itaque cum aratro tracto

NOTÆ.

406 Ἀναβωλακίας κ. λ.] Ὀργυιὰ pro Jugero vel sulco sumimus. Apud Herodotum quidem signif. sex pedum spatium; Ulnam juxta Suidam; seu spatium inter manus extensas ab ὀρέγειν τὰ γυῖα· Plin. aliquando Jugerum reddit, in eadem tamen cum Ulna significatione, quum alias Jugerum sit ager in longitudine habens 240, in latitudine 120 pedes, tantum agri spatium, quantum uno jugo boum in die exarari potest. Græcis alias πέλεθρον vel πλέθρον. Schol. & Vulg. vers. cujus sensum expressit Paraphrastes, ὀργυιὰν de Profunditate intelligunt. Verum Æetes ad longitudinem spatii respexit & boum gubernationem, non profunditatem sulci. Ad Boum enim laborem, non Jasonis pertineret profunditas sulci. Quæ vero Schmid. pro sua sententia, quam & nos amplexi sumus, affert, quasi impossibile esset sulcum ad ulnæ altitudinem conficere, quia scilicet hominis staturam talis sulcus exæquaret; atque hac ratione aratri rectorem boves in sulco sequentem extra sulcum prospicere non posse, ubi sulco vicinus sulcus ducendus veniat, nos in medio relinquimus. Monemus vero, Pindarum sæpius prodigia narrationi affingere, ut subinde annotat Scholiastes. Quod si ut Jugerum Latinis modo pro Ulna, modo pro πέλεθρον accipitur: ita etiam ὀργυιὰ Græcis modo minus illud spatium, Ulnam videlicet notet, modo majus, hoc est Jugerum, non incommode ὀργυιὰν per ἐπεξήγησιν ad νῶτον γᾶς referemus. Interim conjicit Schmid. legendum hic πέλεθρον, quum metrica ratio requirat duas breves ante ultimam 9. κώλου. Et ita legi posset δ' ἐπέλε--. De hac lect. non dubitandum esset, modo auctoritate aliqua Codd. fulciretur. Scholion enim quis suspicaretur ὀργυιάν. Aliter nihil mutandum. Ad metrum sane quod attinet, ὀργυ- ἰσοδυναμεῖ υ υ --. Nos vero ἀναβωλακίας exponimus, quasi Reglebationis, id est, arationis quæ glebas invertit, & sursum egerit. Est ideo ὀργυιὰ ἀναβωλακίας, Jugerum arationi destinatum. Alii τὸ ἀναβωλακίας ab ἀναβωλάκιος Adjective sumi volunt 409 Τελέσαις cum aliis retinere liceret; duplex enim σ apud Pindarum non semper longam reddit syllabam. 410 Ἄφθιτον] Propter præstantiam. Non enim habuit Poëta speciosius epitheton quam illud ab Auro desumptum; ideoque Aurum Deum facit, numenque ei tribuit.

[Εἶπε δ' ὧδε.] οὕτω δὲ ἔλεγεν ὁ Αἰήτης, τοῦτο τὸ τῆς γεωργίας ἔργον ἐμοὶ τελειώσας, ὃς τῆς νεὼς προηγεῖται, τὴν ἄφθαρτον στρωμνὴν, τὸ κῶας, ἀφαιρείσθω, τὸ κάλλιστον ὂν τῇ χρυσῇ μαλλώσει. ἄφθιτον δὲ στρωμνὴν εἶπε, τὸ δέρος· τὸ κειοῦ τὸ κώδιον. οἱ γὰρ ἀρχαῖοι ὑπεστρώννυντο τὰ κώδια. ἀφ' οὗ καὶ κῶμα ὁ ὕπνος, διὰ τὸ ἐπὶ κωδίων αὐτοὺς κοιμᾶσθαι. Ἀριστοφάνης· Ἢν σε μὴ μισῶ, γενοίμην ἐν Κρατίνου κώδιον. ἄφθιτον δὲ αὐτὸ εἶπε, καθὸ χρυσοῦν ἦν. ὁ δὲ χρυσὸς ἄφθαρτος. καὶ ἡ Σαπφώ· Ὅτι Διὸς παῖς ὁ χρυσὸς, κεῖνον οὐ σὴς, οὐδὲ κὶς δάπτει βροτέαν φρένα κράτιστον φρενῶν. [Θυσάνῳ δὲ,] τῷ μαλλῷ φησί. θύσανοι γὰρ οἱ κροσσοὶ, ἀπὸ τοῦ θύσσεσθαι, καὶ παρῃωρεῖσθαι. νῦν δὲ, ἐπὶ τῶν μαλλῶν τετάχαται. καὶ γὰρ οὗτοι θύσσονται διὰ τὸ εὐτραφές. [Ὣς ἄρ' αὐδάσαντος, ἀπὸ κρόκεον.] ἢ τὸ κροκοβαφὲς, ἢ τὸ ὑφαντὸν, παρὰ τὴν κρέκην. ὁ δὲ νοῦς· ἀπορρίψας δὲ ὁ Ἰάσων τὸ κροκωτὸν ἱμάτιον, πειθόμενος δὲ καὶ πεποιθὼς τῇ Ἀφροδίτῃ, εἴχετο τοῦ ἔργου, τῆς ἀροτρείας. ἦν δὲ θεῷ πίσυνος τῷ ἔρωτι φησὶν ἢ τῇ Ἀφροδίτῃ, ἢ τῷ Διΐ. τὸ δὲ πῦρ αὐτὸν οὐκ ἐτάραττε, ταῖς ἐντολαῖς τῆς Μηδείας πεισθέντα. αἰόλλειν δὲ, τὸ ταράσσειν· καὶ αἰόλλησις, ἡ κίνησις. ὡς καὶ Ὅμηρος· Αἰόλλει μάλα δ' ὦκα λιλαίεται ὀπτηθῆναι. Ζητεῖται δὲ πῶς τὸ πῦρ οὐκ ἐτάραττε τὸν Ἰάσονα. ὁ μὲν Πίνδαρος, οὐκ ἐξέθετο. ἡ δὲ ἱστορία, οὕτως. ἐκέλευσεν ἡ Μήδεια τῷ Ἰάσονι μὴ ἐλαύνειν πρὸς τὸν ἀντιπνέοντα ἄνεμον τοὺς βόας. ἵνα μὴ τὸ πῦρ ἀντικειμένης τῆς πνοῆς, βλάψῃ τοῦτον, ἀλλ' ὅπισθεν φερομένης, ὥσπερ συντρεχούσης καὶ ὀξυνούσης εἰς τοὔμπροσθεν τὴν τῆς φλογὸς ἀποφύσησιν. ἐκέλευσε δὲ, καὶ συμπεράναντα τὴν αὔλακα, ἀπὸ τοῦ ἐκείνης τέλους μὴ ἄρχεσθαι, ὅπερ ἔθος τοῖς ἀροτριῶσιν, ἀλλ' ἀναποδίσαντα, οὕτω πάλιν ἄρχεσθαι, διὰ τὰ πνεύματα τὰ ἀντικείμενα ὡς ἔφαμεν. ἐφετμαῖς δέ φησιν, ἀντὶ τοῦ, ταῖς μαντείαις ἃς ἀπετείλατο τῷ πνεῖ. ἢ ὅτι ἐνετείλατο αὐτῷ τούτοις τοῖς φαρμάκοις ἀλειψάμενον, οὕτως ἔρχεσθαι. καὶ ἐσώζετο αὐτῆς ταῖς ἐντολαῖς. [Σπασάμενος δ' ἄροτρον, βοέοις δήσαις ἀνάγκας.] τουτέστι, τοῖς ἐκ βοείων δερμάτων λώροις. ἤτοι ἀνάγκας ἔντεσιν. ἵν' ᾖ, περιφραστικῶς τῇ ἀνάγκῃ. ἢ ἀνάγκῃ, ἵνα λέγῃ τῇ ἑαυτοῦ, τῇ ἐκ τῆς ἑαυτοῦ ἰσχύος ἀνάγκῃ. ὀρθῶς δὲ τὸ, ἀνάγκας. οὐ γὰρ ἑκουσίως ταῦτα τὰ ζῶα ἀροῖ, καὶ πονεῖ, ἀλλὰ μετὰ τῆς ἐξ ἡμῶν ἀνάγκης ἐπιτιθεμένης αὐτοῖς. ὁ δὲ νοῦς. σπασάμενος δὲ ὁ Ἰάσων τὸ ἄροτρον, καὶ δήσας τοῖς βοείοις λώροις, καὶ τῷ ζυγοῦ ἀναγκαίως τοὺς αὐχένας αὐτῶν ἐμβαλὼν, ἤλασεν.

[Ἧξε

Βοέοις δήσαις ἀνάγκαις
Εντεσιν αὐχένας· ἐμ-
βάλλων τ' ἐριπλεύρῳ φυᾷ
Κέντρον αἰανὲς, βιατὰς
Εξεπόνησ' ἐπιτακτὸν ἀνὴρ
Μέτρον. Ιΰξεν δ' ἀφω-
νήτῳ περ ἔμπας ἄχει,
Δυνάσιν Αἰήτας ἀγασθείς.

Bubulis quum-religasset necessitatis
Instrumentis colla *taurorum*: immit-
tensque natura-validis-lateribus
Stimulum gravem, violentus
Laborando-absolvit imperatum vir
Spacium. Ingemuit vero taci-
to quamvis dolore,
Robur *Jasonis* Æetes admiratus.

ἀντιστροφὴ ια'. κώλων ιδ'.

METAPH.

Πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας
Ωρεγον χεῖρας· στεφάνοισί τέ μιν
Ποίας ἔρεπτον· μειλιχίοις τε λόγοις
Αγαπάζοντ'. Αὐτίκα δ' Αελίου
Θαυμαστὸς υἱὸς δέρμα λαμπρὸν
Εννεπεν, ἔνθα νιν ἐκ-
τάνυσαν Φρίξου μάχαιραι.
Ηλπετο δ' οὐκέτι οἱ
Κεῖνόν γε πράξασθαι πόνον.
Κεῖτο γὰρ λόχμᾳ· δράκοντος
Δ' εἴχετο λαβροτάταν γενύων,
Ος πάχει μάκει τε πεν-

Socii vero ad fortem virum amicas
Porrigebant manus: coronisque eum
Herbæ redimiebant: blandisque sermonibus
Excipiebant. Statim autem Solis
Admirandus filius vellus splendidum
Indicabat, ubi illud ex-
tenderant Phrixi gladii.
Sperabat autem non item ei
Huncce perfectum-iri laborem.
Jacebat enim *in* saltu: draconis-
que custodiebatur impetuosissimis genis,
Qui crassitie longitudineque quinqua-

PARAPHRASIS.

jugum cervicibus boum imposuisset, eosque loris non sponte parentes vinxisset, molesto aculeo fortia ipsorum latera pungens vehementer, Jason imperatam operis mensuram elaboravit, & exegit. Quod conspicatus Æetes, & viri robur ingens miratus, ingemuit quidem, sed dolorem compressa voce intus inhibuit. Argonautæ autem sui ducis victoria læti, viro illi forti manus amicas porrexerunt, illum herbacea corona redimiverunt, blandisque verbis utpote gratulantes prosequuti sunt. Sed ilico Æetes admirandus Solis filius Jasoni indicavit ubi Phrixus extendisset vellus aureum arietis, quem Jovi Phyxio, quia eo per Hellespontum vectus, novercæ effugerat insidias, cultro jugulatum immolarat. Illud autem vellus quod in præmium prioris laboris exantlati promiserat, novo labore asportandum proposuit, quia virum hunc huic secundo labori sperabat proculdubio succubiturum. Siquidem erat petendum in densa sylva ubi custodiebatur à pervigili dracone, atrocissimis genis horribili,

NOTÆ.

417 Δύνασιν leg. Alii. 422 Ηὖξεν Alii. Ιὔξεν ab ἰύζω, φωνὴν ἄσημον emitto. 425 Εταροι hab. Alii. 427 Μειλιχίοις] Ποικιλίοις leg. Pal. C. 436 Πεντηκόντορον] Ab ὄρω, Quæ quinquaginta remis propellitur. Lonicer. Quinquaginta ordines remorum habentem, exponit.

[Ηὖξε δ' ἀφωνήτῳ.] καίπερ τοιούτῳ ἄχει φησὶ πληγείς. ἀφώνῳ καθὸ οὐκ ἄν τις φωνὴν ἀφίη ἀλλ' ἐκστάῃ, ὅμως ἀνεβόησε θαυμάσας. ὁ δὲ νοῦς, ἐστέναξε δὲ λαθραίως κατὰ τὴν ψυχὴν ὁ Αἰήτης, τὴν τοῦ Ιάσονος δύναμιν θαυμάσας. [Στεφάνοισίν τέ μιν] ἰστέον ὅτι τὸ παλαιὸν ἐφυλλοβόλουν τοὺς νικηφόρους, τοῖς τῆς γῆς χλωροῖς. κυρίως δὲ τὸ ἐρέπτειν, ἐπὶ τῶν ἀλόγων ζώων τάττεται. ὅτι ἐπὶ τῇ ἔρᾳ, τουτέστι τῇ γῇ, ἐσθίουσιν. ὡς Ομηρος· Ιπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας. νῦν δὲ, καὶ ἀντὶ τοῦ ἔρεφον ἔλαβε. τουτέστιν, ἐστέγουν, ἐστεφάνουν. [Αὐτίκα δ' Αελίου θαυμαστὸς υἱός.] εὐθέως δὲ ὁ τοῦ Ηλίου φησὶ παῖς Αἰήτης, τὸ χρυσόμαλλον κῶας ὑπεδείκνυε τῷ Ιάσονι. ἔνθα αὐτὸ ἐξέτειναν αἱ τοῦ Φρίξου μάχαιραι. τουτέστιν, ἡ πρᾶξις τὸ ἐκδέρειν τοῦ Φρίξου ἐνέργεια. Φυξίῳ γὰρ Διῒ τὸ δέρος ἀνιέρωσεν. ἔνιοι δέ φασιν ὑπὸ τοῦ Φρίξου ἀνατεθεῖσθαι τῷ Αρει τὸ τοῦ χρυσομάλλου κριοῦ δέρος. [Κεῖτο γὰρ λόχμᾳ.] τῷ δασεῖ τῆς ὕλης. λόχμη γὰρ τὸ δάσος. καὶ παρ' Ομήρῳ· Ενθα δ' ἄρ' ἐν λόχμῃ πυκινῇ κατέκειτο μέγας σῦς. λείπει δὲ ἡ ὑπό. ὑπερεῖχε δέ, φησιν, ὁ δράκων. πεντηκόντορον ναῦν ἐνίκα. τῷ μεγέθει μείζων ἦν αὐτῆς. ἢ οὕτως. εἰ ἐνέβαλες αὐτὸν εἰς τὴν πεντηκόντορον ναῦν, πλήρωμα ἂν αὐτῆς ἐγένετο. ὥστε περιπλεύσειν τινὰ μέρη αὐτοῦ, καὶ ὑποκεῖσθαι· ὁ δὲ νοῦς, κατείχετο δέ, φησι, τὸ κῶας ὑπὸ τῶν ὀξυτάτων τοῦ δράκοντος γενύων. ὃς, καὶ τῷ πάχει, καὶ τῷ μήκει τοῦ σώματος, πεντηκόντορον ναῦν κατεῖχεν. ἢ ὡς ἔνιοι, ἐμβληθεὶς ἐπλήρου ναῦν πεντηκόντορον.

[Αὐ

τηκόντορον ναῶν κρατεῖ,
Τέλεσαν ἂν πληγαὶ σιδήρου.

ginta-remorum navem superabat,
Quam confecerant ictus ferri.

ἐπῳδὸς ια'. κώλων ιγ'.

Μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥ-
ρα γὰρ συνάπτει· καί τινα
Οἶμον ἴσαμι βραχύν·
Πολλοῖσι δ' ἅγημαι σοφίας ἑτέροις.
Κτεῖνε μὲν γλαυκῶπα τέχναις
Ποικιλόνωτον ὄφιν, Ὦ Ἀρκεσίλα,
Κλέψεν τε Μήδειαν σὺν αὐ-
τᾷ, τὰν Πελιαοφόνον.
Εν τ' ὠκεανοῦ πελάγεσσι μίγεν,
Πόντῳ τ' Ερυθρῷ, Λημνιᾶν

Metaph.

Jamdudum mihi redeundum-est in viam-cur-
ra enim urget: & quandam [ruum: ho-
Viam novi brevem:
Multisque dux-sum sapientiæ *hujus* aliis.
Interfecit quidē cæsios-oculos-habentē technis
Vario-tergo-præditum serpentem, ô-Arcesilae,
Clamque-abduxit Medeam vo-
lentem, Peliæcidam.
Inque oceani maribus versati-sunt,
Marique Rubro, Lemniarum

Paraphrasis.

qui longitudine & latitudine quinqueremem navim ferri ictibus constructam superabat. Sed quid ago dum Jasonis historiam accurate persequor? Si per latam illam viam, qua ab encomio Arcesilai ad Argonautarum expeditionem digressus sum, regredi vellem ad institutum: & ut fusius quæ illi Colchos eundo ibique commorando: sic & quæ patriam repetendo fecerunt, narrarem, sane justo prolixius esset poëma: verum vela contraham. Nam redeundi ad institutum urget tempus. Et cur ego qui multa paucis novi dicere, & plerosque alios decentem sapientes brevitatem sectari doceo, eam quoque non observem? Draconem illum dorso maculosum, ô Arcesila, Lethæi gramine succi, verbisque placidos somnos facientibus Jason interemit. Cumque aureo vellere, Medeam volentem & consentientem clam parentibus abduxit, quæ postea Peliæ mortis causa fuit. Per oceanum autem & mare Rubrum Argonautæ variis erroribus acti sunt. Quinetiam in Lemnum venerunt,

Notæ.

439 Μακρά μοι] Id est, διὰ μακρά μοι, Per longa intervalla: Vel μακρὰ [ὁδὸς] μοι νεῖσθαι κατ' ἀμαξιτὸν· Longa esset via mihi eundi juxta curruum transitum, seu viam communem narrandi res gestas: ideoque abrumpendum est. Ἀμαξιτὸν] Ab ἅμαξα & ἰτὸς ab εἶμι, eo. Vel ἀμαξιτὸν, Intellige viam curruum in Pythiis certaminibus. 445 Σὺν αὐτᾷ] Id est, Annuentem, & operam opemque suam Jasoni subministrantem. Non enim legendum σὺν αὐτᾷ sc. δέρματι· quoniam non clam, ut Medeam, sed superato Dracone, abstulit. Schmid. 446 Πελιαοφόνον] Hic itidem vult Schmid. Arcesilaum admonitum esse de fatali exitu, de quo superius; scilicet utrobique pari rationis momento. 447 Ὠκεανοῦ] Maris Mediterranei diversis finibus. Schmidio videtur Poëta dormitare, quia non apparet quomodo pervenerint ad Mare Rubrum. Sed si μίγεν sensu τοῦ προσεπέλασαν interpret. cum Schol. pari facilitate eidem appropinquare poterant, licet non in ipsius fluctibus jactari, qua & Mari Libyco. Verum quid de hac Navigatione sentiendum, viderint alii. Fatendum est enim, Plura fidem non mereri, si locorum situm attendis; modo hodie cognitum sit, quænam maria & loca istis nominibus insignierint veteres.

[Αν πληγαὶ σιδήρου.] ἣν τινα ναῦν συνεπέραναν αἱ τοῦ σιδήρου πληγαί. πάλιν τῷ συνήθει σχήματι καὶ τρόπῳ κέχρηται. τὸ ἑνικὸν τῷ πληθυντικῷ συζεύξας. καί τοι παρὸν εἰπεῖν τέλεσε. γράφεται δὲ καὶ τέλεσαν. [Κατ' ἀμαξιτὸν,] ἀντὶ τοῦ, μακρῶς λέγω τὰ ποιήματα. καὶ ἐκκλείνω κατὰ τὴν ὁδὸν ταύτην τῶν ἐγκωμίων τοῦ Ἰάσονος, πορεύεσθαι καὶ λέγειν. καιρὸς γάρ με ἐπείγει, ὥστε πρὸς τὸν Ἀρκεσίλαον ἀναδραμεῖν. καί τινα οἶδα ὁδὸν βραχεῖαν. τουτέστιν, οἶδα κατὰ τὰς ἐξηγήσεις, καὶ βραχέα λέγειν. [Σοφίας ἑτέροις.] ἤτοι ταύτης τῆς σοφίας, τῆς περὶ τὸ συντόμως λέγειν, καὶ ἄλλων γέγονα καθηγητὴς, ὅ ἐστι διδάσκαλος. ἢ πολλοῖς παρέσχον ἄλλοις ὡς ἐν συντομίᾳ, ὥστε ταχέως αὐτὰ ἐξειπεῖν. [Κτεῖνε μὲν γλαυκῶπα.] ἐπισυνάπτει τῆς ἱστορίας τὸ συμπέρασμα, καὶ φησίν. ὁ μὲν Ἰάσων, ἀνεῖλε ταῖς τῆς Μηδείας τέχναις, τὸν γλαυκόφθαλμον καὶ πεποικιλμένον ἔχοντα νῶτον ὄφιν, Ἀρκεσίλαε. [Κλέψεν τε Μήδειαν.] ἔκλεψε δὲ καὶ τὴν Μήδειαν ἑκοῦσαν, τὴν τὸν Πελίαν φονεύσασαν. ὁ δὲ νοῦς. κατεργασάμενος μὲν γὰρ τὸν ἆθλον ὁ Ἰάσων λάθρα τοῦ Αἰήτου καὶ τῶν Κόλχων, ἀπέκλεψε τὴν Μήδειαν ἑκοῦσαν καὶ αὐτὴν τοῦ τῷ Πελίᾳ φόνον γενομένην. εἶτα ναυτιλλόμενοι, ἐνεμίγησαν τῷ τε τοῦ Ὠκεανοῦ πελάγει, καὶ τῇ Ερυθρᾷ θαλάσσῃ, καὶ ταῖς Λημνίων γυναικῶν τῶν ἀνδροφόνων τῷ ἔθνει. ἀπὸ κοινοῦ τὸ ἐμίγησαν. [Πελίαο φόνον.] ὁ Χαῖρις οὐ βούλεται συνθέτως ἀναγινώσκειν τὸ, Πελίαο φόνον. [Εντ' Ὠκεανοῦ πελάγεσσι μίγεν.] προσεπέλασαν δὲ καὶ τῷ Ὠκεανῷ, καὶ τῇ Ερυθρᾷ θαλάσσῃ. καινῶς δὲ ὁ Πίνδαρος εἰς ταῦτα τὰ πελάγη ἱστορεῖ πεπλανῆσθαι τοὺς Ἀργοναύτας. Ἄλλως τὸ, Εντ' Ὠκεανοῦ πελάγεσσιν. ἔνιοι φασὶ τὴν πρόθεσιν περιπλεύειν τοῦ λόγου. εἴληφε δὲ ὁ Πίνδαρος, τὸ πρῶτον πάντων γενόμενον. καὶ ἀντεστραμμένως ἔσχατον τέθεικεν. εἰς μὲν γὰρ τὸν Ὠκεανὸν, καὶ τὴν Ερυθρὰν εἰσέβαλον, φεύγοντες ἐκ Κόλχων. ταῖς δὲ Λημνίαις ἐμίγησαν, πρὶν εἰς τὸν πόντον ἐπιπλεῦσαι. ἀλλ' ἵνα ἐπὶ τὴν τοῦ γένους ἀρχὴν ἐπανέλθῃ, τὸ πρότερον ἀντεστραμμένως, ὕστερον ἔθηκεν, οὐκ ἀκολούθως. οὐ γὰρ ὑποστρέφοντες προσέβαλον τῇ Λήμνῳ· ἀλλ' ἀπιόντες.

[Ανδροφόνων

Τ' ἔθνει γυναικῶν ἀνδροφόνων.
Ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδεί-
ξαντο κρίσιν, ἐσθᾶτος ἀμφίς·

que gente fœminarum viricidarum.
Ubi & membrorum certaminibus exhibuerunt specimen, vestis gratia:

στροφὴ ιβ'. κώλων ιδ'.

Μεταφ.

Καὶ συνεύνασθεν. Καὶ ἐν ἀλλοδαπαῖς
Περ ἀρούραις τουτάκις ὑμετέρας
Ἀκτῖνας ὄλβου δέξατο μοιρίδιον
Ἆμαρ, ἢ νύκτες. Τόθι γὰρ γένος Εὐ-
φάμου φυτευθὲν, λοιπὸν αἰεὶ
Τέλλετο. Καὶ Λακεδαιμονίων μιχθέντες ἀνδρῶν
Ἤθεσιν, ἔν ποτε Καλ-
λίσταν ἀπώκησαν χρόνῳ

Et cum iis concubuerunt. Et in peregrinis
Licet terris tunc vestros
Radios felicitatis accepit fatalis
Dies, vel noctes. Ibi enim genus Eu-
phemi satum, deinceps semper
Oriebatur. Et Lacedæ-
moniorum permixti virorum
Sedibus, olim in Cal-
listam migrarunt successu-temporis

PARAPHRASIS.

ubi membrorum suorum roboris specimen ediderunt funebribus Thoantis in certaminibus, quorum præmium erat vestis: & cum Lemniadibus mulieribus, quæ maritos omnes, eorum graveolentia offensæ, occiderant, rem habuerunt. Qui sive interdiu sive noctu cum illis concubuerunt, tum temporis in peregrina illa terra, clari beatique generis vestri fundamenta jecerunt, ô Arcesila, prout erat in fatis. Ibi enim inter cæteros Euphemus ex Malacha muliere Lemniaca Leucophanem suscepit, ex quo longa nepotum serie ortus est Battus progenitor tuus Cyrenes conditor. Argonautarum autem Lemniaca proles Lacedæmonem venit patres per Græciam quærens, & in civitatem recepta est, unde processu temporis in Callistam, postea Theram à Thera dictam, Thera duce migrarunt.

NOTÆ.

452 Συνεύνασθεν] Vix eos Orpheus cithara sua ad naves revocare potuit. Apollonius. 453 Παρ' Alii. 455 Νύκτας leg. Alii. 459 Ἤθεσιν] Locis consuetis Ionibus. Lonicer. Moribus. MS. γ. hab. ἄν ποτε, quæ forsan vera est lectio. Chæris apud Schol. recte rejecit ἄν ποτε. 460 Ἀπώκησαν] Coloniam deduxerunt. Schmid.

[Ἀνδροφόνων γυναικῶν.] ἀνδροφόνων γυναικῶν φησὶν, ἐξ ἐκείνης τῆς ἱστορίας. αἱ τῶν Λημνίων γυναῖκες ἀσεβήσασαι εἰς τὴν Ἀφροδίτην, δυσωδίαν εἶχον μηνιώσης τῆς θεοῦ. μῖσος γὰρ αὐταῖς πρὸς τοὺς ἄνδρας προσεπετείψατο. καὶ οὕτως ἐκεῖνοι πρὸς τοὺς Θρᾶκας πολεμοῦντες, κατὰ τὸν πόλεμον τὰς αἰχμαλωτίδας λαβόντες, παρεκοιμῶντο. ἐφ' ᾧ ζηλοτυπήσασαι αἱ γυναῖκες, ἐψηφίσαντο ἐκ Θρᾴκης τοὺς ἄνδρας ὑποστρέψαντας ἀνελεῖν. ὅπερ καὶ πεποιήκασιν. [Ἔνθα καὶ γυίων ἀέθλοις.] οἱ μὲν τῶν ἱστορικῶν βούλονται τοὺς Ἀργοναύτας ἀγωνίσασθαι ἐπὶ τοῖς ἀναιρεθεῖσιν ἀνδράσιν. οἱ δὲ, ἐπὶ τῷ Θόαντος φόνῳ. τὸ δὲ ἔνθα, ἐν τῇ Λήμνῳ. ἐν τοῖς ἀγῶσιν ἐπεδείξαντο τῶν μελῶν τὴν ἀνδρείαν καὶ τὴν κρίσιν ἀγωνιζόμενοι περὶ ἐσθῆτος. τὸ δὲ, ἐσθᾶτος ἀμφὶς, ἀμφίβολον. πότερον τῆς ἐσθῆτος χωρὶς ἠγωνίσαντο, τουτέστι γυμνοί; ἢ τὸ ἀμφὶς ἀντὶ τοῦ περὶ, δεκτέον. χρῶνται γὰρ τῇ λέξει καὶ ἐπὶ τούτου. ἵν' ᾖ τὸ ἔπαθλον, ἐσθής. ὥστε περὶ ἐσθῆτος αὐτοὺς ἠγωνίσθαι, ὃ καὶ ὑγιές ἐστι. καὶ γὰρ καὶ παρὰ Σιμωνίδῃ ἐστὶν ἡ ἱστορία· ὅτι περὶ ἐσθῆτος ἠγωνίσαντο. καὶ Πίνδαρος ἐν Ὀλυμπιονίκαις. [Τουτάκις ὑμετέρας ἀκτῖνας.] τηνικαῦτα δὲ τοῦ σοῦ γένους τὰς λαμπηδόνας καὶ καταβολὰς, σὺν εὐδαιμονίᾳ διεδέξατο μεμοιραμένον ἦμαρ, ἢ νύκτες. ὁ δὲ νοῦς. τὸ τηνικαῦτα τοῦ σοῦ γένους ἡ καταβολὴ γέγονεν, ἐν ἡμέρᾳ, ἢ ἐν νυκτί. [Ἄλλως.] τοῦτο λέγει ὅτι ἢ νυκτὸς ἢ ἡμέρας συνελθόντες ταῖς Λημνιάσι γυναιξὶν οἱ ἥρωες, ἔσχον ὑμᾶς. [Τόθι γὰρ γένος Εὐφάμου.] ἀποστρέφει τὸν λόγον πρὸς τὸν Ἀρκεσίλαον. ἐπεὶ Ἀριστοτέλης ὁ πρόγονος αὐτοῦ, ἀπὸ τῶν Λημνίων γυναικῶν ἦν. οἱ γὰρ Ἀργοναῦται ἐν τῇ Λήμνῳ, ταῖς Λημνιάσιν ἐπλησίασαν. ἐν οἷς καὶ Εὔφημος Μαλάχῃ συνελθὼν, Λευκοφάνην ἐποίησεν. ἀφ' ὧν Ἀριστοτέλης ὁ πρόγονος Ἀρκεσιλάου. [Ἄλλως τὸ, Τόθι γὰρ γένος Εὐφάμου φυτευθέν.] διὰ τούτων τὴν ἐν ἀρχῇ πρόθεσιν συγκεφαλαιοῖ, καθ' ἣν εἶπε τὸν Ἀρκεσίλαον ταῖς Μούσαις ἀποδώσειν, καὶ τὸ πάγχρυσον νάκος κειοῦ. μετὰ γὰρ ἐκεῖνο πλευσάντων Μινυᾶν, θεόπομποι σφίσι τιμαὶ φυτευθεν. τὸν Εὐφήμου γεννήσαντος ἐκ τῆς Λημνίας τὸν τούτων ἀρχηγὸν τοῦ γένους. οἱ γὰρ ἀπὸ τούτων, ἐκπεσόντες ἐκ Λήμνου, εἰς Λακεδαίμονα παρεγένοντο. ἐκεῖθεν δὲ ἀπώκησαν, εἰς τὴν πρότερον καλουμένην Καλλίστην νῆσον· Θήρα τὴν ἀποικίαν ἀγαγόντος· ἀφ' οὗ Θήρα μετωνομάσθη. Διαπορεῖ δέ τινες, διατί μόνου Εὐφήμου μνημονεύει, πολλῶν ταῖς Λημνίαις πλησιασάντων; Ἐπιλύεται δὲ ὁ Δίδυμος ταύτην τὴν ἀπορίαν. φάσκων, ὅτι ἀπὸ Εὐφήμου τούτου ἐγένετό τις καὶ ἕτερος Εὔφημος, ὁ σὺν Βάττῳ τὴν Κυρήνην κτίσας. ὃν διὰ τὴν ὁμωνυμίαν, ἐκείνου τις ὑποτοπάσειεν εἶναι. ἐγένοντο δὲ καὶ πλείους Εὔφημοι. πρῶτος, ὁ Μηκιονίκης, καὶ Ποσειδῶνος. δεύτερος, ὁ Σάμου παῖς, ἀπόγονος τοῦ προτέρου Εὐφήμου. τρίτος, ὁ σὺν Βάττῳ. τέταρτος, ὁ κατὰ τὸν Ἀρκεσίλαον, ὃν ξενολογήσοντα ἔπεμψεν ὁ βασιλεύς· καὶ τὸν Πυθικὸν ἀγῶνα ἀγωνισάμενον. [Ἄν ποτε Καλλίσταν ἀπώκησαν, χρόνῳ νᾶσον.] Χαῖρις βούλεται γράφειν, ἔν ποτε, ἀντὶ τοῦ ἄν ποτε, κατὰ τὴν Πινδάρου συνήθειαν. τὸ δὲ ἑξῆς, οἱ δὲ ἀπὸ τῶν ἡρώων γεγενημένοι παῖδες, καὶ τοῖς Λακεδαιμονίοις μιχθέντες, κατὰ τὴν ζήτησιν τῶν πατέρων, παρέβαλον εἰς τὴν Ἑλλάδα, καὶ εἰς τὴν Καλλίστην ποτὲ χρόνῳ ἀπώκησαν. Καλλίστην δὲ τὴν Θήραν φησὶ Καλλίμαχος· Καλλίστη τὸ πάροιθε, τὸ δ' ὕστερον οὔνομα, Θήρη.

Νᾶσον. Ἔνθεν δ' ὔμμι Λατοΐ-
δας ἔπορεν Λιβύας πεδίον
Σὺν θεῶν τιμαῖς ὀφέλ-
λειν, ἄστυ χρυσοθρόνου
Διανέμειν θεῖον Κυράνας,

ἀντιστροφὴ ιϛ'. κῶλον ιδ'.

Ὀρθόβουλον μῆτιν ἐφευρομένοις.
Γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν.
Εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει
Ἐξερείψαι κεν μεγάλας δρυός, αἰ-
σχύνοι δέ οἱ θαητὸν εἶδος·
Καὶ φθινόκαρπος ἐοῖ-
σα, διδοῖ ψᾶφον περ' αὐτᾶς,
Εἴ ποτε χειμέριον
Πῦρ ἐξίκηται λοίσθιον,
Ἢ σὺν ὀρθαῖς κιόνεσσι
Δεσποσύναισιν ἐρειδομένα,
Μόχθον ἄλλοις ἀμφέπει
Δύστανον ἐν τείχεσιν,
Ἑὸν ἐρημώσασα χῶρον.

Insulam. Inde vero vobis Latoi-
des dedit Libyæ campum
Cum Deorum honoribus exco-
lere, urbem thronum-regis-aureum-habentis
Gubernare divinam Cyrenes,

Μεταφη.

Recti-consultricem prudentiam adeptis.
Cognosce nunc OEdipi sapientiam.
Si enim quis ramos acuta securi
Prosterneret magnæ quercus, fœ-
daretque ipsi admirandam formam:
Tamen etiamsi fructus-amisis-
set, daret argumentum de seipsa,
Si quando ad-hybernum
Ignem veniret ultimum *i. e. tandem*,
Aut cum rectis columnis *domus*
Principis fulta,
Laborē aliis *lignis minus generosis* sustineret
Difficilem in muris,
Suum ubi-deseruit locum.

PARAPHRASIS.

Postea vero Apollo Libyam tuo generi dedit, quum ex hac insula Cyrenen migrandum Batto significavit, & prædixit fore ut divina hæc urbs, cujus tutelaris esset Nympha cognominis Cyrene aureo sedens in solio, Deorum beneficio honores consequeretur, & à viris consultis ac prudentibus administraretur: è quorum numero unus et censendus, qui acri sis & sapienti ingenio. Qualis cum sis, nunc audi quæso quid mihi ænigmate velim, illudque OEdipodica, qua polles sapientia, solve. Magna quercus peracuta securi ramis spoliata, & sic admirabili forma turpiter privata, quum prostrata ceciderit, quanquam fructum ferre desinit, fert tamen de seipsa sententiam, se nimirum aliquem usum præbere posse, quum hyberno tempore in ignem ultimum ad calefaciendum conjicitur: aut derelicto loco in quo nata erat, gravem laborem alienis in muris & ædibus sustinet, ad fulciendum posita cum erectis in principis alicujus palatio columnis. Sic Demophilus vir magnus, patriis sedibus pulsus, suisque à te privatus honoribus, quanquam est Thebis profugus, & nunc patriæ inutilis: nihilominus hac sua in fortuna satis ostendit quam forti sit animo, quum alieno in solo, alioque sub principe vivens, peregrinæ reipublicæ cum aliis ejus columnis est utilis. Satis evidens argumentum quanti esset in patria usus, si solo natali denuo insereretur.

NOTÆ.

461 Edd. pleræque hab. ὔμμιν Pal. C. ὔμμι & Λατοΐ --. 463 Θεῶν τιμαῖς] Cum reverentia Deorum, id est, cum conditione pietatis, &c. ut iterum moneret Arcesilaum. Schmid. 466 Ὀρθόβουλον κ. λ.] Postquam vaticinii eventum invenistis, Philipp. vel, Qui rectam consulendi [oraculi] mentem adepti estis, ut Lonicer. 468 Εἰ γάρ τις κ. λ.] Lonicer. ita παραφράζει, Quemadmodum Quercus etiam excisa & ramis privata, tamen Quercus manet, & specimen sui, fortitudinisque insigne exhibet: sic & Arcesilaus licet seditione petitus civium, fortissime tamen restitit, & invictus permanens, ostendit quantum virtutis regiæ decus possit: adeoque jacturam nullam dignitatis regiæ fecit. Pal. C. leg. Ὀξυτάτῳ. 471 Φθινόκαρπος ἐοῖσα] Sterilis jam existens, utpote excisa. Lonicer. redd. Incorrupta commoditate. 472 Περ leg. Aliqui, & conjungunt cum καὶ, ut sit καίπερ ἐοῖσα. Verum quia ἡ ψῆφος cum Genitivo Objecti, non absolute, sed mediante περὶ construi solet, tutius legemus περ' pro περί. Isocr. περὶ ἀντιδόσεως· Περὶ αὐτοῦ τὴν ψῆφον διοίσετε. Schmid. 476 Δεσποσύναισιν] Herilibus; ejus domini qui jus habet dejiciendi Quercum & ad ædificia sua aptandi. Schmid. vult hoc epitheton ea ratione pertinere ad Demophilum, ut ille dicatur Herilibus seu regiis negotiis præ aliis utilem esse.

[Ἔνθεν δ' ὔμμι Λατοΐδας ἔπορεν.] ἐντεῦθεν δέ, φησιν, ἐκ τῆς Θήρας τοῖς σοῖς γένει, Ἀρκεσίλα, ὁ Ἀπόλλων χρησμοῖς καὶ μαντείαις δέδωκε σὺν θεῶν, τὸ τῆς Λιβύης πεδίον τιμαῖς αὔξειν τὸ θεῖον πόλισμα, καὶ διοικεῖν, τῆς τίμιον ἐχούσης θρόνον Κυρήνης. ἵνα ἐπὶ τῆς νύμφην τὸν λόγον ἀναγάγωμεν. τοῖς συνετὴν γνῶσιν εὑροῦσι. [Γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν.] προτρέπεται τὸν Ἀρκεσίλαον ὁ Πίνδαρος συνορᾷν αὐτοῦ τὸ αἴνιγμα. τὸ γὰρ, τὰν Οἰδιπόδα σοφίαν, τοῦτο βούλεται. ὅτι κἀκεῖνος τὸ τῆς σφιγγὸς αἴνιγμα ἔλυσεν. ὃ δὲ αἰνίττεται, τοιοῦτόν ἐστιν. στασιάσαντές τινες ἐν τῇ Κυρήνῃ κατὰ τοῦ Ἀρκεσιλάου, βουλόμενοι αὐτὸν μεταστῆσαι τῆς ἀρχῆς. ὁ δὲ, ἐπικρατέστερος αὐτῶν γενόμενος, ἐφυγάδευσεν αὐτοὺς τῆς πατρίδος. ἐν τοῖς οὖν στασιώταις, ἦν καὶ ὁ Δημόφιλος. ὃς καὶ αὐτὸς ἀνάστατος γέγονε τῆς πατρίδος. καὶ φυγαδευθεὶς, ἔρχεται εἰς Θήβας. καὶ ἀξιοῖ τὸν Πίνδαρον. τινὲς δὲ, ὅτι καὶ τὸν μισθὸν τοῦ ἐπινίκου δίδωσι τῷ Πινδάρῳ αὐτὸς, ὥστε τῇ τοῦ ἐπινίκου γραφῇ διαλλάξαι αὐτὸν πρὸς τὸν Ἀρκεσίλαον. ἦν δὲ αὐτοῦ καὶ πρὸς γένος. [Εἰ γάρ τις ὄζους.] περὶ Δημοφίλου ἀπολογεῖται τὸ αἴνιγμα. εἰ γάρ τις, φησὶ, περικόψει δρυῶν, ὅμως δὲ καὶ τὸν καρπὸν ἀποβεβληκυῖα, φέρει περὶ ἑαυτῆς ψῆφον. γενομένη, ἢ ὕδος, ἤ τι

ἄλλο

ἐπῳδὸς ιβ΄. κῶλον ιγ΄.

Ἔστι δ' ἰατὴρ ἐπικαιρότατος·
Παιάν τέ σοι τιμᾷ φάος.
Χρὴ μαλακὰν χέρα προσ-
βάλλοντα, τρώμαν ἕλκεος ἀμφιπολεῖν.
Ῥᾴδιον μὲν γὰρ πόλιν σεῖ-
σαι καὶ ἀφαυροτέροις· ἀλλ' ἐπὶ χώ-
ρας αὖθις ἕσσαι, δυσπαλὲς
Δὴ γίνεται ἐξαπίνας,
Εἰ μὴ Θεὸς ἁγεμόνεσσι κυβερ-
νατὴρ γένηται. Τὶν δὲ τού-
των ἐξυφαίνονται χάριτες.
Τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυρά-
νας θέμεν σπουδὰν ἅπασαν.

METAPH.

Es vero medicus opportuniſſimus:
Pæanque tibi honorat vitam.
Oportet mollem manum adhi-
bentem, os ulceris curare.
Facile quippe *eſt* civitatem concu-
tere etiam imbecillioribus: at in ſe-
dem iterum collocare, difficile
Utique eſt repente,
Niſi Deus Principibus guber-
nator fuerit. Tibi vero ha-
rum-rerum contexuntur gratiæ.
Perſevera felicem in Cyre-
nen impendere ſtudium omne.

PARAPHRASIS.

Exilii tædium hujus animo dolorificum vulnus infligit, & medico à quo curetur opus habet. Tu autem medicus es medendi opportunitatis peritiſſimus. Quare cum arte hac te decorarit Apollo, par eſt ut tu qui ſolus huic ægro ſubvenire potes, benignam huic ulceri manum admoveas, idque ad cicatricem perducas, ſcilicet Demophilum in patriam revoces. Facile equidem eſt etiam imbecillioribus civibus civitatem perturbare, ſicut uſu venit illis qui tuam remp. concuſſerunt, & quos expuliſti. Sed turbatam civitatem priſtinæ tranquillitati reſtituere, etiam præpotentibus principibus eſt difficile, niſi prudentiam impertiendo regat illos Deus. Tibi autem, Arceſilae, Deus gratificatur hanc virtutem, nimirum prudentiam & ſapientiam, qua reſarcire poſſis captum à repub. tua detrimentum, videlicet exules patriæ reddendo. Quare ſuſtine omnem animi tui curam & ſtudium erga fœlicem Cyrenen nunc impendere, quæ ſuorum civium abſentium deſiderio tenetur.

NOTÆ.

480 Ἔστι δ' ἰατὴρ] Id eſt, Mihi. Lonicer. 482 Χέρα Comm[...]ne leg. Plerique. 484 Ῥᾴδιον κ. λ.] Ritterſhuſius hunc locum ita redd. Molli manu tractare oportet ulcera. Rempublicam enim turbare cujus eſt liber, Vel improbi, ignavique: ſed turbatam eam In integrum, & ſuam quietem priſtinam Reponere, hoc opus, hic labor. Nec id valet Præſtare quiſquam, ſi Deus non rexerit Conſulta Principum, Ducum extiteritque Dux, Qui vota eorum ad exitum ducat bonum. 485 φαυροτέροις Edd. omnes. Lonicer. redd. Cum imbecillioribus, ſexto caſu. 489 Τὶν δὲ τούτων] Referunt aliqui ad præcedentia, ut ſit ſenſus: Tibi horum (quod ſcil. divinitus ſapientia donatus, motus civitatis ſedare poſſis) gratiæ texuntur, id eſt, Tu hoc nomine celebris es, & bene audis. Lonicer. vult Poëtam interceſſionem ſuam defendere, q. dt. Ipſæ Charites, humanitatis & mutuæ benevolentiæ Deæ, bonarumque literarum ſociæ hæc tibi parant, id eſt, faciunt ut ego pro Demophilo apud tuam majeſtatem interpellem. Quam quidem interpret. Syntaxis ἐξυφαίνονται τούτων deſtruit. 491 Τλᾶθι] Lonicer. de ipſo Poëta accipit, Patere, inquit, nec ægro animo fer, quod ego ſollicitem te pro Demophilo idque propter curam, qua erga Remp. & Civitatem tuam tangor.

ἄλλο τοιοῦτον. ὡς καὶ Ὅμηρος· Οὐδόν τε δρύϊνον προσεβήσατο. ἢ τὸ παράδοξον, εἴποτε πυρὸς χειμερινοῦ χρεία γένηται, πρὸς ἀλέαν χρήσιμος, ἤτοι χρήσιμος ἐστίν. ὁ δὲ νοῦς, τοιοῦτος. εἰ γάρ τις μεγάλης δρυὸς ἐκκόψει κλάδους, καὶ καταισχύνῃ αὐτῆς τὸ θαυμαστὸν εἶδος τῇ τῶν ἀκρεμόνων περικοπῇ, ὅμως καὶ φθινόπωρος οὖσα, ψῆφον περὶ αὐτῆς δίδωσιν, ὅτι δύναται εἴς τι χρησιμεύειν, καὶ ἄκαρπος οὖσα, ὅταν αὐτὴ κατὰ τὸν χειμῶνα πυρὸς λοίσθιον γένηται. [Ἔστι δ' ἰατὴρ ἐπικαιρότατος.] οὐχ ὅτι ἰατὴρ, ἤτοι ἰατρὸς ἦν ὁ Ἀρκεσίλαος, ἀλλ' ὅτι ἐνόσει τὴν φυγὴν ὁ Δημόφιλος. φησὶ γοῦν, δεῖν αὐτὸν πρὸς σοῦ θεραπευθῆναι. τουτέστι θεραπευτικὸς εἶ τῆς παρούσης καταστάσεως. τοῦτο γὰρ δηλοῖ, τὸ ἐπικαιρότατος. [Παιάν τέ σοι τιμᾷ.] ὁ δὲ Ἀπόλλων σοι τετίμηκε τὴν ζωήν. τῇ μέν τοι ἑορτῇ ἐπιμένει δῆλον. ἰατρικῆς γὰρ προστάτης ὁ θεός. [Ἄλλως. Παιάν τέ σοι.] καὶ αὐτός σοι ὁ Παιάν, τὴν εἰς τοῦτο δύναμιν παρέχεται· ποιεῖται δὲ τὸν λόγον, ὑποψίας ἐνεστώσης τοῖς Κυρηναίοις πρὸς τὸν Ἀρκεσίλαον, καὶ παραπομπόμενον αὐτῶν ὑπ' ἐκείνου, ἢ ἐλαττούμενον, παραιτούμενος καταστῆσαι τὴν πόλιν ἐπὶ τὸ ἀρχαῖον. [Χρὴ μαλακάν.] προσήκει σε πραεῖαν ἐπιφέροντα τὴν χεῖρα, θεραπεύειν τὴν τοῦ ἕλκους τρῶσιν. καὶ μὴ τὰς ἀλγηδόνας τείνειν. καὶ ταῦτα μεταφορικῶς ἀκουστέον. δεῖ, φησὶν, αὐτὸν, μαλακὴν προσφέροντα τὴν χεῖρα, τὴν τοῦ ἕλκους τρῶσιν θεραπεύειν. [Ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι.] τὸ μὲν γὰρ διασεῖσαι πόλιν, καὶ τοῖς ἀσθενεστέροις ῥᾴδιόν ἐστι, μή τοι γε δὴ, τοῖς ἐν δυνάμει κειμένοις. ὅπερ εἰώθαμεν λέγειν, τὸ κακὸν, ῥᾴδιον ποιῆσαι. ἀλλὰ διασεισθεῖσαν πόλιν ἐπὶ χώρας καταστῆσαι, δυσχερές ἐστιν, ἐὰν μὴ θεὸς ἡγεῖται δυναστεύουσιν, εἰς τὸ αὐτὸ περιπομένοις ἀγαγεῖν κατάστημα. [Τὶν δὲ τούτων.] διπλῆ ἐστιν ἡ διάνοια. καὶ οἱ μὲν οὕτως ἀποδεδώκασι. σοὶ δὲ τούτων αἱ χάριτες καταπεπλέονται, ἐὰν τῆς Δημοφίλου φυγῆς φροντίσῃς. οἱ δὲ, οὕτως. ὅτι μάλιστα παρὰ σοῦ αἱ τοιαῦται χάριτες γίνονται καὶ πράξεις περὶ τῶν διοικουμένων ἐν τῇ βασιλείᾳ. [Ἢ ἄλλως.] σοὶ δὲ τὴν κυβερνᾶσθαι ὑπὸ θεῶν ἐκτελοῦνται χάριτες. [Ἢ οὕτω.] σοὶ δὲ καὶ τὴν κατορθῶσαι ὑπὸ θεῶν, αἱ χάριτες ὑπόκεινται. [Ἢ καὶ οὕτω.] σοὶ δὲ, καὶ τοῦ κατορθῶσαι τὴν πόλιν, αἱ χάριτες ἐξυφαίνονται ὑπὸ θεῶν. ἢ παρὰ τῶν θεῶν κατασκευάζονται. τουτέστιν, ἔχεις παρὰ θεῶν δεδωρημένον, τὸ δύνασθαι τὴν πόλιν εἰς τὸ ἀρχαῖον ἀποδοῦναι κατάστημα. [Τλᾶθι.] ἰδίως τὸ τλᾶθι κέχρηται, ἀντὶ τοῦ, ὑπόμενε, καὶ πράως φέρε τὰ ἡμαρτημένα. ἢ [Τλᾶθι, τᾶς εὐδαίμονος.] ὑπομένειν, περὶ τῆς εὐδαίμονος, φησὶ, Κυρήνης πᾶσαν ἔχειν σπουδήν. ὡς καὶ τῆς πόλεως λυπουμένης καὶ ζητούσης τοὺς φυγαδευθέντας πολίτας, καὶ ὀφείλοντος αὐτοῦ τιμῆσαι τὸ δαιμόνιον.

[Τῶν

στροφὴ ιγ'. κῶλον ιδ'.	Μεταφρ.
Τῶν δ' Ομήρου καὶ τόδε συνθέμενος	Homericarum autem etiam hanc considerans
Ρῆμα πόρσυν'· ἄγγελον ἐσλὸν ἔφα	Sententiam præsta : Nuncium bonum inquit
Τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν.	Honorem maximum negotio cuivis afferre.
Αὔξεται καὶ Μοῖσα δι' ἀγγελίας	*Quin* augetur etiam Musa per nunciationem
Ορθᾶς. Επέγνω μὲν Κυράνα,	Rectam. Cognovit sane Cyrene,
Καὶ τὸ κλεεννότατον	Et celeberrima
Βάττου μέγαρον, δικαίαν	Domus Batti, justitiam
Δαμοφίλου πραπίδων.	Demophili mentis.
Κεῖνος γὰρ ἐν παισὶ νέος·	Ille enim inter pueros juvenis :
Εν δὲ βουλαῖς πρέσβυς, ἐγκύρ-	In consiliis vero senex, *quasi* assecu-
σαις ἑκατονταετεῖ βιοτᾷ.	tus centennem vitam.
Ορφανίζει μὲν κακὰν	Privat sane maledicam
Γλῶσσαν φαεννᾶς ὀπός·	Linguam serena voce *sua* :
Εμαθε δ' ὑβρίζοντα μισεῖν,	Didicitque contumeliosum odisse,

PARAPHRASIS.

Porro & hoc Homeri dictum perpendens in precio habe. Dixit ille bonum nuncium omni rei maximum honorem afferre, unde causa quam agit magnum pondus habeat. Addo Musæ studium in texendo carmine quod fiat acceptius augeri, quum agitur de bona re nuncianda. Quod mihi nunc accidit, quoniam bonus ille sum nuncius, qui te hortor & rogo ut pro divinitus accepta prudentia consulas bono tuæ reipub. quæ nonnullos cives exilio mulctatos desiderat : in primis vero Demophilum, cujus virtutum merita poscunt, ut tibi conciliato reditum in patriam illi annuas. Cyrene utique universa, tuaque domus ô Batti soboles, novit quam justa mente sit Demophilus. Ille quidem quanquam ætatis ratione inter juvenes sit censendus : mentis tamen ratione, unde haurit senilia consilia, inter viros annosos, perque multam experientiam sapientia auctos. Ea autem est sermonis modestia, ut lingua nusquam abutatur ad maledicentiam, nec tibi à quo ejectus est, neque tuis obtrectet. Agnita vero culpa, quod motæ in te seditioni interfuisset, suo periculo injuriosum odisse didicit,

NOTÆ.

495 Τιμὰν] Pretium in re quavis. Lonicer. 496 Αὔξεται κ. λ.] Musa mea fiet celebris, si recte hanc legationem literariam obierit. 498 Κλεινότατον Commune Alii. 499 Μέγαρον Βάττου transposita hab. Schmid. & intelligit Aulam Cyrenaicam. Δικαιᾶν legi posse censet Schol. Sed Verbi ἐπέγνω Constructio cum Genitivo reclamat.

[Τῶν δ' Ομήρου καὶ τόδε.] τῶν δὲ Ομήρου, καὶ τόδε συνεὶς τὸ ῥῆμα. ἤγουν, κατὰ μνήμην ἔχε, καὶ τίμα. διὰ γὰρ τοῦ, πόρσυνε, καὶ τόδε ἀκουστέον. ἐκείνου δὲ τοῦ ἔπους μέμνηται, τοῦ, Εσθλὸν γὰρ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ. τοῦτο δὲ πρὸς ἑαυτὸν ὁ Πίνδαρος ἀνάγει. ὅτι ὀφείλεις μοι πεισθῆναι πρεσβεύοντι, ὡς ἀγαθῷ ἀγγέλῳ. [Αὔξεται καὶ Μοῖσα.] ἀντιστρόφως εἶπε. θέλει γὰρ εἰπεῖν. αὔξεται δ' ἡ ἀγγελία διὰ μουσικῆς τῆς ἑαυτοῦ. αὔξεται, καὶ ὀρθὴ γίνεται ἡ ἀγγελία, τουτέστι διὰ τῆς ποιήσεως. αὕτη γὰρ ἡ ἀγγέλλουσα, καὶ συμβουλεύουσα τῷ Αρκεσιλάῳ διαλύσασθαι πρὸς τοὺς πολίτας. ὁ δὲ νοῦς. αὔξεται καὶ ἡ ποίησις δι' ὀρθῆς ἀγγελίας, καὶ παιδείας. [Επέγνω μὲν Κυράνα.] ἀντὶ τοῦ ἐπειράθη. γνῶσιν ἔσχεν. ὁ δὲ νοῦς, ἐπέγνω μὲν καὶ ἡ Κυρήνη, καὶ ὁ τοῦ Βάττου οἶκος, τουτέστι, τὸ σὸν, ὦ Αρκεσίλαε, ὄνομα, τὴν δικαιοσύνην τῶν Δημοφίλου φρενῶν. τὸ δὲ δικαίαν, παροξυτόνως, ἵν' ᾖ τὴν δίκην. ὡς καὶ τὴν ἀρχαίαν παραγωγῶς. ἢ περισπωμένως. ἵν' ᾖ, δικαιῶν Δημοφίλου πραπίδων. [Κεῖνος γὰρ ἐν παισὶ νέος] ἐκεῖνος γὰρ ὁ Δημόφιλος ἐν μὲν παισὶ, τὴν ἡλικίαν νεώτερος, φησιν, ἐστίν. ἐν δὲ φρεσὶ, πρεσβύτερος τὸ φρόνημα. ὥσπερ ἂν ἑκατονταετεῖ τῷ χρόνῳ ἐπιτυχών. οἱονεὶ, οὕτω φρόνιμός ἐστιν, ὡσπερεὶ ἑκατονταέτης ἀνήρ. τοῦτο δὲ ἐὰν κυρίως ἀκούηται, ἀπεμφαίνει. ὁ γὰρ ἑκατονταέτης ἀνὴρ, παραφρονεῖ. δεῖ οὖν μεταλαμβάνειν, εἰς τὸ πολυέτης. ὡς τὸ, Οὐδ' ἂν νηῦς ἑκατόνζυγος, ἢ πολύζυγος. τουτέστι, φρόνιμός ἐστιν, ὡς πολυέτης ἀνήρ. [Ορφανίζει μέν.] ἐρημοῖ. ἀποχωρίζει. τουτέστιν, ἥκιστα κακολογεῖ. ἤγουν, τῆς ἐλευθερίου φωνῆς τὴν κακὴν καὶ λοίδορον γλῶσσαν χωρίζει· ἤτοι, οὐκ ἔστιν ὑβριστής. ὁ δὲ νοῦς, τοιοῦτος. ἀποχωρίζει μὲν τῆς ἐλευθερίου αὐτοῦ φωνῆς τὴν κακογλωσσίαν. ἔμαθεν δὲ βδελύττεσθαι τοὺς ὑβριστάς. οὔτε μὴν τοῖς ἀγαθοῖς ἐξεναντίας φιλονεικεῖ. οὐδὲ τὸ τῶν πραγμάτων τέλος, πρὸς ἄνυσιν μηκύνει. ὁ γὰρ ἐν ἀνθρώποις καιρὸς, οἱονεὶ βίος, βραχὺ ἔχει τὸ μέτρον. οἱονεὶ, ἡ τῶν πραγμάτων συντυχία, ῥᾳδίαν ἔχει τὴν παραδρομήν. [Αλλως.] τῆς ἑαυτοῦ φανερᾶς καὶ ἐκλάμπρου φωνῆς, ὀρφανίζει τὴν κακὴν γλῶσσαν. ὅ ἐστι, τὴν κακολογίαν. [Η οὕτω,] τὴν κακὴν γλῶσσαν τῆς φανερᾶς φωνῆς ὀρφανὴν ποιεῖ. ἤγουν, οὐδὲν φθέγγεται κακόν. κακὴν γλῶτταν ὀρφανὴν φωνῆς ἔχει.

ἀντιστροφὴ ιγ'. κώλων ιδ'.	Μεταφρ.
Οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς·	Non contendens contra bonos;
Οὐδὲ μακύνων τέλος οὐδέν. Ὁ γὰρ	Neq; procrastinans exsecutionem ullam. Nam
Καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει.	Occasio inter homines breve spacium habet.
Εὖ νιν ἔγνωκε· θεράπων δέ οἱ οὐ	Bene eam novit: famulusque *illam* haud
Δράστας ὀπαδεῖ. Φαντὶ δ' ἔμμεν	Fugitivus sequitur. Aiunt vero esse
Τοῦτ' ἀνιαρότατον,	Hoc molestissimum,
Καλὰ γινώσκοντ', ἀνάγκᾳ	*Eum qui* honesta *& bona* novit, necessitate
Ἐκτὸς ἔχειν πόδα. Καὶ	Extra *illorum tractationem* habere pedem. Et
Μὰν κεῖνος Ἄτλας οὐρανῷ	Sane ille Atlas cum cœlo
Προσπαλαίει νῦν γε, πατρῴ-	Colluctatur nunc, *procul* patri-
ας ἀπὸ γᾶς, ἀπό τε κτεάνων.	a à tellure, & à possessionibus *suis.*
Λῦσε δὲ Ζεὺς ἄφθιτος	Solvit vero Jupiter immortalis

PARAPHRASIS.

at contra diligere bonos, ita ut illos in posterum fugiat, his non adversetur, sed se adjungat. Insuper tanta valet alacritate, & diligentia, ut in rebus gerendis ubi mature facto opus est, nullam procrastinationem admittat. Etenim intelligit fronte capillatam esse, sed post calvam occasionem, quæ in temporis puncto posita est, ac proinde præceps & momentanea. Quo fit ut non quemadmodum servus fugax eam negligat, sed tanquam famulus sequax captet, & oblatam prehendat. Cæterum, ut plerique omnes sentiunt, nihil molestius est viro virtute prædito, qui res præclaras novit, quam cogi à patria exulare, ejusque commodis carere. At mihi dices Demophilum optare frustra quod à te non possit obtinere, non aliter ac cœlifer ille Atlas à Diis, ut hoc onere levetur, nec amplius absit à patria, charisque possessionibus. At ego respondens, exemplo Jovis clementiæ te admonebo. Immortalis ille Deus,

NOTÆ.

509 Ἐχων. Schmid. 510 Θεράπων δέ] Schmidius non agnoscit Schol. inversionem hujus sententiæ, ut prioris, quia Occasio potius nos fugit, quam sequitur; nisi interpreteris de Fortuna faventissima, quæ occasiones ei quasi non cogitanti suppeditaret; & ita καιρὸς ei θεράπων fuerit. 511 Δράστας alias est, Acer ad res gerendas, hic vero ὁ ἀποδρὰς, Servus qui ex conspectu nostro aufugit Pind. Lex. 515 Κεῖνος Ἄτλας] Atlas ille, cui exilium, æque atque Atlanti pondus cœli, grave est: vel qui jam cœli pondus sustinere videtur, dum in exilio est. Est ergo Comparatio ponderis exilii, cum pondere cœli quod sustinet Atlas; sicut senectutis onus, Ætnæ gravitati comparatur: non autem durationis vel temporis. Multo minus, Atlantis labor cum Titanum solutione confertur, ut perperam reprehenderint Poëtam ii, quorum meminit Schol. Schmidius. Potest etiam explicari, quasi veluti Atlas cum cœlo, ita hic Demophilus cum Arcesilao Rege ejusque ira gravi colluctetur. 517 Τὸ ἄπο utrobique acutum in priore habet, quasi positum pro ἄπωθεν 518 Λῦσε] Qua ratione Titanes in mentem Poëtæ venere explicat iste Hesiodi locus, in Θεογ. v. 813, 814. Θεῶν ἐκτοσθεν ἁπάντων, Τιτῆνες ναίουσι. Vide v. 514. Paraphrastes explicat. Pœnas non sumpsit ac iis pepercit. Non enim probavit quod Schol. habet, Jovem pœna liberasse gigantes victos quia passim (ut ait ille) fabulæ ferunt occisos fuisse. Quod tamen in loco laudato Hesiodi vix invenies. At per λῦσε proculdubio Poëta intell. à pœna liberasse, licet forsan nullus, qui hodie extat, autor præter eum, hujus solutionis mentionem faciat.

[Οὐκ ἐρίζων ἀντία.] ταῦτα δὲ ἐκ τῶν Ἡσιόδου Ἔργων εἴληπται. ἐκεῖνος γάρ, παραινεῖ μὴ ὁμιλεῖν τοῖς κακοῖς· μηδὲ ἐπιπλήττειν, μηδὲ ψέγειν τοὺς ἀγαθούς. Μηδὲ κακῶν ἕταρον, μηδ' ἐσθλῶν νικητῆρα. Ὅμηρος δὲ, τὸν Θερσίτην εἰσήγαγε φιλόκακον, καὶ μισάγαθον. ὅσους γὰρ ὁ ποιητὴς ἐγκεκωμίακε κατ' ἀρετὴν, τούτους ἔψεγε. διὸ καὶ ἔλεγεν, Ἔχθιστος δ' Ἀχιλῆϊ μάλιστ' ἦν, ἠδ' Ὀδυσῆϊ. [Ὁ γὰρ καιρός.] καιρὸς, ὁ χρόνος. ἡ συνήθεια βραχὺ μέτρον ἔχει. οὐκ ἐπιπολὺ τοῖς ἀνθρώποις παρατεῖνον ἔχει τὸ μέτρον, ἀλλὰ σπάνιόν ἐστι καὶ βραχὺς ὁ χρόνος. διὸ καὶ δεῖ, ὅτε ἔξεστιν αὐτὸν λαμβάνειν, ἐκτὸς ἔχειν πόδα τῶν καλῶν ὧν γινώσκει. [Εὖ νιν ἔγνωκε.] πολλαὶ κατὰ τοῦτο τὸ ῥητὸν ἐξηγήσεις περιεχώρησαν. τῷ καιρῷ ἕπεται, φησιν, ὁ Δημόφιλος, οὐχ ὡς δράστας, ὅ ἐστι δραπέτης, οὐ πειρῶν, οὐδὲ τὰ παρ' αὐτοῦ περιστασόμενα ὑπερτιθέμενος, καὶ ἀναβαλλόμενος τὰ περιπίπτοντα. [Ἄλλως.] οὐκ ἀποδιδράσκει τὸν καιρὸν ὁ Δημόφιλος. ἀκολουθεῖ δέ, φησιν, αὐτῷ ὁ καιρὸς, θεράπων, οὐ δράστης, ἀλλὰ παράμονος. τουτέστιν οὐ παρέρχεται αὐτὸν, ἀλλὰ πάντα τὰ καίρια γινώσκει. [Φαντὶ δ' ἔμμεν.] φασὶ δὲ τοῦτ' ἀνιαρότατον εἶναι. τὸ, γινώσκοντά τινα τὰ καλὰ, τῇ ἀνάγκῃ, ἤτοι δι' ἀνάγκην τούτων ἐκτὸς εἶναι, καὶ μηδὲν ἀπολαύειν αὐτῶν δύνασθαι, ἐφ' ὅσον βούλεται. ὅτι καὶ ὁ Δημόφιλος εἰδὼς τὰ τῆς πατρίδος καλὰ, ἀνάγκῃ τῆς φυγῆς, οὐκ ἐχρήσατο αὐτοῖς. [Ἄλλως.] χαλεπόν ἐστι, φησὶ, τὸ γινώσκειν ὅτι καλὸν μέν, μὴ πράσσειν δὲ αὐτό. τὸ γὰρ ἔξω πόδας ἔχειν, τοιοῦτόν ἐστι. μήτε ἐν αὐτῷ εἶναι τὸ εὖ πράττειν, ἀλλ' ἐξ ἀνάγκης αὐτὸ προσιέναι. [Ἢ οὕτω.] λυπηρὸν τὸν καλῶς ποιοῦντα, κακῶς ἀκούειν. [Καὶ μὰν κεῖνος Ἄτλας.] τοῦτό φησιν, ἀντὶ τοῦ, καὶ παρὰ θεοῖς τὰ πράγματα ποικίλας ἔχει τὰς μεταβολάς. ὁ γοῦν Ἄτλας, κακῶς πάσχει τὸν οὐρανὸν βαστάζων, πρότερον εὐτυχῶν. διὰ δὲ τούτου βούλεται σημαίνειν, ὅτι οὐκ ἀεὶ τὰ αὐτὰ μένει τῶν πραγμάτων. οὐχ ὅτι παρὰ ἀνθρώποις, ἀλλ' οὐδὲ παρὰ θεοῖς. [Ἄλλως.] καὶ μὴν καὶ ὁ Δημόφιλος, τοσοῦτον ἔχει τὸ τῆς φυγῆς ἄχθος, ὅσον καὶ ὁ Ἄτλας τῷ βάρει πιεζόμενος, διηνεκῶς προσπαλαίει τῷ οὐρανῷ. φέρει δὲ τῷ Ἄτλαντι ὅμοιον ἄχθος Δημόφιλος, τῆς πατρίδος καὶ τῶν κτημάτων μακρὰ χωρισθείς. [Λῦσε δὲ Ζεὺς ἄφθιτος.] τοῦτο πρὸς τὴν παράκλησιν ἁρμόζει. ὅτι καὶ τοὺς Τιτᾶνας Ζεὺς ἔλυσεν, ὑπὸ τοῦ Κρόνου δεθέντας. τοῦτο δὲ εἴρηται, πρὸς τὸ μὴ δεῖν ἐν ταῖς τιμωρίαις ἀδιάλλακτον ἔχειν τὸ ἔχθος· μηδὲ ἀθανάτους ἔχειν τὰς λύπας. ἀπέλυσε δέ ποτε, φησὶ, καὶ ὁ Ζεὺς τοὺς Τιτᾶνας τῆς τιμωρίας, καί τοι ἐπιθεμένους αὐτοῦ τῇ ἀρχῇ, καὶ μεταστῆσαι βουληθέντας. ἐγκαλοῦσι δέ τινες τῷ Πινδάρῳ, ὅτι οὐκ οἰκείως ἐπὶ τῆς διαλλαγῆς τὸν Ἄτλαντα παρείληφε. διηνεκῶς γὰρ μοχθεῖ.

Τιτᾶνας. Ἐν δὲ χρόνῳ
Μεταβολαὶ, λήξαντος οὔρου,

ἐπῳδὸς ιγ'. κώλων ιγ'.

Ἱστίων. Ἀλλ' εὔχεται, οὐλομέναν
Νοῦσον διαντλήσαις ποτὲ,
Οἶκον ἰδεῖν· ἐπ' Ἀπόλ-
λωνός τε κρήνᾳ συμποσίας ἐφέπων,
Θυμὸν ἐκδόσθαι πρὸς ἥβαν·
Πολλάκις ἔν τε σοφοῖς, δαιδαλέαν
Φόρμιγγα βαστάζων πολί-
ταις, ἡσυχίᾳ θιγέμεν·
Μήτ' ὦν τινι πῆμα πορὼν, ἀπαθὴς
Δ' αὐτὸς πρὸς ἀστῶν. Καί κε μυ-
θήσαιθ', ὁποίαν Ἀρκεσίλᾳ
Εὗρε παγὰν ἀμβροσίων ἐπέων,
Πρόσφατον Θήβᾳ ξενωθείς.

Titanas. In tempore autem
Mutationes *fiunt*, cessante vento *priore*,

METAPH.

Velorum. Sed optat, perniciosum
Morbum si-exantlaverit tandem,
Domum videre: ad Apol-
linisque fontem compotationes exercens,
Animum tradere juvenili-hilaritati:
Sæpe etiam inter sapientes, affabre-factam
Citharam gestans ci-
ves, in-otio-quieto pulsare:
Nec sane cuiquam damnum ferens, nec patiens
Ipse à civibus *quicquam*. Et sane nar-
rare-optat, qualem Arcesilao
Invenerit fontem immortalium versuum,
Nuper Thebis *apud me* hospitio-exceptus.

PARAPHRASIS.

de Titanibus, qui ipsum regno pellere conati erant, pœnas non sumpsit, sed iis pepercit. Ut autem quum naviganti cessavit ventus secundus, velificationem nauclerus mutat ad tempus: Sic quum quis prospera fortuna excidit in patria, solum mutare debet tantum ad tempus. Quamobrem optat hactenus exantlata exilii calamitate, domesticos lares revisere tandem aliquando: & post ærumnas, in publicis conviviis, quæ apud Cyrenen prope fontem Apollinis agitari solent, animum juvenili lætitia recreare & refocillare: quinetiam sæpenumero cordatos inter cives & sodales variegatam citharam pulsando animi tranquillitate frui, nemini damnum inferendo, & à nemine accipiendo. Utinam igitur à te receptus ô Arcesilae, tibi coram narrare possit qualem poëtam sit nactus, ex quo tanquam perenni ex fonte divina scaturiunt carmina. Quorum fuit testis quum nuper Thebas, ubi vivo, profugit, ibique hospitio est exceptus.

NOTÆ.

521 Ἀλλ' εὔχεται] In postremum locum hanc suam deprecationem rejecit, ne, si statim initio protulisset, Arcesilaus offensus totum carmen forte abjecisset, antequam perlegisset. Schmid. 529 Aliqui ὦν leg. 531 Ἀρκεσίλᾳ vel est Vocativus; Vel est Dativus seu Doricus sive Communis. Si Dativus est, refertur vel ad μυθήσαιτο, Ut narrare possit Arcesilæ, ut Vulg. habet: vel ad εὗρε, ut sit sensus. Qualem fontem laudum invenerit vel acquisierit Arcesilao, apud hospitem Pindarum virtutum ejus commendatione. Cujus rei ut specimen ederetur, mox alterum hymnum ad Arcesilaum scripsit in victoriam eandem, qui mox sequitur. Schmid.

[Ἐν δὲ χρόνῳ μεταβολαί.] μεταβολαὶ δὲ γίνονται ἀνέμων, ἐν χρόνῳ. ἐν χρόνῳ καὶ τὸ ἱστίον τῆς νεὼς, εὐδίαν ἔχει μεταβολὴν, τοῦ χειμερινοῦ λωφήσαντος ἀνέμου. [Ἀλλ' εὔχεται οὐλομέναν νοῦσον.] ἀλλὰ κατεύχεται Δημόφιλος, ταύτην τὴν ἐνεστῶσαν ὀλεθριωτάτην νόσον τῆς φυγῆς διαντλήσας καὶ ἀποφυγὼν, τὸν κατὰ Κυρήνην οἶκον θεάσασθαι. καὶ ἐπὶ τῇ τοῦ Ἀπόλλωνος κρήνῃ πάλιν συνήθως συμποσιάσαι, καὶ τὴν ψυχὴν ἐκδοῦναι πρὸς φιλοφροσύνην, καὶ συμπόσια. [Πολλάκις ἔν τε σοφοῖς.] δῆλον, ἀπὸ κοινοῦ ληπτέον, τὸ, εὔχεται. εὔχεται, φησὶ, πολλάκις, τὴν πεποικιλμένην κιθάραν ἐν σοφοῖς βαστάζων καὶ μουσικευόμενος ἐν τοῖς πολίταις, λοιπὸν ἐν ἡσυχίᾳ εἶναι. μητέ τινι κακὸν προστριψάμενος. καὶ αὐτὸς δὲ ἀβλαβὴς ὢν τὸ λοιπὸν πρὸς τοὺς πολίτας. [Ἄλλως.] Δαιδαλέαν φόρμιγγά, φησι, βαστάζων. ὥστε ἀπαγγεῖλαι τὰ ὑπὸ Πινδάρου αὐτῷ δεδομένα ποιήματα. θέλει δὲ εἰπεῖν, ὅτι καὶ μουσικός ἐστι. [Καί κε μυθήσαιτο.] καὶ δὴ, εἴποι ἂν σοι ὁποίαν εὗρε πηγὴν τῶν θείων ἐπῶν. ὡς πρὸς ἑαυτὸν τοῦτο λέγει, ὅτι θαυμαστῶς γράφει. [Πρόσφατον Θήβᾳ.] ἀρτίως ἐπιξενωθεὶς, καὶ ἐπιδημήσας ταῖς Θήβαις. παραγέγονε γὰρ πρὸς τὸν Πίνδαρον ὁ Δημόφιλος, ἵνα αὐτὸν ἀξιώσῃ διὰ τοῦ ὕμνου διαλλάξαι αὐτὸν, πρὸς τὸν Ἀρκεσίλαον.

Τέλος, τῆς τετάρτης τῶν Πυθίων εἰδῶν.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΠΕΜΠΤΟΥ ΕΙΔΟΥΣ.

ΤΗΣ πέμπτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ιγ'. Τὸ πρῶτον, χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ β', πενθημιμερὲς. ἢ λέγεται διπλοῦς ἴαμβος. ἔστι δὲ δίμετρον ἰαμβικὸν ὑπερκατάληκτον. Τὸ γ', ὅμοιον τῷ αὐτῷ. Τὸ τέταρτον, τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον· Τὸ ε', Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς', ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ζ', ὅμοιον τῷ· Τίς σαῖς παρήγορε φρένας; Τὸ ὄγδοον, χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ', ὅμοιον τῷ πρώτῳ. Τὸ δέκατον, παιωνικὸν δίμετρον ἀκατάληκτον διακριτικόν. ὅ ἐστι, παίων τέταρτος. Τὸ ια', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δωδέκατον, ἰαμβικὸν, τρίμετρον καταληκτικόν. ὅ ἐστιν, ἑφθημιμερές. Τὸ ιγ', τροχαϊκὸν δίμετρον καταληκτικόν.

Περὶ τῶν κώλων τῆς ἐπῳδῆς τοῦ αὐτοῦ εἴδους.

Η ἐπῳδὴ, κώλων ἐστὶ δώδεκα σὺν δύο. Τὸ πρῶτον, ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον. Τὸ δεύτερον, ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ γ', ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ δ', πενθημιμερὲς, διπλοῦς τροχαῖος, ἀκατάληκτον. Τὸ ε', τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ἕκτον, πενθημιμερές. ἢ λέγεται διπλοῦς ἴαμβος. ἔστι δὲ τρίμετρον καταληκτικόν. Τὸ ζ', Γλυκώνειον. Τὸ η', ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ θ', ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον. ἰδίως δὲ ἐπήνεγκεν αὐτῷ τοὺς τροχαίους. Τὸ ι', ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ια', παιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ'. ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιγ', ὅμοιον τῷ αὐτῷ. Τὸ ιδ', χοριαμβικὸν δίμετρον καταληκτικόν· ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς.

† Περὶ τῆς ᾠδῆς.

Γέγραπται καὶ αὕτη ἡ ᾠδὴ, νικήσαντι τῷ αὐτῷ Αρκεσιλάῳ ἅρματι, τὴν τριακοστὴν πρώτην Ολυμπιάδα. ἐπειδὴ δὲ διήγημα μᾶλλον ἐν τῷ πρώτῳ ἐπινίκῳ, ἢ καὶ ἐγκώμιον πεποίηται τῷ Πινδάρῳ, καὶ παρέκβασις διηγηματικὴ τῶν κατὰ Ιάσονα, ἐδόκησεν αὐτῷ, καὶ δεύτερον γράψαι ἐπίνικον.

† Schmidius existimat præcipue Poëtam id agere, ut Carrhotam aurigam, qui victoriam hanc Pythicam Arcesilao labore suo pepererat, ei commendet, &, ut debito illum honore ac præmio afficiat, impetret: nec vero absimile esse, Demophilo ad intercessionem Pindari ab Arcesilao in gratiam recepto, Carrhotum hunc aurigam, tantam Pindari autoritatem apud Regem expendisse, & propterea pro præmio hactenus non dato, intercessionem hanc à Pindaro exorasse, vel pretio etiam redemisse; & hanc ob causam Exordio tali Poëtam uti, quod ad Intercessionem potius pro Carrhoto honorando, quam ad laudes victoriæ Pythicæ directum est; & passim alibi ad hunc scopum collimare. Hæc vero est mera conjectura. Vide tamen, quæ Schol. habet ad P. 4. v. 467.

Metrica vero ratio sic se habet:

στροφὴ & ἀντιστροφή.

1. υ - υ - - υ -
2. υ - υ - - υ -
3. υ - υ υ - υ - υ υ υ -
4. υ - υ υ - υ - υ υ υ -
5. υ υ υ υ υ υ υ
6. - υ υ υ - υ υ υ
7. υ - - υ -
8. - - υ - - υ υ -
9. υ - υ - - υ -
10. υ υ - υ - υ - υ -
11. - υ - - υ υ
12. - υ - - υ υ - υ υ -
13. - - υ - υ - -
14. - υ - υ - υ -

ἐπῳδός.

1. υ - - υ υ υ - υ - -
2. - υ υ - υ - υ
3. υ υ - υ - υ
4. - υ - - υ - υ υ -
5. - υ - υ υ - υ υ υ - υ υ -
6. υ - υ - - υ - υ υ - υ
7. υ - - υ υ - υ -
8. υ - - υ υ - υ υ υ - υ
9. υ - - υ -
10. υ - - υ - υ - υ - υ
11. - υ - - υ υ
12. - υ - υ υ -
13. υ - - υ υ -
14. υ υ υ υ - - υ -

ΑΡΚΕ-

ΑΡΚΕΣΙΛΑΩ ΚΥΡΗΝΑΙΩ ΑΡΜΑΤΙ.
ΕΙΔΟΣ Ε'.

ARCESILAO CYRENÆO CURRU.
ODE V.

ARGUMENTUM.

Quoniam Oda superiore paucis Arcesilaum laudavit, & ad longam narrationem rerum ab Jasone gestarum digressus est, nec tam Arcesilai encomium scribere, quam ei Demophilum supplicatione conciliare instituit; ideo alteram odam scribit, & Arcesilaum nunc ex professo laudat à Divitiis, à composito civili tumultu, à Victoria, à Carrhoto auriga, ab ope Divina, à Majoribus, & claris eorum facinoribus, ab ætate, & vitæ studiis.

στροφὴ α'. κώλων ιδ'.

Ο Πλοῦτος εὐρυσθενής,
Οταν τις ἀρετᾷ κεκρα-
μένον καθαρᾷ βροτήσιος ἀνὴρ,
Πότμου παραδόντος αὐτὸν, ἀνάγῃ
Πολύφιλον ἑπέταν.
Ω θεόμοιρ' Αρκεσίλα,
Σύ τοί νιν κλυτᾶς
Αἰῶνος ἄκραν βαθμίδων

METAPH.

Divitiæ late-potentes *sunt*,
Quum quis virtute tempe-
ratas pura mortalis vir,
Fortuna tradente eas, fecerit
Multorum-amicorum-conciliatrices comites.
O divinitus-sortem-adepte Arcesilaë,
Tu utique eas ab inclytæ
Ætatis extremis gradibus

PARAPHRASIS.

Divitiæ quæ multos amicos conciliant, & veluti asseclas hominibus opulentis reddunt, multum possunt quum eas tradente fortuna, homo quispiam virtute præditus acceperit, & secundum virtutis regulam administraverit. Tu autem ô beate Arcesilaë, cujus sortem regit divina providentia, divitias istiusmodi possides, & ab ipsis inclytæ vitæ primordiis,

NOTÆ.

3 Καθαρᾷ] Schmid. intelligit virtutem oppositam hypocriticæ, quæ divitiis pejus sæpe abutitur quam aperta improbitas. Forte sonat, Eximia, vel Generosa. 4 Πότμου παραδόντος] Eo sensu accipit Schmid. quo illud Hesiodi: Χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείνω. Sed respicere videtur ad Arcesilai Fatale imperium, scil. Battiadum Familiæ ab Oraculo donatum per 14. generationes. Vide v.6. Ανάγκῃ MS. γ. pro ἀνάγῃ. 6 Θεόμορ' leg. Schmid. ex conjectura. Θεόμορος Hesych. σώφρων. 8 Αἰῶνος] Hæc vox, quando vitam notat, sæpe etiam in Fœminino Genere usurpatur à Poëtis. Schmid. & quidem nimis curiose.

[Ο πλοῦτος εὐρυσθενής.] τὸν μετ' ἀρετῆς πλοῦτόν φησιν, εὐρυσθενῆ εἶναι. τὸ γὰρ ἕτερον ἄνευ τοῦ ἑτέρου, οὐκ ἀσφαλές ἐστιν, ὡς καὶ Καλλίμαχός φησιν· Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν, Οὔτ' ἀρετὴ ἀφένοιο. καὶ ἡ Σαπφώ· Ο πλοῦτος ἄνευ ἀρετᾶς, οὐκ ἀσινὴς πάροικος. μόνον οὕτως ὁ πλοῦτος εὐρυσθενής ἐστιν ὄντως, καὶ μέγα ἰσχύει, ἐὰν κεκραμένος ἀρετῇ ὑπάρχῃ. [Πολύφιλον] δέ φησιν αὐτὸν ἑπέταν, ἐπειδὴ τῷ πλουτοῦντι πολλοὶ ἕπονται. οὕτω δὲ Αρίσταρχος. ἔστι μὲν χωρὶς τὸ, πολύφιλον λέγειν. χωρὶς δὲ, τὸ ἑπέταν. τοιοῦτός ἐστι τῷ ἔχοντι ὀπαδὸς, ὥστε πολλοὺς φίλους ποιεῖν. ἔστι δὲ καὶ συναμφότερα ἀκούειν· ᾧ πολλοὶ φίλοι ἕπονται. τὸ δὲ ἀνάγῃ, τὸ αὐτὸ τῷ αὔξει. ἢ ἐν τῷ καθόλου, τὸν πολύφιλον πλοῦτον· ἢ ὅταν πολυφίλως αὐτὸν ἀνάγῃ, ὅτι πολύφιλοι οἱ πλούσιοι. τὸ δὲ ἑπέταν, τὸν τοῖς ἐν χρείᾳ καθεστηκόσιν ἑπόμενον. ὁ δὲ νοῦς. ὁ πλοῦτος ἄγαν ἰσχυρότατός ἐστιν, ὅταν τις ἀνθρώπων ἀρετῇ συγκεκραμένον καθαρᾷ, τῆς τύχης αὐτὸν παραδιδούσης ἀνάγῃ, πολύφιλον ὄντα, καὶ διδῶ τοῖς ἐν χρείᾳ καθεστηκόσιν. [Ω θεόμοιρ' Αρκεσίλα, σύ τοί νιν.] σὺ, φησὶν, ὦ ἐκ θεοῦ ταύτην ἔχων τὴν μοῖραν Αρκεσίλαε. ὅ ἐστιν, ἐκ θεῶν εἰληφὼς τὴν βασιλείαν, αὐτὸν τὸν πλοῦτον ἀπ' ἄκρων βαθμίδων τοῦ αἰῶνος. τουτέστιν ἀπ' ἀρχῆς τοῦ βίου, καὶ ἀφ' οὗ ἐγνωρίσθης τῷ κόσμῳ ἢ βίῳ, σὺν εὐδοξίᾳ μετέρχῃ ὅτι οὐκ εἰς ῥαθυμίαν αὐτῷ χρώμενος εἶ, ἀλλ' εἰς τὰ δοξάζειν δυνάμενα· ἱπποτροφίας, καὶ τὰ τοιαῦτα. Διατί δὲ σὺν Κάστορι; ἢ ὅτι ἱππικὸς ὁ θεός. Ομηρος· Κάστορά θ' ἱππόδαμον. ὁ δὲ Αρκεσίλαος ἱπποτροφεῖ. ἢ ὅτι δοκεῖ πρῶτος συνωρίδα καταζεῦξαι Κάστωρ. ἢ ὅτι ἄνωθεν, οἱ Βαττιάδαι καὶ Αριστοτέλης, Λάκωνες ἦσαν. ὅθεν καὶ οἱ Τυνδαρίδαι. ἀπὸ γὰρ Λακώνων εἰς Θήραν ἦλθον. ἀπὸ δὲ τῆς Θήρας εἰς Κυρήνην. ἢ ὅτι ἐπιφανῶς ἄγουσι Κυρηναῖοι τὰ Διοσκούρια, Βάττου πρώτου καταδείξαντος τὴν εὐχήν. [Αλλως] κέλητα καὶ χαλινὸν πρῶτος Βελλεροφόντης κατέζευξε. συνωρίδα, Κάστωρ. ἅρμα, Εριχθόνιος ὁ Αθηναῖος. ἀστράβην, Οξύλος ὁ Αἰτωλός.

[Εὐδίαν

Απο, σὺν εὐδοξίᾳ
Μετανίσεαι, ἕκατι χρυ-
σαρμάτου Κάστορος·
Εὐδίαν, ὃς μετὰ χειμέριον
Ομβρον, τεὰν καταιθύσ-
σει μάκαιραν ἑστίαν.

ἀντιστροφὴ α'. κῶλον ιδ'.

Σοφοὶ δ' ἔτι κάλλιον
Φέροντι καὶ τὰν θεόσ-
δοτον δύναμιν. Σὲ δ' ἐρχόμενον ἐν
Δίκᾳ, πολὺς ὄλβος ἀμφινέμεται·
Τὸ μὲν, ὅτι βασιλεὺς
Εσσὶ μεγάλαν πολίων·
Εχει συγγενὴς
Δ' ὀφθαλμὸς αἰδοιέστατον
Γέρας τεᾷ τοῦτο μι-
γνύμενον φρενί· μάκαρ δὲ καὶ
Νῦν, κλεεννᾶς ὅτι

Usque, cum gloria
Accedis, voluntate aure-
um-currum-habentis Castoris:
Tranquillam, qui post hybernum
Imbrem, tuam illu-
strat beatam domum.

METAPH.

Sapientes vero adhuc pulchrius
Ferunt divinitus-da-
tam potentiam. Te vero ambulantem in
Justitia, magna felicitas amplectitur:
Partim, quia Rex
Es magnarum urbium:
Partim quia habet congenitus
Oculus honoratissimum
Præmium hoc tuæ admi-
stum prudentiæ: *partim* vero beatus &
Nunc *es*, gloriosa quod

PARAPHRASIS.

ab ætate prima, ex quo inter homines versaris, iis non ad mollitiem, sed ad studia quibus gloriam compares probe uteris, veluti ad beneficentiam, inprimis vero ad alendos equos in gratiam & honorem Castoris, qui aureo curru vehitur, Dei vestri tutelaris, qui post illam inter cives tuos seditionis excitatæ procellam, beatæ domui tuæ civicis dissidiis graviter turbatæ splendidam pacis tranquillitatem reddidit. Præterea, ut sapientis est, potentiam à Deo acceptam cum animi moderatione geris, & tua virtute ornatiorem reddis. Propterea etiam cum hoc tuo in imperio recte vivas & justitiam colas, ideo fœlicitate alta potiris. Inprimis autem duplici nomine es fœlix: altero quod rex es magnarum urbium: & præterquam quod insignes tuæ mentis dotes venerabilem te efficiunt, oculo etiam qui cognatione quadam cum ea est conjunctus, quique ejus est character, ejusque proinde index, gravissimam majestatem præ te fers: altero, quod cum hoc tempore ex celebri

NOTÆ.

9 Schmid. ξύν. 10 Μετανίσεαι] Exerces, Vulg. Philipp. quasi omiss. τὸ ἐν, absolute reddit, Procedis. Εκατι] In gratiam, vert. Lonicer Χρυσαρμάτου] Horat. Ode 12. Carm. *Hunc* [Castorem] *equis*; *illum* [Pollucem] *superare pugnis Nobilem*, vocat. Schmid. dubitat an non leg. ἐυαρμάτου, forte ob rationem metricam. 12 Εὐδίαν] Plerique Tranquillitatem Substantive reddunt. Horat. ubi supra. *Quorum* [Puerorum Ledæ] *simul alba nautis Stella refulsit, Defluit saxis agitatus humor: Concidunt venti, fugiuntque nubes: Et minax (quod sic voluere) ponto Unda recumbit.* Plut. de Orac. def. Οἱ Τυνδαρίδαι τοῖς χειμαζομένοις βοηθοῦσιν, ἐπερχόμενοί τε μαλάσσοντες βίαν τὴν πόντου, ὠκείας τε ἀνέμων ῥιπάς, οὐκ ἐμπλέοντες αὐτοὶ καὶ συγκινδυνεύοντες, ἀλλ' ἄνωθεν ἐπιφαινόμενοι καὶ σώζοντες. 13 Καταιθύσσει] Coruscat, vel cum coruscatione immittit, Alii. 18 Ολβος pro felicitate accipi, sequentia de dotibus animi & victoria Pythica arguunt. Schmid. 22 Τὸ δ' omitt. Editt. plurimæ, cum tamen respondeat τὸ μέν. Αἰδοιότατον mavult Schmid. metri causa, sed cum, ut ipse agnoscit, σ sæpius dissimuletur, nihil mutamus. Vide quomodo hunc locum explicat Paraphrastes.

[Εὐδίαν ὃς μετὰ χειμέριον.] ὁ Κάστωρ σοι εὐδίαν παρασκευάζει. ἐπαινίττεται δὲ τὸν τῶν Κυρηναίων νεωτερισμὸν (στάσις γὰρ ἐνέπεσεν αὐτῷ πρὸς τὸν δῆμον.) ὃν δὴ χειμῶνα εἶπε. διχόθεν ὁ Κάστωρ εὐμενής σοι ἐστίν. εἴς τε τὴν εὐδαιμονίαν ἐκ χειμῶνος κατάστασιν, καὶ εἰς τὴν ἱππικὴν νίκην. [Αλλως. Εὐδίαν] ὅς τις ὁ Κάστωρ μετὰ τὸν χειμερινὸν ἐκεῖνον ὄμβρον τῶν πραγμάτων, περὶ τὴν σὴν μακαρίαν ἑστίαν καταλάμπει. τοῦτο δέ φησιν, ὅτι ἐστασίασε τὰ περὶ τὴν Κυρήνην πράγματα τῷ Αρκεσίλᾳ, κατ' ἐκεῖνο. [Σοφοὶ δ' ἔτι κάλλιον.] τοῦτο φησὶν, ὅτι διδόασιν οἱ θεοὶ τοῖς ἀνθρώποις ἀγαθά. οἱ δὲ σοφοὶ, καλλίονα ποιοῦσιν αὐτὰ προσεπικοσμοῦντες διὰ τὴν αὐτῶν ἀρετήν. [Φέροντι καὶ τὰν θεόσδοτον.] ἀντὶ τοῦ, φέρουσι καὶ ποιοῦσι. τὸ δὲ θεόσδοτον· ἀντὶ τοῦ, θεόδοτον εἶπε. [Σὲ δ' ἐρχόμενον ἐν δίκᾳ.] σὲ δὲ δικαίως βαδίζοντα καὶ ζῶντα, πολὺς σὺν εὐδαιμονίᾳ πλοῦτος περιέχει. [Τὸ μὲν, ὅτι βασιλεὺς ἐσσί.] τοῦτο Αττικὸν τὸ σχῆμα. τοῦτο μὲν, ὅτι βασιλεὺς εἶ μεγάλων πόλεων, ἔχει σου ὁ συγγενὴς ὀφθαλμὸς γέρας αἰδοιέστατον. τουτέστιν, ὁ ἴδιός σου ὀφθαλμὸς, βλέπει περιεσσὸν τὸ γέρας τῆς βασιλείας αἰδοιέστατον. οἷον βλέπεις σεαυτὸν τιμώμενον. δύναται γὰρ ἀπὸ τοῦ ὀφθαλμοῦ τὸ ὅλον σῶμα σημαίνεσθαι. καὶ κατὰ τοῦτο δὲ μακάριος εἶ· ὅτι τὰ Πύθια ἐνίκησας. [Μάκαρ δὲ καὶ νῦν κλεεννᾶς.] μακάριος δὲ τυγχάνεις καὶ ἐπὶ τοῦ παρόντος, ὅτι τῆς εὐδόξου Πυθιάδος τὴν δόξαν τοῖς ἵπποις λαβὼν, ἐδέξω καὶ τοῦτον τὸν κῶμον καὶ ὕμνον παρὰ τῶν χορευτῶν· ὄντα Απόλλωνος παίγνιον. ἤτοι, ὅτι μουσηγέτης ὁ θεός. παιδιὰ γὰρ Απόλλωνος ἡ χορεία. ἢ Απόλλωνος ἄθυρμα, τὴν νίκην. Απόλλωνι γὰρ ἀνιέρωται ὁ ἀγών. λέγει δὲ, ὅτι Πύθια νενίκηκα.

Εὖχος ἤδη παρὰ Πυθιάδος	Decus jam à Pythiade
Ἵπποις ἑλὼν, δέδεξαι	Equis adeptus, accepisti
Τόνδε κῶμον ἀνέρων,	Huncce chorealem hymnum virorum,
ἐπῳδὸς α'. κώλων ιδ'.	METAPH.
Ἀπολλώνιον ἄθυρμα. Τῷ, μὴ	Apollineum ludicrum. Idcirco, ne
Μιν λαθέτω, Κυράνα,	Ipsum fugiat, Cyrenæ,
Γλυκὺν ἀμφὶ κᾶπον	Pulchrum circa hortum
Ἀφροδίτας ἀειδόμενον·	Veneris celebratum:
Παντὶ μὲν Θεὸν αἴτιον ὑπερτιθέμεν·	Omni-rei Deum autorem supra-omnia-facere:
Φιλεῖν δὲ Κάῤῥωτον ἔξοχ' ἑταίρων.	Amare vero Carrhotum eximie supra-socios.
Ὃς οὐ τὰν Ἐπιμηθέος	Qui non Epimethei

PARAPHRASIS.

Pythiorum certamine gloriam equis reportaris, accepisti hoc carmen encomiasticum, viris saltatoribus ludendum in chorea, cujus præses est Apollo cithara temperans harmoniam. Quo carmine scias velim me Cyrenen etiam celebrare, quod sit veluti Veneris hortus, frugiferum videlicet & amabile solum. Porro victoriam hanc tuam, Deo qui bonorum omnium est author, memento acceptam ferre: ejusque causam adjuvantem, videlicet aurigam tuum Carrhotum, uxoris tuæ fratrem, supra socios omnes dilige: qui non Epimethei more

NOTÆ.

26 Εὖχος] Votum, Lonicer. 28 Ἀρετῶν leg. Lonicer. reddens. Rerum præclare à te gestarum. Phil. ἑταίρων· Redd. enim. Sociorum. Neutrum à metro admittitur. 29 Τῷ μή σε λαθέτω leg. Alii. Transpositione vero τῷ σε μὴ λαθέτω, opus est iis, qui eam lect. amplectuntur. MS. γ. sequimur. 30 Κυράνα Schol. in Nominat. accipit, & cum ἀειδομένη connectit, ita enim legit; quem & Bened. secutus est. Lonicer. ἀειδόμενον ad κᾶπον refert. Casus vero sextus est, Dorice destitutus ἰῶτα subscribendo, quod errori ansam, ut sæpius alias, præbuisse videtur. Syntaxis Schmidii, μή σε λαθέτω [τὸ] ἀειδόμενον Κυράνα ἀμφὶ κᾶπον γλυκὺν Ἀφροδίτας. Quid sit id ἀειδόμενον subjicit, Παντὶ αἴτιον Θεὸν ὑπερτιθέμεν. Intelligit enim autor laudatus certum hymnum Cyrenæis usitatum. Ad nos quod attinet, qui σε per ἐπεξήγησιν additum à Scholiaste quodam arbitramur, & postea per errorem in Textum suffectum fuisse; Pindaricum quidem μιν retinuimus, quali sensu videas Metaphrasin. Ἀμφὶ κᾶπον] Intelligitur locus aliquis Cyrenes Veneri sacer, fertilis. Schmid. 33 Ὑπερτιθέμεν] Est Infinit. pro ὑπερτιθέναι. Philipp. vero, quasi esset ὑπερτιθέμεν, redd. Ponimus. 34 Φιλεῖ leg. Alii. Φιλεῖ, Lonicer. reddens, Amore prosequitur. Κάῤῥωτον] Theotimi sententiam vide apud Schol. qui, juxta Volaterranum, tempore Hieronymi vixit. Schmid. eandem rejicit, quod minus verisimile sit Pindarum Carrhoto ea tribuisse, quæ ad Euphemum pertinerent. Et iis, quæ à Theotimo dicuntur, scilicet quod ἑταῖρον & εὐεργέτην Arcesilai Carrhotum vocet Poëta, ideoque affinem fuisse non Aurigam, respondet. Aurigas veterum Principum non fuisse servos, sed plerumque cognatos & ingenuos, sicut Jolaus Herculis Auriga fuit. Carrhotum autem successisse Euphemo non negat Theotimus, quomodo igitur Aurigatio indigna esse potuit? Adde quod ἑταῖρος non tam respectu Arcesilai, quam reliquorum Aulicorum dicatur, ὧν ἔξοχα eum vult φιλεῖσθαι. Quæ si probet, amplectatur Lector.

[Τῷ, μή σε λαθέτω Κυράνα.] διὸ, μή σε λανθανέτω ἡ Κυρήνη ἀνυμνουμένη. [Ἀμφὶ κᾶπον.] κῆπον Ἀφροδίτης, τὴν Κυρήνην φησὶν ὡς καλλίκαρπον. ἢ διὰ τοῦτο ἐράσμιον καὶ ἐπαφρόδιτον. εἰ μὴ ἄρα, τὸν τῶν Χαρίτων λόφον, ὠνόμασεν τὸν Ἀφροδίτης κῆπον. Καλλίμαχος· Ἡ ὑπὸ αὐχαλέον Χαρίτων λόφον. [Παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν.] ἐπὶ παντὸς πράγματος δεῖ, φησὶ, τῷ θεῷ τὴν αἰτίαν ἀνάπτειν. ὑπερτιθέειν τε καὶ φιλεῖν. οὕτως Ἀρίσταρχος ἀντὶ τοῦ, φίλει. καὶ σὺ τοίνυν πρὸ μὲν πάντων, τῷ θεῷ ἀνατιθέναι. προσήκει δὲ φιλεῖν παρὰ τοὺς ἄλλους ἑταίρους, Κάῤῥωτον. ἔστι δὲ ὄνομα κύριον, περὶ οὗ μέμνηται πρὸς τὸν Ἀρκεσίλαον. οἱ δὲ, τὸν ἡνίοχον τούτου. ὅν φησιν, ὁ Πίνδαρος τῆς Πυθικῆς νίκης αἴτιον γενέσθαι τῷ Ἀρκεσιλάῳ. καταγεῖν δὲ αὐτῷ καὶ στρατιωτικὸν ἀπὸ τῆς Ἑλλάδος ἀθροίσαντα. ταῦτα δὲ πιστοῦται, παρατιθέμενος τὰ Θεοτίμου, ἐκ τοῦ πρώτου περὶ εἰρήνης, ἔχοντος οὕτως. διαπίπτουσαν δὲ τὴν πρᾶξιν αἰσθόμενος ὁ Ἀρκεσίλαος, καὶ βουλόμενος δι' αὐτοῦ τὰς Εὐεσπερίδας οἰκίσαι, πέμπει μὲν εἰς τὰς πανηγύρεις, ἵππους ἀθλήσοντας, Εὔφημον ἄγοντα. νικήσας δὲ τὰ Πύθια, καὶ τὴν ἑαυτοῦ πατρίδα ἐστεφάνωσε, καὶ ἐποίκους εἰς τὰς Εὐεσπερίδας συνέλεγεν. Εὔφημος μὲν οὖν ἐτελεύτα. Κάῤῥωτος δὲ, τῆς Ἀρκεσιλάου γυναικὸς ἀδελφὸς, διεδέξατο τὴν τῶν ἐποίκων ἡγεμονίαν. ὁ τοίνυν Πίνδαρος τοῖς ἑταίροις καθομιλῶν, τὸ καταπραχθὲν τῷ Εὐφήμῳ, τῷ Καῤῥώτῳ προσῆψε. μόνῳ γὰρ κατώρθωτο, φησὶν, αὐτῷ ἀγαγεῖν τὸ στρατιωτικόν. δόξειε δ' ἂν τούτοις συνᾴδειν, καὶ τὸ, μείζοσιν ἢ καθ' ἡνίοχον, τοῖς περὶ αὐτοῦ λόγοις τὸν Πίνδαρον κεχρῆσθαι. ἑταῖρον γάρ φησι καὶ εὐεργέτην τοῦ βασιλέως. ὅπερ ἂν εἰκότως ἐπὶ κηδεστοῦ λέγοιτο, ἢ ἐπὶ ἡνιόχου. φησὶ γάρ· Ἑκόντι τοίνυν πρέπει νόῳ τὸν εὐεργέτην ἀντιάσαι. αὐτουργόν τινα τὸν Κάῤῥωτον γενόμενον, ἡνιοχῆσαι τὸ ἅρμα. ἀλλὰ τὸ ἐπιεικῶς τοὺς Κυρηναίους ἁρματηλάτας εἶναι καὶ ἱππικούς. ὥστε ἀμφότερα τῷ Ἀρκεσιλάῳ αὐτὸν κατεργάσασθαι, ἡνιοχῆσαι τε καὶ στρατολογῆσαι. [Ὃς οὐκ ἂν Ἐπιμηθέος ἄγων.] Ἐπιμηθέως λέγουσιν ἐπίπαν, θυγατέρα τὴν Μεταμέλειαν καὶ τὰ παραπλήσια. καθάπερ καὶ Προμηθέως, τὴν Προμήθειαν. νῦν οὖν ὁ Πίνδαρος τὴν Πρόφασιν αὐτὴν Ἐπιμηθέως εἶπε θυγατέρα. οὐκ ἐκόμισεν οὖν σοι, ὦ Ἀρκεσίλαε, φησὶν, ὁ Κάῤῥωτος λόγους καὶ προφάσεις, ἀλλὰ τὴν νίκην. εἰώθασι γὰρ οἱ ἡττηθέντες σκήπτεσθαι, ποριζόμενοι προφάσεις τῆς ἥττης. [Ἄλλως.] παρεισῆκται ὁ Ἐπιμηθεὺς, ἀνόητος καὶ ἀπὸ τῶν ἀποβαινόντων συμπτωμάτων καὶ παθῶν, διδασκόμενος τὰ ἀσύμφορα καὶ μεταμελόμενος. ὁ δὲ τούτου ἀδελφὸς Προμηθεὺς, καὶ σοφὸς καὶ προορώμενος. διὸ καὶ τοὔνομα ἀπὸ τοῦ προμαθεῖν ἔχει. καὶ Σοφοκλῆς δὲ ἐν τῷ Προμηθεῖ, τὴν Προμηθέως θέλων λέγειν, τῆς φρονήσεως ἀντέχεσθαι καὶ μὴ τῆς μεταμελείας. ὀψίνοον δὲ τὴν Πρόφασιν εἶπε, διὰ τὸ ὀψέ ποτε καὶ βραδέως, τὰ συμφέροντα καὶ ἀσύμφορα καταλαμβάνειν· ὁ δὲ νοῦς, οὕτως. ὅς τις Κάῤῥωτος, οὐ τὴν τοῦ βραδέως βουλευσαμένου θυγατέρα Ἐπιμηθέως Πρόφασιν ἄγων, εἰς τοὺς οἴκους τῶν Βαττιαδῶν, τουτέστι τῶν Κυρηναίων, παρεγένετο. τουτέστιν, οὐχ ἡττηθεὶς, καὶ προφασισάμενος αἰτίαν τῆς ἥττης, ἦλθεν εἰς Κυρήνην, ἀλλὰ νικήσας.

[Ἀλλ'

Αγων ὀψινόου θυγατέρα Πρό-
φασιν, Βαττιδᾶν
Αφίκετο δόμους θεμισκρεόντων·
Αλλ' ἀρισθάρματον,
Υδατι Κασταλίας
Ξενωθεὶς, γέρας ἀμ-
φέβαλε τεαῖσι κόμαις,

στροφὴ ϛ'. κώλων ιδ'.

Ακηράτοις ἀνίαις,
Ποδαρκέων δυωδεκα-
δρόμων τέμενος. Κατέκλασε γὰρ ἐν-
τέων σθένος οὐδέν· ἀλλὰ κρέμαται,
Οπόσα χεριαρᾶν
Τεκτόνων δαιδάλματ' ἄγων,
Κρισαῖον λόφον
Αμειψεν ἐν κοιλόπεδον
Νάπος Θεοῦ· τό σφ' ἔχει

Ducens sero-sapientis filiam Pro-
phasin, Battidarum
Pervenit ad-domos jura-colentium:
Sed præstantissimo-curru-partum,
Ad-aquam Castaliæ
Hospitio-exceptus, præmium im-
posuit tuis comis,

METAPH.

Salvis habenis, *equorum*
Pedibus-sufficienter-percurrens duodeci-cur-
suum *in* delubro. Fregit enim instrumen-
torum robur nullum: sed pendent *dedicata*,
Quæcunque manibus-compingentium
Fabrorum opera-artificiosa afferens,
Crisæum ad collem
Per-vices-circumduxit ad cavum
Saltum Dei: ea-omnia *enim* habet

PARAPHRASIS.

peracto negotio fuit sapiens, neque damno accepto opus habuit prætextu & excusatione ad tuendam imprudentiam, quum reversus est Cyrenen Batti civitatem: sed Promethei consilio & providentia usus in re peragenda, apud Pythonem ubi est fons Castalius hospitio exceptus, præmium coronæ qua cinctum fuit comatum caput tuum, tibi peperit ob rem præstantissime curru gestam, quum sacrum Pythonis delubrum, quod cursu duodecies est conficiendum, velocibus equorum quos regebat pedibus, citra noxam habenarum percurrit. Neque enim ullum robusti currus instrumentum fregit, sed eo salvo & integro vicit. In cujus rei monumentum, Apollini Pythiorum certaminum Deo, talem eum dicavit & suspendit, qualem quum Crisæo colle præterito pervenit ad Dei lucum, cujus planities est cava, adduxit eadem utique artificii elegantia insignem, qua traditus fuerat à fabris qui eum manibus apte compegerant. In gratiam autem & memoriam ipsorum, Arcesilai nempe & Carrhoti, currus ille est collocatus in atrio

NOTÆ.

36 Οψινόου Schol. Οψινόοι Pal. C. Sed Πρόφασις ὀψίνοος non est, verum post ὀψίνοιαν nascitur, ut vult Schmid. Quasi nimirum epitheta Pindari, qui schematibus adeo duris scatet, ad ratiunculas aliquas possent exigi. Librorum tamen lectio retinenda est. 37 Βαττιαδᾶν leg. Alii. MS. γ. vero sequimur. 38 Θεμισκρεόντων] Jus miscentium, temperantium ac moderantium, à κεράω, Misceo. Pind. Lex. Ad marg. Ed. Brub. hab. Θεμισκρεόντων, Juste imperantium, à κρέω, Impero. Ita MS. γ. & Pal. C. cujus Schol. expon. δικαίως βασιλευόντων. 44 Δυωδεκαδρόμων vel divisim Δυώδεκα δρόμων hab. omnes Edd. Schmid. vero conjecit legendum δυωδεκαδρόμων, quod & habet MS. γ. 47 Χεριάρα quod reponit Schmid. est pro χεριάρου à χεριάρης vel -ρας Dor. Refertur vero ad τέκτονος, quod itidem legit, nullo auctore. Deducit Autor laudatus ab Αρης Mars: Pind. Lex. ab ἄρω, Apto. Sic χαλκοάρης alibi. 48 Αγάλματ' leg. Schmid. metri causa. 50 Εν] Dor. pro ἐς. Schmid. ex conject. ἂν pro ἀνὰ, qui vertit, In cavo saltu. 51 Νάπος] Apertam campi Cyrrhæi planiciem Apollini consecratam intelligit, in qua Pythica certamina fiebant. Pausan. in Phoc. Τό σφ' Alii. Ald. τόσ'. Refertur ad ὁπόσα.

[Αλλ' ἀρισθάρματον ὕδατι Κασταλίας.] ἀλλ' ἐξοχώτατον ἐκ τῶν ἁρμάτων γέρας, ἐν Πυθῶνι παραγεγονώς. ἀπὸ γὰρ τῆς πηγῆς, τὸ χρύσεον ἀκήρατον, περιέβαλεν ὁ Κάῤῥωτος ταῖς σαῖς κόμαις, ἀφθάρτοις ἡνίαις κατὰ τὸ τέμενος τῶν δυωδεκαδρόμων ἁρμάτων ἐπαρκῶν. τουτέστι, τὸ στάδιον τοῖς ποσὶν ἐπαρκέσας, καὶ τὴν νίκην ἀπενεγκάμενος. φασὶ δέ τινες, ὅτι δώδεκα δρόμους ἀνύει τὸ τέλειον ἅρμα. τὸ δὲ πωλικὸν, ὀκτώ. τοῦτο δὲ μαρτυρήσει καὶ ὁ Καλλίμαχος λέγων· Δωδεκάκις περὶ δίφρον ἐπήγαγεν ὄθματα δίφρου. [Ακηράτοις ἀνίαις.] ἀκηράτους ἀνίας, παρὰ τὸ ἀδιαφθόρους εἶναι ἔφη. οὐ γὰρ διεφθάρησαν κατὰ τὸν δρόμον, ἀλλὰ διέμενον ὑγιεῖς. ἔξωθεν δὲ προσληπτέον τῷ κατὰ, ἵν' ᾖ, κατὰ τὸ τέμενος. [Κατέκλασε γὰρ ἐντέων σθένος οὐδέν.] οὐδὲν γὰρ τῶν αὐτοῦ ἁρμάτων ὁ Κάῤῥωτος κατέκλασεν. ἐν γὰρ τοῖς ἑξῆς, αὐτὸς ἱστορεῖ τεσσαράκοντα δίφρους τοὺς συναγωνιζομένους τῷ τοῦ Αρκεσιλάου ἅρματι, κατεάχθαι κατὰ τὸν δρόμον. μόνον δὲ τὸ τοῦ Καῤῥώτου ὄχημα, ἀπήμαντον ἀνύσαι τὸ στάδιον. καὶ διὰ τοῦτο ἀνατεθῆναι τῷ Απόλλωνι. ὁ δὲ νοῦς, οὕτως· οὐδαμῶς δὲ συνέτριψε τι τῶν ἅρματος σκευῆς οὐδὲν, ἀλλὰ κρέμαται, καὶ ἀνιέρωται τῷ Απόλλωνι, ὁπόσα τὴν τῶν χερσὶν ἁρμοζόντων τεκτόνων ποικίλματα ἄγων, τὸν Κρισαῖον λόφον κατὰ τὸ κοιλόπεδον πεδίον ἔδραμε τοῦ Απόλλωνος. [Τό σφ' ἔχει κυπαρίσσινον μέλαθρον.] ὅπερ τὸ ὄχημα ἔχει τις οἶκος ἐστεγασμένος κυπαρισσίνοις δοκοῖς, πλησίον τοῦ ἀνδριάντος. ὅν τινα μονόβολον ὄντα, οἱ Κρῆτες παρὰ τῷ Παρνασσίῳ ὄρει καθίδρυσαν. τουτέστιν, ἐν τῇ Πυθοῖ. [Μονόδροπον] γὰρ, τὸ μονόβολον, ἢ μονόξυλόν φησι, παρὰ τὸ, μόνον αὐτὸν εἰλῆφθαι. δρέπεσθαι γὰρ, τὸ λαμβάνειν.

Κυπαρισσινον μέλαθρον ἀμ-
φ' ἀνδριάντι σχεδὸν,
Κρῆτες ὃν τοξοφόροι τέγει
Παρνασσίῳ καθέσσαν-
το, μονόδροπον φυτόν.

ἀντιστροφὴ ϛ'. κώλων ιδ'.

Εκόντι τοίνυν πρέπει
Νόῳ τὸν εὐεργέταν
Ὑπαντιάσαι. Αλεξιβιάδα,
Σὲ δ' ἠύκομοι φλέγοντι Χάριτες.
Μακάριος, ὃς ἔχεις
Καὶ πεδὰ μέγαν κάματον,
Λόγων φερτάτων
Μναμήιον. Εν τεσσαράκον-
τα γὰρ πετόντεσσιν ἁ-
νιόχοις, ὅλον δίφρον κομί-
ξαις ἀταρβεῖ φρενὶ,
Ηλθες ἤδη Λιβύας πεδίον
Εξ ἀγλαῶν ἀέθλων,
Καὶ πατρωίαν πόλιν.

Cypariſſina trabs ad
Statuam prope,
Cretenſes quam ſagittarii in-cacumine
Parnaſſio colloca-
runt, ex-una-arbore-natam plantam.

Μεταφ.

Spontanea itaque decet
Mente benefactori
Occurrere. Alexibiada,
Te vero pulchricomæ illuſtrant Gratiæ.
Beatus *es*, qui habes
Etiam poſt magnum laborem,
Sermonum præſtantiſſimorum
Monumentum. Inter quadragin-
ta enim lapſos au-
rigas, integrum currum repor-
tans intrepido animo,
Rediiſti jam *in* Libyæ campum
Ex ſplendidis certaminibus,
Et *ad* patriam urbem.

PARAPHRASIS.

cupreſſinis trabibus contignato, prope ſtatuam quam ſagittarii Cretenſes, ex unius arboris trunco, citra partium ullarum coagmentationem effictam in cacumine Parnaſſio, hoc eſt in Pythone, collocarunt. Quare Arceſila, cum hujuſmodi aurigæ opera & beneficio victoriam conſequutus fueris, decet te ut eum de te bene meritum ſpontanea benevolentia proſequaris. Te vero, ô Carrhote fili Alexibii, illuſtrem reddunt mea carmina, quæ pulchricomarum Gratiarum venuſtate nitent. Et beatus es, quod poſtquam magnum laborem exantlaſti, mea oratione metrica quæ eſt præſtantiſſima, præconium laudis immortalis nactus es, idque meritiſſimum. Nam inter quadraginta aurigas qui tecum certantes ceciderunt, currum integrum & illæſum referens intrepido animo, ab illuſtribus Pythonis certaminibus in Libyæ campum, patriamque urbem Cyrenen reverſus es.

NOTÆ.

52 Κυπαρίσσινον μέλαθρον] Fuit hæc ædes in ἱερῷ περιβόλῳ Apollinis, ut Pauſan. not. l. 10. id eſt in ſacro ſepto, quod ſitum ad Parnaſſum, & in clivum reſupinatum fuit ſpatii perampli, & exituum multiplicium. Eundem περίβολον, mox Pauſan. τέμενος appellat. Ibi vero repoſita ſunt donaria Apollini conſecrata. 53 Ανδριάντι] Hujus ſtatuæ Cretenſium Pauſan. non meminit, initio proteſtatus ſe non omnia, ſed λόγου μάλιστα ἄξια percenſurum eſſe: ſicut nec currus Arceſilai, niſi forte ille fuit, quem ſe vidiſſe ſcribit à Cyrenæis (ut forte relatum fuit) dedicatum cum Batti Statua, puta Coloniæ ex Thera in Cyrenaicam ducis, cui tanquam Auriga addita fuit Cyrene Nympha: & ipſa Libye Nympha Batto Coronam imponens. 54 Κρῆτες] Cretenſes Pindari ætate, & magis adhuc præcedentibus ſæculis, præ cæteris Græcis διὰ τὸ τοξεύειν erant celebres. Pauſan. Att. Τέγει] Tecto in lateribus declivioribus Parnaſſi collocato, quod paulo ante Κυπαρίσσινον μέλαθρον vocavit. Schmid. 55 Καθέσσαντο hoc κώλῳ trib. γ. 56 Μονόδροπον φυτὸν] Apollinis eſſe ſtatuam Schmid. conjicit. 59 Ὑπαντιάσαι] Ab ὑπαντιάζω, quod arguit α penult. breve. Ab ὑπαντιάω enim produceretur. 60 Φλέγοντι] Lonicer. Depereunt, reddit: ſicut & Virgil. Ardere pro Deperire, *Ardebat Alexin.* 62 Μετὰ Commune hab. Edd. 66 Ανιόχοισιν Edd. At Pal. C & γ. noſtram lect. habent. 68 Ηλθεν leg. Pal. C. refer. ad Carrhotum. 69 Αγλαῶν] Pal. C. ἀγαθῶν. 70 Πατρῴαν Alii.

[Εκόντι τοίνυν πρέπει νόῳ.] ὁ λόγος πρὸς τὸν Αρκεσίλαον. προσήκει σε, φησὶν, ἑκόντι τὸν εὐεργέτην Κάρρωτον ἀμείβεσθαι, ἀνθ' ὧν εἰς σὲ διεπράξατο. [Αλεξιβιάδα σὲ δ' ἠύκομοι.] ὦ Αλεξιβίου υἱὲ Κάρρωτε. σὲ δὲ αἱ εὔκομοι ἐκ τῆς μνήμης καταλαμβάνουσι Χάριτες. [Μακάριος, ὃς ἔχεις] μακάριος δὲ καὶ εὐδαίμων τυγχάνεις, ὅστις καὶ μετὰ τὸν μέγαν κάματον, διὰ τῶν ἐμῶν φερτάτων λόγων, τουτέστι τῶν ὕμνων, ἔχεις μνημεῖα τῶν καμάτων. ταῦτα δὲ, ἤτοι πρὸς τὸν Αρκεσίλαον λέγει, διὰ τὸ στάσει κεχρῆσθαι πρὸς τοὺς ὑπηκόους· ἢ πρὸς τὸν Κάρρωτον· διότι πρὸ τοῦ τῶν ἐποίκων συλλογὴν πολλὰ ἐταλαιπώρησεν. [Εν τεσσαράκοντα γὰρ πετόντεσσιν.] ὁ νοῦς. ἐν γὰρ τεσσαράκοντα καταπεσοῦσιν ἡνιόχοις, ἄθραυστον καὶ ὑγιᾶ τὸν δίφρον ἤγαγες ἀταράχῳ διανοίᾳ. καὶ παρεγένου εἰς τὸ Λιβύης πεδίον, ἐκ τῶν ἐνδοξοτάτων ἀγωνισμάτων, καὶ εἰς τὴν ἔνδοξον πόλιν Κυρήνην.

[Πόνων

ἐπῳδὸς ϛ'. κώλων ιδ'.	METAPH.
Πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν,	Laborum vero nemo exsors est,
Οὔτ' ἔσεται. Ὁ Βάττου	Neque erit. Batti
Δ' ἕπεται παλαιὸς	Vero sequitur prisca
Ὄλβος, ἔμπας τὰ καὶ τὰ νέμων.	Felicitas, &-tamen hæc & illa tribuens.
Πύργος ἄστεος, ὄμμα τε φαεννότατον	Turris *ille est* urbis, oculusque clarissimus
Ξένοισι. Κεῖνόν γε καὶ βαρύκομποι	Hospitibus. Illum sane & frendentes
Λέοντες περὶ δείματι	Leones præ timore
Φύγον, γλῶσσαν ἐπεί σφιν ἀπένεικεν	Fugerunt, linguam postquam illis attulit
Ὑπερποντίαν.	Transmarinam.
Ὁ δ' ἀρχαγέτας ἔδωκ' Ἀπόλλων	Nam autor-coloniæ-deducendæ dedit Apollo
Θῆρας αἰνῷ φόβῳ,	Bestias gravi metui,
Ὄφρα μὴ ταμίᾳ	Ut ne præsidi
Κυράνας ἀτελὴς	Cyrenes irritus
Γένοιτο μαντεύμασιν.	Fieret in-oraculis.

PARAPHRASIS.

Ne putes autem quum in adipiscenda victoria tantum laborem exhausisti, tuam conditionem fuisse duriorem quam aliorum qui res præclaras gesserunt. Nemo enim unquam antehac præclari quicquam gessit, nemo unquam in posterum sine magno labore geret. Arcesilaum vero sequitur vetus Batti fœlicitas, quæ pariter hæc & illa ipsi tribuit, ut sit turris & propugnaculum urbis, patriæ tutor ac defensor, & peregrinos, ut benigno erga eos est affectu, ita oculo serenissimo aspiciat. Cum autem in solo ubi Cyrenen condidit Battus, grassari solerent superbi leones, territi diffugerunt, quum ille, prout accepto ultra mare apud Delphos oraculo significatum fuerat, adducta sociorum manu, suæ coloniæ stationem construebat. Fecit autem Apollo, qui oraculi sui monitu author erat deducendæ coloniæ, ut feroces illæ feræ gravi metu perculsæ, aufugerent, ne quid fatali illi Cyrenes conditori obstaret, ac ne vanum foret vaticinium Dei veridici,

NOTÆ.

72 Βάττου] Lonicer. vert. Battum vetus felicitas sequitur, præter alia hæc simul tribuens, ut sit ipse Turris urbis, oculusque hospitibus lucidissimus. Nam &c. 76 Βαρύκομποι] Κόμπος est proprie, Crepitus aprorum dentes acuentium. Schmid. vert. Dentibus-acutis-terribiles. Vulg. vero, Graviter-fastuosi. Historia talis est: Battus in Libya de improviso conspexit Leonem: quo territus magnum & clarum, urgente necessitate, sustulit clamorem, quo & Leonem fugavit & vocis vitium (antea enim balbutiebat) sanavit. Herod. l. 4. & Pausf. l. 10. Poëta Plur. Leones, ut alibi solet, pro Singulari utitur. 78 Φεῦγον Alii. Φύγον vero cum Schol. leg. qui ἔφυγον sæpius habet. Γλῶσσαν. γ. 79 Ὑπερποντίαν] In quot diversas sententias abierunt Grammatici vide apud Schol. Hanc Didymi Schmidius probat, quam ita exprimit, Peregrinam vocem initio quidem exilem, sed postea maxime intensam. 80 Δῶκεν Ἀπόλλων leg. Edd. pleræque. 82 Ταμίᾳ Lonicer. & Aret. vertunt. Promptuarium, qu. esset Nominativus Fœminini generis; cum tamen ταμία sit Dispensatrix, & ταμιεῖον Promptuarium appellandum esset.

[Πόνων δ' οὔτις ἀπόκλαρός ἐστι] τοῦτο καθολικῶς φησὶ, παραμυθούμενος αὐτόν. ὁ δὲ νοῦς. οὐδεὶς δὲ ἀνθρώπων, ἄμοιρός ἐστι πόνων καὶ καμάτων. [Οὔτε ἔσται ποτέ.] ἴσως δὲ τοῦτο εἶπεν, ὡς τοῦ Καρρώτου κεκμηκότος, ἀβλαβὲς διασώσαντι τὸ ἅρμα. [Ἔμπας τὰ, καὶ τὰ, νέμων.] τουτέστιν τὰ ἀγαθὰ καὶ τὰ κακά. ἀμήχανον γάρ, φησιν, ἄνθρωπον ὄντα, τὸ πάντα ἀγαθὰ λαβεῖν. Ὅμηρος· Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει. καὶ αὐτὸς ὁ Πίνδαρος· Ἓν παρ' ἐσθλὸν, πήματα σὺν δύο δίδονται βροτοῖς. χρῶνται δὲ τῷ ἔμπας, ἀντὶ τοῦ περισπωμένου τοῦ, ὁμῶς. ὅ ἐστιν ἴσον τῷ, ὁμοίως. καὶ γὰρ τὸ ἔμπης, ἀντὶ τοῦ περισπωμένου τοῦ ὁμῶς τάσσει Ὅμηρος· Ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ Καὶ κεφαλῆς. καὶ πάλιν· Ἔμπης ἐς γαῖάν τε καὶ οὐρανόν. καὶ ἐπὶ τῶν ὁμοίων. [Κεῖνόν γε καὶ βαρύκομποι λέοντες.] Ἀρίσταρχος, κατὰ τὸν τόπον φησὶ τοῦτον, καθ' ὃν ἔκτισται ἡ Κυρήνη, λέοντας διατρίβειν πολλούς. τῷ δὲ Βάττῳ, τὸν Ἀπόλλωνα δοῦναι τινὰς ἐπῳδὰς, δι' ὧν αὐτοὺς ἔμελλεν ἀποσοβήσειν, καὶ τὸν τόπον ἡμερώσειν. [Ὑπερποντίαν] δὲ αὐτὸν ἐπενέγκαι γλῶσσαν φησὶ, παρόσον τὴν τοῦ Ἀπόλλωνος φωνὴν ἐκ Δελφῶν εἰς Λιβύην μετήνεγκε. μήποτε δὲ τοπικῇ κατείληπται φράσει. καὶ ἔστιν ὃ βούλεται λέγειν, ὅτι ἐν Θήρᾳ τῆς Λιβύης οὔσης, ὁ Βάττος οἰκίσας τὴν Κυρήνην, παρεσκεύασε φυγεῖν τοὺς λέοντας, δέει τῷ αὐτοῦ. ὁ δὲ νοῦς. ἐκεῖνον δὲ τὸν Βάττον, καὶ οἱ χαλεποὶ λέοντες τῆς Λιβύης ἔφυγον, γλῶσσαν ἐπεί σφισιν ἀπένεικεν ὑπερποντίαν. οὐχ' ὅτι, φησὶν ὁ Δίδυμος, οἱ λέοντες ἐκ φωνῆς ἔφυγον, ἀλλ' ἐπεὶ τὴν ἀπόφασιν ἐκ Πυθίας ὑπὲρ τὸν πόντον διεκόμισεν. ἐλθόντι γὰρ αὐτῷ εἰς Δελφοὺς, καὶ χρωμένῳ πῶς ἀποκαταστήσαι φωνὴν, παραλιποῦσα τὸ ἐρωτηθὲν, ἐκέλευσεν αὐτῷ πόλιν κτίζειν ἐπὶ τῆς Λιβύης. τοιοῦτον οὖν ἐστι τὸ, γλῶσσαν ἐπεί σφιν ἀπένεικεν· ἐπεὶ τὸν χρησμὸν διεκόμισε. κατὰ γὰρ τὸν χρησμὸν διεβίβασεν ὄχλον, καὶ ἔκτισε τὴν Κυρήνην. ἔφυγον δὲ οἱ λέοντες, φοβηθέντες τὸ πλῆθος· οὐ τὴν φωνὴν τοῦ Βάττου. οἱ δὲ, τὸ γλῶσσαν ἐπεί σφιν ἀπένεικεν ὑπερποντίαν, οὕτως ἀποδιδόασιν. ὅτι τοσοῦτον ἐφώνησεν, ὥστε τὴν πρότερον ἐνδεδωκυῖαν αὐτῷ, ὑπερποντίαν γενέσθαι. [Ὁ δ' ἀρχαγέτας δῶκεν Ἀπόλλων.] ὁ δὲ τῆς ἀποικίας ἀρχηγέτης Ἀπόλλων, τοὺς θῆρας εἰς φυγὴν παρώρμησεν, ὅπως ἂν μὴ τῷ βασιλεῖ τῆς Κυρήνης τῷ Βάττῳ, ἀτελὴς γένοιτο καὶ ἀνοικισθῇ ἡ Κυρήνη. καὶ τοῦτο ἑαυτῷ συνᾴδων ὁ Δίδυμος, οὕτως ἀποδίδωσιν. ἐπεὶ ὁ Ἀπόλλων ἔχρησεν οἰκίσαι τὴν Κυρήνην, αἴτιος ἐγένετο τοῦ φυγεῖν τοὺς θῆρας. οἰκιζομένης γὰρ τῆς πόλεως, ἔφυγον. μενόντων δὲ τῶν θηρίων, οὐκ ἂν οἰκίσθη ἡ Κυρήνη.

στροφὴ γ΄. κώλων ιδ΄.	Μεταφρ.
Ο καὶ βαρειᾶν νόσων	Qui & gravium morborum
Ἀκέσματ᾽ ἄνδρεσσι καὶ	Remedia viris &
Γυναιξὶ νέμει· πόρεν τε κίθαριν·	Mulieribus communicat: præbetq; citharam:
Δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ,	Datque Musam quibuscunque voluerit,
Ἀπόλεμον ἀγαγὼν	Pacificam inducens
Ἐς πραπίδας εὐνομίαν·	In mentes legum-bonam-constitutionem:
Μυχόν τ᾽ ἀμφέπει	Recessumque regit
Μαντήϊον· τῷ, καὶ Λακε-	Fatidicum: per-quem, & in-Lace-
δαίμονι, ἔν τ᾽ Ἄργεϊ, καὶ	dæmone, inque Argis, &
Ζαθέᾳ Πύλῳ, ἔνασσεν ἀλ-	Divina Pylo, habitare-fecit stre-
κάντας Ἡρακλέος	nuos Herculis
Ἐκγόνους, Αἰγιμιοῦ τε. Τὸ δ᾽ ἐ-	Posteros, Ægimiique. At me-
μὸν γαρύοιτ᾽ ἀπὸ Σπάρ-	a prædicetur è Spar-
τας ἐπήρατον κλέος·	ta amabilis gloria:

PARAPHRASIS.

qui viros & fœminas medicinam docet, cujus ope inveniant & administrent remedia ad gravium morborum curationem: quique citharœdicam artem præbet, & dat, quibuscunque vult, literarum humanarum cognitionem, quibus ingenuorum mores emolliantur, & inducta in mentem recti cognitione, bonæ leges pacis & concordiæ inter cives constituantur: qui etiam regit adytum, in quo ipsius responsa redduntur: ex quo strenuis Herculis & Ægimii posteris significatum est, Heraclidæ Aristodemi filiis Procli & Eurystheni ut in Laconiam, Temeno ut Argos, Cresphontæ ut Pylum seu Mesenen, cum Ægimii filiis Dyma & Pamphylo se conferrent. Gloriosum autem & celebre genus meum Sparta profectum fertur.

N O T Æ.

88 Δίδωσί τε Μοῖσαν] Per Μοῖσαν hic intelligitur omnium Liberalium artium cognitio, quam alias μυσικὴν appellat. Schmid. & Lonicer. his Apollinem jaculandi arte peritum, commendari volunt. 89 Ἀπόλεμον ἀγαγὼν κ. λ.] Ovid. *Didicisse fideliter artes Emollit mores, nec sinit esse feros.* 91 Μυχὸν μαντήϊον] Adytum subterraneum, ex quo oraculum Delphicum reddebatur. Pausan. l. 10. 92 Τῷ καὶ ob metrum leg. Schmid. cum tamen καὶ ad sensum requiratur. 93 Ἀργεϊ sine Diæresi hab. Codd. Quis autem nescit ejusmodi apices in optimis exemplaribus sæpe desiderari. 94 Ζαθέᾳ Πύλῳ] Ita appellatur, partim propter sapientiam divinam Nestoris, partim propter cultum Neptuni religiosissimum, cujus fit mentio Odyss. Γ. Schmid. 96 Τὸ δ᾽ ἐμὸν γαρύοιτ᾽] Γαρύετ᾽ pro γαρύεται leg. Edd. quædam. Rom. & Brub. hab. τὸ δ᾽ ἐμὸν, γαρύεν τ᾽ [i.e. τὸ] ἀπὸ Σπάρτης κλέος, quam lect. secutus Philipp. reddidit. Meum est, sonare à Sparta amabilem gloriam. Lonicer. Meæ vocis amabilis gloria à Sparta est. Pal. C. hab. γαρύετ᾽, quod Scholia ejus exponunt, λέγυσι: quo sensu debet scribi γαρύοντ᾽.

[Ο καὶ βαρειᾶν νόσων.] ὅς τις, φησὶν, ὁ Ἀπόλλων, καὶ τῶν βαρειῶν νόσων τοῖς τε ἀνδράσι καὶ ταῖς γυναιξὶν, ἄκεσιν δίδωσι· καὶ γὰρ ταῦτα, διὰ χρησμῶν θεραπεύει. [Πόρεν τε κίθαριν.] τὴν κιθαριστικὴν ἐμπειρίαν. Ομηρος· Ω τόξον Ἀπόλλων· ἀντὶ τοῦ τὴν τοξικὴν. ὁ δὲ νοῦς, οὕτως. ἐχαρίσατο δὲ τῷ τῶν ἀνθρώπων γένει καὶ τὴν κιθάραν. καὶ δωρεῖται τὴν μουσικὴν, οἷς ἂν βούληται· ἀστασίαστον ἄγων εἰς τὰς φρένας τῶν ἀνθρώπων δικαιοσύνην. [Μυχόν τ᾽ ἀμφέπει μαντήϊον] λέγει, ἐπειδὴ καὶ τὸ ἄδυτον αὐτοῦ μαντικόν. [Τῷ, καὶ Λακεδαίμονι.] ᾧ, τῷ χρησμῷ, καὶ τοὺς Ἡρακλείδας καὶ τοὺς Αἰγιμιοῦ παῖδας, κατῴκισεν ἐν Λακεδαίμονι, καὶ Ἄργει, καὶ Πύλῳ. ἀπὸ δὲ τῆς Πύλου, τὴν Μεσσήνην δίδωσι. τριμερὴς δὲ, ἡ τῶν Ἡρακλειδῶν διαίρεσις. οἱ μὲν γὰρ Ἀριστοδήμου παῖδες Προκλῆς καὶ Εὐρυσθένης, ἔσχον τὴν Λακωνικήν. ὁ δὲ Τήμενος, τὸ Ἄργος. ὁ δὲ Κρεσφόντης, τὴν Μεσσήνην. χρησμῷ δὲ οὗτοι κατῆλθον, προστάξαντος τοῦ Ἀπόλλωνος. δῆλον δὲ ὅτι καὶ οἱ Αἰγιμιοῦ παῖδες Δύμας καὶ Πάμφυλος, συγκατῆλθον τοῖς Ἡρακλείδαις. συνῴκησαν δὲ οἱ Θηβαῖοι τοῖς Λακεδαιμονίοις. [Καὶ ζαθέᾳ Πύλῳ.] ἀπὸ οὖν τῆς Πύλου, τὴν Μεσσήνην σημαίνει. οἱ γὰρ νεώτεροι τὴν Πύλον ἧς ὁ Νέστωρ ἡγεῖτο, οὐ περὶ τὴν Τριφυλίαν τῆς Ἀρκαδίας, ἀλλὰ περὶ τὴν Μεσσήνην διδόασι. [Τὸ δ᾽ ἐμὸν, γαρύεντ᾽ ἀπὸ Σπάρτας.] ὁ λόγος, ἀπὸ τοῦ χοροῦ τῶν Λιβύων· ἢ ἀπὸ τοῦ ποιητοῦ. ὁ δὲ νοῦς. τὸ δὲ ἐμὸν κλέος καυχᾶται εἶναι ἀπὸ Σπάρτης. ὅπου γεγεννημένοι οἱ πρόγονοι ἡμῶν οἱ Αἰγεῖδαι, εἰς τὴν Θήραν ἀφίκοντο. ἐκ Λακεδαίμονος γὰρ εἰς τὴν Θήραν ἡ ἀποικία ἐγένετο. ἐκ δὲ Θήρας, εἰς Κυρήνην. Αἰγεῖδας οὖν κέκληκε τοὺς Λακεδαιμονίους, διὰ τὸ, κατοικισθῆναι τοὺς παρὰ Θηβαίοις καλουμένους Αἰγεῖδας, ἐν Λακεδαίμονι. συνῴκησαν γὰρ οἱ Θηβαῖοι τοῖς Λακεδαιμονίοις. χρόνῳ δὲ οἱ Λακεδαιμόνιοι, συνεξῆλθον τοῖς εἰς Θήραν ἀπῳκηκόσι. φημὶ δὴ τοῖς ἀπὸ τῶν Λημνιάδων, καὶ τῶν Ἀργοναυτῶν. ἀπὸ δὲ Θήρας γεγένηται ἀποικία εἰς Κυρήνην. ἔστιν οὖν τὸ πᾶν ἐσπουδασμένον τῷ Πινδάρῳ, ὥς τε δεῖξαι αὐτὸν συγγενῆ τῶν Λακεδαιμονίων καὶ Κυρηναίων. οὕτω δὲ, καὶ τὸν νικηφόρον.

[Ὅθεν

ἀντιστροφὴ γ'. κῶλον ιδ'.

Ὅθεν γεγενναμένοι,
Ἵκοντο Θήρανδε φῶ-
τες Αἰγεΐδαι, ἐμοὶ πατέρες, οὐ
Θεῶν ἄτερ· ἀλλὰ μοῖρά τις ἄγεν
Πολύθυτον ἐς ἔρανον.
Ἔνθεν ἀναδεξάμενοι,
Ἄπολλον, τεᾷ
Καρνεῖα, ἐν δαιτὶ σεβί-
ζομεν Κυράνας ἀγα-
κτιμέναν πόλιν, ἔχοντι τὰν
Χαλκοχάρμαι ξένοι

Μεταφρ.

Unde oriundi
Venerunt in Theram vi-
ri Ægeidæ, mei majores, non
Sine numine: sed fatum quoddam duxit
Eos multarum-victimarum ad epulum.
Inde postquam-accepimus,
O Apollo, tua
Carnea, in convivio celebra-
mus Cyrenes pulchre-ex-
structam urbem, quam incolunt
Armis-æreis-gaudentes hospites

PARAPHRASIS.

Quippe majores nostri Ægei filii, Thebanorum familia, qui Lacedæmonem cum Doriensibus, & Aristodemo migrarunt, ibi cum tempore propagati, ex illis fuerunt colonis qui in Theram adducti sunt. Neque hæc sine divina providentia facta sunt. Nam fatum Ægidas ad celebranda Carnea, epulum multis victimis instructum adduxerat, quos Heraclidæ per Bœotiam transeuntes, oraculi monitu Thebis acceperunt, & ab illo Apollinis epulo secum Spartam abduxerunt. Quam ob causam institutis per successionem etiam in Libya, ô Apollo, Carneis hisce sacris tuis, in convivio honorifice celebramus Cyrenen urbem ædificiis valde insignem: quam Trojani quoque hospites,

NOTÆ.

99 Γεγεναμένοι leg. Edd. 101 Αἰγεΐδαι leg. Alii. Οὐ θεῶν ἄτερ] Hor. l. 3. Od. 4. *Non sine Diis animosus infans.* 102 Alii hab. ἄγεν scil. pro ἦγεν Dor. qua ratione longa esset prior syllaba. 106 Καρνεῖα] Hæc fuerunt novem dies festi in honorem Apollinis Καρνείου agitati, cum conviviis & certaminibus sacris, instituti primum Olympiade 26, teste Athen. l. 14. Quod de Καρνείοις apud alios Græcos verum esse potest: apud Lacedæmonios autem, à quibus reliqui Græci, adeoque & Thebani hæc sacra acceperunt, non item; quippe qui ante Heraclidarum in Peloponnesum reditum aliquandiu hæc sacra habuerunt teste Pauf. l. 3. Plura de his solennitatibus qui cupit, adeat Athenæum, loco laudato. Quare Κάρνειος Apollo vocaretur, vide sis Pauf. in Lacon. & Macrob. l. 1. Saturn. c. 17.

[Ὅθεν γεγενναμένοι.] ἐπεὶ ἐκ Λακωνικῆς ἐλθόντες οἱ περὶ Θήραν, Καλλίστην ᾤκησαν. Καλλίμαχος· Ἐκ μέν σε Σπάρτης ἕκτον γένος. [Αἰγεΐδαι ἐμοὶ πατέρες.] θέλει δεῖξαι τὸν Ἀρκεσίλαον, τὸ γένος κατάγοντα ἀπὸ τῶν Ἡρακλειδῶν. διτταὶ δὲ αἱ τῶν Θήβηθεν Αἰγειδῶν εἰς Σπάρτην ἀφίξεις· προτέρα μὲν, ἡ σὺν τοῖς Δωριεῦσι καὶ Ἀριστοδήμῳ. ἧς μέμνηται Ἔφορος ἐν τῇ προτέρᾳ, λέγων, Ὕλλον καὶ τοὺς ἄλλους τοὺς ἀποτυχόντας τῆς ἐπὶ τὴν Σπάρτην στρατείας ἐπερωτᾷν τὸν θεὸν, τίνας τῶν Ἑλλήνων ποιήσονται πρὸς τὴν κάθοδον συμμάχους. τὸν δὲ, ἀνελεῖν τοὺς ὑπὸ Ἡρακλέους εὐεργετηθέντας. προτέρους δὲ τούτους κελεῦσαι Αἰγεΐδας παρακαλεῖν. ὑπολαμβάνοντας δὲ ταῦτα εὐλόγως προστεταχέναι τὸν θεὸν, ἐλθεῖν εἰς τὰς Ἀθήνας πρῶτον, εἰδότας Θησέα τὸν Αἰγέως μέγιστα πάντων ὑφ' Ἡρακλέους εὐηργετημένον, οὐ δὲ ἔχειν τὴν μαντείαν νομίζοντας, καὶ πρώτους τοὺς Θησέως τοῦ Αἰγέως ἀπογόνους ἐκάλουν, πρὸς τὸ μὴ τῆς καθόδου διαμαρτεῖν. ἔπειτα φασὶ, τὸν Ἀριστόδημον διὰ τῆς Βοιωτίας πορευόμενον, καταλαβεῖν θύοντάς τινας τῶν Θηβαίων παρὰ τὴν ὁδόν. καὶ τοῦ κήρυκος ἀκούσαντα τοῖς Αἰγεΐδαις εὐχομένου τὰ ἀγαθὰ, λαβεῖν περὶ τῆς μαντείας ἔννοιαν. καὶ νομίσαντα δεῖν, ἐπειδὴ τοὺς Ἀθήνηθεν Αἰγεΐδας πρότους παρακαλοῦντες διημάρτανον, τοὺς ἐκ τῶν Θηβῶν συμμάχους μετελθεῖν προτέρους. κατὰ τύχην δὲ, ταύτῃ τῇ στρατείᾳ τῶν Ἡρακλειδῶν τὴν Πελοπόννησον κατασχόντων, ἡγοῦνται τὸ μαντεῖον εἰρῆσθαι περὶ τῶν ἐν Θήβαις Αἰγειδῶν. ἑτέρα δὲ, ἡ σὺν Τιμομάχῳ. ἐν ᾧ πρὸς Ἀμυκλαεῖς Λακεδαιμονίοις καθειστήκει πόλεμος. τινὲς δὲ, Αἰγέα, ἀφ' οὗ ἡ τῶν Αἰγειδῶν ἐν Θήβαις φατρία τοὔνομα ἔλαβε, Σπαρτὸν εἶναι τῶν ἀπὸ Κάδμου. [Ἔνθεν ἀναδεξάμενοι.] ὅθεν ἀπὸ τῆς Θήρας διαδεξάμενοι τὰ πάτρια ἔθη τῆς πανηγύρεως. ἢ ὅθεν τὸ γένος κατάγοντες ἡμεῖς οἱ Θηβαῖοι, ἐπαινοῦμεν τὴν Κυρήνην, ὦ Ἄπολλον. [Καρνεῖ' ἐν δαιτὶ σεβίζομεν.] τοὺς γὰρ Αἰγεΐδας κατὰ χρησμὸν ἀπὸ Θηβῶν λαβόντες, ἀπὸ ἑορτῆς Καρνείου Ἀπόλλωνος, δειπνοῦντας ἐπήγαγον. [Τὰν χαλκοχάρμαι ξένοι.] περὶ τῆς εἰς Κυρήνην ἀφίξεως τῶν Ἀντηνοριδῶν, Λυσίμαχος ἐν προτέρῳ τῶν νόστων ἱστορεῖ, παρ' Ἀμνακι βασιλεῖ Λιβύων αὐτοὺς ᾠκηκέναι, μὴ βουλομένοις συνοικεῖν τοῖς τὸ Ἴλιον πεπορθηκόσι. καὶ ὅτι ἔκτισε μεθ' ἱκανὸν χρόνον, τὸν μεταξὺ Κυρήνης καὶ τῆς θαλάσσης κείμενον λόφον Ἀντηνοριδῶν ἐπικεκλημένον. τινὲς δὲ οὕτω τὴν ἱστορίαν ἐκτίθενται. οἱ Ἀντηνορίδαι φιλοφρονητικώτερον διέκειντο πρὸς τοὺς Ἕλληνας. φησὶ γὰρ καὶ αὐτὸς ὁ Ἀντήνωρ· Ἤδη γὰρ καὶ δεῦρο ποτ' ἤλυθεν. καὶ ὑποβαίνων· Τοὺς δ' ἐγὼ ξείνισσα, καὶ ἐν μεγάροισι φίλησα. καὶ οἱ Ἕλληνες δὲ κατὰ τὴν πόρθησιν, παρδαλέαν τῷ Ἀντήνορος οἴκῳ παρηώρησαν, σημεῖον ποιούμενοι τοῖς οἰκείοις στρατιώταις, τοῦ μηδένα ὡς πολέμιον οἶκον πορθῆσαι. διαφυγόντες δὲ τὸν πόλεμον, συνανέπλευσαν μὲν τῷ Μενελάῳ. κατὰ δὲ τὴν πλάνην τοῦ Μενελάου εἰς Λιβύην ἐλθόντες οἱ Ἀντηνορίδαι, καταπονηθέντες τῷ χειμῶνι καὶ τῇ πολυχρονίῳ πλάνῃ, ᾤκησαν αὐτόθι. ὁ δὲ νοῦς, οὕτως. ἣν τινα Λιβύην οἰκοῦσι καὶ κατέχουσιν οἱ πολεμικώτατοι ξένοι· οἱ τοῦ Ἀντήνορος παῖδες. σὺν γὰρ τῇ Ἑλένῃ καὶ τῷ Μενελάῳ παρεγένοντο· ἐπειδὴ τὴν πατρίδα πορθηθεῖσαν ἐθεάσαντο κατὰ τὸν πόλεμον.

Τρῶες Ἀντανορίδαι. Σὺν Ἑλέ-
νᾳ γὰρ μόλον, καπνωθεῖ-
σαν πάτραν ἐπεὶ ἴδον·

ἐπῳδὸς γ΄. κώλων ιδ΄.

Ἐν ἄρει. Τὸ δ᾽ ἐλάσιππον ἔθνος
Ἐνδυκέως δέχονται
Θυσίαισιν, ἄνδρες
Ἰχνέοντές σφε δωροφόροι,
Τοὺς Ἀριστοτέλης ἄγαγε, ναυσὶ θοαῖς
Ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων.
Κτίσεν δ᾽ ἄλσεα μείζονα
Θεῶν, εὐθύτομόν τε κατέθηκεν
Ἀπολλωνίαις
Ἀλεξιμβρότοις πεδιάδα πομπαῖς
Ἔμμεν, ἱππόκροτον
Σκυρωτὰν ὁδόν· ἔν-

Trojani Antenoridæ. Cum Hele-
na enim venerunt, in-fumum-conver-
ſam patriam poſtquam viderunt

METAPH.

In bello. Equeſtris autem gens,
Amice excipiunt
Sacris-conviviis, viri
Inquirentes eos & munera-afferentes,
Quos Ariſtoteles adduxit, navibus velocibus
Maris profundam viam aperiens.
Condidit autem lucos majores
Deorum, directamque fecit
Apollineis
Mala-ab-hominibus-arcentibus planitiē pompis
Eſſe, equis-perſtrepentem
Scyrotam viam: u-

PARAPHRASIS.

bellicoſa proles Antenoris, incolunt: qui poſtquam bellico incendio vaſtatam viderunt patriam, cum Menelao Helenam abducente in Libyam uſque venerunt, ubi erroribus feſſi conſederunt, & eo deducta colonia advenis novis juncti ſunt. Porro hanc Antenoris poſterorum gentem equeſtrem & bellicoſam, magno ſtudio, tanquam divinos honores meritam, poſt mortem ſacrificiis colunt, doniſque cohoneſtant, Batti (alias Ariſtotelis dicti) comites, qui maris viam ipſis aperiens, in eam regionem celeribus navibus vectos duxit. Idem autem Battus res divinas auguſtiores reddidit, quum magnos Deorum lucos inſtituit, quum fecit viam nomine Scyrotam: lævigatis nimirum lapidibus ſtratam, directam & planam, ut equis etiam eſſet pervia, & pompas quæ precibus & ſacrificiis mala ab hominibus propulſant, ad templum Apollinis euntes exciperet: cujus

NOTÆ.

110 Ἀντηνορίδαι Commune leg. MS. γ. 113 Τὸ δ᾽ κ. λ.] Schmid. ita ordinat, Τὸ δ᾽ ἐλάσιππον ἔθνος, ἄνδρες δωροφόροι ἰχνέοντες δέχονται σφε ἐνδυκέως, τοὺς Ἀριστοτέλης ἄγαγε κ. λ. h. e. Priſci illi Antenoridæ, gens equeſtris, inveſtigantes & ultro allicientes, munera afferentes, i. e. muneribus amice recipiebant eos, quos Ariſtoteles adduxit. Alii τὸ ἔθνος Accuſative accipiunt, & de Theræis interpretantur: quibus tamen, ut Inſularibus, minus hoc congruit, judice Schmidio. Vult Poëta notare ſummam benevolentiam Antenoridarum erga Theræos, adeo ut ultro etiam eis obviarint, & muneribus eos allexerint, & in jus civitatis omniumque ſacrorum receperint. Lonicer. ſecutus Schol. aliter interpretatur. 114 Δέχοντο vult Schmid. 116 Οἰχνέοντες MS. γ. 119 Κτίσεν κ. λ.] Schmid. ordinari poſſe exiſtimat, Κτίσεν ἄλσεα Θεῶν μείζονα, Fecit lucos Deorum majores, i.e. amplificavit eos. 120 Εὐθύτονον Schmid. 124 Σκυρωτὰν] υ - - pro - υ - per ἰσοδυναμίαν.

[Τὸ δ᾽ ἐλάσιππον ἔθνος.] ἀντὶ τοῦ, οἱ Κυρηναῖοι. ἐπίμων, φησὶ, τοὺς Ἀντηνορείδας οἱ Κυρηναῖοι οἵδε, οὓς ὁ Βάττος ἤγαγεν εἰς τὴν Λιβύην. οἱ γὰρ ἐρχόμενοι πρὸς αὐτοὺς μετὰ τοῦ φέρειν δῶρα, καθαγίζουσιν ἐπιμελῶς καὶ προσδέχονται καὶ θεραπεύουσιν. οὓς διεπέρασε, τὴν τοῦ πλάτους θαλάσσης ὁδὸν ἀνοίγων. τουτέστι ῥήξων, διὰ τοῦ πλοῦ. ἢ ἀντὶ τοῦ, συνήθη ποιῶν. τὸ μὲν γὰρ πρότερον, οὐκ ἐπλεῖτο, ὡς ἂν τῆς Κυρηναϊκῆς ἐρήμου οὔσης. ὅτε δὲ ᾤκισεν αὐτὴν, πλοΐμη ἐγένετο διὰ τὴν ἐπιμιξίαν. ὁ δὲ νοῦς, οὕτως. τὸ δὲ ἱππικώτατον ἔθνος τῶν Κυρηναίων μετ᾽ ἐπιμελείας τοὺς Ἀντήνορος παῖδας τεθνηκότας, δεξιοῦνται θυσίαις. παραγίνονται δὲ μετὰ δώρων καὶ ἐναγισμάτων. [Τοὺς Ἀριστοτέλης ἄγαγεν.] ὅτι ὁ Ἀριστοτέλης ἦν, φησιν, ὁ κτίσας τὴν Κυρήνην, ὁ κληθεὶς Βάττος. ὁ καὶ τὴν λεγομένην Σκυρωτὴν πλατεῖαν, αὐτοῖς κατασκευάσας. τὸ δὲ μείζονα, ἀντὶ τοῦ, μεγάλα ἁπλῶς, οὐ πρὸς ἄλλα συγκρίνων. [Ἄλση] δὲ, τὰ τῶν θεῶν τεμένη. [Εὐθύτομόν τε κατέθηκεν.] κάθοδον ἐποίησε, φησὶν, εὐθυτενῆ καὶ λείαν. τῶν γὰρ χωρείων τραχυτάτων ὄντων, λείαν ἀπειργάσατο ὁδόν. [Ἀπολλωνίαις.] τοῦ τοῦ Ἀπόλλωνος τοίνυν ἀλεξιμβρότοις θαλείαις καὶ ἵπποις, πεδίον εἶναι καὶ βαδιστὴν, ἀπὸ κοινοῦ ἐποίησεν. [Ἀλεξιμβρότοις] δὲ, τοῦ ἀπαλεξούσαις τὰ τῶν ἀνθρώπων φαῦλα, τοὺς γὰρ θεοὺς θεραπευόμεθα πρὸς ἀλέξησιν τῶν φαύλων. ἀλεξιμβρότους φησὶ τὰς πομπὰς, παρὰ τὸ ἀλέγειν ὅ ἐστι φροντίζειν. ὧν φροντίζουσιν, ὡς συντελεσθῶσιν· ἢ ἐπεὶ εἰς ἀλέξησιν τῶν κακῶν, ὑπὸ τῶν βροτῶν γίνονται. πομπαῖς γὰρ καὶ θυσίαις ἱλάσκονται τὸ δαιμόνιον. τὸ δὲ ὅλον. τὴν Σκυρωτὴν οὖν, φησιν, ὁδὸν κατεσκεύασεν ὁ Βάττος, δι᾽ ἧς αἱ τῷ Ἀπόλλωνι γινόμεναι πομπαὶ, κομίζονται εἰς τὸ ἱερόν. [Πεδιάδα] δὲ κέκληκε τὴν ὁδὸν, ὡς ἐπίπεδον καὶ λείαν. οὕτως οὖν καλεῖται πλατεῖα Σκυρωτὴ ἐπὶ τῆς Κυρήνης. λέγεται δὲ καὶ τὸ ἱερὸν τῶν Διοσκούρων ἐν ἐκείνῃ τῇ πλατείᾳ εἶναι. λέγεται δὲ Σκυρωτὴ, ἀντὶ τοῦ λιθόστρωτος. [Σκυρωτὰν ὁδὸν] ἀντὶ τοῦ, λιθόστρωτον· Σκῦρον γὰρ λέγουσι, τὴν λατύπην, τὴν ἀπὸ τῆς κατεργασίας τῶν λίθων ἀποπίπτουσαν.

[Ἔνθα

θα πρυμνοῖς ἀγορᾶς
Ἐπίδιχα κεῖται θανών.

bi in postremis fori
Seorsim jacet mortuus.

στροφὴ δ'. κῶλον ιδ'.

ΜΕΤΑΓΗ.

Μάκαρ μὲν ἀνδρῶν μέτα
Ἔναιεν· ἥρως δ' ἔπει-
τα λαοσεβής. Ἄτερθε δὲ πρὸ δω-
μάτων ἕτεροι λαχόντες ἀΐδαν
Βασιλέες ἱεροὶ
Ἐντί. Μεγάλαν δ' ἀρετὰν
Δρόσῳ μαλθακᾷ
Ῥανθεῖσαν, ὕμνων θ' ὑποχεύ-
μασιν, ἀκούοντί ποι
Χθονίᾳ φρενὶ, σφὸν ὄλβον, υἱ-
ῷ τε κοινὰν χάριν
Ἔνδικόν τ' Ἀρκεσίλᾳ· τὸν ἐν ἀ-
οιδᾷ νέων πρέπει χρυ-
σάορα Φοῖβον ἀπύειν,

Beatus quidem homines inter
Habitabat: herosque postea *fuit*
Populo-cultus. Seorsim vero ante do-
mos cæteri sortiti sepulcrum
Reges sacri
Sunt. Magnam vero virtutem
Rore molli
Aspersam, hymnorumque liquo-
ribus, audiunt alicubi
Sub-terris-agente mente, suam felicitatem, fi-
lioque communem gratiam
Justeque-debitam Arcesilæ: quem in can-
tione juvenum decet aureo-en-
se-insignem Phœbum resonare,

PARAPHRASIS.

extrema in parte, ubi forum est, seorsim & præcipuo in loco defunctus jacet. Qui postquam inter homines fœliciter vixit, post mortem à populo tanquam Heros cultus est. Alii vero reges sacri minus honorificum sepulchrum, seorsim ante urbem sortiti sunt. Qui omnes mente subterraneis in locis jacente, audiunt chorealem hunc hymnum, quo Arcesilai virtus ingens, tanquam molli rore & liquore subtus affuso irrigata virescit: seque hoc nomine fœlices agnoscunt, cum sibi & filio Arcesilao commune putent hoc laudis beneficium, quanquam illi proprie debitum; quem in choro canentium juvenum decet decantare aureo ense conspicuum Apollinem,

NOTÆ.

125 Πρυμνοῖς Puppis, seu extrema pars Navis. 126 Ἐπὶ δίχα leg. Schmid. 128 Ἔπειτα in hoc κώλῳ Edd. Syllaba τα ad 3 κῶλον pertinet. 129 Λαοσεβής] Active redd. Lonicer. Remp. suam colens augustus heros Philipp. & Aret. Passive, Qui colitur à Populo. 132 Μεγάλαν κ. λ.] Brub. & Rom. cùm Pal. C. hab. in Genit. μεγάλας ἀρετᾶς δρόσῳ ῥανθείσας· quod perinde esset, quum Verba sensuum tam cum Genit. quam cum Acc. construantur, nisi ultimam in ῥανθεῖσαν brevem esse oporteret. Rom. hab. ῥανθεῖσαν duplici accentu notans duplicem legendi rationem. Quale exemplum in eadem Ed. in præced. εἶδεν fuit. 134 Ὕμνων] Qui ἀρετᾶς leg. hic quoque κώμων habent. Ὑπὸ χευμάτων Schmid. sub Tellure, vel pulvere infuso. 138 Ἔνδικόν τ' Ἀρκεσίλᾳ] Lonicer. accipit pro Vocat. vertitque, Arcesilaë.

[Ἔνθα πρυμνοῖς ἀγορᾶς.] τὸν τάφον αὐτοῦ συνίστησιν, ἐπὶ τοῖς τῆς ἀγορᾶς ὁρίοις ὄντα. φησὶ γὰρ ἐπ' ἐσχάτοις τῆς ἀγορᾶς δίχα κεῖται θανών. ἐπὶ τῷ διορίζοντι τὴν ἀγορὰν ἄκρῳ. ἔστι δὲ καὶ οὕτω διελέσθαι ἐπὶ πρυμνοῖς τῆς ἀγορᾶς κεῖται θανὼν, δίχα τῶν ἄλλων ἡρώων. ἢ διακεχωρισμένος τῶν ἄλλων βασιλέων, ἐν τῇ Κυρήνῃ πρὸς τὰ τελευταῖα τῆς ἀγορᾶς κεῖται τεθνηκὼς ὁ Βάττος. [Πρυμνοῖς] δὲ ἀγορᾶς εἶπεν, ἀντὶ τοῦ, τοῖς ἐσχάτοις ἄκροις. τὸ δὲ [Ἐπίδιχα,] ἀντὶ τοῦ, ἐπὶ θάτερα μέρη. [Μάκαρ μὲν ἀνδρῶν μέτα.] μακάριος μὲν ὅτι ἐν ζῶσιν ἦν. καὶ μετὰ τοῦτο, φησὶν, ὡς ἥρως τιμᾶται σεπτὸς ὢν παρὰ Κυρηναίοις. τὸ δὲ, [Ἄτερθε πρὸ δωμάτων] φησὶν, ἤτοι τοῦ ἡρῴου Βάττου, ἢ τῶν βασιλείων. ἢ καὶ πρὸ τῶν τῆς πόλεως πυλῶν. καὶ κατὰ τοῦτο δοκεῖ τῶν ἄλλων διαφέρειν ὁ Βάττος. ὅτι ὁ μὲν, ἄκρᾳ ἀγορᾷ τέθαπται· οἱ δὲ, πρὸ τῆς πόλεως. [Μεγάλαν δ' ἀρετάν.] τῶν δὲ ἐπισήμων σου, φησὶν, ἀρετῶν, κατακούουσιν, ὦ Ἀρκεσίλαε, οἱ πρόγονοι τῇ ἑαυτῶν φρενὶ τῇ ὑπογείῳ. τῶν ἀρετῶν δὲ, τῶν ὑιῶν αὐτοῦ ὄλβου. ὄλβον δὲ λέγει τὸν κῶμον, ὅς ἐστιν αὐτῶν ὄλβος. τί γὰρ κατέλιπε τοῖς τεθνεῶσιν, ἢ ὄλβον ἔχειν τοὺς ἐπαίνους τοὺς διὰ τῶν ποιημάτων; τουτέστι, πλουτεῖν ἐπαίνοις· χθονίᾳ δὲ φρενὶ φησὶ, παρόσον τεθνήκασι, καὶ ἐν τῇ γῇ κεῖνται. [Υἱῷ τε, κοινὰν χάριν.] τὸν Ἀρκεσίλαον υἱὸν εἶπεν, καθὸ ἀπόγονος ἦν τοῦ Βάττου. ἀκούοντες οὖν τῶν ὕμνων τῶν εἰς Ἀρκεσίλαον, κοινὴν ἔχουσι τὴν χάριν οἱ πρόγονοι, ἢ οὕτω. τὴν μεγάλην τοῦ Ἀρκεσιλάου ἀρετὴν, τοῖς ποιήμασιν ἐπικοσμουμένην ἀκούουσί που οἱ πρόγονοι, τῇ χθονίᾳ αὐτῶν φρενί. [Ἔνδικόν τ' Ἀρκεσίλαν.] πρέπει τὸν Ἀπόλλωνα εὐχαριστεῖσθαι ὑπὸ Ἀρκεσιλάου, καὶ ὑμνεῖσθαι αὐτὸν ἐν τῇ ᾠδῇ τῶν νέων, διότι ἐκ Πυθῶνος εἴληφε τὴν νίκην, καὶ τὸ μέλος ὃ νῦν γέγραφεν. ὅ ἐστι λυτήριον τῶν δαπανῶν. ἢ οὕτω. [Τὸν, ἐν ἀοιδᾷ νέων.] ὅν τινα τὸν Ἀρκεσίλαον ἐν τῷ χορῷ καὶ τῇ τούτου ᾠδῇ, προσήκει ἀνυμνεῖν τὸν Ἀπόλλωνα, ἔχοντα τὸν Ἀρκεσίλαον, καλλίστην παραμυθίαν τῶν δαπανῶν, τὴν ἐκ Πυθῶνος. λέγει δὲ τὴν νίκην, καὶ τὸ τοῦ ἐπινίκου μέλος. ἐδαπάνησε μὲν γὰρ πολλὰ καὶ ἐπόνησεν, οὐκ εἰς κενὸν δέ. ἀλλὰ τυχὼν τῆς νίκης ἀμοιβὴν ἔχει τῆς δαπάνης. ταῦτα δὲ εἶπεν, ὡς πολλὰ δεδωκότος καὶ ἀναλώσαντος Ἀρκεσιλάου.

ἀντιστροφὴ δ'. κώλων ιδ'.

Ἐχοντα Πυθωνόθεν
Τὸ καλλίνικον λυτή-
ριον δαπανᾶν, μέλος χάριεν. Ἀν-
δρα κεῖνον ἐπαινέοντι συνετοί.
Λεγόμενον ἐρέω·
Κρέσσονα μὲν ἁλικίας
Νόον φέρβεται·
Γλῶσσάν τε θάρσος τε, τανύ-
πτερος ἐν ὄρνιξιν αἰ-
ετὸς ἔπλετο· ἀγωνίας
Δ', ἕρκος οἷον, σθένος·
Ἐν τε Μοίσαισι ποτανὸς ἀπὸ
Ματρὸς φίλας· πέφανταί
Θ' ἁρματηλάτας σοφός·

Μεταφρ.

Quum-habeat ex Pythone
Hymnum-Callinicum, persoluto-
rium sumptuum, carmen venustum. Vi-
rum illum laudant prudentes.
Vulgo-dictum dico:
Præstantiorem sane ætate
Mentem alit:
Linguaq; animique-magnitudine, alas-expan-
dens inter volucres a-
quila est: certami-
nisque, muri instar, robore:
Interque Musas volatilis usque-à
Matre chara: inventus-
que curruum-agitator scitus:

ἐπῳδὸς δ'. κώλων ιδ'.

Ὅσαι τ' εἰσὶν ἐπιχωρίων κα-
λῶν ἔσοδοι, τετόλμα-
κε· Θεός τέ οἱ τὸ
Νῦν τε πρόφρων τελεῖ δυνάσιν.

Μεταφρ.

Et quotquot sunt indigenarum bono-
rum *morum* ingressus, *eos ille* aggres-
sus-est: Deusque illi
Nunc etiam propitius perficit virtutem.

Paraphrasis.

cum fuerit ipsi author egregiæ victoriæ ex Pythone reportatæ, pro qua venusto carmine decoretur in solatium magnorum sumptuum quos fecit. Virum illum utique laudant viri sapientes, & prudentes. Ego autem laudes ejus persequendo, vulgaribus loquendi formulis utar. Hic judicio, prudentia, & eloquio præstantior est quam pro ætatis ipsius ratione. Quod ad fortitudinem, animique fiduciam attinet, is inter alios viros tantus est, quanta inter alias aves aquila volucrum regina. In certaminibus tantum robore valet, quantum in bellis ad defensionem urbis validum propugnaculum. In adipiscendis & addiscendis disciplinis, celeri promptoque ingenio se ab ipsa pueritia ostendit. Est etiam peritus agitandi currus, cujus suæ industriæ eximium specimen in Pythiis jam edidit. Denique quotquot præclara studia & instituta vigent in patria, ea sectatur accurate, & fortiter affectat. Ut autem Deus illum hoc tempore benevolentia prosequens viribus munivit;

Notæ.

10 Alii hab. ὁππόταν. 12 Δυσμενέων] à Δυσμενὴς, Hostilis. Alii ut Particip. redd. Phil. Minitans. Lonicer. Ægre ferens. Aret. Indignabunda & pœnas minitans. Genus Masculin. his repugnat, quum δυσμενέουσα dicendum esset. 13 Ὑπαντιάξαισα leg. MS. γ. Id vero pro ὑπαντιάσασα. 14 Κράτει leg. videtur Schol. Nam exponit κεφαλῇ. Sunt qui post ὑπαντιάξαισα distinguunt, & τὸ κράτει ad τιθεῖς referunt. Sic Lonicer. Pro viribus tuis ponis. Sed Syntaxeos ratio ostendit distingendum post κράτει, ὑπαντιάξαισα κράτει δυσμενέων. Occasionem errori dedit, τὸ δυσμενέων pro Participio acceptio. Τιθεῖς ex τιθέω. Edd. quædam & MS. γ. hab. τιθεῖσ᾽ per Apostrophen, quæ quidem manu recenti scribitur. Pal. C. τιθεῖσ᾽ ὕ. 16 Ἐξερεθίζων] Quidam supplent, Jovem. 19 Βία] Non est ἡ τοῦ σώματος ἰσχὺς, ut Schol. exposuit. sed injustitia cum vi externa conjuncta. Schmid. Ἔσφαλεν Commune MS. γ. Horat. 4. Od. l. 3. Carm. *Vis consili expers mole ruit sua: Vim temperatam Di quoque provehunt In majus: iidem odere vires Omne nefas animo volventes.* 20 Ἐν χρόνῳ] Tandem. Ἑκατόγκρανος ob metrum leg. Ἑκατογκάρανος Ald. & Pal. C. Ἑκατογκάρηνος MS. γ. Quod Schmid. censet esse Scholion pro πολυκάρανος quod hab. Alii. Nos è contra. Judicet Lector. 21 Οὔ μιν ἄλυξεν] Philipp. sensum expressit, Pœnam non effugit. Horat. ibid. *Scimus ut impios Titanas immanemque turmam Fulmine sustulerit caduco Qui terram inertem, qui mare temperat Ventosum &c.* 23 Δμᾶθεν pro ἐδμάθησαν.

[Τὺ δ᾽ ὁππόταν τις ἀμείλιχον.] σὺ δὲ ὁπόταν τις ἀπαρηγόρητον καὶ ἰταμωτάτην ὀργὴν καὶ ὕβριν ἐνθῇ τῇ ἑαυτοῦ καρδίᾳ, τραχεῖα καὶ προσαντὴς τῇ τῶν δυσμενῶν καὶ ἀπαντήσασα κεφαλῇ, τὴν ἀλαζονείαν αὐτῶν ἐν ἀφανείᾳ τιθεῖς. ἔθος δὲ Πινδάρῳ, ἀπὸ ἑνικοῦ εἰς πληθυντικὸν καταφέρεσθαι. ὡς κἀνταῦθα. ὅταν τις· εἶτα δυσμενέων. [Ἄλλως.] ἐάν τις φησὶ ταραχώδης καὶ ὑβριστὴς γένηται, τοῦτο γάρ ἐστι τὸ, ἀμείλιχον καρδίᾳ κότον ἐνελάσει, ὑπαντιάξασα αὐτῷ σὺ ὦ Ἡσυχία. τουτέστιν ἀπαντήσασα τραχεῖα τῷ τῶν πολεμίων κράτει. ὃ ἐστι πολέμιος ἐπιστήσασα. [Τιθεῖς αὐτοῦ τὴν ὕβριν ἐν ἄντλῳ.] τουτέστι βαπτίζεις αὐτοῦ τὴν ὕβριν τῷ ὕδατι καὶ τῇ ἀφανείᾳ. ὡς Ὅμηρος. Ἄντλῳ δ᾽ ἐνδούπησε πεσοῦσ᾽ ὡς εἰναλίη κήξ. ὁ δὲ νοῦς, ὁλκαί. σὺ ὦ Ἡσυχία, τοὺς ἀλαζόνας καὶ τοὺς ὑβριστὰς ἀφανίζεις καὶ μαυροῖς. [Τὰν οὐδὲ Πορφυρίων μάθεν.] ἣν, οὐδὲ ὁ Πορφυρίων γίγας ᾔσθετο παρὰ τὸ καθῆκον ἐξερεθίζων· διόπερ καὶ ἀνῃρέθη. ὁ δὲ νοῦς, ἥν τινα τῆς ἡσυχίαν ἀποστραφεὶς καὶ παρὰ τὸ δέον ἐρεθίζων, οὐδὲ ὁ Πορφυρίων ἔγνω. διὸ καὶ ἀπώλετο. [Κέρδος δὲ φίλτατον.] ὄνησίς ἐστι τῶν διδομένων, ὅταν τις παρ᾽ ἑκόντος λαμβάνῃ. τὸ δὲ μετὰ βίας ἀγόμενον κέρδος, ἀνόνητόν ἐστι. τοῦτο δὲ εἶπεν, ὅτι Πορφυρίων ἐπεχείρησεν ἀποσπάσαι βοῦς Ἡρακλέος, ἄκοντος αὐτοῦ. [Βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν.] ἡ τοῦ σώματος ἰσχὺς τὴν μεγαλαυχήσασαν, φησὶν, ἐπὶ τῇ ῥώμῃ, σφάλλει τῷ χρόνῳ. ὑποδείγματι δὲ, τῷ Τυφῶνι ἐχρήσατο καὶ τοῖς ἑξῆς. [Οὐδὲ μὰν βασιλεὺς γιγάντων.] πάλιν συλληπτικῶς. οὔτε γὰρ ὁ Τυφὼς καὶ ὁ Πορφυρίων ἐκεραυνώθησαν, καὶ ὑπ᾽ Ἀπόλλωνος ἐτοξεύθησαν. ἀλλ᾽ ὁ μὲν Τυφὼς, διοβλὴς γέγονεν. ὁ Πορφυρίων, ὑπ᾽ Ἀπόλλωνος ἐτοξεύθη. ὁ δὲ, τὸ τῷ ἑτέρῳ συμβεβηκὸς, ὡς κατ᾽ ἀμφοτέρων ἔφη.

[Οἱ

Τόξοισί τ' Ἀπόλλω-	Arcubusque Apolli-
νος. Ὃς εὐμενεῖ νόῳ	nis. Qui benevola mente
Ξενάρκειον ἔδεκτο Κίρ-	Xenarceum excepit è-Cir-
ραθεν ἐστεφανωμένον	rha coronatum
Υἱὸν ποίᾳ Παρνασίᾳ,	Filium herba Parnasia,
Δωριεῖ τε κώμῳ.	Doricoque hymno.
στροφὴ β'. κώλων θ'.	Μεταφρ.
Ἔπεσε δ' οὐ Χαρίτων ἑκὰς	Cecidit autem non à-Gratiis procul
Ἁ δικαιόπολις,	Justitiam-in-civitatibus-colens,
Ἀρεταῖς κλειναῖσιν Αἰακιδᾶν	Virtutes inclytas Æacidarum
Θίγοισα, νᾶσος· τε-	Attingens insula: perfe-
λέαν δ' ἔχει δόξαν ἀπ' ἀρχᾶς.	ctamque habet gloriam ab initio.
Πολλοῖσι μὲν γὰρ ἀεί-	Multis quippe celebra-
δεται νικαφόροις ἐν ἀέθλοις	tur victricibus in certaminibus
Θρέψασα, καὶ θοαῖς ὑπερτάτους	Quod-educarit, & acutis excellentissimos
Ἥρωας ἐν μάχαις.	Heroas in pugnis.
ἀντιστροφὴ β'. κώλων θ'.	Μεταφρ.
Τὰ καὶ ἐν ἀνδράσιν ἐμπρέπει.	Quæ *sane* & inter homines decus-habent.

PARAPHRASIS.

sub Ætna Jupiter prostravit, hunc Apollo sagittis confixit, Apollo inquam ille erga Aristomenem Xenarcis filium benignus, quando ita favit illi ut Pythia, sacrum sibi certamen apud Delphos vicerit, pro qua victoria, lauri apud Parnassum crescentis coronam accepit, hymnumque hunc meum Doricæ harmoniæ accommodandum. Insula autem Ægina quæ suis in urbibus justitiam colit, nunquam Gratiis, quæ omnia eximia reddunt, hactenus excidit: sed majorum suorum Æaci filiorum, Telamonis, & Pelei, Ajacis, Teucri, Achillis virtutes inclytas sectans & imitans, inde ab initio perfectam gloriam obtinet. Etenim celebratur quod multos habuerit victores sacrorum Græciæ certaminum, & generosos heroës ad acria prælia præstantissimos, educarit. Quorum nomine etiam inter homines decus obtinet, & conspicua est.

NOTÆ.

24 Τέξοισι] Lonicer. & Philipp. Schmid. judice, rectius, Telis vel Sagittis, quam Vulgata, Arcubus. Hor. ibid. *Hinc avidus stetit Vulcanus, hinc matrona Juno, & Nunquam humeris positurus arcum, Qui rore puro Castalia lavit Crines solutos, qui Lycia tenet Dumeta, natalemque sylvam Delius & Patareus Apollo.* Hæc seqq. explicant. 26 Ξενάρκειον υἱὸν] Hoc nomine forsan à præcone victor salutatus fuit Aristomenes. 28 Ποίᾳ leg. Lonicer. & eum sequitur Schmid. metri gratia. 29 Δωριεῖ κώμῳ] Bened. intell. Pindaricum hymnum Doricis numeris. Aliter Schol. 30 Ἔπεσε leg. Edd. nonnullæ. Lonicer. addit, Proinde, huic sententiæ. Sensus est, Non est expers humanitatis. Schmid. 31 Δικαιόπολις] Lonicer. Justitia florens. 32 Ἀρεταῖς Αἰακιδᾶν θίγοισα] Virtutibus Æacidarum Gratias tangens. Phil. 34 Ἀπ' ἀρχᾶς] Ab initio huc usque continue. Schmid. 35 Ordo: Ἀείδεται μὲν γὰρ θρέψασα ἥρωας ὑπερτάτους ἐν ἀέθλοις πολλοῖσι, καὶ ἐν μάχαις θοαῖς. Additur epitheton notans, eos non tantum certasse sed & vicisse. Schmid. 37 Θοαῖς] Schol. exponit ὀξείαις non male, ut ostendit Schmid. ex Odyss. O. Ubi Echinades Insulæ dicuntur θοαὶ, ob figuram acutam. Sic Il. K. v. 394. νὺξ θοὴ appellatur, respectu Conicæ terræ umbræ, ut exponit Plut. de def. Orac. & de Facie in orbe Lunæ. Ita verbum θοόω est, Acuo. Od. I. v. 327. ubi Ulysses dicit, se acuisse vectem, quo oculum Cyclopi effoderet. Vide Indicem in hac voce. Potest tamen interpretari cum Vulg. Velocibus, h. e. velocitatem & alacritatem requirentibus, vehementibus; aut quæ velociter confecta sunt: tanta est heroum Peritia & virtus. 39 Τὰ δὲ καὶ leg γ. ubi abundat syllaba, nisi καὶ pro brevi hab. ut δὲ καὶ sint pro una longa. Schol. leg δὲ, unde forsan δὲ eliminarunt Grammatici. Lonicer. exponit, Quæ certe virorum ornamenta. Phil. Quod inter viros maximum decus est. Portus ἔλλειψιν facit, pro διὰ τὰ, & ad Æginam refert: Quamobrem inter homines est illustris.

[Ὃς εὐμενεῖ νόῳ Ξενάρκειον.] τὸν Ἀριστομένην φησίν. ἔστι γὰρ Ξενάρκους υἱός. καὶ ὅτι Κίρραθεν εἴρηται, οὐ συντελεῖται ὁ ἀγὼν ὁ ἱππικὸς ἀπὸ Δελφῶν. ὁ δὲ νοῦς. ὅς τις, ὁ Ἀπόλλων, εὐμενεῖ νόῳ ὑπεδέξατο ἐν Δελφοῖς ἐστεφανωμένον τῇ δάφνῃ, τὸν Ἀριστομένην. [Δωριεῖ τε κώμῳ.] ἀντὶ τοῦ, τῷ τῶν Αἰγινητῶν ὕμνῳ. Δωριεῖς γὰρ ἀπὸ Ἄργους εἰς Αἴγιναν κατῴκησαν. τὸ δὲ [Χαρίτων ἑκὰς,] οὐκ ἔξω δὲ Χαρίτων ἡ Αἴγινα. οὐκ ἄχαρις, ἀλλὰ τελείαν ἔχει τὴν δόξαν ἐξ ἀρχῆς, καὶ οὐ νῦν μόνον. [Ἁ δικαιόπολις.] ἡ δὲ δικαιόπολις νῆσος Αἴγινα, οὐκ ἐξέπεσε τῶν Χαρίτων, φησὶ, θίγουσα τῶν τῶν Αἰακιδῶν ἀρεταῖς. [Πολλοῖσι μὲν γὰρ ἀείδεται] πολλοῖς μὲν γάρ φησιν, ἀνυμνεῖται ἀγῶσι. καὶ ἐν ταῖς ὀξείαις μάχαις, γυναῖκας καὶ πολεμικοὺς ἀγαγοῦσα ἥρωας. διαπρέπει δὲ καὶ ἐν ἀνδράσιν, εὐβουλίας ἕνεκεν καὶ γνώμης.

[Εἰμὶ

Εἰμὶ δ' ἄσχολος ἀ-
ναθέμεν πᾶσαν μακραγορίαν
Λύρᾳ τε καὶ φθέγμα-
τι μαλθακῷ, μὴ κόρος ἐλθὼν
Κνίσῃ. Τὸ δ' ἐν ποσί μοι,
Ἴτω τρέχον, τεὸν χρέος, ὦ παῖ,
Νεώτατον καλῶν, ἐμᾷ ποτα-
νὸν ἀμφὶ μαχανᾷ.

ἐπῳδὸς ϛ'. κῶλον ια'.

Παλαισμάτεσσι γὰρ ἰχνεύων μά-
τραδελφεὺς, Ὀλυμπίᾳ τε Θεόγνη-
τον οὐ καταλέγχεις,
Οὐδὲ Κλυτομάχοιο νίκαν
Ἰσθμοῖ θρασύγυιον
Αὔξων δὲ πάτραν Μι-
δυλιδᾶν, λόγον φέρεις

Sum vero otio-destitutus ad-imponen-
dum omnem orationis-prolixitatem
Lyræque & vo-
ci molli; ne satietas veniens
Molesta-sit. Quod vero circa pedes mihi *est*,
Id procedat currens, tuum *scilicet* debitū, ô fili,
Recentissimum præclarorū *gestorum*, meâ vo-
latile circa artem.

Μεταφρ.

Luctis enim vestigando-quasi-sequens avun-
culos, & apud-Olympiā *victorem* Theogne-
tum non dedecoras,
Neque Clytomachi victoriam
In-Isthmo membris-robustis-reportatam.
Augens vero tribum Mi-
dylidarum, sermonem reportas

PARAPHRASIS.

Possem sane multa ejus in laudem narrare: sed non licet mihi per ocium, neque opportunum est ut longa oratione omnia persequar, & carminibus mandem quæ lyra & voce suavi canantur, ne copia molestiam animis satietatem inducat. Itaque id quod mihi nunc occurrit, meique in præsentia instituti est, tuum opus recentissimum, victoriam videlicet Pythiacam, quam nuperrime consequutus es, fili Aristomenes, canam, utpote quæ appetat artis meæ poëticæ beneficio, quæ præclara facinora celebrat, famam huc illuc volantem nancisci. Tu sane tuorum avunculorum vestigiis insistens in luctis, eosque per omnia imitans, Theognetum qui Olympia, Clytomachum qui Pythia, audaci membrorum robore, puta pancratio vicit, nullo dedecore afficis, imo ipsis es decori. Præterea Midylidis, tuæ tribui gloriam addens, elogium illud promereris,

NOTÆ.

40 Ἀναθέμεν λύρᾳ] Aptare, vel consecrare Lyræ. Potius ad Literam, Reponere eo sensu quo Hor. de Arte dicit, *Fabulam reponi*, h. e. agi semel atque iterum; vel si malles, Reponere in Coronamenta. Sæpius enim Poëta gloriatur, hymnos suos in coronas & maxima heroum ornamenta reponi. Et hoc sensu etiam, Dicare, tanquam ἀναθήματα, qualia fuere serta victorum, transferre licet. 41 Μακρηγορίαν Commune leg. MS. γ. 45 Τρέχον ἴτω leg. γ. Τεὸν χρέος] Phil. Res Tuæ. Vulg. Meritum tuum. 46 Νεώτατον mallet Schmid. modo ω posset retineri post productam præcedentem, alias natura brevem. Ἐμᾷ ποτανὸν κ. λ.] Pro ἀμφὶ δ' ἐμὰ μαχανὰ ποτανὸς [ἢ ποτανὰ] ἐστιν, Circa quod ars mea quasi circumvolitat, h. e. Circa quod Poësis mea jam occupata est. Μαχανᾷ, Nonnulli. 48 Παλαίσμασίν τε γὰρ MS. γ. Commune, quod & perinde est. Ἰχνίων mallet Schmid. ob metrum. 51 Κλυτομάχοιο leg. γ. forsan pro Κλειτομάχοιο quod hab. Schol. 54 Λόγον φέρεις] Ostendis sermonem illum in te quadrare. Schmid.

[Εἰμὶ δ' ἄσχολος.] ἐν ἀσχολίᾳ, φησὶν, εἰμὶ, καὶ οὐκ εὐκαιρῶ, ὥστε πᾶσαν τὴν τῆς Αἰγίνης μακρηγορίαν ἀναθεῖναι, τῇ λύρᾳ καὶ τῷ ἡδεῖ φθέγματι, οἱονεὶ τῇ ᾠδῇ· ἢ οὕτως. οὐκ ἔστι καιρὸς, τὰ ἐγκώμια τῆς Αἰγίνης, καὶ τῶν Αἰακιδῶν λέγειν, μή τις φθόνος βλέψῃ με. οἱ δὲ, οὕτως. οὐκ εὐκαιρῶ πᾶσαν αὐτῆς τὴν ἀρετὴν ἐμπεριβαλεῖν, ἢ περιλαβεῖν τῷ ὕμνῳ. δεῖ γάρ με τὸν νικηφόρον ἐπαινεῖν· εὐλαβοῦμαι δὲ, μὴ περισσὸς κόρης ὀφθῇ ὁ λόγος μου. [Μὴ κόρος ἐλθὼν κνίσῃ.] ὑπερθέμενος, φησὶ, τὸ παρεκβάσει περὶ Αἰγίνης εἰπεῖν, μὴ κόρος ἐπιδράμῃ μοι, ὃ νῦν ἐξείληφα ἔργον. [Τὸ δὲ ἐν ποσί μου τρέχον,] τουτέστι τὸ πρόσφατον. τί δέ ἐστι τοῦτο; ἡ νίκη, ταύτην ὑμνήσω. [Ποτανὸν] δέ φησιν, ἀντὶ τοῦ πετόμενον. ἐπεὶ τὰ ποιήματα εἰς πᾶσαν διϊκνεῖται πόλιν· ἢ μετέωρον. ἢ οὕτω. τὸ νῦν παρὰ ποσί μου ὄφλημα τοῦτο νῦν τρέχον, καὶ μετὰ σπουδῆς παραγινέσθω ταχὺ παρὰ τῇ ἐμῇ γνώμῃ. τὸ πρᾶγμα γὰρ πτηνόν. καὶ τὸ χρέος γινέσθω. τουτέστι, τὸ ποίημα τῆς ἐμαῖς τέχναις. ὥστε καὶ διαπόντιον δύνασθαι εἶναι. [Παλαισμάτεσσι γὰρ ἰχνεύων.] Θεόγνητος, καὶ Κλειτόμαχος, θεῖοι τοῦ νικηφόρου. Ὀλυμπιονίκης δὲ ὁ Θεόγνητος. ὁ Κλειτόμαχος δὲ, Ἰσθμιονίκης. φησὶ δὲ αὐτὸν μὴ καταλέγχειν τοὺς τῆς μητρὸς ἀδελφοὺς, ἀλλὰ κατ' ἴχνη τούτων βαίνειν. ὁ δὲ νοῦς. τοῖς γὰρ παλαίσμασι τοὺς πρὸς μητρός σου θείους μεταδιώκων καὶ ζηλῶν, οὔτε τὴν Ὀλυμπίᾳ Θεόγνητον νικήσαντα καταισχύνεις, οὔτε τὴν Κλειτομάχου ἐν Ἰσθμοῖ νίκην. ἀπὸ κοινοῦ τὸ, καταλέγχεις. [Αὔξων δὲ πάτραν Μιδυλιδᾶν.] φατρία ἐν Αἰγίνῃ Μιδυλιδῶν, ἀπὸ Μιδύλου προγόνου ἐπιδόξου γεγονότος. καὶ ἐν ἄλλοις αὐτός· Μιδυλίδου δ' αὐτῷ γενεᾷ. μαρτυρεῖ καὶ Ὅμηρος· Ἡ μὰν ἀμφοτέροισιν ὁμὸν γένος, ἠδ' ἴα πάτρη· ἀντὶ τοῦ, φατρία. τῇ οὖν σῇ γενεᾷ, τοῖς Μιδυλίδαις, δόξαν προστέθηκας. ὁ δὲ νοῦς, οὕτω. τῶν δὲ Μιδυλιδῶν τὴν φατρίαν αὔξων, τὸν λόγον φέρεις ἐκεῖνον, ὃν εἶπε ποτὲ Ἀμφιάραος, ἡνίκα ἐθεάσατο ἐν ταῖς ἑπταπύλοις Θήβαις, παραμένοντας τοὺς υἱοὺς τῶν ἑπτὰ ἐπὶ Θήβαις, ὁπότε ἀπὸ τοῦ Ἄργους τὴν δευτέραν ἐπάνοδον ἐπανῆλθον οἱ ἐπίγονοι. ἢ οὕτω. τοῦτον, φησὶ, τὸν λόγον φέρεις, ὦ Ἀριστόμενες, ὃν εἶπεν ὁ Ἀμφιάραος, ἰδὼν θαρσαλέως πολεμοῦντας τοὺς ἐπιγόνους κατὰ τῶν Θηβαίων. τί δὲ εἶπε; Φυᾷ τὸ γενναῖον ἐπιπρέπει. ὅτι σώζουσι τὴν τῶν γονέων ἀρετήν. καὶ σὺ δέ, φησι, τοὺς μήτρωας ζηλοῖς τῇ ἀθλήσει. ἢ οὕτω. τῇ φύσει τὸ συγγενὲς ἐκ πατέρων προθύμημα, τοῖς παισὶν ἐπιπρέπει. Ὅμηρος· Οὐ γάρ μοι γενναῖον, ἀλυσκάζοντι μάχεσθαι. τουτέστι, συγγενικόν.

Τὸν, ὅν πέρ ποτε Οἰκλέος
Παῖς, ἐν ἑπταπύλοις ἰδὼν
Υἱοὺς Θήβαις, ἠνίξατο
Παρμένοντας αἰχμᾷ,

στροφὴ γ'. κώλων ϑ'.

Ὁπότ' ἀπ' Ἄργεος ἤλυθον
Δευτέραν ὁδὸν Ε-
πίγονοι. Ὧδ' εἶπε· Μαρναμένων
Φυᾷ, τὸ γενναῖον
Ἐπιπρέπει ἐκ πατέρων παι-
σὶν λῆμα. Θάομαι
Σαφὲς δράκοντα ποικίλον αἰθᾶς
Ἀλκμᾶν' ἐπ' ἀσπίδος νωμῶντα, πρῶ-
τον ἐν Κάδμου πύλαις.

ἀντιστροφὴ γ'. κώλων ϑ'.

Ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ,
Νῦν ἀρείονος ἐν-
έχεται ὄρνιχος ἀγγελίᾳ

Illum, quem olim Oiclei
Filius, in septiportis prævidens
Filios Thebis, vaticinando-protulit
Constanter-urgentes bellum,

Μεταφρ.

Quod gestum est, quando ab Argis aggressi-sunt
Secundam expeditionem E-
pigoni. Sic *autem* dixit: Pugnantibus
Natura-duce, generosus
Addecet ex patribus fili-
os impetus. Intueor
Aperte draconem varium corusco
Alcmanem in clypeo versantem, pri-
mum in Cadmi portis.

Μεταφρ.

At afflictus priori clade,
Nunc *in Epigonorum bello* faustioris de-
tinetur augurii nuncio

PARAPHRASIS.

quod Oiclei filius Amphiaraus ore suo pronuntiavit, quum videret filios septem ducum ad Thebas, in ea septem portis munita urbe fortiter pugnantes: quum Polynicis posteri ex Argivo solo profecti secundum bellum Thebanis intulerunt. Illis autem pugnantibus ita effatus est. Quæ innata est, & à parentibus accepta animi magnitudo, quatenus fortes creantur fortibus & bonis, refulget in liberis. Aperte video Alcmanem primum ad portas Thebarum quarum rex fuit Cadmus, quatientem coruscum clypeum sculptura maculosi draconis insignem. At vero Adrastus heros, qui priori ad Thebas expeditione cladem accepit, solusque cæsis reliquis omnibus incolumis evasit, rem fœlicius est gesturus secunda expeditione,

NOTÆ.

55 Ποτ' Οἰκλέος Alii. Perinde. Nos MS. γ. sequimur. 56 Ἑπταπύλοις] Thebis ita nominatis, ad differentiam Thebarum Ægyptiarum, quæ sunt ἑκατόμπυλοι. Schmid. 57 Θήβαις υἱοὺς leg. Schmid. ut metr. consistat. Nos nil mutamus. Metro alia ratione consuluimus. Ἠνίξατο] Obscure significavit, Vulg. In loco Hom. à Schol. laudato, Αἰνίζομαι non est idem Verbum ac αἰνίττομαι· ab αἰνῶ enim deducitur, sicut & Od. Θ. v. 487. usurpatur. Ideo Schmidio potius quam Schol. fides habenda, cujus versionem damus in Metaphrasi. 58 Παρμένοντας] Lonicer. reddit, Acriter inter sese certantes. Αἰχμᾷ] Portus, Apud hastam. 61 Τῇ δ' εἶπε, scil. τῇ ὁδῷ Nonnulli. Vaticinium tamen fuit in prima expeditione; in ea enim mortuus est Amphiaraus. Vide seqq. Alii Ὧδ' εἶπε μαρναμένων, non distinguentes, & vertunt, Sic dixit dum præliarentur, Natura &c. 62 Γενναῖον] Schol. συγγενὲς exponi posse censet. Recte tamen Schmid. asserit, talem interpretationem non satis aptam esse huic loco. Neque enim quodlibet λῆμα ἐκ πατέρων παισὶν ἐπιπρέπει, sed γενναῖον. 63 Ἐπιπρέπει] Phil. Excellit. Vulg. Eminet. Portus, Elucet. Lonicer. Eximia est. 64 Λῆμα] Deducitur à λῶ Volo, qu. λάω vel λέω. Voluntas, vis animi. Vox est mediæ significationis; vel, si Schmidio fides, plerumque in bonam partem accipitur. Θεάομαι Edd. Schmid. Θηέομαι, Cum stupore & admiratione video. Spectavit vero ἐν τῇ ὁράσει. 65 Αἰθᾶς] Fulgido, vel ob ferrum nigricante. 66 Ἀλκμᾶν pro Ἀλκμάων, ut Μενέλας pro Μενέλαος, & Ἀρκεσίλας pro Ἀρκεσίλαος, more huic Poëtæ usitato. Fuit autem filius natu major Amphiarai. Veruntamen in nullam partem aut Amphiarai, aut Amphilochi fratris honorum receptus est. Pauf. l. 1. ob cædem matris Eriphyles, de qua vide ad Nem. 9. In περιβόλῳ tamen sacro Delphis statua ei cum cæteris Epigonis fuit dedicata. Pauf. l. 10. 70 Ὄρνιχος] Vaticinii. Unde patet non esse εἰδωλοποιΐαν, sed Poëtam narrare Amphiarai oraculum, contra quam sentit Lonicer.

[Ἰδὼν υἱοὺς Θηβαίων, ἠνίξατο] ἀντὶ τοῦ, ἀπεφθέγξατο. οὐ γὰρ αἰνιγματωδῶς εἶπε. καὶ παρ' Ὁμήρῳ Ὠθρυονεῦ, περὶ δή σε βροτῶν αἰνίζομ' ἁπάντων. πῶς δὲ ταῦτά φησιν ὁ Ἀμφιάραος, εἰ μὴ ὅτι ὅπου ζῶν κατεπόθη, κατά τινα θείαν ἐπίνοιαν προσδιελέγετο τοῖς ἐπιγόνοις. [Θεάομαι σαφὲς δράκοντα.] τοῦτό φησιν, ὡς τὸν Ἀλκμᾶνος ἔχοντος ἐπὶ τῆς ἀσπίδος ἐπίσημον δράκοντα. θεωρῶ γάρ, φησι, σαφῶς ἐν ταῖς Θήβαις τὸν Ἀλκμάονα, ποικίλον δράκοντα ἐπὶ τῆς καταπληκτικῆς ἀσπίδος διακινοῦντα. Διατί δὲ ὁ Ἀλκμάων εἶχεν ἐπὶ τῆς ἀσπίδος δράκοντα; Ὅτι ἐπιτήδειον πρὸς οἰωνοὺς τὸ ζῶον· καὶ καταδυόμενον εἰς τὰς ὀπὰς τῆς γῆς. μάντις δὲ καὶ ὁ Ἀμφιάραος, καὶ κατέδυ καὶ αὐτὸς ὑπὸ γῆν. ὁ δὲ παῖς, σημεῖον τῆς τοῦ πατρὸς ἔσωζε τέχνης. ἢ καθόλου τὴν ἀπὸ Μελάμποδος. ἱστοροῦσι δὲ δύο δράκοντας διαλεῖξαι τὰς ἀκοὰς τοῦ Μελάμποδος, καὶ διατρῆσαι πρὸς ἄλληλα. διὸ καὶ δοκεῖ αἰσθάνεσθαι τῆς τῶν ἀλόγων ζώων φωνῆς. [Ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ.] ὁ δὲ τῷ προτέρῳ πάθει καμὼν, καὶ τὸν στρατὸν ἀπολέσας Ἄδραστος, νῦν κρείσσονος οἰωνοῦ ἐνέχεται ἀγγελίᾳ. νικήσει γὰρ τῇ μάχῃ. τὸ δὲ κατὰ τὸν ἴδιον οἶκον, ἐναντίως πράξει. πρότερον μὲν γὰρ ἐσώθη μόνος. κατὰ δὲ τὴν δευτέραν στρατείαν πάντων σωθέντων, αὐτὸς μόνος τὸν υἱὸν ἀπέβαλεν Αἰγιαλέα, ὥς φησιν Ἑλλάνικος λέγων, ἐν † Γλίσαντι, τὸ συμβόλαιον γεγονέναι. ἢ οὕτως. ὁ δὲ καμὼν Ἄδραστος τῇ προτέρᾳ συμφορᾷ, νῦν βελτίονος ἔχεται τύχης, τῇ τοῦ ὄρνιθος ἀγγελίᾳ καὶ κληδόνι. οἰωνιστὴς γὰρ ὁ Ἀμφιάραος.

† Γλίσσαντι Hom. ἐν Βοιωτίᾳ, & Steph. de Steph. de Urb.

[Μόνος

Ἄδραστος ἥρως. Τὸ	Adrastus heros.
Δ' ἐξ οἴκοθεν ἀντία πράξει.	E-domo vero adversa fortuna utetur.
Μοῦνος γὰρ ἐκ Δαναῶν	Solus enim è Danaorum
Στρατοῦ, θανόντος ὀστέα λέξαις	Exercitu, interfecti offibus collectis
Υἱοῦ, τύχᾳ Θεῶν ἀφίξεται,	Filii, fortunata-sorte Deorum effugiet,
Λαῷ σὺν ἀβλαβεῖ,	Exercitu cum incolumi,
ἐπῳδὸς γ'. κώλων ια'.	ΜΕΤΑΡΗ.
Ἄβαντος εὐρυχόρους ἀγυιάς.	*Ad* Abantis spaciosos vicos.
Τοιαῦτα μὲν δ' ἐφθέγξατ' Ἀμφιάρηος.	Talia quidem edixit Amphiaraus.
Χαίρων δὲ καὶ αὐτὸς,	Gaudens vero & ipse,
Ἀλκμᾶνα στεφάνοισι βάλλω,	Alcmanem coronis peto,
Ῥαίνω δὲ καὶ ὕμνῳ.	Aspergoque hymno.
Γείτων ὅτι μοι, καὶ	Vicinus siquidem mihi, &
Κτεάνων φύλαξ ἐμῶν,	Possessionum custos mearum,
Ὑπαντίασ' ἰόντι γαίας	Occurrit eunti *mihi* terræ
Ὀμφαλὸν παρ' ἀοίδιμον·	Umbilicum ad celeberrimum:
Μαντευμάτων τε ἐφάψατο	Vaticiniaque attigit
Συγγόνοισι τέχναις.	Congenitis artibus.

PARAPHRASIS.

cui prosperiorem eventum pollicetur augurium: quanquam ejus domui aliquid sinistri accidet. Tum enim ejus filius ex Græcorum exercitu solus Ægialeus occidetur, cujus mortui collectis ossibus, divino munere fortunatus, incolumi salvoque reliquo exercitu redibit Argos, quod spatiosos habet vicos, urbem Abantis qui fuit Lyncei filius, pater Talai ex quo natus Adrastus. Atque hæc quidem dixit vates Amphiaraus. Ego autem etiam gaudio perfusus, coronis Aclmanem redimio, & rore hymni perfundo: quoniam cum sit vicinus meus, heroicum monumentum prope meas ædes habens, meorumque bonorum cum sit custos, occurrit mihi celebrem Pythonem, quod medium est orbis terratum, proficiscenti: suaque arte à patre Amphiarao accepta prædixit me victoriam reportaturum.

NOTÆ.

72 Ἀντία πράξει] Ἀντία Adverbialiter sumitur. Lonicer. Nec pro suæ domus more aget; ἀντία πράττειν, Contra morem agere, exponens. 75 Τύχᾳ] Τάχα leg. γ. 76 Λαῷ Commune leg. γ. pro στρατοῦ, ut alibi στρατὸς pro λαός. 77 Εὐρυχόρους Pleræque Edd. 78 Omitt. δ' Edd. pleræque, & MS. γ. 79 Aretius Poëtæ ipsius verba esse putat, Alcmanem Heroëm breviter laudantis, non Chori, ut Schol quum στεφάνοισιν αὐτὸν βάλλειν, ὕμνῳ τε ῥαίνειν non Aristomenis, sed Poëtæ videatur. Schmidio tamen displicet hæc sententia, quia στεφάνοισι βάλλειν, & ὕμνῳ ῥαίνειν Metaphor. hic accipitur pro, Grato animo celebrare; & hoc non solum Poëtarum sensu est, sed cujusque. Χαίρων] Schmidio Χαρεὶς placet, propter primam brevem; licet & in Χαίρων primam haberi brevem moneat, propterea quod idem accidat in Δαίμων κ. 108. Et hac quidem ratione nihil non ad libitum produci aut corripi potest. 84 Ὑπάντασιν ἰόντι γᾶς leg. Schmid. absque auctoritate præter Schol. expositionem. Alii ὑπαντίασεν ἰόντι γαίας. Nos fidem MS. nostri seq. 86 Edd. vulg. hab. τ' Pal. C. & Schmid. δέ. 87 Quia verbum ἐφάψατο cum Genit. Objecti construitur, Philippi interpretatio non probanda, Attigit cognatas artes Vaticinii: nec Loniceri, Vaticiniorum cognatas apprehendit artes. Hæc vero Syntaxis supra est, θίγοισα Αἰακιδᾶν, scil. ἀρεταῖς κλειναῖς.

[Μόνος γὰρ ἐκ Δαναῶν.] μόνος γὰρ τῶν Ἑλλήνων, τῆς Θηβαίας στρατοῦ, τελευτήσαντος τοῦ υἱοῦ τὰ ὀστᾶ συναγαγὼν καὶ συλλέξας, ἀφίξεται εἰς τὸ Ἄργος σὺν τῷ στρατοπέδῳ ἀβλαβεῖ καὶ περισωθέντι. ἐν γὰρ τῇ πρώτῃ στρατείᾳ, οἱ μὲν ἄλλοι ἓξ στρατηγοὶ ἀπώλοντο. ἐν δὲ τῇ δευτέρᾳ, ὅτε οἱ ἐπίγονοι, μόνος ὁ Ἀδράστου παῖς Αἰγιαλεὺς ἀπώλετο. οὕτω καὶ ἐξ αὐτοῦ φασὶν Ἀδράστειαν κληθῆναι τὴν Νέμεσιν. [Ἄβαντος] δὲ ἀγυιάς, τὸ Ἄργος φησίν. ὅτι Ἄβας ὁ Λυγκέως, Ταλαοῦ πατήρ. ἐξ οὗ ὁ Ἄδραστος, ᾤκησε τὸ Ἄργος. εἶτα μετέστη εἰς Εὔβοιαν. ὅτι δὲ Λυγκέως Ἄβας, ἐξ ἐκείνου δῆλον. σφαγὰς δὲ Δαναοῦ παρθένων Λυγκεὺς φυγὼν, Ἄβαντα φύει, διάδοχον τυραννίδος. [Χαίρων δὲ καὶ αὐτός.] ὡς ἀπὸ τοῦ χοροῦ, τὸ πρόσωπον μιμουμένου τοῦ νενικηκότος. ταῦτα δὲ εἴρηκεν, ὡς ὑπάρχοντος ἥρωος, καὶ γειτνιῶντος τῇ τοῦ νικηφόρου οἰκίᾳ. προσυποτίθεται δὲ, ὅτι καὶ ὑπήντησε πορευομένῳ εἰς τὸν ἀγῶνα, καὶ τῆς μαντείας ἐφήψατο καὶ αὐτὸς ὢν μάντις. ἐμφαίνει δὲ διὰ τούτων, ὅτι ἐγεγόνει τις μαντεία περὶ τῆς νίκης αὐτοῦ. [Ἄλλως.] ἐφηδόμενος δὲ καὶ αὐτὸς, τὸν Ἀλκμάονα στεφανῶ τῇ ᾠδῇ. ὅτι δή μοι ὁ τούτου πατὴρ Ἀμφιάραος, γείτων ἐστὶ καὶ φύλαξ τῶν ἐμῶν κτημάτων. καὶ ὅτι ἀπιόντι εἰς τὸν τῆς γῆς ὀμφαλὸν, τουτέστιν εἰς τὸν Πυθῶνα, ἀπήντησε. καὶ τῶν μαντευμάτων ἐφήψατο τοῖς συγγεννηθεῖσιν αὐτῷ. τυχὸν δὲ λέγει, συγγόνοις τέχναις. [Ἄλλως.] τῇ Ἀεισομένης οἰκίᾳ παρίδρυτο Ἀλκμάονος ἡρῷον. ἴσως δὲ καὶ τῇ αὐτοῦ μαντείᾳ χρησάμενος, ἐπὶ τὸν ἀγῶνα ἐπορεύθη καὶ ἐνίκησε.

στροφὴ δ'. κώλων θ'.

Τὺ δ' ἑκατάβολε, πάνδοκον
Ναὸν εὐκλέα δι-
ανέμων Πυθῶνος ἐν γυάλοις,
Τὸ μὲν μέγιστον τό-
θι χαρμάτων ὤπασας· οἴκοι
Δὲ πρόσθεν ἁρπαλέαν
Δόσιν πενταεθλίου, σὺν ἑορταῖς
Ὑμαῖς ἐπάγαγες ὦναξ. Ἑκόν-
τι δ' εὔχομαι νόῳ

METAPH.

Tu vero longe-jaculans, omnes-recipiens
Templum celebre admi-
niſtrans Pythonis in vallibus,
Maximum quidem i-
bi gaudiorum præbuiſti: domi
Vero antea avide-apprehenſum
Donum quinquertii, cum feſtis
Tuis adduxiſti O Rex. Prom-
ta autem precor mente

ἀντιστροφὴ δ'. κώλων θ'.

Κατά τιν' ἁρμονίαν βλέπειν
Ἀμφ' ἕκαστον ὅσα
Νέομαι. Κώμῳ μὲν ἁδυμελεῖ
Δίκα παρέστακε.
Θεῶν δὲ ὄπιν ἄφθιτον αἰτέω
Ξείναρκες, ὑμετέραις
Τύχαις. Εἰ γάρ τις ἐσλὰ πέπαται,

METAPH.

Videas, juxta quandam harmoniam
Quanta circa unumquemque
Componam. Hymno ſane dulciſono
Juſtitia adſtare-ſolet.
Deorum autem curam immortalem expoſco
O Xenarces, veſtræ
Fortunæ. Si enim aliquis bona poſſidet

PARAPHRASIS.

Tu autem ſagittas proculjaculans Apollo, qui templum celebre convenas omnes excipiens, tibi in Pythonis convallibus ſacrum gubernas, ibi Ariſtomeni ſucceſſum dediſti, qui parta luctæ victoria, gaudiorum quibus unquam eſt perfuſus, maximum percepit. Quinetiam antequam ad Pythia ſe conferret, in Ægina inſula ejus patria, ô rex Apollo, quum feſti dies Delphiniorum apud Æginetas ſacrorum tibi ludorum celebrarentur, quinquertii victoriam ipſi contuliſti, quam tua ope ſuaque virtute celeriter arripuit. A te autem conſulto, certoque propoſito precor, ut benigno oculo reſpicias quæcunque poëmata, ex certis rhythmis conſtantia, de unoquoque in rerum ab ipſis præclare geſtarum laudem concinno & concino. Juſtitia utique ſuaviſono hymno meo nihil niſi verum canenti aſſiſtit. Porro à Diis immortalibus, penes quos ſolos eſt divitiarum donatio, peto, ô Xenarces, ut fortunarum veſtrarum curam gerant. Nam quamvis homines ſtulti, eum qui bona

NOTÆ.

88 Εκατηβόλε Commune leg. γ. 89 Εὐκλέα ab εὐκλὴς pro εὐκλεής, ut alibi. Schol. Adverbialiter εὐδόξως exponit. Ita & Lonicer. Glorioſe. 90 Γύαλον eſt Cavitas, Vola. 91 Τόθι] Vulg. Tunc. 95 Επάγαγές τ' Ald. Schmid. pro τ' leg. γ'. Αναξ hab. Edd. vulg. Εκόντι νόῳ] Phil. & Lon. referunt ad εὔχομαι. Prior redd. Te ſponte invoco: Poſterior, Meapte ſponte precor. Nos cum βλέπειν connectimus, ut & Schmid. qui interpret. Mente facili aſpicere. 97 Κατά τιν' leg. Schmid. Codd. aliter. Ille vero interpret. Juxta quem modum! Qua convenientia! an etiam laudes meæ congruant cum factis perſonarum! an ſit conſenſus inter res geſtas perſonarum & mea facta! Quem ſenſum non facile fundunt verba Autoris. 98 Αμφ' ἕκαστον κ. λ.] Circa unumquemque quævis Concinnem. Schmid. 101 Schmid. leg. Θεῶν ὄπιν δ' ἄφθιτον, metri cauſa. Nos Θεῶν δὲ ὄπιν. Alii Θεῶν δ' ὄπιν. Perinde quoad ſenſum. Αφθιτον] Aliqui leg. ἀφθόνον, uti Schol. ut ex interpret. patet. 102 Ξέναρκες Commune hab. Codd. Schmidium ſecuti Dor. repoſuimus. 103 Πέπαται] à Πάομαι, Poſſideo.

[Τὺ δ' ἑκατηβόλε.] σὺ δὲ ὦ Ἄπολλον, τὸν πάντας δεχόμενον ἐν τῷ Πυθῶνι νεὼν εὐδόξως διανέμων, τοῦτο μὲν τὸ κλέος τῆς νίκης, αὐτόθι ἐν τῷ Πυθῶνι παρέσχες. ἐν Αἰγίνῃ δὲ πρὸ τούτων, ἐνίκησε τὰ Δελφίνια, Ἀπόλλωνος ἀγῶνα. πρὶν γὰρ λαβεῖν τὰ Πύθια, νενίκηκεν ἐν οἴκῳ. τουτέστιν, ἐν Αἰγίνῃ, ἀγῶνα ἱερὸν Ἀπόλλωνος, πένταθλον. ἄγεται δὲ ἐν Αἰγίνῃ Δελφίνια Ἀπόλλωνι. τὸ δὲ [Ὑμαῖς,] ἀντὶ, * τῆς σαῖς· καὶ πλεονάζει τούτῳ ὁ Πίνδαρος· τιμᾶται δὲ σφόδρα ἐν Αἰγίνῃ Ἀπόλλων, καὶ Ἄρτεμις. [Ἑκόντι δ' εὔχομαι νόῳ.] σοὶ δὲ, ὦ Ἄπολλον, εὔχομαι ἐφορᾷν σε ἕκαστον τῶν ποιημάτων, ὅσα κατά τινα ἁρμονίαν ἐπάρχομαι, καὶ γράφω. [Καὶ ἄλλως.] ἤτοι διαβεβαιοῦμαι καὶ εὔχομαί σοι, ὦ Ἄπολλον, καθ' ἁρμονίαν πρὸς πάντα ἔρχεσθαι πράγματα. οἷον, πρὸς μηδὲν πλημμελῶς ἔρχεσθαι. [Κώμῳ μὲν ἁδυμελεῖ.] τῷ μὲν χορῷ ἡμῶν δικαιοσύνη παρέστηκε. τουτέστιν, οὐ ψευδόμεθα οἷς λέγομεν περὶ τοῦ Ἀριστομένους. ἤτοι, δικαίως κωμάζεται ὁ Ἀριστομένης, καὶ ἐπιτηδείως. ἀγαθὸς γάρ ἐστι. τὴν δὲ τῶν μετὰ ταῦτα ἐπιστροφὴν, παρὰ τῶν θεῶν εὔχομαι ἀνεπίφθονον ἐπὶ τῆς ὑμετέραις εὐχαῖς γενέσθαι. ὁ δὲ Ξενάρκης, πατὴρ τοῦ νικηφόρου. [Εἰ γάρ τις ἐσλὰ πέπαται.] εἰ γάρ τις, φησὶν, ἀγαθὰ κέκτηται μὴ σὺν πολλῷ πόνῳ ἀλλὰ ῥᾳδίως, τοῖς πολλοῖς τῶν ἀνθρώπων δοκεῖ σοφὸς ὢν, ἐν ἄφροσι τὸν ἑαυτοῦ βίον † κηρύσσειν. τουτέστιν, αὔξειν τὸν ὀρθοβούλοις ἑαυτοῦ ἐπιτεχνήσεσιν. ἢ οὕτως. εἴτις ἄνευ πόνου ἀγαθόν τι περιεκλήσατο, τοῦτον οἱ πολλοὶ τῶν ἀφρόνων δοκοῦσι σοφὸν εἶναι. καὶ τοῦτο ἐκ τῆς σοφίας δοκεῖ οὕτω περιπεποιῆσθαι. ἐγὼ δέ φημι τοῦτο ἐν θεῷ εἶναι. καὶ ἔστι τὸ δαιμόνιον αἴτιον τῆς κτήσεως. τὸ γὰρ [Πέπαται,] ἀντὶ τοῦ, κέκτηται. Ὅμηρος· Πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ. τουτέστι, πλουσίου.

* Lege τῦ.

† Leg. κορύσσειν.

[Τὰ δ'

Μὴ ξὺν μακρῷ πόνῳ, πολλοῖς σοφὸς	Non cum magno labore, multis sapiens
Δοκεῖ πεδαφρόνων,	Videtur stultorum,
ἐπῳδὸς δ'. κώλων ια'.	METAPH.
Βίον κορυσσέμεν ὀρθοβούλοι- [ται.	Victum amplificare recta-consilia-datrici-
σι μαχαναῖς. Τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖ-	bus artibus. Sed hæc non penes viros sunt.
Δαίμων δὲ παρίσχει.	Deus vero præbet.
Ἄλλοτ' ἄλλον ὕπερθε βάλλων,	Alias alium sursum attollens,
Ἄλλον δ' ὑπὸ χειρῶν,	Alium vero sub manibus
Μέτρῳ καταβαίνει.	Mensura *certa* descendere-facit.
Μεγάροις δ' ἔχεις γέρας,	Megaris autem habes præmium,
Μυχῷ τ' ἐν Μαραθῶνος. Ἥ-	Recessuque in Marathonis. Juno-
ρας τ' ἀγῶν' ἐπιχώριον	nisque certamen patrium.
Νίκαις τρισσαῖς, Ὦ 'ριστόμε-	Victoriis triplicibus, O Aristome-
νες, δάμασσας ἔργῳ·	nes, superasti fortitudine:
στροφὴ ε'. κώλων θ'.	METAPH.
Τέτρασι δ' ἔμπετες ὑψόθεν	Quatuorque illapsus-es desuper
Σωμάτεσσι, κακὰ	Corporibus, mala *illis*

PARAPHRASIS.

nullo negotio parta possidet, sapientem esse putent, & honestis rationibus rectoque consilio facultates ad vitam necessarias amplificare, graviter falluntur. Etenim non est positum in hominum facultate ut divitias acquirant: sed eas suppeditat Deus, qui alias alium sublimem aut humilem reddit, aliique subjicit, bona & mala quibus vult certa ratione dispensans. Cæterum tu, Aristomenes, præmium Megaris ex Diocleis reportasti: & in recessu Marathonis Herculea superasti: & Hecatombæa à majoribus tuis Argivis in Æginam delata in Junonis honorem, etiam tua in patria vicisti. Partis vero tribus illis victoriis, Megarica, Marathonica, Æginetica, in quibus alios tua fortitudine dejecisti, in Pythiis ludis incidisti superne in quatuor antagonistas, illis mala

NOTÆ.

104 MS. γ. leg. Μὴ ξὺν μακρῷ χρόνῳ, i. e. Brevi tempore. Ea forsan vera est lectio. Inspiciat Lector κῶλα 131 & 132. 105 Πεδαφρόνων] Pro μεταφρόνων. Æoles enim, ut supra annotavimus, πέδα vel πεδὰ pro μετά. Portus vero è longinquo etymon petit, qu. πεδάφρων ὁ τὰς φρένας πεπεδημένας ἔχων, Qui mentem vinctam habet; vel pejus, ὁ τὰ πεδινὰ καὶ ταπεινὰ φρονῶν, id est, Res campestres vel humiles sentit; Vel pessime, hoc enim & metrum rejicit, qu. esset παδάφρων Dor. pro πηδάφρων, à πηδᾶν, saltare, scil. Qui mentem salientem id est, Levem habet; cum tamen *nil saliat Arcadico juveni*. Quod si circa ridicula fas esset diutius versari, Portus alia conjectura lectorem potest excipere. A πίδαξ enim Scaturigine deducit πιδαφρόνων, cum hæc vox etiam per τὸ ι scripta sit. Nempe hasce nugas non liceret propinare Reip. literariæ, nisi Porti filius in suo Lexico Pind. forte affectu in patrem cæcus, iisdem nostram sententiam longe posthaberet. Ideoque etiam Schmid. Commentarium suum iis locupletavit, & totum locum exscripsit. Alii πεδ' ἀφρόνων, divisim. 106 Schmid. vertit, Victum amplificandi rectis consiliis utentibus artibus; eodem fere sensu, sed obscurius. 107 Μηχαναῖς Commune leg. MS. γ. 108 Schmidius, cui nunquam deest conjectura ad corrigend. metrum, ubi id corruptum existimat, Θεὸς pro Δαίμων mallet, ni κῶλ. 79. obstaret. 110 Portus conjungit ὑπὸ μέτρῳ χειρῶν, sub mensura manuum, exponitque, Arbitratu suo. 111 Μέτρον leg. γ. Forte pro κατὰ μέτρον, Juxta proportionem quandam. Καταβαίνων Schmid. Similem locum apud Hesiod. habes initio. Ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει κ. λ. 112 Μεγάροις] Vide Ol. 7. Lonicer. & Aret. Isthmicam victoriam interpretantur. Ἔχεις γέρας] Incisum videlicet nomen victoris columnæ lapideæ. Schmid. 113 Μυχῷ Μαραθῶνος] Vide Ol. 9. De Junoniis vero Ol. 7. 115 Ἀριστόμενες. γ. Tres victorias Junonias intell. Schmid. Lonicero & Aretio τρισσαὶ νῖκαι sunt Megarensis, Marathonia, & Æginetica Junonia. 117 Ἔμπετες] Dor. pro ἔμπιπτες ab ἐμπίπτω. Nisi dicamus, Imperfectum esse ab ἐμπέτω. Lonicer. Adverbialiter poni censet; sed verbum etiam esse posse addit. Optima Imago. 118 Σωμάτεσσι] Pro Personis antagonistarum. Σῶμα pro Homine & alibi dicitur. Sophocl. OEd. Tyr. τὸ μὸν σῶμα, mea persona. Σῶμα vero nunc de Vivo Corpore, nunc de Cadavere; τὸ Δέμας autem Schmidio (à δέδεμαι Ligatus sum,) semper Corpus vivum, cui quasi anima alligata est. Verum Eustath. ad Il. A. ostendit, Homerum & post eum alios pro Cadavere usurpare solitos fuisse. Κακὰ φρονέων] Erepturus eis victoriam. Lonicer. μικρὸν φροντίζων, Parum curans, parum solicitus, sed confisus robori suo: à quo non longe abest Schol. ἧττον αὐτῶν φροντίζων, Parvi eos faciens & contemnens.

Τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται.] ταῦτα δέ φησιν, οὐκ ἔστιν ἐν ἀνθρώποις· τὰ ἐκ προνοίας κτήσασθαι. τὸ δαιμόνιον δὲ, ἑκάστῳ παρέχει. [Ἄλλοτε δ' ἄλλον ὕπερθε βάλλων.] ἐπεὶ προεῖπεν ὅτι, ὁ δαίμων παρέχει πάντα, ἐπήγαγεν ὅτι, ποτὲ μὲν, ἄλλοτε ἄλλον, ὑψηλὸν ποιῶν· ἄλλοτε δὲ ὑποχείριον, καὶ οἰκτρὸν, καὶ ταπεινόν. [Μέτρῳ καταβαίνει.] ἀντὶ τοῦ, καταβαίνειν ποιεῖ. μεμετρημένα ἑκάστῳ, τὰ κακὰ καὶ τὰ ἀγαθὰ παρέχεται, ὕποτε τοῦ ἐν μονίμῳ τύχῃ κρατῶν. [Ἥρας τ' ἀγῶν' ἐπιχώριον.] ὡς καὶ ἐν Αἰγίνῃ Ἡραίων ἀγομένων, κατὰ μίμησιν τοῦ ἐν Ἄργει ἀγῶνος. ἄποικοι γὰρ Ἀργείων Αἰγινῆται. Δίδυμος δέ φησι τὰ Ἑκατόμβαια, αὐτὸν νῦν λέγειν ἐπιχώριον ἀγῶνα Αἰγινητῶν, διὰ τὴν συγγένειαν. [Νίκαισι τρισσαῖς.] σὺν ταῖς τρισὶ ταύταις νίκαις, καὶ τὰ Πύθια νικήσας, τέτρασι σώμασι τῶν ἀνταγωνιστῶν ἄνωθεν ἐνέπεσεν, ἧττον αὐτῶν φροντίζων. τὸ δὲ [Δαμάσαις ἔργῳ,] ἀντὶ τοῦ μετ' ἔργου καὶ ἐνεργείας πολλῆς καθυποτάξας σεαυτῷ.

[Τοῖς

Φρονέων. Τοῖς οὔτε νόστος ὁμῶς
Ἐπαλπνος ἐν Πυθι-
άδι κρίθη, οὐδὲ μολόντων
Πὰρ ματέρ' ἀμφὶ γέλως
Γλυκὺς ὦρσεν χάριν· κατὰ λαύρας
Δ' ἐχθρῶν ἀπάοροι πτώσσοντι, συμ-
φορᾷ δεδαϊγμένοι.

Meditans. Quibus neque reditus pariter
Jucundus apud Pythia-
dem judicatus-fuit, neque reversorum
Apud matrem undique risus
Dulcis excitavit festivitatem : per vicos
Vero ab-inimicis semoti trepidant, ca-
lamitate sauciati.

ἀντιστροφὴ ε'. κώλων θ'.

Ὁ δὲ καλόν τι νέον λαχὼν,
Ἁβρότατος ἐπὶ
Μεγάλας, ἐξ ἐλπίδος πέταται
Ὑποπτέροις ἀνο-
ρέαις, ἔχων κρέσσονα τέρψιν
Πλούτοιο. Ἐν δ' ὀλίγῳ,
Βροτῶν τὸ τερπνὸν αὔξεται· οὕτω
Δὴ καὶ πίτνει χαμαὶ, ἀποτρόπῳ
Γνώμᾳ σεσεισμένον.

Μεταφρ.

Qui vero bonum aliquod recens sortitus-est,
Splendore in
Magno, præ spe evolat
Alatis *quasi* strenuitati-
bus, habens præstantiorem oblectationem
Divitiis. In brevi vero *tempore, ut*
Mortalium voluptas crescit : sic *brevi tempore*
Vero etiam cadit humi, infausto
Consilio quassata.

Paraphrasis.

moliens : quibus devictis apud Pythiadem judicatum est, reditum in patriam non æque ac tibi fore jucundum ob dedecus. Quique reversi ad parentes, non festivum illis ex victoria risum, sed pallidum mœrorem ex calamitate sua illis excitarent. Quique quod adversario succubuerint, cor saucium gerentes, eorum conspectum metuunt, proculque ab illis per vicos incedentes declinant & fugiunt. Sed qui recens rem præclare gessit, & spe sua non frustratus, victoriam veloci & prompta strenuitate est adeptus, fœlicitate sublimis fertur, & summa voluptate fruitur, neque divitias quas ad certamen liberaliter impendit, ullo modo desiderat, imo victoriæ honorem iis præfert. Quod & tibi lucta victoriam adepte Aristomenes nunc usu venit. At vide ne nimium successu gaudeas ac si perpetuo fœlix futurus esses. Velim enim scias hanc esse fragilitatis humanæ sortem, ut res vel splendidissimæ & jucundissimæ exiguo tempore crescant, & aliqua calamitate concussæ brevi dilabantur.

NOTÆ.

120 Ἐπαλπνος] Vocabulum Pindaricum. Infra Isth. 5. à simplici ἀλπνὸς, Superlativus ἄλπνιστος συγκοπτὶς pro ἀλπνίστατος extat. Pind. Lex. proprie de vento secundo dici vult, qui ad nos quodammodo saliens spiransque venit, qu. ἐπὶ ἅλα πνέων· Vel κατὰ συγκοπὴν ἐκ τοῦ ἐπίθαλπνος, à θαλπνὸς, i. e. splendidus, & μεταφορικῶς, Splendoris instar gratus; idque à θάλπω, Foveo, unde & θαλπωρὴ, Lætitia, voluptas, spes quæ nostras cogitationes fovet. Schmidio est κατ' ἀφαίρεσιν τοῦ θ ex ἐπίθαλπνος, non κατὰ συγκοπήν. 121 Κρίθη ἐν Πυθιάδι] Nos exhibemus vulg. vers. in Metaphr. quæ Verbaliter accipit κρίθη pro ἐκρίθη. Cui interpret. opponit Schmid. potius dicendum fuisse ἐκ vel ἀπὸ Πυθιάδος, quam ἐν Πυθιάδι quod tamen non ostendit. Quid si enim cum Bened. intelligis locum, in quo Pythia celebrabantur? Τὸ ἐν certe non male dicitur, ubi de loco fit sermo. Sed alii sentiunt κρίθη accipi pro Hordeo; ut νόστος victis οὐκ ἐπαλπνος esset ἐν Πυθιάδι κρίθη, In Pythico hordeo. Sic ἐγένετο sumitur ἔξωθεν. Videtur Aret. & Lonicero, usitatum fuisse, eos qui victi fuerant corona hordeacea recenti redimitos, ex loco certaminis dimitti, qua monebantur eos nondum labori tanto sufficientes, laurove dignos esse. Quibus subjung. Schmid. Epitheton Πυθιάδι additum fuisse, ne quis de Δημητρείων vel Ανακαλυπτηρίων victoria interpretetur, cujus præmium erat corona hordeacea. Vide Isth. 1, 81. 124 Ἐχθρῶν ἀπάοροι] Metu derisionis. Phil. redd. Fugitantes. Απάορος, Remotus in suspenso, ab ἀωρέω, Tollo. Lonicer. vert. Imbelles: Aret. Debiles, forte propter πτώσσοντι seq. 127 Ἁβρότατος ἐπὶ μεγάλας] In magnis deliciis, in magna lætitia. Schmid. Non est Superlativus ab ἁβρὸς, ut Phil. vertit, conjungens μεγάλας cum ἐλπίδος scil. Spe magna volitat. Doricum esse Gen. productio τοῦ α arguit. Ἀπὸ leg. MS. γ. Schol. pro textu. 130 & 131 κῶλα leg. cum Aldo. Alii hab. ἔχων κρέσσονα πλούτου μέ- ριμναν. Ἐν δ' κ. λ. i. e. Curam habens rerum divitiis præstantiorum; virtutis, scil. & illustrium actionum. 133 Ἀποτρόπῳ γνώμᾳ] Præpostero consilio, ut Lonicer. vel stulta mente, ut Phil. 134 Νέφ legendum conjicit Schmid. ob primam brevem.

[Τοῖς, οὔτε νόστος ὁμῶς.] οἷς τισι τοῖς ἡττηθεῖσιν, ἐκ τῆς Πυθίας ἡ ἀνακομιδὴ, οὔτε ἡδεῖα, οὔτε προσηνὴς ἐγένετο. οὔτε ἐλθόντων αὐτῶν ἐπὶ τὴν πατρίδα περὶ τὴν μητέρα καὶ τοὺς γονεῖς, γέλως γλυκὺς χάριν † ἐνίκησε τῆς ἐκ τῆς νίκης. ἐκ δὲ τοῦ ἐναντίου, λύπη καὶ συμφορὰ περὶ τὸν οἶκον τῶν ἡττηθέντων γέγονεν. [Αλλως.] εὐλαβοῦνται καὶ φεύγουσι τοὺς ἐχθροὺς, τῇ τῆς ἥττης συμφορᾷ δακνόμενοι. [Ὁ δὲ καλόν τι καὶ νέον λαχών.] ὁ δὲ νεωστὶ καλὸν καταπραξάμενος καὶ νικήσας, ἀπὸ μεγάλης ἁβρότητος καὶ εὐδαιμονίας ἐκ τῶν εὐτυχηθεισῶν ἐλπίδων ὑψοῦται, τῇ ταχείαις αὐτοῦ ἐπαιρόμενος ἀνδρείαις, ἔχων καὶ κρείττονα πλούτου τὴν φροντίδα. τουτέστι, τὴν νίκην. [Αλλως.] ὁ δὲ καλῶς πράξας, ὑπὸ τῶν ἐλπίδων μετέωρος φέρεται. [Ἐν δ' ὀλίγῳ βροτῶν τὸ τερπνὸν αὔξεται.] λείπει χρόνῳ. τουτέστι χρόνον μικρὸν αὔξει τοὺς ἀνθρώπους, καὶ καταβάλλει, ἡ τυχοῦσα πρόφασις. ἔξωθεν οὖν προσληπτέον τὸ, χρόνῳ. ἐν ὀλίγῳ δὲ χρόνῳ φησὶ τὸ τῶν ἀνθρώπων ἡδὺ καὶ καλὸν εἶναι δοκοῦν, αὔξεται καὶ φθείρεται. οὕτω δὲ καὶ πάλιν ταχέως αὐξηθὲν τὸ ἀγαθὸν, ἀφανίζεται· ἀνοήτῳ τινι γνώμῃ καὶ πείρᾳ σεσεισμένον καὶ ἡττηθέν.

† Leg. ἐκίνησε.

[Ἐπάμεροι,

ἐπῳδὸς ε'. κῶλον ια'.	Metaph.
	[nullus ?
Ἐπάμεροι. Τί δέ τις; τί δ' οὔτις;	Diei-unius *sumus*. Quid n. *est* aliquis? quid v.
Σκιᾶς ὄναρ ἄνθρωποι. Ἀλλ' ὅταν αἴγλα	Umbræ somnium homines. Sed cum splendor
Διόσδοτος ἔλθῃ,	A-Jove-datus venerit,
Λαμπρὸν ἔπεστι φέγγος ἀνδρῶν,	Splendidum accedit lumen hominum,
Καὶ μείλιχος αἰών.	Et suavis vita.
Αἴγινα φίλα μᾶ-	O Ægina chara ma-
τερ, ἐλευθέρῳ στόλῳ	ter, libero cœtui
Πόλιν τάνδε κόμιζε, Διῒ	Civitatem hancce cura, cum Jove,
Καὶ κρέοντι σὺν Αἰακῷ,	Et rege Æaco,
Πηλεῖ τε, κἀγαθῷ Τελα-	Peleoque, &-præstantissimo Tela-
μῶνι, σύν τ' Ἀχιλλεῖ.	mone, cumque Achille.

Paraphrasis.

Ecquid de hominum genere in diem vivente sentias? Annon modo dicas hunc esse aliquem, & alicujus pretii, modo nullum esse nulliusque pretii? Etenim homines sunt umbra, imo umbræ somnium, nempe minus quiddam quam umbra quæ nihil est. At vero quum Jovis gratioso munere affulsit fœlicitas, tum stabile splendoris decus humanæ res obtinent, suavemque vitam exigunt homines. Quo rerum statu si frueris, Aristomenes, acceptum Deo feras. Cæterum heroina dilectissima, mater Ægina, urbem hanc Aristomenis tuam cognominem tuæ curæ commissam suo populo liberam serva, cum reliquis ejus patronis, Jove generis authore, Æaco insulæ rege, ejusque posteris, Peleo præstantissimo, Telamone & Achille heroibus magnis.

NOTÆ.

136 Σκιᾶς ὄναρ] Vicit hac similitudine, Erasmi judicio, Pindarus Homerum, qui Il. Z. Foliis defluentibus arborum comparat. Reprehenderunt aliqui Pindarum, ut notat Schol. quod Encomio querelam inseruerit; quibus reponit Schmid. Eos non perspexisse consilium Poëtæ; Aristomenem nempe eum velle admonere de modestia, ne fortuna præsente insolescere incipiat; verum ex pietate remunerationem διόσδοτον impetret. Quæ ad Theologum pertinent, non Poëtam. Sane ii, qui id objiciunt, docendi sunt, quæ sit Natura Poëseως Pindaricæ; imo minus attente Poëtam legisse censendi sunt, qui hujusmodi γνώμαις abundat. 144 Κρείσσῳ] MS. γ. leg. κἀγαθῷ.

Ἐπάμεροι, τί δὲ τίς; τί δ' οὔτις;] τῶν ἐφημέρων ἀνθρώπων, τί ἄν τις εἴποι; ὅτι ἐστὶ τίς. ἢ πάλιν, ὅτι οὐκ ἐστι. ταχέως μὲν γάρ ἐστιν εἰπεῖν, ὅτι τὶς οὗτος. ταχέως δὲ, ὅτι οὐδεὶς, διὰ τὴν μετάπτωσιν τῶν πραγμάτων. διὰ τοῦτο δὲ καὶ ἐπιφέρει, ὅτι σκιᾶς ὄναρ ἄνθρωποι, εὖ τῇ ἐμφάσει χρώμενος. ὡς ἄν τις εἴποι τοῦ ἀσθενοῦς τὸ ἀσθενέστερον. οὐ γὰρ σκιὰ ἀνθρώπου ὄναρ ἐστὶν, ἀλλὰ σκιᾶς ἀνθρώπου, ἢ οὕτως. ἐπάμεροι ὦ ἄνθρωποι. τίς ἐστιν ὁ δοκῶν εἶναι καὶ μέγας καὶ πλούσιος; τίς δὲ ὁ νομιζόμενος οὐδεὶς καὶ εὐτελής; ὀνείρατα σκιᾶς ἐσμὲν οἱ ἄνθρωποι. [Ἀλλ' ὅταν αἴγλα διόσδοτος ἔλθῃ.] ἀλλ' ὅταν ἐκ Διὸς δεδομένη αἴγλη ἐπέλθῃ, τουτέστιν, ὅταν ὁ Ζεὺς ἐπιλαμπρύνῃ, ἡδὺς ὁ βίος γίνεται τοῖς ἀνθρώποις. ὁ δὲ νοῦς. ἀλλ' ὅταν αἴγλη τὶς καὶ φῶς ἐκ θεοῦ παραγένηται, λαμπρὸν φέγγος ἔπεστι κατὰ τῶν ἀνθρώπων, καὶ προσηνὴς ὁ βίος καὶ ἡ ζωή. ἐπιμέμφονται δέ τινες τῷ Πινδάρῳ ὅτι ἐγκώμιον γράφων, θρηνεῖ τὸν ἀνθρώπινον βίον. [Αἴγινα φίλα μᾶτερ.] τὸν λόγον πρὸς τὴν ἡρωΐδα ἀπέστρεψεν. ἀφ' ἧς καὶ ἡ νῆσος. ὁ δὲ νοῦς. ὦ προσφιλεστάτη μῆτερ Αἴγινα, τὴν ὁμώνυμόν σοι πόλιν φύλαττε, καὶ παρέπεμπε σὺν ἐλευθερίᾳ. φύλαττε δὲ σὺν τῷ Διῒ καὶ τῷ βασιλεῖ Αἰακῷ, καὶ τοῖς ἐξ αὐτοῦ ἥρωσιν. ἢ οὕτω. τοῦτο ἐκ τοῦ χοροῦ λέγοιτο ἄν. ὥστε τὴν Αἴγιναν, μητέρα τῶν χορευόντων λέγεσθαι. ἐλευθέρῳ δὲ στόλῳ. ἀντὶ τοῦ ἐλευθέρᾳ στάλσει ἢ στάσει καὶ σχήματι μὴ ταπεινουμένην ὑπ' ἄλλοις. [Αἴγινα φίλα μᾶτερ.] προσφωνεῖ τῇ ἡρωΐδι.

Τέλος τῆς ὀγδόης τῶν Πυθίων εἰδῶν.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΕΝΝΑΤΟΥ ΕΙΔΟΥΣ.

ΤΗΣ ἐννάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ιε'. Τὸ α', ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ β', τροχαϊκὸν τρίμετρον καταληκτικὸν εἰς ἴαμβον καταλήγον. Τὸ γ', Ἀρχιλόχειον, ὅμοιον τῷ, Ερασμονίδα † Χαρμόλαε. Τὸ δ', πενθημιμερὲς δακτυλικόν. Τὸ ε', τὸ αὐτὸ τῷ γ'. ἀλλὰ τοῦτο δωδεκάσημον. τὸ δὲ γ', ἑνδεκάσημον. Τὸ ς', δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον. Τὸ ζ', δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος ἀκατάληκτον. Τὸ η', δακτυλικὸν πενθημιμερές. Τὸ θ', τρίμετρον δακτυλικὸν ἀκατάληκτον. Τὸ ι', δακτυλικὸν πενθημιμερές. Τὸ ια', τὸ αὐτὸ τῷ γ', καὶ ε'. Τὸ ιβ', δακτυλικὸν πενθημιμερές. Τὸ ιγ', τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. Τὸ ιδ', τὸ αὐτὸ τῷ γ'. Τὸ ιε', ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον.

† Ed. Brub. ad marg. Χαρίλαε.

Περὶ τῶν κώλων τῆς ἐπῳδοῦ τοῦ αὐτοῦ εἴδους.

Η δὲ ἐπῳδὸς, κώλων ἐστὶ, ιδ'. Τὸ α', Πινδαρικόν. ἔστι δὲ ἐγκωμιολογικόν. Τὸ β', δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ γ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ', πενθημιμερὲς δακτυλικόν. Τὸ ε', ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς', Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ ζ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η', ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ θ', Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀνακλώμενον. Τὸ ι', Πινδαρικόν. παρὰ τὸ πρῶτον, Σαπφικὸν καὶ ἰαμβέλεγος. Τὸ ια', ἰαμβέλεγος, μεταπεθεικὼς τὴν πρώτην ἐπὶ τὴν τελευταίαν συλλαβήν. Τὸ ιβ', τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. Τὸ ιγ', δακτυλικὸν πενθημιμερές. Τὸ ιδ', ὅμοιον τῷ πρώτῳ.

Περὶ τῆς ἐπιγραφῆς.

Γράφει τῷ προειρημένῳ τὴν ᾠδὴν, νικήσαντι τὴν εἰκοστὴν ὀγδόην Πυθιάδα. ἐνίκησε μέν τοι καὶ στάδιον. τῇ λ. Πυθιάδι. οὐ φαίνεται δὲ ὁ Πίνδαρος ταύτης τῆς νίκης μνημονεύων. ἴσως ὅτι προφθάσας, τῆς εἰκοστῆς ὀγδόης, ἔγραψεν. [Ἄλλως.] γράφεται Τελεσικράτει Κυρηναίῳ, νικήσαντι τὴν κη'. Πυθιάδα, ὁπλίτῃ. τῇ δὲ λ'. στάδιον. παρὸ δὴ, οὐ μνημονεύει τῆς ἐν τῷ σταδίῳ νίκης. τούτου δὲ ἀνάκειται ἐν Δελφοῖς ἀνδριὰς, ἔχων κράνος. ἐκ προγόνων δὲ ἐστὶ δρομεύς. Ἀλεξίδαμον γάρ φησιν αὐτοῦ εἶναι πρόγονον Λίβυν. ἐλθόντα ἐπὶ τὴν Ἀνταίου θυγατέρα, καὶ ἀγωνισάμενον. πολλοὶ δὲ ταύτης μνηστῆρες.

Ratio vero metrica hæc est:

	στροφὴ & ἀντιστροφή.		ἐπῳδός.
1.	υ υ - - - υ υ - υ υ - -	1.	- - υ υ - υ υ - - - υ υ
2.	- υ - - - υ - - - υ υ -	2.	- υ υ - υ υ - υ
3.	υ - υ υ - υ υ - -	3.	- υ - - - υ - -
4.	- υ υ - υ υ -	4.	- υ υ - υ υ -
5.	- - υ υ - υ υ - -	5.	- υ - - - υ υ -
6.	- υ - - - υ υ -	6.	υ υ - - - υ -
7.	υ υ - - - υ - -	7.	- υ - - - υ - -
8.	- υ υ - υ υ -	8.	- υ - - - υ υ -
9.	- υ υ - υ υ - υ	9.	υ υ - - - υ -
10.	- υ υ - υ υ -	10.	- υ - - - υ υ - υ υ -
11.	- - υ υ - υ υ - -	11.	- υ - - - υ υ - υ υ - -
12.	- υ υ - υ υ -	12.	- υ - - - υ -
13.	- υ - - - υ -	13.	- υ υ - υ υ -
14.	- υ - - - υ -	14.	- υ - - - υ υ - υ υ - -
15.	- - υ - - - υ - -		

Quid de κώλῳ 9. Stroph. ſentiendum, non liquet. Neque enim cum Schmidio plurima κῶλα mutare ad libitum placet. Edidimus fere illud ex MS. γ. quia ad idioma Pindaricum propius accedere videbatur. Nec tamen ſibi per omnia conſtat. Quinetiam nec de 2. στροφ. convenit, neque plane 7. quod eſt ὑπερκατάληκτον, τῷ γ.

ΤΕΛΕΣΙ-

ΤΕΛΕΣΙΚΡΑΤΕΙ ΚΥΡΗΝΑΙΩ, ΟΠΛΙΤΟΔΡΟΜΩ.

ΑΡΜΑΤΙ.

ΕΙΔΟΣ Θ'.

TELESICRATI CYRENÆO, ARMATO-CURSORI.

CURRU.

ODE IX.

ARGUMENTUM.

Telesicratem Cyrenæum laudat à Patria, à præsenti victoria, aliquot etiam aliis, à consequentibus victoriam, & à Majorum historia.

στροφὴ α'. κώλων ιε'.

Εθέλω χαλκάσπιδα Πυθιονίκαν
Σὺν βαθυζώνοισιν ἀγγέλλων Τελεσι-
κράτη Χαρίτεσσι γεγωνεῖν,
Ολβιον ἄνδρα, διω-
ξίππου στεφάνωμα Κυράνας.
Τὰν ὁ χαιτάεις ἀνεμο-
σφαράγων ἐκ Παλίου κόλ-
πων ποτὲ Λατοΐδας
Αρπασεν, ἤνεγκέ τε χρυσέῳ
Παρθένον ἀγροτέραν
Δίφρῳ· τόθι νιν πολυμήλου

Μεταφρ.

Volo ærei-clypei-gestatorem Pythicū-victorem
Cum pulchre-cinctis prædicans Telesicratem Gratiis celebrare,
Felicem virum, eque-
stris coronamentum Cyrenes.
Quam comatus vento-perstre-
pentibus ex Pelii fini-
bus quondam Latoides
Rapuit, vexitque *in Libyam* aureo
Virginem venatricem
Curru: ubi eam pecorosæ

PARAPHRASIS.

Nunc fert animus Telesicratem, qui æneo clypeo instructus gravi cum armatura cursum armatum in Pythiis vicit, victorem denunciare, meoque hymno quem Gratiæ bene cultæ venustum reddunt alta voce celebrare virum illum successu beatum, & ornamentum ac decus equestri arti addictæ & insignis Cyrenes urbis, quæ nomen mutuata est ab heroide Cyrene; quam coma egregius Latonæ filius Apollo quondam rapuit, & ex monte Pelio ventorum vehementia perstrepente, cum esset adhuc virgo & venationi indulgeret aureo in curru abduxit hunc in Libyæ pecorosum

NOTÆ.

1 Χαλκάσπιδα] Æreum Clypeum gestantem, & Bellicosum. Posteriore significatu Ol. 9. sumitur. In priore, hoc loco, ea ratione, qua Schol. interpret. Hoc vero genus armati certaminis introductum fuit primo in Olympiis, Olympiade 65. & quidem cum plausu, quod videretur illa exercitatio ad res bellicas idonea, teste Pauf. 2 Βαθύζωνος idem ac βαθύκολπος alibi. Pal. C. hab. ἀγώνων pro ἀγγέλλων, & Scholia ejus exponunt, addito ἕνεκα. Plurimæ Edd. ut & MS. γ. hab. ἀγγέλων. Quæ mutatio metri gratia facta est, ut inspicienti quæ Schol. hab. de κώλοις στροφ. patebit. 3 Γεγωνεῖν] Poëtæ nostro semper est, Celebrare, plena quasi voce Collaudare. Schmid. 4 Διωξίππου] Totam regionem, ἐλάσιππον ἔθνος, dixit P. 5, 113. Significat vero, Bellicosi, ut, & P. 4, 2. Eadem urbs εὔιππος dicitur, & Θήβα πλάξιππος, Ol. 6, 145. 6 Ανεμοσφαράγων] Σφάραγγος vel σφάραγος est, Guttur, item sonus ex Gutture editus. Lonicer. redd. Stridente vento: Phil. Ex flatuoso sinu Pelii. 9 Ενεγκε leg. Pal. C. Schmid. ἅρπασ' ἔνεγκε, ob metrum. 11 MS. γ. Νῦν pro νιν.

[Εθέλω χαλκάσπιδα Πυθιονίκαν.] χαλκάσπιδα φησὶν, ὅτι σὺν ἀσπίσι χαλκαῖς, τὸν ὁπλίτην ἔτρεχον δρόμον. τὸ ἑξῆς δέ. [Σὺν βαθυζώνοις Χάρισιν·] ὁ νοῦς. βούλομαι τὸν Πυθιονίκην Τελεσικράτην ἐγκωμιάζων, σὺν ταῖς βαθυζώνοις Χάρισιν ἀνυμνεῖν, εὐδαιμονέστατον ἄνδρα, στέφανον καὶ δόξαν ὄντα τῆς ἱππικῆς Κυρήνης. [Τὰν ὁ χαιτάεις.] εἰς τὴν ἡρωΐδα, ἀφ' ἧς τοὔνομα ἔλαβεν ἡ πόλις Κυρήνη, μετάγει τὸν λόγον. ἀπὸ δὲ Ηοίας Ησιόδου, τὴν ἱστορίαν ἔλαβεν ὁ Πίνδαρος. ἧς ἡ ἀρχή· Ηοίη Φθίη Χαρίτων ἄπο κάλλος ἔχουσα, Πηνειοῦ παρ' ὕδωρ καλὴ ναίεσκε Κυρήνη. ὁ δὲ νοῦς. ἣν τινα τὴν Κυρήνην ὁ κομήτης Απόλλων, ἐκ τῶν ὑψηλῶν τοῦ Πηλίου κόλπων ἥρπασε, καὶ ἤνεγκεν χρυσῷ δίφρῳ τὴν θηρευτικὴν καὶ ἀγρευτικὴν παρθένον. [Τόθι νιν πολυμήλου.] ἔνθα αὐτὴν τῆς πολυπροβάτου καὶ εὐκάρπου γῆς ἔθηκε δέσποιναν, καὶ οἰκεῖν θάλλουσαν καὶ γανυμένην, τὴν ἐπήρατον τρίτην μοῖραν τῆς ἠπείρου γῆς. τουτέστι, τὴν Λιβύην. τρίτην δὲ εἶπε ῥίζαν γῆς τὴν Λιβύην, διὰ τὸ μερίζειν τινὰς ὅλην τὴν οἰκουμένην εἰς Ασίαν, καὶ Εὐρώπην, καὶ Λιβύην. εἰς ἔπαινον δὲ καὶ τοῦτο εἴληφε. τουτέστιν, ὅτι ἡ Λιβύη τρίτον ἐστὶ τῆς οἰκουμένης καθ' αὐτὴν, καὶ οὐ τῇ Ασίᾳ συμπεπλεγμένη.

[Υπέδεκτο

Καὶ πολυκαρποτάτας
Θῆκε δέσποιναν χθονὸς,
Ῥίζαν ἀπείρου τρίταν
Εὐήρατον, θάλλοισαν οἰκεῖν.

ἀντιστροφὴ α'. κώλων ιε'.

Ὑπέδεκτο δ' ἀργυρόπεζ' Ἀφροδίτα
Δάλιον ξεῖνον, θεοδμάτων ὀχέων
Ἐφαπτομένα χερὶ κούφα·
Καί σφιν ἐπὶ γλυκεραῖς
Εὐναῖς ἐρατὰν βάλεν αἰδῶ,
Ξυνὸν ἁρμόζοισα θεῷ
Τε γάμον μιχθέντι, κούρᾳ θ'
Ὑψέος εὐρυβία·
Ὃς Λαπιθᾶν ὑπερόπλων
Τουτάκις ἦν βασιλεὺς,
Ἐξ Ὠκεανοῦ γένος ἥρως
Δεύτερος· ὅν ποτε Πίν-
δου κλεενναῖς ἐν πτυχαῖς

Et maxime frugiferæ
Fecit dominam terræ,
Ut radicem continentis-terræ tertiam
Amabilem, florens inhabitaret.

Μεταφη.

Excepit vero argentipes Venus
Delium hospitem, divinitus-factos currus
Attingens manu leviter:
Et ipsis in dulcibus
Cubilibus amabilem immisit verecundiam,
Communis adaptans Deo-
que nuptias commixto, filiæque
Hypsei late-potentis:
Qui Lapitharum armis-superborum
Tunc erat rex,
Ab Oceano *quoad* genus heros
Secundus: quem olim Pin-
di celebribus in vallibus

PARAPHRASIS.

& fœcundum locum, ut virescentem & optabilem hanc regionem, quæ orbis terrarum est pars tertia, incoleret, & sua sub ditione ac sceptro domina teneret. Quo cum pervenissent, formosa Venus cujus hic est hortus, quæque nuptias curat, ortum in Delo hunc Deum hospitio excepit, currum quo delati fuerant divinitus fabricatum manu leviter attingens: & fecit ut cum verecundia quæ in novis nuptiis est amabilis, dulcem inchoarent concubitum, connubio jungens Deum cum hac filia Hypsei præpotentis, qui tunc Lapitharum superborum rex erat, Heros ab Oceano generatione secundus: quandoquidem Oceanus Peneum, Peneus Hypseum genuit ex Creüsa Naiade Nympha Telluris filia,

NOTÆ.

12 Πολυκαρποτάτας] Quo respectu Cyrenen etiam, partem Libyæ, vocavit εὐδαίμονα P. 4, 495. Et Herod. Melpom. scribit in Cyrenaica per octo menses fructus colligi. 14 Ῥίζαν] Notat Libyam esse tertiam radicem Orbis habitati, cujus notitia ex Cyrenes notitia, tanquam ex radice Græcis enata fuerit. Verba sunt Schmidii. Ideo potius Cyrene dicenda esset Radix, non Libya; quod & vult autor laudatus, si conferas quæ postea annotat, Nempe, præter διοσὰς ἀπείρους, quas vocat Sophocles Trachin. Europam & Asiam, Cyrenen cognitam, ῥίζαν quasi extitisse detegendæ illo tempore Africæ. Potius, ad similitudinem Radicis Poëta respexit, Terramque deorsum radicatam. Τριτάταν hab. Edd. Schmid. vero ex Pal. C. reposuit τρίταν, ut & hab. γ. 15 Εὐήρατον] Schmid. ad Cyrenen refert, ut antea P. 5. Cyrene Γλυκὺς κᾶπος Ἀφροδίτας fuisse memoratur. Θάλλοισαν] Ut ad Cyrenen puellam referatur, non ad Terram Libycam, vel Cyrenen Urbem. 16 Δὲ hab. Schmid. 17 Δάλιον ξεῖνον Alii. Lon. & Aret. ex depravato loco Schol. † legunt, δόλιον ξεῖνον, quod, uti interpretantur, dolose cum Cyrene egerit, eam rapiens: tametsi βίαιον potius appellandum Lon. fateatur. 18 Χερὶ Commune. Alii. 22 Schol. leg. μιχθέντα, & refert ad γάμον. 24 Λαπιθᾶν Edd.

[Ὑπέδεκτο δ' ἀργυρόπεζ' Ἀφροδίτη.] Ζητεῖται διατί καὶ ἐνταῦθα ἡ Ἀφροδίτη εὑρίσκεται συμπαρεπέμπουσα τὸν Ἀπόλλωνα· καὶ ἐφαπτομένη τοῦ δίφρου. Καὶ ἤτοι ὅτι μετέρχεται τὰ γαμήλια ἡ θεὸς ἔργα. Ὅμηρος· Ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο. ἢ ὡς αὐτός φησι, κῆπος Ἀφροδίτης, ἡ Λιβύη. καὶ ἴσως, διὰ τὸ ἐπέραστον τῆς χώρας. οὐκ ἔχομεν γὰρ ἐξ ἱστορίας δεῖξαι ὅτι ἱερὰ ἦν ἡ Λιβύη τῆς θεοῦ. ὁ δὲ νοῦς. ὑπεδέξατο δὲ ἡ λευκόπηχυς Ἀφροδίτη τὸν † δόλιον ξένον· τουτέστι, τὸν Ἀπόλλωνα. κούφως καὶ ἠρεμαίως τῶν θείων ὀχημάτων τῇ χειρὶ αὐτῆς ἁπτομένη. ξένον δὲ ἔφη τῇ Κυρήνῃ τὸν Ἀπόλλωνα, διὰ τὸ, νῦν πρῶτον ἐπιδημῆσαι. διὰ τιμῆς δὲ ἄγουσι τὸν θεόν. [Καί σφιν ἐπὶ γλυκεραῖς εὐναῖς.] καὶ δὴ αὐτῆς ταῖς γλυκεραῖς κοίταις, ἐπέραστον ἔβαλεν αἰδῶ, κοινὸν ἁρμόζουσα τὸν μιχθέντα γάμον τοῦ θεοῦ, καὶ τῇ τοῦ Ὑψέως κόρῃ Κυρήνῃ. [Ὃς Λαπιθᾶν ὑπερόπλων.] ὅστις ὁ Ὑψεὺς τῶν ἀνδρειοτάτων Λαπιθῶν βασιλεὺς ἐτύγχανεν ἐξ Ὠκεανοῦ δεύτερος κατάγων τὸ γένος. ἐξ Ὠκεανοῦ γὰρ Πηνειὸς ὁ ποταμός. ἀφ' οὗ ἐγένετο ὁ Ὑψεύς. [Ὃν ποτε Πίνδου κλεενναῖς ἐν πτυχαῖς.] τοῦ Θετταλικοῦ ὄρους. Πίνδος γὰρ, ὄρος Περραιβίας. ἡ δὲ Περραιβία, τετράπολις τῆς Θεσσαλίας. τὸ δὲ [Ναῒς εὐφρανθεῖσα,] ἀντὶ τοῦ παννυχίσασα διὰ τὴν εὐφροσύνην. Ναΐδος δὲ καὶ Πηνειοῦ, τὸν Ὑψέα, Φερεκύδης· Ἀκέσανδρος δὲ, Φιλλύρας τῆς Ἀσωποῦ καὶ Πηνειοῦ, ἱστορεῖ τὸν Ὑψέα. ὁ δὲ νοῦς. ὅντινα τὸν Ὑψέα ποτὲ ἐν ταῖς ἐξοχαῖς τῆς Πίνδου ἡ Ναῒς εὐφρανθεῖσα τῇ τοῦ Πηνειοῦ μίξει, ἐγέννησε Κρέουσα, Γῆς οὖσα θυγάτηρ.

[Ὁ δὲ,

Ναῒς εὐφρανθεῖσα Πη-
νειῦ λέχει Κρείοισ' ἔτικτεν,

ἐπῳδὸς α'. κώλων ιδ'.

Γαίας θυγάτηρ. Ὁ δὲ τὰν εὐώλενον
Θρέψατο παῖδα Κυράναν·
Ἁ μὲν, οὔθ' ἱστῶν παλιμβά-
μυς ἐφίλασεν ὁδοὺς,
Οὔτε δείπνων οἰκοριᾶν
Μεθ' ἑταιρᾶν τέρψιας·
Ἀλλ' ἀκόντεσσίν τε χαλκέοις
Φασγάνῳ τε μαρναμένα,
Κεράϊζεν ἀγρίους
Θῆρας· ἦ πολλάν τε καὶ ἀσύχιον
Βουσὶν εἰράναν παρέχοισα πατρῴαις·
Τὸν δὲ σύγκοιτον γλυκὺν

Nais delectata Pe-
nei lecto Creusa peperit,

METAPH.

Terræ filia. Ille autem lacertis-decoram
Educavit filiam Cyrenen:
Quæ quidem neque telarum retrogra-
das amavit vias,
Neque conviviorum domesticas
Inter socias delectationes:
Sed jaculisque æneis
Gladioque pugnans
Conficiebat feras
Bestias: multam profecto & tranquillam
Bobus securitatem præbens paternis:
Et qui *alias est* concubitor suavis

PARAPHRASIS.

Penei complexu olim in inclytis Pindi montis vallibus oblectata. Porro Hypseus filiam Cyrenen formosam apud se educavit. Sed hæc neque telas texendi, neque jucunda convivia cum sociis matribusfamilias agitandi studio tenebatur. Verum in venatione tota occupabatur, & jaculis ærea cuspide instructis, gladioque feras bestias oppugnabat & conficiebat, ut deletis illis paternæ boves intrepide & pacate pascerentur, nihilque detrimenti patris armenta caperent. Totamque per noctem, quo potissimum tempore solent grassari feræ, venata, sub auroram, quo tempore se sua in lustra feræ recipiunt, brevi eoque suavi somno

NOTÆ.

30 Κρείοισ' (Ita enim leg. Exemplar) Scholia Pal.C. exponunt, βασίλισσα, Domina vel Regina. 33 Παλιμβάμυς pro παλιμβάμως, ex βάινω seu βαίνω Remeantes, Reciproce regredientes. Pulcherrima descriptio operis textorii. Quod ad telam Penelopes Poëtam respexisse Lon. putat, nihil huc facit, ut recte Schmid. 35 Οἰκουριᾶν Alii. Nos Ald. & γ. sequimur. Οἰκογενῶν vel οἰκοτρόφων sunt conjecturæ Schmidii, absque causa. Schmid. annotat ad hunc locum. Genit. Pluralem non tantum Dorice in αν formatum, sed etiam Circumflexum pro οἰκορίων. Quæ observatio ex hoc loco, uti ei videtur, constat. Cæterum præterea loci ad firmandum Canonem istum allegati sunt isti. P. 12. 36. γειτόνων χαρπαλιμᾶν, pro χαρπαλίμων, & N. 3, 67. ἀρεταῖ μυχιᾶν pro μυχίων. Proinde Dores circumflectunt Genetivos Plurales Adjectivorum, pari ratione ac Substantivorum. Est vero juxta Lexicon Pindaricum Οἰκίειος, ὁ τοῦ οἴκου ἄρχων καὶ φύλαξ. 37 Ακόντεσί τε Alii. 39 Κεράϊζεν MS. γ. Κεράϊζεν est, Cornibus Conficiebat. 41 Εἰράναν leg. Dor. cum MS. γ. Εἰρήνην Comm. Alii. Quæ hic iterum adfert Lon. Poëtam respexisse ad Penelopen, cujus proci greges Ulyssis absumpserunt, quum contra Cyrene procorum secura, armentis paternis hanc calamitatem non attraxerit, frivola sunt. Schmid. 42 Lon. vult. ἀσύνδετον esse, σύγκοιτον, γλυκὺν, παῦρον, ῥέποντα πρὸς ἀῶ· quum ad ὕπνον per ἐπεξήγησιν inferatur σύγκοιτον γλυκὺν, quod videlicet Somnus alias dulcis concubitor esse soleat: reliqua duo epitheta, & quantitatem & tempus determinant, quod videlicet Somnum ῥέποντα πρὸς ἀῶ, h. e. Matutinum, παῦρον, seu Exiguum in palpebris insumpserit, hoc est, quod somno antelucano parum usa, ante auroram ad venationes exierit.

Ὁ δὲ τὰν εὐώλενον θρέψατο.] ὁ δὲ Ὑψεὺς τὴν λευκόπηχυν Κυρήνην ἀνέθρεψεν. ἔσχε δὲ ταύτην ἐκ Χλιδανόπης. οὐ μόνον δὲ Κυρήνην ἔσχεν, ἀλλὰ καὶ Ἀλκαίαν. [Ἁ μὲν, οὔθ' ἱστῶν παλιμβάμυς.] ἀντὶ τοῦ, παλιμπορεύτους. αἱ γὰρ ὀρθαὶ ὑφαίνουσαι, περιπορεύονται, καὶ πάλιν τὸν αὐτὸν πορεύονται τόπον. καὶ ὑποστρέφουσιν. ὡς καὶ Ὅμηρος· Ἱστὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν. [Οἰκουριᾶν] δὲ, ἤτοι οἰκοδεσποινῶν. οἱονεὶ τῶν ἤδη γεγαμημένων καὶ ἀρχουσῶν οἰκιῶν. ὁ δὲ νοῦς. αὕτη μὲν οὖν ἡ Κυρήνη, οὔτε τὰς παλιμπορεύτους ἐφίλησε τῶν ἱστῶν ὁδοὺς, οὔτε τῶν δείπνων τὰς τέρψεις. ἢ τῶν ἑταιρῶν τῶν τοῦ οἴκου διασωζουσῶν. ἀπὸ κοινοῦ τὸ, οὐχ εἵλετο τὰς τέρψεις. [Ἀλλ' ἀκόντεσσί τε χαλκέοις.] ἀλλὰ χαλκοῖς δόρασι καὶ ξίφει μαχομένη, ἐπόρθει καὶ ἀνῄρει τοὺς ἀγρίους θῆρας. πολλὴν ἡσυχίαν καὶ εἰρήνην ταῖς πατρῴαις παρέχουσα βουσίν. ἀναιρουμένων γὰρ τῶν ἀγρίων θηρῶν, εὐμαρῶς καὶ ἀδεῶς τὰ ἥμερα τῶν ζώων νέμεται. [Τὸν δὲ σύγκοιτον γλυκύν.] καὶ τὸν ἑωθινὸν δι' ὀλίγον ἐπερχόμενον τοῖς βλεφάροις ἡδὺν ὕπνον ἀφανίζουσα καὶ ἀναλίσκουσα. τὸ γὰρ [Ῥέποντα,] ἀντὶ τοῦ, ἐπερχόμενόν φησιν. ἔξωθεν δὲ προσυπακουστέον τὸ ἐθήρα. ὁ δὲ λόγος. οὕτως ἐμμανῶς εἶχε περὶ τὴν θήραν, ὡς καὶ περὶ ἡμέρας θηρᾶν, καὶ μὴ κοιμᾶσθαι τὸν ἑωθινὸν ὕπνον. [Ἄλλως.] τοῦτό φησιν, ὡς τὰς νύκτας ὅλας περὶ τὰ κυνηγέσια γινομένης αὐτῆς, πρὸς ὄρθρον δὲ κοιταζομένης. οὗτος γάρ ἐστιν, ὁ πρὸς τὴν ἕω ῥέπων ὕπνος. οἱ δὲ, ἄτοπον εἶναι λέγουσι δι' ὅλης νυκτὸς καὶ μέχρι τοῦ ἑωθινοῦ, θηρᾶν αὐτήν. οὐ γὰρ οἷόν τε νυκτὸς σκότους ὄντος, θηρᾶν, ἀλλ' εἰ ἄρα περὶ τὸν ὄρθρον.

Παῦρον ἐπὶ βλεφάροις
Ὕπνον ἀναλίσκοισα, ῥέποντα πρὸς ἀῶ.

στροφὴ β'. κώλων ιε'.

Κίχε νιν λέοντί ποτ' εὐρυφαρέτρας
Ὀμβρίμῳ μούναν παλαίοισαν ἄτερ ἐγ-
χέων ἑκάεργος Ἀπόλλων.
Αὐτίκα δ' ἐκ μεγάρων
Χείρωνα προσήνεπε φωνᾷ·
Σεμνὸν ἄντρον, Φιλλυρίδα,
Προλιπὼν, θυμὸν γυναικὸς,
Καὶ μεγάλαν δύνασιν
Θαύμασον, οἷόν περ ἀταρβεῖ
Νεῖκος ἄγει κεφαλᾷ,
Μόχθου καθύπερθε νεᾶνις
Ἦτορ ἔχοισα, φόβῳ
Δ' οὐ κεχείμανται φρένες·
Τίς νιν ἀνθρώπων τέκεν;
Ποίας δ' ἀποσπασθεῖσα φύτλας

ἀντιστροφὴ β'. κώλων ιε'.

Ὀρέων κευθμῶνας ἔχει σκιοέντων;

Exiguum in palpebris
Somnum impendens, vergentem ad auroram.

METAPH.

Invenit eã aliquando lata-pharetra-instructus
Leone *cum* robusto solam luctantem sine ja-
culis longe-jaculationem-exercens Apollo.
Statim vero ex ædibus
Evocatum Chironem allocutus-est sermone:
Venerando antro, Phillyride,
Relicto *egressus*, animum fœminæ,
Et magnum robur
Admirare; qualem intrepido
Contentionem prensat capite,
Supra laborem puella
Cor habens; timore
Vero non fluctuant præcordia.
Quis eam hominum genuit?
Qua & avulsa ex stirpe

METAPH.

Montium recessus habitat umbrosorum?

P A R A P H R A S I S.

palpebras claudenti in lecto indulgebat: deinde ad studia sua redibat. Quibus intentam, Apollo latæ pharetræ gestator, eminusque sagittas emittens, aliquando invenit, viditque solam & inermem cum impetuoso leone luctantem. Quod miratus ille, Chironem ex ædibus ilico evocavit, dixitque. O Philyræ fili Chiron ex venerando antro tuo egredere quæso, & fœminæ præsentem animum, ingensque robur contemplatus, mirare quam intrepido capite, quam audacter cum leone certet puella, gerens animum labore majorem, utque nullo metu fluctuant & perturbantur ejus præcordia. Quis quæso est pater, quæ mater hujusmodi puellæ, quæ in opacis, umbrosorum montium latibulis habitat,

N O T Æ.

44 Ἀναλίσκοισα] Lon. Redemit. Quoad Syntaxin, non opus est subaud. ἤθελε cum Schol. Melius enim refertur Participium ad κιθάριζεν, δηλονότι παρέχουσα εἰρήνην, καὶ ἀναλίσκοισα ὕπνον. Ῥέπον leg γ. attamen -τα recens addidit manus. 45 Λέοντι Schmid. 46 Ὀβρίμῳ, Alii. Παλαιοίσαν leg. Schmid. 51 Καὶ θυμὸν MS. γ. 53 Omitt. περ Edd vulg. 54 Νεῖκος] Schol. exponit, νίκην & φιλοτιμίαν, unde, ut & Pal. C. habet, cujus Scholia δόξαν φέρει interpretantur, νῖκος legisse videtur: quem secutus Lon. vertit, Victoriam. Adhuc vero erat certans Cyrene; ideoque certamen, non victoria, hic intelligendum est. Ubi jam victoria est, ut recte Schmid. ibi absentiam terroris & metus mirari non est opus. Lon. & Portus secuti Scholiasten, κεφαλᾷ in Dativo accipiunt, dum ille reddit, Qualem victoriam intrepido suo capiti parit: Hic vero, Quale periculum accersat suo intrepido capiti: Phil. & Stephanus in Casu sexto. Quale intrepido capiti sustineat certamen. 57 Κεχείμανται] Tempestate jactatæ, & vexatæ. Χεῖμα est Tempestas. 58 Τέκεν] Genuit vel Peperit. Τὸ τίκτειν commune est utrique sexui. 59 Ἀποσπασθεῖσα] Abstracta, & eo modo, quo surculi refracti pro insitione vel traduces, propagata. Φύτλα est, Genus, ortus, generatio.

[Κίχε νιν λέοντί ποτ'.] κατέλαβε δὲ ἐν τῷ Πηλίῳ ποτὲ τὴν Κυρήνην ὁ Ἀπόλλων, τῷ ἰσχυρῷ ἄνευ δόρατος μόνην διαμαχομένην λέοντι. καὶ Καλλίμαχος· Ἔνθα λέοντα Ὑψηὶς κατέπεφνε βοῶν σίνιν Εὐρυπύλοιο. [Σεμνὸν ἄντρον, Φιλλυρίδα, προλιπών.] τὸ σεμνόν σου σπήλαιον, ὦ κένταυρε, καταλιπὼν, ἐλθὲ καὶ θαύμασον τὴν ψυχὴν τῆς γυναικός. ὁποίαν νίκην ἐπάγει τῇ ἑαυτῆς κεφαλῇ ἡ νεᾶνις, τοῦ καμάτου ὑπερτέραν ἔχουσα τὴν ἑαυτῆς ψυχήν. οἱονεὶ, οὐ κάμνουσα, πρὸς τὸ καταπαλαῖσαι τὸν λέοντα. ἀλλ' οὐδὲ φόβῳ ἐχειμάσθησαν αὐτῆς αἱ φρένες. [Ἄλλως.] αὕτη ἀταρβὴς οὖσα, τὴν ψυχὴν ὑπερθεν ἔχουσα τοῦ μόχθου, τουτέστιν οὐ νικωμένη τῷ μόχθῳ, οἵαν φιλοτιμίαν ἐπάγει τῇ ἑαυτῆς κεφαλῇ. [Τίς νιν ἀνθρώπων τέκεν.] τίς δὴ ἀνθρώπων αὐτὴν ἐγέννησεν; ἀπὸ ποίας δὲ φύσεως καὶ γένους ἀποσπασθεῖσα καὶ γεννηθεῖσα, τῶν συμφύτων ὀρῶν τοὺς κευθμῶνας ἔχει, ἀντὶ τοῦ οἰκεῖ. ἡ δὲ μεταφορὰ, ἀπὸ τῶν κλάδων τῶν ἀποσπωμένων ἀπὸ τῶν φυτῶν.

[Γεύεται

Γεύεται δ' ἀλκᾶς ἀπειράντου. Ὁσία	Et gustat strenuitatem immensam. Fas *ne est*
Κλυτὰν χέρα οἱ προσενεγκεῖν;	Inclytam manum ei inferre?
Ἦ ῥα καὶ ἐκ λεχέων	Anne etiam è lectis
Κείρεν μελιηδέα ποίαν;	Demetere mellitam herbam?
Τὸν δὲ Κένταυρος ζαμενής,	Huic vero Centaurus valde-gravis,
Ἀγανᾷ χλιαρὸν γελάσαις	Placido blande ridens
Ὀφρύϊ, μῆτιν ἑὰν	Supercilio, consilium suum
Εὐθὺς ἀπαμείβετο· Κρυπταὶ	Statim respondendo-exposuit: Occultæ
Κλαΐδες ἐντὶ σοφᾶς	Claves sunt sapientis
Πειθοῦς ἱερᾶν φιλοτάτων	Suadelæ sacrorum amorum
Φοῖβε· καὶ ἔν τε θεοῖς	O Phœbe: & inter Deos
Τοῦτο κἀνθρώποις ὁμῶς,	Hoc & Homines pariter,
Αἰδέοντ' ἀμφανδὸν ἁ-	Verecundantur palam dul-
δείας τυχεῖν τοπρῶτον εὐνᾶς.	ci frui primum cubili.

PARAPHRASIS.

tamque robusta est ut ausit immenso robore feram, & animalium robustissimum aggressa, cum eo congredi? Numquid fas est ei manus ad raptum injicere, ex ejusque jucundo concubitu prolem suscipere? Tum ei venerandus & magnanimus Centaurus Chiron, laxato blando supercilio modeste subridens, ilico quid sentiret respondit. Inquiris an liceat puellam rapere: in more est, Apollo, occultis verbis amorem suum patefacere: neque par est per raptum violenter, sed per facultatem persuadendi callide concubitum captare, & sacris Veneris initiari. Atque ea est pariter & apud Deos & apud homines verecundia, ut non ausint aperto sermone alter alterius amplexus postulare, iisque frui.

NOTÆ.

61 Γεύεται] Experitur, & immensi roboris specimen edit, Schmid. Ὁσία] sc. ἐστί. Schmid. vult esse Substantivum ἡ ὁσία. Res licita, ut Aristoph. Pluto, Κἀγὼ νομίζω πολλὴν ὁσίαν τοῦ πράγματος, & Od. Π. v. 423. Οὐδ' ὁσίη κακὰ ῥάπτειν ἀλλήλοισι. Verum Eustath. annotat ad locum laudatum, esse ἔλλειψιν vocis βουλὴ vel δίκη. Sed ut fateamur, quod nobis videtur, cum apud Schol. legas ὅσια, ubi exponit Κλαΐδες, ita & hic legendum ex more Pindarico, qui Plurali sæpius utitur pro Sing. 62 Χεῖρα Codd. impressi præter Schmid. 64 MSS. γ. & Pal. C. quem sequitur Schmid. hab. κεῖραι. Scholion pro Textu. Κεῖρεν est Dor. pro κείρειν. 66 Ἀγανᾷ] Lon. Nobili. Χλιαρὸν leg. Ald. & MSS. γ. & Pal. C. MS. γ. trib. primam seq. ε - huic χόλον. Χλιαρὸν γελάσαις idem est ac Χλιαρῶς γελάσας. Tepide ridens, vel subridens. Similiter dixit Apoll. l. 3. Νεκτάρεον μείδησε. Hom. Od. Ξ. ἁπαλὸν γελάσας· Sappho, Γελάσας ἱμερόεν· Hor. *Dulce ridere.* 68 Edd. hab. ἀμείβετο. Nos MS. γ sequimur. 69 Κλαΐδες] Aret. annotat, Chironem dehortari Apollinem tecto sermone à vi aperta, & suadere ut blandis verbis puellam ad amorem pelliciat. Sic per occultas claves intelligas, Tectum sermonem, quo aliquid aperitur & declaratur. Fusius hanc interpretationem legas in Paraphr. Quia in κλαΐδες corripi penultimam putarent Grammatici, à Pal. C. & aliis περιεσπᾶται. 70 Ἱερᾶν] Legitimorum, Magnorum. Ἱερὸς, ut & Sacer, pro Magno sæpe accipitur. Schmid. Aliter Paraph. 73 Ἀμφανδὸν pro ἀναφανδὸν cum Schmid. legimus. Ἀμφαδὸν hab. Impressi & MS. γ.

[Γεύεται δ' ἀλκᾶς ἀπειράντου.] γεύεται δὲ καὶ ἐφάπτεται, ἀπείρου καὶ πολλῆς ἀνδρείας. οἷον ἰσχυρά ἐστιν. Ὅμηρος· Γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν. ἀντὶ τοῦ, πολεμήσωμεν. ἀπείρου δέ φησιν, ἀντὶ τοῦ πέρας οὐκ ἐχούσης διὰ τὸ μέγεθος. τὸ δὲ ἑξῆς, ἆρα ὅσιόν ἐστι τὴν χεῖρα προσενεγκεῖν, καὶ δρέψαι τὴν παρθενίαν αὐτῆς; ὁ γὰρ λόγος ἐρωτηματικὸς, παρ' Ἀπόλλωνος ἐν ἤθει λεγόμενος. ἆρα ὅσιόν ἐστι τὴν ἔνδοξον χεῖρα αὐτῇ ἐπενεγκεῖν, καὶ ἐκ τῶν κοιτῶν ἡδεῖαν βοτάνην ἀποκεῖραι; ἤτοι, διαπαρθενεῦσαι αὐτὴν, καὶ ἐξ αὐτῆς γεννῆσαι παῖδα. τοῦτο γάρ ἐστι, τὸ κεῖραι μελιηδέα ποίαν. ἢ μεταφορικῶς εἴρηκε τὴν ἀκμὴν, ἢ τὴν παρθενίαν, μελιηδέα ποίαν. [Τὸν δὲ, κένταυρος ζαμενής.] ζαμενὴς νῦν, ὁ σεμνός. ἢ ὁ ἰσχυρός. τὸν δὲ Ἀπόλλωνα εὐθὺς ὁ συνετὸς κένταυρος τῇ ἀγανεῖ ἑαυτοῦ ὀφρύϊ προσηνὲς καὶ ἡδὺ γελάσας, ἀνταπεκρίνατο. [Ἄλλως.] χλιαρὸν φησι, τὸ πολὺ καὶ κεχαλασμένον. χλιδὸν γὰρ λέγουσι τὸ πλῆθος. ἢ προσηνὲς, καὶ ἡδὺ, παρὰ τὸ χλιαρόν. τὰ μὲν γὰρ ἀπηνῆ, τοῖς ψυχροῖς παραβάλλουσι. τὰ δὲ προσηνῆ καὶ τερπνὰ, τοῖς θερμοῖς διὰ τὴν γνώμην διαχύσιν. οὕτως οὐκ ἐπιπολὺ γελάσας. οὐ γὰρ ὡς οἱ σκυθρωπάζοντες, συνηγμένας εἶχε τὰς ὀφρῦς. τὸ δὲ, [Μῆτιν ἑὰν,] ἀντὶ τοῦ, κατὰ τὴν ἑαυτοῦ διάνοιαν, οἱονεὶ ἐπιμελῶς διασκεψάμενος. ἵνα μὴ δόξωμεν αὐτὸν πολὺ καὶ ἄκαιρον γελάσαντα. [Κρυπταὶ κλαΐδες ἐντὶ σοφᾶς πειθοῦς.] ἐχεμύθως φησι, κρύπτει τοὺς λόγους, οὓς περὶ συνουσίας ἔοικε παρεγχειρεῖν ὁ Χείρων τὸν Ἀπόλλωνα. ἐπεὶ προεῖπεν ἐκεῖνος, ὅσια κλυτὰν οἱ Χεῖρα προσενεγκεῖν; ἢ οὕτως ἀποδοτέον, σὺ, Ἀπόλλων, ἐρωτᾷς με εἰ ὅσια κλυτὰν χεῖρά οἱ προσενεγκεῖν, ὁ πᾶν τὸ ἐσόμενον εἰδώς. μάντις γὰρ εἶ. ἀλλ' ἐπεὶ αἰσχυνόμεθα περὶ τούτων λέγειν, καὶ κρυπτῶς ταῦτα ἐνεργεῖται, καὶ σὺ αἰδούμενος με ἐρωτᾷς. ἐπίστασαι γὰρ μάντις ὤν. [Ἄλλως.] τῆς περὶ τὰς γυναῖκάς, φησι, πειθοῦς, ὦ Ἄπολλον, κρυπταί εἰσι τῶν ἱερῶν συνουσιῶν αἱ κλεῖς. ἐν θεοῖς γὰρ καὶ ἀνθρώποις, ὁμοίως ἐστὶ τοῦτο. ἀπερυθριῶν γὰρ ἡμῶν ἕκαστος, αἰσχύνεται ἐκ τοῦ φανεροῦ, περὶ ἀφροδισίων διαλέγεσθαι. ἢ οὕτως. αἰσχύνονται γὰρ οἵ τε ἄνδρες καὶ οἱ θεοὶ τοπρῶτον, ἐκ τοῦ φανεροῦ τῆς ἡδείας κοίτης τυχεῖν. ἢ οὕτως. αἰδοῦνται, ὦ Ἄπολλον, οἵ τε ἄνδρες καὶ οἱ θεοὶ, φανερῶς τὸν ἔρωτα λέγειν.

ἐπῳδὸς β΄. κώλων ιδ΄.	Metaph.
Καὶ γάρ σε, τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν,	Namq; te, quẽ non fas-est mendaciũ attingere,
Ἔτραπε μείλιχος ὀργά,	Commovit blandus affectus
Παρφάμεν τοῦτον λόγον. Κού-	Eloqui hunc sermonem. Pu-
ρας δ᾽ ὁπόθεν γενεάν	ellæ vero undenam *sit* genus
Ἐξερωτᾷς, ὦ ἄνα; κύ-	Interrogas, O Rex? cer-
ριον ὃς πάντων τέλος	tum qui omnium exitum
Οἶσθα, καὶ πάσας κελεύθους,	Nosti, & omnes vias,
Ὅσσα τε χθὼν ἠρινὰ φύλ-	Quotque tellus verna foli-
λ᾽ ἀναπέμπει, χὠπόσαι	a emittat, quotque
Ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι	In mari & fluviis arenæ
Κύμασιν ῥιπαῖς τ᾽ ἀνέμων κλονέονται,	Fluctibus impetuque ventorum volvantur,
Χὤ, τι μέλλει, χὠπόθεν	Quodque futurum-est, & unde
Ἔσσεται, εὖ καθορᾷς.	Futurum sit, bene perspicis.
Εἰ δέ γε χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι,	Si tamen licet etiam cum sapiente *me* æquari,
στροφὴ γ΄. κώλων ιε΄.	Metaph.
Ἐρέω. Ταύτᾳ πόσις ἵκεο βᾶσσαν	Dico. Huic maritus *futurus* venisti vallem
Τάνδε, καὶ μέλλεις ὑπὲρ πόντου, Διὸς ἔξ-	In-hancce, & es trans mare, Jovis exi-
οχον ποτὶ κᾶπον ἐνεῖκαι.	mium in hortum *eam* transportaturus.

PARAPHRASIS.

Enim vero morum tuorum comitas & mansuetudo, te quem nemo possit fallere mentiendo, impulit ut hæc me honoris causa interrogares. Quorsum vero, ô rex, quæris ex me quinam sint hujus puellæ parentes? tu qui rerum omnium quæ in vita geruntur, exitum nosti: tu qui rerum gerendarum vias omnes intelligis, tu qui foliorum vere nascentium scis numerum: tu qui innumeræ arenæ in maris & fluviorum littoribus jacentis numerum compertum habes: tu qui præsentia & futura recte cernis? Sed si licet mihi in arte divinandi vati sapienti & doctissimo æquari, & ostendere mihi æque atque tibi vatum Deo rei hujus eventum esse præcognitum, dicam quæ præsentio. Nimirum hanc in Pelii montis vallem venisti futurus hujus nymphæ maritus, & eam per mare transportaturus in amœnos Libyæ campos ubi colitur Jupiter Ammon.

NOTÆ.

76 Ετραπε] Lon. ἀνέπεισε. Μείλιχος ὀργὰ] Lon. reddidit. Blandula ratio, adeoque mansuetudo & humanitas tua. 78 Syntaxis est, Ἐξερωτᾷς γενεὰν κούρας, ὁπόθεν [sc. ἡ γενεά] ἐστί. Vide Ol. 14, 32. ὅθεν ἔπνευσέ τι κ. λ. Vel est Articuli dissimulatio, qui Adverbio junctus illud in Nominis significatum mutat, ἐξερωτᾷς [τὴν] ὁπόθεν γενεάν, h. e. Originem Cujatem. Schmidio, vel undenam ejus origo sit deducta. Posteriori modo detorquentur verba. 80 Κύριον τέλος] Lon. Peculiarem summam & finem. 82 Ἠρινὰ refertur ad φύλλα, non ad χθὼν, ut ex ultima brevi colligitur. 84 Θαλάσσαι MS. γ. per errorem scribæ, qui τὸ ι subscribendum, quod in plurimis MSS. in ipsa linea cum cæteris, minori tamen forma, descriptum habetur, huic voci adscripsit. 86 Χ᾽ ὤτι πόθεν Editt. Schmidius ex conjectura emendavit, Χὠπόθεν, vel Χὠππόθεν, vel χ᾽ ὁππόθεν. Nos ex MS. γ. restituimus metrum. 89 Ἵκεο] Lon. reddidit. Adsis, In Imperativo, secutus expositionem Schol. παραγίνου· ideoque ad βᾶσσαν, καταλιπὼν vult subaudiri, quasi velit Chiron. Adsis huic maritus, valle hac relicta, h. e. Abi hinc, & rape puellam. Schmid. vero aliique volunt esse, Vaticinium, non jussum. Loquitur enim, tanquam præsciens, de futuro: non tanquam suadens aut jubens, de faciendo.

[Καὶ γάρ σε, τὸν οὐ θεμιτόν.] καὶ γὰρ σὲ ὄντα οὐ θεμιτόν, φησιν, οὐδὲ δυνατὸν ψεύσασθαι, παρέτρεψεν ὁ πρᾳότης σου ἐρωτᾷν με περὶ τῆς Κυρήνης γένους, καὶ τῆς μίξεως. καίπερ εἰδότα ἀκριβῶς πάντα. ἢ οὕτως, ἡ αἰδὼς ἐποίησέ σε τὸν μάντιν πυνθάνεσθαι, ὃν οὐδεμία διαφεύγει ἀλήθεια. πάντα δὲ τὰ μέλλοντα προγινώσκεις. [Κούρας δ᾽ ὁπόθεν γενεάν.] ὁ λόγος ἠθικός. ἐμὲ ἐρωτᾷς, ὦ δέσποτα Ἄπολλον, πόθεν τῆς κόρης ἡ γένεα, καὶ τίνες οἱ γονεῖς; ὅστις πάντων τῶν ὑπὸ τὸν βίον οἶδας τὸ τέλος, καὶ πάσας τὰς ὁδοὺς, καὶ ὅσα ἐν τῷ ἔαρι φύλλα ἀναφύει. [Χ᾽ ὤτι μέλλει ἔσσεσθαι.] καὶ πόθεν τὴν ἀρχὴν μέλλει λαμβάνειν, καλῶς καὶ ἀπταίστως καθορᾷς. ἀπὸ κοινοῦ, ὃς ταχὺ πάντα οἶδας καὶ δύνασαι, ἐμὲ περὶ τῶν τῆς κόρης γονέων ἐρωτᾷς. [Εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι.] εἰ δὲ χρὴ καὶ σοφῷ σοι ὄντι ἐξισωθῆναι, ἐρῶ. ἢ οὕτως. εἰ δὲ χρὴ ἐξισωθῆναί σοι, καὶ μαντεύσασθαι ὡς σὺ μαντεύῃ, ἐρῶ. [Ἵκεο βᾶσσαν τάνδε.] παραγέγονας ταύτῃ πόσις. ταύτην τὴν βῆσσαν καὶ τὸ σπήλαιον. ἔξωθεν δὲ, τὸ, καταλιπών. μέλλεις γὰρ αὐτὴν διὰ τοῦ πόντου, εἰς τὸν τοῦ Διὸς ἔξοχον κῆπον ἐνεγκεῖν. λέγει δὲ τὴν Λιβύην Διὸς κῆπον, διὰ τὸ πλησιάζειν τῇ Αἰγύπτῳ. ἣν Διὸς τέμενος, οἱ ποιηταὶ φασιν. ἢ διὰ τὸ, τὸν Ἄμμωνα, Δία νομίζεσθαι, Ἄμμων Ὀλύμπου δέσποτα φησί. καὶ πάλιν Διὸς ἐν Ἄμμωνος θεμέθλοις. Ἄμμωνος δὲ ἡ Λιβύη. [Ἄλλως.] πῶς Διὸς κῆπος ἡ Λιβύη; ὅτι δοκεῖ ὡς Ζεὺς ἐν Λιβύῃ Ἄμμων τιμᾶσθαι. ὡς Φησὶ ὁ τὰ Μακεδονικὰ συγγράψας· Ζεῦ Λιβύης Ἄμμων κερατοφόρε, κέκλυθι μάντι.

[Ἔνθα

Ἔνθα νιν ἀρχέπολιν	Ibi eam civitatis-reginam
Θήσεις, ἐπὶ λαὸν ἀγείρας	Conſtitues, populum ubi-adduxeris
Νασιώταν, ὄχθον ἐς ἀμ-	Inſularem, in collem campis-un-
φίπεδον. Νῦν δ' εὐρυλείμων	dique-cinctum. Nunc autem ſpatioſa-pratis
Πότνιά σοι Λιβύα	Veneranda in-gratiam-tui Libya
Δέξεται εὐκλέα νύμφαν	Suſcipiet glorioſam Nympham
Δώμασιν ἐν χρυσέοις	Ædibus in aureis
Πρόφρων· ἵνα οἱ χθονὸς αἶσαν	Prompta: ubi eam terræ parte
Αὐτίκα, συντελέθειν	Statim, ut iiſdem-cum-ea-utatur
Ἔννομον, δωρήσεται,	Legibus, donabit,
Οὔτε παγκάρπων φυτῶν	Neq; omnis-generis-fructus-ferentiũ plantarũ
Νήποινον, οὔτ' ἀγνῶτα θηρῶν.	Expertem, neque neſciam ferarum.
ἀντιστροφὴ γ'. κώλων ιε'.	Μεταφρ.
Τόθι παῖδα τέξεται, ὃν κλυτὸς Ἑρμᾶς	Ibi filium pariet, quem inclytus Mercurius
Εὐθρόνοις Ὥραισι, καὶ Γαίᾳ, ἀνελὼν	Pulchrithronis Horis & Terræ, ſuſceptum
Φίλας ὑπὸ ματέρος, οἴσει.	Chara à matre afferet.
Ταὶ δ' ἐπιγουνίδιον	Illæ vero genibus-inſidentem
Κατθηκάμεναι βρέφος αὐτᾶς,	Deponentes infantem ſibi,

PARAPHRASIS.

Eo tranſportatam conſtitues civitatis dominam, cujus in colle campis undique cincto extructæ cives colliges ex colonia quam Battus è Thera inſula adducet. In præſentia autem latis clara pratis Libya propenſo in te animo, illuſtrem hanc nympham pretioſis ædibus excipiet, eique proprii ſoli partem, in qua reperitur plantarum omnigenos fructus ferentium, & ferarum ad venationem exercendam copia, ſtatim dabit, ita comparandam & componendam ut bonis legibus regatur. Ibi Cyrene Nympha, in Cyrene nimirum urbe filium Ariſtæum tibi pariet, quem à chara matre traditum & acceptum Mercurius feret & tradet Horis pulchras ſedes habentibus, & Telluri, quæ ſuis genibus impoſito puero

NOTÆ.

92 Ἀρχίπολιν] Urbi imperantem. ſicut ἀρχίλαος eſt Populo imperans. Lon. Subſtantive accipit vertens, Principem ei civitatem ſtatues: quaſi ἡ ἀρχίπολις eſſet, Metropolis, vel civitas primaria. Unde νιν in Dativo accipere oportuit. 94 Νησιώταν. γ. 97 Εὐκλέα hab. Impreſſi omnes. Propter futuram nominis celebritatem; quando hoc nomine vocabitur Urbs Cyrene. 100 Συντελέθειν ἔννομον] Ut una ſit cum ea ἔννομος, Neutraliter: h. e. ut iiſdem cum reliqua Libya legibus utatur, vel ut legitima fiat hæres cum aliis: Lon. redd. Qua [χθονὸς αἶσαν] frui ilico poſſit legitime. Vulg. hab. Ut eam efficiat legum obſervatricem, quaſi eſſet à τελέω συντελέω, ut & Schol. interpretatur. Τελέθω vero eſt, Sum, ut omnes norunt. Paraphraſtes συντελεῖν legi poſſe monet, quod an rectum ſit judicium viderint alii. 103 Νήποινον] Deſtitutam beneficio vel commodo. Ποινὰ ſæpe Præmium vel Honorem ſonat. P. 1, 113. Ἀγνώς] Interdum Paſſive, Ignotus: interdum Active, Ignarus; aliquando Neutraliter, Expers, ut hic intelligit Schmid. Portus in ſuo Lexico, Active, quaſi non ignara ſit Libya (ſumpta pro Gente Libyca] ferarum, quarum magnam copiam videt, atque cognoſcit. Γαίᾳ] Tanquam Proaviæ, ut Schol. vel potius ἀπομάμμῃ, Abaviæ, ut Schmidius ex Genealogia. 108 Θηκάμεναι Edd. Quod cum Schmid. rejiciendum recte docuiſſet, ex conjectura repoſuit ἀνθηκάμεναι. MS. γ. vocem hic deſideratam nobis exhibuit.

[Ἔνθα νιν ἀρχέπολιν.] ἡ γὰρ πόλις ἀπ' αὐτῆς Κυρήνη κληθήσεται. ἔνθα αὐτήν, φησίν, ἐπὶ τὸ ὑψηλὸν μέρος τῆς Λιβύης, δέσποιναν ἀποδείξεις, τὸν ἐκ Θήρας ὄχλον ἀναστήσας, καὶ συναθροίσας. [Ἀμφίπεδον] δὲ ὄχθον εἶπε τὴν Κυρήνην, διὰ τὸ αὐτὴν μὲν ἐπ' ὄχθου ἱδρύσθαι. περὶ αὐτὴν δὲ πεδιάδα εἶναι. ἀμφίπεδον δὲ λέγεται, τὸ ἑκατέρωθεν πεδία ἔχον. [Νῦν δ' εὐρυλείμων.] ἐπὶ δὲ τοῦ παρόντος αὐτὴν, ἡ πλατεῖς ἔχουσα λειμῶνας Λιβύη, ὑποδέξεται τὴν † εὔδοξον νύμφην, ἐν τοῖς τιμίοις αὐτῆς οἴκοις μετὰ προθυμίας. ἔνθα αὐτῇ τὴν μερίδα τῆς γῆς εὐθέως κατασκευάζειν καὶ οἰκονομεῖν, εὐκόλως καὶ δικαίως παρέξει, οὔτε πολυκάρπων φυτῶν ἄμοιρον, οὔτε ἀνεπίγνωστον θηρίων. τουτέστι, πλούσιον. [Ἵνα οἱ χθονὸς αἶσαν.] ὅπου τὸ ἰδίας γῆς μέρος δωρήσεται ἡ Λιβύη τῇ Κυρήνῃ, οὔτε φυτῶν ἀπεστερημένην, οὔτε ἔξω κυνηγεσίων. [Συντελέθειν.] ὥστε συντελεῖν ἐννόμως αὐτῇ. ὥστε συναπτῆναι καὶ συμβάλλεσθαι πρὸς τὴν κατασκευήν. ἡ συντελοῦσαν αὐτῇ ἐν τῇ νομαῖς καὶ νεμήσεσιν, συναύξουσαν αὐτῇ, καὶ τὰς φυτείας, καὶ τὰ κυνηγέσια. ἔνθηρος γὰρ ἡ Λιβύη. [Φυτῶν νήποινον.] κυρίως μὲν, τὸ ἀνεκδίκητον. νῦν δὲ, τὸ ἄμοιρον, καὶ ἄπορον. [Τόθι παῖδα τέξεται.] ἀντὶ τοῦ ἐν τῇ Κυρήνῃ, ἡ Κυρήνη τέξεται παῖδα. λέγει δὲ τὸν Ἀρισταῖον. ὅντινα ὁ ἔνδοξος Ἑρμῆς ἀνελὼν καὶ λαβὼν παρὰ τῆς μητρὸς, οἴσει καὶ δώσει τρέφειν Ὥραις. καὶ Γῇ δώσει, ὡς προμάμμῃ τοῦ παιδός. ἡ γὰρ Κρέουσα ἡ Ναΐς Γῆς παῖς οὖσα, ἔτεκε τὸν Ὑψέα, τὸν πατέρα τῆς Κυρήνης. [Ὥραισι καὶ Γαίᾳ.] καλῶς τῇ Γῇ δίδωσιν, ἐπεὶ καὶ ἐκ Γῆς δίδωσι καταφέρειν τὸ γένος. Γῆς γὰρ Κρέουσα· ἧς Ὑψεὺς υἱὸς, Κυρήνη ἧς, Ἀρισταῖος. [Ταὶ δ' ἐπιγουνίδιον.] αἱ δὲ Ὧραι καὶ ἡ Γῆ, ἐπὶ τοῖς ἑαυτῶν γόνασι θεῖσαι τὸν Ἀρισταῖον, καὶ θαυμάσασαι τὸ βρέφος, ἐνστάξουσι τοῖς χείλεσι νέκταρ καὶ ἀμβροσίαν. καὶ ποιήσουσιν αὐτὸν ἀθάνατον, ὥσπερ Ζῆνα καὶ Ἀπόλλωνα. ἵνα τὸ ὥσπερ, ἔξωθεν ὑπακούσωμεν.

† Alias ἔνδοξον.

[Ἀνδράσι

Νέκταρ ἐν χείλεσσι καὶ ἀμ-
βροσίαν στάξοισι, θήσον-
ταί τέ νιν ἀθάνατον
Ζῆνα, καὶ ἁγνὸν Απόλλωνα,
Ανδράσι χάρμα φίλοις,
Αγχιστον ὀπάονα μήλων,
Αγρέα καὶ Νόμιον
Τοῖσδ᾽ Αρισταῖον καλεῖν.
Ως ἄρ᾽ εἰπὼν, ἔντυεν
Τερπνὰν γάμου κραίνειν τελευτάν.

ἐπῳδὸς γ'. κώλων ιδ'.

Ωκεῖα δ᾽ ἐπειγομένων ἤδη Θεῶν
Πρᾶξις, ὁδοί τε βραχεῖαι.
Κεῖνο κεῖν᾽ ἆμαρ διαίτα-
σεν. Θαλάμῳ δὲ μίγεν
Εν πολυχρύσῳ Λιβύας·

Nectar labiis & am-
brosiam instillabunt, faci-
entque ipsum immortalem,
Ceu Jovem & sanctum Apollinem,
Viris gaudium amicis,
Proximum pedissequum ovium,
Ut Venatorem & Pastoralem
Propter-hæc Aristæum vocent.
Sic sane locutus, instigavit *eum ut*
Jucundum nuptiarum perficeret exitum.

METAPH.

Celer autem *est* properantium jam Deorum
Actio, viæque breves.
Illud illa dies pere-
git. Thalamo vero commixti-sunt
In precioso Libyæ:

PARAPHRASIS.

nectar & ambrosiam in os instillabunt: & non secus ac Jovem castumque Apollinem reddent immortalem. Hoc est, à magistris agriculturæ præcepta accipiet, horas annique tempora observabit, Telluris indolem explorabit & cognoscet, unde tam excellens agricola evadet, ut ob eam scientiam, quemadmodum ob alia Jupiter & Apollo, nomen immortale consequuturus sit, & divinos honores ab hominibus accepturus, qui artis ejus utilitate gaudebunt, & pecoris proximum agilemque comitem Aristæum Venatorem & Pastorem nuncupabunt. Sic loquutus Chiron, eo vaticinio compulit Apollinem, ut se compararet ad perficiendas nuptias jucundas, quas se optare declararat. Itaque siquidem festinantes Dii rem susceptam ex animi sententia confestim ad finem perducunt, viamque ad res gerendas brevem adinveniunt, eadem die Apollo vaticinium Chironis peregit, Cyrenen videlicet per mare in Libyam transportavit: ibique pretioso in lecto congressi sunt,

NOTÆ.

111 Μιν leg. Impressi. 115 Αγρέα κ Νόμιον] Hæc nomina statim ab ipsis nutricibus Nymphis ei 'imposita scrib. Diod. Sic. lib. 4. Interpres Apoll Αγρέα dictum putat, quod in agro cum Cyrene ejus matre rem habuerit Apollo. Justin. l. 13. dicit, Cyrenes filios præter Aristæum fuisse, Nomium, Agreum & Autuchum. 116 Αρισταῖον] Diod. Sic. ibidem ait, Τήν τε τοῦ γάλακτος πῆξιν, καὶ τὴν κατασκευὴν τῶν σμηνῶν, καὶ τῶν ἐλαιῶν τὴν κατεργασίαν διδάξαι πρῶτον τοὺς ἀνθρώπους. Διὰ δὲ τὴν ἐκ τούτων τῶν εὑρημάτων, τοὺς εὐεργετηθέντας ἀνθρώπους τιμῆσαι τὸν Αρισταῖον ἰσοθέοις τιμαῖς. Idem l. 3. vocat eum ἄνδρα συνέσει καὶ σωφροσύνῃ καὶ πάσῃ παιδείᾳ διαφέροντα. Idem ovium pasturam homines docuit, & ut Autor laudatus l. 4. addit. Pestem fugavit, & tandem in Thracia Orgia didicit, ubi etiam disparuit, & pro Deo cultus fuit. 116 Τοῖσδ᾽] Pro ἐπὶ τοῖσδε. Vulg. habet, Ut ipsi eum appellent Aristæum. 117 Εντυεν] Vulg. Hortabatur, Schmid. Instruebat, præparabat. Lon. In causa erat. 121 Lon. utrumque κεῖνο ad ἆμαρ refert, vertens, Illa illa dies rem peregit Διαίτησεν MS. γ. Arbitri instar rem composuit, Schmid.

[Ανδράσι χάρμα φίλοις.] θρέψουσι δὲ αὐτὸν, τοῖς ἀνθρώποις χαρὰν καὶ ὄφελος, ἀκόλουθον ὄντα τῶν προβάτων. πρὶν γὰρ γένηται Αρισταῖος, τὰ πρόβατα ὀπάονας οὐκ εἶχεν. [Αλλως.] εὐκίνητον τῶν προβάτων ἀκόλουθον αὐτὸν θήσονται. τινὲς δὲ τὸν Αρισταῖον Αγρέα φασὶ καλεῖν. ἀπὸ κοινοῦ γὰρ τὸ θήσονται. [Αγρέα καὶ Νόμιον.] ἔνιοι δὲ, διὰ τὸ τὴν κτηνοτροφίαν, καὶ κυνηγίαν εὑρηκέναι, Αγρέα καὶ Νόμιον, Δία καὶ Απόλλωνα προσηγόρευον. ἔστι δὲ καὶ τοῦ μέλιτος εὑρετὴς ὁ Αρισταῖος. ὃ δὴ τῆς ἀθανασίας δέκατον μέρος ὠνόμασαν εἶναι, φαίνεται δὲ ὅτι καὶ τὴν ἐλαιουργίαν καὶ μελιττουργίαν πρῶτος ἐπενόησεν Αρισταῖος. [Ως ἄρ᾽ εἰπὼν, ἔντυεν.] οὕτως εἰπὼν ὁ Χείρων, παρεσκεύαζε τὸν Απόλλωνα τελειοῦν τὸ τῶν γάμων τέλος. [Αλλως.] ἕτοιμον αὐτοῖς τόπον ἐποίει, ἵνα οὕτως ὁ γάμος κρατυνθῇ. ἢ ὁμιλήσας. ὅτι πολυομίλης γενήσεται ὁ Αρισταῖος, καὶ ἀθάνατος πῶς παρεσκεύασεν αὐτῷ τὸν γάμον. τουτέστιν, εἰ ἀνεβάλετο τὸν γάμον ὁ Απόλλων, ἀλλὰ τοῖς λόγοις προετρέψατο ταχέως μιχθῆναι. ἢ οὕτως. οὕτως εἰπόντος τοῦ Χείρωνος, εὐτρεπίζετο αὐτοῖς τὰ περὶ τὸν γάμον. [Ωκεῖα δ᾽ ἐπειγομένων ἤδη θεῶν πρᾶξις.] σπευδόντων δὲ τῶν θεῶν, ταχεῖα καὶ ἡ πρᾶξις καὶ ἡ κατόρθωσις γίνεται. ἢ οὕτως. αἱ δὲ ὁδοὶ τῶν θεῶν, βραχεῖαι καὶ μικραί εἰσι, διὰ τὸ ταχὺ καὶ † ἀκοπίαστον αὐτῶν. γλαφυρῶς δὲ ἀπέπαυσε τὸν νοῦν ἀπὸ τῆς μίξεως, εἰπὼν ὅτι πάντα οἱ θεοὶ ἀνύουσι. καὶ ὁδοὺς ἔχουσι βραχείας, ὧν ἂν ἐθέλωσι πρᾶξαι. ἀντὶ τοῦ εἰπεῖν, ἐνθέως ἤνεγκεν αὐτὴν εἰς Λιβύην, καὶ συνῆλθεν αὐτῇ. [Κεῖνο κεῖν᾽ ἆμαρ.] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκεῖνο τὸ πρᾶγμα διετέλεσεν, ἐν ᾗ ὡμίλησεν αὐτῷ ὁ Χείρων, ἐτελειώθη τὰ περὶ τὸν γάμον. ἢ οὕτως. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἁρπάσας τὴν Κυρήνην, ἐκόμισεν εἰς Λιβύην. [Θαλάμῳ δὲ μίγεν ἐν πολυχρύσῳ.] ἐν δὲ τῷ πολυχρύσῳ θαλάμῳ τῆς Λιβύης, ἐμίγη αὐτῇ ὁ Απόλλων. ἔνθα τὴν καλλίστην πόλιν, καὶ ἔνδοξον κατὰ τοὺς ἀγῶνας περιέπει ὁ Απόλλων, τὴν ὁμώνυμον τῇ νύμφῃ Κυρήνην· ἢ ἡρωϊκήν.

† Alias ἀκοπίατον.

[Καὶ

Ἵνα καλλίσταν πόλιν
Ἀμφέπει, κλεινάν τ' ἀέθλοις.
Καί νυν ἐν Πυθῶνί νιν ἀ-
γαθέα Καρνειάδα
Υἱὸς εὐθαλεῖ συνέμιξε τύχᾳ·
Ἔνθα νικάσαις, ἀνέφανε Κυράναν.
Ἃ νιν εὔφρων δέξεται,
Καλλιγυναικὶ πάτρᾳ
Δόξαν ἱμερτὰν ἀγαγόντ' ἀπὸ Δελφῶν.

Ubi pulcherrimam urbem *Cyrene*
Tutatur, inclytamque certaminum-præmiis.
Et sane apud Pythonem Ipsam di-
vinam Carneadæ
Filius florentissima potiri-fecit fortuna:
Ubi victor *patriã suam* professus-est Cyrenen.
Quæ ipsum benevola excipiet, *quod*
Pulchras-fœminas-habenti patriæ
Gloriam amabilem attulit è Delphis.

στροφὴ δ'. κώλων ιγ'.

Ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι.
Βαιὰ δ' ἐν μακροῖσι ποικίλλειν, ἀκοὰ
Σοφοῖς. Ὁ δὲ καιρὸς, ὁμοίως
Παντὸς ἔχει κορυφάν.
Ἔγνων ποτὲ καὶ Ἰόλαον
Οὐκ ἀτιμάσαντά νιν, ἑ-
πτάπυλοι Θῆβαι· τὸν, Εὐρυ-
σθῆος ἐπεὶ κεφαλὰν

ΜΕΤΑΡΗ.

Virtutes autẽ magnæ semper multũ-prædican-[tur.
Sed pauca in prolixis ornate-edisserere, audito
Sapientibus *est*. Opportunitas autem similiter
Cujusvis rei habet caput.
Cognoverunt aliquando & Iolaum
Non aspernatum eam *opportunitatem* se-
ptiportes Thebæ: quem, Eury-
sthei postquam, caput

PARAPHRASIS.

ubi urbem tutatur pulcherrimam, atque inter cætera certaminum victoribus insigniter inclytam. Quam etiam nunc Carniadæ filius Telesicrates beatam reddidit apud divinam Pythonem ubi victoriam armato cursu adeptus illustravit Cyrenen, quæ ipsum hilari animo excipiet, quoniam patriæ formosas mulieres habenti gloriam jucundam attulit ex Pythiis quæ apud Delphos celebrantur. Ob quorum præclaram victoriam merito eum longo encomio decorarem: siquidem magnæ virtutes copiam verborum semper suppeditant. Sed longa argumenta paucis eximie perstringere opportunum est, idque libentius audiunt sapientes quibus verbum sat est. Quemadmodum autem in agendo, sic etiam in dicendo, ac proinde in omni re summum locum obtinet, & præstantissima est opportunitas. Quæ quantum valeat, suo exemplo indicavit Iolaus: ipsæque Thebæ septenis portis insignes testari possunt, illam olim ab ipso non fuisse neglectam. Nam cum Eurystheus Heraclidas quos perdite oderat, ab Atheniensibus ad quos confugerant, repeteret, ac nisi redderent bellum minaretur. Iolaus Herculis amicus & consanguineus à Jove petiit ut vel per horam repubescere, juvenisque vires habere liceret. Quod ubi impetrasset, Eurystheum amputato capite

NOTÆ.

124 Καλλίσταν vocat propter præclara ædificia, ut vult Schmid. Aliter ἀγακλιμένη πόλις nominatur hac ipsa de causa. 125 Ἀμφέπει] Schmid. interpretatur de Nympha Cyrene, quæ jam καλλίσταν πόλιν ἀμφέπει, ut Tutelaris Dea administrat & gubernat, ut ita Telesicrates videat, vaticinium Chironis adimpletum fuisse. 127 Καρνιάδα hab. Impressi, quasi Carni filium. 128 Εὐθαλεῖ Alii.

[Καὶ νῦν ἐν Πυθῶνι νίν.] καὶ νῦν δὲ ἐν τῇ θείᾳ Πυθῶνι νικήσας ὁ Τελεσικράτης, ἐπιφανῆ ἐποίησε τὴν Κυρήνην. [Ἃ νιν εὔφρων δέξεται.] ἥτις αὐτὸν ἡ Κυρήνη εὐμενὴς δέξεται· ἡ καλὰς ἔχουσα γυναῖκας· πατρίδι δόξαν ἐπέραστον ἄγοντι αὐτῷ ἀπὸ Δελφῶν. [Ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι.] αἱ γὰρ μεγάλαι ἀρεταὶ, ἀεὶ καὶ πολύμυθοί εἰσι. τουτέστι, πολλῶν λόγων δέονται πρὸς τὰ ἐγκώμια. ἢ οὕτω. περὶ τῶν μεγάλων ἀρετῶν πολλὰ ἔνεστι εἰπεῖν. [Βαιὰ δ' ἐν μακροῖσιν.] ἐάν τις φησὶ μακρὰ ἐκλάβῃ πράγματα, καὶ βαιὰ ποιήσῃ αὐτὰ τῷ λόγῳ, ἀκοὴ σοφοῖς ἐστι. τουτέστιν, σοφοῦ ἀκροατοῦ δεῖται, ἵνα συνῇ τὰ πολὺ ἐπιτετμημένα. ἢ καὶ οὕτως. ἐν μεγάλοις γὰρ κατορθώμασιν ὀλίγα συντιθέναι καὶ λέγειν, τοῖς σοφοῖς ἡ τοιαύτη ἀκοὴ καὶ ποίησις οἰκεῖται. παντὸς δὲ πράγματος τὸ τέλος καὶ κορυφὴν ὁμοίως ἡ εὐκαιρία ἔχει. τουτέστι, δεῖ κατὰ καιρὸν καὶ μεγάλα καὶ μικρὰ λέγειν. [Ἔγνων ποτὲ καὶ Ἰόλαον.] ὁ γὰρ Ἰόλαος τεθνηκὼς ἐπεὶ ἔμαθεν Εὐρυσθέα ἐξαιτούμενον παρὰ Ἀθηναίων τοὺς Ἡρακλείδας, καὶ ἐπαπειλοῦντα πόλεμον, εἰ μὴ δώσουσιν, εὔξατο ἀναβιῶναι. καὶ ἀναβιοὺς, ἀπέκτεινε τὸν Εὐρυσθέα. καὶ πάλιν τέθνηκεν. οἱ δὲ, πρὸς τὸ πιθανώτερον ἕλκουσι τὴν ἱστορίαν. ὅτι γέρων ὢν, ηὔξατο ἀνηβῆσαι. καὶ τελέσας τὸν ἆθλον, εὐθέως ἐτελεύτα. ὁ δὲ νοῦς. ἐγνώρισαν δέ ποτε καὶ ἑπτάπυλοι Θῆβαι τὸν Ἰόλαον· οὐκ ἀτιμάσαντα τὴν τῶν πραγμάτων εὐκαιρίαν· οἱονεὶ καταχρησάμενον τῇ εὐκαιρίᾳ. ἢ οὕτως, ἔκρυψαν αἱ Θῆβαι αὐτόν. ἐπεὶ τὸν Εὐρυσθέα ἀπεκεφάλισεν, ἐν τῷ τοῦ Ἀμφιτρύωνος σήματι, ὅπου αὐτοῦ ὁ προπάτωρ ἦν κείμενος. ὅτι δὲ εὐξάμενος ὁ Ἰόλαος ἀνεβίω, καὶ ἀπέκτεινεν Εὐρυσθέα, δῆλον. εὔξατο δὲ τῷ Διῒ ἐπὶ μίαν ὥραν ἡβῆσαι, ὅτε τοὺς Ἡρακλείδας ἐν τῇ Ἀττικῇ καταφυγόντας Εὐρυσθεὺς Ἀθηναίοις πόλεμον συνεκρότησεν. [Τὸν, Εὐρυσθέως ἐπεὶ κεφαλάν.] ὅντινα τὸν Ἰόλαον, ἐπειδὴ τῇ τοῦ ξίφους ἀκμῇ τὴν τοῦ Εὐρυσθέως κεφαλὴν ἀπέτεμεν, ὑποκάτω τῆς γῆς ἔκρυψαν παρὰ τῷ τάφῳ τοῦ ἱππικωτάτου Ἀμφιτρύωνος.

Επραθε φασγάνε ἀκμᾷ,
Κρύψαν ἔνερθ' ὑπὸ γᾶν,
Διφρηλάτα Αμφιτρύωνος
Σάματι· πατροπάτωρ
Ενθά οἱ Σπαρτῶν ξένος
Κεῖτο, λευκίπποισι Κα-
δμείων μετοικήσαις ἀγυιαῖς.

ἀντιστροφὴ δ'. κῶλον ιε'.

Τέκε οἱ καὶ Ζηνὶ μιγεῖσα δαΐφρων
Εν μόναις ὠδῖσιν Αλκμήνα, διδύμων
Κρατησίμαχον σθένος υἱῶν.
Κωφὸς ἀνήρ τις, ὃς Η-
ρακλεῖ στόμα μὴ περιβάλλει,
Μηδὲ Διρκαίων ὑδάτων
Αεὶ μέμναται, τά νιν θρέ-
ψαντο καὶ Ιφικλέα.
Τοῖσι τέλειον ἐπ' εὐχᾷ
Κωμάσομαί, τι παθὼν

Amputavit ensis acie,
Occultaverunt inferne sub terra,
Ad curruum-agitatoris Amphitryonis
Monumentum: paternus-avus
Ubi ei Spartarum hospes
Jacebat, *quum ad* equis-albis-tritos Ca-
dmæorum commigrasset vicos.

Metaph.

Peperit ei & Jovi commixta prudens
In unico partu Alcmena, geminorum
In-pugnis-victoriosum robur filiorum.
Mutus vir aliquis *est*, qui Her-
culi os non applicat,
Neque Dircæarum aquarum
Semper meminit, quæ illum *Herculem* edu-
carunt & Iphiclem.
Quibus perfectum voto
Carmen-pangam, aliquo affectus

Paraphrasis.

occidit, ac statim obiit: sepultusque est prope monumentum Amphitryonis curruum agitatoris, avi ejus paterni, qui Thebis est inhumatus, olim à Thebanis, qui ex draconis dentibus à Cadmo satis nati creduntur, hospitio exceptus, cum in eorum urbem, cujus vici ab equis albis teruntur, commigrasset. Illi, nimirum Amphitryoni, & Jovi cum quibus una eademque nocte concubuerat prudens Alcmena, gemellos filios robustissimos in pugnis semper victoriosos uno partu edidit. Qui autem Herculem non celebrat, nec Thebarum Dirce fonte insignium semper meminit, ubi gemelli fratres Hercules & Iphicles sunt educati, ignarus est, & præclararum rerum imperitus. Non sum autem adeo ineptus, rectique nescius, ut hos Heroas à quibus pro animi voto beneficio sum affectus, quum optatam Herculanorum victoriam obtinui, non celebrem hymno

Notæ.

141 Omnes præter Pal. C. habent, ἔπραθεν ἐν φασγάνου ἀκμᾷ. Τὸ ἐν repetitio finis præcedentis vocis videtur. Ideoque quoniam abundat, omisimus. 152 Περιβάλλει leg. Pal. C. Schol. pro Textu. 154 Aἲ leg. Schmid pro ἀεί. 156 Τοῖσι τέλειον] Schol. hæc vult esse verba Telesicratis: Alii Int. ipsius Poetæ; ex quibus Lon. ita, Quos & ego absoluto encomio eveham, quando pro voto meo ab illis beneficium accepero, ne me destituat parum Gratiarum lumen: accipiens Τὸ τέλειον Adverbialiter, & illa verba, Χαρίτων κ. λ. ad priora quæ post ἐσλὸν commate tantum distinxit, annectens. Ita & Phil. Τὸ λίποι in Optativo vix talem sensum admittet. Vulg. vero habet, Quos hymno celebrabo, affectus ab illis beneficio optata perficiente per preces: Portus, Quos carmine celebrabo ob perfectum victoriæ decus, partum propter mea vota, ab ipsis aliquo affectus beneficio. Schmidius, Quibus ego ob vota, perfectum encomium pangam, aliquod ab iis nactus bonum. Quæ autem illa vota Poëtæ fuerint, inquit autor laudatus, aut quodnam speraverit bonum, ipse non expressit. Hi omnes leg. ἐν' εὐχᾷ. unde nullus ab Int. elicitur sensus commodus. Ideo MS. γ. lectionem exhibuimus. Poëta sæpe encomiis miscet vota: dicabit vero perennes laudes istis heroïbus. In Τέλειον vero Diæresis facienda est.

[Ενθά οἱ.] ἔνθα ὁ πρὸς πατρὸς αὐτοῦ πάππος Αμφιτρύων ὁ τῶν Θηβαίων φίλος καὶ ξένος μετοικήσας, ἔκειτο, εἰς τὰς Θήβας. ἐν γὰρ τῇ ἁμαξιτῷ πλησίον τοῦ τάφου Αμφιτρύωνος, ἔθαψαν τὸν Εὐρυσθέα ἵνα ἀεὶ πατῆται. [Τέκε οἱ καὶ Ζηνὶ μιγεῖσα.] τῷ Αμφιτρύωνι ἡ Αλκμήνη. ὁ δὲ νοῦς· ἐγέννησε δὲ τῷ Αμφιτρύωνι καὶ τῷ Διῒ μιγεῖσα ἡ Αλκμήνη ἐν μιᾷ ὠδῖνι, διδύμων υἱῶν, πολεμικωτάτην δύναμιν. [Εν μόναις ὠδῖσιν.] ἐν ἑνὶ γὰρ τόκῳ καὶ μιᾷ ὠδῖνι. λέγεται ἐν μιᾷ νυκτὶ συγγενηθέντων Διὸς καὶ Αμφιτρύωνος τῇ Αλκμήνῃ, γεννῆσαι τὸν μὲν, Ηρακλέα. τοῦ δὲ, Ιφικλέα. [Κωφὸς ἀνήρ τις.] κωφὸς ἐστι καὶ ἀπαίδευτος ἐκεῖνος ὁ ἀνὴρ, ὅς τις τῷ Ηρακλεῖ τὸ ἑαυτοῦ μὴ περιβάλλει στόμα. τουτέστιν, ὅς τις μὴ ἐγκωμιάζει τὸν Ηρακλέα. καὶ ὅστις μηδὲ τῶν τῆς Δίρκης ὑδάτων αἰσθάνεται καὶ ἔχει μνήμην. ἀπὸ κοινοῦ τὸ κωφὸς ἐστιν. ὁ γὰρ μὴ ἀκούσας, οὐδὲ εἰπεῖν δύναται. [Τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν·] πεπονθὼς τι ἐξ αὐτῶν τέλειον ἀγαθὸν, διὰ τοῦ κώμου ὑμνήσω. τί δ' ἂν εἴη πεπονθώς; δηλαδὴ καὶ τὰ Ιόλαια ἐνίκησεν ὁ νικηφόρος. τὸ δὲ ὑπερβατόν· τοῖσι κωμάσομαι τέλειόν τι παθὼν ἐπ' εὐχᾷ ἐσλόν. ὁ λόγος, παρὰ τοῦ ὑμνουμένου πρὸς τὸν Ηρακλέα καὶ Ιφικλέα. τετυχηκὼς τῆς νίκης τῶν Ηρακλείων, κἀγὼ ἀντικωμάσω αὐτούς φησι καὶ ὑμνήσω.

[Χαρίτων

Ἐσλόν. Χαρίτων κελαδεννᾶν	Bono. Gratiarum celebrium
Μή με λίποι καθαρὸν	Ne me deficiat purum
Φέγγος. Αἰγίνᾳ τε γὰρ	Lumen. In-Æginaque enim
Φαμὶ, Νίσου τ' ἐν λόφῳ,	Dico, Nisique in colle, *Telesicratem*
Τρὶς δὴ πόλιν τάνδ' εὐκλεΐξαι,	Ter civitatem hanc celebrem-fecisse,
ἐπῳδὸς δ'. κῶλον ιδ'.	Metaph.
Σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών.	Taciturnam inopiam ipso-facto fugiens.
Οὕνεκεν εἰ φίλος ἀστῶν,	Quapropter si *quis ei* amicus *est* civium,
Εἴ τις ἀντάεις, τό γ' ἐν ξυ-	Si quis adversarius, hoc utique publi-
νῷ πεπονάμενον εὖ,	ce gestum bene,
Μὴ, λόγον βλάπτων ἁλίοι-	Ne, præceptum violans mari-
ο γέροντος, κρυπτέτω.	ni Senis, celet.
Κεῖνος, αἰνεῖν καὶ τὸν ἐχθρὸν,	Ille *enim*, laudare etiam inimicum,
Παντὶ θυμῷ σύν τε δίκᾳ	Toto animo cumque justitia
Καλὰ ῥέζοντ', ἔννεπεν.	Præclara-facinora gerentem, jubebat.
Πλεῖστα νικάσαντά σε, καὶ τελεταῖς	Sæpissime victorem te, etiam in sacris
Ὡρίαις ἐν Παλλάδος εἶδον· ἄφωνοι	Statis Palladis vidi: Tacitæ-

PARAPHRASIS.

Ingratus enim videri nolim beneficium acceptum non commemorando, ita ut erga benefactores officio non functus, eorum gratia & favore in posterum destituar. Porro dico Telesicratem una Æginetica victoria, tribusque Megaricis, quas in colle ubi sepultus est Nisus luctator insignis, obtinuit, urbem hanc Cyrenen celebrem reddidisse, ipsumque laudem meruisse, quum re præclare gesta desperabundam illam mœstitiam & dedecus vitavit ob quod victi ne gry quidem dicere ausint. Quare quivis Cyrenæorum civium, sive ipsum benevolentia prosequitur, sive erga ipsum infenso est animo, probatam in publico spectaculo Telesicratis strenuitatem collaudet, nec marini senis Nerei præceptum ad praxim non revocatum violet. Præcepit enim ille ut inimicum qui observata justitia præclari quid præstiterit toto animo laudemus. Ego vero te vidi, ô Telesicrates, sæpenumero parta victoria redeuntem ex Panathenæis

NOTÆ.

161 Νίσου leg. Ed. Brub. inter alias. Intellige Megaris, quorum rex fuit Nisus Pandionis filius, interfectus postea à Minoë Cretensi, teste Pauf. in Att. 163 Ἀμηχανίαν leg. MS. γ. Plerique Intt. de Telesicrate accip. Schol. secuti. & τὸ φυγὼν pro φυγόντα positum volunt. Sic Vulg. Qui factis taciturnam mœstitiam desperabundam effugerit: Phil. Telesicratem effugisse tacitam ignaviam factis: Lon. Taciturnam inertiam rebus præclare gestis qui effugit: Portus, Tacita inopia consilii & mœstitia factis vitata. Ad quem locum annot. Portus, Græcos Accusativorum loco Nominativos & ante, & post Infinitos ἀδιαφόρως usurpare. Quæ si vera sint, huc non quadrant; quia ipsius Pindari verba esse de seipso, convincit Syntaxis, φαμὶ γὰρ κ. λ. φυγὼν ἀμαχανίαν σιγαλόν. Lon. autem agnoscit φυγὼν referri ad φαμὶ, sed Telesicratis verba esse existimat. Schmid. exponit, Taciturnam pangendæ laudis inopiam ipso facto fugiens. 165 Ἀντάεις Portus legendum censet, ab ἀντάω. ὁ καὶ ἡ ἀντάεις est, Inimicus. 167 Λόγον βλάπτων] Lon. Neque sermone suo Marinum senem lædat. 168 Γέροντος] Nerea Virg. 4. Georg. *Grandævum*, vocat & Oppian. Ἁλιευτ. 2. Παλαίφατον. 172 Νικάσαντα Edd. Τελεταῖς ὡρίαις] Phil. In annuis sacrificiis Palladis: Lon. Speciosis.

[Χαρίτων κελαδεννᾶν, μή με λίποι καθαρὸν φέγγος.] τῶν εὐδόξων χαρίτων τὸ ἀνθηρὸν φέγγος καὶ ἡ παῤῥησία, μή με λίποι. τουτέστι, γένοιτό μοι χαρίεντα γράφειν. [Αἰγίνᾳ τε γὰρ φημι Νίσου τ' ἐν λόφῳ.] διισχυρίζομαι γὰρ τὸν νικηφόρον ἔν τε Αἰγίνῃ καὶ τρίτον ἐν Μεγάροισι νικήσαντα, ταύτην τὴν πόλιν εὐκλεᾶ κατεστήσαι. ἔργῳ, τὴν σιγηλὴν καὶ ἀπαῤῥησίαστον ἀμηχανίαν καὶ αἰσχύνην ἐκφυγών. οἱ γὰρ νικηθέντες, ἀμηχανοῦντες καὶ αἰσχυνόμενοι, σιωπῇ περιπατοῦσι. μὴ ἔχοντες παῤῥησίαν μετά τινος διαλεχθῆναι. ἔστιν οὖν εἰπεῖν τέσσαρας εἶναι τὰς πάσας νίκας. μίαν μὲν, ἐν Αἰγίνῃ. τρεῖς δὲ, ἐν Μεγάροις. [Ἄλλως.] τῷ ἔργῳ φησὶ, τὴν μετὰ σιγαλοῦ ἀμηχανίαν φυγὼν, εὔκλειαν δὲ κτησάμενος. ἀμήχανον δὲ τὴν σιγὴν εἶπεν, ὅτι κατηφεῖς εἰσιν οἱ νικηθέντες. καὶ ἑτέρωθί πού φησί. νικώμενοι δὲ, ἀγγυξίᾳ δέδενται. [Οὕνεκεν εἰ φίλος ἀστῶν. εἴτις ἀντάεις.] διὸ εἴτε τις αὐτῷ τῷ νικηφόρῳ φίλος τῶν πολιτῶν, εἴτε ἐναντίος καὶ ἐχθρός ἐστι, τὸ ἐν τῷ κοινῷ πονηθὲν ἀγαθὸν, ἀνυμνείτω. αὐτὸν μὴ καταβλάπτων τὸν λόγον τοῦ Νηρέως. ἐκεῖνος γὰρ ὁ Νηροὺς, ἔφη, δεῖν τὸν καλῶς πράττοντα καὶ μετὰ δικαιοσύνης πάντα τρόπον, καὶ παρὰ τῶν ἐχθρῶν ἀνυμνεῖσθαι. ἀντάεις δὲ, ὁ ἔναντα δοκεῖς τὴν νίκην τοῦ νικηφόρου. ἢ ἐναντιούμενος καὶ ἐχθρός. [Πλεῖστα νικάσαντά σε.] ὁ λόγος ἀπὸ τοῦ ποιητοῦ πρὸς τὸν νικητὴν, πολλάκις σε νικήσαντα εἶδον τὰ Παναθήναια ἐν ταῖς ὡρισμέναις τελεταῖς τῆς Ἀθηνᾶς.

 [Ἄφωνοι

Θ' ὡς ἑκάστα φίλτατον	que ut quælibet chariſſimum
Παρθενικαὶ πόσιν, ἢ	Virgines maritum, aut
Υἱὸν εὔχοντ', ὦ Τελεσίκρατες, ἔμμεν·	Filium optabant *te*, ô Teleſicrates, *ſibi* eſſe:
στροφὴ ε'. κώλων ιε'.	METAPHR.
Εν Ολυμπιοισί τε, καὶ βαθυκόλπου	In Olympicis quoque, & profunde-ſinuoſæ
Γᾶς ἀέθλοις, ἔν τε καὶ πάντεσσ' ἐπιχω-	Terræ certaminibus, inq; omnibus etiã indige-
ρίοις. Εμὲ δ' οὖν τις, ἀοιδᾶν	nis *i.e. Libycis.* Me itaq; aliquis, carminum
Δίψαν ἀκειόμενον,	Siti medentem,
Πράσσει χρέος αὖτις ἐγεῖραι,	Injungit munus rurſus excitandi,
Καὶ παλαιὰν δόξαν ἑῶν	Et veterem gloriam veſtrorum
Προγόνων. Οἷοι Λιβύσσας	Majorum. Quales Libyſſam
Αμφὶ γυναικὸς ἔβαν	Ob fœminam profecti-ſunt
Ιρασαν πρὸς πόλιν Ανταί-	Iraſam ad urbem Antæ-
ου, μετὰ καλλίκομον	i, ad pulchricomam
Μναστῆρες ἀγακλέα κούραν.	Proci celeberrimam puellam.

PARAPHRASIS.

Minervæ ſacris quæ ſingulis luſtris aguntur. Vidi etiam ut tacitæ apud ſe virgines ſuum amorem effari non audentes, unaquæque te maritum habere exoptabant, aut mulieres filium. Vidi te & in Olympiis, & in Terræ profundum habentis ſinum certaminibus, quæ nimirum Athenis celebrantur: & in omnibus iis quæ in tua gente ſunt in uſu, vincentem. Cæterum mihi finem hymno hic imponere ſtatuenti poſtquam tuas laudes recenſui, aurem vellit neſcio quis, aliudque debitum à me exigit: videlicet ut rurſus tuorum majorum gloriam commendem & commemorem. Ut illi, majores tui Iraſſam Antæi urbem adierunt, Barcen illius filiam pulchra coma conſpicuam, & valde celebrem ambientes, ut Libycam illam puellam Alexidamus, à quo ducis genus, uxorem conſequeretur.

NOTÆ.

174 Pal. C. hab. ὡς ἕκαστᾳ. Schol. pro Textu. 177 Βαθυκόλπου γᾶς ἀέθλοις] Phil. vert. In littore, Reſpiciens, Βαθυκόλπου, Habentis profundos ſinus. 178 Καὶ πᾶσιν ἐπιχω- hab. libri impreſſi; & Schmid. cenſet poſteriorem in πᾶσιν ob ν ἐφελκυστικὸν produci poſſe. Id quidem valde incertum eſt. Ex MS. γ. mutavimus. Vulg. In omnibus cujuſcunque regionis: Phil. In locis vicinis. Hanc ob cauſam facta mentione certaminum Libycorum, infert, quod hac occaſione data poſtulari poſſit de laudibus majorum Teleſicratis. Ideoque τὸ οὖν utitur. Schmid. 179 Οὔτις hab. Schol. in Edd. Rom. & Brub. Schmid. leg. τι, Aliquod, & refert ad χρέος. 181 Πράσσει χρέος] Poſtulat negotium, Schmid. & παραφράζει, Ego qui alias ſitim vel deſiderium carminum ubertate mea Poëtica reſtinguere poſſum, nunc eandem ſitim reſuſcitare poſtulor, propter negotium aliquod ſc. (τὸ καὶ enim hic magis exponendi quam copulandi ſignificationem habet) gloriam majorum tuorum. Αὖθι MS. γ. 182 Παλαιὰν δόξαν τεῶν προγόνων hab. Codd. Schmid. vero metrum turbari videns, δόξα τεῶν legit, qua ratione ſupra annotavimus. Quoniam παλαιᾶν Dor. ſit pro παλαιῶν, & τεῶν exponat ἑῶν, facilem fuiſſe errorem quis non videt. Vel ſi malles, ἑῶν poteſt verti, Suorum, ut ſit, Heroïs majorum. 183 Λιβύσσας MS. γ. 185 Ιρασαν ἐς πόλιν Schmid. Ιρασαν aſpiratum hab. γ.

[Αφωνοί θ' ὡς ἑκάστα.] ἄφωνοι καὶ ἐν ἑαυταῖς κατὰ τὴν ψυχὴν ὦ Τελεσίκρατες, ἑκάστη τῶν παρθένων εὔχοντό σε ἄνδρα ἐντυχῆσαι. [αἱ δὲ γυναῖκες] υἱόν. ἀπὸ κοινοῦ τὸ εὔχοντο ἔμμεν. εὔχοντο δὲ ἐν τοῖς Ολυμπίοις φησὶν, ὁρῶσαί σε καὶ ἐν τοῖς ἄλλοις ἀγῶσι τῆς πλατείας γῆς, καὶ ἐν πᾶσιν ἁπλῶς τοῖς ἐν ἑκάστῃ πόλει, ἐπιχωρίοις ἀγῶσι πανταχοῦ ὁρῶσαί σε αἱ γυναῖκες, ταῦτα ηὔχοντο. [Εν τ' Ολυμπίοις.] Ολυμπίοις, οὐ τοῖς ἐν Πίσῃ νῦν. οὐ γὰρ ἂν οὕτως ἔρριψεν ἁπλῶς τὸν λόγον, ἀλλὰ τοῖς ἐν Αθήναις. ἐκ κοινοῦ γὰρ νικήσαντα εἶδον, καὶ ἐν τοῖς ἀγομένοις ἀγῶσι τῇ Γῇ. τουτέστιν, ἐν Αθήναις. ἐκεῖ γὰρ ἄγεται τῇ Γῇ ἀγὼν, ὥς φησι Δίδυμος. [Εμὲ δ' οὖν τις ἀοιδᾶν δίψαν ἀκειόμενον.] διψώσῃ τῇ ᾠδῇ προστεθέντα ἀκειόμενόν με καὶ θεραπεύοντα. ἢ διψῶσαν ᾠδὴν τοῦ θέλειν ὑμνεῖν ὑμᾶς, πράσσει τις ἐμὲ καὶ ἀναγκάζει ἔτι τοῦτο ὑπομεῖναι. καὶ συμπεριλαβεῖν τὴν τῶν προγόνων ὑμῶν δόξαν. [Οἷοι Λιβύσσας ἀμφὶ γυναικός.] ὁποῖοι ἦσαν μνηστῆρες· οἱ τοῦ νικηφόρου πρόγονοι. οἱ περὶ τῆς Λιβυκῆς γυναικὸς, ἦλθον εἰς τὴν Ιρασαν τὴν τοῦ Ανταίου πόλιν πρὸς τὴν ἔνδοξον κόρην. [Αλλως.] Ιρασα πόλις Λιβύης, ἣν ᾤκησεν Ανταῖος οὐχ' ὁ παλαίσας Ηρακλεῖ, ἐκεῖνος γὰρ διαλλάσσει τοῖς χρόνοις, ὃν καὶ ἀνεῖλεν Ηρακλῆς. ἀλλ' ἕτερος· ᾧ συνήκμασεν Εὔφημος. οὗ οἱ ἀπόγονοι μετῴκησαν εἰς Κυρήνην. ὃς τὴν θυγατέρα προὔθηκεν ἆθλον δρόμου τῷ φθάσαντι λαβεῖν κελεύσας. ὅμοιον δὲ ἐποίησε Δαναῷ. καὶ γὰρ ἐκεῖνος τὰς θυγατέρας δρόμῳ προὔθηκε, τὴν δὲ κόρην ταύτην τῶν Τελεσικράτους τις προγόνων Αλεξίδαμος μνηστευσάμενος καὶ νικήσας τὸν δρόμον, ἔγημεν, ἢ ὅτι ὁ Ανταῖος ὁ παράνομος, ὃν ἀνεῖλεν Ηρακλῆς, ἐκεῖ φησὶ παραγενόμενον τὸν Αλεξίδαμον, δρόμῳ νικήσαντα τοὺς σὺν αὐτῷ μνηστῆρας, λαβεῖν γυναῖκα τὴν θυγατέρα τοῦ Λιβύων βασιλέως. ἔνιοι γάρ φασιν, ὅτι ὁ ὑπὸ Ηρακλέους καταγωνισθεὶς Ανταῖος, Ιρασεὺς ἦν, ἀπὸ Ιρασῶν τῶν ἐν τῇ Τειτωνίδι λίμνῃ. ὥς φησι Φερεκύδης. ὁ δὲ Πίνδαρος ὑπὸ τοῦ χαρίσασθαι τῷ ἐπαινουμένῳ παρατρέψας τὴν ἱστορίαν, φησὶν Αλεξίδαμον πρόγονον τοῦ ἐπαινουμένου, γενέσθαι μνηστῆρα τῆς Ανταίου θυγατρός. ὄνομα δὲ αὐτῇ Αλκηῒς, ὥς φησι Πείσανδρος ὁ Καμιρεύς. ἕτεροι δὲ Βάρκην.

[Τὰν

Τὰν μάλα πολλοὶ ἀρι-	Quam valde multi optima-
στῆες ἀνδρῶν αἴτεον	tes virorum petebant
Σύγγονοι· πολλοὶ δὲ καὶ	Cognati: ſed & multi
Ξείνων. Ἐπεὶ θαητὸν εἶδος	Peregrinorum. Quoniam ſtupenda forma
ἀντιστροφὴ ι'. κῶλον ις'.	Μεταφ.
Ἔπλετο· χρυσοστεφάνοιο δὲ ἥβας	*Ejus* erat: auro-coronatæ vero pubertatis *ei*
Καρπὸν ἀνθήσαντ' ἀποδρέψαι ἔθελον.	Fructum floreſcentem decerpere volebant.
Πατὴρ δὲ θυγατρὶ φυτεύων	Pater autem filiæ procurans
Κλεινότερον γάμον, ἄ-	Illuſtrius conjugium, au-
κουσεν Δαναόν ποτ' ἐν Ἄργει,	divit Danaum quondam in Argo,
Οἷον εὗρεν τεσσαράκον-	Quales invenerit quadragin-
τα καὶ ὀκτὼ παρθένοισι,	ta & octo virginibus,
Πρὶν μέσον ἆμαρ ἑλεῖν,	Antequam medium diem occuparet,
Ὠκύτατον γάμον. Ἔστα-	Velociſſimas nuptias. Colloca-
σεν γὰρ ἅπαντα χορὸν	vit enim univerſum cœtum *procorum*
Ἐν τέρμασιν αὐτίκ' ἀγῶνος·	In metis ſtatim certaminis:
Σὺν δ' ἀέθλοις ἐκέλευ-	Et inter-ſe certaminibus juſ-
σεν διακρῖναι ποδῶν,	ſit dijudicare pedum,
Ἅντινα σχήσοι τις ἡ-	Quamnam habiturus-eſſet aliquis He-
ρώων, ὅσοι γαμβροί σφιν ἦλθον.	roum, quotquot Generi ipſi advenerant.
ἐπῳδὸς ι'. κῶλον ιδ'.	Μεταφ.
Οὕτω δ' ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ	Sic vero dabat Libys adaptans puellæ *filiæ*

PARAPHRASIS.

quam multi viri tum cognati ſeu gentiles, tum peregrini ambiebant, quoniam mirum in modum formoſa erat. Ejusque puberis ætatis eximiæ & ſplendidæ fructum efflorescentem, & nubiles annos decerpere volebant. Sed Antæus filiæ huic ſuæ illuſtrius conjugium nanciſci tentans, exemplum Danai regis Argivorum eſt imitatus, quem audiverat breviſſimo tempore, antequam dimidius dies exactus fuiſſet, Argis præclaros conjuges quadraginta & octo filiabus nactum eſſe. Is filias ad metam collocavit, & procis curſus certamen propoſuit, & unicuique Heroum qui venerant ut ejus generi fierent, conceſſit ut quam ex filiabus mallet in uxorem, eam deligeret, quum à carceribus ad metam perveniſſet, & pedum celeritate viciſſet. Sic ergo Libycus ille Antæus filiæ ſuæ

NOTÆ.

192 Πέλετο· Χρυσοστεφάνου δὲ οἱ ἥβας leg. Schmid. Edd. vero aliæ hab. ἔπλετο. 196 Δαναόν τε leg. γ. 199 Ἑλεῖν ut ex Pal. C. leg. Schmid. Ἐλθεῖν habent Impreſſi & MS. γ. quod ſuſpicamur eſſe Scholion. 205 MS. γ. leg. σχήσει. 207 Λίβυς] Quia Scholia volunt eſſe Proprium nomen, & poſtea, contrariam tuentur ſententiam, corrupta videri poſſunt. Sane Schmid. ita ſe res habere ſuſpicatur. Id tamen fruſtra, ſi nulla alia ſubſit cauſa.

[Τὰν μάλα πολλοί.] ὁ νοῦς, ἥν τινα τοῦ Ἀνταίου θυγατέρα, πολλοὶ τῶν ἀρίστων ἀνδρῶν ᾔτουν. ᾔτουν δὲ, πολλοὶ μὲν συγγενεῖς αὐτῆς. πολλοὶ δὲ καὶ ἐκτὸς γένους ὄντες, ἐπειδὴ ἐκπρεπὲς αὐτῆς ἐθαυμάζετο καὶ ἐθρυλλεῖτο εἶναι τὸ κάλλος. τῆς γὰρ ἐντίμου αὐτῆς νεότητος, καρπὸν δρέψασθαι ἐβούλοντο. ἐκ δὲ τούτου, τὴν παρθενίαν αὐτῆς ἐβούλοντο λαβεῖν. [Πατὴρ δὲ θυγατρί.] ὁ δὲ πατὴρ Ἀνταῖος ἐνδοξότερον τῇ ἑαυτοῦ θυγατρὶ κατασκευάζων τὸν γάμον, πεποίηκεν ὅπερ ἤκουσε ποτὲ ἐν Ἄργει τὸν Δαναὸν τῶν τεσσαρακονταοκτὼ θυγατράσιν αὐτοῦ πεποιηκέναι· κἀκεῖνον ἐμιμήσατο. [Ἄκουσεν Δαναόν ποτ'.] ἤκουσε γὰρ τὸν Δαναὸν ποτὲ ἐν Ἄργει, τοιοῦτον τῶν τεσσαρακονταοκτὼ θυγατράσιν αὐτοῦ γάμον εὑρέσθαι· πρὶν τὸ μέσον τῆς ἡμέρας γενέσθαι. τὸ γὰρ ἑωθινὸν, ἠγωνίσαντο. καὶ περὶ μεσημβρίας διελύθησαν τοῦ δρόμου, καὶ ἕκαστος ἣν ἐβουλήθη ἔλαβεν. [Ἔστασεν γάρ.] οὕτως γὰρ, ἔστησε τὰς θυγατέρας ἕως μέσης ἡμέρας. ἵνα δηλονότι περιθεωρήσωσιν αὐτὰς οἱ μνηστῆρες, καὶ ἕκαστος ἕληται τῶν δραμόντων προτερευσάντων, ἣν ἂν βούλοιτο. Ζητεῖται δὲ, διατί τεσσαρακονταοκτὼ εἶπε πεντήκοντα οὐσῶν; Καὶ ῥητέον ὅτι, Ἀμυμώνη μὲν, προδιαφθαρεῖσα ἦν Ποσειδῶνι· Ὑπερμνήστρα δὲ, ἐρασθεῖσα Λυγκέως. αἱ δὲ ἄλλαι συνδραμοῦσαι τῷ πατρῴῳ βουλήματι, ἀνεῖλον τοὺς Αἰγύπτου παῖδας. [Οὕτω δ' ἐδίδου Λίβυς.] Λίβυς, ὄνομα κύριον. οὐχ ὁ Ἀνταῖος, ὡς Δίδυμος. τῷ νικήσαντι γὰρ καὶ αὐτὸς ἔδωκε τὴν παῖδα πρὸς γάμον.

Νυμφίον ἄνδρα. Ποτὶ γραμ-
μᾷ μὲν αὐτὰν στᾶσε, κοσμή-
σαις τέλος ἔμμεν ἄκρον.
Εἶπε δ' ἐν μέσσοις, ἀπάγε-
σθαι, ὃς πρῶτος θορὼν
Ἀμφί οἱ ψαύσειε πέπλοις.
Ἔνθ' Ἀλεξίδαμος, ἐπεὶ
Φύγε λαιψηρὸν δρόμον,
Παρθένον κεδνὰν χερὶ χειρὸς ἑλὼν,
Ἄγεν ἱπποτᾶν Νομάδων δι' ὅμιλον.
Πολλὰ μὲν κεῖνοι δίκον
Φύλλ' ἔπι, καὶ στεφάνους.
Πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο νικᾶν.

Sponsum virum. Ad line-
am *enim* ipsam constituit, cum ornas-
set terminus *ut illa* esset extremus.
Dixitque in mediis, ut abduce-
ret *eam is*, qui primus prosiliens
Circa eam attigisset amictus.
Ibi Alexidamus, postquam *præ aliis*
Emensus-est rapidum cursum, [dens,
Virginis venerandæ manu manum apprehen-
Duxit *eam* equestrium Nomadum per agmen.
Multa in ipsum illi projiciebant
Folia & serta.
Multas etiam antea alas accepit victoriarum.

PARAPHRASIS.

convenientem maritum dedit & adjunxit. Cursus certamen procis proposuit, & filiam exornatam in meta, quæ stadii linea est extrema, alterque terminus, collocavit, ut esset ultimus laborum finis, videlicet præmium victoriæ laborioso cursu partæ. In mediis autem stans procis, dixit ut quicunque reliquis antecurrens, primus virginis subtilissimam vestem attigisset, eam futuram conjugem abduceret. Ibi tum Alexidamus, rapidum cursum omnes præcedendo emensus, puellæ nobilis manum manu prehendit, perque agmen equestrium Afrorum, dictorum Nomadum, quod rei pecuariæ sint dediti, prehensam duxit. Ac eum spectatores & socii victorem applausu excipientes, multa folia, & coronas in ipsum projecerunt. At non his tantum coronis pro hac victoria fuit decoratus, sed ex aliis certaminibus, ubi suæ fortitudinis & industriæ specimina edidit, alias etiam est adeptus.

NOTÆ.

209 Αὐτὶς στᾶσε leg. γ. 210 Κοσμήσας Comm. MS. γ. Schmid. interpret. ordinavit ut illa esset terminus. 212 Θορὼν leg. γ. 217 Δ' ὅμιλον. γ. 220 Edd. præter Ald. hab. νίκας.

[Ποτὶ γραμμᾷ μέν.] ἔστησε γὰρ αὐτὴν πρὸς τῇ ἐσχάτῃ γραμμῇ τοῦ δρόμου, τοῦτο ἄκρον καὶ τέλος διατάξας, τὴν τάξιν τῆς παρθένου. ἐχάρασσον δὲ γραμμήν τινα. ἣν ἀρχὴν καὶ τέλος εἶχον οἱ ἀγωνιζόμενοι. ὅθεν καὶ παροιμία, μὴ κίνει γραμμήν. ὁ δὲ νοῦς. οὕτως οὖν καὶ ὁ Ἀνταῖος ὁ Λίβυς, ἐδίδου πρὸς γάμον τὴν ἑαυτοῦ θυγατέρα· κατασκευάζων τῇ κόρῃ τὸν προσιόντα νυμφίον, ἄνδρα. πρὸς γὰρ τὸ τέλος τοῦ σταδίου κοσμήσας, ἔστησέ φησι, τέλος καὶ ἄκρον εἶναι αὐτὴν τῷ νικήσαντι. ἐν μέσοις δὲ αὐτοῖς εἶπεν. ὅστις ἂν πρῶτος τῶν πέπλων αὐτῆς ἅψηται, ἀπαγέσθω αὐτὴν ἐκεῖνος. [Ἔνθ' Ἀλεξίδαμος.] Ἀλεξίδαμος ἦν ὁ νικήσας χάριν τῆς Λίβυος θυγατρός. τὸ δὲ ἔφυγεν, οὐ κυρίως. οὐ γὰρ ἐδίωκέ τις, ἀλλὰ τὸ τάχος βούλεται παραστῆσαι. προέθεον οἱ διωκόμενοι, ἐπιτείνουσι τὸν δρόμον. ὁ δὲ νοῦς, ἐνταῦθα ὁ Ἀλεξίδαμος, ἐπεὶ τὸν ταχὺν δρόμον ἐξέφυγε καὶ ἐνίκησε, τὴν ἔνδοξον παρθένον τῆς χειρὸς τῇ ἑαυτοῦ χειρὶ λαβὼν, ἤγαγεν εἰς τὴν τῶν ἱππικῶν Λιβύων στρατείαν. [Ἄλλως.] Λιβύων τῶν Νομάδων φησίν. οἱ πλείους γὰρ αὐτῶν ὑποδιῶτες τὴν γῆν οἰκοῦσιν. ἢ καὶ παρὰ τοῦτο οὕτω καλούμενον ἔθνος. ἐκ δὲ τούτου δῆλον ὅτι ὁ Ἀνταῖος οὐκ ἔστιν. οὗτος γὰρ ἦν κατὰ τοὺς χρόνους Ἡρακλέους. πρὸ δὲ τοῦ Ἡρακλέους οὐδεὶς ἦν ἀγών. ὁ δὲ Ἀλεξίδαμος ἱστορεῖται νενικηκέναι. [Πολλά μοι κεῖνοι δίκον.] πολλὰ δὲ φύλλα καὶ στεφάνους, οἱ περὶ αὐτὸν ὄντες ἔρριπτον. πολλὰ δὲ πτερὰ νίκης καὶ πρὸ τοῦ ἀγῶνος ἔλαβε. τουτέστι, πολλοὺς καὶ ἄλλους ἀγῶνας ἐνίκησε. πτερὰ γὰρ νίκης περιφραστικῶς, ἡ νίκη.

Τέλος τοῦ ἐννάτου τῶν Πυθίων εἴδους.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΤΟΥ Ι'. ΤΩΝ ΠΥΘΙΩΝ ΕΙΔΟΥΣ.

ΤΗΣ δεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων δέκα. Τὸ α', φερεκράτειον. Τὸ β', δίμετρον Ιαμβικὸν ὑπερκατάληκτον, ἄτακτον. Τὸ γ', δίμετρον Ιωνικὸν βραχυκατάληκτον. Τὸ δ', σύνθετον ἐκ προσοδιακοῦ καὶ Ιαμβικοῦ, πενθημιμερές. Τὸ ε', φερεκράτειον. Τὸ ς', δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον. Τὸ ζ', δίμετρον χοριαμβικὸν βραχυκατάληκτον. Τὸ η', δίμετρον δοχμαϊκὸν ἀκατάληκτον. Τὸ θ', ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ι', Ιαμβικὸν δίμετρον βραχυκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτῆς.

Η ἐπῳδὸς, κώλων η'. Τὸ α', Ιαμβικὸν πενθημιμερές. Τὸ β', μονοστροφικὸν, τρίμετρον ἀκατάληκτον. Τὸ γ', Ιαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ δ', Ιωνικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ε', ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ς', Ιαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ζ', ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ η', παιονικὸν δίμετρον ἀκατάληκτον.

Ratio vero metrica ita ſe habet:

στροφὴ & ἀντιστροφή.

1. - υ - υ υ - υ
2. υ - υ - υ υ - υ -
3. - υ υ - - υ υ
4. υ - υ υ - υ υ - - - υ υ - -
5. υ - - υ υ - -
6. - υ υ - - υ - υ
7. υ - - υ - υ υ
8. υ - - υ - υ - υ υ υ
9. υ - υ υ υ - υ υ - υ υ
10. υ - υ - υ -

ἐπῳδὸς.

1. υ - υ υ - υ
2. υ - υ υ - υ - - υ υ - -
3. - - υ - υ υ - -
4. υ υ - - υ υ
5. - - υ - υ υ - - υ υ
6. - - υ - υ υ - υ - υ
7. υ - υ - υ - υ -
8. - υ - - υ υ

† ΙΠΠΟΚΛΕΑ ΘΕΣΣΑΛΩ, ΔΙΑΥΛΟΔΡΟΜΩ. HIPPOCLEÆ THESSALO, DIAULICURSORI.

ΑΡΜΑΤΙ. CURRU.

ΕΙΔΟΣ Ι'. ODE X.

ARGUMENTUM.

Laudatur Hippocleas Thessalus à victoriis Pythiorum & Olympiorum, à victoriis Phriciæ patris, à præmio victoriæ, ab amicis, præcipue Thorace, cujus monitu poëta præsentem hymnum compegit, ut sub finem innui videtur. More autem suo Pindarus arreptis occasionibus in digressiones divagatur.

στροφὴ α'. κῶλων ι'.

Ὀλβία Λακεδαίμον·
Μάκαιρα Θεσσαλία. Πατρὸς
Δ' ἀμφοτέραις ἐξ ἑνὸς
Ἀριστομάχου γένος Ἡρακλέος βασιλεύει.
Τί κομπέω παρὰ καιρόν;
Ἀλλά με Πυθώ τε, καὶ τὸ
Πελινναῖον ἀπύει,
Ἀλεύα τε παῖδες, Ἱπποκλέᾳ

METAPH.

Felix ô Lacedæmon:
O beata Thessalia. Patre
Vero utrisque ex uno
Aristomacho genus Herculis imperat.
Quid glorior intempestive?
Sed me Pythoque &
Pelinnæum vocat *& incitat,*
Alevæque filii, Hippocleæ

PARAPHRASIS.

Quemadmodum beata es ô Lacedæmon, sic etiam tu fœlix es ô Thessalia, eo nomine quod genere & principibus pares estis. Nam principes qui regnum vestrum obtinent, ex uno eodemque patre, nimirum Hercule præstantissimo in pugnis heroë, vobis ambabus sunt oriundi. Sed quid, utriusque genus extollens, intempestive glorior? Imo vero tempestive hujus honorificam mentionem facio: siquidem patriæ laus in cives redundat, & virum Thessalum laudare volo: ad quod me hortantur & Pytho certaminis locus celebris, & Pelinnæum Thessaliæ oppidum victoris patria,

NOTÆ.

† Ald. hab. Ἱπποκλεῖ. 1 Λακεδαίμων leg γ. Lon. sic exponi posse censet, Aliæ Urbes, aliis heroïbus clarent: at Pelinnæum Hippoclea præfulget: Vel sic etiam, Alii Lacedæmonem vel Thessaliam prædicent propter Heraclidas, ego vero Pelinnæum propter Hippocleam. Quia vero perpendit secum, Hippocleam non apte satis fortasse Herculis Soboli accommodari posse: ideo corrigens sese Poëta, Quid (inquit) non in tempore. hoc est, incommode & intempestive glorior, Hippocleam Heraclidis assimilando? ac statim suam cunctationem, adversariorumque objecta diluens, se id non suo arbitratu, sed Pythii Apollinis jussu facere ait. Quem in modum Hor. l. 1. Carm. Od. 7. orsus est, *Laudabunt alii claram Rhodon, aut Mitylenen, Aut Ephesum, bimarisve Corinthi Mœnia, vel Baccho Thebas, vel Apolline Delphos Insignes, aut Thessala Tempe*: & postea, *Me nec tam patiens Lacedæmon Nec tam Larissæ percussit campus opimæ, Quam domus Albuneæ resonantis.* 4 Ἀριστομάχου] Prædicat Lacedæmonem & Thessaliam felices ob gubernatores præstantes, & quidem ab uno Patre Aristomacho pronepote Herculis. Hujus Aristomachi filius Aristodemus Laconiam sortitus est, quum Heraclidæ Peloponnesum recuperarent: alius vero ἀπόγονος Aristomachi Alevas, Thessaliam occupavit, cujus posteri Alevadæ ab Historicis celebrantur. Herod. Polym. Vulg. & Lon. & Portus Schol. secuti sunt & volunt esse epitheton. non proprium nomen. Ita & Paraph. Aliter Phil. & Schmid. 7 Ἀπύει Codd. Vulg. qui παρακελεύονται, vel quid tale, sumunt ἔξωθεν, ut monet Schol. Confirmat nostram lectionem expositio Schol. βοᾷ καὶ προσκαλεῖται.

[Ἱπποκλέᾳ Θεσσαλῷ.] Τῷ μὲν τὸ γένος ὁ προκείμενος νικηφόρος, Θεσσαλός. πόλεως δὲ, * Πενναίυ. ἐνίκησε δὲ τὴν εἰκοστὴν δευτέραν Πυθιάδα. δοκεῖ δὲ μὴ ὑγιῶς ἐπιγεγράφθαι ᾠδὴ Ἱπποκλεῖ. δέον γὰρ Ἱπποκλέᾳ. τὸ γὰρ ὄνομα ἦν Ἱπποκλέας, ὡς καὶ αὐτὸς ὁ Πίνδαρός φησιν. ἐνίκησε δὲ καὶ οϛ'. καὶ ογ'. Ὀλυμπιάδα. τὴν δὲ Λακεδαίμονα νῦν παρείληφεν ὡς αὐτὸς δηλοῖ, ὅτι ἀμφότερα τὰ ἔθνη ὑπὸ τῶν Ἡρακλειδῶν ἐβασιλεύετο. ἐν δὲ τῇ αὐτῇ ἡμέρᾳ, ἐνίκησε καὶ στάδιον, οὗ οὐκ ἐμνήσθη. ἴσως τοῦ διαύλου μόνον μισθὸν λαβών. [Ὀλβία Λακεδαῖμον.] ὦ εὐδαιμονεστάτη Λακεδαῖμον, καὶ μακαρία Θεσσαλία. ἐν γὰρ ἀμφοτέραις, ἐξ ἑνὸς πατρὸς τοῦ γενναίου Ἡρακλέους, τὸ γένος βασιλεύει. τὸ δὲ ἀριστομάχου, ἐπιθετικῶς. ἀντὶ τοῦ, ἀρίστου κατὰ τὰς μάχας. [Τί κομπέω, παρὰ καιρόν;] οἱ μὲν, ὅτι κομπῶ, ἀλλόκοτον τι λέγω. εἶτα, ἡ μέση. κατὰ τὸν δέοντα καιρὸν κομπῶ. οἱ δὲ, οὕτως ὑφ' ἕν. τί κομπῶ καὶ φλυαρῶ παρὰ τὸν δέοντα καιρὸν, ἵνα τὴν κατὰ ἀντὶ τοῦ † παρὰ παραλάβωμεν. [Καὶ τὸ Πελινναῖον.] Πελινναῖον, πόλις Θεσσαλίας ἡ πατρὶς τοῦ νικηφόρου. ἀφ' ἧς καὶ τὸ ἐν Χίῳ ὄρος ἐκλήθη. [Ἀλευάδαι παῖδες.] ἤ, Ἀλεύα, τε παῖδες. Ἀλευάδαι παῖδες, ἤτοι καθόλου οἱ Θετταλοὶ, ἀπὸ Ἀλεύα τοῦ βασιλεύοντος. ὡς καὶ Σισυφίδαι οἱ Κορίνθιοι, ἀπὸ Σισύφου. ἢ Ἀλεύα παῖδες, οἱ ὄντες ἑταῖροι τοῦ Ἱπποκλέα. ὁ δὲ νοῦς, ἀλλά με ἡ Πυθὼ, καὶ τὸ Πελινναῖον, καὶ τοῦ Ἀλεύα οἱ παῖδες, ἀπύειν παρακελεύονται καὶ ὑμνεῖν· ἢ βοᾷ καὶ προσκαλεῖται, θέλοντές με τὴν ἔνδοξον καὶ ἐγκωμιαστικὴν τῶν χορευτῶν, ἐπ' αὐτὸν Ἱπποκλέα ἄγειν φωνήν.

* Lege Πελινναίυ, ut & Ed. Brub. ad marg. annotat. † Ed. Brub. παραλάβωμεν.

[Γονέται

Θέλοντες ἀγαγεῖν ἐπικωμίαν	Volentes adducere laudatricem
Ἀνδρῶν κλυτὰν ὄπα.	Virorum inclytam vocem.
ἀντιστροφὴ α'. κώλων ι'.	Μετaph.
Γεύεται γὰρ ἀέθλων·	Specimen-edit enim certaminum :
Στρατῷ τ' Ἀμφικτυόνων ὁ Παρ-	*In* concilioque Amphictyonum Par-
νάσιος αὐτὸν μυχὸς	naſſius eum receſſus [ciavit.
Διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν.	Diauli-curſorum ſupremum juvenum renun-
Ἄπολλον, γλυκὺ δ' ἀνθρώ-	O Apollo, dulcis vero homini-
πων τέλος, ἀρχά τε, Δαίμο-	bus *eſt* exitus, principiumque, Numi-
νος ὀρνύντος, αὔξεται,	ne impellente, incrementa-capit,
Ὁ μέν που τεοῖσι μήδεσι τοῦ-	Hic utique tuis conſilis hoc
τ' ἔπραξε· τὸ δὲ συγγενὲς ἐμβέβα-	Patravit: ſed & congenita-indoles inſiſtere-fe-
κεν ἴχνεσιν πατρὸς	cit *eum* veſtigiis patris
ἐπῳδὸς α'. κώλων η'.	Μετaph.
Ὀλυμπιονίκα,	Olympionicæ, *qui vicit*
Δὶς ἐν πολεμαδόκοις Ἄρεος ὅπλοις.	Bis in bello-idoneis Martis armis.
Ἔθηκε καὶ βαθυλείμωνα	Fecit & ampla-vireta-habente
Ἀγὼν ὑπὸ Κίρρας	Certamen ſub Cirrhæ
Πέτραν κρατησίποδα Φρικίαν.	Rupe victorem-pedum Phriciam.
Ἕποιτο μοῖρα καὶ ὑστέραισιν	Sequatur fortuna & poſterioribus

PARAPHRASIS.

& Theſſali Alevæ ſubditi, efflagitantes ut encomiaſtico hymno, qui in inclytis virorum choreis voce canatur, Hippocleam decorem. Nam certamen Pythiacum aggreſſus, ſuæ virtutis periculum fecit, & ſpecimen edidit: eumque in Parnaſſi receſſu qui eſt Pytho, in numeroſo Amphictyonum de victoria judicantium cœtu, inter juvenes præſtantiſſimum diauli curſorem præco promulgavit. Et cum quicquid proſpere aggrediuntur, quicquid fœlicem ad finem perducunt homines, id Deo acceptum ferre debeant, ô Apollo, hic Hippocleas rem proſpere geſſit, quod hunc illi certaminis exitum tuo conſilio præſtituiſſet. Quod autem certaminum ſtudio tenetur, hoc à natura inſitum habet, & à patre accepit, cujus veſtigiis inſiſtit. Etenim Phricias ejus pater certamina coluit, Olympiaca in quibus vicit bis armato curſu, quem in ſtadio exegit in gravi armatura currens, quali in bello utuntur. Item Pythiaca, quæ apud Pythonem ſub monte Parnaſſo ſitam ubi profunda ſunt prata, celebrantur, in quibus curſu victor evaſit. Quemadmodum autem antehac rerum ſucceſſu hi Phricias & Hippocleas fortunati fuerunt: utinam & in poſterum

NOTÆ.

9 Ἀγαγεῖν ἐπικωμίαν] Phil. Ducentem ſodalitii vocem. 10 Νέων leg. Schmid. pro ἀνδρῶν, nullo auctore. 12 Ἀφικτιόνων leg. Schmid. quo nomine initio appellatos fuiſſe ex Phocaicis Pauſaniæ patet. 18 Τεοῖσγε leg. γε. Perinde. Μήδεσι Edd. plurimæ. 22 Πολεμοδόκοις Alii. 23 Θῆκεν καὶ leg. Edd. præter Schmid. qui hab. ὅπλοισιν θῆκε. Βαθυλείμων' Schmid. 24 Ὑπὸ Κίρρας ἀγὼν tranſpoſita. Schmid.

[Γεύεται γὰρ ἀέθλων.] καὶ γὰρ ἀπόδειξιν γεύεται ἄθλων, καὶ μεταλαμβάνει νικηφόρος γεγονώς. ὡς νεωστὶ δὲ καταβάντος εἰς τοὺς ἀγῶνας ταῦτα φησίν. [Στρατῷ τ' Ἀμφικτυόνων.] ἐν γὰρ τῷ τῶν Ἀμφικτυόνων καὶ περιοίκων ὄχλῳ καὶ συνόδῳ, ἡ Πυθὼ αὐτὸν ἄριστον τῶν διαυλοδρόμων παίδων ἀνηγόρευσε. τουτέστιν, εἰς Πύθια δίαυλον ἐνίκησε. διαυλοδρομᾶν δὲ, ἀπὸ τῆς διαυλοδρόμης εὐθείας. αἱ διαυλοδρόμαι, τῶν διαυλοδρομῶν. καὶ τροπῇ Δωρικῇ, διαυλοδρομᾶν. καὶ πλεοναστέον ἴν' ᾖ διαυλοδρόμων. Παρνάσιος δὲ μυχὸς, ἡ Πυθώ. [Ἄπολλον.] προσφωνεῖ τὸν θεὸν, ἐπεὶ καὶ Πυθιονίκης ὁ νικηφόρος. ὦ Ἄπολλον φησι, τῶν γὰρ ἀνθρωπίνων πραγμάτων ἡδὺ τὸ τέλος αὔξεται, καὶ ἀρχὴ ἡδεῖα γίνεται, τοῦ δαίμονος αὐτὸν αὔξοντος. [Τεοῖσι μήδεσιν.] ὁ Ἱπποκλέας φησὶ, ταῖς σαῖς βουλήσεσιν ὦ Ἄπολλον ἐνίκησε καὶ τὴν νίκην διεπράξατο. τὸ δὲ ἀπὸ γένους αὐτοῦ ἔμφυτον, ἐπιβῆναι πεποίηκε τοῖς ἴχνεσι τοῦ Ὀλυμπιονίκου τοῦ αὐτοῦ πατρός. [Δὶς ἐν πολεμαδόκοις.] δὶς ἐνίκησε, φησὶν, ὁ Φρικίας ἐν Ὀλυμπίᾳ ὁ πατὴρ τοῦ Ἱπποκλέους. ἦν δὲ ὁπλίτης. διὸ φησὶν, ἐν πολεμαδόκοις Ἄρεος ὅπλοις. τοῦ γένους οὖν, φησιν, ἧκεν εἰς τὰ ἴχνη. καὶ γὰρ ἐκεῖνος ὁπλιτοδρόμος. καὶ οὗτος διαυλοδρόμος. ὁ δὲ νοῦς. τὸν Φρικίαν καὶ Ὀλυμπιονίκην ὄντα, ὁ ὑπὸ τὴν βαθυλείμωνα πέτραν τῆς Κίρρας ἀγὼν, τουτέστιν ὁ Πυθικὸς, κρατησίποδα ἐποίησε. διὰ γὰρ τούτου σημαίνει, ὅτι Ὀλυμπιονίκης ὢν, ἐγένετο καὶ Πυθιονίκης. [Ἕποιτο μοῖρα καὶ ὑστέραισιν ἐν ἁμέραις.] ἐπακολουθεῖν δὲ αὐτοῖς καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον, ἡ μοῖρα καὶ εὐτυχία. ὥστε αὐτοῖς αὔξειν τὸν ἀγλαόφρονα πλοῦτον.

Ἐν ἀμέραις, ἀγάνορα	In diebus, magnanimos-facientes
Πλοῦτον ἀνθεῖν σφίσιν.	Divitiæ ut-floreant ipsis.
στροφὴ β′. κώλων ι′.	Μετάφρ.
Τῶν δ᾽ ἐν Ἑλλάδι τερπνῶν	Inque Græcia voluptatum
Λαχόντες οὐκ ὀλίγαν δόσιν,	Sortiti non exiguam portionem,
Μὴ φθονεραῖς ἐκ θεῶν	Ne in-invidas divinitus
Μετατροπίαις ἐπικύρσαιεν. Θεὸς εἴη	Mutationes incidant. Deus sit
Ἀπήμων κέαρ. Εὐδαί-	Innoxius *eis* corde. Fortuna-
μων δὲ καὶ ὑμνητὸς οὗτος	tus vero & celebratus iste
Ἀνὴρ γίνεται σοφοῖς,	Vir fit sapientibus,
Ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ	Qui manibus aut pedum virtute
Κρατήσαις, τὰ μέγιστ᾽ ἀέθλων ἕλῃ	Cum vicerit, maxima præmiorum reportavit
Τόλμᾳ τε, καὶ σθένει·	Audaciaque & robore:
ἀντιστροφὴ β′. κώλων ι′.	Μετάφρ.
Καὶ ζώων ἔτι, νεαρὸν	Et vivens adhuc, juvenem
Κατ᾽ αἶσαν υἱὸν ἴδῃ τυχόν-	Decenter filium viderit ade-
τα στεφάνων Πυθίων.	ptum coronas Pythias.
Ὁ χάλκεος οὐρανὸς οὔπω ἀμβατὸς αὐτοῖς.	Æreum cœlum nondum ascendendum ipsis:
Ὅσαις δὲ βρότεον ἔθνος	Quoscunque vero *nos* mortale genus

PARAPHRASIS.

tam prospera sorte fruantur ambo, ut quæ superbos homines reddere solent, divitiis florentibus potiantur. Et cum à Diis non exiguo munere donati sint, quod certaminum victorias, quibus nihil jucundius, nihil illustrius est in Græcia, sortiti sint: utinam & divino beneficio iis contingat, ut in adversos casus, numine succensente animumque mutante non incidant: sed Deus inoffenso & pacato erga eos animo semper maneat. Porro fœlix est, & dignus qui a doctis & sapientibus viris celebretur, quicunque vel lucta, quæ manuum, vel cursu qui pedum strenuitate peragitur victoriam adeptus, cum audacia tum robore maxima præmia obtinuerit: quique cum adhuc viveret, filium juvenem viderit coronas ob Pythiacam victoriam decenter consequutum. Quod utrumque tibi cum obvenerit, beatus es Phricia: jamque nihil deest ad perfectissimam fœlicitatem, qualis capaces sunt mortales homines.

NOTÆ.

27 Ἐν leg. Alii. Pal. C. ἀν. 29 Omittit δ᾽ MS. γ. 30 Lon. vertit, Nec parum assecuti sunt munerum, vel, ut ad marginem apponit, Certaminum. Ὀλίγων Commune leg. Impressi. 31 Φθονεραῖς μετατροπίαις] Id est, Invidia, seu ab Invidia proficiscentibus, ut Portus ad differentiam mutationum bonarum, quæ à Diis propitiis contingunt. 32 Θεὸς κ. λ.] Phil. Deus sit ejus innoxium fatum, quasi τὸ κέαρ resolutum esset ἡ κὴρ, Parca. 37 Ad hunc locum ita Schmid. Lego κράτησε, τὰ μέγιστ᾽ ἀέθλων ἑλών, & mox pro ἴδῃ, ἰδών. licet sit Hypallage, quam explicantes quidam adscripsisse videntur: hoc est, κρατήσαις ἕλῃ καὶ ἴδῃ· quod Scholion postea imperitus aliquis arripuit & pro Textu reposuit. De metri ratione, quæ proculdubio hanc Hypallagen in mentem injecit, diximus alibi. Et an Lector contra Codd. fidem admissurus sit, nobis non videndum. Interim & id patet, viros doctos sæpius σχήματα in Antiquorum scriptis indicare velle, ubi non apparent. Quippe volunt omnia esse difficilia, & diversa esse à nostris locutionibus; quanquam fatendum sit in alteram partem eos plus peccasse. 38 Τόλμᾳ] Schmid. reponit θράσει, & τόλμᾳ esse Scholion scribit. Quare id, nescias, nisi metrum recurreret. 40 Ἴδοι MS. γ. Ἴδεν leg. Bened. cujus conjecturæ occasionem præbuit licentia Schmidii antea notata, ut ζώων ἴδεν pulchre responderet, κράτησε ἑλών. 42 Phil. & Alii Intt. Schol. secuti sunt. Schmid. interpret. ut Poëta similia dicat Horat. lib. 1. Od. 2. *Serus in Cœlum redeas, diuque Lætus intersis populo Quirini.* Οὔπω igitur reponit pro οὔποτ᾽. Χάλκεος explicat κῶλον 6, N. 6. 43 Βροτὸν leg. Schmid.

Τῶν δ᾽ ἐν Ἑλλάδι.] τῶν δὲ κατὰ τὴν Ἑλλάδα καλῶν μετεσχηκότες οὐκ ὀλίγον, μὴ ἐναντίαις μεταβολαῖς συντύχωσι παρὰ τῶν θεῶν. [Ἀπήμων κέαρ.] ἀβλαβὴς καὶ ἀνόργητος ἐπὶ τοῖς αὐτοῦ κατορθώμασιν εἴη ὁ θεός. [Εὐδαίμων δέ.] εὐτυχὴς δὲ οὗτος ἀνὴρ καὶ πολυύμνητος παρὰ τοῖς σοφοῖς γίνεται, ὃς ἄν, πάλῃ ἢ δρόμῳ, τόλμῃ τε καὶ ἀνδρείᾳ νικήσας, τὰ μέγιστα τῶν κατορθωμάτων δέξηται. καὶ πρὸς ἐπὶ τούτοις ἔτι καὶ ζῶν ἴδῃ τὸν νεώτερον αὐτοῦ υἱόν, κατὰ τὸ προσῆκον, Πυθικῶν στεφάνων τυχόντα. καὶ ἀπὸ κοινοῦ, τὸ εὐδαίμων. [Ὁ χάλκεος οὐρανός.] οὐκέτι μέν τοι ὁ στερεὸς οὐρανὸς καὶ ἰσχυρὸς, ἐπιβατὸς αὐτοῖς ἐστιν. οἱονεί, τοῖς εἰς ἄκρον οὕτως εὐδαιμονίας ἐλθοῦσιν, οὐκ ἔστι καὶ θεοῖς συγγενέσθαι. ὡς τῶν ἐν ἀνθρώποις ἄκρων καὶ τελείων εὐτυχημάτων αὐτῶν μετασχόντων, τῶν τὴν τοιαύτην εὐτυχίαν εὐτυχησάντων. [Ἄλλως.] τῷ τοιούτῳ φησί, τῷ παῖδας ἐσχηκότι, καὶ ἃ προείρηκα εὐτυχήματα, οὐκ ἀναβατὸς μόνον ὁ οὐρανός. ὅτι, ὡς ἐν θνητοῖς εὐδαίμονές εἰσιν. ἀθάνατοι γὰρ οὐ δύνανται γενέσθαι. [Ὅσαις δὲ βρότεον ἔθνος.] ὅσων δὲ ἀγλαϊῶν καὶ ἀγαθῶν οἱ ἄνθρωποι ἐφαπτόμεθα εὐδαιμονίας. ὁ δὲ λέγει, τοιοῦτόν ἐστι. τῶν ἀνθρωπίνων καλῶν τὸ πέρας καὶ τὸ τέλος ἔχει, ὁ τὴν τοιαύτην εὐδαιμονίαν εὐτυχήσας· τὸ, καὶ αὐτὸν νικῆσαι, καὶ τὸν υἱὸν ἰδεῖν νικήσαντα. ὅσαις δὲ, ἀντὶ τοῦ ὅσων, ἀντὶ γενικῆς ἐχρήσατο.

[Ναυσὶ

Αγλαΐαις ἁπτόμεσθα,
Περαίνει πρὸς ἔσχατον
Πλόον. Ναυσὶ δ', οὔτε πεζὸς ἰὼν,
Αν εὕροις ἐς Υπερβορέων ἀγῶ-
να θαυμαστὰν ὁδόν.

ἐπῳδὸς β'. κῶλων η'.

Παρ' οἷς ποτε Περσεὺς
Εδαίσατο λαγέτας, δώματ' ἐσελθὼν,
Κλειτὰς ὄνων ἑκατόμβας
Επιτόσσαις Θεῷ
Ρέζοντας· ὧν θαλίαις ἔμπεδον
Ευφαμίαις τε μάλιστ' Απόλλων
Χαίρει· γελᾷ θ' ὁρῶν ὕβριν
Ορθιὰν κνωδάλων.

Splendores attingimus, *eorum quilibet*
Perducit ad extremam [fter profectus,
Navigationē. *Neque* navibus vero, neq; pede-
Inveneris ad Hyperboreorum certa-
men admirandam viam:

Μετάφρ.

Apud quos olim Perseus
Epulatus-est dux, domos *eorum* ingressus,
Inclytas asinorum hecatombas
Quum-invenisset Deo
Sacrificantes: quorum festis-dapibus jugiter
Lætisque-acclamationibus maxime Apollo
Gaudet: ridetque videns injuriam
Arduarum bestiarum.

Paraphrasis.

Unum desiderare possis, ut socius Deorum fias: sed nulli sane mortalium Deo fieri, cœlumque solidum conscendere conceditur. Divitiæ, & victoriæ cum propriæ, tum liberorum sunt fœlicitatis humanæ modus: & hic est veluti nostræ ad beatitudinem navigationis terminus: ita ut ulterius progredi non liceat: ut neque in mari Gades præternavigare, & vel maritimo vel pedestri itinere populos Hyperboreos adire, quorum ad certamen, hoc est, conventum admirabilis est via. Ad quos tamen, sed duce Minerva, devenit dux Perseus, eorumque ædes ingressus invenit inclytas asinorum hecatombas Apollini immolantes, cumque iis est epulatus. Horum autem festis dapibus, lætisque acclamationibus summopere delectatur Apollo, ridetque intuens procerorum illorum animalium saltationem, qua, quum cæduntur, in occisores insolenter insurgunt.

Notæ.

45 Περαίνει] Supple τούτων [ἀγλαΐων ἑκάστη] περαίνει h. e. omnis felicitas ut Phil. suas metas habet. 47 Εὕροις ἂν ἐς, Impressi. Αγῶνα] Hoc est, Locum Certaminum, Schmid. 48 Θαυμαστὰν] Propter ἀγῶνα, Schmid. qui & θαυμαστὰν recte legi censet. 50 Δώματα ἐσελθὼν MS. γ. Ad hunc locum Lon. Inconcinna nec admodum ad rem pertinenti digressione Pindarum hic uti, Scholiastes affimat. Enimvero Poëta Poëtica dilatatione utitur. Alioqui eadem ratione nusquam huic nostro παρέκβασις erit admittenda. Quid est ergo quod tam sinistre de minime malo vate pronunciat, quum pro Lyricis legibus optime sit collocatus hymnus? Hæc ille. Quod sane est optimum de Pindari scriptis judicium, in quibus imperiti, παρεκβάσεις, digressiones, Fabulas & Narrationes quæ ad Heroïs laudes non spectant, & quæ potius aniculam decent, adinveniunt; & cum elatum Pindari genium non assequantur, per turpem inscitiam notas inurunt pauculis hisce, ex innumeris illius deperditis, scriptis. Quî autem sperandum, integram Poëtæ faciem nobis, hinc agnosci? Verum & in hisce reliquiis non plane mutatus videtur ab illo Pindaro, quem Horatius aliique veteres depinxerunt. 52 Επιτόσσαις MS. γ. 53 Ρέζοντας] Asinus est animal stupidum & ignavum: Apollini vero mactari dicitur, quando ingenium rude, literis excolendum consecratur. Lon. & Aret. 55 Ὕβριν] Mactationem, Phil. Vim quæ eis infertur, Lon. Vulg. Insolentiam. 56 Ορθιὰν κνωδάλων] κνωδάλων vult Schol. proprie dici Animalia marina, sc. quia etymon tradunt Grammatici, παρὰ τὸ κινεῖσθαι ἐν ἁλί. Sed cum id ipsum ridiculum est; tum etiam falsum est, pro Aquaticis animalibus proprie sumi; uti cuivis, qui Lexica inspexerit, notum est. Qui velit, Indicem videat. Stupidius tamen etymon ἀπὸ τοῦ ἀλίσκεσθαι κυσὶν, ex Eustathio citat Bened. utpote huic loco magis consentaneum. At saltem Etymologia, si qua habenda est, conveniat vocis significationi. Quid vero Asinis cum Venatu, & Canibus? Schmid. secutus Schol. interpretatur, Bestiarum jugulis solutis salientium, & nonnunquam in posteriores pedes innitendo in altum sese erigentium. Quam esse imaginem perridiculam, cum Didymo sentiendum. Hanc vero, quia potiorem expositionem non afferimus, aliquis excuset, quod Apollinem γελῶντα inducat Poëta, ideoque Dei risu dignam exhibere Scenam oporteat.

[Ναυσὶ δ' οὔτε πεζὸς ἰών.] οὔτε πεζὸς, οὔτε πλῷ πεχρησάμενος εἰς τὸ τῶν Υπερβορέων ἄθροισμα, εὐμαρῶς εὕροις τὴν ἐπ' αὐτοὺς θαυμαστὴν ὁδόν. ὁ δὴ νῦν αὐτῷ πρὸς τὴν εὐτυχίαν, ὥσπερ οὐκ ἔστιν εὐμαρὲς εἰς τὸ τῶν Υπερβορέων ἔθνος παραγίνεσθαι· οὕτως οὐδὲ ταύτης τῆς εὐτυχίας μείζονα εὑρεῖν εὐμαρές ἐστιν. [Ες Υπερβορέων ἀγῶνα.] ἀγῶνα δὲ, τὸ ἄθροισμά φησιν. ἵν' ᾖ, εἰς τὸ τῶν Υπερβορέων ἄθροισμα πορευόμενος, τὴν ἐπ' αὐτοὺς ἄγουσαν οὐκ ἂν εὕροις ὁδόν. μέχρι δὲ τούτων ὁ Πίνδαρος, καλῶς τὸν ἐπίνικον ἔγραψεν. ἠσόχησε δὲ τὰ μετὰ ταῦτα, ἀλόγῳ παρεκβάσει χρησάμενος. [Παρ' οἷς ποτε Περσεὺς.] παρ' οἷς, τοῖς Υπερβορέοις ὁ Περσεὺς, εὐωχήθη εἰς τὰς οἰκίας αὐτῶν εἰσελθών. καὶ καταλαβὼν αὐτοὺς διὰ τῶν ὄνων ἐνδόξους θυσίας τελοῦντας τῷ θεῷ Απόλλωνι. οἱ γὰρ Υπερβόρειοι ὄνους θύουσι τῷ Απόλλωνι. ὡς καὶ Καλλίμαχός φησι. Τέρπουσι λιπαραὶ Φοῖβον ὀνοσφαγίαι. [Ων θαλίαις ἔμπεδον.] ὧν τῶν Υπερβορέων μάλιστα διηνεκῶς ταῖς εὐφημίαις καὶ εὐωχίαις χαίρει ὁ θεός. ἥδεται γάρ, φησιν, ὁ Απόλλων, θεωρῶν τὴν τῶν θηρίων ἀναίρεσιν. ὕβριν γὰρ τὴν ἀναίρεσίν φησι, διὰ τὰ σκιρτήματα ἃ ἐν τῇ σφαγῇ ποιοῦνται οἱ ὄνοι. [Ορθιὰν κνωδάλων.] ἔπαιξεν ὁ Πίνδαρος, ὡς τῶν ὄνων ὀρθιαζόντων ὅτι ἱερουργοῦντο. κνωδάλων μὲν ὄντων κυρίως τῶν θαλαττίων ζώων. καταχρηστικῶς γε καὶ τῶν χερσαίων. ἢ οὕτω. μεγάλων διὰ τὸ τῶν ὄνων τερατῶδες τοῦ σώματος. ταῦτά φησι Δίδυμος μετὰ τοῦ γελοίου, καὶ ἄσημά ἐστι. τίνα γὰρ λόγον ἂν ἔχοι, ἥδεσθαι τὸν Απόλλωνα τοῖς ὀρθιάζουσιν ὄνοις; φησί.

στροφὴ γ'. κώλων ι'.

Μοῖσα δ' οὐκ ἀποδαμεῖ
Τρόποις ἐπὶ σφετέροισι· παν-
τᾶ δὲ χοροὶ παρθένων,
Λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν δονέονται·
Δάφνᾳ τε χρυσέᾳ κό-
μας ἀναδήσαντες, εἰλα-
πινάζοισιν εὐφρόνως·
Νόσοι δ', οὔτε γῆρας οὐλόμενον
Κέκραται ἱερᾷ γενεᾷ· πόνων
Δὲ καὶ μαχᾶν ἄτερ

METAPH.

Musa autem non exulat
A moribus ipsorum: sed u-
bique chori virginum, [tur:
Lyrarumq; sonitus, strepitusq; tibiarũ agitan-
Lauroque perpulchra co-
mas redimientes, epu-
lantur hilariter & amice:
Neque morbi vero, neque senectus perniciosa
Permixta est sacræ genti: laborum
Vero & bellorum expertes

ἀντιστροφὴ γ'. κώλων ι'.

Οἰκέοισι, φυγόντες
Ὑπέρδικον Νέμεσιν. Θρασεί-
ᾳ δέ πνέων καρδίᾳ [να,
Μόλεν Δανάας ποτὲ παῖς, ἁγεῖτο δ' Ἀθά-
Ες ἀνδρῶν μακάρων ὅ-
μιλον· ἔπεφνέν τε Γοργό-
να, καὶ ποικίλον κάρα

METAPH.

Habitant, evitantes
Ultricem Nemesin. Auda-
ci autem spirans corde
Venit Danaës olĩ filius, dux vero erat Minerva,
Ad virorum *horum* beatorum cœ-
tum: occiditque Gorgo-
nem, & variegatum caput

PARAPHRASIS.

Tanta autem vitæ jucunditate fruuntur, ut Musices studio sese recreent Hyperborei, choreas cum virginibus celebrent, in quibus citharœdi lyras pulsant, tibicines tibias inspirant dulcissimam excitantes harmoniam: præterea fronte comisque laurea corona redimitis hilaria inter se convivia agitant: Ea vero corporis temperie est sacra gens illa, ut neque morbis afflictentur, neque molesta ac perniciosa senectute atterantur. Porro à laboribus immunes permanent, perpetuamque pacem foventes, & sine contentionibus conversantes una habitant. Et sic injuriarum ultricem Nemesin non irritant, sed evitant. Ad hunc inquam beatorum hominum conventum, Perseus Danaës filius audaciam corde spirans, olim duce Minerva se contulit, & Gorgonem Medusam interemit, & caput ejus variegatum

NOTÆ.

62 Εἰλαπινάζοισιν] Athen. l. 8. scribit τὴν εἰλαπίνην fuisse θυσίαν, & apparatum splendidiorem; & derivari censet à λαφύττειν vel λαφάζειν. Exinanire vel impendere. Didymus ad Od. A. dicit esse μεγάλην εὐωχίαν, ἐν ᾗ κατὰ εἴλας καὶ συστροφὰς εὐωχοῦνται, ubi certus cœtus per vices ordine ἀμειβόμενοι convivantur. Od. B. v. 57. sumitur de opiparo Convivio. Ovid. l. 4. Metam. *Sertaque dependent tectis, & ubique Pyraque Tibiaque, & cantus animi felicia læti Argumenta sonant.* 63 Εὐφρόνως] Sobrie, Lon. Schol. secutus, qui exponit, σωφρόνως. 64 Νόσοι. γ. De Hyperboreorum felicitate vide sis, l. 4, c. 12. Non vero ea exscribemus, quæ ad illustrationem hujus loci minimo necessaria videntur.

[Μοῖσα δ' οὐκ ἀποδαμεῖ.] ἡ δὲ μοῦσα, οὐκ ἔστιν ἀπόδημος ἀπὸ τῶν τρόπων καὶ τῶν ἠθῶν αὐτῶν. ὅ ἐστιν, οὐκ εἰσὶν ἄμουσοι. [Παντᾶ δὲ χοροὶ παρθένων.] πανταχοῦ δὲ εἰς τὸ τῶν Ὑπερβορέων ἔθνος, παρθένων χοροί. λύρας τε ἦχοι καὶ κτύποι. καὶ τῶν αὐλῶν δὲ οἱ κτύποι κινοῦνται. τῇ δὲ εὐφύλλῳ δάφνῃ, τὰς ἑαυτῶν κεφαλὰς στεφόμενοι εὐωχοῦνται, σωφρόνως καὶ συνετῶς. [Νόσοι δ' οὔτε γῆρας οὐλόμενον.] οὔτε νόσοι τῇ ἱερᾷ αὐτῶν γενεᾷ, οὔτε ὀλέθριον γῆρας μέμικται, μόχθων δὲ καὶ μάχης, μακρὰν εἰσι, τὴν παρὰ τὸ δίκαιον ἐκφεύγοντες ὕβριν. οἱονεὶ, οὐκ ἄδικα πράττοντες. καὶ μέμψιν ὑφίστανται παρὰ τῶν θεῶν· ἐφ' οἷς οὔτε νεμεσῶσιν αὐτοῖς οἱ θεοί. ἀλλὰ φυγόντες τὴν ὑπὲρ τὸ δίκαιον νέμεσιν, οἰκοῦσι χωρὶς πόνων. οὐ γὰρ ἀδικοῦσιν ἀλλήλους. ἀλλὰ πεφεύγασι τὴν παρὰ τὸ δίκαιόν τι πράσσειν νέμεσιν. τουτέστι, μέμψιν. [Θρασείᾳ δὲ πνέων καρδίᾳ] τῇ γενναίᾳ δὲ πνευστιῶν ψυχῇ ὁ Περσεὺς, εἰς αὐτοὺς παρεγένετο. εἰς δὲ τὸ τῶν μακάρων ἀνδρῶν ἔθνος παραγενομένῳ αὐτῷ, προεκαθηγεῖτο ἡ Ἀθηνᾶ. [Ἔπεφνέν τε Γοργόνα.] ἡ ἱστορία ἐστὶ τοιαύτη. ὅτι ὁ πάππος Ἀκρίσιος ἀποκυήσασαν τὸν Περσέα τὴν Δανάην, λαθραίως τότε ἐνείρξας αὐτὴν εἰς τὴν κιβωτὸν μετὰ τοῦ παιδὸς, καθῆκεν εἰς τὸ πέλαγος· καὶ προσηνέχθη ἡ κιβωτὸς, Σερίφῳ τῇ νήσῳ, ἧς Πολυδέκτης ἐβασίλευε. καί ποτε ἀνδρωθέντος αὐτοῦ καὶ ἑστιωμένου παρὰ τῷ Πολυδέκτῃ, παρ' ἑτέρων ἕτερα εἰσφερόντων εἰς τὸν ἔρανον, αὐτὸς τὴν τῆς Γοργόνος κεφαλὴν ὑπέσχετο. ὁ δὲ Πολυδέκτης ἀχρεῖον πρόφασιν λαβὼν, τὴν ὑπόσχεσιν ἀπῄτει αὐτόν. καὶ ἐξήλαυνε τῆς νήσου πρὸς τὸ κομίσαι τὴν κεφαλήν. ἤρατο γὰρ τῆς μητρὸς αὐτοῦ. ὁ δὲ, ἀπελθὼν καὶ τεμὼν τῆς Γοργόνος τὴν κεφαλὴν εἰσήνεγκεν εἰς τὸν ἔρανον. καὶ πάντας ἀπελίθωσε τοὺς ἐν τῷ συμποσίῳ, καὶ αὐτὸν τὸν Πολυδέκτην. ζητεῖται δὲ πῶς εἰς Ὑπερβορέους ἦλθεν ὁ Περσεὺς, ἐπὶ τῷ ἀποτεμεῖν τὴν κεφαλὴν

τῆς

Δρακόντων φόβαισιν ἤλυθε να-	Draconum jubis rediit insu-
σιώταις λίθινον θάνατον φέρων.	laribus lapideam mortem afferens.
Ἐμοὶ δὲ θαυμάσαι,	Mihi autem in-admirando,
ἐπῳδὸς γ'. κῶλον η'.	METAPH.
Θεῶν τελεσάντων,	Diis perficientibus,
Οὐδέν ποτε φαίνεται ἔμμεν ἄπιστον.	Nil unquam esse videtur incredibile.
Κώπαν σχάσον· ταχὺ δ' ἄγκυ-	Remum inhibe: mox vero anco-
ραν ἔρεισον χθονὶ	ram fige in-terra
Πρῴραθε, χοιράδος ἄλκαρ πέτρας.	E-prora *projectam*, latentis remedium scopuli.
Ἐγκωμίων γὰρ ἄωτος ὕμνων	Laudatoriorum enim flos hymnorum
Ἐπ' ἄλλοτ' ἄλλον, ὥς τε μέ-	In alium subinde, velut A-
λισσα, θύνει λόγον.	pis, festinat sermonem.
στροφὴ δ'. κῶλον ι'.	METAPH.
Ἐλπομαι δ' Ἐφυραίων	Spero autem, Ephyræis *Thessalis*

PARAPHRASIS.

jubis serpentum attulit, quod Polydictæ Seriphi insulæ regi in cœna promiserat, cum alii aliud in eam contulissent, ipse vero nihil. Quo allato, & Seriphiorum conspectui objecto, insulares illi omnes enecati sunt, & in saxum commutati. At sane mirari possit aliquis quod cum impossibilem esse dixerim ad Hyperboreos profectionem, Perseum tamen ivisse dico. Certe id mirum quidem videatur: at impossibile & incredibile non putem: quia duce Dea ivit Perseus. Diis autem adjuvantibus nihil non perficitur. Sed quo tendis anime mi digrediens ad aliena à re? Luxuriantem materiam præcide, & stylum cohibe: & quemadmodum anchora è prora navis in terra projecta, navim adversus tempestatis pericula firmat, ne per mare jactata in scopulos latentes impingat: sic ab instituti encomii argumento non longius recedens, periculosum orationi, vitiosumque prolixiorum digressionum genus remove. Etenim ut apis uni flori non insistit diu: sed ex diversis idonea conficiendo melli festinanter colligit: sic poëta encomiasticum hymnum contexens, una in re non debet immorari, sed cujusque flores tantum, ornatus causa breviter decerpere. Porro, Thessalis Ephyræis, alias Cranoniis civibus

NOTÆ.

74 φόβαισιν] Lon. vertit, Terroribus, qu. esset φόβοισιν. 76 Ἐμοὶ] Phil. & Lon. hæc verba adhuc ad φέρων referunt, posito commate post φέρων, & puncto post θαυμάσαι, ut sit sensus, Perseus attulit Seriphiis mortem saxeam, mihi vero admirationem. Sed Schmid. existimat diluere objectionem, quam habes in Paraphrasi. Verum uti objectioni satisfecit in iis. ἁγεῖτο δ' Ἀθάνα. Non sine Dea, profectus est Perseus, ideo nemo mortalium qui nunc sunt ad Hyperboreos iter facere potest, quia nimirum Minerva duce opus est. Quæ igitur hic dicit, referenda sunt ad prodigia ista, quæ paulo ante narravit de Gorgone &c. Imo & ea Schmid. non excludit. 77 Τελεσάντων τι, ὔποτι ἔμμεναι φαίνετ' ἄπιστον, leg. Schmid. referens τι ad τελεσάντων. 81 Χοιράδος] Proprie, Porculæ, ut docent Lexica. Postea Scopulus Submarinus, paululum è mari instar Porci natantis prominens. Hac voce utitur Theocr. & Alii de Symplegadibus, ut crederes, inde enatum hunc significatum. Eas enim petras primo natasse volunt Poëtæ, inter quos est hic noster. Schol. vero vult esse submarinas petras, ad quas fluctus allisi, καχλάζουσι, id forte est, porcorum sonum edunt, vel grunniunt. 85 Vide Schol. ad hanc † notam. Κρανὼν non nominatur à Schol. ad Ol. 1, 127, nisi sit idem ac Χάλκων.

τῆς Γοργόνος. οἱ γὰρ Ὑπερβόρεοι, περὶ τοῖς Ἀρκτῴοις οἰκοῦσιν, αἱ δὲ Γοργόνες κατά μέν τινας, ἐν τοῖς Ἐρυθραίοις μέρεσι καὶ τοῖς Αἰθιοπικοῖς. ἅ ἐστι πρὸς ἀνατολὴν καὶ μεσημβρίαν. κατὰ δέ τινας, ἐπὶ τῶν περάτων τῆς Λιβύης. ἅ ἐστι πρὸς δύσιν. ὅτι δὲ αἱ Γοργόνες οὐκ εἰσὶ πρὸς Ἄρκτους, δῆλον. οὐδεὶς γὰρ ἱστόρησεν. [Ἐμοὶ δὲ θαυμάσαι.] ἐμοὶ δὲ ὥστε θαυμάσαι, οὐδὲν εἶναι ἄπιστον φαίνεται, θεῶν κατασκευαζομένων. ἢ οὕτως. οὔτε θαυμάσιον, οὔτε ἄπιστον οὐδὲν ἐμοὶ φαίνεται τῶν ὑπὸ θεῶν ἐμοὶ γινομένων. Ὅμηρος. Θεοὶ δέ τε πάντα δύνανται. [Κώπαν σχάσον.] ἐπιτιμᾷ ἑαυτῷ ὁ Πίνδαρος ὡς πολλῇ χρησαμένῳ τῇ παρεκβάσει. καὶ τροπικῶς περάγεται τὸν λόγον ὡς ἐπὶ νεώς. ἐπεὶ κωλύει τὰς ναῦς ἐξοκέλλειν ἐπὶ τὰς πέτρας, διὰ ἀλέξησιν τῆς πέτρας. ὅπως σώσῃ τὴν πρῷραν ἀπὸ τῆς πέτρας. ὁ δὲ νοῦς. παῦσον τὴν κώπην. ταχέως δὲ τὴν ἄγκυραν ἀπὸ τῆς πρῴρας τῇ γῇ κατέρεισον καὶ κατάθες· ὥσαν τὴν ἄγκυραν βοήθημα καὶ ἀλέξημα τῆς χοιράδος πέτρας. χοιράδες δὲ λέγονται πέτραι, αἱ ὕφαλοι. ἐφ' ὧν καχλάζει τὸ κῦμα. καὶ λανθάνειν αὐτὰς ὑποκειμένας παρασκευάζειν. ὥστε λανθάνειν προσπλεούσας τὰς ναῦς. τὸ δὲ πρῴραθεν, ὅτι ἐκ τῆς πρῴρας καθίενται αἱ ἄγκυραι εἰς τὴν θάλασσαν. [Ἔλπομαι δ' Ἐφυραίων.] φατεία περὶ Θετταλοῖς ἡ τῶν Ἐφυραίων. οἱ δὲ, ὅτι κάλλιον τοὺς Κρανωνίους ἤκουσαν. ἡ γὰρ Κρανὼν τὸ πρότερον, Ἐφύρα ἐκαλεῖτο. ὕστερον δὲ μετωνομάσθη Κρανών, ἀπό τινος βασιλεύσαντος Κράνωνος. καὶ ἀναιρεθέντος ὑπὸ Οἰνομάου, μνηστευσαμένου τὴν Ἱπποδάμειαν. Ἐζήτηται δέ τισι, τίνας νῦν τοὺς Ἐφυραίους φησίν· ὁ μὲν γὰρ Ἀγέστρατος, τοὺς Κορινθίους φησίν. Ἐφύρα γὰρ ἡ Κόρινθος. ὡς καὶ Ὅμηρος. Ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο. καὶ ἀποδίδωσι τὴν διάνοιαν οὕτως. ὅτι νικήσει ὁ νικηφόρος Ἴσθμια. καὶ ὑπὸ τῶν Κορινθίων ἀνυμνήσεται. γελοῖον δέ. τί γὰρ μᾶλλον εἰκὸς εὔχεσθαι μὴ τὸν Ὀλυμπιακὸν ἀγῶνα νικῆσαι. τινὲς δὲ Ἐφυραίους, τοὺς ἐν Θεσπρωτίᾳ ἤκουσαν. ἧς καὶ Ὅμηρος μνημονεύει. Τὴν ἄγετ' ἐξ Ἐφύρης, ποταμοῦ ἀπὸ Σελλήεντος. ὁ δὲ Πίνδαρος, ἀμφὶ Πηνειὸν φησὶν αὐτούς. δῆλον δὲ ἐντεῦθεν, ὡς ὁ Πηνειὸς τῆς Θετταλίας ἐστί. καὶ φαίνεται ὅτι Ἐφυραίους, οὔτε τοὺς ἐν Θεσπρωτίᾳ οὔτε τοὺς Κορινθίους φησί. Ῥητέον οὖν ὅτι τοὺς Κρανωνίους. † Κρανὼν δὲ, πόλις

Οπ' ἀμφὶ Πηνεϊὸν γλυκεῖ-	Vocem circa Peneium dul-
αν προχεόντων ἐμὰν,	cem fundentibus meam,
Τὸν Ιπποκλέα ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς	Hippocleam adhuc etiã magis cum carminibus
Εκατι στεφάνων, θα-	Ob coronas, admi-
ητὸν ἐν ἄλιξιν θησέ-	randum inter coætaneos effectu-
μεν, ἔν τε παλαιτέροις,	rum, & seniores;
Νέαισίν τε παρθένοισι μέλη-	Juvenculisque virginibus cu-
μα. Καὶ γὰρ ἑτέροις ἑτέρων ἔρως	ram. Etenim aliis aliorum amor
Εκνιξε γε φρένας.	Mulcere-solet pectora.
ἀντιστροφὴ δ'. κώλων ι'.	ΜΕΤΑΦΡ.
Τῶν δ' ἕκαστος ὀρούει,	Quorum autem quisque *desiderio* rapitur,
Τυχών κεν, ἁρπαλέαν σχέθοι	*Ea* consecutus, avide-arreptam tenet
Φροντίδα, τὰν πὰρ ποδός. [στιχ.	Curam, quæ *est* ad pedes.
Τὰ δ' εἰς ἐνιαυτὸν, ἀτέκμαρτον προνοῆ-	At in annum signũ-non-est-datum prævidere.
Πέποιθα ξενίᾳ προσ-	Fretus-sum hospitalitate ami-
ανέϊ Θώρακος, ὅς περ	ca Thoracis: qui
Εμὰν ποιπνύων χάριν,	Meum expetens officium,
Τό δ' ἔζευξεν ἅρμα Πιερίδων	Hunc junxit currum Pieridum

PARAPHRASIS.

meum carmen circum Peneum Thessaliæ fluvium dulci voce canentibus, spero fore ut illo meo encomiastico hymno in gratiam Pythionicæ Hippocleæ composito, efficiam illum inter coætaneos, & ætate provectiores spectabiliorem, utque curæ sit puellis, & ab iis colatur, ut quæ cantilenis gaudeant, sicuti ille delectatur certaminibus. Etenim alii alia amplectuntur & amant. Sed prudentis est, quum optatis potitur, bona illa præsentia tanquam certa diligere, in iisque studium & curam collocare: nec tam solicitum esse rerum futurarum, quarum incertus est eventus, & quem nullo argumento providere possis. Porro externus amicus Thorax, cujus blandæ amicitiæ confido, me sui amantem amans, jamque ultro euntem & properantem incitans, efflagitavit ut Hippocleam mei carminis beneficio cohonestarem: mihique tanquam author fuit, ut præstabilem hunc hymnum à Musis inspiratum contexerem,

NOTÆ.

88 Ιπποκλέαν Schmid. 90 Αλιξι leg. Schmid. 91 Θησέμεναι καὶ παλαιτέροις leg. Schmid. Παλαιοτέροισι Edd. 92 Vid. Od. præced. v. 174. Παρθένοις μέλημα. γ. 94 Εκνιξε φρένας Codd. impressi præter Ald. Schmid. corrigit τὰς φρένας. 95 Τῶν δ'] Quod quisque amat, id adeptus, avide amplexatur. Itaque & Juvenes qui exemplis exstimulantur; & senes, qui virtute præditos laudant & honorant; & Virgines, quæ hymnos & Juvenes decantatos amant, omnes deinceps Hippocleam sonabunt, & magni facient, adepti videlicet singuli aliquid, quod suo desiderio conveniat, ut παραφράζει Schmid. 96 MS. γ. leg. σχέθει in Optat. non male.

λις Θεσσαλίας, Θεσσαλὸς δὲ καὶ ὁ νικηφόρος. οὗτοι δὲ πρότερον οἱ Κρανώνιοι, Εφυραῖοι ἐκαλοῦντο. μαρτυρεῖ δὲ τούτῳ Καινέας. φησὶ γὰρ ἄρχειν αὐτὸν ὑπὸ τῷ Κρανῶνι. καὶ ἐλθεῖν ἐπὶ τὸν τῆς Ιπποδαμείας γάμον ἐν Πίσῃ. εἶτα ἐπεὶ καταστρέψαντα τὸν βίον, οἱ Θεσσαλοὶ τὴν Εφυραν καλουμένην πόλιν, εἰς τιμὴν τοῦ τεθνηκότος, Κρανῶνα μετωνόμασαν. ὁ δὲ νοῦς, οὕτως. ἐλπίζω δὲ τῶν Κρανωνίων τῶν περὶ τὸν Πηνειὸν ποταμὸν, τὴν ἐμὴν ἡδεῖαν ᾠδὴν ἔτι καὶ πλέον τὸν Ιπποκλέαν ᾀδόντων, ἕνεκεν τῶν στεφάνων σὺν ταῖς ᾠδαῖς, θαυμαστὸν καὶ ἐπίδοξον ἐν τοῖς ὁμήλιξι θεῖναι. καὶ ἀποδεῖξαι καὶ ἐν τοῖς πρεσβυτέροις ἀνδράσι καὶ ταῖς νεωτέραις παρθένοις, φροντίδα καὶ μέριμναν. ἀπὸ κοινοῦ θησέμεν. [Καὶ γὰρ ἑτέροισιν ἑτέρων ἔρως.] ὁ λόγος. καὶ γὰρ ἄλλοις τισὶ τῶν ἀνθρώπων, ἄλλων πραγμάτων ἔρως ὑπεκίνησε τὰς φρένας. οὐ γὰρ πάντες τῶν αὐτῶν ἐπιθυμοῦμεν. οὗτος οὖν ἠράσθη τοῦ ἀθλεῖν, καὶ ἐφρόντισεν. αἱ δὲ παρθένοι, διὰ τοὺς ἐμοὺς ὕμνους, φροντίδα ἕξουσι. [Τῶν δ' ἕκαστος ὀρούει.] τὴν μέριμνάν τις, φησὶ, περὶ ἧς ἕκαστος φροντίζει τελειώσας, ὑπὸ τὸν καιρὸν ἐκεῖνον προσηνῶς διάγει. ἢ οὕτως. ὧν ἂν δέ τις ἐρᾷ καὶ ἐπιθυμεῖ, τυχὼν τῆς περὶ ταῦτα ἐπιθυμίας, ἥδιστην ἂν σχοίη τὴν μέριμναν. οἱονεὶ, ἀμέριμνος λοιπόν ἐστι. [Τὰ δ' εἰς ἐνιαυτόν.] τὰ δὲ μετ' ἐνιαυτὸν μέλλοντα προγνῶναι, ἄδηλον καὶ ἀδύνατον. [Πέποιθα ξενίᾳ προσανεῖ Θώρακος.] Θώραξ εἷς τῶν Αλευαδῶν, ἑταῖρος τοῦ νικηφόρου. ὃς καὶ ἠξίωσε τὸν ποιητὴν ἐπὶ τῇ νίκῃ τοῦ ἑταίρου συντάξαι τὸν ἐπινίκιον. ὁ δὲ νοῦς. πεπίστευκα δὲ καὶ τῇ προσηνεῖ φιλίᾳ τοῦ Θώρακος· ὅστις τὴν ἐξ ἐμοῦ χάριν ἐπιθυμῶν, τοῦτο τὸ τῶν μουσῶν ἅρμα τέθριππον ἔζευξε. λέγει δὲ τὸν ὕμνον. ὅτι αὐτὸς ἔπεισε γράψαι τῷ νικηφόρῳ τὸν ἐπινίκιον.

[Φιλέων

Τετράορον, φιλέων φιλέοντ', ἄγων	Quadrijugum, amans amantem, ducens
Ἄγοντα προφρόνως.	Ducentem benevole.
ἐπῳδὸς δ'. κώλων η'.	Metaph.
Πειρῶντι δὲ, καὶ χρυ-	Exploranti vero, etiam aurum [recta.
σὸς ἐν βασάνῳ πρέπει, καὶ νόος ὀρθός.	In Lydio-lapide excellit, & *similiter* mens
Ἀδελφεοὺς τε ἐπαινή-	Atqui Fratres quoque collauda-
σομεν ἐσλοὺς· ὅτι	bimus probos: quoniam
Ὑψοῦ φέροντι νόμον Θεσσαλῶν	In-altum efferunt legem Thessalorum
Αὔξοντες. Ἐν δ' ἀγαθοῖσι κεῖνται	Augentes. Penes enim probos reposita-sunt
Πατρώϊαι κεδναὶ πολί-	Patriæ nobiles civita-
ων κυβερνάσιες.	tum gubernationes.

Paraphrasis.

quo tanquam quadrijugo curru, illius victoriæ fama huc illuc celeriter perferatur. Quomodo autem non sim viri illius boni amicitia fretus, quam factis exploravi? Etenim ut Lydius lapis aurum ita probat, ut attritum magis refulgeat: sic veri amici rectus animus, ubi ope illius opus est, clarius cernitur. Cæterum & fratres ejus, bonos viros non præteribo illaudatos. Thessalicam enim regionem sua justitia, rectaque administratione amplificant, evectamque in sublime illustrant. Tum autem fœlices sunt respublicæ, quum viri boni, quales hi sunt, gubernacula soli natalis accipiunt.

Notæ.

103 & 104 Ita transponit Schmid. Τετράορον, ἄγοντα ἄγων, φιλέων φιλέοντα προφρόνως. 105 Πειρῶντι] Vulg. in Casu sexto accipit, & refert ad βασάνῳ, Explorante in Lapide Lydio. Ita legendum fuit, πειρώσῃ. 107 Κασιγνήτους δὲ Schmid. 111 Πατρῶαι leg. Alij.

[Φιλέων φιλέοντ', ἄγων ἄγοντα.] ἤτοι, ἀπαγόμενός με πρὸς τὴν φιλίαν τοῦ ἀθλητοῦ, ἐποίησέ με γράψαι τὸ ποίημα. ἢ τὸν ἀθλητὴν ἐπαγόμενος πρὸς τὴν φιλίαν μου, ἐποίησέ με εἰς αὐτὸν γράφειν. ἢ τὸ, ἄγοντα, ἀντὶ τοῦ, ἀγόμενον. ἵν' ᾖ καὶ ἐμὲ αὐτὸν βουλόμενον, καὶ ἑκουσίως ἀγόμενον. [Πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει.] ὥσπερ φησὶ τῷ πειράζοντι τῇ βασάνῳ ὁ χρυσὸς πρέπων ἐστὶ, τουτέστιν ἐκπρεπής. πότερον καλὸς ἐστὶν ἢ κίβδηλος, οὕτω καὶ ὁ ὀρθὸς νοῦς ἐκ τῆς πείρας δοκιμάζεται. ἔστιν οὖν κράτιστος ἐξέτασις ἐν φιλίᾳ. [Ἄλλως.] ἔξωθεν τὸ, πεῖρα δείκνυται. τῷ δὲ ἀποπειρωμένῳ καὶ δοκιμάζοντι, ὁ χρυσὸς ἐν τῇ βασάνῳ διαπρέπει, καὶ τὸ ἑαυτοῦ δείκνυσιν ἀνθηρὸν τῆς ὕλης. βάσανος δὲ, λίθος ἐστὶ Λυδία. πρὸς ἣν ὁ χρυσὸς ἀκονώμενος, διαστράπτει. ὁ δὲ νοῦς ὀρθὸς, ὥσπερ ὁ χρυσὸς διὰ τῆς Λυδίας λίθου δοκιμάζεται, οὕτω πείρᾳ, καὶ ἔργῳ ὁ τῶν φίλων ἐστὶ τρόπος. [Ἀδελφεούς τ' ἐπαινήσομεν ἐσλούς.] τοὺς δὲ τοῦ Θώρακος ἀδελφοὺς ἀγαθοὺς ὄντας ἐγκωμιάσομεν, ὅτι τοὺς τῶν Θεσσαλῶν νόμους αὔξοντες, εἰς ὕψος ἐπαίρουσιν. οἱονεὶ δικαίως ἄρχοντες, ἐπαίρουσι τοὺς νόμους τῇ δικαιοσύνῃ. [Ἐν δ' ἀγαθοῖσι κεῖνται.] ἔνθα, ἐν τῇ Θετταλίᾳ ἀγαθοῖς οὖσι τοῖς Ἀλευάδαις, αἱ πατρικαὶ καὶ ἔνδοξοι κυβερνήσεις καὶ διοικήσεις ἀπόκεινται. ἢ οὕτως. οἱ ἀγαθοὶ κυβερνῶσι τὰς ἑαυτῶν πατρίδας.

Τέλος τοῦ δεκάτου τῶν Πυθίων εἴδους.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΑΥΤΟΥ ΕΙΔΟΥΣ.

ΤΗΣ ἑνδεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ἐννέα. Τὸ α', Ιαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ β', Ιωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ γ', ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ δ', τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. Τὸ ε', τροχαϊκὸν δίμετρον βραχὺ λελυμένον. Τὸ ς' ἑφθημιμερὲς δακτυλικόν. Τὸ ζ', παιονικὸν δίμετρον καταληκτικόν. Τὸ η', Ιαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ', Ιαμβικὸν δίμετρον βραχυκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτοῦ.

Η δὲ ἐπῳδὴ κώλων ἕξ. Τὸ α', χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ β', φερεκράτειον, ἀπὸ βραχείας ἀρξάμενον. Τὸ γ', ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον. Τὸ δ', περίοδος ἐξ Ιάμβων καὶ τροχαίων. Τὸ ε', τὸ αὐτό. Τὸ ς', Ιαμβικὸν δίμετρον καταληκτικόν.

Ratio vero metrica talis est:

στροφὴ & ἀντιστροφή.

1. - - υ - υ υ -
2. υ υ - υ υ - υ - - -
3. - - υ - υ υ - - υ υ
4. υ υ υ υ υ - - υ -
5. υ υ υ - υ υ υ υ - υ υ -
6. - υ υ υ υ υ - - -
7. υ υ υ - υ υ υ
8. - - υ - υ υ - υ -
9. - υ - υ -

ἐπῳδός.

1. - υ υ - υ - -
2. υ υ υ - υ υ - -
3. - - υ υ - υ - - υ - υ -
4. υ υ υ - υ υ - υ - - υ υ
5. υ - υ - υ - - υ υ υ - - -
6. υ - υ - υ υ - -

In κ, 2. στροφ. & ἀντιστροφ. ubique exempla habent primam Syllabam sequentis κώλου.

ΘΡΑΣΥ-

ΘΡΑΣΥΔΑΙΩ ΘΗΒΑΙΩ ΠΑΙΔΙ, ΣΤΑΔΙΕΙ.

THRASYDÆO THEBANO, ADOLESCENTI, STADII-CURSORI.

ΕΙΔΟΣ ΙΑ'. — ODE XI.

ARGUMENTUM.

Thrasydæus Thebanus adolescens cursu stadii victoriam adeptus, laudatur à patris victoriis quæ cum illo ei fuere communes, à vitæ etiam genere, unde digreditur in vitæ privatæ laudes. Alias quoque digressiones habet, quas suo loco videbimus.

στροφὴ α'. κώλων θ'.

Κάδμου κόραι, Σεμέλα
Μὲν Ὀλυμπιάδων ἀγυιᾶτις,
Ἰνὼ δὲ Λευκοθέα ποντιᾶν
Ὁμοθάλαμε Νηρηΐδων,
Ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ
Ματρὶ, παρὰ Μελίαν, χρυσέων

ΜΕΤΑΦΡ.

O Cadmi filiæ, Semele
Quidem Olympiadum socia,
Ino vero Leucothea marinarum
Cohabitatrix Nereidum,
Ite cum Herculis optimæ-prolis-procreatrice
Matre, ad Meliam, aureorum

PARAPHRASIS.

O Cadmi filiæ, tu quidem Semele Dearum cœlestium facta contubernalis, postquam fulmine Jupiter te extinxit: tuque communi cum marinis Nereidibus thalamo utens Ino, facta Leucothea Matuta Dea, postquam in mare præcipitem te dedisti, ite cum Alcmena Herculis matre præstantissimorum filiorum genitrice, ite ad Meliam Oceani filiam, Ismeni sororem, apud quam est oraculum vocatum ab Apolline Ismenium, in quo aureorum

NOTÆ.

2 Ὀλυμπιάδων] Cælicolarum. Portus. Ἀγυιᾶτις] ὁ ἀγυιεὺς Ara vel columna ad fores ædium posita, præcipue Apollini sacra, qui & ipse hanc ob causam Ἀγυιεὺς appellatur. Ol. B. Ζωὴ μὲν ἐν Ὀλυμπίοις, i. e. Semele. 3 Pro δὲ MS. γ. hab. τε. 5 Ἴτε leg. Pal. C. Ἀριστογόνω Dor. pro ἀριστογόνου accepit Schol. Aliqui in Dativo, vel Casu sexto intelligunt, & ἰῶτα subscribendum censent, & vel Passive, ut Phil. Lon. cum Vulgata, qui habent, Generosa, tanquam à Recto ἀριστογόνος· vel Active, ut Aret. & Port. quorum versionem in Metaphrasi expressimus. Ita enim ἀριστογόνος juxta analogiam reddi debet. Occasio diversitati fuit inde, quod Pindarus τὸ ι subscribendum more Dorico omiserit. 6 Παρὰ MS. γ. aliique Codd. Ben. potius hæc refert ad ea, quæ Paus. in Bœot. scribit, quam ad ea, quæ habet Scholiastes. Dicto vero loco docet, Ismenum esse collem ad dextram Thebarum portam, in quo Apollinis fuit sacellum, ad cujus ingressum erat Mercurius & Minerva. Phidiæ & Scopæ opera. Laudatur vero Pindari versus à Luciano in Demosthenis encomio, ubi Μελίαν Χρυσαλάκατον appellat. Vide N 5, 65.

[Θρασυδαίῳ] Γέγραπται ἡ ᾠδὴ † Θρασυδαίῳ παιδὶ Θηβαίῳ σταδιεῖ τῷ προκλημένῳ, νικήσαντι τὴν κή. Πυθιάδα. καὶ λγ'. δίαυλον ἢ στάδιον, ἄνδρας. οὐκ εἰς τὴν τοῦ διαύλου νίκην γράφει, ἀλλ' εἰς τὴν τοῦ σταδίου. [Κάδμου κόραι. Σεμέλα μέν.] τῷ εἶναι Θηβαῖον τὸν Θρασυδαῖον, τὰς ἀπαθανατισθείσας ἐν Θήβαις ἡρωΐδας ἐπικαλεῖται. προοιμιάζεται δὲ κατὰ τὸν προσαγορευτικὸν λόγον, καὶ οὐχὶ κατὰ τὸν διηγηματικόν. πρὸς γὰρ αὐτὰς ἀποτείνεται. οὐχὶ δὲ περὶ αὐτῶν λέγει. τὸ δὲ ἀγυιᾶτις, ἀντὶ τοῦ, ὦ ἀγυιᾶτις, ὡς καὶ παρ' Ὁμήρῳ. Ἠέλιος θ' ὃς πάντ' ἐφορᾷς· καὶ δὸς φίλος. ἀγυιᾶτις οὖν ἀντὶ τοῦ σύνοικε τῶν θαλαττίων Νηρηΐδων. ὁ δὲ νοῦς. ὦ Κάδμου κόραι. Σεμέλη μέν, τῶν Ὀλυμπίων, θεῶν σύνοικε Ἰνὼ δὲ, τῶν Νηρηΐδων· παραγίνεσθε σὺν τῇ μητρὶ τοῦ ἀριστογόνου Ἡρακλέος. φημὶ δὴ τῇ Ἀλκμήνῃ. παραγίνεσθε ὦ ἡρωΐδες εἰς Μελίαν· καὶ τῶν τιμίων τριπόδων εἰς τὸ ἄδυτον ἀνθρώποις θησαυρόν. τὴν Μελίαν φησί. τὸ δὲ ἄδυτον, πρὸς τὸ ἄγαν σεπτόν. [Ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ ματρί] ἴτε εἰς τὸ ἄσυλον, ὅς ἐστι χρυσέων τριπόδων θησαυρός. πυκνῶς γὰρ τίθησιν ὁ Πίνδαρος κατὰ τὸ ἀρσενικὸν, τὸ ἄδυτον. προσκαλεῖται γὰρ τὰς Θήβησιν ἡρωΐδας, εἰς τὸ Ἰσμήνιον ἥκειν. ἐν ᾧ τὸ τοῦ Τηνέρου ἱερόν ἐστι χρηστήριον. τριπόδων δὲ εἶπε θησαυρὸν τὸ Ἰσμήνιον, διὰ τὸ αὐτόθι πολλοὺς ἀνακεῖσθαι τρίποδας. οἱ γὰρ Θηβαγενεῖς, ἐτριποδοφόρουν ἐκεῖσε. ἡ δὲ Μελία, Ἰσμηνοῦ ἀδελφὴ, ὑπὸ Ἀπόλλωνος φθαρεῖσα· καὶ γεννήσασα Τήνερον. ἀφ' οὗ ἐν Θήβαις Τηνερικὸν πεδίον. [Ἄλλως.] Μελία Ὠκεανοῦ θυγάτηρ. ἐξ ἧς καὶ Ἀπόλλωνος, Τήνερος ὁ μάντις, ὃς παρ' Ἰσμήνῳ τῷ ποταμῷ ἐμαντεύετο. καὶ αὐτόθι μαντεῖόν ἐστιν, ὃ καλεῖται Ἰσμήνιον. ἔστι δὲ καὶ πηγὴ ὁμώνυμος τῇ ἡρωΐδι. ὁ δὲ νοῦς. ὅν τινα τὸν ἄδυτον θησαυρὸν ὁ Ἀπόλλων, ἐξόχως ἐτίμησε, καὶ ὀνόματι καὶ αὐτὸν, Ἰσμήνιον μαντεῖον. καὶ ἀληθέστατον θεὸν ὄντα τὸν ἄδυτον θησαυρόν. τουτέστι τὸ Ἰσμήνιον μαντεῖον, ἀληθῆ τῶν μαντευμάτων καθέδραν.

† Quis hic Thrasydæus fuerit, aut qui Parentes ejus, non satis à Poëta exprimitur. Privatos tamen homines fuisse, sed virtute & victoriis claros, ex victoriarum mentione, & privatæ vitæ commendatione apparet. Schmid.

Ες ἄδυτον τριπόδων	Ad ſecretum tripodum
Θησαυρὸν, ὃν περίαλλ' ἐτί-	Theſaurum, quem eximie hono-
μασε Λοξίας,	ravit *Apollo* Loxias,
ἀντιστροφὴ α'. κώλων θ'.	ΜΕΤΑΡΗ.
Ισμήνιον δ' ὀνύμα-	Iſmeniumque nomina-
ξεν, ἀλαθέα μαντεῖον θῶκον.	vit, veracem fatidicam ſedem.
Ω παῖδες Αρμονίας, ἔνθα καί	O filiæ Harmoniæ, ibi etiam
Νῦν ἐπίνομον Ηρωΐδων	Nunc collegam Heroidum [niendum,
Στρατὸν ὁμηγυρέα καλεῖ συνίμεν,	Cœtum congregatum *Melia* vocat ad-conve-
Οφρα Θέμιν ἱερὰν, Πυθῶ-	Ut Themida ſacram, Pytho-
νά τε, καὶ ὀρθοδίκαν	nemque, & recte-judicantem
Γᾶς ὀμφαλὸν, κελαδῆτε ἄ-	Terræ umbilicum, reſonetis ex-
κρα σὺν ἑσπέρᾳ,	trema cum veſpera,
ἐπῳδὸς α'. κώλων ς'.	ΜΕΤΑΡΗ.
Επταπύλοισι Θήβαις	Septiportis Thebis
Χάριν, ἀγῶνί τε Κίρρας·	Ad-gratiam, certaminique Cirrhæ :
Εν τῷ Θρασυδαῖος ἔμνασεν ἑστίαν	In quo Thraſydæus renovavit-memoriã laris
Τρίτος ἐπὶ στέφανον πατρῷαν βαλὼν,	Paterni, tertius in *eum* coronam injiciens,

PARAPHRASIS.

tripodum à Thebanis conſecratorum eſt copia, in quo, ab Apolline eximie honorato, vera reſponſa dantur. O filiæ Harmoniæ, Semele, inquam, & Ino, Melia illa congregatarum heroidum indigenarum cœtum huc vocat, ad conveniendum, ut Themin ſacram, quæ prima Delphis regnavit, & reſponſa dedit: & ut Pythonem urbem Delphoſque, qui terræ eſt umbilicus, ſeu medium, ubi veridicum eſt oraculum, ineunte veſpera celebretis. Quo facto eritis benemeritæ de Thebis ſeptem portas habentibus, & de certamine Pythiaco prope Cirrham celebrari ſolito: in quo Thraſydæus Thebanus victoriam adeptus revocarit in memoriam Pythiacas duas patris victorias,

NOTÆ.

7 Εἰς Comm. Codd. Αδυτον] Schol. hoc vocabulum initio quidem Adjective accipit; ſed mox deinceps ſubſtantive exponit & Pindaro familiare eſſe ait, in Maſculino τὸν ἄδυτον uſurpare. Verum, ut obſervat Schmid. ſi in amiſſis operibus exemplum non extet, in hac Periodo extat nullum. Nam Ol. 7, 59. ἐυώδιος ἐξ ἀδύτου, id cur in Neutro genere non accipiamus, cauſa nulla. Τριπόδων] In templo illo Thebani pueri tripodes dedicare ſunt ſoliti, ſi non omnes, tamen è ditiſſimis parentibus orti quique, ut Pauſ. ſcribit. qui hunc morem ſuo adhuc tempore duraſſe affirmat. Sed Aureos ille non nominat, verum Æneos. Quæ explicant Schol. 11 Μαντείων θῶκον hab. Edd. præter Ald. i. e. Vaticiniorum ſedem, ut Vulg. Eſt enim τὸ μαντεῖον, Locus oraculi. Apud Soph. OEd. Tyr. Πυθικὸν θεοῦ μαντεῖον pro ipſo oraculo ſumitur. Μαντεῖον vero eſt Adject. ut Pindaro uſurpari ſolet. Ol. 6. Βωμῷ τε μαντείῳ, & Pyth. 5. μυχὸν μαντεῖον. Ita & Schol. legiſſe videtur. 12 Παῖδες] Filii, Vulg. 17 Ομφαλὸν leg. MS. γ. Ακρᾳ σὺν ἑσπέρᾳ] Lon. vertit, ſumma cum vigilantia. 22 Τρίτον leg. Ald. Pal. C. & γ. Ita & Schol.

[Ενθα καὶ νῦν ἐπίνομον.] εἰς τὸ Ισμήνιον καλεῖ συνέρχεσθαι, ἐπίνομον τῶν ἡρωΐδων στρατόν. ἐπίνομον στρατὸν εἶπε τὰς ἐπινεμομένας καὶ ἐποπτευούσας τὰς Θήβας. ἢ ἐπίνομον, τὸν σύννομον τῶν Θήβαις. τὸ ἐπὶ τῆς αὐτῆς νομοῦ καὶ τῆς αὐτῆς ἐπινομῆς. τίς δὲ καλεῖ; ἤτοι ὁ Απόλλων καλεῖ διὰ τὴν νίκην. ἢ καὶ ἡ Μελία. ὅπερ καὶ βέλτιον. θήλεια γὰρ θηλείας εὐλόγως συγκαλοίη. ὁ δὲ νοῦς. καὶ νῦν ἐνταῦθα ἐπὶ τῷ παρόντι τῶν ἐντοπίων ἡρωΐδων συναθροισμένων τὸ πλῆθος προσκαλεῖται προσελθεῖν. ἤτοι ὁ νικηφόρος. ἢ ὁ Απόλλων. ἤ, ἡ Μελία ὃ καὶ βέλτιον. [Οφρα Θέμιν ἱεράν.] Θέμιδος ἦν τὸ χρηστήριον. ὅθεν, καὶ τὸ θεμιστεύειν. ὁ δὲ νοῦς. ὅπως ἂν τὴν ἱερὰν Θέμιν, καὶ τὴν Πυθῶνα, καὶ τὴν ὄντα ὀμφαλὸν τῆς γῆς, ὑμνήσητε σὺν παννυχίσι, χάριν καταλιθέμεναι ταῖς ἑπταπύλοις Θήβαις, καὶ τῷ τῆς Κίρρας ἀγῶνι. [Εν τῷ Θρασυδαῖος ἔμνασεν.] ἐν ᾧ, τῷ τῆς Κίρρας ἀγῶνι, φησὶ, δὲ τῷ Πυθικῷ, ἐπιβαλὼν τρίτον στέφανον, τῆς πατρικῆς μνήμης ἤγαγε, τῶν πατρικῶν κατορθωμάτων, νικῶν ἐν τῇ χώρᾳ τοῦ Πυλάδου, τοῦ φίλου τοῦ Λάκωνος Ορέστου. [Αλλως.] ἐν τῷ προκειμένῳ ἀγῶνι τῆς Κίρρας. ἐν τοῖς Πυθίοις, ἀνέμνησε τὴν πατρῴαν ἑστίαν τῶν νικῶν, ἐπιβάλλων αὐτῇ τὸν στέφανον. τρίτον δὲ εἶπεν, ὡς ἢ πατρὸς, ἢ προγόνου αὐτοῦ νενικηκότος τινός. αὐτὸς γὰρ, ἅπαξ ἀναγράφεται Πύθια νικήσας. [Αλλως.] Ιστέον ὅτι τὴν Φωκίδα χώραν, ἀφνειὰν ἄρουραν Πυλάδου εἴρηκε. τῆς γὰρ Φωκίδος ἡ Πυθών. ἧς Στρόφιος ὁ πατὴρ Πυλάδου ἐβασίλευσε. καὶ ὅτι τὸ, ξένου Λάκωνος Ορέστα, τοιοῦτον. ἤτοι ἐν τῇ χώρᾳ τοῦ Πυλάδου, ὅστις ἦν τοῦ Λάκωνος Ορέστου ξένος. τὸ δὲ τρίτον ἐπὶ στέφανον, οὐχ ὅτι αὐτὸς ὁ νικηφόρος, τρεῖς ἔχει νίκας. ἀλλ' ἀναγέγραπται ὁ πατὴρ αὐτοῦ, Ολυμπιονίκης γεγονὼς, καὶ αὐτὸς εὐτυχήσας. ὅτι τὰς πάσας, τρεῖς ὑπέδειξεν αὐτῷ γεγονέναι, καὶ τῷ πατρί. ἄριστα τοίνυν ὁ Πίνδαρος τὸ ἐγκώμιον εἰργάσατο. ἐν δὲ τοῖς ἑξῆς, σφόδρα ἀκαίρῳ παρεκβάσει ἐχρήσατο.

[Τὸν

Ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα νικῶν,	In opulentis arvis Pyladæ victor,
Ξένου Λάκωνος Ὀρέστα.	Hospitis Laconis Orestæ.
στροφὴ ϛ'. κώλων θ'.	Μεταφρ.
Τὸν δὴ, φονευομένου	Quem sane, dum-interficeretur
Πατρὸς, Ἀρσινόα Κλυταιμνήστρας	Pater, Arsinoe Clytæmnestræ
Χειρῶν ὑπὸ κρατερᾶν ἐκ δόλου	Manibus validis ex dolo
Τροφὸς ἄνελε δυσπενθέος·	Nutrix eripuit luctuoso:
Ὁπότε Δαρδανίδα κόραν Πριάμου	Quando Dardanidæ filiam Priami
Κασσάνδραν πολιῷ χαλκῷ,	Cassandram corusco ære,
Σὺν Ἀγαμεμνονίᾳ	Cum Agamemnonia
Ψυχᾷ, πόρευσ' Ἀχέροντος ἀ-	Anima, mittebat Acherontis ri-
κτὰν παρ' εὔσκιον	pam ad umbrosam
ἀντιστροφὴ ϛ'. κώλων θ'.	Μεταφρ.
Νηλὴς γυνά. Πότερόν	Crudelis fœmina. Utrum
Νιν ἄρ' Ἰφιγένει', ἐπ' Εὐρίπῳ	Illam Iphigenia, ad Euripum
Σφαχθεῖσα τῆλε πάτρας, ἔκνισε	Mactata procul à-patria, stimularit
Βαρυπάλαμον ὄρσαι λόχον·	Gravia-molientes ut-concitaret insidias;
Ἢ ἑτέρῳ λέχει δαμαζομέναν	An alio lecto lascivientem
Ἐννύχιοι παράγον κοῖται;	Nocturni seduxerint concubitus?

Paraphrasis.

prima hac sua tertiam familiæ numerandam afferens coronam, qua decoratus fuit in hac urbe Phocidis regionis, cujus rex fuit Pylades Strophii filius, & Lacedæmonii Orestis intimus amicus. Quem Arsinoë nutrix eripuit, & clam subduxit matri Clytæmnestræ, ne in eum crudelibus manibus sæviret, quum ferro interficiebat ejus patrem, videlicet maritum Agamemnonem, eademque opera Cassandram Priami ex Dardano oriundi filiam. Utrum iram crudelis illius mulieris in virum accendit, dolor susceptus quod Iphigenia filia in Aulidis Euripo procul à patria pro salute exercitus immolata fuisset, ita ut cædem ipsi conciverit? An vero illam alieno in lecto libidinantem, & juvencæ more lascivientem, metus ne reduci marito pœnas daret, ad hoc parricidium compulit?

Notæ.

25 Τὸν] Scholiastæ etiam hæc παρέκβασις ἄκαιρος est. Quod notavimus, ne quis putaret nos in illius abiisse sententiam. 27 Χερῶν Dor. Codd. 30 Κασάνδραν Aliqui. 34 Πότερον] Pauf. in Corinth. dubitat, an Ægisthus injuriam prior intulerit, an vero ulcisci voluerit Tantali Thyestæ filii ab Atreo occisi cædem, cui Clytæmnestra à Patre Tyndareo desponsata fuerat. Nec hunc locum aliter intelligit Schmidius, quam de Poëtæ dubitatione, utrum juste vel injuste Agamemnon fuerit interfectus. Verum id non constat ex Poëtæ verbis. 37 Λόχον] Χόλον leg. omnes Edd. quo sensu vides apud Paraphrasten. Et quidem fatendum, ὄρσαι χόλον esse locutionem puram. Verum ἔκνισεν ὄρσαι χόλον, qui ferendum? Ἔκνισεν ὄρσαι λόχον, ut leg. MS. γ. descriptioni hujus cædis apud Sophoclem aliosque maxime congruum videtur; τῷ λόχῳ etiam convenit epitheton βαρυπάλαμον, à παλάμη, quod Lon. interpretatus est, Gravem palmas suas. En locum Sophoclis in Electra, τὸν πάλαι ἐκ δολιωτάτας ἀθεωτάτας ματρὸς ἁλόντ' ἀπάταις Ἀγαμέμνονα, κακᾷ τε χειρὶ πρόδοτον; Agamemnona, qui olim insidiis impientissimæ matris tuæ interiit, πρόδοτον, h. e. Triclinio explicante, προδιδόμενον κακῇ καὶ φονικῇ χειρί. Vertendus igitur est hic locus. Utrum Crudelitas & τὸ ἄστοργον Parentis Agamemnonis, patrata cæde filiæ Iphigeniæ, matrem impulerit non solum ad prodendam illius vitam, verum etiam ad facinus hortandum & incitandum sicarium Ægisthum, qui structis insidiis eum oppressit. Schol. hab. φονεῦσαι σὺν δόλῳ. 38 Schmid. leg. pro λέχει, τὸ τινι, vertens, Ab alio quodam lascive petitam &c. 39 Schmid. ἐννύχιοι ἀπάγον κοῖται. Eodem sensu, nisi quod dilutior sit locutio.

[Τὸν δὴ, φονευομένου τοῦ πατρός.] ἀνείλετο ἡ τροφὸς Ἀρσινόη τὸν Ὀρέστην, φονευομένου τοῦ πατρὸς, ὑπὸ τῆς Κλυταιμνήστρας, φησίν. ἰδίως δὲ ὁ Πίνδαρος, Ἀρσινόην εἶναί φησι τὴν Ὀρέστου τροφόν. Φερεκύδης δὲ Λαοδάμειαν λέγων αὐτὴν, τὸν ταύτης φησὶ παῖδα ἀνῃρῆσθαι ὑπὸ Αἰγίσθου, νομιζόμενον Ὀρέστην εἶναι. τὸν δὲ Ὀρέστην ἐκκλαπέντα, εἶναι τριῶν ἐτῶν, ὡς Ηρόδωρος ἐν Πελοπίᾳ. ὁ δὲ νοῦς, ὅν τινα τὸν Ὀρέστην, φονευομένου τοῦ πατρὸς αὐτοῦ, Ἀρσινόη ἡ τροφὸς, ἐκ τῶν Κλυταιμνήστρας χειρῶν καὶ τῆς κατ' αὐτοῦ δόλου σκευωρημένης, ὑπεξέκλεψεν ὅτε ἡ ἀνηλεὴς γυνὴ, τὴν τοῦ Δαρδάνου παιδὸς Πριάμου θυγατέρα Κασάνδραν, τῷ πολιῷ ξίφει σὺν τῇ τοῦ Ἀγαμέμνονος ψυχῇ, ἔπεμπε παρὰ τὴν εὔσκιον τοῦ Ἀχέροντος ἀκτήν. μετέπεσε δὲ εἰς τὸν περὶ αὐτοῦ λόγον. [Πότερόν νιν.] ἐπιζητεῖ δύο αἰτίας δι' ἃς τὸν Ἀγαμέμνονα ἀνεῖλε. καὶ φησὶ, πότερον ἄρα ἡ Ἰφιγένεια ἡ παῖς αὐτῆς, μακρὰν τῆς πατρίδος σφαγεῖσα ἐν τῷ Εὐρίπῳ, ἐλύπησεν αὐτὴν καὶ ἐκίνησεν, ὥστε τὴν ὀργὴν ταύτην ἐχούσαν βαρύτατον τὸ ἐπιχείρημα ἀρᾶσθαι, καὶ λυπῆσαι τολμῆσαι τοσοῦτον, ὡς πρὸς τὴν τοῦ Ἀγαμέμνονος ὁρμῆσαι σφαγήν, ἢ ἑτέρῳ αὐτὴν ἀνδρὶ μισγομένην, αἱ νυκτεριναὶ τῆς μοιχείας συνουσίαι παρήγαγον κατὰ τοῦ Ἀγαμέμνονος, ὥστε αὐτὸν φονεῦσαι σὺν δόλῳ.

Τὸ δὴ νέαις ἀλόχοις	Quod ſane juvenibus uxoribus
Ἔχθιστον ἀμπλάκιον· κα-	Odioſiſſimum *eſt* delictum: abſcon-
λύψαι τ' ἀμήχανον	dereque *illud* impoſſibile
ἐπῳδὸς ϛ'. κώλων ϛ'.	Μεταφ.
Ἀλλοτρίαισι γλώσσαις·	Alienis linguis:
Κακολόγοι δὲ πολῖται.	Maledici enim *ſunt* cives.
Ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον.	Suſtinetqne opulentia non minorem invidiā.
Ὁ δὲ χαμηλὰ πνέων, ἄφαντον βρέμει.	At humilia ſpirans, in-abſcondito fremit.
Θάνε μὲν αὐτὸς ἥρως Ἀτρείδας ἱκὼν	Interiit quidem ipſe heros Atrides reverſus
Χρόνῳ κλυταῖς ἐν Ἀμύκλαις·	Tandem inclytis in Amyclis.
στροφὴ γ'. κῶλον θ'.	Μεταγη.
Μάντιν τ' ὄλεσσε κόραν,	Vatemque perdidit *ſecum* puellam,
Ἐπεὶ ἀμφ' Ἑλένᾳ πυρωθέντων	Poſtquam ob Helenam exuſtorum
Τρώων ἔλυσε δόμους ἁβρότα-	Trojanorum ſpoliavit domos opulen-
τος. Ὁ δ' ἄρα γέροντα ξένον	to-luxu. Ille autem *Oreſtes* ad-ſenē hoſpitē
Στρόφιον ἐξίκετο νέα κεφαλᾷ,	Strophium pervenit puerili capite,
Παρνασσοῦ πόδα ναίοντ'· ἀλ-	Parnaſſi pedem incolentem: ſed
λὰ γε χρόνῳ σὺν Ἄρει	Longe-poſt cum Marte

PARAPHRASIS.

cum ſciret novæ nuptæ adulterium viro eſſe crimen intolerabile. Nec fieri poſſet ut ei ignotum maneret, cum vulgus, cui ſat notum erat, linguam compeſcere non poſſet: & cives maledicentia gaudeant, iiſque quorum ſplendida eſt fortuna, graviter invideant: contra vero humilis conditionis homines non explorent. Ergo cum tandem poſt decennium inclytas ad Amyclas rediiſſet Heros Agamemnon Atrei filius, eſt interfectus, & amiſit virginem vatem, poſtquam propter Helenam, quam Paris rapuerat, nec reddere voluerant Trojani, eorum civitatem ferro flammiſque vaſtavit, ſubverſaſque domos opulento luxu ſpoliavit. Porro ille Oreſtes cum adhuc juvenis eſſet, contulit ſe ad ſenem Strophium, cujus hoſpitio eſt exceptus in Phocide, regione ſita ſub Parnaſſi radicibus, & cum Pylade liberaliſſime educatus. Poſtea ætate provectior, Agamemnonis patris cædem ulciſcens,

NOTÆ.

40 Τὸ, τι vel ὅ, τι leg. Schmid. 49 Κόραν Filiam, Vulg. Non vero fuit Agamemnonis filia ſed Priami. 50 Πυρωθέντων Τρώων] Incenſis Trojanis. Vulg. quaſi Genit. abſoluti eſſent. 51 Ἔλυσε] Syntaxis convincit ita legendum. Sed & omnes Codd. hanc vocem habent, præter γ. cujus lectionem damus. Schmid. tamen ex peſſima conjectura repoſuit ἔσυλε, quia vulg. hab. Spoliavit, quod & retinuimus. Aliquis forſan putabit, ἔλυσε eſſe à λύσσω, Sævio. Λύσσομαι enim apud Heſych. videtur. Id vero dicendum, non quod ſit veriſimile hic ita accipi, verum ne poſtea quivis nobis objiciat, quod hanc vocem, quam in MS. offendimus, non perpenderimus; imo ut ejuſmodi ingenium præcluderemus. 52 Ξένον γέροντα tranſpon. Edd. plurimæ.

[Τὸ δὴ, νέαις ἀλόχοις.] ὅπερ φησὶ τὸ ὑπὸ ἄλλῳ ἀνδρὶ μοιχεύεσθαι, τὸ νέαις γυναιξὶν ἐχθρότατον ἁμάρτημα. ὅπερ τὸ τῆς μοιχείας ἁμάρτημα ἐπικαλύψαι ταῖς ἀλλοτρίαις γλώσσαις, ἀδύνατόν ἐστιν. ἢ λαθεῖν τοὺς ἔξω, ἢ μαθόντας τοὺς ἔξωθεν ἀποσιωπῆσαι, ἀδύνατόν ἐστι πρᾶγμα. οἱ γὰρ ἀλλότριοι λαλοῦσι. κατὰ φύσιν γὰρ λοίδοροί εἰσιν οἱ πολῖται. [Ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον.] ἤδη καὶ τῶν ὑπερεχόντων μᾶλλον ἰδίως ἅπτονται οὗτοι. τοῦτο δὲ πρὸς τὸν Ἀγαμέμνονα. ὅτι ἐπιφανὴς ὢν, ἐφθονήθη. ἢ οὕτως. ἔχει γὰρ καὶ ἡ εὐτυχία οὐ μικρὸν φθόνον. ὅτι ἀεὶ τοῖς εὐτυχοῦσι βασκαίνουσιν οἱ ἔξωθεν. [Ὁ δὲ χαμηλά.] ὁ δὲ ταπεινὰ καὶ οἰκτρὰ πνέων, τουτέστιν ὁ εὐτελὴς καὶ πένης, ἀφώνως ἠχεῖ. οἷον, ζῇ. διὰ γὰρ τὴν πενίαν εὐτελής τις ὢν, καὶ ἀφανής ἐστιν. ἢ οὕτως. ὁ δὲ ταπεινὸς, οὐκ ἐν φανερῷ βρέμει. [Θάνε μὲν αὐτὸς ἥρως.] ἀπέθανε μὲν οὖν αὐτὸς ὁ Ἀγαμέμνων χρόνῳ πολλῷ παραγεγονὼς ποτὲ ἐν Λακεδαίμονι, καὶ τὴν μάντιν ἀπολέσας πεποίηκε κόρην Κασάνδραν. αἴτιος γὰρ αὐτὸς τοῦ ὑπὸ Κλυταιμνήστρας ἀποθανεῖν αὐτὴν γέγονεν. [Ἐπεὶ ἀμφ' Ἑλένᾳ.] παραγεγονὼς δὲ ὁ Ἀγαμέμνων εἰς Λακεδαίμονα, τέθνηκεν. ἐπειδή φησι περὶ τῇ Ἑλένῃ μαχουμένου συμφλεχθείσης τῆς Τροίας, καὶ τῶν ἐνοικούντων Τρώων, διέλυσε τοὺς οἴκους τῆς εὐδαιμονίας. τουτέστι, τοὺς πλουσίους οἴκους κατεστρέψατο. [Νέᾳ κεφαλᾷ.] ἀντὶ τοῦ, νέος ὢν ἔτι. ὁ δὲ Ὀρέστης φησὶν ἔτι νεώτερος ὢν, τὰς τῆς μητρὸς ἀποφυγὼν χεῖρας, πρὸς Στρόφιον τὸν Πυλάδου πατέρα παρεγένετο, οἰκοῦντος πρὸς τὸ ἔσχατον τοῦ Παρνασσοῦ. [Ἀλλὰ χρόνῳ σὺν Ἄρει.] ἀλλὰ χρόνῳ ποτὲ ἡβήσας ὁ Ὀρέστης, καὶ ἐν τῇ πατρίδι παραγεγονὼς, τῷ ξίφει ἀνεῖλε τὴν μητέρα· καὶ τὸν Αἴγισθον ἔθηκεν ἐν φοναῖς. φοναὶ δὴ, οἱ τόποι εἰς οὓς φονεύονται, καλοῦνται. Ὅμηρος. Ἐν ἀργαλέῃσι φονῇσι.

[Ἡ ξ

Πέφνέν τε μητέρα, θῆκέ τ' Αἴ-
γισθον ἐν φοναῖς.

Et matrem interfecit, & posuit Æ-
gisthum in cædibus.

ἀντιστροφὴ γ'. κώλων θ'.

Η ῥ' ὦ φίλοι, κατ' ἀμευ-
σίπορον τρίοδον ἐδινάθην,
Ὀρθὰν κέλευθον ἰὼν τὸ πρίν· ἤ
Μέ τις ἄνεμος ἔξω πλόου
Εβαλεν, ὡς ὅτ' ἄκατον ἐιναλίαν.
Μοῖσα, τὸ δὲ τεὸν, εἰ μισθῷ
Συνέθευ παρέχειν
Φωνὰν ὑπάργυρον, ἄλλοτ' ἄλ-
λα χρὴ ταρασσέμεν.

Μεταφ.

Certe ô amici, per gressus-al-
ternans trivium circumactus-sum,
Rectam viam incedens antea: aut
Me aliquis ventus extra navigationem
Jecit, ac si scapham marinam.
O Musa, hoc vero tuum est, si mercede
Pacta-es exhibere
Vocem argento-conductam, alias a-
lia decet commiscere.

ἐπῳδὸς γ'. κώλων ς'.

Η πατρὶ Πυθιονίκῳ
Τό γε νυν, ἢ Θρασυδαίῳ·
Τῶν εὐφροσύνα τε καὶ δόξ' ἐπιφλέγει.

Μεταφ.

Aut Patri Pythionicæ
Nunc quidem, aut Thrasydæo:
Quorum lætitiaq; & gloria accensa-splendet.

Paraphrasis.

matrem Clytæmnestram, adulterumque Ægisthum neci dedit. Equidem amici divagatus sum & circumactus per trivium in quo pedes ad progrediendum alternis moventur, relicta via quam prius insistebam: videlicet extra propositum argumentum erravi, alioque digrediens deflexi. An quemadmodum navis impetu ventorum in errores abjicitur, sic ego obviæ materiæ vi abreptus in aliena ab encomio feror? At vero ô Musa, siquidem revera operam tuam, ut victorem Thrasydæum laudes, pacta mercede locasti, debes nunc encomio tota incumbens modo hoc, modo illud ei inserere, vel in patris Thrasydæi Pythiorum victoris, vel in ipsius Thrasydæi laudem: quorum gloria, indeqne promanans lætitia resplendet:

Notæ.

56 Επεφνε μητέρα Edd. plurimæ. 57 Θῆκεν ἐν φοναῖς] Lon. Inter cæsos locavit. Η ῥα Codd. Nos per Apostroph. 58 Αμευσίπορος est gressus repetens, pro ἀμειψίπορος, ut placet Grammaticis. Αμεύω est Pertranseo, ut ἀμεύσασθαι ἀντίους P. 1. & quo melius intelligas ἀμασίπορον apud Schol. vide notas ad verba laudata, & unde ἀμεύσασθαι derivari censent Grammatici. Vult igitur Pind. Lex. imaginem exhiberi, Alternandi pedes i. e iter faciendi. Quam sententiam alii refellant. 59 τρίοδον] Quid si suos hymnos, qui στροφαῖς & ἀντιστροφαῖς & ἐπῳδοῖς constant, Trivii nomine indicavit? Mirandum sane, id nunquam venisse in mentem Intt. qui Pindarum solent variis modis detorquere, ut sensum aliis inauditum eliciant. Ecce autem triumphantem Scholiasten. συνῄσθηται καὶ αὐτὸς ἀκαίρῳ παρεκβάσει κεχρημένος, κ. λ. Quid plura! Nempe Pindarum habes confitentem reum. Sed non opus est iis, qui Poëticen sapiunt, rem palam ridiculam medio ungue ostendere. 63 Τὸ δ' ἐτεὸν Edd. pleræque Vulg. vers. Vere ut & Schol. ἀληθῶς & Paraphr. Revera. Aret. exponit, Ratio ab officio, pro pecunia locasti operam tuam: ergo ad laudes facere debet ratio tua, non digressionibus indulgere. Pari ingenio cum Schol Quidni potius hic Pindarus censendus est scriptum defendere, cum antea sibi adversarius esset, & se in judicium vocaret? Tuum enim est, Musa, varietate quadam delectare. 64 Μισθῷ γε, Schmid. 65 MS. γ. hab. ὑπ' ἄργυρον, divisim. 66 Αλλοτ' αὖ ταρασσέμεν. Schmid. qui addit. τὸ χρὴ plane otiosum esse & præter mentem Poëtæ. Cujus contrarium constat attendenti locum. Id sane certum est, τὸ αὖ non esse Pindari. 67 Αεθλονίκῳ, Schmid. Dor. pro ἀεθλονίκῳ, quomodo Πυθιονίκῳ leg. Codd. 69 Τε omitt. Edd. Comm.

[Η ῥ' ὦ φίλοι, κατ' ἀμασίπορον.] συνῄσθηται καὶ αὐτὸς ἀκαίρῳ παρεκβάσει κεχρημένος. καὶ φησίν. ὦ φίλοι, ἄρα ἐπλανήθην τῆς ὁδοῦ. τὸ πρότερον ὀρθὴν πορευόμενος ὁδόν. ἢ ἄνεμός με τοῦ πλοῦ παρέσφηλεν. ἀμασίπορον οὖν φησιν, ὃν ἀμείβομεθα καὶ ἀνύομεν, μὴ κατὰ πλάνην παρεκτρεπόμενοι. διὸ ἀπέστρεψε τὸν λόγον πρὸς τὴν μοῦσαν. καὶ φησίν. εἰ συνέθου καὶ μισθὸν ἔλαβες ἵνα ἐγκωμιάσῃς τὸν νικηφόρον, δέον ἐστὶ, τὸν ὕμνον ἄλλοτε ἄλλῃ μετάγειν. ἢ περὶ τοῦ Θρασυδαίου τι λέγοντας, ἢ περὶ τοῦ πατρὸς αὐτοῦ τοῦ Πυθιονίκου. ὑπάργυρος γάρ ἐστιν ἡ φωνὴ καὶ ἔμμισθος. ὥστε οὐ δεῖ παρεκβαίνειν καὶ περὶ ἄλλων λέγειν, μισθὸν εἰληφότα. Αλλως. [Η ῥ' ὦ φίλοι.] ἐσφάλη ὁ Πίνδαρος τοῦ δέοντος, παρεκβάσει χρησάμενος. κατὰ τρίοδον δὲ πεπλανῆσθαι φησίν. ἐπειδὴ δοκεῖ ὁ ἀπ' εὐθείας ἐν τριόδῳ παραγινόμενος, ἀπορεῖν ὁποίαν ὀφείλει βαδίσαι ὁδόν. ὁ δὲ νοῦς. καὶ δὴ ὦ φίλοι κατ' ἀμασίπορον ὁδὸν ἐπλανήθην· εὐθεῖαν τὸ πρότερον πορευόμενος, ἢ ἄνεμός με τις ἐξέρριψε τοῦ δέοντος πλοῦ. καὶ ἐκπεσεῖν ἐποίησεν, ὡς θαλάσσης ναῦν. [Εἰ μισθῷ συνέθου.] εἰ δὲ ἀληθῶς ὦ μοῦσα ἡμετέρα μισθοῦ καὶ ἀργυρίου τὴν σὴν φωνὴν ὑπέσχου παρέχειν, ἄλλοτε ἄλλα ὀφείλοις ἀνακινεῖν ἐγκώμια. ὀφείλεις δὲ ἐπὶ τοῦ παρόντος, ἀνακινεῖν τὸ ἐγκώμιον, ἢ αὐτοῦ τῷ πατρὶ τοῦ Πυθιονίκου, ἢ αὐτῷ τῷ Θρασυδαίῳ. ὧν ἡ δόξα τῆς νίκης καὶ ἡ εὐφροσύνη, πανταχοῦ διαλάμπει. [Ταρασσέμεν.] ἀντὶ τοῦ τάρασσε, καὶ μετάφερε.

Τὰ μὲν ἅρμασι καλλίνικοι πάλαι,
Ὀλυμπίᾳ τ' ἀγώνων πολυφάτων ἔσχον
Θοὰν ἀκτῖνα σὺν ἵπποις·

στροφὴ δ'. κώλων θ'.

Πυθοῖ τε γυμνὸν ἐπὶ
Στάδιον καταβάντες, ἤλεγξαν
Ἑλλανίδα στρατιὰν ὠκύτα-
τι. Θεόθεν ἐραίμαν καλῶν,
Δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ.
Τῶν γὰρ ἀνὰ πόλιν εὑρίσκων
Τὰ μέσα μακροτέρῳ σὺν
Ὄλβῳ τεθαλότα, μέμφομ' αἶ-
σαν τυραννίδων·

ἀντιστροφὴ δ'. κώλων θ'.

Ξυναῖσι δ' ἀμφ' ἀρεταῖς
Τέταμαι· φθονεροὶ δ' ἀμύνοντ' ἄ-
τᾳ. Εἴ τις ἄκρον ἑλὼν, ἡσυχίᾳ
Τε νεμόμενος, αἰνὰν ὕβριν

Curribus quidem olim præclari victores,
Olympiæq; certaminis celeberrimos habuere
Celerem fulgorem cum equis:

Metaph.

Delphisque nudum in
Stadium quum descendissent, superarunt
Græcanicam turbam velocita-
te. Divinitus optarim bona,
Possibilia quærens in ætate.
Bonorum enim civilium comperiens
Mediocria diuturniore cum
Felicitate florentia, improbo sor-
tem regii-status:

Metaph.

Vulgares vero circa virtutes
Occupatus-sum: Invidi autem puniuntur no-
xa. Si quis fastigium adeptus, tranquilleque
Degens, gravem contumeliam

PARAPHRASIS.

quatenus cum in Olympiis pulchræ victoriæ curribus quadrijugis compotes olim facti sunt, celeremque nominis fulgorem ex celeberrimis illis certaminibus reportarunt una cum equis: tum in Pythiis nudum stadium armis carentes ingressi, pedum celeritate soli claruerunt, reliquamque Græcorum antagonistarum turbam devictam dedecore affecerunt. Quanquam autem vos ab opulentia, & insigni dignitate extollere non possum, quia vitam vivitis privatam: eo tamen nomine beatos vos prædico, quod vestra conditio sit mediocris. Et certe si mihi detur optio, privatam vitam publicæ anteponam: & optarim ut Dii bona mihi dent mediocria per totum vitæ curriculum: nihilque nisi meis viribus æquum affectem. Etenim observatione comperi medium in civitate statum diuturniore fœlicitate potiri. Ideoque magnatum sortem ut labiliorem non probo. Quare in communium virtutum studium intentus sum, & mediocrem amo fortunam invidorum metu vacuam: qui proprio vitio offenduntur, quum inviso summæ fœlicitatis gradu adepto, & vitæ curriculum cum tranquillitate emenso, conceptam animis malevolis injuriam

NOTÆ.

70 Ἐν ἅρμασι leg. Schmid, 71 Ὀλυμπίας Schmid. Rectius tamen dicitur Ὀλυμπίᾳ τε, cui etiam subjicitur Πυθοῖ. 73 Γυμνοὶ omnes Edd. hab. Quum nudi in stadium descendissent. Verum quum MS. γ. leg. γυμνὸν referens ad στάδιον, quomodo & Schol. reposuimus. Nemo enim præter Bened. qui ex Schol. in Paraphrasin transtulisse videtur, ita expon. γυμνοὶ καταβάντες. Γυμνὸν στάδιον, idem est ac γυμνικὸν ἀγῶνα, nisi malles, γυμνικῶν ἀγώνων τόπον. 76 Ἀραίμαν leg. MS. γ. 78 MS. γ. ἂν πόλιν. 79 Schmid. expunxit σύν. 82 MS. γ. omitt. δ'. 83 Φθονεροὶ] Invidendi, Aretio & Schmidio, id est. In magna felicitate constituti. Non vero constat, an Passive unquam Autores utantur. Ἀμύνονται leg. Alii.

[Τὰ μὲν, ἅρμασι καλλίνικοι πάλαι.] τὰ μὲν γὰρ, ἅρμασι καὶ τεθρίππῳ σὺν τοῖς ἵπποις τὸ παλαιὸν καλλίνικοι γενόμενοι, τῶν πολυθρυλλήτων ἀγώνων ἔσχον τὴν ταχεῖαν ἀκτῖνα καὶ λαμπηδόνα ἐν Ὀλυμπίᾳ. ἀπὸ κοινοῦ δὲ τὸ, νικήσαντες ἀκτῖνα ἔσχον, καὶ τῇ Πυθοῖ δὲ κατελθόντες ἐπὶ τὸ γυμνὸν στάδιον ἀγωνίσασθαι, ἤλεγξαν τῇ τῶν ποδῶν ταχυτῆτι, τὸν τῶν Ἑλλήνων ὄχλον· παρὰ πάντας εὐδοκιμήσαντες μόνοι. τὸ δὲ ὅλον, οὕτω φησίν. οἱ μὲν πρόγονοι αὐτοῦ, ἔσχον Ὀλυμπικὰς νίκας. αὐτὸς δὲ ὁ Θρασυδαῖος ἐν τῇ Πυθοῖ, στάδιον ἐνίκησε. τὸ δὲ τοῦ Θρασυδαίου πεπραγμένον συλληπτικῶς ἐπὶ πάντων τέταχεν. [Θεόθεν ἐραίμαν καλῶν.] θεῶν δὲ βουλήσει, ἐρῶντα ἔχοιμι τῶν καλῶν. τὰ δυνατὰ ἐπιθυμῶν ἐν τῇ παρούσῃ μοι ἀεὶ ἡλικίᾳ. τουτέστιν, ἑκάστοτε. [Τῶν γὰρ ἀνὰ πόλιν.] τῶν γὰρ κατὰ πόλιν, φησὶν, εὑρίσκων τὰ τοιαῦτα τῶν πραγμάτων ἐπὶ πλεῖστον χρόνον θάλλοντα, ὅσα τὸ ἄκρον οὐκ ἔχει τῆς εὐδαιμονίας, μέμφομαι τὰς τυραννίδας. μέμφομαι τοὺς τῆς ὑψηλῆς καὶ τυραννικῆς ἐπιθυμοῦντας τύχης. [Ξυναῖσιν.] περὶ τὰς κοινὰς δὲ καὶ συμμέτρους ἀρετὰς εὐτυχίας, τὴν ἐπιθυμίαν τεταμένην ἔχω. [Φθονεροὶ δ' ἀμύνοντ' ἄτᾳ.] οἱ δὲ φθονεροὶ τῇ αὐτῶν ἄτῃ καὶ βασκανίᾳ φησὶν, ἀμύνονται καὶ βλάπτονται. βασκαίνοντες, εἴτις τὸ τέλειον τῆς εὐδαιμονίας καὶ εὐτυχίας λαβὼν, καὶ ἐν ἡσυχίᾳ καὶ εἰρήνῃ διάγων, τὴν χαλεπὴν στάσιν καὶ ὕβριν ἀπέφυγε κατὰ τὴν τελευτὴν τὴν τοῦ θανάτου. τουτέστι, μέχρι καὶ θανάτου δικαίως ἔζησε. καλλίονα καὶ ἐντιμότερον τὸν ἑαυτοῦ θάνατον τῶν ἑαυτοῦ κτημάτων χάριν τῇ ἰδίᾳ αὐτοῦ γενεᾷ παρεσχηκώς. καὶ καταλιπὼν ἔξωθεν δόξαν, καὶ τὴν μετὰ θάνατον ἑαυτοῦ εὐφημίαν. ἢ οὕτω. τῷ δὲ ἄκρως εὐτυχοῦντα κἂν μετὰ ἡσυχίας ζῇ μηδὲν παραδῶν πρᾶγμα, ὅμως οἱ πονηροὶ βασκαίνοντες βλάπτουσιν. ἢ οὕτως. εἴτις φησὶ τὸ ἄκρον καὶ τὸ πρῶτον ἔχει, οἱ φθονεροὶ τῇ ἄτῃ αὐτὸν ἀμύνονται. τουτέστι βλάπτονται. ἐπειδὴ ἐπὶ τοῖς ἀλλοτρίοις καλοῖς λυπούμενοι, διαφθείρονται τηκόμενοι. διὸ βέλτιόν ἐστι τὴν μεσότητα σώζειν ἐπὶ πάντων.

[Μέλανος

Ἀπέφυγεν· μέλανος ἂν ἐσχατιὰν	Effugit: *is* nigræ terminum
Καλλίονα θανάτου ἔσχεν,	Pulchriorem mortis consequi-solet,
Γλυκυτάτᾳ γενεᾷ	Dulcissimæ soboli
Εὐώνυμον κτεάνων κρατί-	Bonæ-famæ bonorum præstan-
σταν χάριν πορών.	tissimum donum præbens.
ἐπῳδὸς δ'. κώλων ϛ'.	Μεταph.
Ἅτε τὸν Ἰφικλείδαν	Quod Iphicliden
Διαφέρει Ἰόλαον	Celebrem-facit Iolaum
Ὑμνητὸν ἐόντα, καὶ Κάστορος βίαν,	Hymnis decantatum, & Castoris robur,
Σέ τε ἄναξ Πολύδευκες, υἱοὶ Θεῶν,	Teque ô Rex Pollux, filii Deorum,
Τὸ μὲν παρ' ἆμαρ ἕδραισι Θεράπνας,	Partim die-uno sedibus Therapnespartim ha-
κέοντας ἔνδον Ὀλύμπου. [τὸ δ' οἰ-	bitantes intra Olympum.

PARAPHRASIS.

inferre non potuerunt. Et cum illi proprio dolore confecti pereant, hic superata invidia supremum diem obit honestiorem, bonamque famam omnium possessionum præstantissimam dulcissimæ soboli in hæreditatem relinquit. Quæ bona & honesta fama hymnis decantati Iolai Iphicli filii, nomen celebre circumfert, vestrumque ô fortis Castor, & rex Pollux Jovis & Ledæ filii, qui diebus alternis apud superos, & apud infernos versamini, quatenus vestræ stellæ alternis vicibus apparent & delitescunt.

NOTÆ.

86 Μέλανος δ' ἂν ἐσχατιὰν Καλλίονα θανάτου ἔσχεν hab. Codd. Nos cum Schmidio omitt. δ' & leg. θανάτου ad μέλανος referentes, ut & Schol. Utrum tamen Schol. legerit θανάτου (ut vult Schmid.) vel μέλανος ad supplendum θανάτου cnm aliis Intt. retulerit, judicent alii. Vulg. vertit, Invidi puniuntur à suo ipsorum vitio, siquis fastigium felicitatis adeptus, & in tranquillitate degens gravem insolentiam effugerit: at ille nigræ mortis in ultimis finibus pulchriorem mortem consequitur. 95 Θεράπνας MS. Pal. C. Steph. Θεράπναι Schmid. transponit, ἔνδον Τὸ δ' οἰκέοντας Ὀλύμπου. Sudorius reddidit hanc ἐπῳδὸν Latino metro, *Hac una Iphicli progeniem plagas Differt per omnes cantibus & modis. Hac Castorem commendat Orbi Cæstibus indomitum cruentis. Fratremque gyris mobilem equestribus Utrumque summo Cælicolum statu Prognatum, & alternis colentem Æthera, frugiferasque terras.*

[Μέλανος δὲ θανάτου,] τοῦ ᾅδου φησί. εἴτις οὖν οὐκ ἔστιν ὑβριστής φησι καὶ τὸ ἄκρον ἔχει, καλλίονα τὸν θάνατον αὐτοῦ περιποιησάμενος, πάντων κτημάτων ἀπολείπει τῇ γενεᾷ αὐτοῦ τὴν εὐφημίαν. ταύτην γὰρ εἶπε κρατίστην κτημάτων χάριν. παντὸς γὰρ κτήματος, κρείσσων ἐστὶν ἡ εὐφημία. [Ἅτε τὸν Ἰφικλείδαν.] ἥτις ἡ εὐδοξία ἔνδοξον ὄντα καὶ τὸν Ἰφικλέα παῖδα Ἰόλαον, πανταχοῦ διαγγέλλει καὶ ἐπίσημον ποιεῖ, καὶ διαγγέλλει καὶ τὸν Κάστορα· καὶ σὲ ὦ Ἄναξ Πολύδευκες, υἱοὶ Θεῶν. ποτὲ μὲν παρ' ἡμέραν ἐν ταῖς Λακωνικαῖς ὄντας καθέδραις· ποτὲ δὲ ἐν τοῖς τοῦ Διὸς οἰκοῦντας. καὶ ἀπὸ κοινοῦ τὸ, διαγγέλλει ἡ εὐφημία. [Τὸ μὲν, παρ' ἆμαρ ἕδραισι.] τὸ Ὁμηρικὸν παραφράζει. Ἄλλοτε μὲν τε ζώουσ' ἑτερήμεροι· ἄλλοτε δ' αὖτε τεθνᾶσιν.

Τέλος τοῦ ἐνδεκάτου τῶν Πυθίων εἰδῶν.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΤΟΥ ΑΥΤΟΥ ΕΙΔΟΥΣ.

Η Δωδεκάτη ᾠδὴ καὶ τελευταία, μονοστροφική ἐστιν ἐκ κώλων ιδ'. Τὸ α', περίοδος δωδεκάσημος, ἐκ σπονδείου καὶ πυῤῥιχίου, καὶ τροχαίου, καὶ ἰάμβου. Τὸ β', τὸ αὐτό. Τὸ γ', δακτυλικὸν πενθημιμερές. Τὸ δ', τὸ αὐτὸ τῷ πρώτῳ καὶ δευτέρῳ. Τὸ ε', τὸ αὐτό. Τὸ ϛ', ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ', δακτυλικὸν πενθημιμερές. Τὸ η', ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χοριάμβου. Τὸ θ', τὸ αὐτὸ τῷ πρώτῳ καὶ δευτέρῳ. Τὸ ι', Ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια', προσοδιακὸν, μιᾷ συλλαβῇ περιττεῦον, ὅμοιον τῷ, Βρασμονίδα χαρίλα. Τὸ ιβ', τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. Τὸ ιγ', ἐγκωμιολογικὸν, παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ ιδ', Στησιχόρειον τρίμετρον, ἀκατάληκτον. [Μίδα αὐλητῇ.] Γέγραπται ἡ ᾠδὴ Μίδᾳ Ἀκραγαντίνῳ. οὗτος ἐνίκησε τὴν εἰκοστὴν τετάρτην Πυθιάδα καὶ τὴν. κε'. φασὶ δὲ αὐτὸν καὶ Παναθήναια νενικηκέναι. ἱστοροῦσι δέ τι ἴδιον σύμπτωμα συμβεβηκέναι περὶ τὸν αὐλητὴν τοῦτον. ἀγωνιζομένου γὰρ αὐτοῦ, ἀνακλασθείσης τῆς γλωσσίδος ἀκουσίως, καὶ προσκολληθείσης τῷ οὐρανίσκῳ, μόνοις τοῖς καλάμοις τρόπῳ σύριγγος αὐλῆσαι. τοὺς δὲ θεατὰς ξενισθέντας τῷ ἤχῳ, τερφθῆναι. καὶ οὕτω νικῆσαι αὐτόν.

Ratio vero metrica talis eſt:

ςροφὴ & ἀντιςροφή.

1. - - ᴗ ᴗ - ᴗ ᴗ -	8. - - ᴗ ᴗ - ᴗ ᴗ -
2. - - ᴗ ᴗ - ᴗ ᴗ -	9. - - ᴗ ᴗ - ᴗ ᴗ -
3. - ᴗ ᴗ - ᴗ ᴗ -	10. - - ᴗ - - - ᴗ -
4. - - ᴗ ᴗ - ᴗ ᴗ -	11. - - ᴗ ᴗ - ᴗ ᴗ - -
5. - - ᴗ ᴗ - ᴗ ᴗ -	12. - ᴗ - - - ᴗ -
6. - - ᴗ - - - ᴗ -	13. - ᴗ ᴗ - ᴗ ᴗ - - - ᴗ ᴗ
7. - ᴗ ᴗ - ᴗ ᴗ -	14. - ᴗ - - - ᴗ - - - ᴗ - -

MS. γ. aliter diſtinguit κῶλα atque Edd. quas potius ſequimur, utpote æquiorem diſtributionem exhibentes.

ΜΙΔΑ

ΜΙΔΑ ΑΚΡΑΓΑΝΤΙΝΩ, ΑΥΛΗΤΗ.

ΕΙΔΟΣ ΙΒ'.

MIDÆ AGRIGENTINO, TIBICINI.

ODE XII.

ARGUMENTUM.

Unico nomine laudatur Midas Tibicen viz. ob victoriam Musico certamine partam, indeque digreditur Poëta ad Tibiarum inventionem, item ad Persei fabulam; & tandem eleganti gnomologia de fortunæ inconstantia concludit.

στροφὴ α'. κώλων ιβ'.

Αἰτέω σε φιλάγλαε, καλ-
λίστα βροτεᾶν πολίων,
Φερσεφόνας ἕδος, ἅ-
τ' ὄχθαις ἔπι μηλοβότου
Ναίεις Ακράγαντος ἐΰ-
δματον κολώναν, ὦ ἄνα,
Ιλαος, Αθανάτων
Ανδρῶν τε σὺν εὐμενείᾳ,
Δέξαι στεφάνωμα τόδ' ἐκ
Πυθῶνος εὐδόξῳ Μίδᾳ,
Αὐτόν τέ νιν, Ελλάδα νικά-
σαντα τέχνᾳ· τάν ποτε

METAPH.

Rogo te ô splendoris-amica, pul-
cherrima humanarum urbium,
Proserpinæ sedes, quæ
Ad ripas pecorosi
Inhabitas Agrigenti bene-ædi-
ficatum collem, ô Regina,
Propitia *sis*, Immortalium
Hominumque cum benevolentia,
Accipe coronam hanc ex
Pythone glorioso Midæ
Eumque *adeo* ipsum, Græciam qui-supe-
ravit arte: quam quondam

PARAPHRASIS.

O pulchritudinis & elegantiæ amans, urbium interitui obnoxiarum, earum quas mortales incolunt pulcherrima, sedes inferorum Deæ Proserpinæ, cui Jupiter Siciliam dono dedit, quæ sita est in colle ædificiis eximio, imminesque ripis Agragantis fluvii circum te fluentis, & pascua pecudum alluentis, ô Agrigentum regionis domina urbs, & metropolis, quæso te propitia esto, cumque Deorum atque hominum benevolentia, hunc hymnum accipe, quem in præclari Midæ laudem contexui, quod pro tibiæ cantu coronam ex Pythone reportarit: reducemque hunc tuum civem tuo gremio excipe, læta quod omnes antagonistas, quotquot ad certamen ex Græcia confluxerant, ea vicit arte, quam olim

NOTÆ.

2 Βροτεᾶν] Ad differentiam aliarum urbium, quas Dii vel Cyclopes extruxisse crediti fuerunt. Schmid. 3 Φερσεφόνας ἕδος] Sicilia est sedes Proserpinæ filiæ Cereris Deæ frugum, ob fertilitatem. Schmid. 4 Ὄχθαις ἔπι] Est enim Agrigentum Urbs littoralis. 6 Ἄνα] Vocativus ab ἄναξ, hoc loco in Fœminino pro ἄνασσα usurpatus. Schmidius corrupit textum, cum reposuerit ἄνασσα. Quid enim non fas sit ei legere, qui huic licentiæ indulget? Referuntur hæc vel ad Proserpinam, vel ad Nympham Agrigentinam. 8 Εὐμενίᾳ leg. γ. 10 Εὐδόξῳ Μίδᾳ pro εὐδόξου Μίδου Dor. intellig. Schol. & Intt. eum secuti. Schmid. ex Pindarica syntaxi corrigit, & Dativos esse docet. Sic Ol. 6. Αγησίᾳ δέξαιτο κῶμον, & ne Αγησία pro Αγησίου ibi intelligas, ad Ol. 13, habes δέξαι δέ οἱ στεφάνων ἐγκώμιον τεθμόν· non οὗ, & P. 8. Τιμὰν Αριστομένει δίκαν, non Αριστομένους. Hæc Schmid. At cum rationem istius συντάξεως tradit vix cum eo sentiendum. Ideo enim Dativo usum esse, ait, ut, Cui bono, indicet: nisi subaudire velimus τὸ πεποιημένον, aut simile, quod ipse in versione reddidit, Concinnatum scil. Midæ. Idem enim sonat hic Dativus, ac si esset Genitivus. 11 Νικάσαντα Commune leg. γ.

[Αἰτέω σε φιλάγλαε καλλίστα.] ὁ λόγος, ἀπότασις τῷ Πινδάρῳ πρὸς τὴν ἡρωΐδα τὴν Ακράγαντα, ἢ καὶ τὴν Ακράγαντα πόλιν. ὦ φιλόκαλε καὶ καλλίστη τῶν πόλεων· ἥτις εἶ Φερσεφόνης ἕδος· αἰτέω σε, ἵνα ἵλεως δέξῃ τὸ στεφάνωμα τοῦ Μίδα· ὃ ἐκ τοῦ Πυθῶνος ἤνεγκεν. ὁ δὲ νοῦς. αἰτέω σε ὦ καλλίστη τῶν ἀνθρώπων καὶ φιλόκαλε πόλι, καὶ τῆς Φερσεφόνης ἔδαφος. ἥτις ἐν ταῖς ὄχθαις τοῦ προβατοτρόφου Ακράγαντος, τὴν εὐκατασκεύαστον Ακράγαντα τὴν ὁμώνυμον σαυτῇ οἰκεῖς πόλιν. ἀπὸ μέρους δὲ τὸ ὅλον ἔφη. ὅλην γὰρ τὴν Σικελίαν ἐδωρήσατο τῇ Φερσεφόνῃ ὁ Ζεύς. [Ω ἄνα ἵλαος ἀθανάτων.] ὦ δέσποινα Φερσεφόνη, εὐμενὴς σὺν θεῶν καὶ ἀνδρῶν εὐμενείᾳ τὸ ἐκ τοῦ Πυθῶνος στεφάνωμα τὸν ὕμνον δέξαι τοῦ εὐδόξου Μίδου. [Αὐτόν τέ νιν.] τὸν Μίδαν. ἀπὸ κοινοῦ, τὸ δέξαι τὴν Ελλάδα νικήσαντα τῇ ἑαυτοῦ τέχνῃ. [Τάν ποτε Παλλὰς ἐφεῦρε.] ἥντινα τὴν αὐλητικὴν τέχνην, εὕρετό ποτε ἡ Αθηνᾶ τῶν θρασειῶν Γοργόνων τὸν θρῆνον διαπλέξασα, καὶ μιμησαμένη.

Παλλὰς ἔφευρε, θρασειᾶν Γοργόνων
Οὔλιον θρῆνον διαπλέξαισ' Ἀθάνα·

ἀντιστροφὴ αʹ. κώλων ιδʹ.

Τὸν παρθενίοις, ὑπό τ' ἀ-
πλάτοις ὀφίων κεφαλαῖς
Ἄϊε λειβόμενον,
Δυσπενθεῖ σὺν καμάτῳ,
Περσεὺς ὁπότε τρίτον ἄ-
ϋσεν κασιγνητᾶν μέρος,
Εἰναλίᾳ Σερίφῳ
Λαοῖσί τε μοῖραν ἄγων.
Ἤτοι τό, τε θεσπέσιον
Φόρκοι' ἀμαύρωσεν γένος,
Λυγρόν τ' ἔρανον Πολυδέκτᾳ

Pallas invenit, audacium Gorgonum
Tristē lamentationem contexens Minerva:

Μεταφρ.

Quam virgineis, subque deformibus serpentum capitibus
Audivit effusam,
Luctuosa cum ærumna,
Quando Perseus tertiam debellavit sororum partem,
Marinæ Seripho
Incolisque exitium-fatale afferens.
Utique & divinum
Phorci delevit genus,
Et triste convivium Polydectæ

PARAPHRASIS.

Minerva adinvenit, quum audacium Gorgonum gemitum est imitata, quem illa ex inaccessis virginum illarum capitibus, ex quo serpentes sibilabant, manantem, ob lugubrem ærumnam & dolorem occisæ sororis, adinvenit: tum temporis quum unam ex tribus sororibus Gorgonibus e medio sustulit Perseus, Insulæ Seripho, Seriphiisque insularibus exitium moliens. Et certe Gorgones illas, divinam Phorcynis sobolem delevit, quatenus Medusam mortalem extinxit, & reliquas duas immortales excæcavit, cum tres uno tantum oculo uterentur. Præterea collatitiam illam cœnam Polydectæ, qui jusserat ut suum quisque symbolum afferret, funestam reddidit:

NOTÆ.

13 MS. γ. omitt. Γοργόνων & διαπλέξαισ' Comm. habet. 16 Ἀπλάτοις Edd. plures. Vulg. vertit. Immensis. Potest vero non solum derivari à πιλάζω, Appropinquare facio, ut sit sensus, Quæ tuto accedere nemini licebat, ne saxum fieret: verum & à πλάζω, ut sit, Deformibus, ut & Phil. & Schmid. reddiderunt. Vide tamen v. 28. 17 Ἄϊε] Phil. Lon. & Vulg. ad Περσεὺς referunt. Ita & qui MS. γ. exaravit. Λειβόμενον] Destillantem stillando quasi effusum & velut guttatim, propter intermixta crebra suspiria. Schmid. 21 Εναλίᾳ. Steph. 22 Λαοῖσί τε μοῖραν ἄγων] Hoc est, ut P. 10, Νασιώταις λίθινον θάνατον φέρων. 23 Ἤτοι] Lon. Quandoquidem. Θεσπέσιον] Lon. Fatale Schmid. Monstrosum, & vix Deo alicui enarrandum, qui & intelligit Medusam, unam τοῦ Φόρκοιο γένους, non tres sorores cum Schol. 25 Λυγρὸν ἔρανον] Acerbam Symbolam Persolvit Polydectæ, Vulg. Portus, symbolum. Ἔρανος enim est Athen. l. 8. Cœna collatitia. Verum ex Demosthenis Philipp. 4. patet τὸν ἔρανον esse convivium, vel beneficium quodvis, quod vel gratitudinis vel amoris nomine exhibetur. Ideoque ut ex historiola apud Schol. constat. Amicum convivium intelligendum, sumptibus vocantis institutum. Quum Persea enim excipere vellet, ἐν ἐράνῳ Polydectes præcepit ei afferre pro munusculo, caput Medusæ.

[Τὸν παρθενίοις ὑπό τ'.] μυθεύεταί τι τοιοῦτον. ὅτι ὅτε ὁ Περσεὺς ἐκαρατόμησε τὴν Μέδουσαν, αἱ δύο ἀδελφαὶ ἐθρήνουν τὴν ἀδελφήν. καὶ ἐκ τῆς κεφαλῆς αὐτῶν, καὶ τῶν ὄφεων τῶν περὶ τὴν κεφαλήν, συριγμός τις ἀνεδίδοτο. τοῦτο τὸν συριγμὸν καταλαβοῦσα ἡ Ἀθηνᾶ τὸν ἐκ τῶν ὄφεων προσγινόμενον, πρὸς μίμησιν τοῦ θρήνου, καὶ τοῦ γινομένου συριγμοῦ ἐκ τῶν ὄφεων, ἐπενόησε τὴν αὐλητικήν. ἣν καὶ ὠνόμασε πολυκέφαλον νομὸν, διὰ τοῦτο. ἐπεὶ γὰρ ἐκ τῶν πολλῶν κεφαλῶν τῶν ὄφεων, εἷς τις ἀνεδίδοτο συριγμός. πολλὰς δὲ κεφαλὰς εἰκότως εἶχον οἱ ὄφεις, διὰ τοῦτο πολυκέφαλον νομὸν, τὴν κατὰ μίμησιν αὐλητικὴν συνθεῖσα, ὠνόμασεν. ὁ δὲ νοῦς, ὅν τινα τὸν θρῆνον, ὑπὸ παρθενίοις Γοργόνων κεφαλαῖς καὶ ὀφίων, ἀπλησιάστοις κεφαλαῖς, ἐπήκουσε, σὺν τῷ δυσπενθεῖ καμάτῳ καὶ θρήνῳ καταστενδόμενον. [Δυσπενθεῖ σὺν καμάτῳ.] τῷ τῶν Γοργόνων. ἀδελφὴν γὰρ ἐπένθουν κάμνουσαι. αὗται γάρ εἰσιν αἱ παρθένιοι κεφαλαί. δῆλον ὅτι αἱ τῶν παρθένων ἀδελφῶν τῆς Μεδούσης, Σθενούσης. γράφεται καὶ Σθενοῦς καὶ Εὐρυάλης. [Περσεὺς ὁπότε τρίτον ἄϋσε κασιγνητᾶν.] τουτέστι, τὴν μίαν. τρεῖς γὰρ ἦσαν. τὸ δὲ ἄϋσεν, ἤτοι ἐπὶ τῆς μιᾶς τῶν Γοργόνων ἀκουστέον, ὡς ἄϋσε καρατομουμένη διὰ τὴν ἀλγηδόνα. τὸ δὲ ἄϊεν ἡ Ἀθηνᾶ τὸν θρῆνον τῶν ἀδελφῶν αὐτῆς. ἢ ἄϋσεν ὁ θρῆνος καρατομήσαντος τοῦ Περσέως. οἱ δὲ ἀπὸ τῆς αὐτῆς ἐρμηνείας θέλουσι. τουτέστι, τῆς μάχης. οἱ δὲ, κατεπολέμησε τὸ τρίτον μέρος αὐτῶν. διχῶς δὲ εἴρηται. ἢ ἄνυσεν, ὃ ἐστιν ἀνυσθῆναι ἐποίησεν, ἢ ἄϋσεν, ἀντὶ τοῦ ἐκραύγασε καρατομουμένη. [Εναλίᾳ Σερίφῳ.] ἐν τῇ θαλασσίᾳ Σερίφῳ μοῖραν καὶ θάνατον κομίζων τῷ τρίτῳ μέρει τῶν Γοργόνων. ἐκ δὲ τούτου πάλιν, τῇ τῆς Γοργόνος κεφαλῇ. [Φόρκοι' ἀμαύρωσε γένος.] Φόρκου γένος, τὰς Γοργόνας φησί. τοῦτο δὲ, ἐπὶ τῶν τριῶν ἀκουστέον. ὅτι τὴν μὲν μίαν ἐκαρατόμησε· τὰς δὲ δύο ἐξετύφλωσεν. ἀφελόμενος τὸν ἕνα ὀφθαλμόν. μόνῳ γὰρ ἑνὶ ἐχρῶντο αἱ τρεῖς. ἀπάρθενον δέ φησι τὴν Μέδουσαν, οὐχ ὅτι οὕτω φύσεως εἶχεν, ἀλλ' ὅτι περὶ ἑαυτῆς ἡ Μέδουσα ὡς εὐμόρφου διέκειτο. διὸ καὶ περὶ κάλλους τῇ Ἀθηνᾷ ἐφιλονείκησεν. ὁ δὲ νοῦς. καὶ γὰρ δὴ ὁ Περσεὺς, τὸ θεῖον γένος τοῦ Φόρκου τὰς Γοργόνας ἠφάνισε, τῆς εὐπαρήου Μεδούσης τὴν κεφαλὴν ἀποτεμών. καὶ ὀλεθριώτατον ἔρανον τῷ Πολυδέκτῃ ἔθηκε, καὶ τὴν τῆς μητρὸς αὐτοῦ δουλείαν, ἀσφαλῆ καὶ ἐλευθέραν. καὶ τὴν μετ' ἀνάγκης κοίτην, ἀπὸ κοινοῦ τὸ, ἔθηκεν. [Λυγρόν τ' ἔρανον.] λυγρὸν ἔρανον εἶπεν, ἐπεὶ ἐν ἐράνῳ ποτὲ ἐπέταξεν ὁ Πολυδέκτης ἑκάστῳ ὡς ἂν βασιλεὺς προσφέρειν αὐτῷ δῶρον, καὶ τῷ Περσεῖ τὴν κεφαλὴν τῆς Γοργόνος. κοινῶς δὲ ληπτέον τὸ, ἀμαύρωσε· τῆς Γοργόνος δηλονότι.

[Τὸν,

Θῆκε, ματρός τ' ἔμπεδον
Δουλοσύναν, τό, τ' ἀναγκαῖον λέχος,
Ευπαράου κρᾶτα συλάσαις Μεδοίσας,

στροφὴ β'. κώλων ιβ'.

Υἱὸς Δανάας· τὸν ἀπὸ
Χρυσοῦ φαμὲν αὐτορύτου
Ἔμμεναι. Ἀλλ' ἐπεὶ ἐκ
Τούτων φίλον ἄνδρα πόνων
Ἐρρύσατο παρθένος, αὐ-
λῶν τεῦχε πάμφωνον μέλος·
Ὄφρα τὸν Εὐρυάλας
Ἐκ καρπαλιμᾶν γενύων
Χριμφθέντα, σὺν ἔντεσι μι-
μήσαιτ' ἐρικλάγκταν γόον,
Εὗρεν Θεός. Ἀλλά νιν εὑροῖ-
σ' ἀνδράσι θνατοῖς ἔχειν,
Ὠνόμασεν κεφαλᾶν πολλῶν νόμον,
Εὐκλέα λαοσσόον μναστῆρ' ἀγώνων,

Fecit, matrisque stabilem
Servitutem,coactumq; lectum *tristem ei fecit*,
Pulcherrimæ capita quum-abstulisset Medusæ,

METAPH.

Filius Danaæ: quem ab
Auro credimus sponte-delapso
Natum esse. Sed postquam ex
Hisce charum virum laboribus
Liberavit virgo *Minerva*, tibi-
arum fecit omnisonum melos:
Utque Euryalæ
Ex rapacibus genis
Emissum, instrumentis imi-
taretur perstreperum luctum,
Invenit *hoc* Dea. At hoc postquam-inve-
nit viri mortales ut haberent,
Nominavit capitum multorum legem,
Illustrē populos-cientem procū certaminum,

PARAPHRASIS.

firmam quoque matris servitutem & coactas nuptias illi lugubres effecit, rapto & allato in matris offensæ ultionem formosæ Medusæ capite. Filius ille Danaes, quem verso in aurum Jove, perque turris aheneæ impluvium illapso, ab ea conceptum natumque fama fert. Postquam igitur virgo Pallas virum hunc sibi charum, ab his adversus Gorgonas laboribus salvum & incolumem reddidit, tibiarum varios concentus efficientium melos excogitavit & fecit, ut cum hoc Musice organo imitaretur valde sonorum luctum, qui ex validis Euryales genis profundebatur, & alterius ejus sororis Sthenonis. Tibiam, inquam invenit Minerva Dea, eamque in mortalium hominum usum inventam, vocavit multorum capitum harmoniam, ob multiplicem illius sonum, qua ludunt ut athletas ad certandum congregatos, certaminis ineundi moneant, ad idque ipsos concitent.

NOTÆ.

28 Εὐπαράου] Vide quæ Schol. habet. Κρᾶτα] Plural. à τὸ κρὰς, non Sing. ab ὁ κρὰς, ut volunt Schol. aliique. Pindarus Plurali utitur cum monstrosum quidvis describat. Capita vero erant serpentina, Medusæ capiti adnascentia. Vide κ. 41. 29 Δανάας MS. γ. 30 Αὐτορύτου Plerique. 33 Παρθένος] Minerva Παρθένου cognomine Athenis culta fuit. Utitur hoc nomine Poëta, quia, ut virgo, virginitatis violatricem ulta fuit. Schmid. 34 Αὐλῶν] Ab αὐλὸς· αὐλὴ enim, stabulum est. Unde constat Dores Genit. Tertiæ etiam in ᾶν efferre. Schmid. αὐλῶν legit. Scholion pro textu. 36 Καρπαλιμᾶν γενύων] N. 1. ὠκείας γνάθους. 40 MS. γ. leg. θνατοῖς ἔχειν κ' αὐτόματον. Omnes alii Codd. nobiscum legunt. Se ipsa quippe indignum tibicinium rata fuit Pallas, propter deformitatem oris, Schmid. Quasi alludat ad illa Ovid. *I procul, hinc, dixit, Non est mihi tibia tanti, Ut vidit vultus Pallas in amne suos.* 42 Εὐκλεᾶ Schmid. Λαοσσόων Aliqui. Nos MS. γ. Sequimur. Μναστῆρ' Comm. γ. Id est, ut Vulg. Admonitricem, vel potius Solicitatricem. Frigide Phil. Convenientem ludis. Schmid. per ἀγῶνας Certamina bellica intelligit.

[Τὸν, ἀπὸ χρυσοῦ φαμέν.] ὅν τινα Περσέα, φαμὲν ἀπὸ χρυσοῦ γεγενῆσθαι αὐτομάτως ῥέοντος. [Ἀλλ' ἐπεὶ ἐκ τούτων.] ἀλλ' ἐπειδὴ ἐκ τούτων τῶν πόνων τὸν προσφιλέστατον ἄνδρα ἐῤῥύσατο Περσέα ἡ Ἀθηνᾶ, τότε τὸ πολύφωνον μέλος τῶν αὐλῶν κατεσκεύαζεν. ἐῤῥύσατο δὲ πόνων. ἐδίωξε γὰρ τὸν Περσέα μέχρι Βοιωτίας ἡ Μέδουσα. [Ὄφρα τὸν Εὐρυάλας.] ἀπὸ μιᾶς ἤρξατο καὶ τὸ περὶ τὴν ἑτέραν Σθενὼ πάθος παρασιῆσαι. οὐ γὰρ μόνη ἐθρήνησεν ἡ Εὐρυάλη, ἀλλὰ καὶ ἡ Σθενώ. ἡ γὰρ Εὐρυάλη, τῆς Μεδούσης ἀδελφή. ὁμοίως καὶ ἡ Σθενώ. ὁ δὲ νοῦς. ὅπως σὺν τοῖς ὀργάνοις τῆς αὐλητικῆς, τὸν ἐκ τῶν ἰσχυρῶν γενύων τῆς Εὐρυάλης ἐκδοθέντα θρῆνον μιμήσαιτο, ὅν οὖν φησι τῆς ταύτης μιμήσαιτο γόον ἐρικλάγκταν. τουτέστι, μεγαλόκραγον, μεγαλόηχον. ἡ γὰρ Ἀθηνᾶ, εὗρε τὸ μέλος τῆς αὐλητικῆς. [Ἀλλά νιν εὑροῖσ'.] ἀλλ' εὑροῦσα τὸ τοῦ αὐλοῦ μέλος, μετέδωκε τοῖς ἀνθρώποις ἔχειν. καὶ ὠνόμασε τὸ μέλος, πολυκέφαλον νομόν. ἐπεὶ καὶ αἱ τῶν δρακόντων πλείους εἰσὶ κεφαλαὶ καὶ ἦσαν, αἱ συρίξασαι. ὧν κατὰ μίμησιν συνέθηκε. τινὲς δὲ πολυκέφαλον φασὶν εἰπεῖν, ἐπειδὴ πεντήκοντα ἦσαν ἄνδρες. ἐξ ὧν ὁ χορὸς συνεστὼς προκαταρχομένου τοῦ αὐλητοῦ, τὸ μέλος περιεφέρετο. οἱ δὲ, κεφαλὰς ἀκούουσι τὰ προοίμια. ᾠδὴ οὖν διὰ πολλῶν προοιμίων συνεστῶσα. ἣν λέγουσι τὸν Ὄλυμπον πρῶτον εὑρηκέναι. [Εὐκλέα λαοσσόων.] ἔνδοξον ὑπόμνημα τῶν ἀγώνων τῶν τοὺς λαοὺς σοβούντων καὶ παρορμώντων εἰς τὴν θέαν. φησὶ δὲ τὸ μέλος.

ἀντιστροφὴ β'. κώλων ιδ'.	Metaph.
Λεπτοῦ διανισσόμενον	Tenue transeuntem
Χαλκοῦ θ' ἅμα, καὶ δονάκων,	Æs simul, & calamos,
Τοὶ παρὰ καλλιχόρῳ	Qui apud pulchro-in-loco-positam
Ναίοισι πόλει Χαρίτων,	Proveniunt urbem Charitum,
Καφισίδος ἐν τεμένει,	Cephisidis in luco,
Πιστοὶ χορευτᾶν μάρτυρες.	Fidi choros-agentium testes.
Εἰ δέ τις ὄλβος ἐν ἀν-	Si vero aliqua felicitas inter ho-
θρώποισιν, ἄνευ καμάτου	mines *est*, sine labore *ea*
Οὐ φαίνεται· ἐκ δὲ τελευ-	Non apparet: ad-finem tamen per-
τάσει νιν, ἤτοι σάμερον	ducet eam vel hodie
Δαίμων. Τόγε μόρσιμον οὐ παρ-	Fortuna. Fatale quidem non *est* evita-
φυκτόν. Ἀλλ' ἔσται χρόνος	bile. Sed aderit tempus [cusserit,
Οὗτος, ὃ καί τιν' ἀελπτίᾳ βαλὼν,	Hoc, quod *cum* aliquem etiã desperatione per-
Ἔμπαλιν γνώμας, τὸ μὲν δώσει, τὸ δ' οὔπω.	Præter exspectationem, hoc quidem dabit, sed [id nondum.

Paraphrasis.

Quæque harmonia excitatur spiritu tenui transeunte per æs & calamos unde conflata est: qui quidem calami fideles verique saltatorum testes, abunde nascuntur in Cephisi fluvii luco prope Orchomenum sacram Gratiis urbem, pulchroque in loco sitam. Cæterum si qua fœlicitate homines fruuntur, eam ab illis non sine labore partam cernimus. Eam autem Deus vel in præsentia, vel postea perducit ad exitum. Et certe penes Deum est inevitabile fati decretum. Enimvero tempus illud nonnunquam oritur, quod postquam in desperationem impulerit quempiam, præter spem & exspectationem illi hoc quidem dabit, illud vero quod speraverit, non dabit. Quod tibi accidit Mida, qui quoniam erat in fatis, vicisti tibia, quanquam rupta lingula de victoria desperabas.

Notæ.

47 Καφισίδος. Alii. 48 Χορευτᾶν] Certantium, Phil. Minus bene, ut ideo existimat Schmidius, quia hic de usu tibiarum in Choreis & lætitiis agatur. 54 Ἀλλ' ἔσται χρόνος] Hor. *Grata superveniet, quæ non sperabitur hora.* 55 MS. γ. leg. ὃ καί τιν' ἀελπτίαι βαλών. 56 Ἔμπαλιν γνώμας] Ita Ol. 12. ἔμπαλιν τέρψιος. Quo loco etiam extat παρὰ γνώμαν, quod cum hoc convenit.

[Λεπτοῦ διανισσόμενος χαλκοῦ.] τὸ μέλος λέγει. διαπορευόμενον φησὶ τὸ μέλος ἐμοῦ, διά τε χαλκοῦ καὶ καλάμου. ἀντὶ τοῦ διὰ τῶν αὐλῶν. [Τοὶ παρὰ καλλιχόρῳ ναίουσι.] τοὺς δόνακας λέγει· οἳ περὶ Ὀρχομενῷ φύονται. ἐξ ὧν αἱ αὐλητικαὶ γλωσσίδες γίνονται. ἐν γὰρ τῷ Κηφισσῷ οἱ αὐλητικοὶ κάλαμοι φύονται. εἴρηται δὲ καὶ ἐν παιᾶσι περὶ αὐλητικῆς. ὁ δὲ νοῦς. οἵτινες οἱ κάλαμοι, οἰκοῦσιν εἰς τὴν τῶν Χαρίτων πόλιν. τουτέστι τὸν Ὀρχομενὸν ἐν τῷ τεμένει τοῦ Κηφισοῦ. τῶν χορευτῶν πιστοὶ καὶ ἀληθεῖς ὄντες μάρτυρες. τὸ μὲν ναίουσι κάλαμοι, σκληρῶς καὶ διθυραμβωδῶς προσήγαγεν. ἔδει γὰρ εἰπεῖν, φύονται. πόλιν μὲν Χαρίτων, τὴν Ὀρχομενὸν λέγει. [Εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισι.] συνυπακουστέον, τοιοῦτόν ἐστιν ἢ ὑπάρχει. ὁ γὰρ λόγος. εἰ δέ τις ὄλβος ἐν ἀνθρώποις ἐστὶν, ἄνευ καμάτου οὐ φαίνεται οὐδὲ γίνεται. ἐκτελευτήσει δὲ τὸν ὄλβον ὁ δαίμων. τουτέστιν, ἐπὶ τέλος ἄξει, ἤτοι σήμερον ἢ ὕστερον. τοῦτο γὰρ ἔδει ἐπενεγκεῖν, ὃ παρέλιπε. τουτέστιν ἐὰν μὴ παραχρῆμα τις εὐτυχήσῃ, μὴ ἀδημονείτω· ὁ γὰρ Θεὸς, τὸ εἱμαρμένον, ἢ σήμερον τελέσει, ἢ αὔριον. τοῦτο δέ φησιν, ἐπειδὴ ἀπροσδοκήτως ἐνίκησε, κλασθέντος τοῦ καλάμου. [Ἀλλ' ἔσται χρόνος οὗτος.] ὁ λόγος, οὕτως. ὁ πονήσας κἂν μὴ παραχρῆμα τύχῃ πλούτου, μὴ καμνέτω. Θεὸς γὰρ ἢ σήμερον ἢ ὕστερον ποιήσει. καὶ ἐπὶ τέλος ἄξει, πῶς δὲ ἐπὶ τέλος ἄξει; σὺν τῇ εἱμαρμένῃ. διὸ φησὶ, τὸ μὲν μόρσιμον. ὁ δὲ νοῦς, οὗτος. ἀλλ' ἔσται οὗτος ὁ χρόνος, ὅστις καὶ τὰ ἐν ἀνελπιστίᾳ καταστήσας, τὸ ἀνάπαλιν τῆς γνώμης καὶ ἐλπίδος. τὸ μὲν, δώσει ὅπερ οὐκ ἤλπιζε. τὸ δὲ, οὐ δώσει ὅπερ προσεδόκησε. τοῦτο δέ φησιν, ἐπειδὴ ἀπροσδοκήτως ἐνίκησεν ὁ Μίδας, κλασθέντος τοῦ καλάμου ὡς εἴρηται.

Τέλος τοῦ δωδεκάτου καὶ τελευταίου τῶν Πυθίων εἴδους.

ΥΠΟ-

ΥΠΟΘΕΣΙΣ ΝΕΜΕΩΝ.

ΤΟΝ ἀγῶνα τῶν Νεμέων τινὲς μὲν ὑφ' Ἡρακλέους τεθεῖσθαί φασιν, ἐπὶ τῇ τοῦ λέοντος ἀναιρέσει. οἱ δὲ, οὐχ οὕτως, ἀλλὰ ἱστορίαν τινὰ λέγουσιν ἐπ' αὐτῷ, ὡς ἀπὸ τοῦ Ὀφέλτου μὲν πρότερον, νυνὶ δὲ Ἀρχεμόρου, ἀπὸ τοῦ μαντεύσασθαι τοῖς ἐπὶ Θήβας στρατευομένοις, διὰ τοῦ ἰδίου θανάτου. ὁ δὲ ἀγὼν, ἐπιτάφιος. καὶ γὰρ οὕτως ἀπὸ τῶν Ὁμηρικῶν δεικνύουσιν, ἐξ ὧν οὐδένα νικήσαντα ὑπὲρ στεφάνου εἰσάγει· οὐδὲ Νέστορα τὸν πολλὰς νίκας ἑαυτοῦ πολλάκις ἐξηγούμενον. καὶ φασὶν, οὐδὲ ὄνομα τοῦ στεφάνου εἰδέναι τὸν ποιητήν. ἀποδεικνῦντες, ὡς οὐδαμοῦ παρὰ τῷ ποιητῇ εἴρηται. στεφάνας μὲν γὰρ λέγει. στεφάνους δὲ, οὔ. Τῶν, οἱ μὲν χαλὰς στεφάνας εἶχον.

ΑΛΛΩΣ ΥΠΟΘΕΣΙΣ ΤΩΝ ΑΥΤΩΝ.

ΟΙ ἑπτὰ ἐπὶ Θήβας παραβάλλοντες τῇ Νεμέᾳ διψήσαντες, συνέτυχον Ὑψιπύλῃ τῇ Λημνίᾳ, φερούσῃ τὸν Λυκούργου τοῦ, τοῦ Διὸς ἱερέως καὶ Εὐρυδίκης παῖδα Ὀφέλτην. ἡ δὲ ἀφηγήσατο αὐτοῖς, εἴς τινα πηγὴν, καταλιποῦσα τὸν παῖδα ἔν τινι λειμῶνι. ὃν δράκων περιειληθεὶς, ἰὸν ἀφεὶς ἀνεῖλεν. οἱ δὲ ὑποστρέψαντες, καὶ τὸ πάθος θεασάμενοι, τόν τε δράκοντα κτείνουσι, καὶ ἀγῶνα ἐπιτάφιον ἱστῶσι τριετηρικόν. ἠγωνίζοντο δὲ στρατιῶται, καὶ παῖδες στρατιωτῶν. ὕστερον δὲ, καὶ ἐπὶ τὸ δημοτικὸν πλῆθος ἔδραμεν. ἦν δὲ γυμνικὸς καὶ ἅρμα. οὐχὶ δίφρος οὐδὲ κέλης. ἔτυχε δὲ οὕτως Ὑψιπύλη ἐν Νεμέᾳ. πεπεισμένου παρὰ τῶν Λημνιάδων, πᾶν τὸ ἄρσεν ἀναιρεθῆναι γένος, ἐκ πασῶν Ὑψιπύλη τὸν πατέρα Θόαντα ἐνείρξασα κιβωτῷ, ἐφύλαττεν. ὕστερον δὲ μετὰ τὸ τοὺς Ἀργοναύτας ἐκπλεῦσαι, φανεροῦ γενομένου τοῖς Λημνιάσι τοῦ κατὰ τὸν Θόαντα, αὐτὸν μὲν καταποντῶσαι ἐνείρξασαι τῇ κιβωτῷ. ἐψηφίσαντο δὲ καὶ κατὰ τῆς Ὑψιπύλης θάνατον. ἡ δὲ μαθοῦσα, φεύγει. ἐν τοσούτῳ τε λῃσταῖς περιτυχοῦσα, πιπράσκεται Λυκούργῳ. ἐν ἐκείνῳ δὲ τῷ καιρῷ, κατὰ ζήτησιν οἱ παῖδες Θόας καὶ Εὔνεως, παρέβαλον ἐν Νεμέᾳ. Εὐρυδίκης δὲ τῆς Λυκούργου γυναικὸς βουλομένης διὰ τὸν Ὀφέλτου θάνατον ἀνελεῖν τὴν Ὑψιπύλην, διὰ τοῦτό τε ἔν τινι τόπῳ λαθραίῳ κατακλεισάσης, Ἀμφιάραος μαντευσάμενος, δείκνυσι τοῖς παισὶ τὴν Ὑψιπύλην, ἡ δὲ τοῦτο εὐτυχήσασα, παρεγγέλλει τοὺς ἥρωας τοῖς παισὶν ἀγωνίσασθαι.

ΑΛΛΩΣ.

ΤΑ Νέμεα φασὶν ἄγεσθαι ἐπὶ Ὀφέλτῃ, τῷ Εὐφήτου καὶ Κρεούσης παιδί. ὃν Εὐφήτην ἐκάλεσαν οἱ Ἀργεῖοι, τελευτήσαντα ἐπὶ τὸν Θηβαϊκὸν πόλεμον. τοῦτον δὲ ἔτυχε τρέφουσα Ὑψιπύλη. ἣν ᾔτησαν οἱ Ἀργεῖοι ὕδωρ. τῆς δὲ ἀπελθούσης ὑδρεύσασθαι, ὄφις ἐπελθὼν ἀνεῖλε τὸν παῖδα. Ἀμφιάραος δὲ τούτοις μαντευόμενος, Ἀρχέμορον αὐτὸν ἐκάλεσεν, ὅτι αὐτοῖς ἀρχὴ μόρου ἐγένετο, ὁ τοῦ παιδὸς θάνατος. ἐφ' ᾧ καὶ τὸν ἀγῶνα διέθηκαν, τὴν Ὑψιπύλην παραμυθούμενοι. Ἄλλοι δὲ ὧν ἐστι καὶ Αἰσχύλος, ἐπ' Ἀρχεμόρῳ τῷ Νεμέας παιδί. οἱ δὲ, ἐπὶ τῷ Ταλαοῦ παιδὶ, Ἀδράστου δὲ ἀδελφῷ. Εἰσὶ δέ τινες, οἳ καὶ παλαιότερον εἶναί φασι τὸν ἀγῶνα τοῦ Θηβαϊκοῦ πολέμου. ἤθλησαν δὲ ἐν αὐτῷ περὶ στεφάνου μόνου, οὐκ ἐθελήσαντες δωροδοκεῖν, ἐν τιμῇ καθισάντες τὸν ἀγῶνα. ὑπέσχοντο δὲ ἐκ τῶν λαφύρων ὑπονοσήσαντες, ἀργυρίτην αὐτὸν ποιῆσαι. καὶ διὰ τοῦτο στεφανίτης πρότερον ἐκλήθη. προέστησαν δὲ τοῦ ἀγῶνος, καὶ Ἀργεῖοι καὶ Κορίνθιοι, καὶ Κλεωναῖοι. ἐμπεδοῦντες δὲ αὐτὸν, τῷ Νεμεαίῳ ἀνέθηκαν Διΐ. ἐστέφοντο δὲ τὸ παλαιὸν, ἐλαίᾳ. ὕστερον δὲ μετὰ τὴν συμφορὰν τῶν Μηδικῶν, ἐπὶ τιμῇ τῶν κατοιχομένων, σελίνῳ. οἱ δὲ ἐξ ἀρχῆς ἐπ' Ἀρχεμόρῳ τοῦτον τεθῆναι. ἔστι δὲ ἡ Νεμέα, τῶν Ἀργείων τῆς χώρας μοῖρα. ὠνομασμένη ἀπὸ τῆς σελήνης, καὶ Διός. οἱ δὲ, ἀπὸ τῶν βοῶν τῶν ὑπὸ Ἄργου νεμομένων ἐν τῷ χωρίῳ. αἳ ἦσαν Ἥρας ἱεραί. Οἱ δὲ. ἀπὸ τῶν Δαναοῦ παίδων. οἳ κατενείμαντο καὶ ἐκληρώσαντο τὸ χωρίον.

ΑΛΛΩΣ.

Ο Ἀγὼν, ἐπιτάφιος ἐπὶ Ἀρχεμόρῳ, τῷ Λυκούργου τοῦ ἱερέως παιδί. καθ' ὃν καιρὸν οἱ ἑπτὰ τῶν Ἀργείων λοχαγοὶ, ἐπεστράτευσαν Θηβαίοις, Πολυνείκει συμμαχοῦντες. οὗτοι γὰρ δυσφορήσαντες ὅτι δὴ ἡ αὐτῶν χρεία αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γεγένηται, βραχεῖαν παραμυθίαν τῇ συμφορᾷ ποιούμενοι, ἐπιτάφιον ἀγῶνα θέσθαι τὸν Νεμεαῖον. καθ' ὃν οἱ κριταὶ φαιὰς ἐσταλμένοι στολὰς, κρίνουσι τοὺς ἀγωνιζομένους. ὑπόμνημα τοῦ πένθους τὰς στολὰς ἐμφανίζοντες. ὁ γὰρ ἀγὼν ἐπιτάφιος. ὕστερον δὲ νικήσας Ἡρακλῆς, καὶ καταγωνισάμενος τὸν Νεμεαῖον λέοντα, ἐπεμελήθη τοῦ ἀγῶνος, τὰ πολλὰ ἀνορθωσάμενος, καὶ Διὸς εἶναι ἱερὸν ἐνομοθέτησε, καὶ ἔστι τριετής. τελούμενος μηνὶ Πανέμῳ, δωδεκάτῃ. ὁ δὲ ἀγὼν, ἱππικός τε καὶ γυμνικός.

ΑΛΛΩΣ.

ΚΑΘ' ὃν καιρὸν οἱ ἑπτὰ ἐπὶ Θήβας τῶν Ἀργείων λοχαγοὶ ἐπεστράτευσαν, Πολυνείκει συμμαχοῦντες, εἰς Λῆμνον τὴν Θρακικὴν καταντήσαντες, καὶ δίψει συσχεθέντες, συνέτυχον Ὑψιπύλῃ τῇ Λημνίᾳ γυναικὶ, καὶ καθικέτευον ἅτε τῶν ἐγχωρίων ἔμπειρον οὖσαν, ξυναγῆσαι ἐπὶ πότιμον ὕδωρ. ταῖς δὲ λοχαγοῖς τὴν ἀβλαβῆ χάριν ἀπονεῖμαι βουληθεῖσα, καταλιπεῖν ἐπί τινα τόπον τὸν Ἀρχέμορον, Λυκούργου τοῦ ἱερέως παῖδα, ὃν εἶχε πρὸς ἀνατροφὴν, Ἀργεῖον τὸ γένος. ὄφιν δὲ τὸν χειᾶς ἐξελθόντα κατὰ τὴν Ὑψιπύλης ἀπουσίαν, περιπλακῆναι τῷ παιδί. καὶ ταῖς σπείραις ἀπολεπταμένους, ἀποπνῖξαι τὸ βρέφος. τοὺς δὲ ἐπανελθόντας, τοξεῦσαι μὲν τὸν ὄφιν. σφόδρα δὲ ἐπὶ τῷ γεγονότι δυσφορῆσαι, ὅτι δὴ ἡ αὐτὴ χρεία, αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γεγένηται. εἶτα τῇ συμφορᾷ βραχεῖαν παραμυθίαν ποιούμενοι, θάψαι τὸν παῖδα. καὶ ἐπιτάφιον ἀγῶνα θέσθαι τὸν Νεμεαῖον. καθ' ὃν οἱ κριταὶ φαιὰς ἐστολισμένοι στολὰς, κρίνουσι τοὺς ἀγωνιζομένους. ὑπόμνημα τοῦ πένθους τὰς στολὰς ἐμφανίζοντες. ὁ γὰρ ἀγὼν, ἐπιτάφιος. ὕστερον δὲ νικήσας Ἡρακλῆς, καὶ καταγωνισάμενος τὸν Νεμεαῖον λέοντα, † ἐπελύθη, τοῦ ἀγῶνος τὰ πολλὰ ἀνορθωσάμενος, καὶ Διὸς εἶναι ἱερὸν ἐνομοθέτησεν. ὁ δὲ στέφανος, ἐκ χλωρῶν πλέκεται σελίνων. διαφέρει δὲ τοῦ κατὰ τὸν Ἰσθμόν. καθόσον ἐκεῖνος ἔχει τὰ σέλινα *. προέστησαν δὲ τοῦ ἀγῶνος, πρῶτοι μὲν Δεκελεωναῖοι. εἶτα Κορίνθιοι. καὶ ἔστι τριετής· τελούμενος μηνὶ Πανέμῳ. ιβ'. οὐκ ἐξὸν δὲ πρότερον εἰ μὴ τοὺς ἀπὸ στρατιωτικοῦ γένους. ὕστερον δὲ ἐπιλειψάντων, καὶ τοῦ ἔθους διαλυθέντος, συνέβη τοὺς πάντας ἀγωνίζεσθαι. ὁ δὲ ἀγὼν, ἵππικός τε, καὶ γυμνικός.

† Edd. Brub. ἐπιμελήθη.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΤΟΥ ΠΡΩΤΟΥ ΤΩΝ ΝΕΜΕΩΝ ΕΙΔΟΥΣ.

ΤΗΣ πρώτης τῶν Νεμέων ᾠδῆς ἡ στροφὴ καὶ ἀντιστροφή, κώλων ἐστὶ δέκα. Τὸ ᾶ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ὡς τό, τίς σαῖς παρήειρε φρένας. Τὸ β', Ιαμβέλεγος. Τὸ γ', πενθημιμερὲς δακτυλικόν. Τὸ δ', ἰαμβέλεγος, Τὸ ε', Εὐριπίδειον. Τὸ ϛ', δακτυλικὸν τετράμετρον ἀκατάληκτον. Τὸ ζ', Εὐριπίδειον. Τὸ η', Πινδαρικὸν ἐκ Σαπφικοῦ. σύγκειται ἐκ τροχαϊκῆς συζυγίας †, καὶ ἰάμβου, καὶ συλλαβῆς. ὁ δὲ Πίνδαρος, τοῦ ἰάμβου τὴν μακρὰν συνέστειλε. Τὸ θ', Εὐριπίδειον. Τὸ ι', ἰαμβέλεγος, δίμετρον, ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτοῦ.

Η δὲ ἐπῳδή, κώλων ὀκτώ. Τὸ ᾶ, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ β', ἑφθημιμερὲς δακτυλικόν. Τὸ γ', πενθημιμερὲς δακτυλικόν. Τὸ δ', Ιωνικὸν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν. Τὸ ε', Σαπφικὸν ἐνδεκασύλλαβον. Τὸ ϛ', ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ', τροχαϊκὸν τρίμετρον ἀκατάληκτον. Τὸ η', Εὐριπίδειον.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

[Χρομίῳ Αἰτναίῳ.] Γέγραπται ὁ ἐπίνικος Χρομίῳ Αἰτναίῳ. Ιέρων γὰρ οἰκιστὴς ἀντὶ τυράννου βουλόμενος εἶναι, Κατάνην ἐξελὼν, Αἴτνην μετωνόμασε τὴν πόλιν, ἑαυτὸν οἰκιστὴν προσαγορεύσας. καὶ ἐν ταῖς ἀναρρήσεσιν ἔν τισι τῶν ἀγώνων, Αἰτναῖον ἑαυτὸν εἶπε. ταυτὸν δέ φησιν ὁ Δίδυμος, εἰκὸς παθεῖν καὶ τὸν Χρόμιον· ἑταίρῳ κεχρημένον αὐτοῦ. Τίμαιος δὲ τὸν ἐπίνικον, Ολυμπικὸν εἶναι τοῦτον, φησίν, ἁμαρτάνων. ὁ γὰρ Πίνδαρος ἄντικρυς, Νεμεακὸν αὐτὸν εἶναί φησιν. Αρμα δ' ὀτρυνει Χρομίου· Νεμέα θ' ἔργμασι νικαφόροις.

† Ed. Brub. χοριάμβου.

Ratio metrica ita se habet:

στροφὴ & ἀντιστροφή.

1. - - υ -   - - υ -
2. - - υ -   - - υ υ   - υ υ -
3. - υ υ   - υ υ   -
4. - - υ -   - - υ υ   - υ υ -
5. - υ - -   - υ -
6. - υ υ   - υ υ   - υ υ   - υ
7. - υ - -   - υ -
8. - υ - -   - υ υ -   υ υ -
9. - υ - -   - υ -
10. - - υ -   - - υ -

ἐπῳδός.

1. υ υ υ -   - - υ -   -
2. - υ υ   - υ υ   - υ υ   -
3. - υ υ   - υ υ   -
4. υ υ - -   - υ - -   - υ -
5. - υ - -   - υ υ -   υ υ -
6. υ υ - -   - υ - -
7. - υ - -   - υ - -   υ υ -
8. - υ - -   - υ -

ΠΙΝΔΑΡΟΥ
ΝΕΜΕΟΝΙΚΑΙ.

ΧΡΟΜΙΩ ΑΙΤΝΑΙΩ, ΑΡΜΑΤΙ. ΕΙΔΟΣ Α'.

CHROMIO ÆTNÆO, CURRU. ODE I.

ARGUMENTUM.

Chromium Ætnæum laudat à Victoria Nemæa quam curru adeptus est, à Patria, ab Hospitalitate, à Virtute, quæ in dotibus tum Animi tum Corporis refulget; à Divitiarum usu & contemptu: postea digreditur ad Herculis exemplum, ut Chromium ad Heroïs tanti imitationem excitet, qui ob labores immortalitatem est promeritus.

στροφὴ α'. κώλων ι'.

ΑΜπνευμα σεμνὸν Αλφεοῦ,
Κλεινᾶν Συρακοσσᾶν θάλος, Ορτυ- [γία,
Δέμνιον Αρτάμιδος,

ΜΕΤΑΡΗ

RESpiramen venerandum Alphei,
Inclytarum Syracusarum germen, ô Or- [tygia,
Cubile Dianæ,

PARAPHRASIS.

O *Insula Siciliæ Ortygia, ad quam usque Alpheus Dianam vel Arethusam, cujus amore flagrabat, insequutus, nec tamen ea potitus, respiravit & substitit, ibique post longum per varios terræ cuniculos cursum, quietem castam inviolata amatæ pudicitia carpsit: ô & celebrium Syracusarum germen atque ornamentum, quatenus inde propagata & exornata es: lectus Dianæ,*

NOTÆ.

1 Αμπνυμα] Reddit Phil. Ortygia, in quam effunditur Alpheus. Σεμνεῖ' vel σεμνοῦ leg. Schmid. i. e. venerandi. 3 Αρτέμιδος Comm. Edd. nonnullæ & MS. γ. P. 2. ποταμίας ἕδος Αρτέμιδος nominat.

[Αμπνευμα σεμνὸν Αλφεοῦ.] οἷον ἀνάπνευμα, καὶ ἀναπνοή. ἔνιοι δὲ, ἀναφύσημα. διὰ τὸ ἀπόῤῥωγα καὶ οἷον στόμα εἶναι τοῦ Αλφειοῦ τὴν αὐτόθι Αρέθουσαν ἢ ἐπὶ κρήνην. ἀπὸ γὰρ καταδύσεων ἀφανῶν, εἰς τὴν Αρέθουσαν ἀναφαίνεται. τὸ δὲ ἀνάπαυμα, ἐπὶ τῆς ἐρωτικῆς σπουδῆς ἐπὶ τοῦ ποταμοῦ τάττει. ἔστι γὰρ κατὰ Ορτυγίαν τὴν νῆσον. ἡ δὲ Ορτυγία πρότερον μὲν οὖσα νῆσος, εἶτα προσχωσθεῖσα, Χερρόνησος γέγονεν, ὡς καὶ Ιβυκος ἱστορεῖ. Παρὰ χέρσον λίθινον τὴν παλάμαις βροτῶν πρόσθε νιν παῖδα Νήριτον, ἰχθύες ὠμοφάγοι νέμοντο. Σεμνὸν δ' εἶπεν, ἤτοι ὅτι οὐκ ἔτυχε τῆς συνουσίας ὁ Αλφειὸς, ἢ διὰ τὸ καθαρὸν ὡς Εὐριπίδης. Θάσσουσι σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ. ὥστε εἶναι τὸν νοῦν τοιοῦτον, ὦ Ορτυγία· ἐν ᾗ ἐστι τὸ τοῦ Αλφειοῦ πνεῦμα. τίς ἡ Αρέθουσα; ἀλλ' οὐ τὴν Αρέθουσαν εἴρηκεν ἄμπνευμα, ἀλλὰ τὴν Ορτυγίαν. ἐν ᾗ ὁ Αλφειὸς ἀναπνεῖ, τοῦ περιέχειν τὴν Αρέθουσαν. Ζητεῖται δὲ τί δήποτε τοῦ Αλφειοῦ προσδιαλέγεται καὶ τῇ Ορτυγίᾳ, τῆς νίκης οὐκ οὔσης Ολυμπιακῆς, ἀλλὰ Νεμεακῆς. Ενιοι μὲν οὖν φασιν, ὅτι τὰ ἱπποτρόφια τοῦ Ιέρωνος καὶ τοῦ Χρομίου ὁμοίως ἐν τῇ Ορτυγίᾳ ἦν. τοῦ δὲ ἱερὰν εἶναι τὴν κρήνην Αρτέμιδος, τὴν δὲ θεὸν ἱππικὴν εἶναι. καθὸ Σώφρων μὲν αὐτὴν, Ατρέστην. Ομηρος δὲ, Χρυσήνιον. καὶ ὁ Πίνδαρος προσεφώνησεν αὐτὴν, καὶ τὴν ἐπ' αὐτῆς Αρτεμιν. διὰ τοῦτο δὲ καὶ ἐν ἄλλοις βάναι τὸν Πίνδαρον, ποταμίας ἕδος Αρτέμιδος. ἀπόχρη δὲ εἰπεῖν ὅτι ἱππικὴ ἡ θεός. ἀνάκειται δὲ αὐτῇ ἡ νῆσος τῇ θεῷ. ψευδῶς γὰρ τὸ εἶναι τὰ ἱπποστάσια τοῦ Ιέρωνος αὐτόθι. Αρίστων καὶ ἐν Εφέσῳ, φησὶν, εἶναι Ορτυγίαν. ἐφ' ἧς ἐδόκει γεγενῆσθαι ἡ Αρτεμις. ὁ μὲν γὰρ Απόλλων, ἐν Δήλῳ. αὐτὴ δὲ δοκεῖ ἐν τῇ Ασιατικῇ Ορτυγίᾳ. Αλλως. [Αμπνευμα σεμνὸν Αλφεοῦ.] κατὰ μὲν τὴν ἱστορίαν, οὐκ αὐτὴ ἡ Ορτυγία καθ' ἣν ἡ Λητὼ τὴν Αρτεμιν, ἀλλὰ περὶ Εφεσον ἑτέρα, ἡ πλησίον τῆς Σικελίας ἦν. σύνης τῶν Συρακουσῶν ἔφαμεν γεγενῆσθαι. καὶ αὐτὴν ἱερὰν τῆς Αρτέμιδος, διὰ τὴν πρὸς Δῆλον ὁμωνυμίαν. ἢ χαριζόμεναι τῇ θεῷ αἱ νύμφαι, καὶ πηγὴν πεποιήκασιν ὀνομαστὴν Αρέθουσαν. ἐν ταύτῃ τῇ νήσῳ, οὔτε ἀρύσασθαι, οὔτε ἰχθῦς λαμβάνειν νόμος. [Δέμνιον Αρτέμιδος.] ὁ μὲν Αρίσαρχος τὴν Ορτυγίαν ἀκούει, διὰ τὸ κατ' ἐνίους αὐτόθι δοκεῖν αὐτὴν γεγενῆσθαι. προσθετέον ἄν τις ὅτι συνήθως ὁ Πίνδαρος τοῖς ὁμωνύμοις χωρίοις ἐπιτίθησι, καὶ τὰ ἐπὶ τοῖς ἄλλοις ἱστορούμενα. καθὰ καὶ ἐπὶ τῶν Πλειάδων. ἔστι δὲ οἶκος, ὀρείαν τε Πελειάδων, μὴ τηλόθεν ὠαρίων ἀνεῖσθαι. ὀρείαν δὲ τὸ ζῷον. ἔνιοι δὲ ἱστορικώτερον ἀκούουσιν. τὸν γὰρ Αλφειὸν φασὶν ἔρωτι ἁλόντα τῆς Αρτέμιδος, ἐπιδιῶξαι αὐτὴν ἄχρι τῆς Σικελίας. τοῦ δὲ τέλους τῆς διώξεως αὐτόθι γινομένου, αὐτόθι συστῆναι τὴν Αρέθουσαν. διὰ τοῦτο δὲ καὶ τὴν Αρτεμιν, Αλφειῶαν προσαγορεύεσθαι. καὶ ἐν Ολυμπίᾳ δὲ ὁ Αλφειὸς τῇ Αρτέμιδι συναφίδρυται. καὶ τὴν ποταμίαν δὲ, Αρτεμιν εἶναι, οἱ παρὰ τοῦ Πινδάρου ἀκούουσι, διὰ τὸ ἐπ' αὐτῇ τοῦ Αλφειοῦ πάθος. εἰσὶ δὲ οἱ Αλφειῶαν τὴν Αρτεμιν λέγουσι, διὰ τὸ, τὸν Αλφειὸν πλησίον τῆς ἡλιαίας Αρτεμισίας καταφέρεσθαι. ἔχοι δ' ἂν οὐ φαύλως, Δέμνιον Αρτέμιδος λέγεσθαι τὴν Ορτυγίαν. οἷον ἐνδιαίτημα καὶ διατριβήν. ἱερὰν γὰρ τὴν πᾶσαν νῆσον τῆς Φερσεφόνης φασίν. ὅτι δ' ἐν αὐτῇ ἐστὶ τῇ Αρτέμιδι, Καλλίμαχος ἐν Αἰκάλῃ. Οἵ νυ καὶ Απόλλωνα πανάρχεος ἠελίοιο Χωρίον διαλμήγουσι. καὶ εὔποδα Δηϊώνην Αρτέμιδος.

[Δάλκα

Δάλου κασιγνήτα· σέθεν ἁδυεπὴς	Deli soror: à-te suaviloquus
Ὕμνος ὁρμᾶται θέμεν	Hymnus aggreditur ponere
Αἶνον ἀελλοπόδων μέγαν ἵππων,	Laudem procellipedum magnam equorum,
Ζηνὸς Αἰτναίου χάριν.	Jovis Ætnæi gratia.
Ἅρμα δ' ὀτρύνει Χρομίου, Νεμέα	Currus vero incitat Chromii, Nemea-
Θ', ἔργμασιν νικαφόροις	que, facinoribus victorialibus
Ἐγκώμιον ζεῦξαι μέλος.	Laudatorium componere carmen.
ἀντιστροφὴ α'. κώλων ι'.	ΜΕΤΑΦΗ.
Ἀρχαὶ δὲ βέβληνται, Θεῶν	Initia vero jacta sunt, Deorum
Κείνου σὺν ἀνδρὸς, δαιμονίαις ἀρεταῖς.	Illius cum viri, divinis virtutibus.
Ἔστι δ' ἐν εὐτυχίᾳ	Est autem in felicitate [minum
Πανδοξίας ἄκρον· μεγάλων δ' ἀέθλων	Omnis-gloriæ summum: Magnorumq; certa-

PARAPHRASIS.

& Deli soror, quatenus Ortygiæ Cycladum insulæ, quæ & Delus dicta est, atque ubi Latona Dianam peperit, et cognominis: primum laudis studium à te ducit hymnus meus suavibus manans verbis ut magna laude prosequatur equos instar procellæ veloces, idque in Jovis Ætnæi gratiam. Hunc autem victoriæ laudativum hymnum canendi ansam præbet eximius Chromii currus, & Nemea celebris certaminis locus. Prima utique certaminum fundamenta vir ille jecit, Diis virtutes ejus divinas ac præclaras adjuvantibus: eoque fuit fœlix. Quicunque autem fœlicitate, præsertim in sacris ludis fruitur, is summum omnis splendoris & gloriæ fastigium conscendit: quandoquidem Musa res magnis illis Græciæ in certaminibus præclare gestas

NOTÆ.

8 Ἅρμα] Phil. Accusative interpretatur, & Verbum ὀτρύνει ad Jovem refert, Qui agitat currum Chromii, & jungit encomium &c. 11 Ἀρχαὶ] Juxta duos modos interpretandi, quas habet Schol. vel Θεῶν pro ἐκ Θεῶν ponitur, vel τὸ σὺν abundat, vel hæc duo concurrunt. Aretius refert ἀρχαὶ ad ἀγωνισμάτων, ut sit Syntaxis, ἀρχαὶ ἀγωνισμάτων βέβληνται δαιμονίαις ἀρεταῖς Θεῶν, σὺν κείνου ἀνδρὸς, sc. ἀρεταῖς. 13 Ἔστι δ' ἐν] Phil. Gloria est magna felicitas, invertens. 14 Δὲ] Lon. vert. Sed, quasi esset particula Adversativa. Magna certamina sunt, Olympica, Pythia, Isthmia, Nemea. Aliter sacra. Ideo Μεγίστων hab. MS. γ.

[Δάλου κασιγνήτα.] τὴν Ὀρτυγίαν τὴν νῆσον κασιγνήτην εἴρηκε. μετάγων τὰ ἐπὶ τῶν θεῶν λεγόμενα κατὰ τῶν τόπων, οἵτινες ἀπ' ἐκείνων προσηγορεύθησαν. οἱ δὲ, διὰ τὴν ὁμωνυμίαν, ὡσανεὶ ἔφη. ἐν ᾗ ἡ Ἄρτεμις ἐγεννήθη. ὥσπερ ἐν Δήλῳ. εἴωθε γὰρ ὁ Πίνδαρος μετάγειν τὰς ὁμωνυμίας. ὥστε τὸ λεχθὲν ἐπὶ τῆς εἰς Δῆλον Ὀρτυγίας, τοῦτο ἐπὶ τῆς περὶ Συρακούσαις μετήχθη, ἔνιοι δὲ κασιγνήτην ἀκούουσιν, ἀντὶ τοῦ συγγενῆ διὰ τὴν ὁμοιότητα. κοινὰ γὰρ τὰ ἐφ' ἑκατέρας ἱστορούμενα. καὶ γὰρ ἡ νῆσος ἡ Δῆλος καὶ ἡ Ὀρτυγία ἡ ἐν Συρακούσαις, νῆσοι. καὶ ὑπεδέξαντο θεοὺς ἀμφότεραι. καὶ ἡ μὲν, ἐκρύβη διὰ πελάγους. ἡ δὲ, ἐκ τοῦ Νείλου, διὰ τοῦ Ἰνωποῦ. [Ἄλλως.] Δοκεῖ μὲν πρὸς τὸ βίαιον τῆς πρὸς τὰς Συρακούσαις, ἀδελφὴν λέγειν τῆς Δήλου. τὸ δὲ ὅλον, διὰ τὴν ὁμωνυμίαν αὐτῷ ὁ λόγος προήχθη. ὁ δὲ νοῦς. ὦ σεμνότατον ἀνάπαυμα τοῦ Ἀλφειοῦ, τῶν Συρακουσῶν καὶ τῆς Σικελίας κόσμου καὶ βλάστημα, τῆς Ἀρτέμιδος ἐνδιαίτημα, καὶ τῆς Δήλου ἀδελφή. τοῦτο δέ φησι καὶ διὰ τὴν ὁμωνυμίαν. Ὀρτυγία γὰρ καὶ ἡ Δῆλος ἐκαλεῖτο, καὶ διὰ τὸ θεοφιλές. ἐν Δήλῳ γὰρ ἦν ἡ Ἄρτεμις. Ὀρτυγία δὲ, νῆσος περὶ τῶν Συρακουσῶν, εἰς ἣν διὰ πελάγους φερόμενος ὁ Ἀλφειὸς ἐμβάλλει. καὶ ποιεῖ τὴν Ἀρέθουσαν κρήνην. [Σέθεν ἁδυεπὴς ὕμνος ὁρμᾶται.] ἐκ σοῦ ἡδυεπὴς καὶ εὔφημος. ὁ δὲ νοῦς. ἀπὸ σοῦ ὦ Ὀρτυγία, ὁ ἡδυεπὴς ὕμνος τὴν ὁρμὴν ἔχει. ὥστε θεῖναι καὶ πληρῶσαι ἔπαινον μέγαν τῶν ὀξυτάτων ἵππων, Διὸς ἕνεκεν τοῦ ἐν τῇ Αἴτνῃ. Διῒ γὰρ ἀνάκειται καὶ οὗτος ὁ ἀγών. ἐν γὰρ τῇ Αἴτνῃ Διὸς ἱερόν ἐστιν. [Ζηνὸς Αἰτναίου χάριν.] ἢ εἰς χάριν τοῦ Διὸς, ἢ ἕνεκεν τοῦ Διός. παρόσον ἐν τῷ ἀγῶνι καὶ ἐν τῇ πανηγύρει τοῦ Αἰτναίου Διὸς, ἦγον οἱ περὶ τὸν Ἱέρωνα, τοὺς ἐπὶ τοῖς στεφανίταις ἀγῶσι πεποιημένους ἐπινίκους, καὶ ᾖδον. πιθανὸν οὖν φησιν ὁ Δίδυμος, καὶ τὸ ἐπὶ τῆς Χρομίου Νεμεακῆς νίκης ἐπίνικον, ἕνεκα τούτου συντετάχθαι, ὑπὲρ τοῦ μέλλειν αὐτὸν ὑπὲρ τῆς πανηγύρεως αἰδηθῆναι. ὁ δὲ τρόπος, ποιητικός. ὥστε τὸ ἀπὸ τοῦ ταυτομάτου συμβαῖνον, ὡς αἰτίαν λαμβάνειν. οὐ γὰρ ἕνεκα τοῦ αἰδηθῆναι, τὸ ἐπινίκιον ἐν τῇ πανηγύρει τοῦ Αἰτναίου Διὸς ἐνίκησεν, ἀλλὰ νικήσαντος, ἔμελλεν εἰς αὐτὸν ᾠδὴ αἰδηθῆναι. [Ἅρμα δ' ὀτρύνει Χρομίου.] Χρόμιος, ἡνίοχος ἦν Ἱέρωνος παιδόθεν. ὕστερον ἅτε δὴ βασιλεύουσιν, καὶ ἄριστος ὢν τὴν ἱππικὴν, ἐπλούτησε. καὶ ἤρξατο ἀπὸ σαῖς τοῦ Ἱέρωνος, καθ' ἑαυτὸν ἱπποτροφεῖν. νικᾷ δὲ νῦν ἵππων ἅρματι, πρῶτον ἀγωνισάμενος. [Ἀρχαὶ δὲ βέβληνται.] ἀρχαὶ αἱ τοῦ ἐγκωμίου. τοῦτο δὲ λέγει διὰ τὸ ἀπὸ θεοῦ τῆς Ἀρτέμιδος κατῆρχθαι. ὥστε ἀρχὰς τὰ προοίμια τῆς ᾠδῆς αὐτὸν λέγειν. ἔθος δὲ Πινδάρῳ θεοῖς ἀνάπτειν τὰ σπουδαίως τοῖς ἀνθρώποις ἐκπονούμενα. ὁ δὲ νοῦς. αἱ γὰρ ἀρχαὶ, τῆς δαιμονίαις καὶ θείαις ἀρεταῖς ἐκείνου τοῦ ἀνδρὸς, ἐκ θεῶν βέβληνται. ἀντὶ τοῦ ἐκ πρώτης καταβολῆς ἡ τύχη τούτῳ συνέβαλεν. [Ἔστι δ' ἐν εὐτυχίᾳ.] ἔστι δὲ καὶ ἐκ τῆς εὐτυχίας, καὶ εἰς ἄκρον εὐδοξίας ἀφικέσθαι. ἀντὶ τοῦ, κατὰ πάντα μέρη τοῦ βίου ἄκρος ἔνδοξος ὁ εὐτυχής. καὶ Εὐριπίδης. Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν. [Μεγάλων δ' ἀέθλων.] μεγίστων οὖν ἀγωνισμάτων ἡ μοῦσα μεμνῆσθαι βούλεται.

[Νῦν

Μοῖσα μεμνᾶσθαι φιλεῖ.
Ἔγειρε νῦν ἀγλαΐαν τινὰ νάσῳ,
τὰν Ὀλύμπου δεσπότας
Ζεὺς ἔδωκεν Φερσεφόνᾳ· κατένευ-
σέν τέ οἱ χαίταις, ἀρι-
στεύοισαν εὐκάρπου χθονὸς,

Musa meminisse solet.
Excita nunc splendorem aliquem Insulæ,
Quam Olympi possessor
Jupiter dedit Proserpinæ: annu-
itque ei cæsarie, ut-principa-
tum-tenens fertilis soli,

ἐπῳδὸς α'. κώλων ι'.

Σικελίαν πιείραν ὀρθώ-
σειν, κορυφαῖς πολίων ἀφνεαῖς.
Ὤπασε δὲ Κρονίων
Πολέμου μναστῆρά οἱ χαλκεντέος
Λαὸν ἵππαιχμον, θαμὰ δὴ καὶ Ὀλυμ-
πιάδων φύλλοις ἐλαιᾶν
Χρυσέοισι μιχθέντα. Πολλῶν ἐπέβαν,
Καιρὸν οὐ ψεύδει βαλών.

METAPH.

Siciliam pinguem gubernatu-
ra-esset, *in* fastigiis civitatum opulentis.
Præbuit vero Saturnius
Ei belli memorem æreis-armis-utentis
Populũ equestrem, frequenter sane etiã Olym-
picarum foliis olearum
Aureis permixtum. Multa ingressus-sum
Tempus non mendacio feriens.

PARAPHRASIS.

memoriæ tradere, & celebrare solet. Jam vero, ô Musa, splendido carmine illustra insulam illam, quam Jupiter Olympi dominus in dotem dedit Proserpinæ : eique nutu capitis & capillorum annuit se Siciliam, quæ primas tenere fertur frugum præstantia, & soli pinguedine, magnificis, excelsis, ac opulentis civitatibus conspicuam & insignem redditurum. Præterea regionis illius viros ille Saturni filius reddidit belli studiosos, quod æneis armis instructi, hastaque ex equo pugnantes strenue gerunt. Iisdem quoque dedit esse athletis : unde Olympia plerique vicerunt, ac preciosis oleastri foliis coronati fuerunt. Equidem in hoc de quo agitur viro multa laudanda mihi proposui : nec sane temporis hujus opportunitate admentiendum utor.

NOTÆ.

16 Νῦν ἔγειρ' hab. Codd. Schmid. emendavit ἔγειρ', excitavit sc. Chromius, metri ratione habita; nos ex MS. γ. restituimus. Est enim ἰσοδυναμία. 18 Περσεφόνᾳ Comm. hab. MS. γ. & Edd. nonnullæ. Κατένευσεν] Hom. Il. A. Η, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων, Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος Κρατὸς ἀπ' ἀθανάτοιο, μέγαν δ' ἐλέλιξεν Ὄλυμπον. 19 Χαίτας MS. γ. Ἀριστεύοισαν] Plerique referunt ad Siciliam, & ὀρθώσειν ad Jovem. Philippus & Schmid. de Proserpina accipiunt, hac Syntaxi, τὴν Φερσεφόναν ἀριστεύοισαν εὐκάρπου χθονὸς, ὀρθώσειν Σικελίαν πίειραν κορυφαῖς ἀφνεαῖς πολίων. 21 Πίειραν] Fœmin. ab ὁ πίων, πίειρα, idem ac πίων. 24 Μναστῆρα Commune MS. γ. Procum vel sollicitatorem belli. Χαλκέντεον MS. γ. 25 Ἵππαιχμον] Poëta vocat populum equitem peditemque, id est, utriusque pugnæ equestris & pedestris peritum. Portus. Hasta ex equo pugnantem. Vulg. MS. γ ὕπαιχμον. 27 Χρυσίοις, Schmid. Μιχθέντα] Μίγνυμι apud hunc autorem habet significatum Afficiendi, assequi faciendi, ut & Composita, ἐμμίγνυμι, συμμίγνυμι, προσμίγνυμι, de quibus Indicem consulas. 28 Καιρὸν κ. λ. Vulg. Non jacto in tempus mendacia. Portus exponit, Tempore in mendaciis narrandis non consumpto. Lon. Multorum opportunitati non falso incidi. Obscurius. Ald. pro βαλὼν habet λαβών.

[Νῦν ἔγειρ' ἀγλαΐαν.] ἔκπεμπε τοίνυν ὦ μοῦσα καὶ περί λαμπρότητά τινα τῇ νήσῳ τῇ Σικελίᾳ. ἥν τινα ὁ Ζεὺς ἐξαίρετον δέδωκε τῇ Φερσεφόνῃ ἀρίστην οὖσαν καὶ ἐπιτηδειοτάτην τῆς γῆς τῆς εὐκαρποτάτης. ἤγουν, ἐπένευσε τῇ ἑαυτοῦ κεφαλῇ τὴν Σικελίαν, πείρως καὶ λιπαρῶς ἀνορθώσειν. ἢ τὴν ποτάτην καὶ καλλίστην, ὑψώσειν, πλουσίων πόλεων ἐνοικήσεσι τῶν ὑπ' αὐτὴν ἐσομένων. [Ἄλλως.] Περὶ τῆς ὅλης Σικελίας ἐστὶν ὁ λόγος. δοκεῖ δὲ αὐτὴν ὁ Ζεὺς, εἰς τὸν γάμον Πλούτωνος τοῖς ἀνακαλυπτηρίοις τῇ Φερσεφόνῃ δωρήσασθαι. λέγεται δὲ ἡ πᾶσα Σικελία ἐξ ἀρχῆς, Δήμητρος καὶ Κόρης· τοῦ Διὸς οὕτως ἐξ ἀρχῆς βουληθέντος. ἤγουν, Περσεφόνη περὶ τοὺς τῆς Αἴτνης διατρίβουσα λειμῶνας, ἡρπάσθη παρὰ τοῦ Πλούτωνος. τὸ δὲ ὀρθώσειν, ἀντὶ τοῦ διαφυλάξειν ὀρθὴν τῇ Περσεφόνῃ, διὰ τῶν πόλεων τῶν ἐσομένων ἐν αὐτῇ ἀφνειῶν. οὕτω γὰρ ἔμελλεν ὀρθοῦσθαι ἡ Σικελία δηλονότι, εἰ ἀξιολόγους ἔχοι πόλεις ἐν αὐτῇ. [Ὤπασε δὲ Κρονίων.] οὐ μνήμονα πολέμου, ἐπιστήμονα, οὐκ ἀμελοῦντα τῶν πολεμικῶν, ἀλλὰ κατατιθέμενον ἐν τῷ νῷ, ὅτι δεῖ παρασκευάζεσθαι εἰς τὰ πολεμικὰ ἔργα. ὅμοιον τῷ, μήστωρες αὐτῆς. ὁ δὲ νοῦς. παρέσχε δὲ πρὸς τοῖς εἰρημένοις ὁ Ζεὺς αὐτῇ, γενναίων ἀνδρῶν καὶ πολεμικῶν πλῆθος. ὥστε δι' ὅπλων μεμνῆσθαι τῶν πολεμικῶν, καὶ ἱππαιχμίαις εὐδοκιμεῖν. [Θαμὰ δὴ καὶ Ὀλυμπιάδων.] οὐ μόνον φησὶ τὰ περὶ πόλεμον δραστηρίους ἀπέδειξε τοὺς Σικελιώτας, ἀλλὰ καὶ Ὀλυμπιονίκας. οἵτινες, πολλάκις ἐνίκησαν ἐπ' Ὀλυμπίας. ἔστι δὲ ὁ λόγος τῷ Πινδάρῳ, οὐ περὶ τοῦ Χρομίου μόνου, ἀλλὰ καὶ περὶ τοῦ παιδὸς λαοῦ οἳ πολλὰς ἔσχον νίκας Ὀλυμπικάς. ἐντεῦθεν ἴσως πλανηθεὶς ὁ Τίμαιος, Ὀλυμπικὸν τὸν ἐπίνικον ᾠήθη εἶναι. ἔστι δὲ καὶ οὕτως ἀναγνῶναι. ἵππαιχμόν θ' ἅμα δή. καὶ ὁ λόγος κατὰ συναλοιφήν. ἵν' ᾖ, ὁ λαὸς μνηστὴρ ἅμα πολέμου, καὶ τῶν Ὀλυμπιακῶν ἀθλημάτων. [Πολλῶν ἐπέβαν καιρόν.] πολλῶν ἐπέβην καὶ ἐπεφάμην ἐγκωμίων, οὐδαμοῦ τῷ καιρῷ πρὸς ψεῦδος χρησάμενος. ἢ οὕτω. τοῦ καιροῦ τῇ ἀληθείᾳ τυχών.

στροφὴ ϛ'. κῶλον ι'.	Μεταφη.
Ἔσταν δ' ἐπ' αὐλείαις θύραις	Steti vero in aulicis foribus
Ἀνδρὸς φιλοξένου, καλὰ μελπόμενος.	Viri hospitalis, præclara celebrans.
Ἔνθα μοι ἁρμόδιον	Ubi mihi conveniens
Δεῖπνον κεκόσμηται. Θαμὰ δ' ἀλλοδαπῶν	Cœna adornata-est. Sæpe autem peregrinorum
Οὐκ ἀπείρατοι δόμοι	Non expertes ædes *ejus*
Ἐντί. Λέλογχε δὲ μεμφομένοις ἐσ-	Sunt. Sortitus est vero obtrectantibus *vir* bo-
λῶς ὕδωρ καπνῷ φέρειν	nos *ad* aquam incendio ferendum
Ἀντίον. Τέχναι δ' ἑτέρων ἕτεραι.	Contrariam. Artes autem aliorum aliæ.
Χρὴ δ' ἐν εὐθείαις ὁδοῖς	Oportet autem in rectis viis
Στείχοντα, μάρνασθαι φυᾷ.	Ambulantem, sequi-indolem naturæ.
ἀντιστροφὴ ϛ'. κῶλον ι'.	Μεταφη.
Πράσσει γὰρ ἔργῳ μὲν σθένος·	Auxiliatur enim operi quidem robur:

P A R A P H R A S I S.

Nunc igitur sto ad vestibulum domus viri hospitum amantis, ibi rem ab ipso in Nemea præclare gestam carmine celebrans, ubi cœna conveniens olim adornata est mihi: & quibus ædibus peregrini plerumque hospitio excipiuntur. Hoc autem obtinuit, vir ille bonus, ut beneficentia etiam inimicos sibi amicos reddiderit, & liberalitate tanquam aqua obtrectatorum maledicentiam bonos instar ignis urentem extinxerit. Porro cum illi ingenitum esset certaminum studium, iis operam dedit: idque recte fecit: quandoquidem alii ad alias artes capessendas & exercendas sunt idonei: & oportet ut quisque naturam ducem sequatur, & ad ea strenue contendat, ad quæ natura inclinet. Opitulatur autem fortitudo ad res agendas.

N O T Æ.

29 Ἐπαυλείαις hab. Rom. & Crat. & MS γ. una voce. Ἐπαυλίαις Brub. nisi sit erratum. 31 Ἁρμόδιον] Loco & personæ conveniens. Aret. 35 Ἐσλὸς hab. Codd. Ἐσλῶς tamen ex Schol. inseruimus. Dor. pro ἐσθλῶς. Καπνὸν leg. MS. γ. 38 Μάρνασθαι φυᾷ] Sumpta est phrasis à re bellica: cujus simili & Latini utuntur, suo marte vel proprio marte facere, Schmid. Sic P. 8. Μαρναμένων φυᾷ, τὸ γενναῖον ἐπιπρέπει ἐκ πατέρων παισὶ λῆμα. 39 Erasmus in Adagio, Dictum ac factum, ita exponit: Agit enim facto quidem robur. Consiliis autem mens. Sed ἔργῳ & βουλαῖσι sunt Dativi, non Casus sexti ut ille accepit.

[Ἔσταν δ' ἐπαυλείαις.] ἀμφίβολον πότερον ὁ χορὸς, ἢ ὁ ποιητὴς τοῦτό φησι. δύναται γὰρ ὁ χορὸς λέγειν ἐφ' ἑαυτοῦ κυρίως. δύναται δὲ καὶ ὁ Πίνδαρος μεταφορικῶς εἰπεῖν, ἔστη τῷ λόγῳ καὶ τῇ μολπῇ μέλπων αὐτὸν, καὶ ὑμνῶν. ἐὰν μὲν ὁ χορὸς λέγῃ, κυρίως ἀκουσόμεθα δεῖπνον παρασκευάσασθαι. κῶμον γὰρ στέλλουσιν οἱ χορευταί. ἐὰν δὲ ὁ ποιητὴς, κεκόσμηνται τὰ δοθησόμενά μοι δῶρα φησὶ διὰ τοῦ ὕμνου. ὁ δὲ νοῦς. ἔστην δὲ παραγενόμενος ἐπὶ τοῖς οἴκοις τοῦ φιλοξένου ἀνδρός. τὰ καλὰ δὲ τούτου ἀναβαλλόμενος. [Θαμὰ δ' ἀλλοδαπῶν οὐκ ἀπείρατοι.] οἱ τοῦ Χρομίου φησὶ δόμοι, οὐκ εἰσὶν ἀπείρατοι ξένων. τουτέστι, φιλόξενοί εἰσιν. ὁ δὲ νοῦς. οὐ γὰρ ἀπείρατοι τῆς συνεχοῦς δεξιώσεως οἱ τούτου οἶκοι. συνεχῶς γὰρ τοὺς ἐκ τῆς ἀλλοδαπῆς ὑποδέχονται γῆς. [Λέλογχε δὲ μεμφομένοις.] Ἀρίσταρχος οὕτω. τοῖς δὲ τοὺς ἀγαθοὺς μεμφομένοις, τοῦτο λέλογχε, καὶ ὑποκείμενόν ἐστιν. οὐ δὴ ἀκολουθεῖ, ὥσπερ καπνῷ ὕδωρ φέρειν ἀντίον κατασβεννύναι. καταλείπεται δὲ τῇ ἀρχαίᾳ σημασίᾳ τὸ, ἐσλός. καὶ ἡ ἀντίστροφος ἀπαιτεῖ τὸ υ. τῆς δὲ τοιαύταις παραβολαῖς χρῆται ἀποτίμαις, οὐ λέγων τὸ καθόλου. καὶ ὁ μὲν Ἀρίσταρχος ταῦτα. βέλτιον δὲ οὕτως ἀκούειν, κατ' ἐναλλαγὴν πτώσεως. [μεμφομένοις] ἀντὶ τοῦ, μεμφομένους σβεννύειν ὡς ὕδατι καπνόν. ἵνα αὐτὸς ὁ ἀγαθὸς κατασβεννύῃ τὸν φθονερὸν, ἀλλὰ μὴ σβεννύηται ὑπ' ἐκείνου. χρῆται δὲ ὁ Πίνδαρος τῷ καπνῷ, ἀντὶ πυρὸς, ἐκ τοῦ παρακολουθοῦντος τὸ προηγούμενον σημαίνων. ἢ οὕτω. τὸ ἐσλῶς, ἀντὶ τοῦ ἐσλοὺς εἴρηται Δωρικῶς. καὶ ὅτι τὸ λέλογχεν εἶπεν ἑνικῶς, ἀντὶ τοῦ λελόγχασι. λελόγχασι δὲ οἱ καλῶς μεμφόμενοι καπνῷ ὕδωρ ἐπιφέρειν. ὅ ἐστι, τοὺς ἐχθρομένους αὐτοῦ, οἷός ἐστι καταπραΰνειν, ὥσπερ καπνῷ ὕδωρ ἐπιφέρων. τινὲς δὲ, οὕτως, ὡς ὕδατι καπνὸν σβεννύουσι καὶ πῦρ, οὕτω τοὺς ἐσλοὺς σβεννύουσιν οἱ φθονεροὶ μεμφόμενοι. ἢ οὕτως. οὐκ ἀνύουσιν οἱ φθονεροὶ μεμφόμενοι τοὺς ἀγαθούς. ὁ γὰρ ἀγαθὸς, ἀγαθός ἐστι, κἂν μυριάκις μέμφωνται αὐτόν. ὁ δὲ νοῦς. πεφύκασι δὲ τοῖς μεμφομένοις τοὺς ἀγαθοὺς οὕτως τήκεσθαι, ὥσπερ ὑπὸ ὕδατος πῦρ, οὐκέτι δυνάμενον φέρειν τὴν θέρμην, καὶ τὸν καπνόν. [Τέχναι δ' ἑτέρων, ἕτεραι] τουτέστιν, ἄλλοι ἄλλα φιλοτεχνοῦσι. τοῦτο δὲ λέγει. πρὸς ἃ πέφυκέ τις, πρὸς ταῦτα ἀκολουθοῦντα τῇ φύσει ἰέναι, καὶ περὶ αὐτὰ ἐνεργεῖν. ἢ τέχνας φησὶν ὁ Δίδυμος ἀκουστέον τοὺς δόλους. ὅθεν καὶ τὸ ἀτεχνῶς παρὰ τοῖς Ἀττικοῖς. ἄλλαι δ' ἄλλων ἐπιτεχνήσεις. εἴρηται δὲ παρά τι Ὁμήρου. Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα. [Μάρνασθαι φυᾷ.] μάρνασθαι οὖν Ἀρίσταρχος, ἀντὶ τοῦ μάχεσθαι. καὶ ἀντερείζειν χρώμενον φύσει κατὰ τρόπον, καὶ μηδὲν παρὰ φύσιν πράττειν. μήποτε δὲ τὸ μάρνασθαι, οὐκ ἔστι μάρνασθαι. ἀλλ' ἐνεργεῖν, ὥς φησι Δίδυμος καὶ πραγματεύεσθαι ὥστε εἶναι τὸ κεφάλαιον τοῦ λόγου, προσήκει δὲ αὐτοὺς ἀθλοὺς πράττειν, καθ' ἣν εἴληχεν ἕκαστος φύσιν· ἢ ἔργῳ ἢ γνώμῃ. ἄριστον οὖν, χρὴ καθ' ἣν γεγόνηταί τις φύσιν, ταύτῃ ἀκολουθεῖν καὶ μὴ βιάζεσθαι αὐτὴν εἰς ἄλλα τρέποντα. μηδὲ τῷ φθόνῳ μάρνασθαι πρὸς τοὺς ἀγαθούς. ἀλλὰ συνασκεῖν, ἃ τὶς ἔχει ἐκ φύσεως. ὁ δὲ νοῦς. χρὴ δὲ τὸν εὐθείαις ὁδοῖς βαδίζοντα καλλωπίζεσθαι τοῦ ἑαυτοῦ, καὶ τῇ φύσει. μὴ δι' ἑτέρων ἐπιτηδευμάτων τὴν ἰδίαν ἐνδείξειν τέχνην. [Πράσσει γὰρ ἔργῳ μὲν σθένος.] συμπράσσει καὶ συνεργεῖ. τοῖς μὲν ἔργοις φησὶν ἡ ἀνδρεία· τοῖς δὲ βουλεύμασι καὶ λόγοις, ὁ νοῦς. μετέβαλε δὲ τὸ Ὁμηρικόν. Ἐν γὰρ χερσὶ τέλος πολέμου· ἐπέων δ' ἐνὶ βουλῇ. οὕτω τῷ νῷ ὁ λόγος ἕπεται. ὥστε καὶ τὸ μέλλον προεγνωκέναι ἀκολούθως. ὡς ἔστι συγγενὲς καὶ συμφυὲς καὶ ἀκόλουθον. συγγενὲς γὰρ τὸ συμφυές.

[Ἀγησιδάμου

βουλαῖσι δὲ φρήν· ἐσσόμενον προϊδεῖν	Consiliis autem mens: futurum prospicere,
Συγγενὲς, οἷς ἕπεται.	*Ceu* cognatum-quid, quæ consequitur.
Ἀγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ	O Agesidami fili, tua autem in indole
Τῶν τε καὶ τῶν χρήσιες.	Horumque & illorum usus *sunt*.
Οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦ-	Non amo magnas domi di-
τον κατακρύψας ἔχειν·	vitias absconditas habere:
Ἀλλ' ἐόντων, εὖ τε παθεῖν, καὶ ἀκοῦ-	Sed *de* præsentibus cum bene affici, tum audi-
σαι, φίλοις ἐξαρκέων.	re, amicis sufficienter benefaciens.
Κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες	Communes enim veniunt spes
ἐπῳδὸς γ'. κῶλον η'.	ΜΕΤΑΡΗ. [vero Her-
Πολυπόνων ἀνδρῶν. Ἐγὼ δ' Ἡ-	Multis-laboribus-implicitorum hominum. Ego
ρακλέος ἀντέχομαι προφρόνως,	culem amplector prompte,

PARAPHRASIS.

mentis solertia ad consilia capienda. Has virtutes comitatur innata sagacitas ad futura prospicienda: quarum quidem alius aliam possidet. Sed ô Chromie Agesidami fili, ita comparatus es ut has omnes utendas habeas, nimirum fortitudinem, mentis solertiam, & futuri provisionem, sive prudentiam. Præterea dives es, non tamen avarus, siquidem opes tuas ad proprium usum revocas, deque iis amicis impertis. Præclare illud. Neque enim ego divitiis abundare cupiam, ut eas domi reconditas asservem: sed ut iis utens, cum mihi benefaciam, tum amicis subveniendo, bene audiam. Etenim homines cum sint multis laboribus & calamitatibus obnoxii, beneficos præbere se debent, communi quadam spe compulsi, fore nimirum aliquando referendi beneficii occasionem, & mutuo accipiendæ gratiæ opportunitatem. Cæterum cum tibi bene cesserit primum certamen, boni ominis id esse puto: & hanc victoriam aliarum in posterum, unde nomen immortale consequaris, esse prænunciam. Quemadmodum & occisis ab Hercule infante anguibus, inde Tiresias collegit, & conjecit eum fore semper victoriosum, ejusque nomen sine fine gloriosum. Quare libenter Herculis assumo & usurpo exemplum,

NOTÆ.

46 Εὖ παθεῖν] Victum & amictum liberalem inde sumere. Aret. Horat. Od. 2. l. 2. *Nullus argento color est avaris Abdito terris, inimice lamnæ Crispe Sallusti, nisi temperato splendeat usu.* 49 Ἐγὼ δ'] De connectione horum cum præcedentibus vide varias sententias apud Schol. Lonicer. ita, Hercules ob virtutes & benefacta in Deorum numerum est adscitus: Sic Chromius suæ liberalitatis, aliarumque virtutum nomine immortalitatem promerebitur. Hæc ille. Non vero Liberalitatis sed Fortitudinis exemplum proponitur; ut recte Schmid. Paraphrastes sententiam optimam, quæ est Didymi expressit.

[Ἀγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ.] σοῦ δὲ ὦ Χρόμιε τοῦ Ἀγησιδάμου παῖ περὶ τὸν τρόπον καὶ τὸν βίον, ἀμφοτέρων ἡ χρῆσις ὑπάρχει καὶ λόγων καὶ ἔργων. πρὸς ἀμφότερα γὰρ χρήσιμος εἶ. τουτέστιν ἐπὶ τῶν ἔργων καὶ τῆς συνέσεως. ἐνεργεῖς γὰρ καὶ προβουλεύῃ. [Οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον.] πιθανῶς ὁ θέλει παραινέσαι τῷ Χρομίῳ, ἐξενήνοχεν ἐφ' ἑαυτοῦ. οὐκ ἐπιθυμῶ φησὶ κατακρύψαι θησαυρὸν ἵνα πλουτῶ. ἀλλὰ παρόντων τῶν ἀπὸ τοῦ πλούτου, καὶ εὖ παθεῖν, καὶ εὖ ἀκοῦσαι θέλω. [Ἐξαρκῶν τοῖς φίλοις.] τὸ δὲ ὅλον, δωρητικός φησι γίνου. [Κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες.] αἱ γὰρ ἐλπίδες, καὶ αἱ μέλλουσαι φησὶ προσδοκίαι, κοιναὶ καὶ ἄδηλοι τοῖς ἀνθρώποις εἰσίν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. εἴτις τοῖς φίλοις ἐπαρκέσει, οὗτος καὶ ἐλπίδος ποτὲ διαπεσὼν, τῆς ἴσης τύχοι ἀμοιβῆς. ἄδηλα γὰρ τὰ παρὰ τῆς τύχης συμπτώματα. [Ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι προφρόνως.] Ἐπαπορήσειεν ἄν τις διὰ τί τοῦ Ἡρακλέος μνημονεύει. οὐ γὰρ εὔκαιρος δοκεῖ ἡ μνήμη νῦν Ἡρακλέους. καὶ φαμὲν, ὅτι βουλόμενος δεῖξαι ὡς οἱ διαφανεῖς ἐν τοῖς ἔργοις καὶ τοῖς λόγοις, ἀθάνατοι γίνονται τῇ μνήμῃ, διὰ τοῦτο μέμνηται Ἡρακλέους ἀρετῆς· ἐπιφέρων τοῖς τοῦ Χρομίου θαύμασιν. ὅτι ἐγὼ ἀντέχομαι ἐν ταῖς κορυφαῖς τῶν σῶν ἀρετῶν. καὶ μνημονεύω τῶν κατὰ Ἡρακλέα διηγημάτων. [Ἄλλως.] Ὁ μὲν οὖν Ἀρίσταρχός φησιν ὅτι οἴονταί τινες ὅτι ὑπόθεσις αὐτῷ ἐδέδοτο τοιαύτη. ὥστε μνησθῆναι τοῦ θεοῦ. ὅπερ ἐστὶν ὡς καὶ Ἀρίσταρχός φησιν, ἀπίθανον. μή ποτε δὲ ὅτι ἀεὶ ὁ Πίνδαρος ἐπαινεῖ τὰς φύσεις, μᾶλλον τῶν ἐκ διαδοχῆς περιγινομένων. ὁ δὲ Ἡρακλῆς, τοιοῦτος. τοῦτο δὲ ἀπίθανον. τί γὰρ ὅτι τὴν πρώτην περὶ Ἡρακλέους γινομένην συμφορὰν, ἰδίως ἐξύμνησεν; εἰς ἔνδειξιν δὲ τῶν φυσικῶν ἀγαθῶν. Ἡρακλῆς γὰρ, μέχρι παντὸς ἐκ φύσεως ἀγαθὸς ὢν ἀνεφάνη. ὥστε οὐκ ἂν ὡμοίωσε τὸν ἔπαινον. ἓν μόνον τὸ περὶ τοὺς δράκοντας αὐτοῦ διαπραχθὲν εἰπών. ἀλλ' εἴπερ ἄρα, ἀπὸ τῶν ἐπιφανεστέρων ἂν ἐπῄνει τὸν Ἡρακλέα. ὁ δὲ Χαῖρις φησὶν, ὅτι ὁ Χρόμιος πολλὰ συμπονήσας τῷ Ἱέρωνι κατὰ τὰς ἀρχὰς, ἀμοιβῆς ἔτυχεν ἐξ αὐτοῦ, ὥστε ἐκ περιουσίας καὶ ἱπποτροφῆσαι. ὡς οὖν οὗτος ἔπαθλον ἔλαβε πόνων τὴν ἐπιφάνειαν, οὕτω καὶ Ἡρακλῆς πολλὰ ταλαιπωρήσας, ἔπαθλον ἔσχε τὴν ἀθανασίαν καὶ τὸν γάμον τῆς Ἥβης. καὶ πρὸς τοῦτον δὲ ἔνεστιν εἰπεῖν. τί δή ποτε ὁ Πίνδαρος ἰδιαίτην ἐπαινῶν τὴν τοῦ Ἡρακλέους παρέλαβε συμφορὰν εἰς ἐπίδειξιν τῆς φιλοπονίας; μᾶλλον γὰρ ἔδει κοινότερον πάντας τοὺς ἄθλους εἰς ὑπόμνησιν ἀγαγεῖν ὅτι † καὶ θῆρας γῆν καὶ θάλασσαν ἀπεθηρίωσεν· ὁ δὲ Χρύσιππος, Νεμεακὸν εἶναί φησι τὸν ἀγῶνα, καὶ τὸν ἐπὶ τούτῳ δῆλον ἐπίνικον, διότι τὸ Νεμεαῖον ἀνεῖλε τὸν λέοντα, ταύτῃ τὸν Ἡρακλέα τοῖς τοῦ νενικηκότος ἐπαίνοις ἐγκαταμεμίχθαι. ἀντιπαρέστη δὲ καὶ τούτῳ, τὸ μὴ δὲ ὁτιοῦν τὸν Πίνδαρον εἰπεῖν περὶ λέοντος. ὅπερ αἰτιώτατον τῆς παραβάσεως φησὶν ὁ Χρύσιππος εἶναι. βέλτιον δέ φησιν ὁ Δίδυμος ἐκεῖνο λέγειν. ὅτι ὃ περὶ τῆς Αἴτνης ἔφη, τοῦτο καὶ νῦν βούλεται δηλοῦν ὁ Πίνδαρος. ναυσιφορήτοις δ' ἀνδράσι πρώτη χάρις εἰσπλέειν ἐρχομένοις, πομπαῖον ἐλθεῖν οὖρον. τοιοῦτο λέγοι ἂν τις καὶ ἐπὶ τοῦ Χρομίου, ἐπεὶ νῦν ἤρχετο ἀγωνίζεσθαι, καὶ ἀρξάμενος εὐθὺς

† Recte Ed. Brub. Καθήρας.

Εν κορυφαῖς ἀρετᾶν	In primitiis virtutum
Μεγάλαις ἀρχαῖον ὀτρυνῶν λόγον.	Insignibus antiquum producens sermonem.
Ως ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐ-	Quomodo, postquam ex visceribus Matris sta-
τίκα θαητὰν ἐς αἴγλαν	tim venerandam in lucem
Παῖς Διὸς ὠδῖνα φεύγων διδύμῳ	Filius Jovis ex partu evadens gemello
Σὺν κασιγνήτῳ μόλεν,	Cum fratre prodiit,
στροφὴ γ'. κῶλον ι'.	Μετaph.
Ως τ' οὐ λαθὼν χρυσόθρονον	Ideoque non latens aureo-throno-insidentem
Ηραν, κροκωτὸν σπάργανον ἐγκατέβα.	Junonem, croceas cunas ingressus fuerit.
Αλλὰ Θεῶν βασίλεια	Sed Deorum regina
Σπερχθεῖσα θυμῷ, πέμπε δράκοντας ἀ-	Irritata animo, immiserit Dracones statim.
τοὶ μὲν, οἰχθεισᾶν πυλᾶν, [φαρ.	Qui quidem apertis portis,
Ες θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέ-	In thalami penetrale latum irrepserunt, pue-
κνοισιν ὠκείας γνάθους	rulis avidas malas *suas*
Αμφελίξασθαι μεμαῶτες. Ο δ' ὀρ-	Circumplicare cupientes. Ille autem re-
θὸν μὲν ἄντεινεν κάρα,	ctum quidem extendit caput,
Πειρᾶτο δὲ πρῶτον μάχας,	Fecitque-periculum primum pugnæ,

PARAPHRASIS.

prisci alicujus herois præstantissimas virtutes, cum Chromii præclaro facinore comparaturus. Et dicam quod antiqua fert fama, quo pacto postquam recens natus, & cum Iphicle gemello fratre, ex utero materno, vitato puerperii periculo, eductus est, & in lucem solis admirabilem editus ille Jovis filius: quo pacto etiam, postquam non inscia Junone quæ aureo solio insidet, fasciis involutus in croceas cunas ingressus est, illa Deorum regina graviter animo indignata, quod prolem ex mortali muliere suscepisset Jupiter, protinus serpentes immisit, qui portis apertis in thalami lata penetralia se intruserunt, cupientes suis spiris involvere puerulos, celeribusque maxillis manducare. Ille autem infans Hercules erecto ex pulvinari, extensoque capite, primum pugnæ specimen edidit.

NOTÆ.

58 Εγκατέβαν MS. γ. 59 Βασιλὶς leg. Schmid. metri causa. 60 Αφαρ] Notatur vindictæ cupiditas Zelotypæ. Schmid.

ἐνίκησεν, ἐλπίς ἐστιν αὐτῷ καὶ τῶν ἄλλων τεύξεσθαι στεφάνων. πρὸς τί οὖν τὸ περὶ τοῦ Ηρακλέους ἐστὶν ὑπόδειγμα; ὅτι καὶ Ηρακλῆς βρέφος ἔτι ὤν, μεταχειρισάμενος τοὺς δράκοντας, καὶ τοὺς αὖθις ἄθλους κατεπράξατο. καὶ ὥσπερ τούτου περὶ τὸν Ηρακλέα γεγενημένου, ὁ Αμφιτρύων, Θηβαῖον ὄντα τὸν Τειρεσίαν προσανέκεινε περὶ τοῦ παιδός. ὁ δὲ, προεμαντεύσατο τοὺς ἐσομένους αὐτῷ ἄθλους· οὕτως αὐτὸς ὁ Πίνδαρος ὑπὸ τῆς προτέρας τοῦ Χρομίου νίκης, προμαντεύεται· ὅτι καὶ τῶν λοιπῶν στεφάνων τεύξεται. ὁ δὲ νοῦς. ἐγὼ δὲ ἐφίεμαι, καὶ οὐκ ἀφίσταμαι τοῦ Ηρακλέος, ἐγείρων τὸν λόγον ὄντα ἀρχαῖον, τὸν ἐν ταῖς μεγίσταις τῶν ἀρετῶν. οὐ κορυφαῖς τὸν ἐμὸν ὁπλίζων καὶ ἐγείρων λόγον. ἀντέχομαι γὰρ καὶ ζηλῶ αὐτόν. ἢ οὕτως. ἐν ταῖς κορυφαῖς τῶν ἀρετῶν, τὸν ἐξ ἀρχῆς παροτρύνων περὶ αὐτοῦ λόγον. ὅ ἐστιν ἀπ' ἀρχῆς τῶν περὶ αὐτὸν γεγονότων μνημονεύων. [Ως ἐπεὶ σπλάγχνων ὑπὸ ματέρος.] διηγήσομαί φησιν. ὅπερ ἐκ τῆς μητρικῆς νηδύος εἰς τὰς αὐγὰς ἦλθε τὰς ἡλιακὰς, ὁ τοῦ Διὸς παῖς Ηρακλῆς, ἅμα τῷ ἀδελφῷ Ιφικλεῖ διδύμῳ ὄντι, ἐκφυγὼν τὴν ὠδῖνα. ἐναντίος ἐστὶ τῷ Θεοκρίτῳ. ἐκεῖνος γάρ φησι, καὶ νυκτὶ νεώτερον Ιφικλέος. ἡμέραν δὲ λαμπρὰν καὶ θαυμαστὴν, ἤτοι τὴν ὁρατὴν αἴγλην, τὸ φῶς, ἢ τὴν αἰτίαν τοῦ θεάσασθαι ἡμᾶς. καθὸ καὶ μητέρα ἡλίου θείαν διεπλάσατο. θέας γὰρ αἴτιος ἡμῖν ὁ θεός. [Ως τ' οὐ λαθὼν χρυσόθρονον Ηραν.] διηγήσομαι οὖν φησι καὶ ὅπως μὴ δυνηθεὶς διαλαθεῖν τὴν Ηραν, εἰς κροκοβαφὲς ὕφασμα ἐπετέθη σπαργανωθείς. κροκωτὸν δὲ, ἤτοι ἀπὸ τῆς χρόας τὸ κροκοειδὲς, ἢ ἀπὸ τῆς κρόκης τὸ ὑφαντόν. [Αλλὰ θεῶν βασίλεια.] ὁ ἀλλὰ, κεῖται ἀντὶ τοῦ δέ. [Σπερχθεῖσα θυμῷ.] ἐπειχθεῖσα. λυπηθεῖσα. ταραχθεῖσα δὲ τῇ ψυχῇ, καὶ ὑπάρξουσα τῷ θυμῷ, οὐ τότε ὅτε ἐνετέθη τῷ κροκωτῷ σπαργάνῳ, ἀλλ' ἔτι πάλαι, ὅτι ἐμίσγετο τῇ Αλκμήνῃ ὁ Ζεύς. [Τοὶ μὲν οἰχθεισᾶν πυλᾶν.] οἱ μὲν οὖν δράκοντες ἀνεῳχθεισῶν τῶν πυλῶν, εἰς τὸ ἐσώτατον τῶν οἴκων παρεγένοντο, ἔνθα κατέκειτο ὁ παῖς. τὸ δὲ ἀμφελίξασθαι, ἀντὶ τοῦ μασᾶσθαι. ἀπὸ τοῦ παρεπομένου δεδήλωκε, τουτέστι καταφαγεῖν, διὰ τὸ συστρέφειν τὰς γνάθους τοὺς μασωμένους. ἢ ἐπεὶ μεγαλοσομώτατόν ἐστι τὸ ζῶον, καὶ ὅμοιον τῇ εἰλήσει, τὴν κατάποσιν ποιεῖ. [Ο δ' ὀρθὸν μὲν ἄντεινε κάρα.] ὁ δὲ Ηρακλῆς φησὶν, ὀρθώσας ἑαυτὸν, προτέρας ταύτης τῆς μάχης πεῖραν ἐλάμβανε. καὶ ταῖς δύο χερσὶν ἑαυτοῦ τοὺς δύο θῆρας ἐκ τῶν αὐχένων σφίγξας, οὕτως ἀφύκτως κατεῖχεν. εἰσὶν οὖν οἱ ὑπὸ Αμφιτρύωνος ἐπιπεμφθῆναι τοὺς ὄφεις φασὶν, ἐπὶ διαπείρᾳ τοῦ γνῶναι, πότερος εἴη τοῦ Διὸς, ὡς Φερεκύδης φησὶν ἐνιαυσίοις οὖσιν ἤδη. καὶ ὁ μὲν Ιφικλῆς, φεύγει. ὁ δὲ ἐπὶ τῆς εὐνῆς μείνας, ἀμφοτέρους ἀπέπνιξεν.

[Αγχομένοις

ἀντιστροφὴ γ'. κῶλα ι'.	METAPH.
Διοταῖσι δοιὰς αὐχένων	Duabus duos cervicibus
Μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας·	Corripiens effugiū-non-dantibus manibus suis
Αγχομθύοις δὲ, χρόνος	Strangulatis vero diuturnitas [serpentes
Ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.	Animas elisit è-membris infandis.
Εκ δ' ἄρ' ἄτλατον βέλος	Intolerabile vero sane jaculum
Πλᾶξε γυναῖκας, ὅσαι τύχον Αλκμήνας ἀρήγοισαι λέχει.	Percussit mulieres, quotquot fuerunt Alcmenes inservientes cubili.
Καὶ γὰρ αὐτὰ ποσὶν ἄπεπλος ὀρούσαισ' ἀπὸ στρωμνᾶς ὁμῶς,	Etenim ipsa pedibus sine-vestibus prosiliens è strato simul-cum-aliis,
Αμυνεν ὕβριν κνωδάλων.	Propulsavit injuriam bestiarum.
ἐπῳδὸς γ'. κῶλα η'.	METAPH.
Ταχὺ δὲ Καδμείων ἀγοὶ χαλκέοις σὺν ὅπλοις ἔδραμον ἀθρόοι.	Confestim autem Cadmeorum proceres æreis cum armis accurrerunt crebri.
Εν χερὶ δ' Αμφιτρύων	In manu vero Amphitryo
Κολεοῦ γυμνὸν φάσγανον τινάσσων,	Vagina nudum vibrans gladium
Ικετ', ὀξείαις ἀνίαισι τυπείς.	Venit, acutis doloribus perculsus.
Τὸ γὰρ οἰκεῖον πιέζει	Nam domesticum *malum* premit
Πάνθ' ὁμῶς· εὐθὺς δ' ἀπήμων κραδία,	Omnē pariter : statim vero doloris-expers cor,
Κᾶδος ἀμφ' ἀλλότριον.	Luctum ob alienum.

PARAPHRASIS.

Ambabus manibus geminos serpentes cervicibus correptos constrinxit, ita ut effugere non potuerint. Tum illi strangulati & suffocati ex corpore magnitudinis inusitatæ & ineffabilis, animam tandem emiserunt, corpusque ingens mortuum reliquerunt. Tum metus intolerabilis mulieres perculit, quotquot Alcmenæ puerperæ ministrabant. Quinetiam Alcmena, quanquam recens enixa, tamen abjecto peplo pedibus è lecto desiliit, ut liberis opem ferret, & bestiarum injuriam propulsaret. Ilico etiam Thebanorum Cadmi subditorum duces æneis armis instructi confertim accurrerunt. Ipsi etiam putatitius Herculis pater Amphitryo, eductum è vagina ensem concutiens advenit, ipsemet acuto dolore concussus, ut cujus res agebatur, quum liberi periclitarentur. Etenim omnem hominem pariter propria calamitas affligit: sed quivis alieno malo leviter tangitur, quemque dolorem cor nostrum inde concepit, statim delet & relinquit.

NOTÆ.

68 Μάρψαις Commune leg. MS. γ. 69 Bened. legendum conjicit, Αγχόμενοι δὲ, χρόνῳ ψυχὰς ἀπέπνευσαν μελέων ἀφάτων, sine auctore. 71 Ατλατον δέος hab. omnes Codd. præter MS. γ. cujus lectionem damus. Δέος videtur τοῦ βέλους Pindarici explicatio; licet neque ista lectio plane improbanda sit; nam construitur cum verbo ἐξέπληξε quod recte interpret. Schmid. perculsit. Judicet igitur lector. 74 Απεπλος] Schol. ait, si plane sit nuda, ἀπρεπὴς ἡ εἰκών, quasi in magnis terroribus ἀπρέπεια caveatur. 75 Aliqui legunt ὅμως, tamen. 78 Σὺν ὅπλοις] Quod illi adulti & plures vix armati efficerent. hoc infans Solus inermis præstitit. Schmid. Αθρόοι ἔδραμον transposita habent omnes Edd. 80 Γυμνὸν ξίφος ἐκτινάσσων hab. Edd. Schmid. vertit, è vagina nudum gladium extractum vibrans, quasi κολεοῦ pertineret ad ἐκτινάσσων, quam Syntaxin si quis probet, næ ille lectionem MS. nostri, quam reposuimus vix feret: quæ tamen Pindari esse verba nobis verisimillimum videtur. Locus Schmid. erat suspectus ob metrum violatum. 83 Απήμων] Pausan. Phoc. leg. ἀπήματος. Cic. in Part. Orat. (ito arescit lacrima in malis alienis. Κραδία leg. Schmid. 84 Αμφαλλότριον conjunctim MS. nostrum.

[Αγχομένοις δέ.] τούτους οὖν φησι τοὺς δράκοντας στρεβλουμένους καὶ πνιγομένους αἱ ψυχαὶ ἀπέλιπον. καὶ νεκρὸν εἴασαν τὸ παμμέγεθες σῶμα. ἀφάτων μελέων γάρ φησιν, ἀντὶ τῶν ἀρρήτων. οὐκ ἐπιδεχομένων τὸ φατισθῆναι διὰ μέγεθος. ἢ φθαρτικῶν ἄγαν. κατ' ἐπίτασιν λαμβανομένου τοῦ α. φάσαι γὰρ, τὸ φθεῖραι, ἔνθεν καὶ τὸ φάσγανον. [Εκ δ' ἄρ' ἄτλαντον δέος πλᾶξε γυναῖκας.] ἐξέπληξε δὲ τοῦτο τὸ ἀνυπομόνητον κακὸν, τὰς ἐκεῖσε γυναῖκας πάσας, ὅσαι ἔτυχον περὶ τὴν θεραπείαν τῆς Αλκμήνης, καὶ τὴν κοίτην. [Καὶ γὰρ αὐτὰ ποσὶν ἄπεπλος ὀρούσασα.] τὴν ἄπεπλον, οὐ λεκτέον γυμνήν. ἀπρεπὴς γὰρ ἡ εἰκών. ἀλλὰ νοητέον, ὅτι τὸν μὲν πέπλον ἔρριψεν, ἐν δὲ τῷ χιτωνίσκῳ ἀνήλατο νεοτόκος οὖσα. τὴν βλάβην τῶν δρακόντων ἐκφεύγουσα. κνώδαλα δὲ κυρίως, τὰ ἐν τῇ θαλάσσῃ θηρία, παρὰ τὸ ἐν ἁλὶ κινεῖσθαι. καταχρηστικῶς δὲ, καὶ πᾶν θηρίον. ὡς καὶ Ομηρος. Κνώδαλον ὅττι δίοιτο, καὶ ἴχνεσι γὰρ ἐκέκαστο. ὁ δὲ νοῦς. καὶ γὰρ αὐτὴ ἡ Αλκμήνη, μονόπεπλος αὐτοποδητὶ ἐκπηδήσασα ἀπὸ τῆς κοίτης, ἐπὶ βοήθειαν ἠπείγετο πρὸς τὴν τῶν θηρίων βλάβην. [Τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς.] τὸ γὰρ οἰκεῖον καὶ ἴδιον κακὸν, ὁμοίως πιέζει καὶ λυπεῖ τοὺς οἰκείους πάντας. περὶ δὲ τὰ ἀλλότρια συμπτώματα καὶ κακὰ ἀβλαβὴς καὶ ἄλυπος ἡ καρδία παραχρῆμα γίνεται. [Αλλως.] ἕκαστος δάκνεται τῷ οἰκείῳ κακῷ. ὅταν δὲ τὰ τῶν ἄλλων ἴδῃ κακὰ, εὐκόπως ὑπομένει.

στροφὴ δ'. κῶλον ι'.

Ἔστα δὲ θάμβει δυσφόρῳ
Τερπνῷ τε μιχθείς. Εἶδε γὰρ ἐκνόμιον
Λῆμά τε, καὶ δύναμιν
Υἱοῦ. Παλίγγλωσσον δέ οἱ Ἀθάνατοι
Ἀγγέλων ῥῆσιν θέσαν.
Γείτονα δ' ἐκκάλεσεν, Διὸς ὑψί-
στου προφάταν ἔξοχον,
Ὀρθόμαντιν Τειρεσίαν. Ὁ δέ οἱ
Φράζε καὶ παντὶ στρατῷ,
Ποίαις ὁμιλήσει τύχαις,

ἀντιστροφὴ δ'. κῶλον ι'.

Ὅσσους μὲν ἐν χέρσῳ κτανών,
Ὅσσους δ' ἐν πόντῳ θῆρας ἀϊδροδίκας·
Καί τινα σὺν πλαγίῳ
Ἀνδρῶν κόρῳ στείχοντα, τὸν ἐχθρότατον
Φᾶσέ νιν δώσειν μόρον.

ΜΕΤΑΦΡ.

Stetit vero ſtupore difficili
Delectabiliq; permixtus. Vidit enim inuſitatã
Generoſitatemque & fortitudinem
Filii. Irritum igitur ei Immortales
Nunciorum ſermonem fecerunt.
Vicinum vero evocavit, Jovis altis-
ſimi prophetam eximium,
Vera-vaticinantem Tireſiam. Ille vero ei
Dicebat & omni turbæ *præſenti*,
Qualibus *cum* conflictaturus-eſſet ſortunis:

ΜΕΤΑΦΡ.

Quot in terra interfecturus,
Quotque *in* mari beſtias pernicioſas:
Et aliquem cum iniqua
Hominũ inſolentia incedentẽ, odioſiſſimum
Dixit ei daturum fatum *i. e. pœnas morte.*

PARAPHRASIS.

Quum autem advenisset, conſtitit, & in ſtuporem acerbitate & jucunditate temperatum raptus eſt: ſiquidem cum de liberorum ſalute deſperaſſet, eos tamen deprehendit incolumes, quum dracones vidit interemptos ab Hercule putatitio filio, qui inuſitatam huic ætati tenerrimæ generoſitatis & roboris præſtantiam exhibuit ſpectandam. Itaque Dii immortales effecerunt, ut quod à nunciis divulgatum fuerat, nimirum extinctos eſſe infantes, in contrarium ceſſerit: & non illi, ſed dracones periiſſe viſi ſint. Hoc miratus Amphitryo, veridicum ſupremi Jovis vatem præſtantiſſimum Tireſiam vicinum accerſivit, & quid hoc portenderet ipſum interrogavit. Tum Tireſias Amphitryoni, & univerſæ Thebanorum turbæ circumſtanti prædixit quibus infortunis Hercules eſſet verſaturus, quaſque res geſturus. Quot in terris, quot in mari pernicioſas hominum generi beſtias eſſet interfecturus: uti aprum Erymanthium, Nemeæum & Citheroneum leonem, Stymphalides aves, & balænam, aliaque multa. Dixit etiam quemvis qui ipſum odio proſequeretur, ſeque inſolentem & injurioſum præberet, morte ab ipſo mulctatum iri, ut mactatorem hoſpitum Buſirin, & Antæum Gigantem.

NOTÆ.

86 Omitt. τε. MS. γ. Ἐκνόμιον] Id eſt, quaſi ſupra & extra τὸν νόμον hujus ætatis poſitum. Schmid. 90 Ἐκάλεσεν omnes præter Ald. & MS. noſtrum. 95 & 96. MS hab. ὅσυς. Schmid. δὲ πόντῳ. 96 Ἀϊδροδίκας] Juris ignaras, immanes. 97 Καί τινα] Schmid. dubitat, An de Alcyoneo ſunt intelligenda, de quo N. 4. & I. 6. Nomen celat, ut ſolet, ut prodigioſior ſit narratio. 99 Νιν] Dativus Dor. & Poët. pro αὐτῷ. Schol. tamen τὸ νιν in Accuſat. accipit, & τινά, στείχοντα & ἐχθρότατον pro Dativis poni cenſet. Duriuſcule.

[Ἔστα δὲ θάμβει δυσφόρῳ τερπνῷ.] δυσυπομονήτῳ. πῶς δὲ ταυτὸν δυσυπομόνητον καὶ τερπνόν; ὅτι μὲν δρακόντων ἦν ἔφοδος ἐπὶ νεογνὰ τὰ τέκνα, δύσελπις ἐγένετο. καθὸ δὲ εἶδεν αὐτοὺς ἀσχολουμένους ὑπὸ Ἡρακλέους, ἐτέρφθη. διὸ ἐξεπλάγη· δυσφορῶν ἅμα, καὶ τερπόμενος. ὁ δὲ νοῦς, οὕτως. ἔστη δὲ ὁ Ἀμφιτρύων ἐκπλήξει βαρυτάτῃ καὶ τέρψει πολλῇ συγκραθείς. Ὅμηρος. Δακρυόεν γελάσασα. καὶ ἐν ἄλλοις. Τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα. [Εἶδε γὰρ ἐκνόμιον λῆμα.] ἐκνόμιον λῆμα, ἤτοι ἀπὸ τῶν παρὰ τοὺς νόμους τινὰ πραττόντων, καὶ βιαζομένων, ἢ ἀπὸ τῆς νομῆς, καθὸ ἀτιμαγέλαι τινὲς λέγονται βόες. ὁ δὲ νοῦς. ἐθαύμασε γὰρ ἄηθες, καὶ οὐ νομιζόμενον δυνάμεως ἔργον τοῦ υἱοῦ. τουτέστι, τοῦ Ἡρακλέος. [Παλίγγλωσσον δὲ οἱ ἀθάνατοι.] τὴν ἐναντιόφημον. τὸν ἐναντίον τοῖς προηγγελμένοις τὸν λόγον ἔχουσαν. οἱ μὲν γὰρ ἄγγελοι ἐσήμαινον ὅτι νεκρὰ ἦν τὰ βρέφη. ὁ δὲ εὗρε σώους τε, καὶ ὑπ' αὐτῶν τοὺς δράκοντας ἀνῃρημένους. ἐναντίον οὖν ἐγένετο τοῖς ὁρωμένοις τὸ ἄγγελμα· ὅ ἐστιν ἐναντιόφημον. [Γείτονα δ' ἐκάλεσεν Διὸς ὑψίστου.] ἐκάλεσεν δὲ, τὸν ἔξοχον προφήτην τοῦ Διὸς, πλησίον ὄντα, τὸν ἀληθῆ μάντιν Τειρεσίαν. [Ὁ δέ οἱ φράζε καὶ παντί.] ὁ δὲ μάντις Τειρεσίας εἶπεν αὐτῷ τῷ Ἀμφιτρύωνι καὶ ὅλῳ τῷ ὄχλῳ τῶν Θηβαίων, ὁποίαις συντεύξεται, καὶ συναναστραφήσεται πράξεσί τε καὶ τύχαις ὁ Ἡρακλῆς. [Ὅσσους δ' ἐν πόντῳ θῆρας ἀϊδροδίκας.] ἀπέκτεινε γὰρ καὶ τὸ κῆτος τὸ ἐν τῇ Τρωάδι. μέμνηται δὲ τούτου καὶ Ὅμηρος. Τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπρoφυγὼν ἀλέοιτο. [Καί τινα σὺν πλαγίῳ ἀνδρῶν κόρῳ στείχοντα.] πρὸς τὸ ὀρθὸν τοῦ λόγου, ἀντὶ αἰτιατικῆς, τὴν δοτικὴν ἀκουστέον. ἵν' ᾖ, καί τινι ἀδίκῳ ἀνδρὶ αὐτὸν τὸν Ἡρακλέα ἔφασκε δώσειν μόρον. ἀντὶ τοῦ τοὺς ἀδίκους ἀνελεῖν. [Ἄλλως,] σὺν πλαγίῳ. οὐ κατ' εὐθὺ ὄντι· οὐκ ἀπὸ τοῦ δικαίου προσεπιταζομένῳ. μετῆκται δὲ ἀπὸ τῶν κακούργων. οὐ γὰρ τὴν λεωφόρον βαδίζουσιν, ἀλλ' ἐκτρεπόμενοι, τὰς ἐρήμους. τείνει δὲ ὁ λόγος ἐπὶ Βούσιριν, καὶ Ἀνταῖον. οὗτοι γὰρ δι' ὕβριν, ὑφ' Ἡρακλέος ἀπώλοντο ἑκάτεροι. ὁ δὲ νοῦς. καί τινα συμβήσεται ἄνδρα ἄδικον πλούτῳ ἐπαιρόμενον, δίκην ὑποσχεῖν. καὶ ἐχθροτάτῳ, καὶ ἀπευκτῷ μόρῳ περιπεσεῖν, εἰπεῖν αὐτῷ καὶ τοῦτο ὁ μαντευόμενος Τειρεσίας.

[Καὶ

Καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέ-
γρας γιγάντεσσιν μάχαν
Ἀντιάζωσιν, βελέων ὑπὸ ῥι-
παῖσι κείνου, φαιδίμαν
Γαίᾳ πεφύρσεσθαι κόμαν..

Etenim quando Dii in campo Phle-
græ Gigantibus in-pugna
Contra-ierint, telorum ab im-
petu illius, illustrem
Terræ commixtum-iri comam.

ἐπῳδὸς δ'. κώλων η'.

ΜΕΤΑΦΗ.

Ἔνεπεν, αὐτὸν μὰν ἐν εἰρή-
νᾳ τὸν ἅπαντα χρόνον σχεῖν ἀεὶ
Ἡσυχίαν, καμάτων
Μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον,
Ὀλβίοις ἐν δώμασι δεξάμενον
Θαλερὰν Ἥβαν ἄκοιτιν,
Καὶ γάμον δαίσαντα πὰρ Διὶ Κρονίδᾳ,
Σεμνὸν αἰνήσειν δόμον.

Dixit *porro*, ipsum quidem in pa-
ce *per* omne tempus fruiturum perpetuo
Tranquillitate, laborum
Magnorum præmium consecutum eximium,
Beatis in domibus accepta
Florida Hebe uxore,
Et nuptiis celebratis apud Jovem Saturnidem,
Augustam laude-exornaturum domum.

PARAPHRASIS.

Quinetiam hoc addidit dictis, fore ut quum Dii in Phlegra, qui pagus est Thraciæ, cum Gigantibus prælio concurrerent, Jovi ferens opem, eos sagittis suis confoderet, unde humi prostrati eximiam cæsariem pulvere fœdarent. Quibus peractis demum ac deinceps futurum erat, ut magnorum laborum, quos exantlarat, præmium excellens reportaret. Primum tranquillitatem qua in perpetuum frueretur: deinde florentem Heben, quam beatis ædibus uxorem exciperet, celebrato apud Saturni filium Jovem nuptiali convivio: denique & vitam immortalem, & cum Diis immortalibus conversationem, in quam receptus, augustum Jovis domicilium admiraretur & collaudaret.

NOTÆ.

101 Μάχαν] Schmid. subaudiri vult κατὰ non εἰς, ut Schol. 105 Ἔννεπεν leg. omnes Codd. præter MS. nostrum. Schmid. alterum ν elidendum conjecit. Μὶν pro μὰν hab. MS. γ. 106 Pro σχεῖν ἀεὶ omnes Edd. hab. σχερῷ & vertunt deinceps ut ἐν σχερῷ. I. 6. exponitur. Schmid. ex corrupto metro, locum suspectum habuit. Restituimus ex MS. 111 Γάμον δαίζειν est, Epulum nuptiale celebrare, à distributione cibi. Vide Eustath. ad Il. T. v. 299. 122 Γάμον pro δόμον hab. MS. γ.

[Καὶ γὰρ ὅταν θεοί.] καὶ ὅταν οἱ θεοὶ τοῖς γίγασιν εἰς μάχην συνάψωσιν. ἔξωθεν γὰρ τὸ εἰς πρόσθεσιν παραληπτέον. Φλέγρα δέ, τόπος ἐν Θράκῃ, καὶ κώμη. ἔνθα οἱ γίγαντες ἀνῃρέθησαν ὑπὸ θεῶν. τῶν γὰρ ἐχόντων τὴν μάχην πρὸς τοὺς γίγαντας, καὶ μὴ περιγινομένων τῆς μάχης, φασὶν εἰρηκέναι τὴν Γῆν, μὴ ἄλλως ἁλῶναι τούτους, εἰ μὴ συμμαχήσειαν αὐτοῖς δύο τῶν ἡμιθέων. Ἡρακλέους τοίνυν καὶ Διονύσου συνελθόντων, ἐκράτησαν οἱ θεοὶ τῶν γιγάντων. προεῖπεν οὖν ὁ μάντις, ὅτι καὶ τῆς ἐκεῖ τῆς ἐν τῇ Φλέγρᾳ πρὸς τοὺς γίγαντας μάχης, μέλλοι ἔσεσθαι, ὅτε ὁ πόλεμος τῶν θεῶν ὑπὸ τοῖς τοῦ Ἡρακλέους τόξοις πεσεῖται, καὶ τὴν κόμην αὐτῶν τὴν φαιδίμην, συμφυρήσεσθαι τῇ γῇ συμβήσεται, διὰ τοὺς ἀγῶνας τοὺς πρὸς τοὺς γίγαντας. σαφέστερον δὲ ἐξενήνεκται. μᾶλλον γὰρ ἐπὶ νεκροῦ ἑλκομένου, τὸ τοιοῦτο τάσσεται. Ὅμηρος, Ὡς, τοῦ μὲν κακόνισο κάρη. [Ἔννεπεν αὐτὸν μὰν ἐν εἰρήνᾳ.] καὶ τοῦτο γὰρ προεῖπεν ὁ μάντις, ὅτι καὶ τὸ λοιπὸν αὐτὸς ὁ Ἡρακλῆς, ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ διατελέσει. ταύτην ἀμοιβὴν τῶν ἑαυτοῦ πόνων λαβών. καὶ ὅτι λήψεται μετὰ γυναῖκα, τὴν θαυμασίαν Ἥβην, παρ' αὐτῷ τῷ Διὶ τελουμένης τῆς εὐωχίας τοῦ γάμου. οὗ τινος Διὸς καὶ θαυμάσει τὴν σύνοδον. εἷς δὲ ἐκ τῶν θεῶν γενόμενος, σύννομος ἔσται τοῖς οὐρανίοις θεοῖς.

Τέλος τῆς πρώτης τῶν Νεμέων εἰδῶν.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΩΝ ΝΕΜΕΩΝ ΕΙΔΟΥΣ.

Ἡ δευτέρα τῶν Νεμέων ᾠδὴ, μονόστροφός ἐστι κατὰ ὀγδοάδας διῃρημένη. ὧν, Τὸ ᾱ, γλυκώνειον. Τὸ β', ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ γ', λογαοιδικὸν, ἀλκμαϊκόν. Τὸ δ', δίμετρον δακτυλικόν. Τὸ ε', δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ς', ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον ἀκατάληκτον. Τὸ ζ, ἰωνικὸν πενθημιμερές. Τὸ η', δακτυλικὸν τετράμετρον.

Ratio vero metrica talis eſt:

1. ∪ - - ∪ ∪ - ∪ -
2. - - ∪ ∪ - ∪ - ∪ - - - -
3. - ∪ ∪ - ∪ - ∪
4. - ∪ ∪ - -
5. ∪ ∪ ∪ - ∪ ∪ - ∪ - -
6. - - ∪ ∪ - ∪ - - -
7. - ∪ ∪ - -
8. - ∪ ∪ - - - ∪ ∪ - -

Edd. aliter diſtinguunt κῶλα 2 & 3 quam Schmid. Idem fere accidit circa 6 & 7. Neque MS. noſtrum aut huic aut illis per omnia conſentit.

TIMO-

ΤΙΜΟΔΗΜΩ ΑΘΗΝΑΙΩ ΠΑΓΚΡΑΤΙΑΣΤΗ.

ΕΙΔΟΣ Β'.

TIMODEMO ATHENIENSI PANCRATIASTÆ.

ODE II.

ARGUMENTUM.

Timodemus laudatur à Nemeæa victoria, qua patriam illustriorem reddidit: deinde sumpta occasione ad majores ejus transit poëta, quorum plurimas victorias recenset.

ὀγδοὰς α'.

Ὅθεν πὲρ καὶ Ὁμηρείδαι
Ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ ἄρχονται Διὸς ἐκ προοιμίου· καὶ ὅδ' ἀνὴρ
Καταβολὰν ἱερᾶν ἀγώνων
Νικαφορείας δέδεκται πρῶτον, Νεμεαίου
Ἐν πολυϋμνήτῳ Διὸς ἄλσει.

Μεταφρ.

Unde sane & Homeridæ [Poëtæ au-
Consutilium carminum ut-plurimum
spicantur Jovis à lau-
de: etiam hic vir
Fundamentum sacrorum certaminum
Victoriæ accepit pri-
mum, Nemeæi
In multum-decantato Jovis luco.

Paraphrasis.

Quemadmodum Homeridæ qui consutilia Homeri carmina recitant, aliique poëtæ, quum poësin inchoant, initium ducunt à Jovis invocatione: sic etiam vir hic præclarus Timodemus Atheniensis, victorias suas exorsus est à Nemeæis sacris certaminibus, quæ in Jovis Nemeæi honorem, in celeberrimo Nemeæ luco celebrantur.

Notæ.

5 Ἱερᾶν leg. omnes impressi pro ἱερῶν. Unde patet Dor. Genitivum tertiæ ᾶν habere, cujus rei & alias exemplum exstat. Ideo non mutandum cum Schmidio in ἱερῶν. Qui enim nisi ex exemplaribus aliquid ejusmodi constare potest? Et Grammatici non solent suas regulas violari permittere. MS. hab ἱερᾶν. 7 Νεμαίου, MS.

[Ὅθεν περ καὶ Ὁμηρείδαι.] Ὁμηρείδας ἔλεγον τὸ μὲν ἀρχαῖον, τοὺς ἀπὸ τοῦ Ὁμήρου γένους. οἳ καὶ τὴν ποίησιν αὐτοῦ ἐκ διαδοχῆς ᾖδον. μετὰ δὲ ταῦτα, καὶ οἱ ῥαψῳδοὶ οὐκέτι τὸ γένος εἰς Ὅμηρον ἀνάγοντες. ἐπιφανεῖς δὲ ἐγένοντο, οἱ περὶ Κύναιθον. οὕς, φασι, πολλὰ τῶν ἐπῶν ποιήσαντας, ἐμβαλεῖν εἰς τὴν Ὁμήρου ποίησιν. ἦν δὲ ὁ Κύναιθος, Χῖος. ὃς καὶ τῶν ἐπιγραφομένων Ὁμήρου ποιημάτων, τὸν εἰς Ἀπόλλωνα γεγραμμένον ὕμνον λέγεται πεποιηκέναι. οὗτος οὖν ὁ Κύναιθος, πρῶτος ἐν Συρακούσαις ἐραψῴδησε τὰ Ὁμήρου ἔπη, κατὰ τὴν ἑξηκοστὴν ἐνάτην Ὀλυμπιάδα, ὡς Ἱππόστρατός φησιν. [Ἄλλως.] Τοὺς ῥαψῳδοὺς, οἱ μὲν ῥαβδῳδοὺς ἐτυμολογοῦσι, διὰ τὸ μετὰ ῥάβδου δηλονότι τὰ Ὁμήρου ἔπη διεξιέναι. Καλλίμαχος· Καὶ τὸν ἐπὶ ῥάβδῳ μῦθον ὑφαινόμενον, ἠνεκὲς ἀείδω δεδεγμένος. οἱ δὲ φασὶ, τῆς Ὁμήρου ποιήσεως μὴ ὑφ' ἓν συνηγμένης, σποράδην δὲ ἄλλως καὶ κατὰ μέρη διῃρημένης, ὁπότε ῥαψῳδοῖεν αὐτὴν, εἱρμῷ τινι καὶ ῥαφῇ παραπλήσιον ποιεῖν, εἰς ἓν αὐτὴν ἄγοντας. οὕτω καὶ ὁ Πίνδαρος εἰσδέδεκται. οἱ δὲ, ὅτι κατὰ μέρη πρότερον τῆς ποιήσεως διαδιδομένης, τῶν ἀγωνιστῶν ἕκαστος, ὅ, τι βούλοιτο μέρος ᾖδε, τοῖς δὲ ἆθλον τοῖς νικῶσιν ἀρνὸς ἀποδεδειγμένου προσαγορευθῆναι τότε μὲν ἀρνῳδούς. αὖθις δὲ ἑκατέρας τῆς ποιήσεως εἰσενεχθείσης, τοὺς ἀγωνιστὰς οἷον ἀκουμένους πρὸς ἄλληλα τὰ μέρη, καὶ τὴν σύμπασαν ποίησιν ἐπιόντας, ῥαψῳδοὺς προσαγορευθῆναι. ταῦτά φησι Διονύσιος ὁ Ἀργεῖος. Φιλόχορος δὲ, ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν τὴν ᾠδὴν, οὕτω φησὶν αὐτοὺς προσκεκλῆσθαι. δηλοῖ δὲ Ἡσίοδος λέγων· Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ, καὶ Ὅμηρος ἀοιδοὶ, Μέλπομεν ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδὴν. Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ. ῥαψῳδῆσαι δέ φησι πρῶτον τὸν Ἡσίοδον Νικοκλῆς. Μέναιχμος δὲ ἱστορεῖ τοὺς ῥαψῳδοὺς, στιχῳδοὺς καλεῖσθαι, διὰ τὸ τοὺς στίχους, ῥάβδους λέγεσθαι ὑπό τινων. [Ἄλλως. Ὁμηρείδαι,] πρότερον μὲν, οἱ Ὁμήρου παῖδες. ὕστερον δὲ, οἱ περὶ Κύναιθον, ῥαβδῳδοί. οὗτοι γὰρ τὴν Ὁμήρου ποίησιν σκεδασθεῖσαν, ἐμνημόνευον, καὶ ἐπήγγελλον. ἐλυμήναντο δὲ αὐτοὺς πάνυ. αὐτοὶ οὖν τὴν ἀρχὴν ὡς ἐπὶ τὸ πλεῖστον, ἐκ Διὸς ἐποιοῦντο προοιμιαζόμενοι. ἐνίοτε δὲ, καὶ Μουσῶν. ὅλοι γὰρ οὗτοι εἰς τὸν Δία προοιμιασάμενοι, τοὐντεῦθεν ἤδη τῆς ἐποποιΐας ἥπτοντο. τῷ δὲ μὴ διὰ παντὸς ἄρχεσθαι ἀπὸ τοῦ Διὸς τοὺς ῥαψῳδοὺς, προστέθεικεν ὁ Πίνδαρος τὰ πολλά. ἵν' ᾖ, ὡς ἐπὶ τὸ πλέον. ὁ δὲ νοῦς ὅλος· ὅθεν δὴ καὶ οἱ Ὁμηρείδαι λεγόμενοι ἀοιδοὶ, τὴν ἀρχὴν τοῦ λέγειν, ὡς ἐπὶ τὸ πολὺ ποιοῦνται ἐκ Διὸς προοιμιαζόμενοι. ἐντεῦθεν καὶ οὗτος ὁ ἀνὴρ, τὴν καταβολὴν, τουτέστι, τὴν ἀρχὴν καὶ τὸν θεμέλιον τῶν ἱερῶν ἀγώνων, ἀπὸ τοῦ Διὸς πεποίηται, Νέμεα νικήσας πρῶτον. Διῒ δὲ ἀνάκειται ὁ Νεμεακὸς ἀγών. ὅτι δὲ καταβολὰς ἔλεγον τὰς ἀρχὰς ἐντινοσοῦν ἔπους, Καλλίμαχός φησιν· Ἀρσινόης ὦ ξεῖνε γάμον καταβάλλομ' ἀείδειν. μετῆκται δὲ ἡ λέξις, ἀπὸ τῶν τὰς οἰκίας κατασκευαζόντων, καὶ βαλλόντων τοὺς θεμελίους. ἐλπὶς οὖν, φησιν, ἐστὶν ἀπὸ Διὸς ἀρξάμενον αὐτὸν τῶν ἀγώνων, καὶ μετὰ ταῦτα νικήσειν. ὃ καὶ ἐγένετο εὐθέως. μετὰ γὰρ τὴν Νεμεακὴν νίκην, ἐστεφανοῦτο τὰ Ὀλύμπια.

ἐπῳδὸς β'.

Ὀφείλει δ' ἔτι, πατρίαν
Εἴπερ καθ' ὁδόν νιν εὐθυπομπὸς αἰὼν
Ταῖς μεγάλαις δέδωκεν
Κόσμον Ἀθάναις,
Θαμὰ μὲν Ἰσθμιάδων δρέπεσθαι
Κάλλιστον ἄωτον· ἐν Πυθί-
οισί τε νικᾶν
Τιμονόου παῖδ'. Ἔστι δ' ἐοικὸς,

Metaph.

Oportet vero etiam, patriam
Siquidem per ſemitam eum recta-ducens ævum
Magnis dedit
Ornamentum Athenis,
Frequenter quidem Iſthmiadum decerpere
Pulcherrimum florem : in Pythi-
is autem vincere
Timonoi filium. Eſt autem congruum,

Paraphrasis.

Præterea, ſiquidem ætas eum recta deducens per veſtigia paterna, quatenus certaminum ſtudio tenetur quemadmodum majores, dedit magnis Athenis, ut ornamento ſit iis, neceſſe eſt Timodemum Timonoi filium Iſthmia pulcherrima & Pythia vincere, quemadmodum majores ipſius. Quemadmodum autem videmus in aſtrorum curſu,

Notæ.

9 Syntaxis eſt. Ὀφείλει δ' ἔτι, Τιμονόου παῖδα θαμὰ μὲν δρέπεσθαι κάλλιστον ἄωτον Ἰσθμιάδων, ἐν Πυθίοισι δὲ νικᾶν. Reliqua enim verba, πατρίαν εἴπερ καθ' ὁδὸν κ. λ. παρενθετικὰ ſunt, & conditionem hujus eventus ſecuturarum victoriarum plurium continent. Hæc Schmid. Lon. vero & Phil. ſecuti Ald. Rom. & Brub. Edd. ita diſtinxerunt & legerunt, Ὀφείλει δέ τι πατρίαν, εἴπερ κ. λ. reddideruntque, Ille quidem, Eſt itaque non parum patriæ ſuæ decori, τό τι, per non parum, exprimens: Hic vero, Debitor autem eſt Patriæ. Infinitivos quoque δρέπεσθαι & νικᾶν non ad ὀφείλει Τιμονόου παῖδα, ſed ad δέδωκεν κόσμον retulerunt: Ille Infinitivis illis modum expreſſit, quo Athenis ornamento eſſe poſſit, Decerpendo ſcil. & vincendo, quaſi τῷ ſuppleri debeat: Hic, cur Athenis ornamentum ſit datus, ut decerpat & vincat, quaſi πρὸς τὸ, vel εἰς τὸ ſubaudiri ſit neceſſe. Ordo ſimplicior eſt Schmidii. MS. tamen δέ τι habet, & πατρῴαν, pro πατρίαν. 10 Καθόδον leg. Edd. Brub. & Rom. una dictione. Εὐθύπομπος, hab. Edd. cujus ultima longa eſſe debeat, uti recte annotavit Schmid. MS. ſecuti mutavimus. Αἰὼν] Fortuna, id eſt, Vita non degenerans, Schmid. 15 Ἐν Πυθίοισι δὲ forte rectius, propter μὲν præcedens. Schmid. Nimis curioſe. 16 MS. ἔτι δ' ἐοικός.

[Ὀφείλει δέ τι πατρίαν.] ὀφειλόμενον καὶ πρέπον ἐστὶ, τὸν Τιμονόου παῖδα. οὕτω τὸ ὑπερβατὸν δεῖ νοηθῆναι. Ἀρίσταρχος δὲ οὐκ ἐπὶ τοῦ ἀνδρὸς τὸ, ὀφείλει, ἀλλ' ἐπὶ τοῦ πράγματός φησιν. ὡς ἄν τις εἴπῃ, ὀφειλόμενον δέ τι ἐστιν. οὕτω γὰρ τὰ ἑπόμενα συναρμοσθήσεται, ὅταν λέγηται· Πυθίοισί τε νικᾶν Τιμονόου παῖδα. οὐ γὰρ εἴρηκε παῖς. ὀφειλόμενον δὲ, τουτέστιν ἀναγκαῖόν ἐστι, νικᾶν αὐτὸν καὶ Πύθια καὶ Ἴσθμια. εἴπερ κατὰ τὰ ἴχνη τῶν πατέρων, ὁ εὐθύπομπος αἰὼν δέδωκεν αὐτὸν εἰς κόσμον ταῖς Ἀθήναις. ἀναγκαῖον οὖν νικᾶν αὐτὸν, ὡς οἱ πατέρες ἐνίκησαν, Ἴσθμια καὶ Νέμεα, ὡς τῶν προγόνων ἱερονίκων γεγονότων. [Τιμονόου παῖδα δ' ἔστιν ἐοικός.] ἵνα ἀξιωματικὸν ποιήσῃ τὸν λόγον, ἐλλειπτικῶς εἶπε. λείπει γὰρ, τὸ, νικᾶν αὐτὸν ἀεί. τοῦτο γὰρ ἔδει προσυπακοῦσαι. εἰκὸς οὖν ἐστι καὶ προσδοκητέον, τὸ νικῆσαι αὐτὸν ἐν τοῖς προειρημένοις ἀγῶσι, Τιμονόου ὄντα παῖδα. καὶ κατ' ἴχνος βαίνοντα τοῦ πατρός. ὥσπερ εἰκός ἐστι, καὶ τῶν ὀρῶν, καὶ τῶν τόπων ὧν ἔχουσιν αἱ Πλειάδες, μὴ πορρωτέρω μηδὲ μακρὰν τὸν Ὠρίωνα πορεύεσθαι, ἀλλ' ἐγγύς. τὸ δὲ σύντομον. ὥσπερ γὰρ τῶν Πλειάδων ὁ Ὠρίων οὐκ ἀφίσταται, οὐδὲ αἱ Πλειάδες τοῦ Ὠρίωνος, οὕτω καὶ τοῦτον πάρεδρον ἔσεσθαι τῇ νίκῃ εἰκός ἐστι. Τὸ δὲ [Ὀρειᾶν γε Πελειάδων,] ἤτοι τῶν πρὸς τὸν Ὠρίωνα κεκλιμένων, ἢ τῶν ὀρείων. ἐπειδὴ ὁ Ἄτλας ὁ τῶν Πλειάδων πατὴρ, ὁμώνυμα ἔχει ὄρη. ἢ ὅτι ὅροι εἰσὶ τοῦ ἀμήτου. ἢ λιτότερον, τῶν ὀρῶν καὶ τῶν τόπων ἐν οἷς εἰσιν οἱ ἀστέρες. αἱ γὰρ Πλειάδες κατὰ τὴν ἱστορίαν, ἄστρον ἐστὶν, ἐξ ἑπτὰ ἀστέρων συγκείμενον. κατὰ δὲ τὴν ὄψιν, ἕξ. ὡς καὶ Ἄρατος· Ἑπτάποροι δὴ ταί γε κατ' ἀνθρώπους ὑδέονται. Ἓξ οἶαί περ ἐοῦσαι ἐπόψιοι. πλησιάζουσι δὲ τῷ Ὠρίωνι αἱ Πλειάδες. Ἀρίσταρχος δὲ ἐν τούτοις μὲν, ταῖς Πλειάσι φησὶ τὸν Ὠρίωνα ἐπέχειν. ἐν ἄλλοις δὲ, τὴν Πλειάδα φησὶν αὐτὸν διώκειν, ὑποτιθέμενος τὸ σύστημα τῶν Πλειάδων ἓν ζώδιον. θέλοι δ' ἂν δηλοῦν τοῦτο, ὅτι τῇ Νεμεακῇ δεῖ συνάπτειν τὴν Ἰσθμιακὴν καὶ Πυθιακήν. καὶ οὕτως ἀκολουθεῖν ὡς ταῖς Πλειάσιν ὁ Ὠρίων ἕπεται. ἐπέχει γὰρ τῇ ἐπιτολῇ τοῦ Ταύρου ὁ Ὠρίων, κυνηγετικὸς ὤν. διό φησιν Ἄρατος· Λοξὸς μὲν Ταύροιο τομῇ ὑποκέκλιται αὐτὸς Ὠρίων. εἰσὶ δὲ αἱ Πλειάδες ἐπὶ τῇ οὐρᾷ τοῦ Ταύρου. καὶ ὁτὲ μὲν, Πλειάδας καλεῖ πληθυντικῶς· ὁτὲ δὲ Πληϊόνην, ὡς μίαν· Τρεχέτω δὲ μετὰ Πληϊόναν. ἅμα δὲ αὐτῷ κύων· δοκεῖ γὰρ κατ' αὐτὴν τὸν Πίνδαρον, ἐρασθῆναι αὐτῆς ὁ Ὠρίων, καὶ διώκειν αὐτὴν ἐπὶ πολλοῖς χρόνοις. ὑπομνήματα δὲ τούτων ὁ Ζεὺς κατηστέρισε. παρὸ δή φησιν, ὁ Ὠρίων ἐπιὼν ταῖς Πλειάσι. Ζητεῖται δὲ, διατί ὀρείας εἶπε τὰς Πλειάδας; Καί τινες μὲν ἔφασαν, ὅτι νύμφαι ἦσαν ὡς οἱ ἀστέρες οὗτοι. Τηϋγέτη τ' ἐρόεσσα, καὶ Ἠλέκτρη κυανῶπις. Ἀλκυόνη τε, καὶ Ἀστερόπη, δίη τε Κελαινώ· Μαῖά τε, καὶ Μερόπη, τὰς γείνατο φαίδιμος Ἄτλας. Σιμωνίδης δὲ μίαν τῶν Πλειάδων Μαῖαν ὀρείαν προσηγόρευσεν, εἰπών· Μαιάδος ὀρείας, ἑλικοβλεφάρου κατάλογον. Αὕτη γὰρ Κυλλήνης ἐν ὄρεσσι, θεὸν κήρυκα τέχ' Ἑρμῆν. τινὲς δὲ ἐπὶ τὴν τῶν ὁμωνύμων ὕλην ἀποχωροῦντες, Ἄτλαντός φασι λεγομένας θυγατέρας. ἐπειδὴ ἐκτηκλήϊζεται κατὰ τὴν τοῦ πατρὸς ὁμωνυμίαν, ὡς ἐξ ὄρους γεγεννημένος, ὀρείας προσηγορεῦσθαι. οἱ δὲ, καθὸ Πελειάδας αὐτὰς εἶπε καὶ ὀρείας. αἱ γὰρ περιστεραὶ, ὄρειαί εἰσιν. εἴωθε δὲ ὁ Πίνδαρος, ταῖς ὁμωνυμίαις ἐπαναπαύεσθαι. ἔνιοι δὲ διὰ τὸ ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου κεῖσθαι κατὰ ὕφεσιν τοῦ υ. ὡς καὶ τὸ κλεὸς ἔκαπι, ἀντὶ τοῦ κλεοῦς. εἶπε δ' ἂν οὐραίας ὡς καὶ παρ' Ὁμήρῳ· Τοῦ μὲν τε φαίνουσιν ἐπισσώτρου τείχεος ἄκραι Οὐραῖαι. εἰ μὴ καθὸ ἀπόγειον ἄνεμον λέγομεν, οὕτω καὶ οὐρείας τὰς οὐραίας ἀκουστέον. τάχα δὲ ἀπὸ τοῦ συνόντος Ὠρίωνος, τὰς οὐρείας, ἐν συστολῇ γενέσθαι ὀρείας. βέλτιον οὖν ἀποδιδόναι, τῇ ὁμωνυμίᾳ προσαναπαυόμενον τὸν Πίνδαρον, οὕτως εἰρηκέναι. ἢ ἀπὸ τῆς Κυλλήνης, ἐν ᾗ ἐτράφη. ὁ δὲ Κράτης γράφει, θερειᾶν Πελειάδων, ὅτι θέρει ἐπιτέλλουσι. τούτῳ δὲ ἀντιπαρέλκει, ἤ, τε ἀντίστροφος, καὶ τὸ μὴ μόνον θέρους αὐτὰς ἐπιτέλλειν, ἀλλὰ καὶ χειμῶνος. δύναιτο δ' ἂν καὶ ὀρείας λέγειν, τὰς ὀρουστικάς. τουτέστιν ὁρμητικάς, διὰ τὸ φεύγειν τὸν Ὠρίωνα. ἢ διὰ τὸν φόβον τῶν Ἡρακλείων βελῶν.

[Καὶ

ὀγδόας γ΄.	METAPH.
Ὀρειᾶν γε Πελειάδων	Montanis à Pleiadibus
Μὴ τηλόθεν Ὠρίωνα νεῖσθαι. Καὶ μὰν	Non procul Orionem incedere. Quinetiam
Ἁ Σαλαμίς γε θρέψαι	Salamis educare
Φῶτα μαχατὰν	Virum bellicosum
Δυνατός. Ἐν Τροίᾳ μὰν Ἕκτωρ	Potis-*est*, In Troia sane Hector
Αἴαντος ἄκουσεν. Ὦ Τιμό-	Ajacem audivit. O Timo-
δημε, σὲ δ' ἀλκὰ	deme, te vero fortitudo
Παγκρατίου τλάθυμος ἀέξει.	Pancratii laboriosa celebrem-facit.
ὀγδόας δ΄.	METAPH.
Ἀχάρναι δὲ παλαίφατον	Acharnæ autem *secundum* priscam famam
Εὐάνορες. Ὅσσα δ' ἀμφ' ἀέθλοις Τιμο-	Strenuæ *sunt*. Quoties vero in certaminibus
δημίδαι ἐξοχώτα-	Timodemidæ excellentissi-
τοι προλέγονται;	mi primi-recensentur?

PARAPHRASIS.

Orionis sidus Pleiadas perpetuo sequi, nec ab iis unquam declinare: sic & verisimile est Timodemum à patrum virtute non deflexurum, sed eam diligenter sectaturum. Quinetiam decori erit Insulæ Salamini ubi est educatus, quanquam Athenis natus: ita ut virum fortem & bellicosum educare posse dicatur Salamis. Quod apud Trojam in Ajace Telamonio expertus est Hector, singulari certamine cum ipso congressus. Quodque in te nunc est comprobatum, quum laudibus auctus es ob fortitudinem, cujus specimen edidisti pancratio, teque animosum, & laborum tolerantem esse ostendisti. Acharnas autem Atticæ vicum, unde sunt tui majores, quod jam inde ab initio fortes viros habuerunt, ut fama est, illaudatas non præteribo. O quoties Timodemidæ majores tui, excellentissimi viri, in certaminibus priores ac præstantiores aliis fuisse feruntur!

NOTÆ.

17 Πελειάδων] Id est, Columbarum. Nomen eis impositum à filiabus septem Atlantis. Has aliquando Oriona Tanagræ in Bœotia principem, quum Atlas Cæli contemplationi intentus esset, amore correptum insecutum fuisse ferunt, eas tamen in Columbas mutatas evasisse. Pauf. in Bœot. Quam ob causam & hic πελειάδες appellantur, ut Athen. l. 11. qui & hab. ὀρείαν Schol. notat, Craten leg. θερειᾶν, id est, Æstivarum, æstatis initium afferentium; juxta Hesiodum, qui initio secundi Operum, messis tempus hoc signo indicat, Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων Ἄρχεσθ' ἀμήτου. Quæ lectio proba est quoad metrum, licet contrarium affirmet Schol. & illud Τρήρωσι Πελειάσιν ὤπασε τιμὴν Αἳ δήτοι θέρεος καὶ χείματος ἄγγελοι εἰσίν. 18 In Προλεγομένοις Nemeorum Scholiastæ legitur, Μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι. In H. Steph. Thesauro, in voce ὄρειος, ita citatur hic locus, ὀρείας (vel ὀρειᾶν) πελειάδων μὴ τηλόθι Ὠαρίωνα νεῖσθαι (vel κεῖσθαι.) 21 Μὰν Commune hab. Impressi. 23 Σὲ δ'] MS. γ. σὰ ἀλκὰ παγκρατίου. 25 Παλαίφατοι leg. Schol. Jam olim sic dictæ aut habitæ. Nos κατὰ τὸ παλαίφατον, Juxta dictum quod ab antiquis in hæc nostra tempora devenit. 26 Εὐάνορες] Fortium genitrices; vel, ut εὔανδροι, Fortibus & bonis viris abundantes. Ὅσσα pro καθ' ὅσα. Lon & Phil. accipiunt nominaliter, & ita ordinant, Ἀχάρναι προλέγονται (quod Active redd. Enarrant) ὅσσα Τιμοδημίδαι, supple, ἐπράξαν. Τιμοδημίδαι] Patronymica forma Posteros notans. Hic vero quivis Timodemi familiæ, & præcipue majores ejus notantur ut & P. 5, Αἰγεΐδαι pro majoribus Ægei usurpantur, & Ἐμμενίδαι P. 6. pro posteris & majoribus Emmenidis. Quod non intelligens Schol. peculiarem φρατρίαν Timodemidarum Athenis fingit. Aretius simili sensu Timodemum quendam ante hunc olim vixisse fingit, cui hic cognominis sit; sed sine autoritate. Hæc Schmid. Quæ exscripsimus, quia verum judicium de pluribus apud Schol. continere videntur. Quod vero ad Aretium attinet, is sane Scholia tantum vertit, neque erat arguendus.

[Καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι.] Ζητεῖται διὰ τί δή ποτε περὶ Σαλαμῖνα εἰς τοὺς περὶ Τιμόδημον λόγους προσθήκεται, οὐ γὰρ δήπου Σαλαμίνιος ἦν. ἄντικρυς γὰρ αὐτὸν Ἀχαρνέα φησὶ τὸν δῆμον. Ἀρίσταρχος μὲν οὖν, τῆς Αἰαντίδος φυλῆς εἶναι, οὐκ ὀρθῶς δέ, φησιν. οἱ γὰρ Ἀχαρνεῖς, τῆς Οἰνηΐδος φυλῆς εἰσίν. οἱ δὲ περὶ Ἀσκληπιάδην φασὶν ὅτι, εἰκὸς ἐστὶν αὐτὸν εἶναι, τὴν τὴν Σαλαμῖνα κατακληρουχησάντων Ἀθηναίων. εἰκὸς οὖν αὐτὸν γεννηθέντα Ἀθήνησι, τεθράφθαι ἐν Σαλαμῖνι. Δίδυμος δέ φησιν, ὅτι ἴσως ἄμεινον λέγειν, ὅτι εἰς Αἴαντα ἀνέφερε τὸ γένος, ὥσπερ καὶ Μιλτιάδης, καὶ Κίμων, καὶ Ἀλκιβιάδης, καὶ Θουκυδίδης ὁ συγγραφεὺς ὁ Ὀλόρου. ἴσως, ὅτι διὰ τιμῆς ἦγον οἱ Ἀθηναῖοι τὸν Αἴαντα. ὡς μὴ μόνον Αἰαντίδα φυλὴν ἀποδεῖξαι, ἀλλὰ καὶ κλίνην αὐτῷ μετὰ πανοπλίας κατακοσμεῖν. λέγοντι τε ἔχειν παγκρατιαστὴν ὄντα τὸν Τιμόδημον, τῷ μαχιμωτάτῳ τῶν Ἑλλήνων καὶ ἀνδρειοτάτῳ παραβεβλῆσθαι. θρέψαι οὖν ἡ Σαλαμὶς ἱκανή ἐστιν ἄνδρα μαχητήν. τίς ἀπόδειξις; ἡ ἐπιφερομένη. [Ἐν Τροίᾳ μὲν Ἕκτωρ Αἴαντος ἄκουσε.] τούτῳ γὰρ μονομαχήσας, ἐλείφθη. [Αἴαντος ἄκουσεν.] ᾔσθετο τῇ πείρᾳ, ὅτι ἡ Σαλαμὶς φέρει ἄνδρας ἀγαθούς. ὡς καὶ Ὅμηρος. Τοὶ δὲ πληγῆς ἀΐοντες, ἀντὶ τοῦ αἰσθόμενοι. ἔοικε δὲ ὁ Πίνδαρος τὸ παρ' Αἴαντος ἐνθὲν πρὸς Ἕλληνας, ὑποτεινομένου εἰρῆσθαι πρὸς Ἕκτορα. φησὶ γάρ· † Ἐπεὶ, οὐδέ μὲν οἶδα γ' οὕτως ἔλπομαι ἐν Σαλαμῖνι γενέσθαι, τετραφέμεν τε. εἰ μὴ ἄρα τις τῇ πείρᾳ μεμαθηκέναι ὑποσημαίνεται τὸν Ἕκτορα, ὡς ἐπιτηδείως ἡ Σαλαμὶς ἔχει, πρὸς τὴν τῶν ἡρώων γένεσιν. ὁ δὲ νοῦς. τούτου γοῦν τοῦ τὴν Σαλαμῖνα φέρειν ἀνδρείους, τὴν πεῖραν ἔσχεν ὁ Ἕκτωρ ἐν τῇ Ἰλίῳ, τῇ πείρᾳ τοῦ Αἴαντος. [Ἀχάρναι δὲ παλαίφατοι.] φανερὸν ἐκ τούτου, ὅτι Ἀχαρνεὺς τὸν δῆμον ὁ νικηφόρος. καὶ σὺ οὖν Ἀχαρνεὺς τυγχάνων, ἀγαθὸς ἀνὴρ πέφυκας. ἢ οὕτως. καὶ αἱ Ἀχαρναὶ ὅθεν ὑπάρχεις, ἀπ' ἀρχῆς ὡς εὔανδροι ὑμνοῦνται. Ἀχαρναὶ δὲ δῆμος τῆς Ἀττικῆς, ὅθεν ἦν ὁ Τιμόδημος. Παλαίφατοι δέ, ἀντὶ τοῦ ἐξ ἀρχῆς λεγόμεναι. [Ὅσσα δ' ἀμφ' ἀέθλοις Τιμοδημίδαι.] τὸ ὅσσα, θαυμαστικῶς ἀντὶ τοῦ πάνυ. πλειστάκις ἐν τοῖς ἄθλοις οἱ πρόγονοί σου προεκρίθησαν. Τιμοδημίδαι γὰρ φρατρία ὅθεν οἱ πρόγονοι τοῦ Τιμοδήμου. τὸ δὲ προλέγονται, ἀντὶ τοῦ προκρίνονται. Ὅμηρος. Οἱ μὲν Ἀθηναίων προλελεγμένοι. ἢ οὕτως. ἐν τοῖς περὶ τούτου χρόνοις λέγονται.

† Ed. Brub. recte legit, Ἐπεὶ οὐδ' ἐμὲ νήϊδα γ' οὕτως κ. λ.

[Παρὰ

Τὰ μὲν ὑψιμέδοντι Παρνα-
σῷ, τέσσαρας ἐξ ἀέθλων νί-
κας ἐκόμιξαν·
Ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν,

Quoad *gesta* quidē *apud* alte-regnantē Parnas-
sum, quatuor ex certaminibus vi-
ctorias reportarunt:
At Corinthiis à viris,

ὀγδόας ε'.

ΜΕΤΑΓΗ.

Ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς,
Ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη· ἑπτὰ
Δ' ἐν Νεμέᾳ· τὰ δ' οἴκοι,
Μάσσον' ἀριθμῷ,
Διὸς ἀγῶνι. Τὸν, ὦ πολῖται,
Κωμάξατε, Τιμοδήμου σὺν
Εὐκλέϊ νόστῳ·
Ἁδυμελεῖ δ' ἐξάρχετε φωνᾷ.

In boni Pelopis recessibus,
Octo coronis ornati-sunt jam: septem
Autem in Nemea: Quoad vero domi *parta*,
Majora *sunt* numero,
In Jovis certamine. Quem, ô cives,
Laudate, Timodemi cum
Glorioso reditu:
Suavisonaque auspicamini voce.

PARAPHRASIS.

cum in Pythiis, quæ prope Parnassum Phocidis excelsum montem celebrantur, ubi quatuor victorias consequuti sunt: tum in Isthmiis, quæ in Peloponnesiaco Isthmo agitantur, ubi victores proclamati Corinthiis à viris jam octo coronis ornati sunt: necnon in Nemeis, ob quæ septies coronati rediverunt. Præterquam quod in patria, ubi minora celebrantur Olympia, in Jovis honorem, toties vicerunt, ut has victorias numerare nemo possit. Cæterum hunc, nempe Jovem, ô cives hymno choreali celebrate, una cum Timodemi glorioso ob victoriam reditu in patriam, & choreas à suavi vocis cantu auspicamini.

NOTÆ.

29 Παρὰ μὲν leg. Edd. Reposuimus ex MS. τὰ μὲν, cui respondet τὰ δ' postea. 32 Ὑπὸ Schol. poni censet pro παρά. Apud Corinthios; sed non sine causa Poëta usurpavit ὑπὸ à Corinthiis, tanquam judicibus. 33 Ἐσλοῦ Πέλοπος πτυχαῖς] Schol. In Peloponneso; Lon. & Aret. in Olympiis, ubi judices aliquando Corinthii fuerunt. Quod cum auctoritate careat, de Isthmicis victoriis cum Schmidio interpretamur. Πέλοπος πτυχαῖς, ubi Peloponnesus complicatur & coarctatur, nimirum Isthmo Corinthiaco. Supra etiam Poëta dixit, necesse esse, ut Timodemus, patrum vestigia sequens reportata Nemeæa victoria, frequenter etiam Pythia & Isthmia vincat. Vide *v.* 6. Πέλοπα ἐσλὸν vocat, cum alias propter probitatem, quam Ol 1. celebrat; tum propter Olympica certamina restituta, quæ in commune totius Græciæ bonum cesserunt, ut vult Schmid. Licet enim alias Pelopis probitas non fuerit admodum excellens, & vel promissum Myrtilo datum, vel fides illi non tantum non præstita, sed & in dolum pessimum conversa, contrarium evincere possit; unde & per aliquot generationes tot tamque atroces calamitates in posteritate Pelopis grassatæ fuerunt, quas Historiæ abunde suppeditant. Hæc ille. Unde patet sane conjecturam illius priorem minus validam esse. Verum & ἐσλὸς vocatur, ob Peritiam rei equestris, quamobrem amari à Neptuno dicitur. Ol. 1. 36 Μάσσον hab. Brub. & Rom. & MS. γ. Idque forsan rectius. Ἀριθμοῦ Commune hab. MS. γ. Est enim ἀριθμῷ Gen. Dor. cui τὸ ι non est Subscribendum, licet plures Edd. tanquam Dativo subscribant. Schmid. igitur vertit, Plures sunt numero. 38 Τιμοδήμω Dor. pro Τιμοδήμου. In Dativo tamen accipiunt Lon. & Phil. Schol. secuti. Τὸ ι Dorice omissum eos ita sentire persuasit. 39 Εὐκλεῖ MS. 40 Ἐξάρχετε] De novo scil. repetendo totum hoc εἶδος, Ὅθεν περ κ. λ. Schmid. In honorem ejus hanc odam canite. Esse ἐξάρχειν verbum Musicum probat Athenæus l. 4, ex Hesiodo, Archilocho, Stesichoro, & nostro Poëta, sicut & Latini *Incipere* utuntur, Virg. *Incipe Mænalios mecum mea tibia versus.*

Παρὰ μὲν ὑψιμέδοντι Παρνασῷ,] Παρνασὸς, ὄρος τῆς Φωκίδος τῇ Πυθοῖ. Ὑψιμέδοντι δὲ, καταχρηστικῶς ἀντὶ τοῦ ὑψηλῷ. φησὶ δὲ, ὡς τῶν προγόνων αὐτοῦ τέσσαρας νίκας Πυθικὰς εἰληφότων. [Ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν.] ὁ ἀλλὰ σύνδεσμος, ἀντὶ τοῦ δέ. καὶ ἡ ὑπὸ, ἀντὶ τῆς παρά. ἵν' ᾖ, παρὰ δὲ Κορινθίων, ἐν ταῖς πτυχαῖς τοῦ Πέλοπος, τουτέστιν, ἐν Πελοποννήσῳ, ἔλαβον ὀκτὼ νίκας. ἐπεὶ Κορίνθιοι τότε ἐτίθεσαν τὸν ἀγῶνα. ἑπτὰ δὲ στεφάνους ἐν τῇ Νεμέᾳ φησὶν ἔλαβον, ἤτοι οἱ Ἀχάρναι, ἢ οἱ Τιμοδημίδαι. [Τὰ δ' οἴκοι μάσσον' ἀριθμῷ.] τὰ δὲ οἴκοι ἐν ταῖς Ἀθήναις, μείζονά ἐστιν ἢ ἀριθμεῖσθαι. οἷον, † ὑπερβαίνειν πάντα ἀριθμὸν, ἃ ἐνίκησαν οἴκοι. τίθεται δὲ ἐν Ἀθήναις Διὸς ἀγὼν, τουτέστι τὰ Ὀλύμπια. [Τὸν, ὦ πολῖται κωμάξατε.] ἢ τὸν ἀγῶνα τῶν Ὀλυμπίων. ἢ τὸν Δία, ᾧ ἀνατίθεται ὁ ἀγὼν, σὺν τῷ Τιμοδήμῳ κωμάσατε καὶ μετὰ κωμασίας ὑμνήσατε, εὐκλεῶς παραπέμποντες, διὰ τῶν ἡδυτάτων ὕμνων. ἢ οὕτω. σὺν τῇ ἀπονοστήσει, ἀπὸ τῆς Νεμέας κωμάσατε. ἀπὸ τοῦ κώμου, τὸ ἐγκώμιον νοητέον. τουτέστιν, ὑμνήσατε.

† Ed. Brub. leg. ὑπερβαίνει.

Τέλος τῆς δευτέρας τῶν Νεμέων εἰδοῦς.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΤΟΥ ΑΥΤΟΥ ΕΙΔΟΥΣ.

ΤΗΣ τρίτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ιγ'. Τὸ α', Ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ β', ἐπιχοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ γ', ἰθυφαλλικόν. Τὸ δ', τροχαϊκὸν τρίμετρον ἀκατάληκτον. Τὸ ε', τὸ αὐτό. Τὸ ς', ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ζ', ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η', ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ', τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ι', ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ια', Σαπφικὸν ἑνδεκασύλλαβον. Τὸ ιβ', ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ιγ', τροχαϊκὸν δίμετρον, ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς, κώλων η'. Τὸ α', χοριαμβικὸν τετράμετρον ὑπερκατάληκτον. Τὸ β', ἰαμβικὸν πεντασύλλαβον, καὶ ἴωνος τοῦ ἀπὸ διαφόρου ἀρχῆς. εἶτα πάλιν ἴωνος τοῦ ἀπεμφαίνοντος, διὰ τὴν λύσιν καὶ συλλαβήν. δύναται καὶ ὅλον ὡς ἰαμβικόν. παρακεχαραγμένον μέντοι, διὰ τὸν τελευταῖον πόδα. Τὸ γ', δίμετρον χοριαμβικὸν καταληκτικόν. Τὸ δ', δοκεῖ ἀντισπαστικὸν εἶναι. Τὸ ε', χοριαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ς', ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. Τὸ ζ', ἰωνικὸν μονόμετρον καταληκτικὸν δύο συλλαβῶν. Τὸ η', δακτυλικὸν τετράμετρον, παρὰ τὴν ἐν ἀρχαῖς συλλαβήν.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

[Ἀριστοκλεῖ Αἰγινήτῃ.] Αἴγινα μία νῆσος τῶν Σποράδων. ἀντικρὺ κειμένη τῆς Ἀττικῆς, ἄποικος τῶν Ἀργείων. ἔοικε δὲ βραδύτερον ἀποδιδοὺς τὸ ἐπινίκιον, σπεύδειν γράφειν. ἴσως καὶ τῆς πανηγύρεως κατεπειγούσης.

Ratio vero metrica ita ſe habet:

στροφὴ & ἀντιστροφή.

1. - - ∪ ∪   - ∪ - ∪
2. - ∪ ∪ -   - ∪ ∪
3. - ∪ - ∪   - ∪
4. ∪ ∪ ∪ -   ∪ - ∪ ∪   ∪ -
5. ∪ ∪ ∪ -   ∪ ∪ - ∪   - ∪
6. ∪ ∪ ∪ ∪   - ∪ - ∪   - - ∪ ∪
7. ∪ ∪ - ∪   - - ∪ ∪
8. - - ∪ -   ∪ - ∪
9. ∪ ∪ ∪ -   ∪ ∪ ∪
10. - - ∪ -   ∪ - ∪ ∪   - -
11. - ∪ - ∪   - ∪ ∪ -   ∪ - ∪
12. ∪ - ∪ ∪   - ∪ ∪ -   ∪
13. - ∪ - ∪   - ∪ - ∪

ἐπῳδός.

1. - ∪ ∪ -   ∪ - ∪
2. ∪ - ∪ -   ∪ - ∪
3. ∪ ∪ ∪ ∪   - ∪ ∪
4. ∪ ∪ ∪ ∪   - ∪ ∪ -
5. ∪ - ∪ -   - ∪ -
6. - ∪ - ∪   ∪
7. - - ∪ -   ∪ ∪ - -
8. - ∪ ∪ -   ∪ - ∪ -   ∪ ∪ -
9. - ∪ - ∪   ∪ - - ∪   ∪ ∪ ∪ -
10. ∪ ∪ -   ∪ ∪ -   ∪ ∪
11. ∪ ∪ - ∪   ∪ - ∪ -   - ∪ -

MS. noſtrum Aldinam diſtributionem fere exhibet.

ΑΡΙΣΤΟΚΛΕΙΔΗ ΑΙΓΙΝΗΤΗ, ΠΑΓΚΡΑΤΙΑΣΤΗ.

ΕΙΔΟΣ Γ'.

ARISTOCLIDÆ ÆGINETÆ, PANCRATIASTÆ.

ODE III.

ARGUMENTUM.

Laudat Aristoclidem à Patria, à Pancratii victoria, ab Æginæ insignibus Heroïbus, ejus majoribus Pelio, Telamone, Achille; à mansuetudine; deinde concludit de se suisque carminibus loquens eaque longe aliis præferens.

στροφὴ α'. κώλων ιγ'.

Ω Πότνια Μοῖσα, μᾶτερ
Αμετέρα, λίσσομαι,
Ταν πολυξέναν ἐν
Ιερομηνία Νεμεάδι,
Ικεο Δωρίδα νᾶσον Αἴγι-
ναν. Υδατι γὰρ μένοντ' ἐπ' Ασωπίῳ
Μελιγαρύων τέκτονες

METAPH.

O Veneranda Musa, mater
Nostra, supplex-oro,
Ad hospitalem in
Solennitate-mensis Nemeade,
Venias Doricam insulam Ægi-
nam. Aquâ enim exspectant apud Asopiam
Mellisonorum artifices

PARAPHRASIS.

O veneranda Musa mater nostra, tibi supplico ut in Æginam insulam, Doriensium coloniam, & hospitalitate gaudentem te conferas hoc sacro mense, qui totus est festus, & quo durante Nemea celebrantur. Nam poëtæ juvenes qui pangendis mellisonis hymnis incumbunt, tuam vocem & inspirationem perquirentes, prope fluvium Asopum Æginæ patrem expectant.

NOTÆ.

1 Πότνια μᾶτερ Μοῖσα leg. MS. 6 Υδατι γὰρ] Aretius totum hunc locum de Poëtis in Ægina aliisque extra Æginam, & Simonide & Bacchylide, interpretatur, qui omnes in carmine laudem quærebant, quos tamen Pindarus infra garrulis graculis comparat. Æginæ itaque Asopum intelligi vult, ubi victor erat, & quo Poëtarum futurus erat concursus, vel saltem mittenda eorum carmina. Ασωπίῳ, γ.

[Ω πότνια μοῖσα, μᾶτερ ἀμετέρα.] μητέρα ἑαυτοῦ εἶπε τὴν μοῦσαν ὁ Πίνδαρος, ὡς ἂν ἐπιπνεόμενος ἐκ τῶν μουσῶν. Εκ γάρ τοι μουσάων καὶ ἑκηβόλου Απόλλωνος, Ανδρες ἀοιδοὶ ἔασιν. ἀντὶ τοῦ, τροφόν. διὰ τὸ ἀποζῆν αὐτὸν ἐξ ὧν ἔγραφεν ἐπινίκων. ἄμεινον δὲ ὅτι προσοικειοῦται ἦν αὐτῷ ἡ μοῦσα, ὥσπερ Οδυσσεῖ ἡ Αθηνᾶ. Μήτηρ ὡς Οδυσῆι παρίστατο, ἠδ' ἐπαρήγει. Εζήτηται δὲ, πῶς ἐπικαλεῖται τὴν μοῦσαν ἐλθεῖν εἰς τὴν Αἴγιναν ὑπὲρ τοῦ τὸν ὕμνον συνθεῖναι. καὶ ἅμα τοὺς νεανίσκους φησὶ μένειν, δι' οὓς αὐτὴν ἐπικαλεῖται, οὐκ ἐν Αἰγίνῃ, ἀλλ' ἐν Νεμέᾳ. ὁ γὰρ Ασωπὸς, οὐκ ἐν Αἰγίνῃ, ἀλλὰ περὶ Φλιοῦντα ἐστὶ καὶ Νεμέα. ὁ μὲν οὖν Αρίσταρχός φησιν, ἤτοι τὸν χορὸν ὑπὸ τῆς νίκης τὸ ἱερὸν, αὐτοσχέδιον τινὰ ἐπινίκιον ᾆσαι, ἢ τὸ Αρχιλόχου καλλίνικον, οὗ καὶ τὸν Πίνδαρον μνημονεύειν διὰ τούτων· Τὸ μὲν Αρχιλόχου μέλος φωνᾶεν, καὶ τὰ ἑξῆς. μεταβάντος οὖν τοῦ χοροῦ εἰς τὴν Αἴγιναν, καὶ μέλλοντος ᾄσειν, τὸ ὑπὸ τοῦ Πινδάρου πεποιημένον, εἰκότως φάναι, ὕδατι γὰρ μένοντ' ἐπ' Ασωπίῳ μελιγαρύων τέκτονες κώμων νεανίαι. ὡς δὲ ὁ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν. οἱ γὰρ ἐπὶ τῷ Ασωπῷ τὸν αὐτοσχέδιον ὕμνον τεχνησάμενοι χοροὶ, ἀναμένουσί σε ἐν τῇ Αἰγίνῃ, ᾀσόμενοι τὸν ὑπὸ Πινδάρου ποιηθέντα ἐπινίκιον. ὁ δὲ Δίδυμος, διηπατῆσθαί φησι τοὺς ὑπομνηματισαμένους τῇ ὁμωνυμίᾳ τῶν ποταμῶν. οἱ γὰρ Ασωποὶ, πλείους. ὧν ἕνα φασὶν εἶναι καὶ τὸν ἐν Αἰγίνῃ. ὁ δὲ Καλλίστρατος, Ασωπίδα ἐν Αἰγίνῃ. δύναται δὲ καὶ ἐπὶ τοῦ ἐν Βοιωτίᾳ ποταμοῦ Ασωποῦ ἀκούεσθαι, ὡς τῶν ἐξ Αἰγίνης χορευτῶν, τῷ Πινδάρῳ προσλιπαρούντων, ἕνεκα τοῦ γράφειν Αριστοκλεῖ τὸν ἐπινίκιον. Ιερομηνίᾳ δέ φησι Νεμεάδι, τουτέστι, τῇ τῶν ἐπινίκων εὐωχίᾳ. ἱερομηνίαν δὲ λέγουσι κατὰ συντμησιν, τὴν ἱερονουμηνίαν. αἱ γὰρ τῶν μηνῶν ἀρχαὶ, ἱεραί εἰσι τοῦ Απόλλωνος, καθὸ ὁ αὐτὸς δοκεῖ εἶναι τῷ ἡλίῳ. ἐν ἱερονουμηνίᾳ ἐλθεῖν Νεμεάδι, ἐν ᾗ μέλλομεν ἡμέρᾳ, τὸν εἰς τὴν Νεμεακὴν νίκην ὕμνον γράφειν. οἱ δὲ, ἱερομηνίαν καθόλου λέγουσι κεκλῆσθαι, ἐν ᾧ τὰ Νέμεα ἄγεται. ἱερομηνίαι δὲ λέγονται, αἱ ἐν τῷ μηνὶ ἱεραὶ ἡμέραι, οἷαι δή ποτε θεοῖς ἀνειμέναι, τὸν οὖν Δημητριῶνα μῆνά φησι Φιλόχορος ὅλον ψηφίσασθαι τοὺς Αθηναίους, ἱερομηνίαν λέγεσθαι. οἷον, ὅλον ἑορτὴν, ἱερομηνίαν. φησὶν ἐν τούτοις ἁπάντων ἡμῶν ἀγόντων ἱερομηνίαν. ἔοικε δὲ ὁ Πίνδαρος νῦν ἱερομηνίαν λέγειν, τὴν τῶν ἐπινίκων ἑορτήν. οὐ γάρ ἐστι δημοτελής. ὁ δὲ νοῦς. ἱκετεύω σε ὦ ἐντιμοτάτη μοῦσα ἡμετέρα μῆτερ, παραγενοῦ μοι εἰς τὴν πολύξενον νῆσον τὴν τῶν Δωριέων τῶν Αργείων ἄποικον. ἐν τῇ δὲ τῇ ἱερονουμηνίᾳ τοῦ Νεμεάδος ἧκεν εἰς τὴν Αἴγιναν. ἐπὶ γὰρ τῶν ὑδάτων τοῦ Ασωποῦ ποταμοῦ, τουτέστιν ἐν ταῖς Θήβαις, προσμένουσιν ἡμᾶς οἱ νεανίαι, οἱ τῶν ἡδυτάτων ὕμνων τέκτονες καὶ χορευταὶ τὴν σὴν φωνὴν ὦ μοῦσα ἐπιζητοῦντες.

[Διψῇ

Κώμων νεανίαι, σέθεν ὄπα μαιόμενοι.
Διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου.
Αεθλονικία δὲ μάλιστ' ἀοιδὰν
Φιλεῖ, στεφάνων ἀρετᾶν τε
Δεξιωτάταν ὀπαδόν.

Hymnorum Juvenes, tuam vocem perquirentes.
Desiderat autem res alia quidem aliud.
Certaminum-victoria vero maxime cantum
Amat, coronarum virtutumque
Dexterrimum comitem.

ἀντιστροφὴ α'. κώλων ιγ'.

Μεταφρ.

Τᾶς ἀφθονίαν ὄπαζε,
Μήτιος ἀμᾶς ἄπο·
Αρχε δ' οὐρανῶ πολυνεφέλα κρέοντι, θύγατερ,
Δόκιμον ὕμνον. Εγὼ δ' ἐκείνων
Τέ μιν ὀάροις λύρᾳ τε κοινώσομαι.
Χαρίεντα δ' ἕξει πόνον

Cujus copiam *mihi* præbe,
Solertia ex mea:
Ordireque cœli multinubis regi, *tu quæ ejus es* filia,
Acceptum hymnum. Ego vero illorum
Ipsum vocibusque lyræque communicabo.
Gratum vero habebit laborem *hunc meum*

PARAPHRASIS.

Sane variorum laborum varium est præmium: alius pecunias & munera, alius laudem pro mercede laboris exoptat. Sed illustris certaminum victoria carminibus potissimum gaudet, & poëtico encomio decorari amat: quo certe nullus est coronarum pro virtute acceptarum aptior comes: quandoquidem etsi quidvis aliud magni pretii pro virtutis præmio acceperis: tamen si chartæ sileant, quod bene feceris, mercedem non tuleris. Proinde ô Musa Jovis, qui cœli nubibus referti rex est, filia, copiam argumentorum mihi suggere, quibus hymnum encomiasticum componam, quem ipsa probet & accipiat. Ego vero juvenibus illis poëtis & cantoribus, voce & lyra canendum postea communicabo. Tum elaborato à me carmine suaviter fruetur Ægina insula,

NOTÆ.

8 MS. refert σέθεν ad νεανίαι, puncto post hoc distinguens. 10 Διψῇ] Alia aliis rebus conveniunt. Lon. & Phil. de personis interpretantur: Ille, Alius ad aliam rem propensus est: Hic, Alius aliud negotium expetit. Eodem modo Paraphr. 11 Αεθλονικία MS. Αεθλονικίας leg. Rom. Brub. & Crat. quas secuti reddiderunt Lon. & Phil. Victor, Qui victor evasit. Schol. legisse videtur, ἀεθλονικία, quum interpretetur, ἡ ἐκ φιλονεικίας νίκη. 12 Στεφάνων κ.λ.] *Vera laus*, ut Cic. in oratore ait, *uni virtuti debetur*. Argumentatur autem hic ex *Natura affectu, quo omnes trahimur laudis studio, & optimus quisque maxime Gloria ducitur*, Ut Idem pro Archia loquitur. Aret. Αρετάν τι leg. MS. 15 Μήτιος] Lon. hic novam periodum incipit. & refert hæc verba ad ἄρχε, Meo consilio ordina Phil. Incipe in mente mea. Illud vero perperam fieri (Schmid.) etiam τὸ δὲ post ἄρχε positum arguit, quum hac ratione nimis ab initio removeretur: & hoc sensu rectius ita poneretur, Μήτιος ἀμᾶς δ' ἄπο ἄρχε. MS. ἀμᾶς. 16 Vide quomodo misere hunc locum torquent Intt. apud Schol. Schmidius tamen facilem & simplicem exhibet Syntaxin ἄρχε δ' ὕμνον δόκιμον [εὐάρεστον] οὐρανῷ πολυνεφέλα κρέοντι, θύγατερ [αὐτοῦ οὖσα.] Ita nec ἀντίπτωσιν τοῦ κρέοντι pro κρέοντος, nec Musam Οὐρανοῦ θυγατέρα, nec Fœmininum κρεοντὶς (cujus Vocativum κρέοντι vult esse Scholiastes, dum interpretetur, ὦ βασίλεια, θύγατερ Οὐρανοῦ) fingere necesse habemus. Οὐρανία in MS. 17 MS. θύγατερ non distinguit puncto, qua ratione vide Schol. & Not. supra.

[Διψῇ δὲ πρᾶγος, ἄλλο μὲν ἄλλου.] διψῇ δὲ καὶ ἐπιθυμεῖ ἄλλο μὲν ἄλλου πράγματος. ἡ δὲ ἐκ φιλονεικίας νίκη ἡ ἀεθλονικία, μάλιστα φιλεῖ τοὺς ἐπαίνους καὶ τοὺς ὕμνους. τῶν γὰρ στεφάνων καὶ ἀρετῶν, ἐπιδέξιος καὶ καλλίστη ὀπαδὸς ἡ ᾠδή. ἡ γὰρ ᾠδὴ καὶ τὸ ἐγκώμιόν φησιν, ἕπεται ταῖς ἀρεταῖς καὶ τοῖς στεφάνοις τοῖς τῶν νικηφόρων. [Τᾶς ἀφθονίαν ὄπαζε.] ταύτης οὖν τῆς ᾠδῆς, ὦ Μοῦσα, ἀφθονίαν δίδου ἀπὸ τῆς ἐμῆς διανοίας. [Αρχε δ' οὐρανῶ.] Αἰολικῶς, ἀντὶ τοῦ οὐρανοῦ. καὶ ὁ μὲν Αρίσταρχος, οὐρανοῦ θυγατέρα τὴν Μοῦσαν δέδεκται, καθάπερ Μίμνερμος καὶ Αλκμὰν ἱστοροῦσιν. ὁ δὲ Αμμώνιος προστίθησιν, ὅτι διὰ τοῦτο Κρέοντα κέκληκε τὸν οὐρανὸν, ὅτι πρὶν Κρόνον βασιλεῦσαι, οὗτος ἐβασίλευσεν. ἤλλακται δὲ ἡ πτῶσις, ἀντὶ τοῦ, πολυνεφέλου οὐρανοῦ θυγατέρα. βέλτιον δέ φησιν ὁ Πίνδαρος ἀκούειν τὸ ὅλον οὕτως. τοῦ πολυνεφέλου κρέοντος Οὐρανοῦ, θύγατερ τοῦ Διός. κρέων γὰρ Οὐρανοῦ ὁ Ζεύς. Διὸς δὲ, Μοῦσαι. ὁ δὲ νοῦς, κάταρχε δὲ αὐτῇ ὦ Μοῦσά μοι καὶ πάρεχε δόκιμον καὶ κάλλιστον, ὦ τοῦ πολυνεφέλου Οὐρανοῦ βασίλεια θύγατερ. [Εγὼ δ' ἐκείνων τέ μιν ὀάροις.] ἐκ τῶν νεανίσκων φησὶ τῶν μελπόντων παρ' ἐμοὶ, τὸν ὕμνον κοινῶς ᾄσομαι. μετ' ᾠδῆς γὰρ καὶ λύρας ἀπηγγέλλοντο οἱ ἐπίνικοι. ὁ δὲ νοῦς, ἐγὼ δὲ ταῖς ἐκείνων τῶν χορευτῶν φωναῖς καὶ τῇ λύρᾳ, κοινῶς τὸν ὕμνον ᾄσομαι. [Χαρίεντα δ' ἕξει πόνον.] ἀμφίβολον. πότερον ἡ Αἴγινα τὸν ὕμνον ἕξει, τῆς χώρας αὐτῆς ὄντα ἄγαλμα· ἢ τὸν πόνον ἕξει, τουτέστι τὸν ὕμνον. χαρίεντα δὲ, ἀντὶ τοῦ ἐπιχαρεῖν. ἢ οὕτως· ἡ Αἴγινα ἥτις ἐστὶ χώρας ἄγαλμα, ἕξει μοι τὸν ὕμνον ἐπιχάριτι. [Αλλως.] Τὸν δὲ χαρίεντα πόνον τοῦ παγκρατίου διὰ τῶν ὕμνων ἕξει μνημονευόμενον ἡ Αἴγινα, ἡ ἐστὶ ἄγαλμα τῆς περὶ αὐτὴν πάσης χώρας. ἢ, χαρίεντα πόνον τὸν ὕμνον ἕξει ἡ Αἴγινα, ἡ οὖσα τῆς περὶ αὐτὴν χώρας ἄγαλμα.

Μυρμιδόνες

Χώρας ἄγαλμα· Μυρμιδόνες ἵνα πρότεροι	Insulæ decus *Aristoclides*: Myrmidones ubi prisci
Ωκησαν. Ων παλαίφατον ἀγορὰν	Habitarunt. Quorum antiquitus-celebrē gentē
Ουκ ἐλεγχέεσσιν Αριστοκλείδας	Non dedecoribus Aristoclides
Τεὰν ἐμίανε κατ' αἶσαν,	Tuum contaminavit per numen,
Εν περισθενεῖ μαλαχθεὶς	In robusto enervatus
ἐπῳδὸς α'. κώλων ια'.	METAPH.
Παγκρατίου στόλῳ. Καματωδέων δὲ πλαγᾶν	Pancratii impetu. Laboriosarum autem plagarum
Ακος ὑγιηρὸν, ἐν	Remedium salubre, in
Βαθυπεδίῳ Νεμέᾳ,	Profundos-campos-habente Nemea,
Τὸ καλλίνικον φέρει.	Pulchra-victoriæ-celebratio affert.
Εἰ δὲ ὢν καλὸς,	Si vero existens formosus,
Ερδων τ' ἐοικότα μορφᾷ,	Faciensque convenientia formæ,

PARAPHRASIS.

quæ circumjacentis regionis est ornamentum, quam primi Myrmonides incoluerunt, qui nunc Æginetæ dicuntur, quorum jam olim celebratum populum ignaviæ probro non dedecoravit Aristoclides, quod in præpotenti pancratii impetu subactus succubuerit, sed decore strenuitatis amplificavit, idque tuo beneficio, quum officiose victoriam ejus decantes, unde patriæ fit laudis accessio, & decoris incrementum. Ac quanquam à valido adversario ipsum pene subigente, molestas plagas acceperit, eas tamen non sensit, adeo animum exhilaravit eximia victoria in fertili Nemea parta. Ac sane ictus quantumvis graves victoria tanquam præsentissimum remedium sanare consuevit. Quandoquidem autem etiam in rebus præclaris tenendus est modus, huic Aristophanis filio sufficere debet, quod non solum est formosus, sed & formæ suæ convenientia præstitit,

NOTÆ.

21 Αγαλμα] Καλλώπισμα, τὸ πᾶν ἐφ' ᾧ τις ἀγάλλεται, ut exponit Eustath. ad Il. Δ Ornamentum illius Insulæ, quam olim tenuerunt Myrmidones. h. e. Æginam Insulam. 25 Τεὰν] Lon. Doricum existimat pro ἑὰν, Sua pro fortuna; necnon pro σὰν agnoscit. Phil. etiam, Suo loco. Portus ad Æginam refert, Tuum ob fatum, ô Ægina. MS. connectit cum superioribus, & punctum ponit ante κατ' αἶσαν, qu. esset referendum ad sequentia. 26 Μαλαχθεὶς] Schol. exponit γυμνασθεὶς ἱκανῶς, Strenue exercitatus. Portus, Emollitus, exponens, Molliter & ignaviter certans. Non dedecoravit Patriam in præpollenti Pancratio debilitatus, fractus aut succumbens. Περισθενεῖ] Pancratium plurimum roboris requirit, mixtum scil. ex Lucta & Pugilatu. Quam ob causam in præced. Od. Poëta vocat ἀλκὰν παγκρατίου τλάθυμον. Lon. vero hoc epitheton redd. Undique contracto; forsan quia putavit, Vires in unum contractas esse fortiores. Componitur vero hæc vox ex περὶ, non ea quæ Circum significat. sed Adverbio, quod excellentiam notat, ut Præ Latinis, Præcellens, præpotens, &c. 27 Στόλῳ] Porto, Cætui, ita ut per παγκράτιον intellig. παγκρατιασταί. Sicut aliquando hæc vox Familiam vel Gregem notat, ut apud Soph. Trachin. Act. 2. Sc. 3. Vide ad P. 8. 30 Βαθυπεδίῳ] Lon. Devexa. Et potest intelligi. magnam in loco certaminum planiciem habente. Schmid. Εν γε βαθυπέδῳ. MS. 31 Τὸ καλλίνικον φέρει] Phil. de Aristoclide interpretatur, φέρει τὸ καλλίνικον, ἄκος ὑγιηρὸν πλαγᾶν, Habet [Aristoclides] victoriam, dulce remedium. 32 Εἰ δὲ] Lon. & Phil. indefinite, Siquis &c. Καλὸς] Lon. Bonus. 33 Hoc κῶλον vertit Lon. Et quæ decent honestatem, perfecerit. Verum idem commendat in Alcimedonte, Ol. 8. ἦν δ' ἐσορᾶν καλὸς, ἔργῳ τ' οὐ κατὰ εἶδος ἐλέγχων.

[Μυρμιδόνες ἵνα πρότεροι ᾤκησαν.] περὶ τῶν Μυρμιδόνων Ησίοδος μὲν οὕτω φησίν· Η δ' ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην. Αὐτὰρ ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον, Μουνος ἐὼν ἤσχαλλε, πατὴρ ἀνδρῶν τε θεῶν τε, Οσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου, Τοὺς, ἄνδρας ποίησε, βαθυζώνους τε γυναῖκας. Οἳ δή τοι πρῶτον ζεῦξαν νέας ἀμφιελίσσας. Θεογένης δὲ ἐν τῷ περὶ Αἰγίνης, οὕτω γράφει. ἄλλοι δέ τινες πιθανώτερον ἐξηγοῦνται περὶ τούτων. ὀλιγανθρωπούσης γὰρ τῆς νήσου, φασὶ τοὺς ἐνοικοῦντας αὐτὴν ἐν σπηλαίοις καταγείοις διαιτᾶσθαι, παντελῶς ἀκατασκεύους ὄντας. καὶ τοὺς μὲν γενομένους καρποὺς, εἰς ταῦτα καταφέρειν. τὴν δὲ ἐκ τούτων ὀρυττομένην γῆν, ἐπὶ τὰ γεώργια ἀναφέρειν, οὔσης ἐπιπολῆς ὑπάντρου καὶ ὑποπέτρου τῆς νήσου. μάλιστα δὲ τῶν πεδινῶν τόπων αὐτῆς. διόπερ ἀφομοιοῦντας αὐτοὺς ὡς εἶδον ταῦτα πράττοντας, τοῖς ἔξωθεν ἐρχομένοις μύρμηξι, Μυρμιδόνας κληθῆναι. μεθ' ὧν συνοικήσαντα τὸν Αἰακὸν, τοὺς ἐκ Πελοποννήσου μεθ' ἑαυτοῦ παραγινομένους. ἐξημερῶσαί τε, καὶ νόμους δοῦναι, καὶ σύνταξιν πολιτικήν. ἢ χρησαμένους αὐτοὺς, παντελῶς δοκεῖν ἐκ μυρμήκων γενέσθαι ἀνθρώπους. [Ων παλαίφατον ἀγοράν.] ὧν, τῶν Μυρμιδόνων, τὴν πάλαι περιφημισμένην, τουτέστιν ὑμνουμένην ἀγορὰν καὶ σύνοδον οὐδαμῶς ὕβρισε, καὶ ὀνειδισμοῖς ἐμίανεν Αριστοκλείδης, ἀλλὰ τοὐναντίον καὶ προσηύξησεν. ὡς καὶ Ομηρος· Επεὶ οὔ μιν ἀφαυρότατος βάλ' Αχαιῶν. ἀλλὰ ἰσχυρότατος δηλονότι. [Αλλως.] διὰ τὸ σόν φησι μέρος, ὦ Μοῦσα, ἢ ὦ Αἴγινα, ὅ ἐστι τὴν ὕμνου τυχὼν κατὰ τὴν ἑαυτοῦ μερίδα καὶ σπουδὴν, ὅσον τε ἀνῆκεν αὐτῷ. [Παγκρατίου στόλῳ.] στόλῳ μὲν τῇ στάσει. εἰσὶ δὲ οἱ τὸ παγκράτιον ἀπαρχαΐζοντες, καὶ τὸν Θησέα φασὶ τῷ μινωταύρῳ παγκρατιαστικῶς ἀγωνίσασθαι. Αριστοτέλης δὲ, Λεύκαρόν φησι τὸν Ακαρνᾶνα πρῶτον ἔντεχνον τὸ παγκράτιον ποιῆσαι. ὁ δὲ νοῦς, τῇ τοῦ παγκρατίου ὁρμῇ. τοῦτο γὰρ λέγει στόλῳ καὶ ὁρμῇ τῇ περισθενεῖ, καὶ πανταχόθεν συνεχομένῃ, μαλαχθεὶς καὶ γυμνασθεὶς ἱκανῶς. τῶν δὲ ἐπιπόνων πληγῶν καὶ τῶν ἐκ τοῦ παγκρατίου τραυμάτων τὴν κατὰ τὴν μεγάλην Νεμέαν, βοήθημα καὶ ἴαμα ὑγιεινὸν φέρειν τὴν νίκην. ταύτην γὰρ φάρμακον ἔχει τῶν πληγῶν. οἱ γὰρ νικήσαντες, οὐδὲ εἰ τραύματα ἔχουσιν αἰσθάνονται, διὰ τὸ ἥδεσθαι. [Εἰ δ' ὢν καλὸς, ἔρδων τ' ἐοικότα μορφᾷ.] εἰ δὲ τὸ εἶδος ὢν καλὸς, ἰσοῤῥόποις τοῦ εἴδους σεμνύνεται πράξεσιν, ὁ τοῦ Αριστοφάνους παῖς Αριστοκλείδης, οὐκέτι οἷόν τέ ἐστι περαιτέρω πλεῖν τὴν μὴ πλεομένην θάλασσαν. ἀλλ' ὑπὲρ τὰς Ηρα-

κλείας

Ανορέαις ὑπερτάταις ἐπέβα	Strenuitates supremas conscendit
Παῖς Αριστοφάνευς· οὐκέτι πρόσω	Filius Aristophanis : non ei jam ulterius
Αβάταν ἅλα, κιόνων	Invium mare, columnas
Υπερ Ηρακλέος, περᾶν εὐμαρές·	Ultra Herculis, trajicere facile *est*:
στροφὴ β'. κώλων ιγ'.	Μεταρη.
Ηρως Θεὸς ἃς ἔθηκεν	Heros Deus quas posuit
Ναυτιλίας ἐσχάτας	Navigationis extremæ
Μάρτυρας κλυτάς. Δά-	Testes inclytas. Do-
μασε δὲ θῆρας ἐν πελάγει	muit autem beluas in pelago
Υπερόχως. Ιδίᾳ τ' ἐρεύνα-	Ingentes. Proprioque-proposito scruta-
σε τεναγέων ῥοάς, ὅπα πόμπιμον	tus-est stagnorũ fluxus, quousq; reductorius
Κατέβαινε νόστου τέλος,	Ad-occasum-vergit reditus terminus,
Καὶ γᾶν φράδασσε. Θυμέ,	Et terram notam-fecit. Anime,
Τίνα πρὸς ἀλλοδαπὰν	Quodnam ad peregrinum

PARAPHRASIS.

quando summæ strenuitatis specimen in Pancratio edidit. Non enim ulterius in virtute progredi licet, ut neque facile est in mari ultra columnas Herculis navigare : quas heros ille inter Deos relatus, posuit ut apud posteros essent celebres testes ipsum viam ut navigaret ulterius, invenire non potuisse. Id autem fecit postquam ingentes beluas in mari domuit, ut cete apud Ilium: & suopte motu, non Eurysthei jussu, plerosque labores suscipiens, stagnorum fluxus & maris investigavit, suaque peregrinatione mortalibus ostendit, quousque in orbe terrarum progredi, ad quas metas tuto meare, unde tuto remeare daretur. Quid agis anime mi: cur à proposito scopo avocaris,

NOTÆ.

34 Post ἐπέβα distinguit Lon. vertens, Qui bonus vir extiterit : is supremas ad virtutes accessit. Sequentibus παῖς Αριστοφάνευς, novam inchoat periodum. Non facile est, Aristophanis fili, trajicere porro inaccessum columnarum Herculis fretum. 35 Οὐ δ' ἔτι Schmid. 37 Similis locus Ol. 3, ad finem; itidem Od. seq. κῶλ. 112. 40 Notat Schol. aliquos leg. κλυτᾶς, uti Ald. aliique, ut sit sensus. Extremas testes inclytæ navigationis, quem retinet Lon. Erasm. ad 24 Cent. 5. Chil. hab. ναυτιλίαις, an errato, incertum. 41 Πελάγει absque Diæresi, hab. omnes præter Plantin. 42 Υπερόχους Commune hab. Ald. & MS. γ. Nisi ὑπερόχως sit Adverbium. 43 Πόμπιμον κ. λ.] Vulg. Ubi reductorium descendit ad reditus finem. Lon. Fastuosum reditus finem. sc. pomposum, eo quod, ut notat, æternum navigationis sint μνημόσυνα, columnæ Herculis. 45 Φράδασσε] Lon. Celebrem reddidit.

κλείας στήλας τοῖς πλέουσιν. ἀρκείσθω, φησί, τούτοις τοῖς ἀγαθοῖς καὶ τῷ κάλλει, καὶ τῷ νικᾶν. καὶ μὴ ζητείτω ἔτι πλείονα ἀγαθά. ὡς γὰρ οὐ δυνατὸν ὑπερβῆναι τὰς Ηρακλέους στήλας, οὕτως οὐδὲ τὴν ἀπὸ τούτου δόξαν. [Ηρως θεὸς ἃς ἔθηκε ναυτιλίας.] ὁ Ηρακλῆς. διατί αὐτὸν ἥρωα καὶ θεὸν εἶπε; λέγεται γὰρ ὅτι τῆς Ελλάδος προσελθούσης τῷ Απόλλωνι καὶ ἐρωτώσης ὅπως δεῖ τιμᾶν τὸν Ηρακλέα μετὰ τὴν ἀποθέωσιν, εἶπεν ὁ θεός. νῦν μὲν, ὡς ἥρωα· τῇ δὲ ἐπιούσῃ, ὡς θεόν. ὁ δὲ νοῦς οὗτος. ἃς τινας στήλας ὁ ἥρως καὶ θεὸς Ηρακλῆς τῆς τελευταίας ναυτιλίας, καὶ τοῦ ἐσχάτου πλοῦ, ἔστησε περιφανέστατα σημεῖα. ὡς ἐν παρεκβάσει δὲ λέγει, ὅτι καὶ ἀνεῖλε θαλάσσια θηρία· οἷον, τὸ κῆτος. λέγεται γὰρ ὁ Ηρακλῆς, διαπλεῦσαι τὰ δυτικὰ μέρη, καὶ Λιβύην, καὶ ἔτι περαιτέρω. καὶ θεασάμενος ἄπειρον τὸ πέλαγος, ὅρους τοῦ πλοῦ, δύο κίονας ἔστησε· τὸν μὲν ἕτερον, ἐν Λιβύῃ· τὸν δὲ ἄλλον, εἰς τὸ ἕτερον κλίμα. τὸ δὲ [Μάρτυρας κλυτάς] ἀμφίβολον, πότερον τῆς ἐσχάτης μάρτυρες ναυτιλίας αἱ στῆλαι, ἢ κατὰ τὸ πληθυντικόν, τῆς ἐσχάτης μάρτυρας ἐμφανιζούσας ἔθηκεν, ὅτι μέχρις αὐτῶν δεῖ πλεῖν. ἔστι δὲ καὶ περισπᾶσαι τὸ, κλυτᾶς, ἵν' ᾖ τῆς κλυτῆς ναυτιλίας ἐσχάτας μάρτυρας τὰς στήλας ἔθηκεν. αἱ δὲ Ηράκλειαι στῆλαι, καὶ Βριάρεω λέγονται εἶναι, καθό φησι στῆλαι, τοῦ Αἰγαίωνος ἁλὸς μεδέοντι † γίγαντος. [Υπερόχως. Ιδίᾳ τ' ἐρεύνασε τεναγέων.] Διαφερόντως ἀντὶ τοῦ ὑπερέχους. ἤγουν ὑπερέχοντας καὶ μεγίστους. ἡ δὲ ἱστορία αὕτη, ὅτι τὸ κῆτος τὸ περὶ τὴν Ιλιον, καὶ τὸν Λαομέδοντα. τὸ δὲ ἰδίᾳ τ' ἐρεύνησεν ἔνιοι γράφουσι, διά τ' ἐρεύνασε. διηρεύνησέ τε ἰδίᾳ, ἀντὶ τοῦ ἐφ' ἑαυτοῦ, οὐκ ἐπιτάξαντος Εὐρυσθέως, ἀλλὰ κατὰ τὸ φιλόπονον, αὐτὸς δι' ἑαυτοῦ ἠρεύνησε. ὅθεν οὐκ ἦν δυνατὸν ἐπανελθεῖν τινάς. Καλλίμαχος· Χαῖρε βαρυσκίπων ἐπιτάκτα μὲν ἑξάκι δοιά. Εκ δ' αὐτ' ἀγρεσίης πολλάκι πολλὰ καμών. τουτέστι, τὰ πάρεθλα. τενάγη δὲ λέγονται, αἱ δίϋγροι καὶ παραποτάμιοι ὀφρύες. ἤτοι παρατελματώδεις, καὶ ὑπερέχουσα γῆ οὖσα. ἢ ἀπὸ τοῦ τέγγεσθαι, τουτέστι βρέχεσθαι. [Καὶ γᾶν φράδασσεν.] ἀντὶ τοῦ φραδιτὴν ἐποίησε καὶ δήλην, ἕως τίνος ἐστὶ πορευτὴ καὶ ἕως τίνος ἡ θάλασσα πλωτή, ἐπιστήσας τὰς στήλας αὐτός. [Θυμέ, τίνα πρὸς ἀλλοδαπάν.] ἐπιλαμβάνεται ἑαυτοῦ, ὡς περαιτέρω ἢ προσῆκεν, εἰς τοὺς περὶ Ηρακλέος ἐπαίνους τραπέντος. δέον λέγειν περὶ τῶν προγόνων τοῦ νενικηκότος Αἰακοῦ καὶ Τελαμῶνος. προσεχέστεροι γὰρ οὗτοι Ηρακλέους τοῦ ἐπαινουμένου ἕνεκεν Αριστοκλείδα. ὁ μὲν γὰρ Αἰγινήτης ἐστίν, ὥσπερ Αἰακός· ὁ δὲ Ηρακλῆς Θηβαῖος. ἀλληγορεῖ δὲ πρὸς ἄκραν ἀπευθύνειν λέγων τὸν πλοῦν, ἀπὸ τῶν κυβερνητῶν τῶν ἐχομένων ἄλλων ἀκρωτηρίων, ἀλλ' οὐ τῶν προκειμένων· δέον εὐθυπλοεῖν κατὰ λιμένας. τουτέστι, μὴ καὶ τὸν νοῦν περιφέρειν ἔξω τοῦ σκοποῦ τοὺς ἐπαίνους ἄγοντα. ἀλλ' ἐπὶ τὸν ἐπαινούμενον τρέπει. διὸ καὶ ἐποίησεν ἐντόπια τινὰ καὶ οἰκεῖα· [Αἰακῷ σε φαμὶ γένει τε Μοῖσαν φέρειν.] τὸ ποίημα δεῖ φέρειν, ὦ θυμέ, Αιακῷ σε. Αἰγινήτης γὰρ, ὅ, τε ἐπαινούμενος, καὶ Αἰακός. [Αλλως.] ἀποστρέφει τὸν λόγον πρὸς ἑαυτόν. ᾔσθετο γὰρ ἑαυτοῦ παρεκβάντος. καὶ φησί. τίνα πρὸς ἄκραν ἀλλοτρίαν ἐκπλέεις, ὦ θυμέ. ἀντὶ τοῦ, διατί τὰ Ηρακλέος νῦν διηγῇ θαύματα ἐάσας τὰ τῶν Αἰακιδῶν. λέγε μᾶλλον περὶ Αἰακοῦ, καὶ τούτου τοῦ γένους, ἢ τῶν πολέμων. καὶ ἐν τούτοις τὴν Μοῦσαν τὴν σὴν, τὸν ὕμνον, φέρε.

† Γίγαντας leg. Ed. Brub.

Ακραν ἐμὸν πλόον παραμείβῃ;	Promontorium meam navigationem deflectis?
Αἰακῷ σε φαμὶ, γενεᾷ τε Μοῖσαν	Æaco te jubeo, generique ejus Musam
Φέρειν. Επεται δὲ λόγῳ δί-	Afferre. Sequitur enim rationem justi-
κας ἄωτος, ἐσλὸς αἰνεῖν.	tiæ flos, bonos laudare.
ἀντιστροφὴ ϛ'. κῶλων ιγ'.	Μεταρη.
Οὐδ' ἀλλοτρίων ἔρωτες	Neque ex-alienis desideria
Ανδρὶ φέρειν κρέσσονες.	Cuiquam *aliquid* afferre, meliora *sunt*.
Οἴκοθεν μάτευε.	Ex-propriis investiga.
Ποτίφορον δὲ κόσμον ἔλαβες	Commodum autem ornamentum accepisti
Γλυκύ τι γαρυέμεν. Παλαιαῖ-	*Ad* dulce aliquid canendum. Nam anti-
σι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ,	quis in virtutibus gavisus-est Peleus rex,
Υπέραλλον αἰχμὰν ταμών.	Eximiam hastam quum-resecuisset.
Ος καὶ Ιωλκὸν εἷλεν,	Qui & Iolcum expugnavit,
Μόνος ἄνευ στρατιᾶς·	Solus sine exercitu:
Καὶ ποντίαν Θέτιν κατέμαρψεν	Et marinam Thetin corripuit

PARAPHRASIS.

& nunc Herculis Thebani miracula recenses? Nonne quum Æginensem virum laudas, eum ab Æacidis potius laudare convenit? Age Musam tuam ad Æacum, ejusque genus converte. Nihil utique tam justum est, tamque rationi conveniens, quam bonos fortesque viros, qualis fuit Hercules, laudibus prosequi. Sed Thebani illius herois laudes, nihil faciunt ad decus Aristoclidæ viri Æginensis. Neque enim quisquam à peregrinis, sed à suæ gentis hominibus est laudandus. Ideoque à proprio illius genere encomii argumenta deprome. Inde ad ornandum illum, & ad dulce aliquid canendum accommodam materiam accipere possis. Commemora Pelei regis virtutes hasta sibi secta præstitas, quarum ob laudem olim gaudio est perfusus, qui nimirum solus, sine exercitu Iolcum Thessaliæ oppidum cepit, quique marinam Deam Thetin, cum se in mille formas Protei instar mutaret, mortalis hominis nuptias fugiens, magno labore prehensam, in uxorem duxit.

NOTÆ.

47 Πλόον omittit MS. 48 Φημὶ Commune, MS. 50 Εσλὸς] Intt. Dor. censent pro ἐσλὺς, idem quod ἐσλῶς, quod ipsum nonnulli Codd. habent. Ita hunc locum παραφράζει Schmid. Quum Justitiæ munus sit suum cuique tribuere; inter infinitas tamen ejus species flosculi instar est, si secundum veritatem bonis debita laus tribuatur. Ita in versione, Flos Justitiæ, i. e. Veritas. Cur vero τὸ δίκας ἄωτος ita habendum, nescis. Est enim ἄωτος, ut in Ol. 1. & alibi videre est τὸ ἄκρον, vel ἐξαίρετον. Laudes præstantiori quodam juris gradu præclaris viris debentur. 51 Neque est justum admiscere laudes alienas, Schmid. 52 Κρέσσονες] Vulg. quam alii Intt. sequuntur, Bona sunt; ideoque cum Schol. pro καλοὶ intell. κρέσσονες. Non opus est tamen, ut ita accipiamus; Potius, Neque ex alienis desideria Viro laudis materiam afferre, sunt meliora iis, quæ propriis & domesticis alicujus virtutibus hunc ornare volunt. *Quæ non fecimus ipsi Vix ea nostra puto,* Ulysses apud Ovid. Met. l. 13. 55 Παλαιαῖσι δ' ἐν ἀρεταῖς] Fuit Vir antiqua virtute & fide. Schmid. Antiquas victorias, exponit Phil. Pristinas præclare res gestas, Lon. 60 Ποντίαν] Hor. lib. 1. Od. 8. *Marinæ Filium dicunt Thetidis.* Vide Ov. l. 11. Met. ubi hanc κατάμαρψιν i. e. Prensationem describit.

[Επεται δὲ λόγῳ δίκας.] ἕπεται δὲ τῷ λόγῳ καὶ ἀκόλουθον φαίνεται, ὅστις λόγος τῆς δίκης ἀκόλουθός ἐστι. τί ἕπεται; ὅτι δεῖ τοὺς ἀγαθοὺς πάντας ἐπαινεῖν. ἀλλ' οὐ καλὸν ἐξ ἀλλοτρίων κοσμεῖσθαι. κατ' ἔλλειψιν δὲ εἶπε τὰ πλεῖστα. [Αλλως.] τὸ, ἐσλὸς, ἀντὶ τοῦ, ἐσλοὺς. οἷον δίκαιόν ἐστι τοὺς ἀγαθοὺς ἐπαινεῖν. τοῦτο δὲ, πρὸς τὸν Αἰακόν φησιν, ὅτι δεῖ αὐτὸν ἐπαινεῖν. ἀγαθὸς γὰρ ἦν. οὐ καλοὶ γὰρ οἱ ἔρωτες φησίν. εἰ δὲ ἀρέσῃ ἡ ἐπιθυμία, τὸ, ἀνδρὶ προσάπτειν καὶ προσφέρειν ἔπαινον, ἐξ ἀλλοτρίων ἐγκωμίων καὶ μὴ ἰδίων. [Οἴκοθεν μάτευε.] ἐκ τοῦ ἰδίου τοίνυν γένους, ἀνερεύνα καὶ ἐπιζήτει τὰ ἐγκώμια. καὶ μὴ ἀπὸ τοῦ Θηβαίου Ηρακλέους πρόσφορον οἰκεῖον ἔπαινον ἔλαχες καὶ ἔχεις. ὅπερ δὴ, γλυκύτατόν ἐστι λέγειν τὸ, ἀπὸ τῶν ἰδίων καλῶν ἐγκωμιάζεσθαι. ἢ οὕτω. τοῦτο, φησὶν, ἔλαβες ἐκ θεῶν κοσμεῖν τοὺς ἀξίους. ἵν' ᾖ πρὸς αὐτὸν λέγων. κόσμον γάρ φησι τὸν ἔπαινον. [Παλαιαῖσι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ.] ἔτι πάλαι, φησὶν, ὑμνεῖται ὁ Πηλεὺς καὶ ὑμνεῖτο. οὐ νεωστὶ οὐδὲ ὑπ' ἐμοῦ μόνον. οὐ γὰρ λέγει ὅτι νῦν γέγηθεν ὁ Πηλεὺς ὡς νῦν πρῶτον ἐπαινούμενος, ἀλλ' ἔτι πάλαι ὑμνεῖτο. τὸ δὲ [Υπέραλλον αἰχμὰν ταμὼν] ἀντὶ τοῦ ἐξαίρετον, ἐξέχουσαν, καὶ ὑπερβάλλουσαν. ἀναφέρει δὲ ἐπὶ τὰ Ομηρικά· Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων. ἀντιπάττεται δὲ τοῖς Ομήρου. ὁ μὲν γὰρ, ὑπὸ Χείρωνος φησὶ τμηθῆναι αὐτὴν καὶ δοθῆναι Πηλεῖ. οὗτος δὲ, ὑπὸ Πηλέως φησὶ τμηθῆναι. δοκεῖ δὲ ὁ Πίνδαρος, διὰ τὸ Αἰγινήτῃ χαρίζεσθαι τῷ Πηλεῖ. οὐ γὰρ μόνος εἷλε τὴν Ιωλκὸν, ἀλλὰ μετὰ Ιάσονος καὶ τῶν Τυνδαριδῶν, ὡς ἱστορεῖ Φερεκύδης· οὗτος δέ φησιν, ὅτι Πηλεὺς μόνος, καὶ τὴν Ιωλκὸν ἐπόρθησε, πολεμήσας πρὸς Ακαστον τὸν Πελίου παῖδα. [Καὶ ποντίαν Θέτιν κατέμαρψεν.] ἀντὶ τοῦ, περιεγένετο αὐτῆς τῶν ἐπιβουλῶν· διωκομένη γὰρ ὑπ' αὐτοῦ, μετέβαλλε τὰς μορφὰς, ὅτε μὲν εἰς πῦρ, ὅτε δὲ, εἰς θηρία. ὁ δὲ, καρτερήσας, περιεγένετο. περὶ δὲ τῆς μεταμορφώσεως αὐτῆς, καὶ Σοφοκλῆς φησὶν ἐν Τρωΐλῳ· Εγημεν ὡς ἔγημεν ἀφθόγγους γάμους τῇ παντομόρφῳ Θέτιδι συμπλακεὶς ποτέ. καὶ ἐν Αχιλλέως ἐρασταῖς. Τίς γὰρ με μόχθος οὐκ ἐπεστάτει. λέων, δράκων τε, πῦρ, ὕδωρ. ὅτι δὲ τῷ διαφόρῳ τῆς μορφῆς ἡ Θέτις ὑπεξέκλεπτε τοὺς πρὸς τὸν Πηλέα γάμους, δημώδης ὁ λόγος. ὥσπερ καὶ ὁ Πρωτεὺς τὴν φύσιν ἤμειβε.

[Λαομέδοντα

Ἐγκονητί. Λαομέδοντα δ' εὐρυσθενὴς Τελαμών, Ἰόλᾳ παραστάτας ἐών, ἔπερσεν·

Cum-labore. Laomedontem autem præpotens Telamon, Jolao adstans-in-prælio, prostravit.

ἐπῳδὸς ϛ'. κῶλα ια'.

Καί ποτε χαλκοτόξων
Ἀμαζόνων μετ' ἀλκὰν
Ἕπετό οἱ· οὐδέ μιν
Ποτὲ φόβος ἀνδροδάμας
Ἔπαυσεν ἀλκὰν φρενῶν.
Συγγενεῖ δέ τις
Εὐδοξίᾳ μέγα βρίθει.
Ὃς δὲ διδάκτ' ἔχει, ψεφηνὸς ἀνήρ,
Ἄλλοτ' ἄλλα πνέων, οὔποτ' ἀτρεκεῖ
Κατέβα ποδί· μυριᾶν
Δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται.

METAPH.

Et quondam æreos-arcus habentium
Amazonum ad strenuum - exercitum
Secutus-est eum: neque ipsi
Unquam timor virorum-domitor
Extinxit fortitudinem animi.
Ex congenita autem aliquis
Illustri - virtute magnum momentum-habet.
Qui vero per-disciplinam-tradita accepit, obscurus vir,
Alias alia spirans, nunquã firmo
Incedere-solet pede: sed infinitas
Virtutes non-sufficiente mente degustat.

PARAPHRASIS.

Commemora etiam Telamonem potentissimum, qui cum Hercule, Iolao ejus aurigæ astans, Ilium evertit, in quo tum regnabat Laomedon: quique eundem Herculem adversus Amazonas æreo arcu instrui solitas, ob Hippolytes balteum militantem sequutus est. Quo in bello primus omnium occisa Melanippa reginæ sorore, claruit: intrepidusque pugnavit, ita ut timor qui viros consternit, eum animi magnitudine non privarit. Ita autem inclaruit ob innatam virtutem, quæ magnum in rebus gerendis pondus obtinet, semperque sui specimina præbens, gloriam procurat: cum contra qui virtutes extrinsecus, & disciplina partas habet, obscurus maneat: siquidem is ad nihil certi à natura propensus, alias aliud affectat, nec in unius rei studio constanter permanet, sed sexcentas virtutes degustat, adeo ut cum sensus pluribus intentus, ad singula sit minor, nihil perfecte teneat & calleat.

NOTÆ.

61 Ἐγκονητί] Cum pulvere. Hor. loco laudato. *Patiens pulveris.* 69 Instituit collationem naturalis indolis cum virtute affectata. Vide Ol. 2, 155 & Ol. 9, 152. Illa aliquis μέγα βρίθει. Plurimum excellit: Hac manet aliquis ψεφηνὸς τύφος. Suidæ σκότος· ἄλλοτ' ἄλλα πνεῖ, nunc hoc nunc illud studium vagabundus tractat; Nulli studio constans incumbit; multa quidem discit, sed superficialiter tantum primis quasi labris degustans, ad perfectum vero habitum nunquam pervenit. Schmid. Lon. exponit, Genere claros, magnos quidem Poëta prædicat; sed ita, ut studiis & bonis disciplinis imbutam velit generis claritudinem. q. d. Nisi accesserit ad generis splendorem ingenua institutio; parum sane contulerit ipsum generis stemma: quum & obscuri & humili loco nati, per literas, & virtutum (quas innumeras degustant) præstantiam, conspicui reddantur. 72 Ἀτρεκεῖ leg. Schmid. Lon. ex præcedente interpretatione ita; Inconstantem pedem non vituperationis, sed laudationis ergo dicit. quod humili loco progenitus non figat nec sistat statim in una disciplina pedem, sed semper ad majores virtutes adspiret. 74 Ἀτελεῖ νόῳ] Mente nullam rerum tentatarum perficiente, ut Portus. Lon. vero juxta interpret. præced. hæc, Imperfectam mentem appellat, quæ inexplebili discendi cupiditate ardet. Mens enim perfecta siqua est, non habet opus quicquam porro discere, quandoquidem jam antea sit consummata. Quasi nimirum Pindarus philosophetur.

[Λαομέδοντα δ' εὐρυσθενὴς Τελαμών.] ἀπὸ μὲν τοῦ Λαομέδοντος, τὴν πόρθησιν τῆς Ἰλίου σημαίνει. ἀπὸ δὲ τοῦ Ἰόλα ὃς ἦν Ἰφικλέους υἱὸς, τὴν Ἡρακλέους στρατηγίαν. τῷ δὲ Ἡρακλεῖ συγκαθεῖλε Τελαμὼν τὴν Ἴλιον. [Ἄλλως.] Ἰόλαος, Ἡρακλέους ἦν ἡνίοχος. ἐκ συστήματος οὖν λέγει Ἰόλᾳ. τουτέστι τῷ Ἡρακλεῖ. φησὶν οὖν, ὅτι καὶ ὁ Τελαμὼν παραστάτης ὢν τοῦ Ἡρακλέους, ἅμα τῷ Ἰολάῳ ἐπόρθησε τὸν Λαομέδοντα. [Καί ποτε χαλκοτόξων Ἀμαζόνων.] χρόνῳ δέ τινι καὶ ἐπὶ τὰς πολεμικὰς Ἀμαζόνας ἀπιόντι τῷ Ἡρακλεῖ, συνηκολούθησε, φησὶν, ὅτε περὶ τῆς Ἱππολύτης διὰ τὸν ζωστῆρα ἦλθεν. [Ἄλλως.] περὶ τοῦ, καὶ ἐπὶ τὰς Ἀμαζόνας συστρατεῦσαι. Τελαμὼν ἀκόρητος ἀϋτῆς, Ἡμετέρας ἑτάροισι φόως πρώτιστος ἔθηκε Κτείνας ἀνδρολέτειραν ἀμώμητον Μελανίππην, Αὐτοκασιγνήτην χρυσοζώνοιο ἀνάσσης. Ἔνιοι δέ φασιν, ὅτι καὶ Πηλεὺς αὐτοῖς συνεστράτευσεν. Ἑλλάνικος δὲ πάντας τοὺς ἐν τῇ Ἀργοῖ πλεύσαντας, Ἡρακλεῖ συστρατεῦσαι φησίν. [Οὐδέ μιν ποτὲ φόβος ἀνδροδάμας.] τουτέστιν, ὁ τοὺς ἄνδρας δαμάζων φόβος. οὐδέποτε δὲ αὐτοῦ τὴν ἀνδρείαν ἐκ τῶν φρενῶν φόβος τις ἔπαυσεν. οὕτω τῇ ἐκ φύσεως εὐδοξίᾳ πᾶς τις ἐπαίρεται καὶ μέγα φρονεῖ. δεῖ οὖν, φησι, καὶ τούτους ἐφ' ἑαυτοῖς μέγα φρονεῖν. ἐκ φύσεως γὰρ ἀγαθοί. [Ὃς δὲ διδάκτ' ἔχει, ψεφηνὸς ἀνήρ.] τουτέστιν, οὐδέποτε ἀσφαλῶς ἐπέβη τοῖς καλοῖς· καταψευδόμενος τῆς ἐλπίδος, πολλῶν ἀρετῶν ἀτελῶς ἅπτεται. ὡς Ὅμηρος· Ἀλλὰ μετοκλάζει, καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει. [Ἄλλως.] οὐ διὰ παντὸς διομαλίζων, ὡς ὁ ἐκ φύσεως τὸ ἀγαθὸν περιπεποιημένος, ἀλλὰ νῦν μὲν ἐπιτυγχάνων, νῦν δ' οὔ. ὁ γὰρ φυσικὴν μὲν οὐδεμίαν ἔχων ὁρμὴν οὐδὲ εὐφυΐαν, διδακτὰ δὲ πάντα, οὗτος οὐδέποτε ἐφ' ἓν ὁρμήσας, συνετέλεσεν· ἀλλ' ἐπὶ πολλὰς ἀρετὰς ἐρχόμενος ἀπογεύεται μόνον. ἢ οὕτω. διομαλίζει, οὐκ ἐπιβαίνει, οὐκ ἐπὶ τὸ αὐτὸ πρᾶγμα ἵσταται. ὁ δὲ Δίδυμος. οὐδέποτε καταβὰς ἐπὶ πρᾶγμα, ἵσταται, ἐνέμεινεν ἐπ' αὐτοῦ καὶ ἐνεκαρτέρησεν, ἀλλ' εἰς πολλὰ καὶ ἄλλα μετατρέπεται. ὁ δὲ νοῦς. ὅστις ἐξ ἐπιτηδεύσεως καὶ μαθήσεως ἔχων τὰ καλὰ, σκοτεινός ἐστι καὶ οὐχ ὁμοίως ἐκλάμπων, οὐκ ἀεὶ τὰ αὐτὰ φρονῶν, ἀλλ' εὐμαρῶς μεταβαλλόμενος διὰ τὸ σαθρὸν τῆς ἐπιτηδεύσεως ἀφ' ἑτέρων εἰς ἕτερα.

στροφὴ γ'. κώλων ιγ'.

Ξανθὸς δ' Ἀχιλλεὺς, τὰ μὲν μέ-
νων Φιλύρας ἐν δόμοις,
Παῖς ἐὼν, ἄθυρεν
Μεγάλα ἔργα χερσὶ θαμινὰ,
Βραχυσίδαρον ἄκοντα πάλλων,
Ἶσον τ' ἀνέμοις, μάχᾳ λεόντεσσιν ἀ-
γροτέροις ἔπρασσεν φόνον·
Κάπρους τ' ἔναιρε· σώμα-
τα δὲ, παρὰ Κρονίδαν
Κένταυρον ἀσθμαίνοντα κόμιζεν,
Ἑξέτης τοπρῶτον. Ὅλον δ' ἔπειτ' ἂν
Χρόνον τὸν ἐθάμβεεν Ἄρτε-
μίς τε καὶ θρασεῖ' Ἀθάνα,

Metaph.

Flavus autem Achilles, quamdiu quidem mansit Philyræ in ædibus,
Puer exiſtens, ludebat
Magna opera manibus crebro,
Brevis-ferri jaculum vibrans
Par ventis, pugna Leonibus agreſtibus moliebatur cædem:
Aproſque conficiebat: corpora autem ad Saturnidem
Centaurum anhelantia portabat,
Sexennis primum. Toto deinceps
Tempore eum obſtupeſcebat Dianaque & animoſa Minerva,

PARAPHRASIS.

Præterea commemora flavo capillitio decorum, & formoſum Achillem, qui cum adhuc puer in Philyræ ædibus apud Chironem præceptorem habitaret, crebro in magnorum operum molimine manibus luſitabat: & vibrans jaculum brevi cuſpide ferrea munitum, & velocitate par ventis, feroces leones pugnando conficiebat, & apros occidebat. Quorum ingentia corpora paulum à lethali vulnere palpitantia, tum temporis ſextum duntaxat ætatis annum agens, humeris jam validis ad Chironem Saturno patre natum ferebat. Eum etiam deinceps per reliquam ætatem, cum Diana, tum Minerva audax admirabantur,

NOTÆ.

75 Ἀχιλλεὺς leg. fere omnes Edd. Perinde. Τὰ μὲν] Id eſt. κατὰ τὰ μέν. Lon. expreſſit per, Ita. Portus intell. τὰ δὲ in ἀποδόσει, reddens, Partim quidem commorans: [partim vero] brevis ferri jaculum vibrans. 77 Ἄθυρε Schmidio eſt, Pueriliter luſitare res ſerias affectando & repræſentando. Ἀθύρματα ergo hic Achillis παίγματα fuerunt. Neque enim ſtulte cogitandum eſt cum Intt. plerisque [Licuit quidem dixiſſe cum omnibus ſanis] Achillem puerum Sexennem veros Leones & Apros pugna confeciſſe, & grandia ipſorum corpora infantilibus humeris ad Chironem deportaſſe: neque ita ſimplex vel ineptus Pindarus putandus eſt: ſed hoc vult Poëta, Achillem adhuc puerum ſexennem jaculis delectatum fuiſſe; & leones aproſque ſibi finxiſſe, eoſque σκιαμαχίᾳ confeciſſe, & poſtea ipſorum corpora, gravi cum anhelitu affectato humeris ſuis ad Chironem deportaſſe; & ita ἀθύρματα hæcce maturæ indolis ſuæ generoſæ indicia feciſſe. Hæc ille, qui & Ritterſhuſium in partes vocat, qui ad v. 619. l. 3. Opp. Αλι. hunc locum laudat, additque, Puerorum luſibus ſæpe maxime momenti negotia præſignificari. Nempe ἐθάμβευν Ἄρτεμις καὶ Ἀθάνα, ἀθύρματα, quæ quivis ex trivio puer quotidie facere amat. Vide tamen poſtea qui ſe tuetur Schmid. Hæc ſunt maxime generoſæ naturæ ſpecimina, quæ vix centeſimus quiſque puer ab edendo cohiberi ſolet. Verum Prodigia, cum pace tanti viri, non ita deſcribere ſolet Pindarus. Ex allegatis tamen abunde patet, quam parum Poëtices venuſtates intellexit Schmidius; nec non alter ille Grammaticus Ritterſhuſius. Ἄθυρεν vero eſt, Per luſum magna & quæ viris efficere vix à natura tributum eſt, tanquam roboris ſpecimina edebat. At ἀσθμαίνοντα lect. ſynceram eſſe forte judicaſſet Schmidius, niſi hac ratione intellectus locus, fictitios leones aproſque palam rejeciſſet. Nemo enim præter Schmid. σώματι ἀσθμαίνοντι hab qu. in Aor. ſecundo; idque propter metrum. 80 Ἶσον ἀνέμοις leg. Schmid. omittens τ', & referens ad πάλλων. Verum poſtea, ita legenti neceſſe fuit inſerere δ' poſt λεόντεσσι, quod in nullo Cod. invenimus. 85 Ἑξέτης τοπρῶτον] Cœpit occidere feras &c. ab anno ætatis ſexto. Ὅλον δ' ἔπειτα] Schmid. Poſt cognitam ex hiſce ἀθύρμασι præclaram indolem; quæ ſane in Textu non habentur. Verum ἔπειτα, τῷ τοπρῶτον reſpondet. A Sexto ætatis anno toto tempore dum hæc ageret, utrum interficeret Leones, vel venaretur, ſpectatum venere Deæ. 86 Ἐθάμβεεν MS.

[Ξανθὸς δ' Ἀχιλλεὺς, τὰ μὲν μένων Φιλύρας ἐν δόμοις.] ἀπὸ τοῦ μέρους. ἀντὶ τοῦ ἐν τοῖς τοῦ Χείρωνος ἀκυστέον. παρὰ μὲν γὰρ Ὁμήρῳ μόνον παιδεύεται, διδασκόμενος τὴν ἰατρικήν. παρὰ δὲ τοῖς νεωτέροις, καὶ τρέφεται παρὰ Χείρωνι. ὁ δὲ νοῦς. ὁ δὲ Ἀχιλλεὺς τὰ μὲν, παῖς ὢν, ἄθυρεν ἐν τοῖς οἴκοις τῆς Φιλύρας. καὶ ταῦτα δὲ μεγάλα καὶ συνεχῶς κατειργάζετο ὀξείαις βολαῖσι μάχας, τῶν γενναιοτέρων ζώων λεόντων τε καὶ συῶν ἀγρίων πλῆθος ἀναιρῶν. διὰ παντὸς γὰρ ὁ Πίνδαρος μᾶλλον τὰ ἐκ φύσεως ἀγαθὰ τῶν ἐκ διδασκαλίας παραγινομένων προκρίνει. τὸ γὰρ [Βραχυσίδαρον ἄκοντα πάλλων] φησὶν, ἤτοι καθὸ βραχυσίδαρός ἐστιν ἡ ἀκμὴ πρὸς τὸ ξύλον τοῦ δόρατος συγκειμένη, ἢ ἐπεὶ παῖς ἦν ὁ Ἀχιλλεὺς, ἀνάλογον εἶχε τῇ ἡλικίᾳ, βραχυσίδηρον ἄκοντα. τουτέστι, παιδικῷ δόρατι ἐχρήσατο. ἀκαταλλήλως δὲ ἐξενήνοχεν. ἔδει γὰρ εἰπεῖν λεόντων ἀγροτέρων μάχας ἐνήργει. ἢ λεόντεσσιν ἀγροτέροισιν. [Σώματι δὲ παρὰ Κρονίδαν κένταυρον.] τῷ δὲ αὐτοῦ σώματι ἐνεργῶν ὁ Ἀχιλλεὺς ἄσθματος πλήρης, ἑξέτης ὢν κυνηγῶν θῆρας ἔφερε παρὰ Κρονίδην κένταυρον, ἤτοι τὸν Χείρωνα. ἐκ Κρόνου γὰρ καὶ Φιλύρας. ὡς καὶ Ἀπολλώνιος ἐν τῷ δευτέρῳ μαρτυρεῖ. [Ὅλον δ' ἔπειτ' ἂν χρόνον τὸν, ἐθάμβεεν.] τουτέστι τὸν ἅπαντα βίον τοῦτο ἐνήργει. καὶ τῶν ἀνδραγαθημάτων αὐτὸν ἐθαύμαζον.

[Κτείνοντ'

ἀντιστροφὴ γ'. κῶλων ιγ'.

Κτείνοντ' ἐλάφους ἄνευ κυ-
νῶν, δολίων θ' ἑρκέων.
Ποσσὶ γὰρ κράτεσκεν.
Λεγόμενον δὲ τοῦτο προτέρων
Ἔπος ἔχω· Βαθυμῆτα Χείρων
Τράφε λιθίνῳ γ' Ἰάσον' ἔνδον τέγει,
Καὶ ἔπειτ' ἐν Ἀσκληπιὸν·
Τὸν φαρμάκων δίδαξεν
Μαλακόχειρα νομόν.
Νύμφευσε δ' αὖθις ἀγλαόκαρπον
Νηρέως θύγατρα· γόνον τέ οἱ φέρ-
τατον ἀτίταλλέ γε ἁρμέ-
νοισι πάντα θυμὸν αὔξων.

METAPH.

Interficientem cervos sine ca-
nibus, dolosisque septis.
Pedibus enim valebat.
Dictum vero hunc majorum
Sermonem habeo: Prudens Chiron
Educavit lapideo Jasonem in tecto,
Et postea ibi Æsculapium:
Quem medicamentorum docuit
Molli-manu-faciendam applicationem.
Despondit postea pulchra-brachia-habentem
Nerei filiam: sobolemque ei præstantis-
simam *Achillem* educavit, convenienti-
bus-rebus totum *ejus* animum augens.

ἐπῳδὸς γ'. κῶλων ια'.

Ὄφρα θαλασσίαις ἀ-
νέμων ῥιπαῖσι πεμφθεὶς

METAPH.

Ut marinis ven-
torum impulsibus deductus

PARAPHRASIS.

quod venando sine canibus, & sine retibus, quibus feræ dolo capi solent, cervos assequutus occideret, cum velocitate pedum sufficienti eos superaret. Hæc autem quæ dico non comminiscor, sed ut olim dicebantur, accepta propono. Porro Chiron vir consultissimus, in domo lapidea, Pelio nimirum antro, Jasonem educavit: item Æsculapium, quem discipulorum omnium reddidit medicinæ chirurgicæ peritissimum, & docuit quomodo molliter contrectando morbida membra, iis admovenda sint remedia. Quinetiam effecit ut Nerei filiam Thetin pulchro carpo decoram & formosam Peleus in uxorem habuerit. Ex quo conjugio natum Achillem præstantissimum heroëm educavit, eumque natura præclarum convenientibus præceptis in virtute promovit. Ut quum insita animi magnitudo doctrina promota esset, navigationem adversus Trojam susciperet,

NOTÆ.

88 Κτείνοντ' ἐλάφους] Hoc jam non ἄθυρμα sed verum effectum fuit, Schmidio. Verum nec minus prodigium est, Puerum celerrimum fuisse pedibus, quam robore valuisse, ut prius dixit. 92 Si post ἔχω punctum ponas, & referas ad superiora, Poëtam censeas excusare more suo prodigiosam hanc narrationem & fidem facere præcedentibus, non vero ut vult Schmid. præcipue postremo, de cursu præversis cervis. Sic & Ovid. *Pro teste vetustas*. Si autem cum Lon. Phil. & Porto cum seqq. de Chirone connectas, intelligas, Hæc priora fuisse dicenda. Προτέρων Edd. 93 Τράφε cum MS. legimus. Alii τρέφεν. Pro γ' Edd. hab. τ', quod rejecit Schmid. 94 Ἔπειτ' ἐν] Ita omnes Codd. ἐν vero vel refertur ad τέγει, vel ad τράφε pro ἐνέτραφε. Schmid. non solvit nodum sed secat, & legit ἄν, sine auctore. 96 Νόμον Legem MS. 97 Νύμφευσε] Portus, Uxorem duxit. Verum Thetis Chironis nunquam conjux fuit. Αὖθις potest exponi, Rursus, quod aliam Poëtam incipere narrationem indicet. Ἀγλαόκαρπον] Formosam, ut bene reddit Portus, ea ratione, qua καλλίσφυρον & λευκώλενον x. λ. Vulg. hab Pulchrifrugem: Lon. Claram fructibus, per καρπὸν Sobolem h. e. Achillem intelligendo. 98 & 99 MS. Νηρέος. Schmid. leg. γονὰν φερτάταν· & ἐν ἁρμένοισι. Edd. hab. ἀτίταλλεν, ἁρμένοισι. MS. ἁρμένοισι. 100 Πάντα] Aliqui Adverb. Omnino.

[Κτείνοντ' ἐλάφους ἄνευ κυνῶν.] τὴν ἰσχὺν καὶ τὴν ταχυτῆτα αὐτοῦ διὰ τούτων παρίστησι. ποδώκης γὰρ ἦν. ἔτι τε σμικρὸς μηδὲ κύνας ἔχειν, μηδὲ λίνα περιπήγνυν, οἷς δολώσει τοὺς θῆρας. οὕτως ἦν ἴσος ἀνέμοις. [Ἑρκέων] δὲ, τὰ λίνα φησίν. τὰ περιφράγματα. [Δολίων] δὲ, ὅτι θηρῶντες τοὺς θῆρας, τὰ λίνα λάθρα ἱστᾶσιν. ὅτι δὲ ποδώκης ἦν Ἀχιλλεύς, καὶ Ὅμηρος μαρτυρεῖ, λέγων· Πόδας ὠκὺς Ἀχιλλεύς. [Ἔπος ἔχω Βαθυμῆτα Χείρων.] ὅτι δὲ ἐτράφη παρὰ τῷ Χείρωνι ὁ Ἰάσων, Ἡσίοδός φησιν· Αἴσων, ὃς τέκε θ' υἱὸν Ἰάσονα ποιμένα λαῶν. Ὃν Χείρων θρέψεν ἐνὶ Πηλίῳ ὑλήεντι. ἀλλὰ καὶ ὁ Ἀσκληπιὸς, παρὰ Χείρωνί φησιν ἐτράφη. ὡς καὶ Σωκράτης ὁ Ἀργεῖος φησί. [Τὸν, φαρμάκων δίδαξε μαλακόχειρα.] τουτέστι, τὴν προσηπίαν καὶ ὑγιαστικὴν ἔχοντα τὴν διὰ τῶν χειρῶν ἐπιμέλειαν. νομὸν δὲ, τὴν διανέμησιν τῶν φαρμάκων καὶ τὴν ἐμπειρίαν λέγει. [Νύμφευσε δ' αὖθις.] ἐναμοσόλησε τῷ Πηλεῖ, φησὶν, ὁ Χείρων, τὴν Θέτιν. ὑπεδέξατο γὰρ τοὺς θεοὺς ἐπὶ τὴν δαῖτα. τὸ δὲ αὖθις, οὐκ ἐκ δευτέρου, ἀλλὰ μετὰ ταῦτα. ἐναντίον γὰρ εἰ ὡς πρός τι λαμβάνοιτο. [Γόνον τέ οἱ φέρτατον ἀτίταλλε.] τουτέστιν, ἔτρεφεν ἐν τοῖς ἁρμοδίοις καὶ προσήκουσι τὴν Ἀχιλλέως παιδείαν ψυχήν. [Ὄφρα θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθείς.] εἰς ταῦτα, φησὶν, ἀτίταλλε τὸν Ἀχιλλέα ὁ Χείρων. ἁρμοστὰ αὐτῷ πάντα παρέχων, ἵνα πλεύσας εἰς Ἴλιον, τὴν δοείκτυπον ἀλαλὰν τῶν Λυκίων ὑπομείνῃ. τοῦτο δὲ οἱ μὲν ἁπλῶς εἰς τὴν μάχην τῶν Λυκίων· οἱ δὲ, ἁπλῶς εἰς τὴν Τροίαν ἥκουσαν. ἵνα ᾖ ὑπὸ, ἀντὶ τοῦ εἰς κάτω. οἱ δὲ, ἔξωθεν τὸ, χώραν προσυπακούουσιν. ἵν' ᾖ, ὑπὸ Τρώαν χώραν.

[Καὶ

Ὑπὸ Τρωΐαν, δορί-
κτυπον ἀλαλὰν Λυκίων
Τε προσμένοι, καὶ Φρυγῶν,
Δαρδάνων τε, καὶ
Εγχεσφόροις ἐπιμίξαις
Αἰθιόπεσσι χεῖρας, ἐν φρασὶ πά-
ξαιθ', ὅπως σφίσι μὴ κοίρανος ὀπίσω
Πάλιν οἴκαδ' ἀνεψιὸς
Ζαμενὴς Ελένοιο Μέμνων μόλοι.

Ad Trojam, hasti-
fremum tumultum Lyciorum-
que sustineret, & Phrygum,
Dardanorumque, &
Hastigeris conserens
Æthiopibus manus, in pectore *suo* infige-
re-posset, ut ne illis rex retro
Iterum ad-domum patruelis
Animosus Heleni Memnon veniret.

στροφὴ δ'. κῶλον ιγ'.

Μ ε τ α φ ρ.

Τηλαυγὲς ἄραρε φέγγος
Αἰακιδᾶν αὐτόθεν,
Ζεῦ. Τεὸν γὰρ αἷμα·
Σέο δ' ἀγών, τὸν ὕμνος ἔβαλεν
Οπὶ νέων, ἐπιχώριον χάρ-
μα κελαδέων. Βοὰ δὲ νικαφόρῳ
Σὺν Αρισοκλείδᾳ πρέπει·

Procul-eminens comparatum-est lumen
Æacidarum ex-propria-ipsorum-virtute,
O Jupiter. Tuus enim sanguis *sunt*:
Tuumque certamen, quod hymnus attigit
Voce Juvenum, terræ-illorum-proprium gau-
diũ celebrans. Clamor autẽ *illorum* victore
Cum Aristoclide excellit:

P a r a p h r a s i s.

ubi Lyciorum bellatorum acrium, & Phrygum, & Trojanorum tumultum hasta strependo excitatum sustineret: manibusque consertis cum Æthiopibus, qui furiosorum instar pugnant lanceis, in animo figeret studium occidendi ipsorum ducis Memnonis, viri fortissimi, Heleni patruelis, ita ut in patriam, domumque non rediret. Sic ex præclaris illis commemoratorum heroum facinoribus, rebusque ad Ilium gestis, posterorum Æaci nomen evasit illustrissimum. Cæterum ô Jupiter, tuum utique sanguinem, Æginenses nimirum illos quorum mentionem feci, Nemeacum quoque certamen tibi sacrum, meus hic hymnus, proprium ipsi regioni, quæ tales alumnos habuit, gaudium celebrans, juvenum quibus eum dedi canendum, voce attigit. Verumenimvero eo insignior est illorum cantus, quod recenti victoria conspicuum Æaciden Aristoclidem collaudat,

N O T Æ.

103 Ὑπὸ Schol. pro εἰς poni censet; & Τρωΐαν leg. videtur, siquidem subaudiri vult χώραν utrumque sine necessitate. Schmid. 107 Εγχετιμόροις leg. Edd. plurimæ, pro quo ἐγχειμόροις legendum vult Schmid. qu. περὶ τὸ ἔγχος μεμορημένοις. Circa hastam occupatis: Vel cum Aldo & MS. nostro ἐγχεσφόροις, quod (τῷ ι tamen inserto forte ad interpretandum) hab. Schol. Lon. reddidit, Hastis & prælio minime gnavis. Laus vero esse debet Æthiopum. Pro ἐπιμίξαις Schol. legisse videtur ἐπιπήξας. Schmid. Επιμίξας Comm. MS. 108 Punctum ante χεῖρας hab. MS. 110 Ανεψιὸς] Lon. Nepos. 116 Οπὶ] MS. hab. ἐπί. 118 Σὺν Αρισοκλείδᾳ] Lon. Auspiciis Aristoclidæ, vel nomine Aristoclidæ.

[Καὶ ἐγχεσφόροις ἐπιμίξαις.] τουτέστι, καὶ ἵνα τοῖς Αἰθίοψι τὰς χεῖρας ἐμπήξαι, καὶ καθίκοιτο τῆς ψυχῆς αὐτῶν, διὰ τοῦ πολεμεῖν. ἢ ἐπὶ τῶν αὐτοῦ φρενῶν τοῦ Αχιλλέως δεκτέον τὸν λόγον. ἵνα ἑαυτοῦ τὰς χεῖρας πήξαιτο πυγμὰς ἐνδείξῃ τῆς φρεσίν. ἵνα ὃ διανοηθῇ τῇ φρεσίν, ὑπηρετηθῇ διὰ τῶν χειρῶν. ἐνίοτε γὰρ ἐπιθυμοῦμεν τι κατορθῶσαι, μὴ ὑπηρετούμενοι ταῖς χερσίν. ὁ δὲ Αχιλλοὺς, ἐτράφη, ἵν' ὅπερ ἂν διανοηθῇ, δυνηθῇ διὰ τῶν χειρῶν κατεργάσασθαι. ἵν' οὖν καθίκοιτο αὐτῶν, τὸν βασιλέα Μέμνονα ἀνελών. [Τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν.] τὸ φέγγος καὶ ἡ δόξα τῶν Αἰακιδῶν, τηλαυγής ἐστιν [Αὐτόθεν] ἐξ ὧν εἶπον νῦν ἔργων. ἢ ἐκ τῆς Ιλίου. ἠρίστευσαν γὰρ ἐπὶ τῆς Ιλίου οἱ Αἰακίδαι. ἢ καὶ πρῶτον ἐπὶ τῆς Αἰγίνης, διὰ τὸ Αἰγινήτας εἶναι. ἀναφέρων τὸν ἔπαινον, ἐπὶ τὴν ἀθλητὴν, ἐκ τῆς Αἰγίνης φησὶν αὐτοῖς ἡρμόσθαι τὸ κλέος. [Ζεῦ, τεὸν γὰρ αἷμα.] τεχνικώτατα τῷ Διῒ προσοικειοῖ τὴν νικηφόρον. πρῶτον μὲν, ὅτι πρόγονος τῶν Αἰακιδῶν ὁ Ζεύς. δεύτερον δὲ, ὅτι τῆς Νεμεαίου ἀγῶνος ἔφορος ὁ Ζεύς. καθ' ὃν ὁ Αρισοκλείδης ἐνίκησεν. ἀνάκειται δὲ Διῒ καὶ ὁ Νεμεακὸς ἀγών. [Αλλως.] πιθανῶς ἐπεὶ παρεκβέβηκεν ἐπὶ τοὺς Αἰακίδας, ὑμνήσας αὐτῶν τὸ κλέος, βούλεται πάλιν ἐπανελθεῖν ἐπὶ τὸν ὕμνον τοῦ ἀθλητοῦ, οὐκ ἀπρεπὲς λογον ἀπόσπασμα ποιήσας. ἐκ τοῦ σοῦ γένους ἐστι, φησιν, ἡ ἀρετὴ τῶν Αἰακιδῶν. διατί; σὺ γὰρ ἀρχηγέτης εἶ τοῦ γένους αὐτῶν. [Τεὸν γὰρ αἷμα, σέο δ' ἀγών.] τὰ γὰρ Νέμεα, σά ἐστι. Νεμεονίκης δὲ ὁ ὑμνούμενος. ὁ δὲ νοῦς. ἀπὸ σοῦ τηλαυγὲς ἔχουσι τὸ γένος οἱ Αἰακίδαι. σὺ γὰρ ἀρχηγέτης τοῦ γένους αὐτῶν, σός τε ὁ ἀγὼν τῶν Νεμέων. [Επιχώριον χάρμα κελαδέων.] τὸ ἐπιχώριον καὶ ἴδιον αὐτῶν τῶν Αἰγινητῶν χάρμα καὶ ἡδονὴν ἀνυμνῶν τὴν νικηφόρον. ἡ δὲ βοὴ τῶν ὑμνούντων νέων, σὺν τῷ νικηφόρῳ Αρισοκλείδᾳ πρέπει· ἤτοι ἐκπρεπὴς ὑπάρχει. ἔν τισι δὲ γράφεται σὺν τῷ ι, τὸ, βοᾷ. προσληψόμεθα δὲ ἔξωθεν τὴν σὺν, πρόθεσιν. ἵν' ᾖ, σὺν βοᾷ νέων ὁ ὕμνος ἐκπρεπὴς ἐστιν. ἢ οὕτως. ἡ δὲ βοὴ τοῦ ὕμνου, συμπρέπει τῷ νικηφόρῳ τῷ Αρισοκλείδᾳ.

[Or

Ος τάνδε νᾶσον εὐκλέ-
ϊ προσέθηκε λόγῳ,
Καὶ σεμνὸν ἀγλααῖσι μερίμναις
Πυθίου Θεάριον. Εν δὲ πείρᾳ
Τέλος διαφαίνεται, ὧν τις
Εξοχώτερος γένηται.

Qui hancce Insulam cele-
bri adjunxit sermoni,
Ut & Venerabile præclaris curis *Poetarum*,
Pythii *Apollinis* Thearion. In experientia autē
Finis conspicitur *eorum, in* quibus aliquis
Excellentior fuerit.

ἀντιστροφὴ δ'. κώλων ιγ'.

Εν παισὶ νέοισι, παῖς· ἐν
Δ' ἀνδράσιν, ἀνήρ· τρίτον
Εν παλαιτέροισι
Μέρος· ἕκαστον οἷον ἔχομεν
Βρότεον ἔθνος. Ελᾷ δὲ καὶ τέσ-
σαρας ἀρετὰς μακρὸς αἰών· Φρονεῖν
Δ' ἐνέπει τὸ παρκείμενον.
Τῶν οὐκ ἄπεστι. Χαῖρε
Φίλος. Εγὼ τόδε τοι

Μεταφρ.

Inter pueros juvenes, puer *est*: inter
Viros vero vir: tertia
Inter senes
Pars *est*: qualem unamquamque habemus
Mortale genus. Percurrit vero & qua-
tuor virtutes longa vita: cogitare
Siquidem jubet id quod-ante-pedes-est.
A-quibus non abest *Aristoclides*. Salve
Amice. Ego hocce tibi

PARAPHRASIS.

qui insulam hanc celebritate nominis auctiorem reddidit: quodque in ea est venerandum Apollinis templum, in quo ministri ejus Theori habitant, meo carmini seria meditatione compacto, commendandum tradidit. Plerisque sane præstantiorem esse Aristoclidem, hominum jam ferebat opinio: sed experientia, quæ patefacit quid quisque possit, & qua quisque in re aliis excellat, hoc ipsum in Nemeis ludis comprobavit. Triplici autem virtute pollere convenit, in hoc consistente ut unicuique ætati quam mortale hominum genus agit, juvenili videlicet, virili, & senili nos accommodare norimus: & quum quis inter pueros versatur, puerili ingenio se attemperet, quum inter viros, virum agat, quum inter senes, senilem quoque gravitatem præ se ferat. Quarta quoque virtus in vita humana requiritur, ut res præsentes & quæ sunt ante pedes curemus. Ab his non abest Aristoclides, sed eas apprime callet & exercet. Salve amice Aristoclides: ego tibi mitto hunc

NOTÆ.

120 Εὐκλεῖ Omnes præter Ald. & MS nostrum. 128 Μέρος connectit cum seqq. MS. ut & Vulg. & Schol. 129 Ελᾷ] Agit, secumque ducit, Portus. 130 Αρετὸς θνατὸς αἰὼν, leg. Edd. præter Ald. quæ hab. ὁ μακρὸς & Brub. quæ θνατὸς ἰὼν & Schmid. quæ habet ὁ θνατὸς αἰὼν. At non omnis vita has virtutes exercet seu διώκει: verum ὁ βίος ὁ μακρὸς, qui percurrit ætates Puerilem, Juvenilem & Virilem & in Senectutem usque porrigitur. Fatendum tamen, ὁ θνητὸς βίος posse exponi, ὁ θνητῶν βίος, & ita indefinite accipi de μακρῷ æque ac brevi vita. An tamen ad hunc locum pertineat hæc lectio, & annon ex βρότειον præced. ducta conjectura in Textum quis reposuerit, qui volet, dispiciat. 131 Παρακείμενον MS.

[Ος τάνδε νᾶσον εὐκλεεῖ προσέθηκε λόγῳ.] ὃς τὴν Αἴγιναν, εὐκλεοῦς λόγου προσθήκην ἐποίησε λαβεῖν δι' ἑαυτοῦ. καὶ γὰρ ἄλλοι ἔμπροσθεν, εὔκλειαν αὐτῇ περιεποίησαν. καὶ αὐτὸς δὲ δι' ἑαυτοῦ προσέθηκέ τι εἰς εὔκλειαν αὐτῇ καὶ σεμνότητα. τὸ δὲ [Θεάριον,] τόπος ἐν Αἰγίνῃ, δημόσιος. ἔνθα τὰ συμπόσια. εἴρηται ἀπὸ τῶν θεωρῶν τῶν Ἀπόλλωνα πεμπομένων. [Αλλως.] ἔστιν ἐν Αἰγίνῃ Πυθίου Ἀπόλλωνος ἱερόν. ἐν ᾧ οἱ θεωροὶ διητῶντο, οἱ τὰ θεῖα φυλάσσοντες. θεωροὶ γὰρ οἱ θεοφύλακες. οἱ δὲ, ὅτι ἐν τῷ τοῦ Πυθίου Ἀπόλλωνος ἱερῷ, οἶκος ἐστὶ καλούμενος θεάριον, διὰ τὸ τοὺς ἄρχοντας, οἳ καλοῦνται θεωροὶ, ἐνταῦθα διαιτᾶσθαι. συνέζευξεν οὖν, φησι, λόγῳ εὐσεβεῖ, καὶ τὸ θεάριον, ταῖς ἀγλααῖς καὶ καλαῖς αὐτοῦ μερίμναις. οἱ δὲ, ταῖς ἐμαῖς μερίμναις καὶ τοῖς ἐμοῖς ποιήμασι συνέζευξε τῷ εὐκλεεῖ λόγῳ φασίν. [Εν δὲ πείρᾳ.] ἐν τῷ πειραθῆναι, φησὶν, ἑκάστου τὸ τέλος διαφαίνεται. οὐκ ἔστι γὰρ γνῶναι τὸν ἀνδρεῖον ἐὰν μὴ ἑτέρῳ συμβάλλῃ καὶ περιγένηται. ἢ οὕτως. ὅς τις ἂν ἐξοχώτερος γένηται, τούτου τὸ τέλος ἐν τῇ πείρᾳ ἀποδείκνυται. τοῦτο δὲ, ὡς πρὸς τὸν ἐγκωμιαζόμενον. ὅτι οὐκ ἄχρι λόγου τὰ προσόντα αὐτῷ δείκνυσιν. [Εν παλαιτέροισι,] προσληπτέον ἔξωθεν, παλαιός. λέγει δὲ, οὐχ ὅτι γέρων ἦν τὴν ἡλικίαν. οὐδὲ γὰρ παῖς, ἀλλ' ὡς ὁ τραγικός· καὶ παιδὶ καὶ γέροντι προσφέρων τρόπους πάσῃ ὁμιλήσαι ἡλικίᾳ δυνάμενος· καθ' ἕκαστον μέρος τῆς ἡλικίας. [Αλλως.] λείπει τὸ, ἐπίσταται. φησὶ δὲ ὅτι πρὸς πᾶσαν ἡλικίαν ἁρμοδίως προσοικειοῖ ἑαυτόν. ἢ οὕτως. ἐπίσταται ὁ νικηφόρος, ἕκαστον μέρος τῶν προλεχθεισῶν ἡλικιῶν, οἷον μέρος ἐλάχομεν τὸ βρότειον ἔθνος. [Ελᾷ δὲ καὶ τέσσαρας ἀρετάς.] Αρίσταρχος, τρεῖς μὲν τὰς καθ' ἡλικίαν· ἃς προεξηγείθημεν. τὸ ἐν παισὶν εἶναι παῖδα· καὶ τὸ ἐν ἀνδράσιν, ἄνδρα. καὶ τὸ ἐν παλαιοτέροις, παλαιότερον. καὶ τετάρτην δέ φησιν, ἐλᾶν ἀρετὴν, κατὰ τὸν ἀνθρώπων βίον. τετάρτη οὖν ἐστιν ἀρετὴ αὕτη, πρὸς αἷς εἴρηκεν. ὡς δεῖ περὶ τοῦ παρόντος φροντίζειν. καὶ μὴ περὶ τῶν ἐσομένων πάντων. ἀλλὰ πρὸς τὸ παρὸν δύνασθαι ἁρμόζεσθαι ὁ θνητὸς αἰών. καὶ τετάρτην ἀρετὴν ταύτην φέρει. τὸ καὶ περὶ τοῦ ἐνεστῶτος φροντίζειν. ὧν οὐκ ἄπεστιν ὁ Αριστοκλείδης. ἀλλὰ πρὸς ταῖς τρισὶ, φησὶν, ἃς προκατείλεχε, κέκτηται καὶ ταύτην, τουτέστι, τοῦ παρόντος φροντίζειν. ἢ ἐν ταυτῷ ἔχει, ἅπερ οἱ ἄλλοι κατὰ μέρη ἔχομεν [Ενέπει] δὲ ἀντὶ τοῦ διδάσκει, τὸ παρὸν σκοπεῖν ἐκπίθεσθαι. [Χαῖρε, φίλος. ἐγὼ τό δέ τοι πέμπω.] ἐπεὶ ἴσως οἱ προπίνοντες ἔλεγον τὸ, χαῖρε. ὡς τὸ, Χαῖρ' Αχιλεῦ. κἀγὼ τό δέ τοι πέμπω, φησὶ, μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι. τὸν ὕμνον λέγων. τῇ ὁμοιότητι δὲ χρῆται τῇ ἀπὸ τοῦ μέλιτος καὶ γάλακτος μεταφορᾷ, δηλοῦν τοῦ ποιήματος. καθὸ

ἀποδέχεται

Πέμπω μεμιγμένον μέλι λευκῷ
σὺν γάλακτι· κιρναμένα δ' ἔερσ' ἀμ-
φέπει πόμ' ἀοίδιμον, Αἰο-
λῖσιν ἐν πνοαῖσιν αὐλῶν,

Mitto mixtum mel candido
Cum lacte: commixtus autem ros circun-
dat potum *hunc* cantabilem, Æo-
licis in flatibus tibiarum,

ἐπῳδὸς δ'. κώλων ια'.

Ὀψέ περ. Ἐστι δ' αἰε-
τὸς ὠκὺς ἐν ποτανοῖς,
Ὃς ἔλαβεν αἶψα τη-
λόθε μεταμαιόμενος
Δαφοινὸν ἄγραν ποσίν.
Κραγέται δὲ κο-
λοιοὶ, ταπεινὰ νέμονται.
Τίν γε μὲν, εὐθρόνου Κλεοῦς ἐθελοί-
σας, ἀεθλοφόρου λήματος ἕνεκεν
Νεμέας, Ἐπιδαυρόθεν
Τ' ἄπο, καὶ Μεγάρων, δέδορκεν φάος.

METAPH.

Sero licet. Est autem Aqui-
la velox inter volatilia,
Quæ corripere-solet statim è lon-
ginquo investigans
Cruentam prædam pedibus.
Clamosi autem gra-
culi, humilia depascuntur.
Tibi quidem, pulchrithrona Clione volen-
te, victoriæ-reportatricis generositatis causa
A-Nemea, Epidau-
roque, & Megaris, conspicuus-est splendor.

PARAPHRASIS.

hymnum, qui æque dulcis est, atque poculum melle & lacte permixtis plenum. Quanquam autem hæc meæ Musa meditatio, unde tuum nomen virescit, perinde ac rore rigatum gramen, Æolica tibiarum harmonia cum qua canitur, temperata, tibi celebre encomium amplectitur & procurat paulo serius: Tarditatem tamen meam, carminis elegantia & præstantia compensabo. Nam quanto aquila graculis, tanto ego reliquis poëtastris, qui te cecinerunt, sum præstantior. Et quemadmodum aquila remotissimam prædam, olfactu observatam, derepente volans corripit, graculi vero clamosi non nisi proximam depascunt: sic ego ingenii solertia & acumine instructus, sublimi dicendi genere utor, illi vero triviali & humili. Quare sic volente præstabili Musa Clione, cujus inspiratione sum afflatus, mei carminis opera illustris erit, Aristoclides, fama tuæ strenuitatis, quæ effecit, ut pancratio Nemea, Æsculapia in Epidauro, & Megaricos ludos viceris.

NOTÆ.

135 Edd. quædam ἔερσ'. 139 Πετανοῖς Edd. 142 Δαφεινὸν MS. 148 Δέδορκεν] Phil. Active, Vidit. Ol. 1. τὸ δὲ καλὸς τηλόθεν δέδορκε.

ἀποδέχεται τὰ φύσει, γράφων ποιήματα, τῶν ἐκ πόνου. τὸ γὰρ γάλα, φύσει πάρεστι ταῖς τικτούσαις. τὸ δὲ μέλι, μετὰ πόνου αἱ μέλισσαι ἐργάζονται. ἀλληγορικῶς οὖν τὸν ὕμνον φησὶ τὸ καλὸν καὶ ἥδιστον αὐτοῦ ἐπιδεικνύμενος. [Κιρναμένα δ' ἔερσ' ἀμφέπει πόμ' ἀοίδιμον.] ἡ δρόσος, φησὶν, ἡ τοῦ μέλιτος κιρναμένη πρὸς τὸ γάλα, ποιεῖ τὸ πόμα ἀοίδιμον. καὶ τὸ ποίημα μιχθὲν αὐλοῖς, γίνεται καὶ αὐτὸ θαυμάσιον. οἷον ὡς τὸ γάλα τῷ μέλιτι μιχθὲν χρηστὸν γίνεται, οὕτω καὶ τὸ ποίημα τοῖς αὐλοῖς ἐγκραθὲν, προσηνὲς γίνεται. τὸ δ' [Αἰολῖσιν,] ἤτοι ὡς τῇ Αἰολίδι ἁρμονίᾳ γεγραμμένων τῶν ποιημάτων, ἤ, καθὸ τῷ γένει ἐστὶν Αἰολεύς, ὡς Βοιωτός. ἢ οὕτω. τοῖς Δωρείοις φθόγγοις. Αἰολεὺς γὰρ ἄνωθεν ὁ Πίνδαρος. ὅτι οἱ κατ' αὐτὸν Θηβαῖοι, Αἰολέων ἄποικοι τυγχάνουσιν, ὡς ἀπὸ Αἰόλου τοῦ Ἀθάμαντος παιδός. [Ἐστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς.] ὡς μετὰ πολὺν χρόνον τῆς νίκης, γεγραμμένου τοῦ ποιήματος, τῆς βραδυτῆτος ἕνεκεν ἱκανῶς καὶ τὴν εἰκόνα παρείληφεν. ἢ οὕτως. εἰ καὶ ὅλως ὀψέ, φησιν, γέγραπταί μοι τὸ ποίημα, ὅμως ὡς ἀετὸς ταχέως προσελθὼν ἤγρευσέ τι καὶ συνήρπασεν, οὕτως ἐγὼ τὰ πράγματα ταχέως συνήρπακα καὶ γέγραφα. [Κραγέται δὲ κολοιοὶ, ταπεινὰ νέμονται.] οἱ δὲ ἀντίτεχνοί μου, φησὶ, κολοιοῖς ἐοίκασι. κρωζάζοντες μόνον καὶ ταπεινὰ νεμόμενοι. οὐ δύνανται δὲ διαίρεσθαι εἰς ὕψος. δοκεῖ δὲ ταῦτα τείνειν εἰς Βακχυλίδην. ἦν γὰρ αὐτοῖς καὶ φώρασις πρὸς ἀλλήλους. παραβάλλει δὲ ἑαυτὸν μὲν, ἀετῷ· κολοιῷ δὲ, Βακχυλίδην. [Τίν γε μὲν εὐθρόνου Κλεοῦς.] τῆς Κλεοῦς τῆς Μούσης οὐ λειφθήσεσθαί φησι τῶν γεγραμμένων ἐπινίκων. συλλαμβανομένης αὐτῷ, καὶ χάριν τοῦ λήματος τοῦ ἀθλοφόρου ἐκ τῆς Νεμέας. καὶ ἐξ Ἐπιδαύρου καὶ ἀπὸ Μεγάρων. φασὶ γὰρ καὶ ἐν Ἐπιδαύρῳ αὐτὸν νενικηκέναι. τίθεται δὲ ἐν Ἐπιδαύρῳ ἀγὼν Ἀσκληπιῶν, τῶν Ἀσκληπιαδῶν προτεθέντων. μετὰ ταῦτα δὲ Ἀργείων, Ἀσκληπιῶ διὰ πενταετηρίδος. τίθεται δὲ ἐν τῷ ἄλσει τοῦ Ἀσκληπιοῦ. ἄγεται δὲ, μετὰ ἐννέα ἡμέρας τῶν Ἰσθμίων. τὰ Μέγαρα δὲ προσάγεται. εὐθέως ἔαρος ἀρχομένου. τὸ δὲ [Δέδορκε φάος] τουτέστι λελάμπρυνται ἡ δόξα τοῦ νενικηκότος καὶ ἐν Νεμέᾳ. βουλομένης οὖν, φησι, τῆς Μούσης Κλειοῦς λάμπει σου ἡ ἀρετή.

Τέλος τοῦ τρίτου τῶν Νεμέων εἰδοῦς.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΤΟΥ ΑΥΤΟΥ ΕΙΔΟΥΣ.

ΤΗΣ στροφῆς [illegible] κῶλα ιγʹ. Τὸ αʹ, δίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ βʹ, δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον. Τὸ γʹ, ὁμοίως τῷ πρώτῳ. Τὸ δʹ, ἀπ' ἐλάσσονος ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ εʹ, ὁμοίως τῷ πρώτῳ καὶ τρίτῳ. Τὸ ϛʹ, περίοδος διπλοῦς τροχαῖος ἢ γλυκώνειον. Τὸ ζʹ, ἰαμβικὸν πενθημιμερές. Τὸ ηʹ, [illegible] δίμετρον ἀκατάληκτον. Τὸ θʹ, Ἰωνικὸν ἑφθημιμερές. Τὸ ιʹ, τροχαϊκὸν [illegible]. ἢ [illegible] δίμετρον ἀκατάληκτον. Τὸ ιαʹ, [illegible] πενθημιμερὲς ἀπ' ἰωνικοῦ δίμετρον βραχείας τῆς [illegible] ἀρχομένου οὔσης. Τὸ ιβʹ, περίοδος ἰαμβικὴ ἀπὸ Βακχείου. ἢ γλυκώνειον λελυμένον. Τὸ ιγʹ, Ἰωνικὸν τετράμετρον βραχυκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτῆς.

Η ἐπῳδὸς, ὁμοίως κώλων ιγʹ, [illegible] τοῖς κώλοις τῆς στροφῆς καὶ ἀντιστροφῆς.

1. υ-υ- υυ-υ
2. υ--υ υ-
3. --υ- υυ-
4. --υ- υυ--
5. --υ- υυ-
6. -υ-υ υ-υ-
7. υ-υυ -υ
8. -υ-υ υ-υ
9. -υυ- υυ
10. -υ-υ υ-υ
11. υ-υυ -υ
12. υυυ- υυ-υ
13. --υυ-υ υυ-

ΤΙΜΑΣΑΡΧΩ ΑΙΓΙΝΗΤΗ, ΠΑΛΑΙΣΤΗ, ΕΙΔΟΣ Δ΄.

TIMASARCHO ÆGINETÆ, PALÆSTRITÆ. ODE IV.

ARGUMENTUM.

Timasarchus luctâ victoriam adeptus laudatur à Patria, à patre Timocrito, ejusque victoriis, à patriæ claris Heroibus, omnique insigni Æginetarum genere, ab amicis, ab Avunculo Callicle, ab Avo materno Euphane, denique ab Alipta Melesiæ industria.

στροφὴ α΄. κῶλον ιγ΄.

Ἄριστος εὐφροσύνα
Πόνων κεκριμένων
Ἰατρός· αἱ δὲ σοφαὶ
Μοισᾶν θυγατέρες ἀοιδαὶ,
Θέλξαν νιν ἁπτόμεναι.
Οὐδὲ θερμὸν ὕδωρ τόσον
Γε μαλθακὰ τεύχει
Γυῖα, τόσον εὐλογία φόρ-
μιγγι συνάορος.

ΜΕΤΑΦΡ.

Optimus lætitia
Laborum judicatorum
Medicus *est*: & sapientes
Musarum filiæ Odæ
Demulcent eos conjunctæ.
Neque calida aqua tantum
Mollia facit
Membra, quantum laus Ci-
tharæ comes.

PARAPHRASIS.

Multum laboris sustinet is qui sacris in ludis certat, ubi non modo magnis viribus, sed earum etiam magna contentione est opus. Verum quando labor fœliciter est exantlatus, lætitia, quam parit istiusmodi successus, omnem fatigationis molestiam, utpote præstantissimus medicus, eximit, & curat. Quinetiam encomiastica carmina, quæ Musæ in poëtarum mente generant, fessa membra demulcent. Nec thermarum vis recreatrix, lassos artus tantum recreat & refocillat, quantum victoris animum carmina, quæ lyra canuntur, & fidibus sociantur: siquidem eorum opera res bene gestæ ab oblivione vindicantur.

NOTÆ.

4 Θύγατρες, Schmid. 5 Ἀπτόμεναι] Contactæ, Lon. Contrectantes eos, ut Medici manu corpora ægrotantium. Phil. Adjunctæ. 6 Οὐδὲ θερμὸν] Plutarchus περὶ εὐθυμίας ad honores transfert, ubi ita allegantur verba Pindarica, Οὐδὲ θερμὸν ὕδωρ τόσον γε τέγξει μαλθακὰ γυῖα. i. e. verbis ipsius, ὡς δόξα ποιεῖ, καὶ τὸ τιμᾶσθαι μετά τινος δυνάμεως, πόνον ἡδὺν, κάματον τ' εὐκάματον. Edd. nonnullæ hab. τόσσον γε, quas sequitur Schmid. Metrum consistit, etiamsi nihil mutetur, ut alibi de re simili monuimus. 8 Τόσσον pro ὅσον. 9 Συνάορος] Hor. Lib. 4. Od. 9. *Verba socianda chordis.*

[Ἄριστος εὐφροσύνα] ὁ λόγος. τῶν πόνων κρίσιν λαβόντων καὶ συντελεσθέντων, ἡ εὐφροσύνη ἰατρός ἐστιν ἄριστος. ἢ τὸ ἄριστος, ἀντὶ τοῦ, ἀρίστη. ἢ, ὅταν πονήσας τις νικήσῃ, ἔχει τὴν εὐφροσύνην ἀρίστην ἰατρόν. ἢ οὕτως. ἡ ἀρίστη εὐφροσύνη, τῶν τετελειωμένων καὶ πεπληρωμένων πόνων καὶ σπουδασμάτων ἰατρός ἐστιν. [Αἱ δὲ σοφαὶ Μοισᾶν] θυγατέρες τῶν Μουσῶν, ᾠδαὶ καὶ ἔπαινοι, ἁπτόμενοι αὐτῶν τῶν πόνων, οἱ διὰ τὸ θαυμάζειν, ἡδονῆς πληροῦσι καὶ εὐφροσύνης, ἔθελξάν νιν. τὸ νιν Αἰσαρχος, ἐπὶ τῆς εὐφροσύνης ἀκούει. ὥστε εἶναι τὸν λόγον. αἱ δὲ τῶν Μουσῶν θυγατέρες αἱ ᾠδαί, τουτέστι τὰ ποιήματα, ἁπτόμεναι, αὐτὴν τὴν εὐφροσύνην ἔθελξαν τὴν τοῦ ἀνθρώπου, ὅταν ἐγκωμιάζηται. ἔστι δὲ ἄκυρον. ἡ γὰρ θέλγεται εὐφροσύνη, αὐτὴ θέλγουσα τοὺς νενικηκότας, οὐχ' ὑπ' ἄλλου θελγομένη. ἄμεινον δέ, φησιν ὁ Δίδυμος, ἐπὶ τῶν πόνων ἀκούειν τὴν νιν. οἱ γὰρ μεθ' Ὅμηρον, οὐκ ἀκριβοῦσι τὴν ἀντωνυμίαν. ὡς καὶ Εὐριπίδης· Τοι γάρ νιν αὐτάς, ἐκ δόμων οἴστρησ' ἐγώ. ὥστε τὸν λόγον εἶναι τοῦτον. αἱ ᾠδαὶ ἔθελξαν αὐτοὺς τοὺς πόνους. ἁπτόμεναι αὐτῶν ἤγουν θέλγουσι τὴν κακοπάθειαν ὑμνοῦσαι αἱ ᾠδαί. [Οὐδὲ θερμὸν ὕδωρ τόσσον γε μαλθακά.] οὐδ' οὕτω τὰ θερμὰ λουτρά, φησι, μαλακίζει κεκμηκότα γυῖα καὶ πεπονημένα, ὅσον ἡ εὐλογία ἀφίησιν. ὁ δὲ νοῦς ὅλος. οὐκ ἂν δὲ τοσοῦτον ὑπὸ θερμοῦ ὕδατος ἐν βαλανείῳ χαλασθείη καὶ μαλαχθείη σῶμα κεκμηκός, ὅσον ὑπὸ τῶν ἐπαίνων. ἧς μάλιστα τῆς εὐφημίας, τῆς διὰ τῆς κιθάρας, ἡδονὴ συνάορος, ἤγουν συμφερομένη κοινωνοῦσα.

[Ρῆμα

Ῥῆμα δ' ἐργμάτων χρονιώ-
τερον βιοτεύει,
Ὅ,τι κε σὺν Χαρίτων τύχᾳ
Γλῶσσα φρενὸς ἐξέλοι βαθείας.

ἀντιστροφὴ α'. κῶλον ιγ'.

Τί μοι, θέμεν Κρονίδᾳ
Τε Διῒ, καὶ Νεμέᾳ,
Τιμασάρχου τε πάλᾳ,
Ὕμνου προκώμιον εἴη.
Δέξαιτο δ' Αἰακιδᾶν
Εὔπυργον ἕδος, δίκᾳ
Ξεναρκέϊ κοινὸν
Φέγγος. Εἰ δ' ἔτι ζαμενεῖ Τι-
μόκριτος ἀλίῳ

Sermo vero factis diutur-
nius vivit,
Quem cum Charitum fortuna,
Lingua è mente promserit profunda.

METAPH.

Quod mihi, ponere Saturnidæ-
que Jovi, & Nemeæ,
Timasarchique luctæ,
Hymni præambulum liceat.
Accipiat autem illud Æacidarum
Bene-turrita sedes, ob justitiam
Hospitibus-sufficientem, commune
Lumen. Si vero adhuc vegeto Ti-
mocritus Sole

PARAPHRASIS.

Et certe laudum prædicatio laude dignis facinoribus diutius vivit, quatenus hæc præterount simul atque facta sunt, illa vero scriptis mandata transit ad seros nepotes: dummodo nitatur argumentis è profundamente depromptis, & à Gratiis elegantiam acceperit. Cujusmodi elegantem laudis prædicationem, & à profunda mente haustam materiam, in præsentia, tanquam præludium tantum epiniciorum postea canendorum, mihi contingat componere Jovi, cui sacra sunt Nemea, Nemeæ certaminis loco, & Timasarcho lucta victoriam adepto. Velim autem ut hoc meum carmen gratum & acceptum sit Æginæ urbi turribus decoræ, quam incolunt Æaci posteri, quæque decus est earum omnium urbium quæ hospitalitati student, & justitiæ qua hospites ab injuria tuentur. Quod si adhuc in vivis esset Timocritus

NOTÆ.

12 Τύχᾳ] Favore. Portus. *Victurus genium debet habere liber.* Mart. Similia ubique Horat. 14 Θέμεν] Idem ac ἀναθεῖναι, nisi malles exponere. Jacere scil. προκώμιον τοῦτο tanquam hymnorum cæterorum fundamentum. 19 Εὔπυργον Schmid. 21 Φέγγος] Hospitalitatem Æginæ in præced. Od. Justitiam Ol.. 8. celebravit. Ζαμενεῖ] Hæc vox usurpatur alibi de Medea, & Chirone afflatu celeberrimis: Jam de Phœbo vatum ut & Musicorum parente. Inspicias notas ad P. 4. 17. Μένος αἰολὸν λάμπει, laudat Plutarch. ex Pindari Threnis. Vulg. vers. Valde vivido.

[Ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει.] ἀντὶ τοῦ ἔργου χρονιώτερόν ἐστι τὸ ῥῆμα, τουτέστιν, ὁ ὕμνος. διὰ πάντα τὰ λεγόμενα ἢ γραφόμενα, χρονιώτερά ἐστι τῶν ἔργων. τὰ μὲν γὰρ ἔργα, τῷ γεγονέναι παρῆκε. τὰ δὲ γραφόμενα, αἰώνια διαμένει. ποῖα δέ; ἃ ἂν μετὰ τῆς ἐκ Χαρίτων τύχης τύχῃ ἐκ τῆς γλώττης ἑκάστῳ. ὡς εἰ μὴν γε χωρὶς Χαρίτων γράφηται ὁ λόγος, ἀπόλωλε καὶ ἔσβεσται. ἐὰν δὲ μετὰ Χαρίτων, μένει εἰς αἰῶνα ὅλον. καὶ Καλλίμαχος· Ἐλλάτε νῦν ἐλέγοισι δ' ἐνιψήσασθε † λιπώσας χεῖρας, ἵνα μοι πολὺ μένωσιν ἔτος. ὁ δὲ νοῦς. ὁ γὰρ διὰ τῶν λόγων ἔπαινος αὐτῶν τῶν καλῶς πεπραγμένων, μακρότερον διασώζεται καὶ μνημονεύεται. ὅσπερ ἂν μάλιστα λόγος καὶ ἔπαινος τετυχηκὼς χαρίτων, λέγηται ἐκ διανοίας συνετῆς. [Τό μοι θέμεν Κρονίδᾳ τε Διῒ καὶ Νεμέᾳ.] ἐμοὶ εἴη ποιῆσαι. τὸ γὰρ εἴη, οὕτως ἀναβιβαστέον. εἴη μετὰ τῶν Χαρίτων γράφειν. τὸ δὲ προηγούμενον τοῦ κώμου, προκώμιον εἶπεν, ἐπειδὴ κωμάζουσιν ᾄδοντες τὸ ποίημα. προκώμιον οὖν, τὸ πρὸ τοῦ κώμου γραφόμενον. δύναται καὶ οὕτω, φησὶν ὁ Δίδυμος, παντὸς τοῦ ποιουμένου εἰς αὐτὸν ὕμνου, τοῦτο τὸ ῥῆμα, προκώμιον εἴη. διὰ, προοίμιόν τι τοιοῦτον γένοιτο, τῶν εἰς αὐτὸν γραφησομένων ὕμνων ὑπ' ἐμοῦ, νικήσαντι καὶ ἄλλους ἀγῶνας. ἵνα τὴν ἑξῆς ἐσομένην ἐπινικίαν, ὁ νῦν γραφόμενος λέγηται, περὶ παντὸς κώμου γεγονώς. δύναται δὲ καὶ οὕτω. τῶν γραφησομένων αὐτῷ ὕμνων ὑπ' ἄλλων, ὁ ἐμὸς ἂν εἴη προκώμιον. ὁ δὲ νοῦς. ὃν περ δὴ λόγον καὶ ἔπαινον, γένοιτο νῦν ἐμοὶ θεῖναι καὶ πληρῶσαι προκώμιον, τῷ τε Διῒ, καὶ αὐτῇ τῇ Νεμέᾳ, καὶ τῇ Τιμασάρχου πάλῃ. [Ἄλλως.] ὕμνου προκώμιον εἶπε, διὰ τὸ ὑπὸ χορευόντων μὲν λέγεσθαι τὸν ὕμνον νεωτέρων τινῶν. περὶ δὲ τῆς τούτων χορείας καὶ κωμασίας, γραφῆναι ὑπὸ τοῦ ποιητοῦ αὐτόν. ὁ δὲ λόγος, γένοιτό μοι ἐπιτυχεῖν περὶ τοῦ κωμάζειν τοὺς ἐπαίνους γράφοντι. [Δέξαιτο δ' Αἰακιδᾶν εὔπυργον ἕδος.] ῥῆμα ὃ προείρηκα. ῥῆμα δ' ἐργμάτων χρονιώτερον. τὸ ῥῆμα τοῦτο τὸ εὔπυργον τῶν Αἰακοῦ ἕδος δέξαιτο ὡς ἐστὶ δίκαιον. κοινὸν δὲ φέγγος ἐστὶ μὲν καὶ τὴν Αἴγιναν ἀκοῦσαι. ἔστι δὲ καὶ τὸ ποίημα τὸ κοινὸν φέγγος γινόμενον. οὐ γὰρ ἐᾷ ἐν ἀφανεῖ τὰ ἔργα, ἀλλὰ φωτίζει κοινῶς. [Ξεναρκέϊ] δὲ ὡς ποδαρκεῖ. κοινὸν φέγγος τῆς ξεναρκοῦς δίκης ἡ τῶν Αἰακιδῶν πόλις ὑποδέξαιτο. ὡς ἐστὶ δίκαιον ξένους παραδέχεσθαι καὶ ἀποδέχεσθαι. ἢ οὕτω. τῆς τοῖς ξένοις ἀρκούσης δικαιοσύνης, κοινὸς ὢν ὀφθαλμὸς, ὦ Αἴγινα, ἤτοι περιφραστικῶς ἡ δικαιοτάτη. δέξαιτο δὲ τοῦτο προκώμιον καὶ τοῦτον τὸν ἔπαινον πόλις καλλίστη Αἴγινα. ἥτις διὰ τὴν προσοῦσαν πρὸς πάντας τοὺς ξένους δικαιοσύνην καὶ φιλοξενίαν, κοινὸς ὀφθαλμὸς τῶν πάντων τυγχάνει. [Εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος.] τῷ ἄγαν ξηραντικῷ. τὸ γὰρ ζῶν, ἐπιτακτικὸν ἐστι μᾶλλον ἀεί. τῷ ἰσχυροτάτῳ οὖν φησι. περιφραστικῶς δὲ τοῦτο φησίν. εἰ ἔζη σου ὁ πατὴρ Τιμόκριτος, ὦ Τιμάσαρχε. ἤτοι ὁ ἐν κιθάρᾳ ποικίλος. ἢ ὁ μουσικώτατος, ἀπὸ μέρους. ἤσκουν γὰρ οἱ ἀρχαῖοι μουσικήν. ὁ δὲ νοῦς ὅλος, ἕως Ἡρακλέος ὀλβίαν πρὸς αὐλὰν, οὕτως. εἰ δὲ μέχρι τοῦ παρόντος ὁ σὸς πατὴρ Τιμόκριτος ἐν ζῶσιν ἀνεστρέφετο, τῇ ἑαυτοῦ μουσικῇ σεμνυνόμενος, συνεχῶς ἂν τούτῳ τῷ μέλει, καὶ ταύτῃ τῇ ᾠδῇ προσ-

† Ed. Brub. λιπώσας, & pro μοι leg. μὴ, habetque asteriscum.

Σὸς πατὴρ ἐθάλπετο, ποι-
κίλον κιθαρίζων,
Θαμά κε τῷδε μέλει κλιθεὶς,
Ὕμνον κελάδησε καλλίνικον·

ἐπῳδὸς α΄. κῶλον ιγ΄.

Κλεωναίου τ' ἀπ' ἀγῶ-
νος ὅρμον στεφάνων
Πέμψαντα, καὶ λιπαρᾶν
Εὐωνύμων ἀπ' Ἀθηνᾶν,
Θήβαις τ' ἐν ἑπταπύλοις·
Οὕνεκ' Ἀμφιτρύωνος ἀ-
γλαὸν παρὰ τύμβον
Καδμεῖοί νιν οὐκ ἀέκοντες
Ἄνθεσι μίγνυον,
Αἰγίνας ἕκατι. Φίλοι-
σι γὰρ φίλος ἐλθὼν,

Tuus pater foveretur; *utique* va-
rie citharam-pulsans,
Frequenter huic carmini incumbens,
Hymnum cantasset de-pulcra-victoria:

ΜΕΤΑΡΗ.

Qui & Cleonæo à certami-
ne seriem coronarum
Misit, & splendidis
Ac celebribus ab Athenis,
Thebisque in septiportibus:
Quandoquidem Amphitryonis ce-
lebrem apud tumulum
Cadmei illum haud inviti
Floribus immiscebant,
Æginæ gratia. *Ad* ami-
cos enim amicus profectus,

PARAPHRASIS.

pater tuus, tam propenso esset erga hoc melos animo, ut non raro, Timasarche, pulchrum hunc de tua victoria hymnum, citharam pulsans caneret, citharœdus insignis: qui apud Cleonas, & celebres splendidasque Athenas initis certaminibus victoriam reportavit; & coronas accepit. Item apud Thebas, septem portis instructas, Iolaia vicit. Ob quam victoriam Thebani, quibus olim Cadmus imperavit, in gratiam Æginæ sororis Thebarum, non invito animo floribus eum consperserunt prope præclarum Amphitryonis tumulum. Etenim ad Thebanos amicos, vir Æginensis amicus,

NOTÆ.

23 Ποικίλον] Eximium, sonat apud hunc autorem; & de Pindaricis hymnis dicitur. 26 Κελάδησε καλλίνικον] Callinicum inclamasset. Alludit ad Archilochi μέλος, quod Καλλίνικος dicebatur, & victoribus à multitudine ter canebatur. Aret. 29 Πέμψαντα] Interpp. referunt ad ὕμνον, qui cum celebret diversas victorias, dicitur veluti monile victoriarum misisse. Cum autem hujusmodi sit constructio (judice Benedicto) videtur potius victorias istas tribuere Timasarcho, quas Timocritus pater Musicus uno hymno comprehensas frequenter caneret, si in vivis esset. Sed quia non liquet ad utrum ista referantur, judicet Lector. Hæc ille. Potest Syntaxis esse, κελάδησε ὕμνον, [καὶ τὸν] πέμψαντα sc. eum, qui victor evasit. Hac autem ratione melius ordinatur iste locus, κελάδησε [καθ'] ὕμνον καλλίνικον [τὸν] πέμψαντα στεφάνων ὅρμον, Κλεωναίου τ' ἀπ' ἀγῶνος καὶ Ἀθηνᾶν. 35 Μίγνυον] Ornabant, Schmid.

κλίνας ἑαυτὸν καὶ προσαγαγὼν, ἀνευφήμησε καὶ ἀνεβάλλετο τὴν γεγενημένην νίκην τὴν ἀπὸ τοῦ Κλεωναίου ἀγῶνος, τοῦ πέμψαντος πλῆθος καὶ ὁρμαθὸν στεφάνων. καὶ τὴν ἀπὸ τῶν πλουσίων Ἀθηνῶν καὶ ἐνδόξων νίκην. καὶ τὴν ἐν ταῖς Θήβαις τῶν Ἰολαείων καλουμένην. διότι δὴ παρὰ τὸν τοῦ Ἀμφιτρύωνος τάφον οἱ Θηβαῖοι σὺν πολλῇ προθυμίᾳ καὶ βουλήσει, τοῖς τῶν στεφάνων ἄνθεσιν ἐκόσμουν, εἰς χάριν καὶ τιμὴν τῆς Αἰγίνης. Αἴγινα γὰρ καὶ Θήβη ἀδελφαί. ἐξ ὧν αἱ πόλεις ὠνομάσθησαν. προσφιλὴς γὰρ ὢν, ἅτε Αἰγινήτης, καὶ πρὸς φίλους ἥκων τοὺς Θηβαίους. ἅτε δὴ καὶ τὸ πρόξενον αὐτοῦ καταλαβὸν τὰς Θήβας, ἠδυνήθη κατ' εὐχὴν διασώσασθαι τὴν τοῦ Ἡρακλέος αὐλὴν πάλιν, τὰς Θήβας. [Εὐωνύμων ἀπ' Ἀθηνᾶν, Θήβαις τ' ἐν ἑπταπύλοις.] ἐνδόξων, ὀνομαστῶν. ἄδηλον δὲ ποῖον ἀγῶνα ἐνίκησε. πολλοὶ γὰρ τελοῦνται. Παναθήναια καὶ ἄλλοι. εἶτα ἐπάγει, Θήβαις τ' ἐν ἑπταπύλοις, ὡς καὶ ἐν Θήβαις αὐτοῦ νικήσαντος. ἔδει δὲ καταλληλότερον εἰπεῖν, Θηβῶν. ἵν' ᾖ, καὶ ἀπὸ Θηβῶν ἔπεμψας αὐτῷ στέφανον. διατί; ὅτι παρὰ τὸν τοῦ Ἀμφιτρύωνος τύμβον οἱ Θηβαῖοι, οὐκ ἄκοντές σε τοῖς ἄνθεσιν ἐμίγνυον. τουτέστιν ἐστεφάνουν, χαίροντες διὰ τὸ συγγενεῖς εἶναι Θηβαίους Αἰγινητῶν. Θήβη γὰρ καὶ Αἴγινα, Ἀσωπίδες. καὶ φασὶ Θηβαίοις πολεμοῦσιν Ἀθηναίοις, ἐκπεσεῖν λόγιον, τοὺς συγγενεῖς ἑλέσθαι συμμάχους. διὸ καὶ τοὺς Αἰγινήτας ἑλέσθαι. τοῦτο γὰρ ἐδήλου τὸ ῥῆμα. [Οὕνεκ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον Καδμεῖοι.] ἀντὶ, πατρωνυμικοῦ τοῦ Ἀμφιτρυωνίδου. οὐ γὰρ Ἀμφιτρύωνι ἄγεται ὁ ἀγών. ὡς δὲ Ὅμηρος λέγει, Ὑπερίονος ἠελίοιο. ἀντὶ τοῦ Ὑπεριονίδου. καὶ Εὐριπίδης· Ὅ, σοι χρυσοῦν ἀπώλεσ' Οἰδίπους δέ με χρυσοῦν ἐνεγκὼν ὅρμον εἰς Ἄργους πόλιν. οὐ γὰρ ὁ Οἰδίπους ἤνεγκε χρυσοῦν ὅρμον εἰς Ἄργος, ἀλλ' ὁ Πολυνείκης, καὶ ἔδωκεν Ἐριφύλῃ. ἔστιν οὖν, Οἰδιπονίδης δέ με, ὁ Πολυνείκης, οὕτω καὶ τοῦτο. οὕνεκεν Ἀμφιτρυωνίδου. Ἰόλαον γὰρ εἶπεν, οὗτος γὰρ, Ἰφικλέους. ὁ δὲ, Ἀμφιτρύωνος. διὸ αὐτὸ τὸ στάδιον καὶ γυμνάσιον ἐστὶ Ἰολάειον. καθὼς ὁ περὶ ἀγώνων ἀναγράφεται. ἀψάμμιοι οὐκ Ἰολάεια φησὶν ἄγεσθαι, ἀλλ' Ἡράκλεια. τὸν ἀγῶνα οὖν τῶν Ἡρακλείων, φησὶν ἐν τῷ τοῦ Ἰολάου γυμνασίῳ διαγενέσθαι. παρὰ τὸ τοῦ Ἀμφιτρύωνος μνῆμα. ἔνθα φησὶ καὶ τὸν Ἰόλαον κεκενοταφῆσθαι. τὸ γὰρ κατ' ἀλήθειαν αὐτοῦ μνῆμα, ἐν Σαρδοῖ ἐστι. [Αἰγίνας ἕκατι.] τῆς ἡρωΐδος Αἰγίνης γυναικὸς χάριν. διὰ τὸ συγγενέσθαι. Θήβη γὰρ καὶ Αἴγινα, ἀδελφαί. θυγατέρες Ἀσωποῦ τοῦ ποταμοῦ. ἀφ' ὧν καὶ αἱ προσηγορίαι τῶν πόλεων. πρὸς φίλους οὖν φησι φίλος ἦλθε. πρὸς Θηβαίους, Αἰγινήτης ὤν. [Ξένιον] δὲ ἄστυ, ἤτοι τὸ εὔξενον. ὡς, κληῗσαι δ' ἔπεσαν σανίδες. ἀντὶ τοῦ, αἱ εὔκλειστοι, καὶ τειχήεσσα, ἀντὶ τοῦ εὐτειχής. ἢ ξένιον ἄστυ ταῖς Θήβαις, ἡ Αἴγινα. διότι Πηλεὺς καὶ Τελαμὼν Αἰγινῆται ὄντες, ὅτε ἔμελλε στρατεύειν εἰς Ἴλιον Ἡρακλῆς, ἐπεξενώθησαν αὐτῷ. διὸ ἐποίησε, ξὺν ᾧ ποτε Τροΐαν.

[Ξὺν ᾧ

Ξένιον ἄςυ κατέδραμεν,
Ηρακλέος ὀλβίαν πρὸς αὐλάν.

In hospitalem urbem descendit,
Herculis beatam ad aulam.

ςροφὴ β'. κώλων ιγ'.

Ξὺν ᾧ ποτε Τρωΐαν
Κρατερὸς Τελαμὼν
Πόρθησε καὶ Μέροπας,
Καὶ τὸν μέγαν πολεμιςὰν
Εκπαγλον Αλκυονῆ·
Οὐ, τετραορίας γε πρὶν
Δυώδεκα πέτρῳ,
Ηρωάς τ' ἐπεμβεβαῶτας
Ιπποδάμους ἕλεν
Δὶς τόσους. Απειρομάχας
Εὼν κε φανείη,
Λόγον ὁ μὴ ξυνιείς. Επεὶ
Ρέζοντά τι, καὶ παθεῖν ἔοικεν.

Metaph.

Cum quo olim Trojam
Robustus Telamon
Vastavit, & Meropas,
Et magnum bellatorem
Stupendum Alcyonea:
Non *tamen* priusquam quadrigas
Duodecim saxo,
Heroasque qui-conscenderant *currus illos*
Equorum-domitores peremit
Bis tot. Inexpertus-belli
Esse videri queat,
Dictum *hoc* qui non intelligit. Quoniam
Facientem aliquid etiam pati convenit.

Paraphrasis.

ob mutuam utriusque civitatis hospitalitem, celeriter descendit, ubi est Herculis Thebani Herois beata aula. Cum quo robustus Telamon Æginensis heros, Trojam regnante Laomedonte evertit, & Meropas qui Coon insulam incolebant, profligavit. Et Alcyoneum gigantem in Isthmo Corinthiaco factum obvium oppressit, excutiente clava Hercule saxum in se vibratum, quo prius duodecim currus quadrijugos, & viginti quatuor heroas, qui eos conscenderant, equites præclaros è medio sustulerat, & obruerat. Sic victorem à victo superatum videmus. Quod qui non intelligit, merito videri possit nunquam expertus dubios belli eventus, ubi Mars nunc ad hunc, nunc ad illum solet inclinare. Siquidem æquum est, ut qui alium aliquo malo affecit, is vicissim afficiatur.

Notæ.

40 Τρῶιαν, Schmid. 41 Idem leg. κράτιςος, absque necessitate. 49 Τόσους hic etiam leg. Schmid. Aldum secutus. Απειρομάχας] Simile est illud Cæsaris. *Errat qui in bello eventus omnes secundos expectat.* 52 Peucerus in Præfatione in versionem Philippi. ex antiquitate commemorat; Alexandrum Magnum aliquando in bello vulneratum, ex hoc ipso agnovisse, militem eum Thebanum esse, qui procul magno clamore, quasi consolaturus Regem, pronunciaverat hunc versum Pindari. ῥέζοντά τι καὶ παθεῖν ἔοικεν. Et non tantum sono, qui Bœotiis communis erat, Alexandrum motum; sed insignem etiam hunc versum Pindari, cujus scripta maximi fecit, agnovisse arbitratur.

[Ξὺν ᾧ ποτε Τρωΐαν.] σὺν ᾧ φησὶ Ηρακλεῖ, ἐν τοῖς ἀνωτέρω χρόνοις ὁ γενναῖος Τελαμὼν ἐπόρθησε τὴν Τροίαν. ἐπόρθησε δὲ σὺν αὐτῷ, καὶ τοὺς νῦν μὲν Κώους λεγομένους νησιώτας· τότε δὲ καλουμένους Μέροπας, ἀπὸ Μέροπος. εἶτα γε μὴν ἐπόρθησε, καὶ τὸν μέγιστον καὶ ἐκπληκτικώτατον τῶν γιγάντων Αλκυονέα. ὅτι δὲ Ηρακλῆς ἐπόρθησε τὴν Κῶ ἀπὸ τῆς Ασίας χωρῶν, καὶ Ομηρος μαρτυρεῖ· Καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας. ἔλαβε δὲ καὶ Χαλκιόπην ἐξαίρετον τὴν Εὐρυπύλου τοῦ βασιλέως θυγατέρα. ἀφ' ἧς ἔσχεν υἱὸν Θεσσαλόν. οὗ παῖδες, Φείδιππος καὶ Αντιφος, ἐν Ιλίῳ ςρατεύσαντες. λέγεται δὲ πεπορθηκέναι διὰ τὸν Χαλκιόπης ἔρωτα τῆς θυγατρὸς Εὐρυπύλου τοῦ βασιλέως, τὴν Κῶ. [Καὶ τὸν μέγαν πολεμιςὴν ἔκπαγλον Αλκυονῆ.] οὗτος ὁ Αλκυονεὺς, εἷς τῶν γιγάντων, λέγεται περὶ τὸν Ισθμὸν τῆς Κορίνθου συμβεβηκέναι Ηρακλεῖ. ὅτε τὰς βοῦς Ηρακλῆς ἐξ Ερυθείας παρήλαυνε. καὶ τῆς μάχης αὕτη αἰτία ἐγένετο τῇ βουλῇ τοῦ Διός. πολέμιος γὰρ ἦν τοῖς γίγασιν. οὐ πρότερον οὖν, φασιν, ἀνεῖλε τὸν Αλκυονέα Ηρακλῆς, πρὶν τὰ ἅρματα αὐτοῦ ὑπὸ τοῦ Αλκυονέος βληθῆναι. μετὰ γὰρ τὸ συντρῖψαι αὐτοῦ δώδεκα ἅρματα, καὶ εἰκοσιτέσσαρας ἄνδρας λίθῳ μεγίςῳ, τὸ τελευταῖον, κατ' αὐτοῦ τὸν λίθον ἔῤῥιψεν. ὃν τῷ ῥοπάλῳ ἀποσεισάμενος, οὕτως ἀπέκτεινε τὸν Αλκυονέα. καὶ φασὶ κεῖσθαι τὸν λίθον ἐν τῷ Ισθμῷ. λέγεται δὲ τότε συμπαρεῖναι τῷ Ηρακλεῖ, καὶ τὸν Τελαμῶνα. [Λόγον ὁ μὴ ξυνιείς.] ἐπειδὴ ῥητῶς οὐκ ἐξήγγειλεν ὁ Πίνδαρος, ὅτι ἐνικᾶτο ὁ Ηρακλῆς, ἀλλὰ ἀμφιβόλως αὐτὸ παρεδήλωσεν, ὁ μὴ συνιεὶς τοῦτο ὃ λέγω, φησὶν, ὅτι ὁ Ηρακλῆς ἐλείφθη, ἄπειρος μάχης ἂν εἴη οὗτος. [Αλλως.] τὸν λόγον τοῦτον ὁ μὴ διαλογιζόμενος καὶ νοῶν, ὀφθείη ἂν ἄπειρος μάχης. ὡς μὴ συνιεὶς τὴν τύχην, καὶ τὸν ἐξ αὐτῆς λόγον. ἐπεὶ ῥέζοντά τι, καὶ παθεῖν ἔοικε, φησὶ, παρὰ τὸ Ομηρικὸν Ξυνὸς ἐνυάλιος. ἔπαθε γάρ τι καὶ ὁ Ηρακλῆς ἀποβαλὼν τοὺς ἑταίρους. παρὰ τοῦτο ὁ τραγικός· Τὸν δρῶντα πού τι καὶ παθεῖν ὀφείλεται. εἴη δ' ἂν ἀπὸ ταύτης τῆς ὁμοιώσεως τῆς περὶ τὸν Ηρακλέα, ἐλάττωμά τι γεγονὸς περὶ τὸν ἀθλητὴν ἐν ἀρχῇ. οὕτω γὰρ τὸν ὅμοιον λόγον ἕξει ἡ παραβολή. ὡς γὰρ ὁ Ηρακλῆς ἀπὸ μὲν τῆς ἀρχῆς ἐλείπετο, ὕςερον δὲ ἐνίκησεν, οὕτω καὶ ὁ ἀθλητής. ὥστε εἰκὸς εἶναι αὐτὸν πεπτωκέναι. ἢ ἄλλό τι τοιοῦτον ὑπομεῖναι.

[Τὰ

ἀντιστρ. ϛ'. κώλων ιγ'.	Metaph.
Τὰ μακρὰ δ' ἐξενέπειν	Prolixa autem eloqui
Ἐρύκει με τεθμὸς,	Prohibet me lex,
Ὡραί τ' ἐπειγόμεναι·	Horæque properantes:
Ἴυγγι δ' ἕλκομαι ἦτορ,	Cupiditateque trahor *quoad* cor,
Νεμηνίᾳ θιγέμεν.	Novilunium contingendi.
Ἔμπα καίπερ ἔχει βαθεῖ-	Veruntamen etsi occupet profun-
α ποντιὰς ἅλμα	da marina salsedo
Μέσον, ἀντίτειν' ἐπιβουλί-	Medium, resiste *adversariorum* insidi-
ᾳ· σφόδρα δόξομεν	is: multum videbimur
Δαΐων ὑπέρτεροι ἐν	Hostibus superiores in
Φάει καταβαίνειν.	Luce ambulare.
Φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων,	Invide autem alius vir intuens,
Γνώμαν κενεὰν σκότῳ κυλίνδει	Consilium inane *in* tenebris volvit

PARAPHRASIS.

Prohibet me quo minus in hac digressione de Herculis & Telamonis rebus gestis, sim prolixior, cum lex encomiastici carminis, quæ jubet ut sim totus in personæ laudibus, tum tempus instans quo me epinicion daturum promisi. Ideoque propero ad mei hymni complementum, & summo desiderio teneor attingendi novilunii ad reddendum illum præstituti. Quamvis igitur mediam amplissimæ Herculis historiæ partem non narraverim, hic tamen desinam, ut insidiantibus adversariis, me reprehendendi ansam quærentibus, obsistam: & videar illis, qui sunt in digressionibus immoderatiores, longe superior & clarior. Quare spero fore ut is qui mihi invidet, nihil efficiat. Nam qui alium invido oculo intuetur, inane & irritum consilium ipse in tenebris jacens volutat.

NOTÆ.

59 Ἅλμα] Saltum Lon. & Phil. quasi esset τὸ ἅλμα. Est vero Fœmininum ab ἅλς, sal, vox alibi usurpata ab hoc autore. 61 Δόξομεν hab. omnes, Aldo excepto, quod est, Videamur, Vulgatæ Vers. 62 Δαΐων κ. λ.] Lon. vertit, Alioqui magis atque hostes nostri in luce deviare videbimur. Portus. Palam in certamen descendere.

[Τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμός.] Ἀρίσταρχος, εἰς νουμηνίαν ἐπιοῦσαν, ὑποκείμενόν ἐστιν αὐτῷ ἀποδοῦναι τὸ ἐπινίκιον. πάντα γάρ, φησι, τὰ περὶ τὸν Ἡρακλέα καὶ Ἀλκυονέα, μακρῶς διελθεῖν κωλύομαι. ποῖος δὲ τεθμός; ὁ νόμος τοῦ ἐγκωμίου. ὁ νόμος οὖν τοῦ ἐγκωμίου, φησί, κωλύει με μακραῖς παρεκβάσεσι χρῆσθαι. ὁ δὲ Ἀμμώνιος, ὡμολογηκέναι, φησί, τὸν Πίνδαρον ἐν χρόνῳ τινὶ ἀποδώσειν τὸ ἐπινίκιον. ὁ νόμος οὖν οὗτος, ὃν διεστησάμεθα ἐγώ τε καὶ οἱ τοῦ ἀθλητοῦ περὶ τῆς ἡμέρας ἐν ᾗ ἀποδώσω, κωλύει με μακρὰ γράφειν. οὐ γὰρ φθάσω. διὸ ἐποίησε, [Ὡραί τ' ἐπειγόμεναι.] τουτέστιν ἐπείγουσί με αἱ ὧραι. ὁ δὲ νοῦς, οὕτω. τὰ πολλὰ δὲ καὶ μακρῶν δεόμενα λόγων, διηγεῖσθαι κωλύομαι ὑπό τε τοῦ καιροῦ κατεπείγοντος, καὶ ὑπὸ τοῦ εἰωθότος θεσμοῦ. νενόμισται γὰρ τὰ τοιαῦτα διὰ συντόμου λέγεσθαι. [Ἴυγγι δ' ἕλκομαι ἦτορ.] ἴυγξ εἶδος ὀρνέου ἐρωτικοῦ. πόθεν δὲ ἡ ἴυγξ; ταύτην οἱ μὲν φασὶν Ἠχοῦς, οἱ δὲ, Πειθοῦς γεγενῆσθαι θυγατέρα. ἥτις φαρμάσσουσα τὸν Δία εἰς τὸν τῆς Ἰοῦς πόθον κατὰ χόλον Ἥρας, εἰς ὄρνεον μετεβλήθη. ᾧ κέχρηνται αἱ τὰ ἐρωτικὰ σκευάζουσαι γυναῖκες. ἐκ τούτου δὲ τὸ ὄρνεον ἴυγξ καλεῖται. ἴυγγι οὖν, τῇ ἐπιθυμίᾳ, φησίν. [Ἄλλως.] ὡς ὑπὸ φαρμάκου, φησὶ, καὶ ἴυγγος ἕλκομαι τὴν ψυχὴν τῇ ἐπιθυμίᾳ ἣν ὑπισχόμην ἐπιδείξασθαι τὸ ἐπινίκιον συντελέσας. διὸ τὰ περὶ τὸν Ἡρακλέα λέγειν κωλύομαι, σπεύδων τελειῶσαι τὸν ὕμνον, εἰς ὃν ὡμολόγησα χρόνον. [Ἔμπα καίπερ ἔχει.] τῆς ἀναφορᾶς γενομένης περὶ τὸν Ἡρακλέα. καὶ εἰ τὸ μέσον ἔχω τῆς ἱστορίας, καὶ μεσοπορῶ κατὰ τὴν διήγησιν, ὅμως ἀνθέξομαι, καὶ οὐκέτι τῆς λοιπῆς ἐπιθήσεις ἐκκλίνω διὰ τὴν νουμηνίαν. ὁ νοῦς δέ. ὅμως οὖν εἰ καὶ πολὺ τὸ μέσον ἔχει διάστημα ἡ τῆς Αἰγίνης θάλασσα πρὸς τὰς Θήβας, ἐπείγου καὶ ἀντίτεινε ταῖς τῶν ἐχθρῶν ἐπιβουλαῖς. [Ἀντίτειν' ἐπιβουλίᾳ.] Ἰστέον ὅτι ὁ λόγος πρὸς ἑαυτὸν φιλονεικεῖ. πρὸς ἑαυτὸν γὰρ τοῦτο λέγει ὁ Πίνδαρος. ἀντίτεινε τοῖς ἐπιβουλεύουσιν. ἤγουν, μὴ εἶκε τοῖς ἀντιτέχνοις. μὴ δίδου λαβὰς ὅτι παρεκβέβηκας. τῇ ἐπιβουλίᾳ αὐτῶν ἀντίστηθι. ἐναντιοῦ τῷ φθόνῳ. ὅ ἐστιν, ἀπόδος τὸ ἐπινίκιον τῇ ὡρισμένῃ ἡμέρᾳ. σφόδρα γὰρ τῶν πολεμούντων ἡμᾶς ἀντιδιδασκάλων καὶ ἀντιτέχνων φανησόμεθα καταβαίνοντες, καὶ διοδεύοντες λαμπρῶς, ἐὰν μὴ παρεκβαίνωμεν. δοκεῖ δὲ ταῦτα τείνειν εἰς Σιμωνίδην. ἐπεὶ ἐκεῖνος παρεκβάσεσι χρῆσθαι εἰώθει. καθυπέρτεροι οὖν ἐκείνων φανησόμεθα. ἐὰν μὴ παρεκβάσεσιν ἐπιμείνωμεν, σφόδρα δόξομεν τῶν ἀντιπολεμούντων ὑπερέχοντες καταβαίνειν. [Φθονερὰ δ' ἄλλος ἀνήρ.] ἄλλος ἀνήρ, ὁ βάσκανος, ἄλλος ἐχθρός, τὴν ἑαυτοῦ προαίρεσιν τὴν κενὴν καὶ ματαίαν, ἀφανῆ ἕξει. ὁ δὲ νοῦς. ἐπεὶ γὰρ ἂν ὁ τὸν φθόνον ἐν ὀφθαλμοῖς ἔχων ἐχθρός, τὴν ἑαυτοῦ προαίρεσιν καὶ τὴν ἐπ' ἐμοὶ προσδοκίαν κενὴν καὶ ματαίαν ἔχων καὶ τὸν σκοπὸν χαμαὶ καὶ ἀσκόπως ἐνεχθέντα, ἐν τῷ τῆς ἀδοξίας καὶ λύπης σκότῳ, σκοτισθήσεται ὁ βάσκανος. [Ἄλλως.] εἴ τις φθονεῖ ἡμῖν, φησὶ, τὴν ἑαυτοῦ γνώμην ἐν σκότει κυλίσει. τουτέστιν, οὐδὲν ἀνύσει φθονῶν ἐμοί. ἀλλ' ἐν † ἀποκρυβήσεται τῷ σκότῳ καὶ ζόφῳ, κυλισθήσεται αὐτὸς ἐν σκοτίᾳ, φθονῶν.

† Ισ. ἐναποκρυβήσεται, ni aliquid desit.

[Ἐμοὶ

ἐπῳδὸς ϛ'. κώλων ιγ'.	Metaphr.
Χαμαιπετοῖσαν. Ἐμοὶ	Irrite-in-terram-cadentia. Mihi
Δ' ὁποίαν ἀρετὰν	Vero qualem virtutem
Ἔδωκε πότμος ἄναξ,	Dedit Fortuna regina,
Εὖ οἶδ', ὅτι χρόνος ἕρπων,	Bene scio, quod tempus insequens
Πεπρωμέναν τελέσει.	Fatalem perficiet.
Ἐξύφαινε γλυκεῖα καὶ	Contexe *igitur* ô dulcis etiam
Τόδ' αὐτίκα φόρμιγξ,	Hoc statim Cithara,
Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος πεφιλημένον	Lydia cum harmonia carmen gratum
Οἰνώνᾳ τε, καὶ Κύπρῳ·	OEnonæque & Cypro:
Ἔνθα Τεῦκρος ἀπάρχει	Ubi Teucer autor-regni-est
Ὁ Τελαμωνιάδας· ἀτὰρ	Telamoniades: sed
Αἴας Σαλαμῖν' ἔχει πατρῴαν·	Ajax Salaminem habet patriam:
στροφὴ γ'. κώλων ιγ'.	Metaph.
Ἐν δ' Εὐξείνῳ πελάγει	In Euxino vero mari
Φαεννὰν Ἀχιλλεὺς	Splendidam Achilles

PARAPHRASIS.

Et ut jam invidia nihil in me potest, sic in posterum non nocituram mihi puto. Certo enim scio me non minus posthac quam hactenus præstabilem fore poëtam: ac spero Fortunam dominam. Denuque effecturum ut in me permaneat eximia illa poëtices facultas, quam mihi divina voluntas impertivit. Age vero dulcis cithara meum carmen præclaræ harmoniæ, qualis est Lydia varia, accommodatum statim concine: idque in gratiam Æginæ Timasarchi patriæ, quam tenuit olim OEnon: & in gratiam cognatæ Cypri, quam tenuit Teucer Telamonis filius, non ausus domum redire metu patris irati ob mortem Ajacis, quanquam ejus ipse non erat conscius. Præterea in gratiam Salaminis in qua regnavit Ajax. Item Leuces Insulæ, herodiorum copia procul albicantis, quæ in mari Euxino extat, in quam à Thetide matre translatus Achilles,

NOTÆ.

66 Χαμαὶ πετοῖσαν divisim Ald. Phil. vertit, Humile consilium. Irritum mavult Schmid. 68 Ἐνέδωκε, Indidit, est Schmidii castigatio. Unde ad 3 Epod 4. Textum esse corruptum ex metrica ratione judicat. Unica enim Textus corruptio, in plures errores audaces Grammaticos seducere solet. 73 Λυδίᾳ σὺν ἁρμονίᾳ] Schmidius annotat. Modum Lydium haberi pro decente & honesto & juvenibus conveniente. Ideoque Poëta noster Ol. 5. Psaumidi juveni, licet canescenti: Asopicho παιδὶ, Ol. 14. hic Chromio viro juveni. Λυδίας ἁρμονίας, ut ætati huic convenientem, adornat. 75 Οἰνώνᾳ quia aliisita Æginam dixere, hic reposuit Schmid. Sed non est ejusmodi conjecturis indulgendum; ut neque ὑπάρχει quod ex Schol. mutavit, pro ἀπάρχει, quod vix in usu est in Activa ἀπάρχειν, scil. apud alios autores. Cum vero ἀπάρχομαι sit Primitias decerpo, ἀπάρχει optimum sensum fundet. Teucer enim primitias regni Cyprii decerpsit, ubi Salamina condidit, ejusque saltem rex fuit primus, si non totius Insulæ. Πατρῴαν] Ad differentiam Salaminis à Teucro conditæ. 79 Ald. omitt. δ'. quem sequitur Schmid. cum tamen sensum postulare aperte fateatur; adeoque in Metaphrasi sua retinuit, Vero. Rejecit forte aliquis ratione habita metri. Qui cum Schmidio sentiunt, inspiciant κῶλ. 1. ἀντιστροφῆς δ'. 80 Ἀχιλεὺς, Schmid.

[Ἐμοὶ δ' ὁποίαν ἀρετὰν ἔδωκε πότμος ἄναξ.] ἐμοὶ δέ, φησιν, ἣν ἔδωκε τάξιν ὁ θεὸς καὶ ἡ εἱμαρμένη, ταύτην πέπεισμαι ὅτι καὶ ὁ μακρὸς διαδεχόμενος χρόνος, πληρώσει εὔμοιρον καὶ καλήν. ἢ οὕτως. ἣν δὲ ἔχω παρὰ θεοῦ δύναμιν ποιητικήν, εὖ οἶδ' ὅτι κατὰ τὴν πεπρωμένην ὁ χρόνος ἐκτελέσει καὶ ἐκλάμψει. [Ἐξύφαινε γλυκεῖα καὶ τόδ' αὐτίκα φόρμιγξ.] ἐργάζου δὴ οὖν καὶ πλήρου τοῦτο τὸ ποικίλον μέλος, ὦ γλυκυτάτη φόρμιγξ, σὺν τῇ Λυδίᾳ ἁρμονίᾳ. ὅπερ ἐστὶ προσφιλέστατον τῇ τε Αἰγίνῃ, καὶ τῇ Κύπρῳ. Οἰνώνη δὲ τὸ πρότερον ἐκαλεῖτο ἡ Αἴγινα, ἀπὸ Οἰνώνης τινός. [Ἔνθα Τεῦκρος ὑπάρχει,] ἔνθα δή, καὶ ἐν ἡ Κύπρῳ, ὁ τοῦ Τελαμῶνος παῖς ἡγεμονεύει. ὅγε μήν, Αἴας, κατέχει τὴν πατρῴαν Σαλαμῖνα λέγω. ἐκεῖ πατρὶς αὐτοῦ ἡ Σαλαμίς, ἐπεὶ ἐν Ἰλίῳ τελευτᾷ. ὁ γὰρ Τεῦκρος ἐλθὼν μετὰ τὴν ἅλωσιν Ἰλίου ἐν Σαλαμῖνι, καὶ ὑπονοηθεὶς ὑπὸ τοῦ Τελαμῶνος, ὡς αἴτιος γεγονὼς τοῦ φόνου τοῦ Αἴαντι, φυγὼν ᾤκησε τὴν Κύπρον, καὶ ἔσχεν αὐτῆς τὴν ἀρχήν. [Ἐν δ' Εὐξείνῳ πελάγει.] πᾶν τὸ μέρος τῶν Αἰγινητῶν ὑμνεῖ. ὅτι πολλῶν τόπων ὑπῆρξεν. ἔστι δέ τις ἐπὶ τοῦ Εὐξείνου πόντου καλουμένη Λευκὴ νῆσος. εἰς ἣν δοκεῖ τὸ Ἀχιλλέως σῶμα ὑπὸ Θέτιδος μετακεκομίσθαι. καὶ δρόμους τινὰς δεικνύουσι διὰ τὸ τὸν ἥρωα γυμνάσαι. ὅθεν καὶ ὁ Πίνδαρος φαεννὰν νῆσον, τὴν Λευκὴν μεταληπτικῶς εἶπε. φαεινὸν γὰρ τὸ λευκόν ἐστι. Λευκὴ δὲ καλεῖται, διὰ τὸ πλῆθος τῶν ἐννεοττευόντων ὀρνέων. ἤτοι ἐρωδιῶν. φαντασίαν γὰρ τοιαύτην τοῖς πλέουσι παρέχει. [Ἄλλως.] τὴν λεγομένην Λευκὴν ἀκτὴν ἐν τῷ Εὐξείνῳ πόντῳ, ἐν ᾗ πλεῖστοι ἐρωδιοὶ φαινόμενοι, ἐκεῖθεν τοῖς πλέουσι μηνύουσιν αὐτήν. αὕτη καλεῖται καὶ Ἀχιλλέως δρόμος. ἐπειδὴ μνηστευομένου τοῦ Ἀχιλλέως τὴν Ἰφιγένειαν, ἀχθεῖσάν τε διὰ τὴν αὐτοῦ προφάσιν εἰς Αὐλίδα, γενομένης ἀπλοίας τοῖς Ἕλλησιν εἰς Ἴλιον, ἠθέλησαν σφαγιάσαι ὑπὲρ εὐπλοίας. καὶ τῆς Ἀρτέμιδος

αὐτὴν

Νᾶσον· Θέτις δὲ κρατεῖ	Insulam: Thetis vero dominatur
Φθίᾳ· Νεοπτόλεμος δ' Ἀ-	Phthiæ: Neoptolemus vero E-
πείρῳ διαπρυσίᾳ,	piro universæ.
Βουβόται τόθι πρῶνες ἔξ-	Boves-pascentes ubi montes ex-
οχοι κατάκεινται,	imii positi sunt,
Δωδώναθεν ἀρχόμενοι, πρὸς	A-Dodone incipientes, ad
Ἰόνιον πόρον.	Ionium meatum usque.
Παλίου δὲ πὰρ ποδὶ λα-	Pelii autem ad radices in-servitu-
τρείαν Ἰαωλκὸν	tem-redactam Iolcum
Πολεμίᾳ χειρὶ προστραπὼν	Hostili manu quum expugnasset
Πηλεὺς, παρέδωκεν Αἱμόνεσσι.	Peleus, tradidit Thessalis.
ἀντιστροφὴ γ'. κῶλον ιγ'.	Μεταφ.
Δάμαρτος Ἱππολύτας	Uxore Hippolyta
Ἀκάστου, δολίαις	Acasti, dolosis
Τέχναισι χρησαμένος·	Artibus usus:

PARAPHRASIS.

imperium obtinuit. Item Phthiæ urbis Thessalicæ cujus domina est Thetis Pelei conjux. Item Epiri latæ regionis, quam Achillis filius Neoptolemus rex occupavit. In qua videas excelsa Acroceruniorum collium cacumina pascendis bobus idonea: qui initium à Dodona ducunt, & in mare Ionium desinunt. Item in gratiam Iolci civitatis sitæ ad radices Pelii montis, quam cum Peleus hostili manu subvertisset, sibi subdidit, & cum prius esset Magnesiæ, Thessaliæ adjunxit. Occasionem autem Iolcum oppugnandi dederat injuria ab Acasto propter Hippolytes ejus uxoris calumniam, accepta. Etenim Peliæ filius Acastus adhibita fide conjugis accusationi, imitatus dolum

NOTÆ.

83 Διαπρυσίᾳ] Alias διαπρύσιος est Penetrabilis, quasi διαπορεύσιος. Aliqui reddunt, Epiro celebratæ. Il. Θ. διαπρύσιον γεγωνὼς, Quum ita clamasset, ut omnes audirent. 86 Δωδώναθεν leg. Ald. Unde præ cæteris constat, hunc Cod. minus synceram lect. exhibere, & eum castigasse librarium quendam. Idque vidit Schmidius, qui tamen illius, quisquis fuit, sententiæ subscribit. Secunda enim, inquit, Syllaba alias semper longa per ω scribitur. Vellem & ostendere possimus ex sexcentis aliis locis. 87 Ἰόνιον hab. Rom. & Brub. Infra ad N. 7. Schol. hunc locum citans. Ἰόνιον πόντον scribit, πόρον etiam legi non dissimulans. 89 Λατρίας forte legendum pro λατρείαν, cujus Masculin. λάτρις est Ol. 10. Schmid. 90 Idem Χερὶ Dor. Perinde. 94 Χρησαμένης (Schmid. ex conjectura) id est Ἱππολύτας. Uxore Acasti Hippolyta, dolosis artibus usa.

αὐτὴν ἁρπασάσης, καὶ ἐπὶ Ταύρους, τὸν Σκυθίας τόπον, ἀγαγούσης, ἐπεδίωκεν ἐρῶν ὁ Ἀχιλλεύς. καὶ συνεκολλήθησε μέχρι ταύτης τῆς νήσου τῆς λεγομένης Λευκῆς. [Θέτις δὲ κρατεῖ Φθίᾳ.] ἀντὶ τοῦ, ἐν Φθίᾳ. Φύλαρχός φησι, Θέτιν πρὸς Ἥφαιστον ἐλθεῖν εἰς τὸν Ὄλυμπον, ὅπως Ἀχιλλεῖ ὅπλα κατασκευάσῃ. τὸν δὲ ποιῆσαι. ἐρωτικῶς δὲ ἔχοντα τὸν Ἥφαιστον πρὸς τὴν Θέτιν, οὐ φησὶν ἂν δώσειν αὐτῇ, εἰ μὴ αὐτῷ προσομιλήσαι. τὴν δὲ αὐτῷ ὑποσχέσθαι. θέλει μέντοι ὁπλίζεσθαι, ὅπως ἴδῃ εἰ ἁρμόζει ἃ πεποίηκεν ὅπλα τῷ Ἀχιλλεῖ. ἴσον γὰρ αὐτὴν ἐκείνῳ ἔλεγε. τοῦ δὲ παραχωρήσαντος, ὁπλισαμένην τὴν Θέτιν φυγεῖν. τὸν δὲ, οὐ δυνάμενον καταλαβεῖν, σφῦραν λαβεῖν καὶ πατάξαι εἰς τὸ σφυρὸν τὴν Θέτιν. τὴν δὲ, κακῶς διατεθεῖσαν, ἐλθεῖν εἰς Θετταλίαν, καὶ ἰαθῆναι ἐν τῇ πόλει ταύτῃ, τῇ ἀπ' ἐκείνης Θετιδείῳ καλουμένῃ. ἐκείνης δὲ ὁ Πίνδαρος μνημονεύει τῆς Θετιδείου. περὶ οὗ ἐν πρώτῳ Φερεκύδης, οὕτω γράφει. Ἔπειτα Πηλεὺς ᾤχετο εἰς Φθίαν, καὶ Θέτιν ἐπὶ τῶν ἵππων τούτων ἄγων, οἰκεῖ ἐν Φαρσάλῳ, καὶ ἐν Θετιδείῳ. ὃ καλεῖται ἀπὸ τῆς Θέτιδος ἡ πόλις. ὁ δ' νοῦς, οὕτως. ἡ δὲ Θέτις, ἄρχει καὶ δεσπόζει τῆς Φθίας. ἔνθα ἐστὶ καὶ τὸ Θετίδειον ἱερόν. ὡς καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ. [Νεοπτόλεμος δ' Ἀπείρῳ διαπρυσίᾳ.] ὅγε μὲν Νεοπτόλεμος ὁ Ἀχιλλέως παῖς, ἄρχει τῆς πολλῆς Ἠπείρου. ἐν ᾗ οἱ ἔξοχοι πρῶνες καὶ πρὸς τροφὴν βοῶν ἐξαίρετοι τυγχάνουσιν, ἐκ Δωδώνης τὴν ἀρχὴν ἔχοντες, καὶ περαιούμενοι πρὸς τῷ Ἰονίῳ πόρῳ. λέγεται δὲ ὅτι μετὰ τὰ ἐν Ἰλίῳ ταύτης τῆς Ἠπείρου ἦρξεν ὁ Νεοπτόλεμος. [Ἄλλως.] τὰ ἄκρα τῶν ὀρῶν. βουβόται, προέχοντες, οἱ καλλίστους βοῦς τρέφοντες τόποι. λέγονται γὰρ, ἐκ τοῦ γένους τῶν τοῦ Γηρυόνεως βοῶν, αὐτόθι μεμενηκέναι. κλέψαντος παρ' Ἡρακλέους Λακίνου τινός. ἀφ' οὗ καὶ Λάκινοι καλοῦνται οἱ ἐκεῖ βόες. μνήμην τοῦ τὸ γένος καταστήσαντος τῇ προσηγορίᾳ φυλάττοντες. τὸ δὲ [Διαπρυσίᾳ,] ἀντὶ τοῦ διηνεκεῖ, φησίν. οἷον ἀπ' ἀρχῆς μέχρι πέρατος. οὐ μέρους τῆς Ἠπείρου, ἀλλ' ὅλης. [Ἀπείρῳ] γὰρ, ἀντὶ τοῦ Ἠπείρῳ, φησί. [Βουβόται] δὲ, οἱ βουκόλοι. βούτροφος γὰρ ἡ Ἤπειρος. [Παλίου δὲ πὰρ ποδὶ λατρείαν Ἰαωλκόν.] τὴν δὲ κειμένην Ἰωλκὸν πρὸς τοῖς κάτω μέρεσι τῆς Θεσσαλίας ὁ Πηλεὺς πορθήσας διὰ τὴν Ἀκάστου ἐπιβουλὴν, δουλὴν παρέδωκεν τοῖς Θετταλοῖς. τουτέστιν, ὑπήκοον. ἔστι δὲ ἡ Ἰωλκὸς, τῆς Μαγνησίας. ἥτις πρὸς τοῖς τέρμασι τοῦ Πηλίου ὄρους κεῖται. ἔστι δὲ ἡ αἰτία τῆς δουλείας αὕτη. Ἱππολύτη θυγάτηρ γέγονε Κρηθέως Ἀκάστου γαμετή. ἥτις τῷ Πηλεῖ ἐρωτικῶς διατεθεῖσα, καὶ μὴ πείσασα συνελθεῖν αὐτὸν, φθάσασα τῷ Ἀκάστῳ ὡς ἀσχήμονα, ἢ βίαιον διέβαλεν. ὁ δὲ, καλακούσας καὶ προφασισάμενος, ἤγαγεν ἐπὶ τὰ ἀπέρημα τοῦ Πηλίου, καὶ καταλείψας θηρίοις ὑποπεσεῖν αὐτὸν, ὑπανεχώρει. φασὶ δὲ, τοὺς θεοὺς τῆς σωφροσύνης οἰκτείραντας τὸν Πηλέα, Ἥφαιστον ἐξαποστεῖλαι. τὴν δὲ μάχαιραν ἔχοντα, τῷ Πηλεῖ ἀφιῆσαι. ἢ τὰ περιπίπτοντα τῶν θηρίων διαχειρώμενος, εἰς Θεσσαλίαν

Τᾷ Δαιδάλου δὲ μαχαίρᾳ	Dædali autem gladio
Φυτευέν οἱ θάνατον	Machinatus-est illi mortem
Εκ λόχου, Πελίαο παῖς.	Ex insidiis, Peliæ filius.
Αλαλκε δὲ Χείρων,	Defendit autem *eum* Chiron.
Καὶ τὸ μόρσιμον Διόθεν πε-	Et quod fatale à-Jove de-
πρωμένον ἔκφερεν.	stinatum *ei esset*, expulit.
Πῦρ δὲ παγκρατὲς, θρασυ-	Ignem vero *ille* omnia vincentem, audaci-
μαχᾶν τε λεόντων	umque-in-pugna leonum
Ονυχας ὀξυτάτους, ἀκμὰν	Ungues acutissimos, & a-
Τε δεινοτάτων σχάσαις ὀδόντων,	ciē horrendissimorū quū cohibuisset dentiū,
ἐπῳδὸς γ'. κώλων ιγ'.	Metaph.
Εγαμεν ὑψιθρόνων	Duxi uxorem altithronarum
Μίαν Νηρεΐδων·	Unam Nereidum:

PARAPHRASIS.

Dædali, qui vice gladii, cum Minoem interficere vellet, Cocali regis filiabus persuasit, ut in illum lavantem aquæ calidæ defluxu per tecti culmen misso, eum interimerent: Peleum inermem in sylvas Pelii montis deduxerat, ut à feris laceraretur, nec eum ipsemet occideret. Verum hoc prohibuit Chiron: & ut erat Jovis in fatis, qui innocentes protegit, malum hoc à Peleo depulit. Postea Thetidis unius ex Nerei filiabus alto solio insidentibus, nuptias obtinuit, coërcitis & devictis omnibus illis formis in quas sese mutabat, mortalis hominis nuptias aversans. Nam modo in ignem omnia vincentem, modo in leonem ferocissimum, cui sunt acutissimi ungues, & dentium horrendorum acies mordacissima, sese convertebat. Suis autem in nuptiis Peleus vidit symposio accumbentes

NOTÆ.

95 Δαιδάλῳ leg. Schmid. vertitque Artificioso sc. gladio. 96 Φύτευεν] Plantavit, ut suo post tempore fructus appareret. Et hanc ἔμφασιν etiam alibi apud Poëtam nostrum habet hoc Verbum, ut ex Indice constat; tamen id non satisfacit Schmidio. Illi enim in mentem venit vox quædam aliquando à Sophocle usurpata sc. φιτύσας unde φίτυς Pater apud eundem. Ideo mavult hic ita legere. Illic vero Codd. vulgati habent φυτεύσας· & forte iste Scholiastes mendas detegere voluit, ubi nullæ essent, ex suspicione quadam corruptionis, qua maxime laborant Grammatici. 101 Πῦρ δὲ πάγκρατές τε, est conjectura Schmid. licet Aldi lectionem non deserat. Edd. aliæ habent, θρασυμαχᾶν, quod Scholion videtur. 104 Καὶ ἀκμὰν δειν-. leg. Schmid.

λίαν κατῆλθε. καὶ κατελθὼν, καταπολέμησεν Ακαστον, καὶ τὴν Ιωλκόν. ὁ δὲ νοῦς. ἀλλὰ μὴν καὶ τὴν παρὰ τοῖς τέρμασι τοῦ Πηλίου ὄρους κειμένην Ιωλκὸν, ὑπήκοον καὶ δούλην ἔδωκε, νικήσας ἐν πολέμῳ διὰ τροπαίου ὁ Πηλεὺς, πρότερον οὖσαν Μαγνησίας, καὶ αὐτὴν ὑπέταξε Θεσσαλοῖς, εἰς πρόφασιν τιμωρείας, ταῖς τῆς Ακάστου γυναικὸς Κρηθηΐδος ἐπιβουλαῖς ἀποχρησάμενος. αὕτη γὰρ δολίως ἐπεβούλευσε τῷ Πηλεῖ. [Τᾷ Δαιδάλου δὲ μαχαίρᾳ.] Δαιδάλου μάχαιραν, τὸν δόλον εἶπε· τμητικὸν γεγονότα εἰς ἀπώλειαν. παρόσον δολίᾳ τέχνῃ χρησάμενος, ἐπεβούλευσεν. ὁ γὰρ Δαίδαλος ἐκ Κρήτης εἰς Σικελίαν ἀφικόμενος πρὸς Κώκαλον βασιλεύοντα τῆς Καμίκου, πείθει τὰς θυγατέρας Κωκάλου, διὰ τῆς ὀροφῆς ποιῆσαι κατάῤῥουν. δι' οὗ ἐκχυθὲν θερμὸν ὕδωρ, ἐπενεχθήσεται τῷ Μίνῳ λουομένῳ. καὶ τοῦτον τὸν τρόπον ἀπώλεσεν ὁ Μίνως. τούτῳ οὖν τῷ τρόπῳ, φησὶ, κέχρηται τὸν Ακαστον. ἀφῆκε γὰρ αὐτὸν ἐπὶ τῆς ἐρημίας, ὡς ἀπολούμενον ὑπὸ τῶν κενταύρων. διὸ μετῆλθεν αὐτόν καὶ πιθανώτερόν ἐστι τὸν δὲ σύνδεσμον, ἀντὶ τοῦ γὰρ παρειλῆφθαι. τῇ γὰρ Δαιδάλου μαχαίρᾳ, ὁ Ακαστος αὐτῷ δόλον ἐφύτευσε. Δίδυμος δέ φησι γράφειν δεῖ, διὰ τοῦ ω μεγάλου. Δαιδάλῳ ἡ μαχαίρᾳ, δόλον ἤρτυσε τῷ Πηλεῖ, παρελόμενος αὐτοῦ κρύφα, ἵνα χωρὶς ἀμυντηρίου ἁλοὺς, ὑπὸ τῶν κενταύρων φθαρῇ. ταῦτα δὲ ἱστοροῦσι πολλοὶ μὲν, ἀτὰρ δὴ καὶ Ησίοδος, λέγων οὕτως· Ηδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή. Αὐτὸν μὲν σχέσθαι, κρύψαι δ' ἀδόκητον μάχαιραν Καλὴν, ἣν οἱ ἔτευξε περικλυτὸς ἀμφιγυήεις. Ως τὴν μαστεύων, οἶος κατὰ Πήλιον αἰπὺ, Αἶψ' ὑπὸ κενταύροισιν ὀρεσκῴοισι δαμείη. Δαιδάλου δὲ εἶπε τὴν μάχαιραν, διὰ τὸ ὑπὸ Ηφαίστου κατεσκευάσθαι. ἐπικῶς δὲ τὰ Ηφαίστου ἔργα, Δαίδαλά φησι· Ποίει Δαίδαλα πόλλ' εἰδυίῃσι πραπίδεσσιν. ὁ δὲ νοῦς, ὅστις, φησὶν, Ακαστος ὁ τῷ τοῦ Δαιδάλου τρόπῳ ἀναλαβὼν, καὶ τὴν ἐκείνου τῶν δόλων μάχαιραν, ἐμηχανᾶτο κατ' αὐτοῦ θάνατον. οὐχ' ὅτι Δαιδάλου εἶχε ξίφος. ἀλλ' ὅτι τὸν δόλον ἐῴκει τῷ Δαιδάλῳ ὁ Ακαστος. [Αλαλκε δὲ Χείρων καὶ τὸ μόρσιμον.] ἀμφίβολον· πότερον, τὸ μόρσιμον ἐκφέρει, καὶ ἔξω ἔφερε τὸν κίνδυνον καὶ τὸν θάνατον αὐτῷ τὸν πεπρωμένον, ἢ ὅτι ἐξέφερε καὶ ἐπεδείκνυσε τὸ πεπρωμένον. τουτέστιν, ἐξέφερε καὶ ἔσωζε τῶν κινδύνων. ὁ δὲ νοῦς. ἀλλὰ βοηθὸν ἔχων Χείρωνα, τὴν ἔχθραν ἐτιμωρήσατο, καὶ οὕτως ὑπὸ τῆς πεπρωμένης διεσώθη, τὸν κίνδυνον διελθών. [Πῦρ δὲ παγκρατὲς.] τὸ πάντων κρατοῦν καὶ διαπόζον, διὰ τὸ φθαρτικὸν τῆς δυνάμεως. οἱ δὲ, φυσικώτερον ἀκούουσι τὸν λόγον, τὴν τῶν θεῶν φύσιν εἰς πῦρ ἀνάγοντες. ὅτι δὲ καθ' ὃν καιρὸν ἡ Θέτις γάμῳ συνήπτετο τῷ Πηλεῖ, εἴς τε πῦρ, καὶ εἰς λέοντα, καὶ εἰς διαφόρους ἰδέας μετέβαλλεν ἑαυτῆς τὴν φύσιν, μὴ βουλομένη γαμηθῆναι τῷ Πηλεῖ, καὶ Ομηρος μαρτυρεῖ· Εκ μέν μ' ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν, Αἰακίδῃ † πόλιν. καὶ, Ετλην ἀνέρος εὐνὴν, Πολλὰ μάλ' οὐκ ἐθέλουσα. [Αλλως.] φαίνεται ἐκ τούτων ἡ Θέτις μὴ βουλομένη γαμηθῆναι Πηλεῖ. μετεβάλλετο οὖν, ὥσπερ ὁ Ομηρικὸς Πρωτεύς. οὔτε οὖν τὸ πῦρ εἰς ὃ μετέβαλεν, οὔτε οἱ τῶν λεόντων ὄνυχες καὶ ὀδόντες, ἤνυόν τι. σχάσας οὖν καὶ ἐπισχὼν τοὺς ὄνυχας καὶ τοὺς ὀδόντας ἔγημε τὴν Θέτιν ὁ Πηλεύς. ἡ δὲ μεταφορὰ, ἀπὸ τῶν ἐρεσσόντων. οἳ ὅταν λήγωσι τῆς ἐρεσίας, χαλῶσι τὰς κώπας. ὁ δὲ νοῦς. τὸ δὲ [‡ λεόντων] κρατοῦν πῦρ, ᾧ ἀπείκαζεν ἑαυτὴν ἡ Θέτις· καὶ τὴν θρασεῖαν τῶν θηρίων φύσιν· καὶ τὴν ἀκμὴν ἐπισχὼν καὶ παύσας τῶν ὀδόντων, οὕτω λοιπὸν ἔγημεν αὐτὴν τὴν ἐνδοξοτάτην τῶν Νηρεΐδων. καὶ γέγονε τῶν οὐρανίων θεατὴς ἀκριβῶς. ἐπειδὴ λέγεται ἀπειλῆφθαι ἐν οὐρανῷ, ἀθανασίᾳ τιμηθείς.

† Πηλεῖ, καὶ ἔτλην κ.λ. apud Hom. ‡ Leg. πάντων

Εἶδεν δ' εὔκυκλον ἕδραν,
Τᾶς ὠρανῶ βασιλῆες
Πόντου τ' ἐφεζόμενοι,
Δῶρα καὶ κράτος ἐξέφα-
ναν ἐς γένος αὐτῷ.
Γαδείρων τὸ πρὸς ζόφον ὠ πε-
ρατόν. Ἀπότρεπε
Αὖτις Εὐρώπαν ποτὶ χέρ-
σον ἔντεα ναός.
Ἄπορα γὰρ, λόγον Αἰακοῦ
Παίδων τὸν ἅπαντά μοι διελθεῖν.

στροφὴ δ'. κῶλον ιγ'.

Θεανδρείδαισι δ' ἀε-
ξιγυίων ἀέθλων
Κάρυξ ἕτοιμος ἔβαν,
Ολυμπία τε, καὶ Ισθμοῖ,

Viditque rotundam sellam,
Cui cœli reges
Marisque insidentes,
Dona & potentiam exhibue-
runt in posteros ipsi.
Gadium *pars vergens* ad occasum non trans-
iri-potest. Converte *igitur*
Rursus Europam ad ter-
ram armamenta navis.
Impossibile-est enim, sermonem *de* Æaci
Filiis universum mihi percurrere.

METAPH.

Theandridis autem mem-
bra-augentium certaminum
Præco promptus veni,
Cum-Olympia, & Isthmo,

PARAPHRASIS.

Deos tum cœlestes tum marinos, qui circa mensam sedilia sua præclare in orbem composita habebant in monte Pelio: quo ipsi unusquisque munera attulit: Vulcanus ensem, Neptunus equos, alii aliud, & concesserunt omnes, ut præclaram & potentem ex hoc conjugio posteritatem consequeretur. Enimvero quid Timasarchum à majoribus commendans, Æaci posterorum historiam prolixius propono? Sane quemadmodum mare ultra Gades occidentales non est navigabile, sed hic est navigantium terminus, unde Europeam terram versa navi repetere coguntur. Ita cum non possis res gestas ab Æaci posteris carmine recensere, ad rem propositam regredere. Et cum in Theandridarum familia, ex qua ortum ducit Timasarchus, sit satis ampla laudum seges, mihi jam ad eos est veniendum, ut tanquam promptus præco victorias proclamem quas consequuti sunt in Olympiis, Isthmiis

NOTÆ.

107 Ἕδραν] Sic. P. 3. Κρόνου παῖδας βασιλῆας ἴδον χρυσέαις ἐν ἕδραις. 111 Rom. Brub. & Comm. hab. ἐς γένος. Phil. & Lon. reddiderunt, Singuli juxta naturam suam. Censet Rittershus. legendum ἐγγενὲς, ad κράτος relatum. Non opus vero Inventione. 114 Εὐρώπαν] Schmid. leg. Εὐρίαν, ideſt Orientalem; quæ lectio nulla prorsus ratione nititur. 120 Ἔβαν] Lon. venit, sc. Præco. 121 Οὐλυμπία, Schmid.

[Εἶδε δ' εὔκυκλον ἕδραν.] οἱ μὲν φυσικώτερον, τὸν οὐρανὸν ἀπέδοσαν, διὰ τὸ σφαιροειδές· ἀλλ' ἐναντιοῦται αὐτοῖς τὰ τῆς ἱστορίας. οὐ γὰρ τὸν οὐρανὸν ὁ Πηλεὺς ἐθεάσατο. ἀκουστέον οὖν τὸ περὶ τὸ Πήλιον τῶν θεῶν κυκλοτερὲς συμπόσιον. ὅπερ συνετελέσθη τοῖς τοῦ Πηλέως γάμοις. λείπει οὖν ἡ ἐπὶ ἵν' ᾖ, ἐφ' ἧς ἕδρας καθίσαντες οἱ θεοὶ, οἵ τε Ολύμπιοι καὶ οὐράνιοι, δῶρα ἔδωκαν αὐτῷ. ἕδρας δὲ, ἢ τοῦ οὐρανοῦ, ἢ τοῦ Ολύμπου. ὁ δὲ νοῦς. ἐθεάσατο δὲ τὴν ἕδραν καὶ τὴν ἀσφάλειαν τοῦ οὐρανοῦ, καὶ τοὺς θεοὺς τοὺς θαλαττίους καὶ τοὺς οὐρανίους, οἵτινες αὐτῷ καὶ τοῦτο ἐδωρήσαντο, φανερώσαντες τὸ ἑαυτῶν κράτος καὶ τὸ γένος ἐν ὀφθαλμοῖς. ἢ, ὅτι ὁ Ποσειδῶν ἵππους, Ἥφαιστος δὲ μάχαιραν ἔδωκε. καὶ οὕτω μέχρις ἐκγόνων αὐτοῦ παρέπεμψε τὴν εὔκλειαν. [Δῶρα καὶ κράτος ἐξέφαναν] ἀμφίβολον. πότερον, ἐδεισήμηναν τὸ κράτος τοῦ Πηλέως αὐτῷ ὧν κρατήσει τόπων, ἢ ἐδεισήμηναν ἐν τῷ γάμῳ αὐτῷ, ὅτι ἔσται οὕτως ἐγγενὲς, ὥστε καὶ ἐγγόνοις καταλιπεῖν· ἢ τὸ ἑαυτῶν κράτος οἱ θεοὶ ἐξέφηναν αὐτῷ. τουτέστι τὴν ἑαυτῶν φύσιν καὶ δύναμιν, καὶ τὸ ἐγγενὲς αὐτοῖς. οὐ μεταβαλόντες τὴν μορφὴν ὡς ἔθος θνητοῖς φαντάζεσθαι θεοὺς, ἀλλ' ἐν ταῖς ἰδίαις μορφαῖς ὤφθησαν αὐτῷ. ἢ, τὸ κράτος, τὸ περιγενόμενον αὐτῷ. [Γαδείρων τὸ πρὸς ζόφον, οὐ περατόν.] οὐκ ἔστι, φησὶ, Γαδείρων περάσαι τὰ ἐπέκεινα· ζόφος γὰρ καὶ ἀφάνεια. ἀποστρέφειν μὲν οὖν, εἰς τὰ ὀπίσω ἄγει τὴν ναῦν. ἀλληγορικώτερον λέγειν βουλόμενος, ὅτι οὐκ ἔστι δυνατὸν εἰς πάντας τοὺς ἐπαίνους χωρεῖν τοῦ † Τιμάρχου. ἐπάγει γοῦν, ὅτι οὐκ ἔστι δυνατὸν τὸν πάντα λόγον καὶ ἔπαινον τῶν ἐκγόνων τοῦ Αἰακοῦ διελθεῖν, ὥσπερ οὐδὲ Γαδείρων ἐπέκεινα. Γάδειρα γὰρ πόλις μέχρι τῶν στηλῶν Ἡρακλέους, ἔνθα τὸ τέλος ἐστὶ τοῦ πλεῖν, καὶ τοῦ ὁδεύειν. περαιτέρω γὰρ λοιπὸν, ὁ Ὠκεανὸς. καὶ πάντα ἀφανῆ, ζόφου ὄντος. τὰ ἐντεῦθεν οὖν τῶν Γαδείρων, τῆς Εὐρώπης ἐστίν. εἰς δύο γὰρ διῄρητο τὸ παλαιὸν μέρη ἡ οἰκουμένη, Εὐρώπην καὶ Ἀσίαν. ὁ δὲ νοῦς. ὥσπερ οὐκ ἔστιν ἐσωτέρω πλεῖν ἐπὶ τὴν δύσιν. ἐπειδὰν ἅπαξ τις ἐπὶ τὰ Γάδειρα ἀφίκηται, ἀλλ' ἐπιστρεπτέον ἐστὶ ἐπὶ τὴν Εὐρώπην, διὰ τὸ μὴ εἶναι ἔτι πλεῖν, οὕτω καὶ ἐπὶ πάντα τῶν Αἰακιδῶν τὸν ὕμνον ἀφικέσθαι οὐ δυνατόν. μὴ πλέε γοῦν, φησι, πρὸς ζόφον· ἔξω τῶν Γαδείρων. ἀλλὰ στρέφε τὴν ναῦν ἐπὶ τὴν Εὐρώπην. ἔντεα γὰρ ναὸς περιφραστικῶς, ἀντὶ τῆς ναῦν εἶπε. διατί δὲ τοῦτό φησι, διασαφήσει. [Ἄπορα γὰρ λόγον Αἰακοῦ παίδων] διὸ μετάστρεφε τὴν ναῦν ἐπὶ τὰ δυνατά. ὥσπερ τινὰ ναῦν, ἐπὶ τοὺς ἱερονίκας. [Θεανδρείδαισι δ' ἀεξιγυίων ἀέθλων.] φατρία τις ἀπό τινος Θεάνδρου προγόνου ἐνδόξου τῶν περὶ Τιμασάρχου· ᾧ γέγραπται ἡ ᾠδή. ἦλθον οὖν κῆρυξ, φησὶν, ἕτοιμος τοῖς Θεανδρείδαις, τῶν αὐξόντων τὰ σώματα, ἄθλων. καὶ τοὺς ἐν Ἰσθμοῖ καὶ Νεμέᾳ.

† Τιμασάρχου.

[Ἔνθα

Νεμέᾳ τε συνθέμενος·	Nemeaque fœdus-pactus:
Ἔνθα πεῖραν ἔχοντες, οἴ-	Ubi specimen edentes, do-
καδε κλυτοκάρπων	mum inclytos fructus ferentibus
Οὐ νέοντ' ἄνευ στεφάνων. Πά-	Non redeunt sine coronis. Fami-
τραν νιν ἀκούομεν,	liam illam audimus,
Τιμάσαρχε, τεὰν ἐπινι-	Timasarche, tuam victo-
κίοισιν ἀοιδαῖς	rialibus carminibus
Πρόπολον ἔμμεναι. Εἰ δέ τοι	*Quasi* perfectam esse. Si vero sane
Ματρῶϊ μ' ἔτι Καλλικλεῖ κελεύεις	Avunculo me etiam Callicli jubes
ἀντιστροφὴ δ'. κῶλον ιγ'.	Μεταφη.
Στάλαν θέμεν, Παρίου	Columnam ponere, Pario
Λίθου λευκοτέραν·	Lapide candidiorem.
Ὁ χρυσὸς ἑψόμενος	Aurum excoctum
Αὐγὰς ἔδειξεν ἁπάσας·	Fulgores emittit omnes:
Ὕμνος δὲ τῶν ἀγαθῶν	Hymnus vero præclare
Ἐργμάτων, βασιλεῦσιν ἰ-	Gestarum-rerum, regibus for-
σοδαίμονα τεύχει	te-æqualem facit
Φῶτα. Κεῖνος ἀμφ' Ἀχέροντι	Virum. Ille apud Acherontem
Ναιετάων, ἐμὰν	Habitans, meam

PARAPHRASIS.

& Nemeis, quibus in certaminibus, corporis robur ob membrorum exercitationem augentibus, suæ fortitudinis specimen ediderunt, & unde nunquam sine coronis, quarum fructus est gloria, rediverunt. Itaque, Timasarche, audimus tribum tuam tanquam ministram præire carminibus, quæ pro victoribus sacrorum certaminum scribuntur. Quod si præterea me jubes, ut avunculo tuo Callicli matris tuæ fratri encomiasticum carmen componam, quod sit Pario lapide, videlicet marmorea columna, splendidius & durabilius, id lubens faciam: eritque hoc pacto clarum nomen ejus. Nam ut aurum quod igni liquitur & purgatur, micantiorem fulgorem reddit: sic carmen quo clara facinora laudantur, eorum factorum virum, illustriorem efficit, ejusque sortem regali adæquat. Quanquam autem vita functus est Callicles,

NOTÆ.

124 Συνθέμενος] Lon. Ornatus. Schmid. Συνθέμενος, τουτέστι Θεανδρειδῶν. 125 Νέον γ' ἄνευ leg. Ald. 127 Σὰν pro νιν leg. Schmid. quod facile non esse genuinum quivis videt. 132 Λευκοτέραν] *Paron niveum* Virg. Æn. 3. Schol. ait vocari Λύγδινον, quod hab. Anacreon, Περὶ Λυγδίνη τεχθείσῃ, χάριτες πίτυος πᾶσαι. 136 Βασιλεῦσιν κ. λ.] Lon. redd. Regibus & Diis parem facit.

[Ἔνθα πεῖραν ἔχοντες.] ἔνθα τοῖς ἀγῶσιν ἀπόπειραν λαβόντες καὶ γνῶσιν τῆς ἀγωνίας ἔχοντες, οὐδέποτε ἄνευ στεφάνων εἰς τὴν οἰκίαν ἐληλύθασι. τῶν ἔνδοξον καρπὸν φερόντων στεφάνων. [Πάτραν νιν ἀκούομεν.] τὴν πατρίδα σου ταύτην ἀκούομεν, φησὶ, τὴν τῶν Θεανδρειδῶν, ὦ Τιμάσαρχε, προέχουσαν τοῖς τῶν ᾠδῶν ἐπινικίοις. τὸ γὰρ [Πρόπολον ἔμμεναι,] τουτέστι προϋπάρχουσαν εἶναι. ὁ δὲ νοῦς. τὴν πατρίδα ἀκούομεν, ὦ Τιμάσαρχε, τὴν πατρίδα τὴν σὴν τοῖς ὕμνοις τοῖς ἀπὸ τῆς ὑμετέρας νίκης θεραπεύουσαν. καὶ εἶναι ὑπηρέτιν τῆς ὑμετέρας νικῶν. [Εἰ δέ τοι μάτρωϊ μ' ἔτι Καλλικλεῖ.] μάτρωι, ὃ τῆς μητρὸς ἀδελφός. ὁ δὲ λόγος. εἰ δὲ καὶ τῷ σῷ θείῳ κελεύεις ἐπὶ μεθεῖναι στήλην πρὸς πάροδον, καὶ μνημονεῦσαι τοῦ τῆς μητρός σου θείου Καλλικλέος, μνημονεύσομαι. ἢ οὕτως. εἰ δὲ δὴ καὶ τῷ Καλλικλεῖ τῷ τῆς μητρός σου θείῳ κελεύεις ἐπὶ στήλην τινὰ ἀναστῆσαι τῆς Παρίου λίθου λευκοτέραν, ποικιλωτέραν ἔξωθεν τὸ, ποιήσω. τουτέστι λαμπροτέρως ὑμνήσω καλλίονως. τοῦτο δὲ εἴρηκεν, ὡς διαβεβαιῶς γεγονέναι ἐν ἀρχῇ, ὅτι μνημονεύσει) διὰ τῆς ᾠδῆς, τοῦ Καλλικλέος φησίν. ἀλληγορικῶς δὲ τὸ ποίημα στήλην λέγει. Πάριος δὲ λίθος ἐστὶν, ὁ καλούμενος Λύγδινος. [Ὁ χρυσὸς ἑψόμενος.] τουτέστιν, ὡς τὸν χρυσὸν ποιεῖ τὸ πῦρ διαυγέστερον, οὕτω τοὺς ἀγαθοὺς ἄνδρας ὁ ὕμνος διαφανεστέρους καὶ τοῖς βασιλεῦσιν ἴσους. τουτέστιν οὕτω λάμπει, ὥσπερ οἱ ἀγαθοὶ ὑμνούμενοι λάμπουσιν. [Κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων.] ἐκεῖνος ὁ Καλλικλῆς, φησὶ, εἰ καὶ τέθνηκεν ἤδη, τῆς ἐμῆς εὐφημίας τευξέσθω. ὡς τεθνηκότος δὲ αὐτοῦ, εὔφημον ἐχέτω, φησὶ, τὴν ἐμὴν γλῶσσαν εἰς τὸν ὕμνον αὐτοῦ, τὴν ὑμνοῦσαν. τοῦτο γάρ ἐστι τὸ [Κελαδέοντι] Καλλικλέα Ἰσθμικ. τοῦτο φησὶν, ὅτι ἐν τῷ τοῦ Ποσειδῶνος ἀγῶνι τῷ Ἰσθμικῷ, ἐστέφθη ὑπὸ τῶν Κορινθίων Καλλικλῆς.

[Τὸν

Γλῶσσαν εὑρέτω κελαδῆ-
τιν, Ὀρσοτριαίνα
Ἰν' ἐν ἀγῶνι βαρυκτύπου
Θάλησε Κορινθίοις σελίνοις.

Linguam inveniat decantan-
tem, Tridentem - concutientis
Ut in certamine gravistrepi
Decoratus - fuerit Corinthiacis apiis.

ἐπῳδὸς δ'. κῶλον ιγ'.

METAPH.

Τὸν Εὐφάνης ἐθέλων
Γεραιὸς προπάτωρ
Ὁ σὸς ἀείσεται, παῖ.
Ἄλλοισι δ' ἅλικες ἄλλοι.
Τὰ δ' αὐτὸς ἂν τις τύχῃ,
Ἐλπεταί τις ἕκαστος ἐξ-
οχώτατα φάσθαι.
Οἷον αἰνέων κε Μελησί-
αν, ἔριδα στρέφοι.
Ῥήματα πλέκων, ἀπάλαι-

Quem Euphanes libens
Senex progenitor
Tuus canet, ô Juvenis.
Aliis vero coætanei - sunt alii.
Quæ vero ipse *aliquis* attigerit,
Sperat unusquisque ex-
cellentissime *se* enarraturum.
Qualem si - quis - laudat etiam Melesi-
am ; *ille* contentionem averterit.
Verba *Melesias* contexens, insupera-

PARAPHRASIS.

nihilominus me laudatorem nanciscatur, qui dicam eum in Isthmiis, quod Neptuno terram tridente concutienti gravemque ictu strepitum excitanti, certamen est sacrum, vicisse, & corona Corinthiaco ex apio contexta decoratum fuisse. Quem quidem Euphanes avus tuus maternus, ô juvenis Timasarche, senex venerandus egregius hymnographus, victoriarum ejus oculatus testis, recte laudabit carmine: ut & alios victores alii poetæ qui eodem tempore vixerunt. Unusquisque autem sperat se ea quæ viderit ipse, optime narraturum. Sicuti & tuum unctorem Melesiam laudans idem oculatus testis rerum ab ipso gestarum, omnem eas diversimode narrantium contentionem detorqueat. Ejus autem verborum texturæ, & eloquentiæ tanta est vis ut in dicendo sit insuperabilis,

NOTÆ.

143 Θάλησε leg. Schmid quia & θαλέω in usu esse patet ex Plutarch. in Cons. ad Apoll. citante hunc versum: Νῦν δ' ἄμμες, πρὸς δ' ἄνη θάλλουσι, αὐτίκα δ' ἄλλοι. 148 Etiam hic Textus corruptus est, judice Schmidio. Legit vero τῶν δ' αὐτὸς ἂν τυχῃ. 150 Φάσθαι] Verti potest etiam Passive, Optime à se enarrari. Schmid. 151 Observat autem Poëta τὸ πρέπον in laude hujus Melesiæ Aliptæ, verbis ex arte παλαιστικῇ desumptis, ut personæ huic convenientibus usus, στρέφοι, πλέκων, ἀπάλαιστος, ἕλκει, μαλακὰ, τραχύς. Schmid. Idem Schol. innuit. 152 Ἔριδα στρέφοι] Portus, Contentionem aliquis torquebit in æmulum & contentiosum hominem, suum adversarium superabit, & ideo torquebit.

[Τὸν Εὐφάνης ἐθέλων.] ὅν τινα Καλλικλέα, καὶ ὁ Εὐφάνης ὁ πρεσβύτερος τῶν σῶν προγόνων, ὦ Τιμάσαρχε, ᾄσει καὶ ὑμνήσει δηλαδή. ὡς ἀποθανόντα ἀποθανών. ὡς ὅτι καὶ ἐν ᾅδου εἰσὶν οἱ θαυμάζοντες τοὺς ἀρίστους. καὶ ὅτι αἴσθησίς ἐστιν ἐν αὐτοῖς. ἢ οὕτως. ὁ Εὐφάνης ἐστὶν ἐκ τοῦ αὐτοῦ γένους Τιμασάρχῳ παλαίτερός τις καὶ τῶν σοφῶν, καὶ τῶν συγγραψάντων ἐπαίνους. λέγεται δὲ πάππος εἶναι τοῦ νικηφόρου πρὸς μητρός. ἢ οὕτω. τοῦτο ἐπιπεφώνηκεν, ὡς τοῦ Εὐφάνους καὶ Καλλικλέους, ἡλικιωτῶν ὄντων. διὸ, φησὶν, ἐκεῖνος ὁ ἡλικιώτης ᾄσεται καὶ ὑμνήσει τὸν Καλλικλέα. τοὺς δὲ ἄλλους ὑμνήσουσιν οἱ ἡλικιῶται. τουτέστι, σὲ οἱ ἡλικιῶται ὑμνήσουσιν. τὸν δὲ Καλλικλέα, ὁ Εὐφάνης. [Τὰ δ' αὐτὸς ἂν τις τύχῃ ἔλπεταί τις ἕκαστος.] ἕκαστος γὰρ, φησιν, οἴεται ταῦτα ὑπάρχειν ἐξοχώτατα, ἅπερ αὐτὸς οἶδε. τοῦτο δὲ λέγει, ὡς τοῦ Εὐφάνους παρατετυχηκότος, ὅτε ὁ Καλλικλῆς ἐνίκα τὰ Ἴσθμια. διὸ ὑμνήσει αὐτόν. ἅτε παρατετυχηκὼς καὶ ἑωρακὼς ἐν τῷ ἀγῶνι τοῦ Ὀρσοτριαίνα αὐτὸν νικήσαντα. ἢ οὕτω. ταῦτά γε μὴν ὅπερ ἂν τύχῃ λέγων, ἐλπίζει καὶ πείθεται αὐτὸς ἐξαιρέτως, καὶ ὑπὲρ τοὺς λογίους εἰρηκέναι. ἔνιοι δὲ, οὕτως. ἅπερ δὴ ἂν τις τύχῃ θεασάμενος, ταῦτα δοκεῖ καὶ ἀκριβέστερον διαπίθεται, καὶ κάλλιον οὕτω νοεῖν τῶν ἄλλων. [Οἷον αἰνέων κε Μελησίαν.] ὁ Ἀρίσταρχος ψιλοῖ τὸ, οἷον. ὁ δὲ λόγος. μόνον ἂν τις ἐπαινῶν τὸν Μελησίαν, τὰς ἀπαντωμένας ἔριδας παρὰ τῶν ἄλλων στρέφοι καὶ καταπαλαίοι· καὶ καταγωνίζοιτο. ἡ μεταφορὰ, ἀπὸ τῶν παλαιόντων. δύναται δὲ καὶ δασέως ἀναγινώσκεσθαι τὸ, οἷον. θαυμαστικῶς. ὥς φησι Δίδυμος. ἐλλείπει δὲ τὸ τίς. οἷον τίς τοῦτον τὸν Μελησίαν ἐπαινῶν, τὰς τῶν ἄλλων ἔριδας καταπαλαίοι, οἷον καὶ περιγίνοιτο. διαπρέπει γάρ. ὥστε τοὺς φθονοῦντας, μηδὲν ἀνύειν. παρεῖται δὲ τὸ τίς. ἔστι γάρ. ἔριδα στρέφοι τις ῥήματα πλέκων, οἷον ἄν τις αἰνέων τὸν Μελησίαν. ὁ δὲ νοῦς. μόνον δὲ ἄν τις αἰνέων, καὶ ὑμνῶν τὸν Μελησίαν, τὸν ἀλείπτην τοῦ Τιμασάρχου, τὴν ἔριδα καὶ τὴν φιλονεικίαν ἀποστρέψαι, τὴν παρὰ τῶν ἄλλων δηλαδή. [Ἀπάλαιστος ἐν λόγῳ ἕλκειν.] τοῦτό ἐστι καὶ ἐπὶ τοῦ Μελησίου ἀκούειν, ὥς φησι Δίδυμος. οἷον, ἀκαταπάλαιστός ἐστι πρὸς τὸν ἕλκοντα αὐτὸν ἐν λόγοις. ὡς καὶ λογίου ὄντος τοῦ Μελησίου. οἱ δὲ, ὅτι ὁ νικῶν. τάχα δὲ ὁ νικηφόρος κάλλιον ὑμνεῖ. ἀπάλαιστος οὖν, φησι, καὶ ἀνίκατος τοῖς, καὶ ἐν τοῖς, λόγοις. καὶ οὐ δυνάμενος παραλογισθῆναι ὑπὸ τῶν

παλαιόντων

ϛος ἐν λόγῳ ἕλκει,	bilis in oratione *animos* trahit,
Μαλθακὰ μὲν φρονέων ἐσλοῖς,	Mollia quidem cogitans bonis,
156 Τραχὺς δὲ παλιγκότοις ἔφεδρος.	Asper vero inimicis animadversor.

PARAPHRASIS.

& quemvis trahat in suam sententiam, vir adeo candidus & syncerus, ut bonos benevolentia prosequatur, infestisque adversariis æque asperum ultorem se præbeat, atque antagonistæ fatigato ephedrus, qui ipse viribus integer cum eo congreditur.

NOTÆ.

155 Μαλακὰ leg. Schmid. 156 Ἔφεδρος.] Qui occasionem ulciscendi captat. Proprie, Qui insidias struit.

παλαίσματι δὲ πάλιν ἡ μεταφορά. καὶ τροπικαὶ αἱ λέξεις, ἀπὸ τῆς ἀθλήσεως. ἐάν τις, φησὶν, αὐτὸν εἰς λόγους ἕλκει, οὐ πίπτει, ἀλλ' ἔστιν ἀκαταπάλαιστος. ἔστι δὲ καὶ ἐπὶ τοῦ ἐπαινοῦντος αὐτὸν ἀκοῦσαι, ἐφ' οὗ προσῆπτον, τὸ, ἐπὶ αἰνέσειν κε Μελησίαν. τὰ δὲ ἑξῆς, ἐπὶ τοῦ Μελησίου λέγει, [Μαλθακὰ μὲν φρονέων ἐσλοῖς, τραχὺς δὲ παλιγκότοις ἔφεδρος.] καὶ ταῦτα ἐπὶ τοῦ Μελησίου. ἦν δὲ ἐκεῖ τὸ γένος Ἀθηναῖος. ταῦτα δέ φησιν, ὡς τοῦ Τιμασάρχου, ὑπὸ τοῦ Μελησίου, ἀλειφομένου. [Ἔφεδρος] οἷον· τοῖς ἐχθροῖς, ὁ ἐπικείμενος τοῖς ἐχθροῖς, ὁ ἐφεδρεύων καὶ ἐπιτηρῶν. ἀθλητικὸν δὲ τὸ ὄνομα. ἐπὶ ἀντὶ τοῦ, ἀνταγωνιστοῦ. προκαταλαμβανομένοις γὰρ καὶ προκεκμηκόσι τοῖς προηγωνισμένοις πρὸς ἀλλήλους, ἀκμαῖος ἐφίσταται. τὸ δὲ [Τραχὺς,] ἀντὶ τοῦ, φοβερὸς, ἐπαχθής. ὁ δὲ νοῦς ὅλος, πρᾶος μὲν καὶ προσηνὴς τοῖς ἀγαθοῖς καὶ φίλοις· χαλεπὸς δὲ τοῖς ἐναντίοις ἐφεδρευτής.

Τέλος τῆς δ' τῶν Νεμέων ᾠδῆς.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΠΕΜΠΤΟΥ ΤΩΝ ΝΕΜΕΩΝ ΕΙΔΟΥΣ.

ΤΗΣ πέμπτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ἕνδεκα. Τὸ α΄, δίμετρον ἰαμβικὸν ἀκατάληκτον. Τὸ β΄, δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ γ΄, ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ δ΄, δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ ε΄, ἐγκωμιολογικόν. † Τὸ ς΄, ὅμοιον τῷ δευτέρῳ. Τὸ ζ΄, τὸ αὐτό. ἡ δὲ τελευταία κατὰ τὸ πάθος καταλήξασα. Τὸ η΄, Εὐριπίδειον. Τὸ θ΄, ἰαμβέλεγος. Τὸ ι΄, ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ια΄, τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτῆς.

Ἡ ἐπῳδὴ, κώλων ἕνδεκα. Τὸ α΄, χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ β΄, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ γ΄, ἐγκωμιολογικόν. Τὸ δ΄, Εὐριπίδειον. Τὸ ε΄, προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ς΄, Εὐριπίδειον. Τὸ ζ΄, ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ η΄, χοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ θ΄, ἀντιχοριαμβικὸν τρίμετρον ἀκατάληκτον, διὰ τὴν ἐν ἀρχῇ τῆς τροχαϊκῆς συζυγίας. καὶ ἔστι Σαπφικόν. πλεονάζον μιᾷ συλλαβῇ κατὰ τὴν ἴαμβον ἐξηλλαγμένον. Τὸ ι΄, ἰαμβέλεγος, ἀπὸ τῆς ἀρχῆς. Τὸ ια΄, Ἰωνικὸν, δίμετρον ἀκατάληκτον. καὶ ἡ τελευταία ἀπόδοσις τὸ, χάρισιν ἐξέτεινεν.

† Ed. Brub. ad marg. πενθημιμερὲς δακτυλικόν.

Ratio vero metrica ita se habet:

στροφὴ & ἀντιστροφή.

1.	- - υ -	υ - υ -	
2.	- υ - -	- υ - -	-
3.	υ υ - υ	υ - - -	υ υ
4.	- υ υ	- υ υ	- υ
5.	- υ υ -	υ υ - υ	- υ - -
6.	- υ - -	- υ - -	
7.	- υ - -	- υ - -	
8.	- υ - -	- υ -	
9.	- - υ -	- - υ υ	- υ υ -
10.	- - υ -	- - υ -	-
11.	- υ - -	- υ - -	

ἐπῳδός.

1.	- - υ υ	- υ υ -	-
2.	- υ - -	- υ - -	
3.	- υ υ -	υ υ - -	- υ - -
4.	- υ - -	- υ -	
5.	- - υ υ	- υ υ -	-
6.	- υ - -	- υ -	
7.	- - υ -	- - υ υ	- - υ -
8.	- υ υ -	- - υ υ	
9.	- - υ υ	- υ υ -	- - υ -
10.	- υ - -	- υ υ -	υ υ -
11.	υ υ - -	- υ - -	

ΠΥΘΕΑ

ΠΥΘΕΑ ΑΙΓΙΝΗΤΗ ΥΙΩ ΛΑΜΠΩΝΟΣ, ΠΑΓΚΡΑΤΙΑΣΤΗ.

ΕΙ'ΔΟΣ Ε'.

PYTHEÆ ÆGINETÆ, FILIO LAMPONIS, PANCRATIASTÆ.

ODE V.

ARGUMENTUM.

Pytheas Ægineta Lamponis filius laudatur à victoria Pancratii, ab amicorum lætitia & patriæ honore, à consanguineo Euthymene Pancratii pariter victore; à victoriis Æaciorum & Megaricorum ludorum; à præstantia Menandri Atheniensis Aliptæ ipsius; denique ab avo Themistio.

στροφὴ α'. κώλων ια'.

Οὐκ ἀνδριαντοποιός εἰ-
μ', ὥστ' ἐλινύσοντά μ' ἐργάζε-
σθαι ἀγάλματ' ἐπ' αὐτᾶς βαθμίδος
Ἑσταότ'. Ἀλλ' ἐπὶ πάσας
Ὁλκάδος, ἔν τ' ἀκάτῳ,
Στεῖχ' ἀπ' Αἰγίνας, διαγγέλ-
λοισ' ὅτι Λάμπωνος υἱὸς
Πυθέας εὐρυσθενὴς
Νικῆ Νεμέιοις παγκρατίου στέφανον.

Μεταφρ.

NON statuarius sum,
Ut non-movenda fabricer simulacra, super eadem basi
Stantia. Sed in quavis
Nave-oneraria, & cymba,
Proficiscere ab Ægina, nuncians, quod Lamponis filius
Pytheas robustus
Victor-reportarit in-Nemeis Pancratii coronam.

PARAPHRASIS.

Non calleo artem statuariam, qua viris virtute insignibus æneum marmoreumve, aut id genus simulachrum erigere possim: sed Poëtica polleo, qua mihi facile est res præclare gestas celebrare, unde virorum præclarorum nomen clarius innotescat. Etenim statuæ quantumvis affabre factæ & decoræ, loco in quo positæ fuerunt non moventur, nec nisi ab accedentibus illas cernuntur: sed carmina terras omnes & maria peragrant, & viri laudati laudes undiquaque perferunt. Itaque ô dulcis hymne te in Æginam mitto, inde profecturum navibus cum onerariis, tum actuariis, & promulgaturum ubique terrarum, Lamponis Æginetæ filium Pytheam robustum, Nemeæa pancratii victoria,

NOTÆ.

1 Vide Occasionem hujus ᾠδῆς, quam tradit Schol. Recte monet Bened. Citra istiusmodi occasionem sic ordiri Poëtam potuisse in sui carminis commendationem, quod Victori gloriosius futurum erat quam Statua. Hor. l. 4. Carm. Od. 2. *Sive quos Elea domum reducit Palma cælestes, Pugilemve, equumve Dicit, & centum potiore signis Munere donat.* 2 Ἐλινύσοντα leg. Schmid. qu. ab ἐλινύω, sine auctoritate. Omnes (præter Brub. quæ leg. ὡς ἐλλινύζοντ') hab. ἐλινύσοντ'. Vide I. 2, ad finem. Vertit Philipp. Mobilia, quod Schmid. σφάλμα graphicum esse conjicit pro Immobilia. Sed cum Etymol. ab ἐλινύθαι deducat, addens ἐν αὐτῷ, licet non admittamus Philippi interpretationem, tamen ita scripsisse putandus est. Et forsan respexit ad O. 7, 19. Alii judicent. 5 Schmid. annectit huic κώλῳ γλυκεῖ' ἀοιδά, conjectura ducta à γλυκεῖα ᾠδὴ, apud Schol. Id vero agit, ut metrum restituat. 6 Στεῖχ' Idem. Non vult Poëta Hymnum ut statuam manere Æginæ affixam. 9 Νεμέοις Aliqui. Νεμέιοις vero cæteri præter Schmid. cujus castigationem probamus.

[Οὐκ ἀνδριαντοποιός εἰμι.] φασὶν, ὅτι οἱ οἰκεῖοι τοῦ Πυθέου ἦλθον πρὸς αὐτὸν, παρακαλοῦντες ὅπως γράψῃ ἐπινίκιον. Πινδάρου δὲ αἰτήσαντος τρεῖς δραχμὰς, ἔφασαν ἐκεῖνοι, κάλλιον εἶναι χάλκεον ἀνδριάντα ποιῆσαι τῆς αὐτῆς τιμῆς, ἢ τὸ ποίημα. χρόνῳ δὲ ὕστερον γνωσιμαχήσαντες, ἦλθον τὸ αὐτὸ διδόντες. ὁ δὲ ἐξονειδίζων αὐτοὺς οὕτως ἤρξατο. καὶ φησι, μὴ κατασκευάζειν ἔργα τὴν αὐτὴν κατέχοντα χώραν, καθὼς οἱ ἀνδριαντουργοὶ τοὺς χαλκοῦς ἀνδριάντας· ἀλλὰ τὰ ποιήματα, ἅπερ πανταχόσε διικνεῖται. ὥστε τὴν ἀρετὴν τῶν ἐπαινεθέντων, πολλοῖς εἶναι δήλην. ὁ δὲ νοῦς. οὐκ εἰμί, φησιν, ἀνδριαντοποιὸς, ὥστε ἀργὰ καὶ ἀκίνητα ἐργάζεσθαι ἀγάλματα ἐπ' αὐτῆς τῆς βαθμίδος ἑστῶτα διηνεκῶς, καὶ οὐ δυνάμενα ἀλλαχοῦ τὴν τῶν νικηφόρων διαβοᾶν εὐδοξίαν. ἐνδείκνυται δὲ διὰ τούτων, ὅτι οἱ λόγοι πάντων εἰσὶ βελτίους. [Ἀλλ' ἐπὶ πάσας ὁλκάδος.] ὁλκὰς εἶδος φορτηγοῦ πλοίου. ἄκατος δὲ πλοῖον βραχύτατον. ὁ δὲ λόγος. διὰ παντὸς οὖν πλοίου φορτηγοῦ τε καὶ μικροτέρου, ὦ γλυκεῖά μου ᾠδὴ, πορεύου, ἐκβοῶσα πρὸς πάντας, τὰς τοῦ Πυθέου νίκας. τὸ δὲ [Νικῆ,] κατὰ μετάθεσιν τοῦ α εἰς η.

[Οὔπω

Οὔπω γένυς φαίνεν τέρειναν
Ματέρ' οἰνάνθας Ὀπώραν.

ἀντιστροφὴ α'. κώλων ια'.

Ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥ-
ρωας αἰχματὰς φυτευθέντας,
Καὶ ἀπὸ χρυσέων Νηρηΐδων,
Αἰακίδας ἐγέραιρεν,
Ματρόπολίν τε, φίλαν ξένων ἄρουραν·
Τάν ποτ' εὔανδρόν τε, καὶ ναυ-
σὶ κλυτὰν θέσαντο, πὰρ βω-
μὸν πατέρος Ἑλλανίου
Στάντες, πίτναντ' ἐς αἰθέρα χεῖρας ἁμᾶ,
Ἐνδαΐδος ἀριγνῶτες υἱοί,
Καὶ βία Φώκου κρέοντος,

Nondum gena *ei* protulit teneram
Matrem floridæ-vitis Oporam.

METAPH.

Ex Saturno autem Joveque heroas bellicosos prognatos,
Et ab aureis Nereidibus,
Æacidas decoravit,
Metropolinque, amantem hospitum terram:
Quam olim & viris-valentem, & navibus inclytam fundaverunt, ad aram patris Hellenii
Stantes, tetenderunt ad æthera manus simul,
Endeidis celebres filii,
Et robur Phoci regis,

PARAPHRASIS.

contextam funebri apio coronam promeritum esse. Illi nondum genæ teneram lanuginem producebant, quæ juvenibus ante virilem ætatem efflorescit, quum edito sui roboris specimine tam luculento, decus addidit bellicosis heroibus Æacidis prognatis ex Saturno, Jove, & Nereidibus: siquidem Saturnus fuit Chironis pater, Chiron Endeidis, ex qua & Æaco Jovis filio orti sunt Telamon & Peleus. Nereides autem nymphæ pepererunt, Psamathe quidem Æaco Phocum, Thetis vero Achillem Peleo. Quinetiam ornamento fuit Æginæ patriæ, urbi hospitalitatis studiosissimæ, ex qua tanquam ex metropoli originem duxerunt Teucer qui Cyprum, Peleus qui Iolcum, Telamon qui Salaminem, Achilles qui Leucen occupavit. Quam etiamnum generosis viris instructam, & navibus inclytam, olim fundaverunt nobiles Endeidis filii Telamon & Peleus, fortisque rex Phocus, Deæ marinæ Nereidis Psamathæ filius, quem illa in littore maris peperit: qui cum Æaco patre simul preces manibus ad sydera evectis fudere juxta aram Jovis patris, ut Græciam siccitate squalentem, imbrium compotem faceret, qua impetrata, Panhellenium Jovem, quod toti Græciæ salutem contulisset, nuncuparunt.

NOTÆ.

11 Aretius per οἰνάνθην Vindemiam intelligi posse, & ὑπαλλαγῇ opus non esse, censet. 12 Καὶ Ζηνὸς] Διός τε leg. Schmid. Frustra. 18 Θέσαντο] Hesychius, Ἐκάθισαν. Pind. Lex. pro ἱδρύσαντο, vel ἵσαντο, à θέω, θέσω & θέσσω, ἱθεσάμην. 19 Πατρὸς θ' Ἑλλανίου Schmid. 20 Εἰς Comm. leg. Schmid. Si aliquid sit mutandum, πίτναντο sine Apostrophe habeatur.

[Οὔπω γένυσι φαίνεν τέρειναν.] ἀλληγορεῖ. βουλόμενος σημῆναι τὸ ἀγένειον, ἀπὸ τῆς κυπριζούσης ἀμπέλου. ἡ δὲ ὀπώρα, οὐκ ἔστι τῆς Οἰνάνθης μήτηρ. ἀλλὰ τοὐναντίον. προανθεῖ γὰρ πρῶτον. εἶτα ὀπώρα γίνεται. χρῆται δὲ τῇ τοιαύτῃ ἀναστροφῇ συνεχῶς. Ἀσυχία φιλεῖ μὲν συμπόσιον. οὐ γὰρ ἡ ἡσυχία φιλεῖ τὸ συμπόσιον, ἀλλὰ τὸ συμπόσιον τὴν ἡσυχίαν. Δίδυμος δὲ, βέλτιον, φησὶ, μὴ τὸν καρπὸν, ἀλλὰ τὴν ὥραν ἀκούειν, καθ' ἣν ὁ καρπὸς ὁμωνύμως πεπαίνεται. ὅτι δὲ καλοῦσι τὸν καιρὸν ὀπώραν, Ὅμηρος· Καὶ φάτ' ἐλεύσεσθαι, ἢ ἐν θέρει, ἢ ἐν ὀπώρῃ. θέλει οὖν λέγειν, ὅτι οὔπω καιρὸν τοῦ γενειάσκειν ἔχων. οἰνάνθην γὰρ κατὰ μεταφορὰν τὸν ἴουλον εἴρηκε, τουτέστι τὴν πρώτην τῶν γενειάδων ἀνάφυσιν. μήτηρ δὲ τοῦ γενειάσκοντος γίνεται ἡ ὥρα. ὁ δὲ νοῦς. οὐδέπω ἐν τῇ γενειάδι δεικνὺς τὴν ἁπαλὴν ὥραν καὶ ὀπώραν. τουτέστιν, οὐδέπω γενειάσκων. τὸ δὲ σχῆμα, περίφρασις, ἐξ ἀλληγορίας. οὔπω τῆς ἁπαλῆς οἰνάνθης τὴν μητέρα ὀπώραν φαίνων. ὅπερ ἐστὶν ὥραν, ὡς Ὅμηρος· Οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρῃ. ἀντὶ τοῦ, τῷ ὀπωρινῷ καιρῷ. [Ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας.] συλλήψει κέχρηται. ἀπὸ Κρόνου καὶ Ζηνὸς καὶ Νηρεΐδων, λέγων εἶναι τοὺς Αἰακίδας. Αἰακὸς γὰρ Διός. Αἰακοῦ δὲ καὶ Ἐνδηΐδος τῆς Χείρωνος, Τελαμὼν καὶ Πηλεύς. ὁ δὲ Χείρων, Κρόνου. πάλιν ἀπὸ τῶν Νηρεΐδων, Φῶκος καὶ Ἀχιλλεύς. Ἀχιλλεὺς μὲν γὰρ, παῖς Θέτιδος· ἔκγονος ὢν Αἰακοῦ. Φῶκος δὲ Ψαμάθης Νηρηΐδος καὶ αὐτῆς Αἰακοῦ. ἐκ δὲ Κρόνου καὶ Ζηνὸς, Τελαμὼν καὶ Πηλεύς. Κρόνου μὲν γὰρ Χείρων καὶ Φιλύρας. Χείρωνος δὲ Ἐνδηΐς. Ἐνδηΐδος δὲ, Τελαμὼν καὶ Πηλεὺς ἐξ Αἰακοῦ. τούτους οὖν Κρόνου καὶ Ζηνὸς ἀπὸ χρυσῶν Νηρηΐδων φυτευθέντας, ἐγέραιρε. τίς; ὁ Πυθέας νικήσας. ὡς ἂν προγόνους αὐτοῦ καὶ κτίστορας. ὁ δὲ νοῦς. τοὺς δὲ ἀπὸ Κρόνου καὶ Διὸς καὶ ἀπὸ τῶν καλλίστων Νηρεΐδων, τουτέστι τοὺς Αἰακίδας, ἐκόσμησε καὶ αὐτὴν τὴν μητρόπολιν Αἴγιναν. ἀπὸ κοινοῦ δὲ τὸ, ἐγέραιρε. [Ξείνων ἄρουραν] δὲ, τὴν Αἴγιναν φησίν. ἢ, ὅτι φιλόξενοι οἱ Αἰγινῆται, ἢ, καθότι μητρόπολις ἦν τῶν περὶ Πηλέα καὶ Τελαμῶνα. γεννηθέντες γὰρ ἐν τῇ Αἰγίνῃ, ἀπῳκίσθησαν, διὰ τὸν Φώκου θάνατον. [Τάν ποτ' εὔανδρόν τε.] τουτέστιν, ἀγαθοὺς ἄνδρας ἔχουσαν καὶ ἐν τοῖς ναυτίλλεσθαι. ὁ δὲ νοῦς. ἥν τινα Αἴγιναν, ηὔξαντο ἀγαθῶν ἀνδρῶν ἐπιτυχεῖν, καὶ ἔνδοξον γενέσθαι τὰ ναυτικά. ηὔξαντο δὲ πάντες παρὰ τὸν Ἑλλανίου Διὸς βωμόν. Ἑλλήνιος δὲ Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ. παρὰ † τῷ οὕτως Ἑλληνίῳ ἀκρωτηρίῳ καλουμένῳ. φασὶ γὰρ, αὐχμοῦ ποτε πιέζοντος τὴν Ἑλλάδα, ἔνιοι δὲ, κατακλυσμοῦ, συνελθόντας τοὺς Ἕλληνας, καθικετεῦσαι τὸν Αἰακὸν, ὡς ὄντα παῖδα Διὸς, ἐξαιτήσασθαι τῶν τότε συστάντων κακῶν τὴν ἴασιν. τοῦτον δὲ εὐξάμενον ἀποθεραπεῦσαι τὰ δεινὰ, καὶ οὕτω διὰ τὴν τῆς Ἑλλάδος σωτηρίαν, Ἑλλήνιον παρὰ τοῖς Αἰγινήταις τιμῆσαι Δία. [Ἐνδαΐδος ἀρίγνωτες υἱοί.] τινὲς δὲ, πάντες ὁμοῦ ἐλιτάνευσαν περὶ τῶν προειρημένων οἱ ἔνδοξοι παῖδες τῆς Ἐνδηΐδος, φασὶ, Τελαμὼν καὶ Πηλεὺς, καὶ ὁ Φῶκος ὁ τῆς θεοῦ Ψαμμάθης παῖς. ὅν τινα ἡ Ψαμμάθη ἐγέννησε παρὰ τοῖς αἰγιαλοῖς τῆς θαλάσσης, εἰκότως ὡς Νηρηΐς. [Κρέοντος] δὲ, ἤτοι τοῦ ἐνδόξου, ἢ βασιλέως.

† Τό, Brub.

[Αἰδέομαι

ἐπῳδὸς α'. κῶλαι ια'.

Ὁ τᾶς Θεᾶ, τὸν Ψαμάθεια
Τίκτ' ἐπὶ ῥηγμῖνι πόντα.
Αἰδέομαι μέγα εἰπεῖν, ἐν δίκᾳ τε
Μὴ κεκινδυνευμένον·
Πῶς δὴ λίπον εὐκλέα νᾶσον,
Καὶ τίς ἄνδρας ἀλκίμας
Δαίμων ἀποινώσαις ἔλασεν. Στάσομαι.
Οὔ τοι ἅπασα κερδίων,
Φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής.
Καὶ τὸ σιγᾶν, πολλάκις ἐστὶ σοφώ-
τατον ἀνθρώπων νοῆσαι.

στροφὴ β'. κῶλαι ια'.

Εἰ δ' ὄλβον, ἢ χερῶν βίαν,

METAPH.

Deæ filii, quem Psamathea
Peperit in littore maris.
Vereor rem-magnam eloqui, justeque
Non perpetratam:
Quomodo scilicet reliquerint celebrē Insulā,
Et quis viros fortes
Dæmon ultus abegerit. Stabo.
Non enim omnis utilis est,
Ostendens faciem veritas exacta.
Et tacere, sæpe est sapien-
tissimum inter-homines scire.

METAPH.

Si vero felicitatem, aut manuum robur,

PARAPHRASIS.

Verum illi postquam civitatem fundarunt, in ea non permanserunt, sed mutatis sedibus Telamon in Salaminem Atticæ Insulam, Peleus Phthiam Thessaliæ urbem profectus est, idque magna de causa: propter facinus nimirum injustum, quod magno periculo perpetrarunt: ideoque me pudet dicere cur Insulam tam inclytam reliquerint, & quæ fortuna viros bellicosos OEnona natali solo facessere coëgerit, silentio præteribo. Neque enim conducibile semper est, imo damnosum aliquando, nudam veritatis faciem retegere. Sed viri prudentis est scire quando sit tacendum: nihilque opportuno & tempestivo silentio inter homines est sapientius. Enimvero referam potius & faustam eorum fortunam, & quæ præclare gesserunt. Atque ita viribus ingenii mei confido, ut si fœlicitatem illorum, aut robur manuum,

NOTÆ.

25 Lege τῦ τᾶς Θεῦ ὃν Ψαμάθεια τίκτε. Etsi enim ὁ τᾶς Θεῦ, Syntaxi ad sensum relata defendi posset, v gr. si βία Φώκυ intelligatur ὁ Φῶκος, inferri posset, ὁ τᾶς Θεῦ tamen quia secunda ἐπῳδὸς à dictione τῦ τᾶς incipiens reclamat; licet tertia facile in ordinem redigi potest: male τῦ [Φώκυ] τᾶς Θεῦ. Et quia ultimam in Θεῦ oportet esse brevem, pro τὸν, legendum omnino est ὅν. Verba sunt Schmidii, de quibus judicent Critices periti. Id vero cavendum, ne metricas leges violari constituamus, si hoc vel alio modo legatur, nisi id plane constet. Hic enim ἰσοδυναμία est, ut inspicienti patebit. 27 Εὐκλέα leg. Ald. nonnullæ. 29 Ἀποινώσαις] Ita hab. omnia exemplaria. Ἄποινα sunt Præmium, retributio. Inde ἀποινόω, Præmio condigno, vel pœna afficior, & sumitur in bonam vel malam partem, Retribuo. Ulciscor. Schmid. quem seq. Ben. leg. ἀπ' Οἰνώνας, occasionem pariente Scholiaste, cujus locum ad hoc † signum inspicias. Idem sentit & Rittershusius. Aretius vero censet. Ab Οἰνώνα desumptum esse ἀποινώσαις, quasi ἀποινωνήσας. Si hoc verum esset, Scholiasten in loco laudato hanc vocem interpretari aliquis putet, non vero cum Schmidio legisse. Sed illud non est verisimile. Nihilominus eum ἀπ' Οἰνώνας legisse hinc vix constare potest. Solita sua brevitate usus Poëta sensum expresserat, quem Scholiastes additis his vocibus, quæ sane sunt supplendæ, explicat. Schol. in prioribus habet, τὸ μῦσος φεύγοντας τῆς Αἰγίνης ἐκπεσεῖν· quam sententiam si Active reddas, Δαίμων τὸ μῦσος φεύγειν ἐποίησεν, καὶ τῆς Αἰγίνης ἐκπεσεῖν, jam Scholiis cum Textu convenit. Verum si hæc non omnino satisfaciant, & Lector juxta nobiscum animi pendeat; non tamen si Schol. ita legerit, & corrupto Cod. fuerit usus, sanum Textum corrumpere licebit. Schmid. interim ἀπ' Οἰνώνας legisse videtur præcipue, quia ult. brevem respuit metrum. 30 Ἀπάσα Dor. pro Ion. ἁπάση leg. Schmid.

[Αἰδέομαι μέγα εἰπεῖν.] αἰδοῦμαι καὶ φυλάττομαι, φησὶ, διηγήσασθαι μέγα τι, καὶ οὐ δικαίως τετολμημένον καὶ πεπραγμένον. εἰς γὰρ τὰ πάθεια τῶν Αἰακιδῶν ἐμπεσών, καὶ μνησθεὶς Φώκου, ὑποστέλλεται τὴν κατ' αὐτὸν τύχην λέγειν. ἔστι δὲ αὕτη· φασὶ γὰρ, Πηλέα καὶ Τελαμῶνα ἐν γυμνασίοις ἀνελόντα Φῶκον· τὸν μὲν δίσκῳ τύψαντα, τὸν Πηλέα· καὶ τὸν Τελαμῶνα, σιδήρῳ τὰ μετάφρενα. καὶ οὕτω τὸ μῦσος φεύγοντας, τῆς Αἰγίνης ἐκπεσεῖν. καὶ τὸν μὲν Τελαμῶνα, εἰς Σαλαμῖνα τὴν περὶ τῇ Ἀττικῇ· τὸν δὲ Πηλέα, εἰς Θετταλίαν μετοικῆσαι. ὡς καὶ Ἀπολλώνιος ἐν τῷ καταλόγῳ φησί· Τελαμὼν μὲν, ἐν Ἀτθίδι νάσσατο νήσῳ· Πηλεὺς δὲ ἐν Φθίῃ ἐρειβώλακι ναῖε λιασθείς. [Ἄλλως.] τί αἰδεῖται ὁ Πίνδαρος, καὶ τί αὐτοῖς φησὶ μὴ δικαίως κεκινδυνευμένον εἶναι; τὸ, ὅτι ἀνεῖλον τὸν Φῶκον καὶ ἔφυγον. περιεσταλμένως δὲ αὐτὸ εἴρηκε. μέγα δὲ ἔργον, φησὶν, ὅτι οὐ κατὰ δίκην ὁ κίνδυνος ἐτολμήθη τῷ Τελαμῶνι καὶ τῷ Πηλεῖ, τὸν ἑαυτῶν ἀδελφὸν ἀποκτείναντας Φῶκον. ἀλλ' ἄδικος ὁ τοιοῦτος κίνδυνος. ὅν φησιν αἰδεῖσθαι εἰπεῖν· δύναται δὲ καὶ οὕτως ἀκούεσθαι, τὸ ἀκίνδυνον ἐν δίκῃ, ἀληθές. ὁ γὰρ μὴ ἔχει κίνδυνον κατὰ τὴν δίκην, ἀληθές ἐστιν. οὐδὲν οὖν ὁ Πίνδαρος τὸν Φώκου θάνατον, ἀλλ' ἐκτρέπεται εἰπεῖν. μή ποτε δὲ καὶ τὸ παρὰ Καλλιμάχῳ ἔκλυε· Τῶν μηδὲν ἐμὰς δι' ὀδόντας ὀλίσθῃ Πηλεύς, οὕτως ἀποδοτέον. ὅτι αἱ γυναῖκες ὠνείδιζον αὐτῷ τὸν Φώκου θάνατον. ὁ δὲ νοῦς. αἰδοῦμαι γοῦν, φησι, τὴν προφανῆ αἰτίαν, δι' ἣν κατέλιπον τὴν ἐνδοξοτάτην νῆσον Αἴγιναν, εἰπεῖν. καὶ τίς τούτους τοὺς ἄνδρας δαίμων καὶ τύχη ἀπὸ † τῆς Οἰνώνης ἀπήλασε, παύσομαι τῆς τοιαύτης διηγήσεως. [Οὔ τοι ἅπασα κερδίων.] οὐ φέρει κέρδος πᾶσα ἀλήθεια. ἀτρεκὴς γὰρ καὶ φαίνουσα τὸ ἴδιον πρόσωπον. ἀλλὰ δεῖ ποτὲ καὶ ἐπικαλύπτεσθαι τὸ πρόσωπον τῆς ἀληθείας. ὁ δὲ νοῦς. οὐ γὰρ πᾶσα ἐπικερδής ἐστιν ἀλήθεια φανερὰ γινομένη καὶ εἰς ὄψιν ἀγομένη ἀτρεκῶς. ἀλλὰ πολλάκις καὶ τὸ νοῆσαι ὅτι δεῖ κατὰ καιρὸν σιωπῆσαι, σοφώτατόν ἐστι πρᾶγμα. [Εἰ δ' ὄλβον, ἢ χερῶν βίαν.] τὰ μὲν περὶ τὸν φόνον τοῦ Φώκου διασιωπήσομαι. εἰ δέ τοι ἐπαινέσαι δεῖ, φησιν· ἢ εὐδαιμονίαν ἀνθρώπων, ἢ σθένος χειρῶν· ἢ τὴν κατὰ πόλεμον ἀρετὴν, δύναμαι, φησὶ, πόῤῥωθεν ἅλλεσθαι, τοὺς Αἰακίδας ἐν τούτοις ὑμνῶν. ὁ δὲ νοῦς. εἰ

Ἢ σιδηρίταν ἐπαινῆσαι
Πόλεμον δέδοκται, μακρά μοι
Δ' αὐτόθεν ἅλμαθ' ὑποσκά-
πτοι τις· ἔχω γονάτων ἐλαφρὰν ὁρμάν.
Καὶ πέραν πόντοιο πάλλον-
τ' αἰετοί. Πρόφρων δὲ κἀκεί-
νοις ἀείδ' ἐν Παλίῳ
Μοισᾶν ὁ κάλλιστος χορὸς· ἐν δὲ μέσαις
Φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον
Χρυσέῳ πλάκτρῳ διώκων,

Ἀντιστροφὴ β'. κῶλον ια'.

Ἁγεῖτο παντοίων νομῶν.
Αἱ δὲ, πρώτιστον μὲν ὕμνησαν,
Διὸς ἀρχόμεναι, σεμνὰν Θέτιν,
Πηλέα θ'· ὥς τέ νιν ἁβρὰ
Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι
Ἤθελε, ξυνᾶνα Μαγνή-
των σκοπὸν πείσαισ' ἀκοίταν

Aut ferreum laudare
Bellum visum-fuerit: *etsi* longos mihi
Inde saltus fodi-
at aliquis: *tamen* habeo genuum levem impetum.
Nam & trans mare libran-
tur aquilæ. Promptus vero etiam-il-
lis canit in-Pelio
Musarum pulcherrimus chorus: interq; medias
Citharam Apollo septisonam
Aureo plectro pulsans,

METAPH.

Præcentor-erat omnigenarum partitionum.
Illæ vero, primo quidem hymno-celebrarunt,
A-Jove exorsæ, venerandam Thetin,
Peleumque: quomodoque ipsum lasciva
Cretheis Hippolyta dolo irretire
Voluit, uxor Magne-
tum custodem quum-persuasisset maritum

PARAPHRASIS.

aut bella quæ ferro confecerunt, encomio celebrare placuerit, mihique copiosa, difficilisque explanatu materia proponatur, sperem me in illius explanatione tam fæliciter & cum laude versaturum, quam athleta, cui flexibilia & agilia sunt genua, in magna fossa levi saltus impetu transilienda, quamque aquila in longo maris tractu transvolando. Etenim quanto aquila graculis altius volat & longius, tanto reliquis poëtis antecello. Inter ceteras autem Æacidarum, quos hic nominavi, laudes, referam ut novem Musarum pulcherrimus chorus in Pelio monte, quum Pelei nuptiæ celebrarentur, cantionem est modulatus, earumque in medio septem fidibus resonantem citharam aureo plectro agiliter pulsans Apollo dux chori, præcentorem agebat, omnisque generis melodia inchoabat. Illæ autem à Jove exorsæ, primum hymno celebrarunt venerandam Thetin, deinde Peleum, quem ut dolo irretire voluerit Cretheis Hippolyte tenera Thessaliæ regis & custodis Acasti conjux, marito in suam sententiam

NOTÆ.

38 Idem & hic ἐλαφρὸν legit. 40 Πρόφρων] Haud imprudenter. Κἀκείνοις] Αἰακίδαις. Lon. ad ἀετοὺς referens reddit, Quibus cum Aquilis Musarum chorus canit. 41 Schmid. ἄειδεν. 42 Μίσαις Idem. Μοίσαις Edd. plurimæ. 43 Επτάγλωσσον] Eodem sensu appellavit ἑπτάκτυπον, P. 2. 45 Νόμων Edd. recentiores, quod etiam probat Schmid. qui νόμους vertit, Modos Musicos. Sed potius intellig. Divisionum Musicarum, vel aliquid simile.

εἰ δὲ δεῖ τὴν ἄλλην εὐδαιμονίαν, τῶν Αἰακιδῶν. ἢ τὴν ἀνδρείαν. ἢ τὰ κατὰ πόλεμον-ἔργα ἐπαινέσαι, ἤδη τίς μοι ὑποσκαπτέτω πήδημα τῶν μεγάλων σημείων. ὥστε κοῦφος διὰ τῶν γονάτων ἐπὶ τὸ ἐξώτερον φέρεσθαι. ἀλληγορεῖ οὖν. δυνάμενος πλέον πάντων θαυμάσαι αὐτούς. καὶ ὑπερβαλέσθαι τοὺς ἀγωνίζεσθαι δυναμένους. ἡ δὲ μεταφορὰ, ἀπὸ τῶν πεντάθλων, οἷς σκάμματα σκάπτονται, ὅταν ἅλλωνται. ἐκείνων γὰρ κατὰ τὸν ἀγῶνα πηδώντων, ὑποσκάπτεται βόθρος, ἐκάστου τὸ ἅλμα δηλοῦν. φησὶν οὖν, ὅτι βουλομένῳ μοι τοὺς Αἰακίδας ἐγκωμιάζειν, ἤδη τις μακρὰ ὑποσκαπτέτω μοι ἅλματα. νικήσω καθάπαξ τοὺς ἐναντίους μοι καὶ ἐγκωμιάζειν βουλομένους. [Καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί.] οἱ ἀετοί, φησιν, οὐ μόνον τὰ σύνεγγυς πέτονται, ἀλλὰ καὶ πελαγίζουσι. καὶ ἐγὼ οὖν, ὡς ἀετὸς, πελαγιῶ ἐν τοῖς ποιήμασιν. [Εν δὲ Μοίσαις, φόρμιγγ' Ἀπόλλων.] ἐν αὐταῖς Μούσαις ὁ Ἀπόλλων, κιθάραν ἑπτάφωνον τῷ πλήκτρῳ κρούων. διὰ γὰρ τῶν πλήκτρων ὥσπερ γλώσσης ὁ φθόγγος ἀποδίδοται. ἐξῆρχε πάσης μελῳδίας. τουτέστι, νόμων μελῳδικῶν. τοῦτο δέ φησι, πρὸς τό, ὡς νομίῳ θεῷ τῷ Ἀπόλλωνι, ἀνατιθέντες τὴν Μοῦσαν. τὸ δὲ [Διώκων,] ἀντὶ τοῦ συνάπτων. κιθαρίζων τῷ πλήκτρῳ. διώκειν δέ φησιν αὐτὸν, τὸ τάχος ἐμφῆναι βουλόμενος τῆς πλήξεως. [Αἱ δὲ, πρώτιστον μὲν ὕμνησαν.] αἱ Μοῦσαι, φησί, πρῶτον μὲν ὕμνησαν τὸν Δία· μετὰ δὲ τὸν Δία, ὕμνησαν δευτέραν τὴν Θέτιν. ἔπειτα τρίτον τὸν Πηλέα, καὶ διηγήσαντο ὅπως αὐτὸν ἡ ἁβρὰ Κρηθηῒς ἡ τοῦ Ἱππολύτου θυγάτηρ, ἀπολέσαι ἐβουλήθη. ἐκ δὲ τούτου, τὸ σεμνὸν ἐγκωμιάζοντες ᾖδον. [Αλλως.] Ἀπὸ Διὸς προοιμιαζόμεναι, φησιν, ᾖδον καὶ ὕμνουν τὴν Θέτιν. τὸ προοίμιον οὖν, ἀπὸ Διὸς ἐποιήσαντο. καὶ ἀλλαχοῦ· Οθεν περ καὶ Ομηρίδαι Διὸς ἐκ προοιμίου. καὶ Αρατος· Ἐκ Διὸς ἀρχώμεσθα. [Μαγνήτων σκοπὸν πείσαισ' ἀκοίταν.] τὸν Ἄκαστον, τῆς Μαγνησίας τὸν ἐπίσκοπον καὶ βασιλέα. ποικίλοις οὖν, φησι, λόγοις τὸν ἑαυτῆς ἄνδρα ἡ Κρηθηῒς ἐπιβουλεῦσαι τῷ Πηλεῖ. τὸ δὲ πλάσμα, ψεύσης ἦν λόγος. ὅτι ἄρα ἐπειρᾶτο ὁ Πηλεὺς, ἐπιβουλεῦσαι τῇ κοίτῃ τοῦ Ἀκάστου, καὶ μοιχεῦσαι τὴν Κρηθηΐδα. ἦν δὲ τὸ ἐναντίον. πολλὰ γὰρ αὐτὸν τὸν Πηλέα ἐκ μέσης ψυχῆς ἐκλιπάρουν, καὶ ἐκβιασαμένη ἐπεχείρει συμπλακῆναι αὐτῇ.

[Τί

Ποικίλοις βουλεύμασι.
Ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,
Ὡς ἄρα νυμφείας ἐπείρα
Κεῖνος ἐν λέκτροις Ἀκάστου

Variis commentis.
Mendacem item fictum concinnavit sermonē,
Quasi scilicet conjugialem tentasset
Ille in stratis Acasti

ἐπῳδὸς β'. κῶλον ια'.

Εὐνᾶς. Τὸ δ' ἐναντίον ἔσκεν.
Πολλὰ γάρ μιν παντὶ θυμῷ
Παρφαμένα λιτάνευεν. Τοῦ δὲ ὀργὰν
Κνίζον αἰπεινοὶ λόγοι·
Εὐθὺς δ' ἀπανάνατο νύμφαν,
Ξενίου πατρὸς χόλον
Δείσαις. Ὁ δ' εὖ φράσθη, κατένευσέν τέ οἱ
Ὀρσινεφὴς ἐξ οὐρανοῦ
Ζεύς, Ἀθανάτων βασιλεύς, ὥστ' ἐν τάχει
Ποντίαν χρυσαλακάτων τινὰ Νη-
ρεΐδων πράξειν ἄκοιτιν,

Μεταφρ.

Torum. Sed contrarium erat *verum*.
Sæpe enim illum toto animo
Ad-iniqua-hortata oravit. Hujus vero mentem
Angebant molesti sermones:
Rectaque recusavit *hanc* sponsam,
Hospitalis patris iram
Veritus. Bene vero novit, annuitque ipsi
Nubium-excitator ex cœlo
Jupiter, Immortalium rex, ut confestim
Marinarum colum-aureā-habentiū aliquā Ne-
reidum efficeret conjugem,

στροφὴ γ'. κῶλον ια'.

Γαμβρὸν Ποσειδάωνα πεί-
σαις· ὃς Αἰγᾶθεν ποτὶ κλειτὰν
Θαμὰ νίσεται Ἰσθμὸν Δωρίαν·

Μεταφρ.

Affini *futuro* Neptuno postquam-id-persua-
sisset: qui ab-Ægis ad inclytam
Sæpe proficiscitur Isthmum Doriam:

PARAPHRASIS.

varìis commentis pertracto, inter cætera narraverunt, utque mendacium excogitatum nequiter compegerit, & dixerit sibi stuprum ab illo oblatum, & tentatum Acasti torum sponsalem. Cum contra ipsum illa ex animo sæpe rogasset, imo suppliciter etiam orasset blandis verbis decipere tentans, ut suos in amplexus veniret. Sed molesti illi, ac nefarii sermones honestum ipsius animum graviter angebant. Itaque illa tanquam sponsa frui recusavit: ut qui jus hospitii temerata hospitis uxore, violare nollet, hospitumque tutorem Jovem revereretur, justamque ejus, si hoc perpetrasset, iram metueret. Tum nubium excitator ille, & rex Immortalium, cognita viri reverentia, eam præmio compensavit, quum è cœlo annuit ut quamprimum Nereidum marinarum Dearum auream colum habentium aliquam in conjugium obtineret: idque cum prius, ut illum in suam affinitatem admitteret, Neptuno persuasisset, qui ab Ægis ubi religiosissime colitur, sæpe ad celebrem Corinthi Isthmum proficiscitur, sacros sibi ludos visurus,

NOTÆ.

56 Εὐνᾶς] Sedem, Lon. quasi esset ἕδρας. 62 Edd. pleræque hab. ὁ δ' ἐφράσθη. Animadvertit, Vulg. Sensit, Schmid. 66 Πράξειν] Laboriosam conciliationem Uxoris innuit, sicut & supra N. 3, dixit καταμάρψαι ἐγκονητί. Schmid. 67 Πείσαις] Phil. ad Peleum refert, non Jovem.

[Τοῦ δὲ ὀργὰν κνίζον αἰπεινοὶ λόγοι.] οἱ προσάντεις λόγοι, καὶ χαλεποί, κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ὑψηλῶν τόπων. προσάντεις οὖν οἱ ἀντίτυποι λόγοι καὶ δυσπρόσιτοι. ὁ δὲ νοῦς. τούτου δὲ τὴν προαίρεσιν καὶ τὸν τρόπον, ἔκνιζον καὶ ἐλύπουν οἱ ἄδικοι λόγοι, καὶ παραχρῆμα ἀπηρνήσατο αὐτήν· εὐλαβηθεὶς τὴν τοῦ ξενίου Διὸς ὀργήν. ἵνα καθόλου ἀκούσωμεν, τοῦ πατρός. ὡς Ὅμηρος· Πατὴρ ἀνδρῶν τε θεῶν τε. ἢ ὅτι ὁ Πηλεὺς ἔκγονος ἦν Διός. [Ὁ δ' ἐφράσθη.] ὁ δὲ Ζεύς, φησίν, ἐφράσθη, ἀντὶ τοῦ ἔγνω. καὶ ἀντὶ τῆς σωφροσύνης ἐπένευσεν αὐτῷ καὶ παρέσχεν ὥστε λαβεῖν γυναῖκα, τὴν Θέτιν. [Γαμβρὸν Ποσειδάωνα πείσαις.] πείσας ὁ Ζεὺς σύγγαμβρον αὐτῷ γενέσθαι τὸν Ποσειδῶνα. ὁ μὲν γὰρ τὴν Θέτιν· ὁ δὲ τὴν Ἀμφιτρίτην ἔγημεν. Αἰγαὶ δὲ νῆσός ἐστι πρὸς τῇ Εὐβοίᾳ. καὶ ἀπὸ ταύτης τὸ πέλαγος Αἰγαῖον προσαγορεύεται. ἀπὸ τῶν Αἰγῶν οὖν, φησί, τὸν Ποσειδῶνα συνεχῶς ἐπὶ τὸν Ἰσθμὸν πορεύεσθαι. ὅτι δὲ Ποσειδῶνος ἱερὰ αὕτη, φησὶ καὶ Ὅμηρος· Οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσι, Πολλά τε καὶ χαρίεντα. διατί δ' ὀνόμασε νῦν τὸν Ἰσθμόν; ὅτι οἰκεῖός τις ἦν τοῦ Πυθέου, εἰς ὃν αὕτη ἡ ᾠδὴ γέγραπται, Εὐθυμένης· ὃς ἐνίκησεν Ἴσθμια. ὁ δὲ νοῦς. πείσας σύγγαμβρον αὐτῷ γενέσθαι τὸν Ποσειδῶνα, ὅς τις συνεχῶς ἀπὸ τῶν Αἰγῶν ἐπὶ τὸν τῶν Κορινθίων Ἰσθμὸν φοιτᾷ. ὅπου δὴ μάλιστα καὶ συνεταὶ τῶν Κορινθίων τάξεις ὑποδέχονται τὸν θεὸν μετὰ βοῆς τῶν αὐλῶν· ὅτι δὴ καὶ διαφιλονεικοῦσιν ἀγωνιζομένοις σώμασιν ἀνδρείαν. ἴσως ἐν τοῖς Ἰσθμικοῖς ἀγῶσι. τότε δὲ ἑκάστου δείκνυται καὶ διακρίνεται τὸ συγγενὲς θράσος ἐπὶ πάντων τῶν τελουμένων ἔργων.

Ενθά μιν εὔφρονες ἶλαι
Σὺν καλάμοιο βοᾷ Θεὸν δέκονται,
Καὶ σθένει γυίων ἐρίζον-
τι θρασεῖ. Πότμος δὲ κρίνει
Συγγενὴς ἔργων περὶ
Πάντων. Τὺ δ᾽, Αἰγίνᾳ Θεᾶς, Εὐθύμενες
Νίκας ἐν ἀγκώνεσσι πιτνὼν,
Ποικίλων ἔψαυσας ὕμνων.

ἀντιστροφὴ γ΄. κῶλον ια΄.

Ητοι μεταΐξαντα, καὶ
Νῦν τεὸς μάτρως ἀγάλλει κεί-
νου ὁμόσπορον ἔθνος Πυθέας.
Α Νεμέα μὲν ἄρμοζεν,
Μείς τ᾽ ἐπιχώριος, ὃν φίλησ᾽ Απόλλων.
Αλικας δ᾽ ἐλθόντας, οἴκοι
Τε κράτει, Νίσου τ᾽ ἐν εὐαγ-
κεῖ λόφῳ. Χαίρω δ᾽, ὅτι
Εσλοῖσι μάρναται πέρι πᾶσα πόλις.

Ubi eum hilares turmæ
Cum fistulæ clamore Deum excipiunt,
Et robore membrorum cer-
tant audaci. Fortuna autem judicat
Congenita de factis
Omnibus. Tu vero, in-Ægina Deæ, ô Euthymenes,
Victoriæ in ulnas prolapsus,
Varios attigisti hymnos.

METAPH.

Certe *inde* prosilientem *te*, &
Nunc tuus ex-sorore-nepos exhilarat il-
lius consanguineam gentem Pytheas.
Nemea quidem aptata-est,
Mensisque patrius, quem amavit Apollo.
Coætaneos vero adventantes, domi-
que superabat, Nisique ad in-valles-de-
vexum tumulum. Gaudeo autem, quod
Bona-facta exerceat admodum tota civitas.

PARAPHRASIS.

ubi eum Corinthiorum juvenum saltantium hilares ordines tibiarum cantu excipiunt, & audaci membrorum robore in ejus honorem certant. Illorum autem opera fortuna uniuscujusque congenita gubernat, ita ut ex eventu cognoscatur quantum quisque natura sit fortunatus. Cæterum, tu Euthymenes, Deæ Victoriæ favorem pancratii consequutus, varios hymnos in Ægina obtinuisti. Porro Pytheas tuus ex matre consanguineus, te in studio certaminum sedulo sectatus, eodem sanguine satam gentem Ægineticam decorat. Is Nemea pancratio nunc vicit: eoque mense claruit, quem patria Delphinium appellat, quemque amat Apollo, ut pote quo sacra ipsi Hydrophoria celebrantur. Quinetiam coætaneos antagonistas domi Æaciorum certamine superavit: & Alcathoüs, concava apud Megara Nisi regiam, in tumulo pulchris vallibus circumsepto, iisdem antecelluit. Gaudeo autem quod universa Ægina certat de rebus præclaris, quales sunt sacri ludi.

NOTÆ.

73 Πότμος.] Lon. hæc verba ad antecedentia refert, σθένει γυίων ἐρίζοντι, Apud quos juvenes de omnibus operibus cognata fortuna locum arbitri retinet. Phil. ita, Ut cujusque fortuna est, ita habet exitus. Similiter I. 5. Κρίνεται ἀλκὰ διὰ δαίμον᾽ ἀνδρῶν. 75 Θεᾶ ab ἡ Θεός leg. Schmid. ut v. 23. 78 Superioribus cohæret; sed mendosum esse locum tum asteriscus monet, tum Casus hic, cui nec Verbum, nec Casus alius respondet: lege ergo præcedens carmen sic, ποικίλον ἔψαυσας ὕμνον, cui respondeat inde similis Casus, μεταΐξαντα scil. ὕμνον ἔψαυσας. Hæc Aret. Desunt huic κώλῳ ab initio septem syllabæ. Etsi enim Rom. & Brub. Edd. ita expleverunt, Ητοι μεταΐξαντα· tamen nec Syntaxis cohæret, nec Prosodia salvatur, nec sensus integer est. Schmid. Bened. restituendum censet legendo μεταΐξας σε. cujus interpretationem exhibet Paraphrasis. 79 Σὸς pro κεῖνε Schmid. 81 Quid si legeremus μὲν ἄρμοσεν, est Ejusdem quæstio. Αὐτῷ enim hab. Schol. †.

[Ενθά μιν εὔφρονες ἶλαι.] ἶλαι αἱ τάξεις καὶ αἱ συστροφαὶ τῶν νέων αἱ ἐν τῷ χορῷ γινόμεναι. ὅθεν καὶ εἰλαπίναι. ὅπου αὐτῶν αἱ ἶλαι τῶν κωμαζόντων μετὰ τὰς νίκας, εὔφρονες οὖσαι, τουτέστιν εὐφραντικαὶ, ἐκδέχονται μετὰ μελῶν. ὅπου γὰρ κῶμοι, ἐκεῖ ἐστιν εὐφροσύνη. εἶτα ἐποίσει, διότι τῶν Ισθμοῦ ἐμνήσθη. [Τὺ δ᾽, Αἰγίνᾳ θεᾶς, Εὐθύμενες.] ὁ Εὐθυμένης, οἰκεῖος τοῦ Πυθέου. ὁ δὲ νοῦς. σὺ δὲ, ὦ Εὐθύμενες, ἐν τῇ Αἰγίνῃ περιστερχόμενος, ἐν τοῖς ἀγῶσι τῆς θεᾶς Νίκης, ἠδυνήθης πολλῶν ὕμνων τυχεῖν. τοῦτο δέ φησι, διὰ τὸ εἶναι αὐτὸν παγκρατιαστήν. [Ητοι μεταΐξαντα, καὶ νῦν τεὸς μάτρως ἀγάλλει.] μήτρως, ἢ ὁ τῆς μητρὸς ἀδελφὸς, ἢ ὁ κατὰ μητέρα συγγενής. χρῆται γὰρ οὕτως ὁ Πίνδαρος. ἀγάλλει σου τὸ ὁμόσπορον ἔθνος τὸ τῶν Αἰγινητῶν. καταλληλότερον δὲ ἔνιοι γράφουσι, Πυθέας. ἵν᾽ ᾖ, μήτρως Πυθέας. οὐ μόνον, φησὶ, Νέμεα νενικήκατε, ἀλλὰ καὶ ἐν Αἰγίνῃ τοὺς ἡλικιώτας ἐλθόντας οἴκοι, τῷ κράτει νενικήκατε. ἔστι δὲ ἀγὼν ἐν Αἰγίνῃ ἀγόμενος, τὰ Αἰάκεια, ὅν τινα δηλαδὴ ἐνίκησεν ὁ Πυθέας. ὁ δὲ νοῦς, οὕτως. μετὰ τὰ προειρημένα ὑπὸ σοῦ, ἔτι καὶ ἐπὶ τοῦ παρόντος ὁ σὸς μήτρως, ὦ Εὐθύμενες, ὁ Πυθέας, ἀγάλλει τε καὶ σεμνύνει τὸ ὁμόσπορον ἔθνος καὶ συγγενὲς ὑμῶν, τὸ τῶν Αἰακιδῶν, τὸ ὂν ἐν τῇ Αἰγίνῃ. [Α Νεμέα μὲν ἄρμοζε μείς τ᾽ ἐπιχώριος.] παρ᾽ Αἰγινήταις Δελφίνιος μεὶς ἄγεται, Δελφινίου Απόλλωνος ἱερός. ἐν ᾧ ἴσως, φησὶ, γεγένηται τὰ Νέμεα. πεφίληκε γάρ φησι, τὸν μῆνα τοῦτον ὑπὸ τοῦ Απόλλωνος. καὶ εἴη ἂν ὁ μὴν οὗτος ἐν ᾧ θύουσιν Αἰγινῆται Απόλλωνι οἰκιστῇ καὶ δωματίτῃ. καθά φησι Πυθαίνετος. [Αλλως. Μεὶς ἐπιχώριος,] ὁ Δελφίνιος μὴν καλούμενος. καθ᾽ ὃν τελεῖται Απόλλωνος ἀγὼν, Υδροφόρια καλούμενος. ὁμοίως οὖν, φησιν, ἥρμοσαν τῷ Πυθέᾳ καὶ ἡ Νεμέα, καὶ οὗτος ὁ Δελφίνιος. ὁ δὲ νοῦς. ἡ μὲν γὰρ Νεμέα, καὶ προσήρμοσαν † αὐτῷ πρὸς τὸ νικᾶν ἀεί. καὶ ὁ πάτριος ἀεὶ παρ᾽ Αἰγινήταις μὴν, ὃν ὁ Απόλλων ἐφίλησεν. ἐλθόντας δὲ καὶ ὁμήλικας ἐν Αἰγίνῃ, νικᾷ. [Νίσου τ᾽ ἐν εὐαγκεῖ λόφῳ.] τουτέστιν, ἐν Μεγάροις. διατίθεται δὲ Απόλλωνι, καὶ Πύθια καλεῖται ὁ ἀγών. [Αλλως.] ἐν Μεγάροις, τῷ εὐθέτῳ χωρίῳ, ὁμοίως ἐνίκησεν τὰ Αλκαθοῖα. Νῖσος δὲ βασιλεὺς Μεγάρων. ἥδομαι δὲ, φησιν, ὅτι τῶν καλῶν ἕνεκα, πᾶσα φιλονικεῖ ἡ πόλις.

Ἴσθι γλυκεῖάν τοι Μενάνδρου
Σὺν τύχᾳ, μόχθων ἀμοιβὰν

ἐπῳδὸς γ'. κώλων ια'.

Ἐπαύρεο. Χρὴ δ' ἀπ' Ἀθανᾶν
Τέκτον' ἀεθληταῖσιν ἔμμεν.
Εἰ δὲ Θεμίστιον ἵκεις ὥς τ' ἀείδειν,
Μηκέτι ῥίγει. Δίδου
Φωνάν, ἀνὰ δ' ἱστία τεῖνον
Πρὸς ζυγὸν καρχασίου,
Πύκταν τέ νιν, καὶ παγκρατίου φθέγξαι ἑ-
λεῖν Ἐπιδαύρῳ διπλόαν
Νικῶντ' ἀρετάν· προθύροισι δ' Αἰακοῦ,
Ἄνθεα ποιάεντα φέρειν στεφανώ-
ματα, σὺν ξανθαῖς Χάρισιν.

Scito: dulcem Menandri
Cum fortuna, laborum remunerationem

Μεταφρ.

Reportasti. Oportet autem ab Athenis
Artificem athletis esse.
Si vero Themistium venis ut laudes,
Ne-porro exhorrescas. Ede
Vocem, velaque extende
Ad jugum corbis,
Pugilemque eum, & pancratii dicito ade-
ptum-esse in-Epidauro duplicem
Vincendo virtutem: & ad-vestibulum Æaci
Flores herbaceos tulisse corona-
menta, cum flavis Charitibus.

PARAPHRASIS.

Enimvero Pythea scias velim te victoriam & gloriam, quæ tanquam merces, strenue exantlatos labores sequitur, adeptum esse opera Menandri aliptæ tui, qui formandis athletis est fœlix. Neque id mirum, cum sit Atheniensis: præstantissimi autem athletarum magistri Athenis inveniuntur, ubi palæstrice primum inventa est. Postremo anime mi, si ad Themistii Pythea avi materni præconium accedas, ne ipsum laudare metuas, quin potius eloquere: & quemadmodum nautæ vento secundo spirante, vela ad antennæ summitatem attollunt, ut eo copioso impleantur: sic cum ampla sint illius viri merita, summis laudibus ipsum audacter evehas. In primis vero dicas illum suæ virtutis geminum specimen edidisse quum in Argolidis urbe Epidauro Asclepiea celebrans, tum pugilatu, tum pancratio victoriam reportavit, faventibusque decoris flavo capillitio Gratiis, floridas & viridantes coronas quibus fuit decoratus in Æacei templi vestibulo suspendit.

NOTÆ.

87 Pro τοι leg. τῷ Idem. 89 Ἐπαύρεο] Καρπώσαο, Cum fructu reportasti, Idem. Scholion pro Textu. 90 Ἔμμεν, Idem. 98 Αὖθι, Rursus, Schmid. pro ἄνθεα, ut & ultimo κώλῳ, Χάρισι, sine auctore.

[Ἴσθι, γλυκεῖάν τοι Μενάνδρου σὺν τύχᾳ.] λείπεται τὸ, ὅτι. ὁ δὲ λόγος, ἴσθι, ἐπιτυχὼν ἀπὸ τοῦ Μενάνδρου μόχθων. ἢ οὕτω. γίνωσκε, ὅτι γλυκεῖαν ἀμοιβὴν ἐκαρπώσω τῶν πόνων ἐκ τῆς νίκης σὺν τῇ Μενάνδρου παρουσίᾳ· ἔστι δὲ Ἀθηναῖος, ἀλείπτης Πυθέου. τὸ δὲ, τύχᾳ, ἀμφίβολον. ἢ σὺν τῇ [...] τύχῃ, ἢ τῇ Μενάνδρου. [Χρὴ δ' ἀπ' Ἀθανᾶν.] χρὴ δὲ ἀπὸ Ἀθηνῶν, τοὺς ἐπιστάτας εἶναι τῶν ἀθλητῶν. ἐπειδὴ καὶ ὁ Μένανδρος, Ἀθηναῖος. τοῦτο δέ φησιν, ἐπειδὴ πρότερον ὁ Θησεὺς Ἀθηναῖος ὢν, εὗρε παγκράτιον ἄνευ μυρμήκων. ἠνίκα γὰρ ἐν τῷ λαβυρίνθῳ ἐξηθένει πρὸς τὴν ἰσχὺν τοῦ Μινωταύρου, παγκρατίῳ αὐτὸν διαπαλαίων περιεγένετο. οὐ γὰρ εἶχε μάχαιραν. καὶ οὕτως ἐνομίσθη εὑρετὴς τῆς πυγμῆς. ἴσως οὖν ὁ Πίνδαρος οὐκ ἀργῶς μέμνηται τῶν Ἀθηνῶν, ἀλλὰ τοιοῦτόν τι ὑποσημαίνων. [Ἄλλως.] ἐν Ἀθήναις φησὶν εὑρῆσθαι τὴν παλαιστρικήν, ὑπὸ Φόρβαντος τοῦ παιδοτρίβου Θησέως. Φερεκύδης δὲ, ἡνίοχον τὸν Φόρβαντα, φησὶ, Θησέως. σὺν ᾧ καὶ τὴν Ἀμαζόνα ἁρπάζει. καὶ Πολέμων δὲ ἱστορεῖ, πάλιν † εὑρηκέναι Φόρβαντα Ἀθηναῖον. ὅτι δὲ Θησεὺς παρ' Ἀθηνᾶς ἔμαθε τὴν πάλην, Ἴστρος ἱστορεῖ. [Εἰ δὲ Θεμίστιον ἵκεις ὥς τ' ἀείδειν.] εἰ δὲ βούλει, φησὶν, καὶ ἦλθες ὑμνεῖν τὸν Θεμίστιον. οὗτος δὲ λέγεται πάππος τοῦ Πυθέα πρὸς μητρός. μηκέτι εὐλαβούμενος, φησὶ, φθέγγου. μὴ δὲ ὡς ὑπὸ ῥίγους συνεχόμενος, ἀντὶ τοῦ, μηδεμίαν εὐλάβειαν ἔχων, θαύμαζε. ὡς καὶ μεγαλοφώνως βοᾶν. [Πρὸς ζυγὸν καρχασίου.] καρχήσιον, τὸ ἀνώτατον τῆς κεραίας. τούτῳ τὸ ἱστίον προσανατείνουσιν, ὅταν δηλονότι διαφυλεῖ τῷ ἀνέμῳ χρῆσθαι, οὐριοδρομοῦντες. καὶ πύκτην οὖν αὐτὸν ὑμνεῖ, καὶ παγκρατιαστήν, διπλῆν νικῶντα ἀρετὴν ἐν Ἐπιδαύρῳ, ὡς διπλᾶ Ἀσκληπιεῖα νενικηκότος αὐτοῦ. ἢ ὡς δύο στεφάνους εἰληφότος ἐνὶ ἀγῶνι, πυγμῆς καὶ παγκρατίου. ταῦτα δὲ, ἐπὶ τοῦ Θεμιστίου λέγει. ἢ οὕτω. ζυγὸν καρχασίου λέγει, τὴν σύνθεσιν, καὶ τὸ ἄκρον τοῦ καρχησίου. περιφραστικῶς δὲ, αὐτὸ τὸ καρχήσιον. ἢ καρχήσιον φησὶ, τὸ ἄκρον τοῦ ἱστίου. καρχήσιον γὰρ, ἐν ᾧ τοὺς ἱμάντας ἐνείρουσι. θαύμαζε οὖν, φησιν, αὐτὸν, οὕτω μεγαλοφώνως καὶ θαῤῥοῦντως, ὥσπερ οἱ πλέοντες ἐπὶ πνεύματος οὐρίου, εἰς ἄκρον τὸ καρχήσιον ἀνατείνουσι τὰς κεραίας, οὕτως αἰόλον ἐκπέτασον τὸ ἐπίθετον. ἀλληγορῶν δὲ, ἐνδείκνυται τὴν περιουσίαν τῶν θαυμάτων. [Φθέγξαι] δὲ, καὶ πυκτικὴν αὐτὸν, καὶ παγκράτιον νενικηκέναι ἐν Ἐπιδαύρῳ. καὶ διπλῆς ἀρετῆς δόξαν κεκτῆσθαι, καὶ κομίζειν αὐτὸν Αἰγίνῃ, φαιδρὰ τὰ ἄνθη μετὰ τῶν στεφάνων τῶν Χαρίτων, φθέγξαι. προθύροις δέ, φησιν, Αἰακοῦ, ἀντὶ τοῦ. ἐν τῷ ἡρῴῳ τοῦ Αἰακοῦ ἐν Αἰγίνῃ. ὥσπερ ἐν τοῖς προθύροις ἀνάκειται οἱ Ἐπιδαύρου τοῦ Θεμιστίου ἁπλοῖ στέφανοι. ἢ οὕτως, ὡς ἐν Αἰγίνῃ, ἐν τῷ τεμένει τοῦ Αἰακοῦ, ἐπὶ τῶν προπυλαίων τῶν ἀνακειμένων αὐτῷ στεφάνων. [Ἐπιδαύρῳ διπλόαν.] διπλῆν. ἀντὶ τοῦ δεύτερον. ἐν δὲ Ἐπιδαύρῳ, Ἀσκληπιοῦ ἱερὸς ἀγὼν ἄγεται.

† Lege, πάλην.

Τέλος τῆς πέμπτης τῶν Νεμέων ᾠδῆς.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΕΚΤΟΥ ΤΩΝ ΝΕΜΕΩΝ ΕΙΔΟΥΣ.

ΤΗΣ *ἕκτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ιγ'. Τὸ α', ἰαμβικὸν ἀκατάληκτον. ἐν γὰρ τῇ δευτέρᾳ χώρᾳ ἐστὶν ὁ σπονδεῖος. πολὺ δὲ τοῦτο παρὰ τοῖς Δωρικοῖς. Τὸ β', ἰαμβικὸν πενθημιμερές. Τὸ γ', τροχαϊκὸν πενθημιμερές. ἢ Ιωνικὸν δίμετρον βραχυκατάληκτον, ἀπὸ τροχαϊκῆς συζυγίας. Τὸ δ', διπλοῦν περίοδος, ἢ καλεῖται τροχαϊκὴ ἀπὸ ἰαμβικῆς. Τὸ ε', τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. Τὸ ϛ', ἰαμβέλεγος. λείπων τῇ πέμπτῃ συλλαβῇ. ἢ ἀναπαιστικόν. Τὸ ζ', τὸ αὐτό. Τὸ η', ἐπιχοριαμβικὸν, ἐξ ἀντισπάστου καὶ χοριάμβου, ἀδιάφορον παρὰ τὴν ἀρχήν. Τὸ θ', δακτυλικὸν πενθημιμερές. Τὸ ι', τὸ αὐτό. Τὸ ια', προσοδικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ', Ιωνικὸν δίμετρον, ἀπὸ τροχαϊκῆς συζυγίας. Τὸ ιγ', ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον. ὅ ἐστι φαλαίκειον παρὰ συλλαβήν. οὗ ἡ ἀρχὴ, τὸν ἀντίσπαστον ἔχει ἀδιάφορον τοῦ ἄρχοντος ποδός.

Περὶ τῆς ἐπῳδῆς αὐτοῦ.

Η ἐπῳδὴ κώλων ια'. Τὸ α', χοριαμβικὸν δίμετρον † ἀκατάληκτον. Τὸ β', ἴαμβος, πενθημιμερές. Τὸ γ', ἡ τελευταία ἀπόδοσις, ἀναγκάζει δακτυλικὸν γενέσθαι τὸ κῶλον. Τὸ δ', προσοδικὸν δίμετρον ἀπὸ Ιωνικοῦ, καὶ ἐνόπλιον. Τὸ ε', Ιωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ Ιωνικῆς συζυγίας. Τὸ ϛ', δακτυλικὸν τρίμετρον. Τὸ ζ', Ιωνικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η', ἀναπαιστικὸν δίμετρον καταληκτικὸν * δισύλλαβον. ‡ Τὸ θ', ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἀλκμαϊκόν. ὁ γὰρ τέταρτος ποὺς, σπονδεῖος. Τὸ ι', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ια', δακτυλικὸν πενθημιμερές.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

[Αλκιμίδᾳ Αἰγινήτῃ.] τοῦτον τὸν Αλκιμίδαν ἀναγράφεσθαί φησιν Ασκληπιάδης, ἀντὶ Αἰγινήτου, Κρῆτα, οὕτως. Αλκιμίδας Θέωνος, Κρής.

† Ed. Steph. καταληκτικόν. * Ed. Brub. ad marg. ἢ καὶ δίμετρον χοριαμβικόν. ‡ Eadem ibid. εἰς δισύλλαβον.

Typi metrici hi ſunt:

στροφὴ & ἀντιστροφή.

1. υ - - - υ - υ υ -
2. υ - υ υ υ -
3. - υ - υ υ -
4. υ - - υ - υ - υ υ -
5. υ υ υ - υ υ - -
6. υ υ - υ υ - υ υ - υ υ -
7. υ υ - υ υ - υ υ - υ υ -
8. - - - υ - υ υ -
9. - υ υ - υ υ -
10. - υ υ - υ υ -
11. - - υ υ - υ υ -
12. - υ - υ - - υ υ
13. υ υ - υ υ - υ - υ -

ἐπῳδός.

1. - υ υ - - υ υ -
2. υ υ - υ υ υ -
3. - υ υ υ υ υ - υ -
4. - - υ υ - υ υ -
5. υ υ - - υ υ -
6. - υ υ - υ υ - υ υ
7. - - υ υ - -
8. υ υ - υ υ - υ υ - υ υ
9. υ [illegible] - - - - -
10. υ υ - υ - υ - υ υ -
11. υ υ - υ υ -

Schmidius diſponit 12 κῶλα Stroph. & Antiſtr. aliter quam Codd. & Schol. Verum perinde eſt. Patet enim cuivis inſpicienti, admiſſa ἰσοδυναμίᾳ ad metricas leges vel horum vel illius quadrare. Idem fere & de 13 κώλῳ habendum. Decimum vero Epod. cum Schmidio conſtituimus. Codd. enim ultimam ſyllabam hujus in primam ſequentis fere transferunt. Quæ tamen diſtinctio licet minus accurata, forte non plane reprehendenda eſt.

ΑΛΚΙΜΙΔΗ ΑΙΓΙΝΗΤΗ, ΠΑΙΔΙ, ΠΑΛΑΙΣΤΗ.

ΕΙΔΟΣ ς'.

ALCIMIDÆ ÆGINETÆ ADOLESCENTI, LUCTATORI.

ODE VI.

ARGUMENTUM.

Alcimides Æginete landatur à luctæ victoria, à majoribus, ab Æacidis, ab amico Timida, & unctore Melesia.

στροφὴ α'. κῶλον ιγ'.

ΕΝ ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ
Μιᾶς δὲ πνέομεν
Ματρὸς ἀμφότεροι.
Διείργει δὲ πᾶσα κεκριμένα
Δύναμις, ὡς τὸ μὲν οὐδέν·
Ο δὲ χάλκεος ἀσφαλὲς αἰεὶ ἕδος
Μένει ὠρανός. Αλλά τι προσφέρομεν
Εμπαν, ἢ μέγαν νόον, ἤ-
τοι φύσιν Αθανάτοις·

Μεταφρ.

UNum Hominum, alterum Deorum genus: ex
Una autem spiramus
Matre utrique.
Discriminat vero omnis separata
Potentia, quod illud quidem nihil est:
Æreum vero firma semper sedes
Manet Cœlum. Sed aliquid similes sumus
Tamen, aut *quoad* excelsam mentem, aut
Quoad indolem Immortalibus:

PARAPHRASIS.

Unus idemque est generis humani & divini, hominum dico & Deorum ortus: quandoquidem utrique eadem à matre Terra vitam hausimus. Sed magnum inter nos discrimen ponit potentiæ ratio. Nos enim homines adeo fragiles, imbecilli & corruptibiles sumus, ut nihil simus. Dii vero non solum stabilem æternamque in cælo sedem, sed immortalitatem quoque & omnipotentiam sortiti sunt. Enimvero, et si tanto intervallo alii ab aliis simus dissiti,

NOTÆ.

6 Χάλκεος.] Epitheton ὠρανοῦ ob Durationem & Stabilitatem. Sic Horat. dixit, *Monumentum ære perennius*. 7 Phil. Interrogative, Αλλά τί προσφέρομεν; Qua tamen re Immortalibus similes sumus? 8 Εμπαν idem quod ἔμπας alibi, quod hic retinet Schmid. Est vero Dor. pro ἔμπης. 9 Φύσιν] Portus interpretatur, Quod homines cum Diis ex eadem matre sunt. Sed Terram esse omnium matrem Pindarus antea dixit.

[Εν ἀνδρῶν, ἓν θεῶν γένος.] ἐκ μιᾶς μητρὸς ὑπάρχομεν, φησὶ, καὶ ζῶμεν, τῆς Γῆς, οἵ τε θεοὶ καὶ οἱ ἄνθρωποι. ἐμφαίνει δὲ διὰ τοῦ προοιμίου, ὅτι κοινωνίαν τινὰ πρὸς τοὺς θεοὺς οἱ ἄνθρωποι ἔχομεν, τῇ εὐφυΐᾳ καὶ τοῖς ἔργοις τοῦ νοῦ. ὅτι δὲ κοινὸν ἡμῖν τοῖς ἀνθρώποις πρὸς τοὺς θεοὺς τὸ γένος, καὶ Ἡσίοδος μαρτυρεῖ. ἐπὶ μὲν τῆς τῶν θεῶν γενέσεως λέγων· Γαῖα μέν τοι πρῶτον ἐγείνατο ἶσον ἑαυτῇ, Οὐρανὸν ἀστερόεντ', ἵνα μιν περὶ πάντα καλύπτῃ. Οὐρανοῦ δὲ καὶ Γῆς εἰσὶν οἱ περὶ Κρόνον, καὶ οἱ ἄλλοι Τιτᾶνες. ἐκ δὲ τῶν Τιτάνων οἱ ὕστεροι θεοί. Ἥφαιστος δὲ Πανδώραν ποιεῖ· Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα Γαῖαν ὕδει φύρειν· ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν, Καὶ σθένος· ἀθανάτῃς δὲ θεῇς εἰς ὦπα ἐΐσκειν. ἀπὸ δὲ τῆς Πανδώρας, εἰς ἡμᾶς τὸ γένος διήκει. οὕτως ἓν ἐστι θεῶν, καὶ ἀνθρώπων τὸ γένος. ἀφορᾷ δὲ καὶ πρὸς τὸ εὐφυὲς τοῦ Αλκιμίδου, τὸ προοίμιον. [Διείργει δὲ πᾶσα κεκριμένα δύναμις.] ἡ ἀμετάβλητος, ἡ ἡ κεχωρισμένη. ὁ δὲ νοῦς. διαχωρίζει δ' ἀπ' ἀλλήλων ἡμᾶς, ἡ διεστῶσα δύναμις τῶν θεῶν. ἵνα ἐξ ἴσου ἀκούσωμεν, τοσοῦτον ὥς τι τὸ μὲν τῶν ἀνθρώπων οὐδέν ἐστι γένος· τὸ δὲ τῶν θεῶν, ἐν ἀσφαλεῖ καὶ βεβαίῳ καὶ ἀφθαρσίᾳ τυγχάνει. ἢ οὕτω. τοὺς θεοὺς καὶ ἡμᾶς χωρίζει ἡ δύναμις. οἱ μὲν γὰρ, ἀθάνατοί εἰσι καὶ ἰσχύουσιν. ἡμεῖς δὲ, οὐδέν. ἢ οὕτω. τὸ μὲν ἡμέτερον γένος, τὸ μηδέν ἐστι, καὶ τεταπείνωται, τὸ δὲ θεῖον πολλὴν ἔχει τὴν δύναμιν. καὶ ἐν Πυθιονίκαις, Σκιᾶς ὄναρ ἄνθρωπος, φησίν. [Ἀλλά τι προσφέρομεν ἔμπαν.] ἀλλ' ὅμως, καί τοι ἀδύνατοι ὄντες, φησὶν, ὁμοιότητά τι ἔχομεν τοῖς θεοῖς· ἢ κατὰ νοῦν. θεῖος γάρ τις ἐν ἡμῖν, κατὰ τὸν Εὐριπίδην. ἢ κατὰ τὰς ἀκμὰς τῶν σωμάτων, καὶ τὰ κάλλη. ἢ οὕτως. ὅμως μέν τοι ἐοίκαμεν προσεοικέναι τοῖς θεοῖς κατά τι, ἢ κατὰ νοῦν, ἢ κατὰ ἀνδρείαν. ὁ δὲ νοῦς. προσφερεῖς, φησὶν, ἐσμὲν τοῖς θεοῖς, καίπερ οὐκ εἰδότες εἴτε ἐν ἡμέρᾳ εἴτε ἐν νυκτὶ πότμον [illegible] τὸν εἱμαρμένον ἡμῖν καὶ τὸν θάνατον. ἢ οὕτω. καί τοι μὴ γινώσκοντες μήτε τὰ πρὸς τὴν ἡμέραν, μήτε τὰ διὰ νυκτὸς [illegible], μηδὲ ὅστις ἡμᾶς μόρος καταλήψεται [illegible] στάθμην λαβεῖν. στάθμην δὲ, φησὶ, τὸν θάνατον κατὰ λόγον. [illegible] ἡμῖν [illegible] ἡ στάθμη [illegible] τοῦ βίου καὶ τοῦ θανάτου.

[Τιμοκρί

Καί περ ἐφαμερίαν
Οὐκ εἰδότες, οὐδὲ μετὰ
Νύκτας, ἄμμε πότμος ἄν-
τιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν.

ἀντιστροφὴ α'. κώλων ιγ'.

Τεκμαίρει δὲ καὶ νῦν Ἀλκιμίδας,
Τὸ συγγενὲς ἰδεῖν
Ἄγχι καρποφόροις
Ἀρούραισιν, αἵ τ' ἀμειβόμεναι,
Τόκα μὲν ὦν βίον ἀνδρεσ-
σιν ἐπηετανὸν πεδίων ἔδοσαν,
Τόκα δ' αὖτ' ἀναπαυσάμεναι, σθένος ἔ-
μαρψαν. Ἦλθέ τοι Νεμέας
Ἐξ ἐρατῶν ἀέθλων

Tametsi neque diurnam
Scientes, neque quoad
Noctes, nos fatum quam-
nam decreverit currere ad metam.

METAPH.

Indicium præbet vero etiam Alcimidas,
Cognationem videndi
Cum frugiferis
Arvis, quæ alternantia,
Aliquando quidem victum homini-
bus annuum è-campis dare-solent,
Aliquando vero rursus quiescentia, vires
colligere-solent. Venit utique Nemeæ
Ex amabilibus certaminibus

PARAPHRASIS.

Immortalibus aliquid consimile habemus, quo ad divinam naturam accedimus, sive animi, sive corporis dotes magnas respicimus: quanquam ignoramus quid dies, quidve nox vehat, quem eventum rebus nostris fatalis necessitas præscripserit, quemque vitæ terminum cursu petendum præstituerit. Hanc hominum & Deorum similitudinem, virtutis tum animi tum corporis exemplo certissime comprobat Alcimidas: qui certo quoque indicio ostendit suæ cognationi idem accidere, quod frugiferis arvis. Nam quemadmodum illa vices alternant, ac modo annuum victum suo ex sinu hominibus suppeditant: modo vero quiescunt, ut vires recolligant, & interjecto intervallo uberiorem fructum producant: sic etiam ex Alcimidæ familia, alterna generatione, alii certamina subierunt, alii non. Nam Alcimidas in iis se exercuit, sed ab iis Theo ejus pater abstinuit: ea sectatus est avus ejus paternus Praxidamas: rursus proavus Soclidas hæc non curavit, at Agesimachus abavus amavit. Et certe adolescens hic Alcimidas certaminum studiosus, victor rediit ex amabilibus ludis apud Nemeam celebrari solitis:

NOTÆ.

12 Schmid. leg. *ἄμμι ἂν πότμος ἄντιν' ἔγραψε.* 13 Στάθμη est, Amussis, seu funiculus minio tinctus, quo Fabri lineam pingunt. Hor. l. 2. Od. 3. *Omnes eodem cogimur, omnium Versatur urna, serius ocyus Sors exitura.* 14 *Τεκμαίρει*] Ordo est, *τεκμαίρει [τὸ] ἰδεῖν τὸ συγγενὲς ἄγχι καρποφόροις ἀρούραισιν* Schmid. omitt. *δὲ.* & hab. *καὶ νῦν.* 15 *Ἰδεῖν*] Videns, Lon.

[Τεκμαίρει δὲ καὶ νῦν Ἀλκιμίδας.] ὅτι δὲ συγγενεῖς ἐσμὲν τῶν θεῶν, ὁ Ἀλκιμίδας, φησὶ, σαφὲς ποιεῖ τεκμηριοῦσθαι ἡμᾶς. εἰς ὃ γὰρ καὶ αὐτὸς ἔπραξε τῇ εὐρωστίᾳ ἑαυτοῦ, ἐπίδειξιν τὴν πρὸς τὸ θεῖον ἡμῶν συγγένειαν. ἐγγύς τι καὶ παραπλήσιον εἰργασμένος τῶν καρποφόροις ἀρούραις. ὁ δὲ νοῦς. τεκμαίρεται δὲ καὶ σαφὲς εἶναι ποιεῖ τὸ πρὸς τοὺς θεοὺς ἡμῖν διὰ τὴν εὐφυΐαν συγγενὲς, καὶ νῦν Ἀλκιμίδης τοῖς αὐτοῦ κατορθώμασιν [Αἵ τ' ἀμειβόμεναι,] οὐ γὰρ διὰ παντὸς, φησὶν, ἐξομαλίζουσι τὴν εὐκαρπίαν αἱ ἄρουραι, ἀλλὰ μετὰ χρόνους τινὰς ἀναπαύσεως τυγχάνουσιν. εἶτα ἀναπαυσάμεναι, πάλιν ἀποδιδόασι πλείονας τοὺς καρπούς. ἀμειβόμεναι οὖν αἱ ἄρουραι. τουτέστιν ἐξ ἀμοιβῆς παρ' ἐνιαυτὸν φέρουσαι τὸν βίον. ἔδοσαν. τουτέστι, τὰ πρὸς τὸν βίον δαψιλῆ καὶ πλούσια. διὰ γὰρ τοῦ ἐπηετανοῦ, τοῦτο βούλεται δηλοῦν. [Ἀλλοτ.] τοὺς προγόνους τοῦ Ἀλκιμίδου. οἱ μὲν, ἠγωνίσαντο, οἱ δὲ οὔ. ἀλλὰ συμβέβηκε τύχῃ τινὶ παρὰ μέρος ἀθλεῖν. νικᾷ γὰρ Ἀγησίμαχος. σχολάζει Σωκλείδης ὁ τούτου παῖς. εἶτα Πραξιδάμας ὁ ἐκ Σωκλείδου, ἐναγώνιος γίνεται. Πραξιδάμαντος πάλιν σχολάζει ὁ υἱὸς, ὁ τοῦ νικηφόρου πατήρ. τοῦτο γοῦν μεταξὺ γεγενημένου ἐν τῷ γένει διαλείμματος ὑπεραπολογεῖται. καὶ παρομοιοῖ αὐτὸν τῇ γῇ τῇ παρ' ἐνιαυτὸν, καὶ ἐκ διαλειμμάτων εὐκαρπούσῃ. λέγων ὅτι, δηλοῖ δὲ καὶ σαφὲς ποιεῖ τὸ ἑαυτοῦ συγγενὲς Ἀλκιμίδης, ὅπως ἐστὶν ἰδεῖν, ὅμοιον τῇ σπορίμῃ γῇ, καὶ ταῖς ἀρούραις. αἵ τινες ἐξ ἀμοιβῆς καρποφοροῦσαι, ποτὲ μὲν ἀδιάλειπτα τὰ πρὸς τὸν βίον παρέχουσιν ἐκ τῆς γεωργίας, ποτὲ δὲ ἀναπαυσάμεναι καὶ σχολάσασαι, τὴν ἑαυτῶν δύναμιν ἀνέλαβον. τὸ δὲ ὑπερβατόν· τεκμαίρει καὶ νῦν Ἀλκιμίδης· ὃς ἦλθεν ἐξ ἐρατῶν ἄθλων, παῖς ἐναγώνιος, ἰδεῖν τὸ συγγενὲς καὶ προσφερὲς τῇ γῇ, ἥτις ἐξ ἀμοιβῆς σπειρομένη, ἀναπαύεται καὶ δίδωσι καρποὺς πολλούς. [Ἦλθέ τοι Νεμέας ἐξ ἐρατῶν ἀέθλων.] καὶ ὁ Ἀλκιμίδης οὖν παραπλήσιος ταύταις ἐγένετο. ὡς γὰρ αὗται ποτὲ μὲν, ἀναπαύονται· ποτὲ δὲ, καρποφοροῦσι· τῆς γῆς ἐκ διαλείμματος καρποφορούσης, οὕτω καὶ τὸ γένος τοῦ Ἀλκιμίδα. ὁ μὲν γὰρ πάππος τοῦ Ἀλκιμίδα, ἐνίκησεν. ὁ δὲ πατὴρ, οὐκέτι. ὁ δὲ μὴ νικήσας πατὴρ, ἐν ἀναπαύσει παραβέβληται τῶν ἀρουρῶν. ὁ δὲ Ἀλκιμίδας πάλιν νικήσας, τῇ μετὰ τὴν ἀνάπαυσιν καρποφορίᾳ. ὃς μετερχόμενος, φησὶ, τὴν ἐκ Διὸς μοῖραν, τουτέστι, τὸν Νεμεακὸν στέφανον. τὰ γὰρ Νέμεα τοῦ Διός. κατὰ τὰ ἴχνη τοῦ Πραξιδάμαντος, τὸν ἑαυτοῦ πόδα νέμει. τουτέστι, μερίζει. ὡς γὰρ ἐκεῖνος ἐνίκησεν, οὕτω καὶ οὗτος. ὁ δὲ νοῦς. ἦλθεν οὖν πρὸς τὸ παρὸν ἀπὸ τῶν Νεμεακῶν ἀγώνων τῶν ἐρασμίων, ὁ ἀνδρειότατος Ἀλκιμίδης. ὃς ἐκ θεῶν ταύτην κληρωθεὶς τὴν εὐτυχίαν, νῦν ἐφάνη περὶ τὴν τῆς πάλης νίκην, οὐκ ἄμοιρος. ἀλλ' ὥσπερ τις ἀγαθὸς κυνηγέτης, οὕτω κατ' ἴχνος βαίνων τοῦ Πραξιδάμαντος τοῦ ἑαυτοῦ πάππου. ὁ δὲ Ἀρίσταρχος, οὐκ ὅτι τῷ διαλιπεῖν τὸν πατέρα παραβεβλῆσθαι, φησὶ, τῇ γῇ τῶν ἀνθρώπων. ἀλλὰ διὰ αὐτὸν τὸν Ἀλκιμίδαν, πρότερον μὲν ὄντα παῖδα, νικῆσαι. διαλιπόντα δὲ χρόνον, νῦν πάλιν νενικηκέναι.

[Κεῖνος

Παῖς ἐναγώνιος, ὃς	Adoleſcens certaminum-ſtudioſus, qui
Ταύταν μεθέπων Διόθεν	Hanc conſectans à - Jove *datam*
Αἶσαν, νῦν πέφαντ' οὐκ ἄμοι-	Sortem, nunc apparuit non expers *certa-*
ρος ἀμφὶ πάλᾳ κυναγέτας,	*minum* circa luctam venator,
ἐπῳδὸς α'. κῶλον ια'.	Μεταφ.
Ἴχνεσιν ἐν Πραξιδάμαν-	Veſtigiis in Praxidaman-
τος ἑὸν πόδα νέμων	tis ſuum pedem dirigens
Πατροπάτορος ὁμαιμίου.	Avi - paterni ejuſdem - ſanguinis.
Κεῖνος γὰρ Ὀλυμπιόνι-	Ille enim Olympicus - vi-
κος ἐὼν, Αἰακίδαις,	ctor exiſtens, Æacidis,
Ἔρνεα πρῶτος ἀπ' Ἀλφεοῦ,	Ramis primus ab Alpheo,
Καὶ πεντάκις Ἰσθμοῖ	Et quinquies in - Iſthmo
Στεφανωσάμενος, Νεμέᾳ δὲ τρεῖς,	Coronatus, in - Nemea vero ter,
Ἔπαυσε λάθαν Σωκλείδα,	Suſtulit oblivionem Soclidæ,
Ὃς ὑπέρτατος Ἁγησιμάχῳ	Qui natu - maximus Ageſimachi
Υἱέων γένετο.	Filiorum fuit :
στροφὴ ϛ'. κῶλον ιγ'.	Μεταγη.
Ἐπεὶ οἱ τρεῖς ἀεθλοφόροι	Quoniam ei tres præmiorum-reportatores
Πρὸς ἄκρον ἀρετᾶς	Ad ſummitatem fortitudinis

PARAPHRASIS.

qui fœlicitatem hanc Jovis opera conſequutus, apparuit non expers ſtrenuitatis, ſed in lucta præſtabilis : & tanquam ſagax venator qui feræ veſtigia indagat, pedem recta dirigens, veſtigiis inſtitit Praxidamantis avi paterni eodem ſanguine orti. Nam ille Olympiade quinquageſima nona, victoriam Olympicam pugil reportavit; & Piſa quam alluit Alpheus coronam ex oleaſtri ramo Æacidis attulit. Quinquies etiam Iſthmia, & ter Nemea vicit, ob eaque eſt coronatus hic apio, illic pinu. Quibus ſtrenuitatis ſpeciminibus, Soclidæ patris, qui filiorum Ageſimachi natu fuit maximus, nomen alioqui obſcurum futurum, quia nullis rebus geſtis claruerat, illuſtravit, quum ſcilicet à præcone Soclidæ filius eſt proclamatus. Quoniam hi tres Ageſimachus, Praxidamas, & Alcimidas ſacrorum ludorum victores, exantlatis & exhauſtis certaminum laboribus, ſummum athleticæ fortitudinis gradum conſcenderunt,

NOTÆ.

23 Παῖς ἐναγώνιος] Certaminibus clarus, Idem. 25 Αἶσαν νῦν πέφαντ' οὐκ ἄμοιρος ἂν ἀμφὶ κ. λ. leg. Schmid. ἐκπέφανται, Bened. Οὐκ ἄμοιρος] Plerique reddiderunt, Non infelix. 26 Lon refert. ἀμφὶ πάλᾳ ad ſeqq. 36 Ὑπέρτερος] Idem, Præcellentiſſimus. Verum potius, Ignaviſſimus dicendus erat, ut vult Schmidius. 37 Υἱῶν ἐγένετο, Alii. Nos cum Ald. 38 Ἐπεὶ οἱ τρεῖς hab. Edd plurimæ Schmid. & Bened. improbant lectionem Schol. οἱ pro αὐτῷ vel τούτῳ, quo ſenſu apud hunc autorem centies legitur. Volunt Articulum eſſe, non Pronomen. Schol. vocat Articulum, i e. Subjunctivum, quia poni cenſet pro τοῦ, id eſt, ᾧ, Cui : non vero inde Schmid. occaſionem captare debet ſuam conjecturam fulciendi. At vero, ait Ben. Soclidæ fuiſſe tres filios victores non conſtare. Imo id æque patet, ac plurima apud Scholiaſten, ex illius nimirum auctoritate : qui & ſententiam proponit, Τρεῖς ἀδελφοὺς eſſe. Et quidem ex Textu talia diſcenda ſunt. In hoc tamen, quod objicit Schmid. majus momentum eſt, ſc Contextum arguere. Et eum quidem ſolum concedimus, quem ipſe nobis paravit; non autem Poëtæ. Ille enim legit, οἵ γε πόνων ἐγεύσαντο. Verum ſenſus eſt, Soclidæ tres filios vel fratres ad virtutis faſtigium evecti ſunt, οἵ τε [καὶ οὗτοι] πόνων ἐγεύσαντο, In laboribus verſati fuere, eoſque, uti tamen guſtantes ingrata, facile tolerarunt.

[Κεῖνος γὰρ Ὀλυμπιονίκας ἐών.] ἐκεῖνος ὁ Πραξιδάμας, φησὶ, πρῶτος ἐγένετο τῶν Αἰγινητῶν πάντων Ὀλυμπιονίκης. ἦν τοῦ γένους ἑαυτοῦ. ὁ δὲ παρὼν Ἀλκιμίδης οὐκ ἐποίησε λησμονηθῆναι τὸν ἑαυτοῦ πατέρα, μὴ ἀργησάντων τῶν ἀγωνισμάτων. ἀλλὰ διὰ τῆς ἑαυτοῦ ἀνδρείας, κἀκεῖνον ἐστέφανωσε τὸν Σωκλείδην τὸν ἑαυτοῦ πατέρα. ὁ δὲ Δίδυμος, Σωκλῆς ἐστι τὸ ὄνομα, φησί. παρήγαγε δὲ αὐτὸ πατρωνυμικῶς ὡς ἔθος ἐστὶ τοῖς ποιηταῖς. ὡς οὖν μὴ νενικηκότος τοῦ Σωκλείδου· ἐστὶ τῆς περὶ ἐκείνου νίκην ἐπαίνεσε· νικήσαντας τοὺς προειρημένους στεφάνους. τὸ δὲ [Ὑπέρτατος,] ἀντὶ τοῦ, πρεσβύτερος. ὁ γὰρ Σωκλείδης πρεσβύτερος μὲν τῶν υἱῶν γέγονεν Ἀγησιμάχου. πατὴρ δὲ Πραξιδάμαντος. [Ἐπεὶ οἱ τρεῖς ἀεθλοφόροι.] ἄρθρον ἐστὶ τὸ, οἱ, ἀντὶ τοῦ, τῷ, τουτέστι τῷ Σωκλείδῃ. τρεῖς γὰρ παῖδες ἐγένοντο αὐτῷ. ὧν ὁ Πραξιδάμας, πρῶτος. οἵ τινες παῖδες, φησὶν, εἰς ἄκρον ἦλθον τῆς ἀρετῆς τῆς ἀθλητικῆς. τῶν τε πόνων τῶν ἀθλητικῶν μετέσχον καὶ ἐγεύσαντο. προτιθέασιν οὖν ὁ, τε. τρεῖς γὰρ ἀθλοφόρους εἶπε. τοὺς ἀδελφοὺς δηλαδὴ τοῦ Σωκλείδου. τῷ δὲ αὐτὸς μὴ ἠθληκέναι ὁ Σωκλείδης, τὸν υἱὸν ἐγύμνασεν. ὃς τὴν περὶ αὐτὸν λήθην ἐσκέδασε νικήσας. ἀνεκήρυξε γὰρ τὸν πατέρα. τὸ δὲ, σὺν θεοῦ τύχᾳ, ἀντὶ τοῦ, τῇ ἐκ θεοῦ τύχῃ. οὐδένα ἕτερον οἶκον οὕτως ἀπέδειξε καὶ ἀπέφηνε, φησὶ, πλείους ἀπενηνοχότα στεφάνους.

Ηλθον, οἵ τε πόνων	Pervenerunt, qui & labores
Εγεύσαντο. Σὺν Θεοῦ δὲ τύχα	Experti-sunt. Cum Dei autem favore
Ετερον οὔ τινα οἶκον	Aliam nullam domum
Απεφάνατο πυγμαχία πλεόνων	Insignem-fecit pugilatus plurium
Ταμίαν στεφάνων μυχῷ Ελλάδος ἁ-	Reportatricẽ coronarum in-sinu Græciæ uni-
πάσας. Ελπομαι μέγα εἰ-	versæ. Spero *me* magna lo-
πὼν τύχεν ἄντα σκοποῦ.	cutum collimare ad scopum.
Ωτ' ἀπὸ τόξου ἱεὶ-	Itaque ab arcu ejacula-
σ' εὐθυν ἐπὶ τοῦτον ἄγε,	ta recta ad hunc *scopum* dirige,
Μοῖσα, οὖρον ἐπέων εὐκλέα.	O Musa, ventum-secundum sermonũ celebrem.
Παροιχομένων γὰρ ἀνέρων,	Defunctorum enim virorum,
ἀντιστροφὴ β'. κῶλον ιγ'.	*Metaph.*
Αοιδοὶ καὶ λόγιοι τὰ καλὰ	Poëtæ & Oratores præclara
Σφιν ἔργα ἐκόμισαν,	Ipsis facinora circumportare-solent,
Βασσίδαισιν ἅτ' οὐ	Bassidis quæ non
Σπανίζει· παλαίφατος γενεά,	Sunt-rara: Antiqua *enim illa* familia,

PARAPHRASIS.

Cum Soclides Praxidamantis, & Theo Alcimidæ pater, desides fuerint, & cum strenuis illis vices alternarint. Alas autem divino beneficio fortunata fuit hæc familia, ut alia nulla plures victorias pugilatu, quemcunque universæ Græciæ recessum & angulum perquiras, reportasse comperiatur. Quare cum tam late patrat Alcimidæ familia laudum area, spero me grandiloquo carmine familiam illam cohonestaturum, quam mihi velut hujus hymni scopum proposui. Itaque age, Musa, emissis ab arcu sagittis, videlicet depromptis ex mente laudum argumentis, illas in hunc scopum dirige, & secundo carminum vento aspira, quo celebris reddatur illa familia. Nam poëtæ & oratores, quorum alii carmine, alii soluta oratione scribunt encomia, sermonibus suis virorum defunctorum res præclare gestas exponunt, & posteritati notas faciunt. Cum autem non pauca præclare gesserint Bassidæ, sed multas en sacris ludis victorias reportarit hæc familia multis ab annis celebris,

NOTÆ.

40 Ad hoc κῶλον annotat Schmidius, Scholiasten τὸ ὅτε vel ἄγε velle πλεονάζειν, male. Id quidem non fuisset vituperandum, si hæc dixisset Scholiastes, cui ὁ, τε solum πλεονάζει. Mirum sane quam non fidendum doctissimorum oculis in hisce præsertim rebus. 43 Πυγμαχία ταμίαν στεφάνων leg. Codd. ante Schmid. qui addidit πλεόνων, cujus emendationem exhibemus. Vulg. Pugilatus *adeo* custodem. Talem deesse vocem & Aret. annotavit. Et sane metrica ratio omnino postulat ∪ ∪ -. 46 Αντα σκοπῷ τυχεῖν Codd. Schmidii castigatio hic etiam admittenda videtur. 48 Εὐθὺν' pro εὐθὺν leg. Schmid. & ἄγε Adverbial. accipit pro, Age. 50 Εὐκλέ' Idem, posteriorem syllabam huc transferens. Idem & ἀποιχομένων habet. 52 Σφιν] Εκείνοι sc. Aret. refert ad ἀποιχομένοις. Omnes ἐκόμιξαν præter Ald. Ut vero sit κόμισαν metrum non requirit, licet contrarium affirmet Schmidius.

[Μυχῷ Ελλάδος.] ἀμφίβολον. πότερον ὡς ἐν Ισθμῷ πολλὰς νίκας εἰληφότος οὕτως εἶπεν. ἐπεὶ μυχὸς τῆς Πελοποννήσου Κόρινθος, ἐν ᾗ τὰ Ισθμια ἄγεται. Ομηρος, Εστι πόλις Εφύρη μυχῷ Αργεος ἱπποβότοιο. ἢ ἐπεὶ μυχοί εἰσι τῶν χωρῶν, αἱ πόλεις· αἱ κρύψεις ὑπάρχουσαι ἀντὶ τῶν πεδινῶν τόπων· τὰς πόλεις ἐν αἷς ἐνίκησαν, μυχοὺς Ελλάδος κέκληκεν. ἐν τῶν Ελλαδικαῖς πόλεσιν, ἐν ἑκάστῳ μυχῷ τῆς Ελλάδος. [Ελπομαι μέγα εἰπών, ἄντα σκοποῦ τυχεῖν·] ἔνιοι γράφουσιν, ἂν τετυχεῖν. ἐλπίζω οὖν, φησίν, μεγαλορρημονήσας καὶ καυχησάμενος, ἐπιτυχεῖν ἂν τοῦ σκοποῦ. ὡς ἀπὸ τόξου πέμπων βέλος. τὸ δὲ τετυχεῖν, ὅμοιον, τῷ λελαβέσθαι. γράφουσι δὲ καὶ, ἄντα. ἵν' ᾖ ὁ λόγος, ἐναντίον τι, καὶ εὐθὺ τοῦ σκοποῦ. [Αλλως.] προσδοκῶ δὲ μεγάλως ἐπαινέσας τὸν νικηφόρον, ἐπιτυχεῖν τοῦ σκοποῦ ὡς ἄριστος τοξότης. τὸ δὲ [Ωτ' ἀπὸ τόξου,] τὸ ὥστε Δωρικῶς, ἀντὶ τοῦ ὥστε φησίν. [Εὐθὺν ἐπὶ τοῦτον ἄγε, Μοῖσα.] ἐπὶ τοῦτον οὖν τὸν σκοπόν, ὦ Μοῦσα, τοὺς σοὺς ἄγε λόγους τοὺς εὐκλεεῖς, καὶ ἐπαίνει τὸν νικηφόρον. ἢ οὕτως. ἐπὶ τὸν σκοπὸν ὃν προεῖπον τὴν οὐρότητα τῶν ποιημάτων ἄγε. [Παροιχομένων γὰρ ἀνέρων.] τῶν γὰρ τεθνηκότων ἀνδρῶν τὰ κάλλιστα κατορθώματα διὰ τῶν οἰκείων λόγων οἱ ποιηταὶ τῇ μνήμῃ παραδιδόασι, καὶ οἱ λοιποὶ τῶν σοφῶν. ἀοιδοὶ μὲν γάρ, οἱ ποιηταί. λόγιοι δέ, οἱ πρότερον τὰ κατὰ τὰς πόλεις διηγούμενοι. [Βασσίδαισιν ἅτ' οὐ σπανίζει.] ὁ Δίδυμος φησὶ, προσήκει γράφειν Βυδίδαις. γενεάν γάρ τινα Βυδίωνα ἐν Αἰγίνῃ, ἀφ' οὗ κατάγεσθαι γενεὰν τὴν Βυδιδῶν. μνημονεύειν δέ φασι τοῦ Βυδίωνος, Πυθαίνετον ἐν πρώτῳ Αἰγινητῶν, γράφοντα οὕτως. περὶ δὲ ταῦτα τῶν λεγομένων, λέγεται Βυδίωνα τυγχάνειν διηνεγμένον πρὸς Οἰνώνην τὴν ἑαυτοῦ θυγατέρα. ὁ δὲ νοῦς, οὕτως. ἅ περ κάλλιστα ἔργα ἐν τοῖς Βασσίδαις οὐ σπανίζει, ἀλλὰ πλεονάζει, οὐδὲ ἐν τῷ γενεῇ τῇ ἐξ ἀρχῆς διαβοώντων. Βάσσος γὰρ πρόγονος τοῦ ἀναστέρου τοῦ Αλκιμίδου. ἔστι δὲ καὶ φυλὴ ἐν Αἰγίνῃ Βασσίδαι. ἢ οὕτως. ἡ τῶν Βασσιδῶν, φησί, γενεά, οὐ σπανίζει καλῶν ἔργων. διὸ οἱ ἀοιδοὶ καὶ οἱ λόγιοι, κομίζουσιν αὐτῶν τὰ ἔργα τὰ καλά. ἐὰν περιφερώμεθα ἅτε οὐ σπανίζει, τὸν λόγον οὕτω καταστήσομεν †. ὧν οὐ σπανίζει ἡ παλαίφατος γενεά, τῶν προειρημένων ἔργων. ἢ οὕτω. Βασσίδαι οἱ κατ' αὐτό. ὄντα, ἀπ' ἄλλης ἀρχῆς. ἅτ' οὐ σπανίζει τὰ προειρημένα ἔργα. ἅτ' οὐ σπανίζει τοῖς Βασσίδαις. ἢ Βασσίδαισιν ἅτ' οὐ σπανίζει. εἶτ' ἀπ' ἄλλης ἀρχῆς παλαίφατος, ᾧ συναπτέον τὸ ἐπιφερόμενον.

† Ed. Brub. -σήσομεν.

[Ιδία

Ἴδια ναυσολέοντες	Propria ceu - nave - advehentes
Ἐπικώμια, Πιερίδων ἀρόταις	Facta - laudanda, Pieridum cultoribus
Δυνατοὶ παρέχειν πολὺν ὕμνον, ἀγε-	Possunt suppeditare multiplicē hymnum, ex
ρώχων ἐργμάτων ἕνεκεν.	celsa propter facinora.
Καὶ γὰρ ἐν ἀγαθέᾳ,	Etenim in divina,
Χεῖρας ἱμάντι δεθεὶς,	Manus loro vinctus,
Πυθῶνι κράτησεν ἀπὸ	Pythone vicit ex
Ταύτας αἷμα πάτρας, χρυσα-	Hac sanguis familia, aureum-co-
λακάτου ποτὲ Καλλίας ἁδὼν	lum-gestantis quondam Callias acceptus
Ἐπῳδὸς ς'. κῶλον ια'.	Metaph.
Ἔρνεσι Λατοῦς· παρὰ Κα-	Plantis Latonæ: apud Ca-
σταλίᾳ τε Χαρίτων	staliamque Charitum
Ἑσπέριος ὁμάδῳ φλέγεν·	Vespertinus concentu refulgebat:
Πόντου τε γέφυρ' ἀκάμαν-	Marisque pons indefes-

PARAPHRASIS.

propria facta celebratione poëtica digna comportant, poëtis Musarum cultoribus encomiastici carminis amplissimam materiam suppeditatura, adeo magna sunt, & præclara. Nam Creontis filius Callias horum consanguineus, cum gratus acceptusque fuerit Apollini & Dianæ natis ex Latona auream colum gestante, in divina Pythone victoriam obtinuit cæstibus, quos athletæ loro volis illigatos gestare solent. Et cum mos esset hymnorum pervigilia dare victoribus, Delphis ubi fons est Castalius, vesperi in choreas ducentium coætaneorum gratissimo strepitu, cætuque victoriam concinente, inclaruit. Præterea in Isthmo Corinthiaco, quæ est terræ angustia inter duo maria, ac veluti maris illius pons, Creontis ille filius

NOTÆ.

59 Ἀγαθέᾳ pro ἀγαθέῃ, unde constat male Lon. connectere cum ἱμάντι (est enim Masculinum ὁ ἱμὰς) qui exponit, Admirandoloro, ex Schol. (quem vide) qui habet, θαυμασίᾳ σκιᾷ. Schmid. 62 Ταύτας pro ταύτης, Idem. 63 Χρυσαλακάτα pro χρυσαλακάτου, idque pro χρυσαλακάτης, Æm. Portus, qui & docet, Dores mutare η Tertiæ Declinationis in α· nisi malles duplicem esse Dorismum, ut diximus. Illius rei exempla vide in Lexico Dorico ejusdem auctoris. Hæc vox occurrit, O. 6. χρυσαλακάτοιο πόσις Ἀμφιτρίτας, & N. 5. Ποντίας χρυσαλακάτου παῖδ Νηρῆος unde confirmatur esse ὁ καὶ ἡ χρυσαλάκατος apud Autorem nostrum. Hinc patet, Schmidium Textum corrupisse ex licentia conjiciendi, quam corruptionem secutus est Bened. qui leg. χρυσαλακάτας pro χρυσαλακάτου. Rom. Crat. & Brub. hab. ἄδων, quod Lon. reddidit, Concinens, & Phil. Canens. Schol. vero, qui exponit ἀρέσας, nobiscum legit. 64 Ἔρνεσι Λατοῦς] Aretius de ramis Lauri Delphicæ accepit. 67 Schol. φλέγε ἀπὸ κοινοῦ repetendum; quem sequitur Phil. Fulsit Isthmus. Lon. ἀκάματος vertit, Indefessus scil. Pons; quum sit Genitivus ab ὁ ἀκάμας, nisi legerit ἀκάματος. Quod si hoc acceperit ita, ut intelligeret, Isthmum aliquoties, sed irrito semper conatu, fodi coeptum, laborem omnem fodientium respuisse, aut non sensisse, non esset omnino reprehendendus, nisi quantitas obstaret. Vide Adag. Isthmum fodere. Hoc est Schmidii judicium, qui tamen Κρεόντιος legit, conjectura ducta à Scholiaste, qui habet Κρεοντίδαι. Ille enim, quum & Scholion pro Textu arripuisset, si Κρεοντίδαι legisset, quod per ἐπεξήγησιν subjici, quivis hisce assuetus cernit; hic tamen ubi auctoritate aliqua saltem verisimili munitus fuit, & ubi Ben. substitit, non sibi manendum duxit. Metrica enim ratio, qua nil auctori laudato infelicius cessit, eum ulterius procedere admonuit. Ἀκάμαντος omnino genuina Pindari vox est. Eustath. ad Homeri Il. Σ. Ἠέλιόν τ' ἀκάμαντα, σελήνην τε πλήθουσαν, Hæc, Ἀκάμας μὲν ὁ Ἥλιος, ὡς ἀεὶ ἔχων ὡσαύτως· πλήθουσα δὲ ἡ σελήνη, ἡ ἐκ μειώσεως αὖθις αὔξουσα κατὰ τὸ, πλήθοντες ποταμοί, οἱ ὑπομβρίαις ἐπαυξανόμενοι· διὸ καὶ τὸν ὠκεανὸν, ὡς μὴ πάσχοντα τοῦτο, καὶ αὐτὸν, κατὰ τοὺς λοιποὺς, ἀκάματον προσεῖπεν ὁ γράψας τὸ, πάντη δ' ἀκαμάτοιο φέρητη ῥόος ὠκεανοῖο. Quod est ἀκαμάτοιο illi, huic nostro ἀκάμαντος dicitur.

[Ἴδια ναυσολέοντες.] οἱ Βασσίδαι, φησίν, ἴδια ναυσολοῦντες, τουτέστιν, ἴδια χορηγοῦντες καὶ κομίζοντες ἔργα τοῖς τῶν Πιερίδων ἀρόταις, τουτέστι τοῖς ποιηταῖς, ἀνυμνεῖν δυνάμενοι, οὐκ ἐπακτοῖς χρῶνται ἐπαίνοις διὰ τὸ αὐχεῖν ἐκ αὐτῶν ἔργων, ἀλλὰ τοῖς αὐτῶν. πολλὰ γὰρ διαπράξασιν. ἐπικώμια δὲ, τὰ εἰς κῶμον ὑμνῶν ἐπιτήδεια τῆς νίκης. μετὰ γὰρ τὸ νικῆσαι, ἐκώμαζον μετὰ τῶν ἡλικιωτῶν. ἢ οὕτω. οὐ δεόμενοι δι' ἑτέρων κοσμηθῆναι, ἀλλ' ἑαυτοὺς ἀρκέμενοι πρὸς κόσμον, ἴδια ἐπικωμάζοντες ἔργα τοῖς ποιηταῖς. ναυσολοῦντες δὲ, ἀντὶ τοῦ ἐμπορίζοντες. οἱονεὶ ἀρύοντες ἐκ τῶν ἰδίων κόπων τὰ ἐγκώμια. ἀγερώχων δὲ ἐργμάτων, ἀντὶ τοῦ μεγάλων ἔργων. δυναμένοις οὖν τοῖς ποιηταῖς παρέχειν πολλῶν ἐπαίνων χορηγίαν, ἕνεκεν τῶν πεπραγμένων αὐτοῖς ἔργων ὀλβίων. [Καὶ γὰρ ἐν ἀγαθέᾳ χεῖρας ἱμάντι δεθεὶς.] καὶ γὰρ ἐν θαυμασίᾳ, * τὰ παλαιὰ σκιᾷ μετὰ χεῖρας λαβὼν, ἐνίκησεν, ἀπὸ τῆς αὐτῆς συγγενείας ὢν καὶ πατρίδος ὁ Καλλίας. ἢ ὅτι πυκτεύσας ἐν Πυθοῖ ἐνίκησεν, ἀρέσας τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι, ἀπὸ τῆς αὐτῆς ὢν πατρίδος, ἤτοι τῆς Αἰγίνης· καὶ ἐκ τοῦ αὐτοῦ αἵματος, τουτέστιν, ἐκ τῆς αὐτῆς φατρίας τῶν Βασσιδῶν. [Καλλίας] ὃς Κρέοντος ὑπῆρχε παῖς. χρυσηλάκατον δὲ εἶπε τὴν Λητὼ τὸ τῆς Ἀρτέμιδος μεταγαγὼν ἐγκώμιον, ἐπὶ τὴν μητέρα τῆς γεννησάσης. [Παρὰ Κασταλίᾳ τε Χαρίτων.] ἀπὸ τῆς πηγῆς, τῆς Δελφοῖς ὀνομασθείσης. ἐκωμάσθη γὰρ νικήσας ὑπὸ τῶν ἡλικιωτῶν ἑσπέριος. Χαρίτων γὰρ ὁμάδῳ, οἱ μὲν, τῷ χορῷ ἀποδεδώκασιν· οἱ δὲ, τῷ χαριεστάτῳ θορύβῳ τῷ ἐπὶ τῇ νίκῃ πανηγύρεως φασιν, ἐλαμπρύνετο κωμάζων. ἤτοι, μέχρις ἑσπέρας ἔλαμπεν. ὁ δὲ νοῦς. ἑσπέριος δὲ τῇ Κασταλίᾳ πηγῇ, τουτέστιν, ἐν Δελφοῖς τῷ ἀγῶνι νικήσας, τῇ τῶν χορευτῶν χάριτι ἐπὶ τῇ νίκῃ, μέχρις ἑσπέρας ἡ νίκη αὐτῷ καὶ ἡ δόξα ἔλαμπεν. ἔθος γὰρ ἦν καὶ παννυχίδας ὕμνων τοῖς νενικηκόσιν ἀποτελεῖσθαι. τοῦτο δὲ ὡς κατὰ τὰ Πύθια νικήσαντος αὐτοῦ. ὡς καὶ ἐν Ισθμίοις νενικηκότος αὐτοῦ. πόντου γὰρ γέφυρα, ὁ Ισθμός. τεσσαράκοντα σταδίων γὰρ ἀμφιθάλασσος ἦν. καὶ ἔστι κατὰ τὸ ἔτυμον γέφυρα, ἡ τῆς γῆς φέρουσα ὁδός. ἀπὸ δὲ τοῦ ... πόντου γέφυρα.

* Edd. quædam θαυμασία· supple vero ἐσθῆτι. Exponit enim ἀγαθέᾳ.

τος ἐν Ἀμφικτυόνων
Ταυροφόνῳ τριετηρίδι
Τίμασε, Ποσειδά-
νιον ἂν τέμενος· βοτάνα τέ νιν
Πόθ' ἁ Λέοντος νικάσαν-
τ' ἔρεψ' ἀσκίοις Φλιοῦντος ὑπ' ὠ-
γυγίοις ὄρεσιν.

στροφὴ γ'. κώλων ιγ'.

Πλατεῖαι πάντοθεν λογίοι-
σιν ἐντὶ πρόσοδοι,
Νᾶσον εὐκλέα τάν-
δε κοσμεῖν· ἐπεί σφιν Αἰακίδαι
Επορον ἔξοχον αἶσαν,
Ἀρετὰς ἀποδεικνύμενοι μεγάλας.
Πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θα-
λάσσας τηλόθεν γ' ὄνομ' αὐ-
τῶν· καὶ ἐς Αἰθίοπας,
Μέμνονος οὐκ ἀπονο-
στάσαντος ἔπαλτο. Βαρὺ

si in Amphictyonum
Tauricida trieteride
Honoravit, Neptu-
nium per delubrum: herbaque ipsum
Aliquando Leonis victo-
rem coronavit, umbrosis Phliuntis sub an-
tiquis montibus.

Μεταφ.

Lati undique eloquenti-
bus sunt aditus,
Ad insulam celebrem hanc-
ce exornandum: quoniam ipsis Æacidæ
Dederunt eximiam sortem,
Virtutes edentes magnas.
Volitat autem supraque terram, & per ma-
re procul nomen ipso-
rum: etiam ad Æthiopas,
Memnone non rever-
so, prosiliit. Gravis

PARAPHRASIS.

in Neptuni delubro honore cumulatus est ob victoriam Isthmiorum ludorum, qui factis Neptuno, bove nigro sacris, tertio quoque anno celebrantur. Quinetiam in Nemea, sub antiquis & umbrosis montibus Phliasiis sita, Nemeaco certamine victor evasit, & apio coronatus est: qua herba Hercules prostrato leone, & ludis institutis, jusserat victores coronari. Porro lati undique ad illustrem hanc insulam Æginam patent viarum aditus viris eloquentibus, qua se ad eam encomiis exornandam facile conferant. Cujus tam eximiæ fœlicitatis eis sunt authores Æaci posteri; qui cum magnarum virtutum edant specimina, nunquam amplo laudis argumento carituri sunt. Ac sane per omnes terrasque tractusque maris procul volitat nomen Æacidarum. Imo ad remotissimos Æthiopas etiam prosiliit: ad quos cum rex Memnon, illustris Auroræ filius, ex bello Troiano non rediisset.

NOTÆ.

68 Ἐν erasit Schmid. Id vero quamobrem vide Not. superiorem. 71 Ἂν pro ἀνά, Vulg. Circum. 73 Ἐρεψ' Schmid. Ἀσκίοις] Schol. explicat, δασκίοις i. e. δασυσκίοις, ut vult Eustath. ad Homericum, δάσκιος ὕλη, vel παρὰ τὸ δα ἐπιτατικόν, ut Etymol. magnum: non vero ille ita legere videtur, ut putat Schmid. cui hæc vox adeo perplacet, ut in Textu fuisset collocata, modo per metrum id staret. Scholiastes solet exponere Pindarica vocabula, per Homerica, ideoque Scholion merito censeri debet. 82 Omnes præter Ald. omitt. γ', qui & ὄνομα legit. 85 Ἔπαλτο pro ἥλατο vel ἥλατο Æol. & Poët. ab ἐφάλλομαι, Insilio.

[Ταυροφόνῳ τριετηρίδι.] τουτέστιν, ἐν ᾗ ταύρους φονεύουσι καὶ ἱερουργοῦσι τῷ Ποσειδῶνι. ὡς καὶ Ὅμηρος· Ταύρους παμμέλανας ἐνοσίχθονι κυανοχαίτῃ. τριετηρίδι δὲ, διὰ τό, διὰ τριετηρίδος τὸν Ἰσθμικὸν ἀγῶνα τελεῖσθαι. Κρεοντίδαν δὲ τὸν Καλλίαν φησὶν, ὡς τοῦ πατρὸς αὐτοῦ, Κρέοντος καλουμένου. [Βοτάνα τέ νιν πόθ' ἁ λέοντος.] βούλεται ἡ ἱστορία, ἐκ τοῦ Ἀρχεμόρου αἵματος ἀναδεδόσθαι τὸ βοτανίδιον. οἱ δὲ, ὃ καὶ βέλτιον, βοτάνη λέοντος ἡ Νεμέα. παρόσον κατ' αὐτὴν διῆγεν ὁ λέων βοσκόμενος. [Ἄλλως.] Βοτάνην λέοντος, τὸ σέλινον λεκτέον. σέλινον γὰρ ὁ αὐτόθι στέφανος. ὅτι ὁ Ἡρακλῆς καταγωνισάμενος τὸν λέοντα, τοῦτο ἐνομοθέτησεν εἶναι τὸ στέμμα. ἀλλ' ἀλόγως. φέρεται γὰρ ἐπ' Ἀρχεμόρῳ, ὅ, τε ἀγὼν τεθεὶς, καὶ τὸ σέλινον τοῖς νικῶσι διδόμενον. ἢ ὁ Ἰσθμικός. ὅτι ἱερὸς τῷ Ποσειδῶνι. ὁ δὲ νοῦς. καὶ ἡ Νεμέα δέ ποτε νικήσαντα τὸν Καλλίαν ἔστεψεν. ἥτις Νεμέα ἐστὶν ὑπὸ τοῖς συμφύτοις καὶ ἀρχαίοις τοῦ Φλιοῦντος ὄρεσι. θέλει δὲ αὐτὸν καὶ Νεμεονίκην ἀποδεῖξαι. δασκίοις δὲ, ἢ τοῖς δασκίοις δένδρεσιν, ἢ διὰ τὸ ὑψηλὸν, τοῖς μεγίστην σκιὰν ἀπεργάσασθαι δυναμένοις. κεῖται δὲ ἡ Νεμέα περὶ τὰ Φλιάσια ὄρη. [illegible] δὲ [illegible] πόλις ὁμώνυμος ἡ Φλιοῦς, ἡ [illegible]ρον Ἀραιθυραία καλουμένη, ἣν καὶ Ὅμηρος οὕτω φησίν. [Πλατεῖαι πάντοθεν λογίοισιν.] πολλαὶ καὶ πλατεῖαι ἀφορμαί εἰσι τοῖς ἐλλογίμοις, φησί. πάλιν τοὺς ποιητὰς ἀκουστέον. ὥστε ὑμνεῖν τὴν νῆσον ταύτην τὴν Αἴγιναν. ἐπειδὴ αὐτοῖς χορηγίαν παρέχουσιν ἐπαίνων οἱ Αἰακίδαι, καὶ ἐξαίρετον ἀρετὴν ἐπεδείξαντο. ἀμφίβολον δὲ, πότερον τοῖς προκειμένοις λόγοις παρέσχον μοῖραν πλείστην οἱ Αἰακίδαι, ἢ οἱ Αἰακίδαι ἔπορον ἔξοχον αἶσαν τοῖς ἰδίοις πολίταις δοξάζοντες αὐτούς. [Καὶ ἐς Αἰθίοπας Μέμνονος οὐκ ἂν ἀπονοστάσαντος ἔπαλτο.] ἔστι καὶ συνεσταλμένως καὶ βαρυτόνως ἀναγνῶναι, ἔπαλτο. τουτέστιν, ἐπῆλθεν * * ἐβλήθη τὸ κλέος αὐτῶν εἰς Αἰθίοπας. [Βαρὺ δέ σφι νεῖκος ἔμπεσ' Ἀχιλλεύς.] βαρεῖαν δὲ καὶ ἐπαχθῆ μάχην διὰ φιλονεικίαν αὐτοῖς ἐπιδείξαι

Δέ σφι νεῖκος ἔμπεσ', Ἀχιλ-	Autem ipsis concertatio incidit, Achil-
λεὺς χαμαὶ καββὰς ἀφ' ἁρμάτων,	les in terram descendens è curribus,
ἀντιστροφὴ γ'. κῶλον ιγ'.	Metaph.
Φαεννᾶς υἱὸν εὖτ' ἐνάρι-	Illustris filium quando interfe-
ξεν Ἀοῦς, αἰχμᾷ	cit Auroræ, cuspide
Ἔγχεος ζακότοι-	Hastæ periracun-
ο. Καὶ ταύταν μὲν παλαιότεροι	dæ. Et hanc quidem antiquiores
Ὁδὸν ἁμαξιτὸν εὗρον.	Viam plaustralem invenerunt.
Ἕπομαι δὲ, καὶ αὐτὸς ἔχων μελέταν.	Sequor autem, & ipse habens exercitationem.
Τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον	Quod vero ad pedem navis volvitur
Αἰεὶ κυμάτων, λέγεται	Semper fluctuum, *id* dicitur
Παντὶ μάλιστα δονεῖν	Cuique maxime perturbare
Θυμόν. Ἑκόντι δ' ἐγὼ	Animum. Sed voluntario ego

PARAPHRASIS.

quia Achilles ex curru in terram descendens, cuspide hastæ acutissimæ confixum illum interemerat, audiverunt generosissimi Græcorum Achillis forte facinus, & sciverunt suo regi fuisse congrediendum cum heroë gravi bellatore & pugnandi ardore insuperabili. Cæterum si hoc in encomio laudes à majoribus sumptas fuse sum persequutus, illud ex more & instituto veterum, qui viam hanc laudandi à majoribus adinvenerunt, passim facere soleo, quum meditor argumenta quibus in laude clarorum virorum me exerceam. Quemadmodum autem non remotus sed propinquus fluctus, non præteritus, sed præsens, is nimirum qui navis gubernaculum impetit, & circumvolvitur, cuilibet animum afficit & perturbat. Sic ego præcipuum studium, non in majorum, sed in præsentis victoris laudibus ponere debeo.

NOTÆ.

86 Omnes præter Ald. leg. σφιν, nec corrupte. Vide Not. ad rationem metricam. Hic locus elumbis à Schmidio exhibetur, qui ἔπεσεν pro ἔμπεσ' reposuit, ut & Ἀχιλλεὺς ἐς καταβὰς, pro Ἀχιλλεὺς χαμαὶ καββὰς, ut ad ἐς inferatur καταβὰς in Masculino. Syntaxi ad sensum relata non vocem. Sed veremur, ne pro σολοικία habeat Lector, quum Schmidius faciat. Non enim in Pindaro invenit. Tale quidem judicium & ipse metuens, καταβᾶσ' postea legendum monet. 91 Ταύταν μὲν leg. Idem. 94 Ποδὶ] Alias οἱ πόδες sunt. Funes, quibus vela ad Proram vel Puppim, vel etiam ad malum ab inferiore parte alligantur, ut Od. E. v. 260. Πόδας τ' ἐνέδησεν ἐν αὐτῇ. Soph. Antig. πόδα τείνας. Potest etiam hoc loco reddi. Ad Carinam & Navis latera, quousque scil. aquis sunt immersa, quibus quasi pedibus, hoc est, partibus infimis incedere quodammodo navis videtur. Schmid. Sed & Homer. pro Clavo utitur Od K. v. 33. Πόδα νηὸς ἐνώμων, Ipse ego [Ulysses] Gubernaculum navis tractabam. Verum πὰρ ποδὶ idem sonare videtur, ac πάρποδα frequenter apud Autorem nostrum, Quod ante pedes est. Circa præsentes scil. fluctuum gyrationes & procellas, quisque sollicitus est. Descriptio est periculi, quod acrius vel mollius solet mentem in eo versantium percellere, quo præsentius vel remotius est. 97 Hoc onus sese ἑκόντι νώτῳ μεθέμεν addit, indicans, siquid in eo laboris aut tædii esse videatur, id sibi potius, cujus humeris incumbit, quam alii, sustinendum esse. Schmid. Defendit rationem suorum hymnorum, quod data opera laudibus personæ præsentis semper adjungat locum à majoribus, in quo per digressiones longius immoretur: duplex enim is labor est, & eo opus habet magis industrio artifice, qui cum laude utrumque possit explicare & tractare. Hæc Aretius.

δεῖξιν ὁ Ἀχιλλεὺς τοῖς Αἰθίοψι χαμαὶ κλίνας τὸν Μέμνονα, αὐτὸς ἐκ τῶν ἁρμάτων κατελθὼν, τὸν φαιδρᾶς ἡμέρας τὸν υἱὸν, ἡνίκα ἐφόνευσε τῇ ἀκμῇ τοῦ δόρατος τοῦ λίαν ὀργίλου. περίφρασις δὲ τὸ σχῆμα. ἵνα τὴν Ἀχιλλέως δείξῃ περὶ τὸ πολεμεῖν εὐθυμίαν. [Ἄλλως.] Μέμνων υἱὸς μὲν ἦν Τιθωνοῦ καὶ Ἡμέρας, βασιλεὺς δὲ Αἰθιόπων. οὗτος ἐπιστρατευσάμενος τοῖς Ἕλλησιν ὑπὲρ τῶν Τρώων, ἀνῃρέθη ὑπὸ Ἀχιλλέως. καὶ διὰ τοῦτο, φησὶ, τὴν τῶν Αἰακιδῶν δόξαν, καὶ μάχεις Αἰθιόπων διαπλεύσαι. οὐκ ἐκ παραδρομῆς δὲ ζάκοτον εἶπε τὸ δόρυ τοῦ Ἀχιλλέως ὡσανεὶ μείλινον, ἤ τι τοιοῦτον αὐτὸ ἔφη ἐν κοινότητι, ἀλλ' ὅτι ἰδιώτερον παρὰ τὰ ἄλλα κατεσκεύαστο. δίκορον γὰρ, ὥστε δύο ἀκμὰς ἔχειν. καὶ μιᾷ βολῇ, ὥστε δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι. καὶ Αἰσχύλος, ἐν Νηρεῦσι· Κάμαξ ἐστὶ, κάμακος γλώσσημα διπλάσιον. καὶ Σοφοκλῆς ἐν Ἀχιλλέως ἐρασταῖς· Ἡ δορὸς διχόστομον πλᾶκτρον. δίπτυχοι γὰρ ὀδύναι μιν ἤρεικον Ἀχιλλείου δόρατος. μεταγουσιν δὲ τὴν ἱστορίαν, ἀπὸ τῆς λέσχου μικρᾶς Ἰλιάδος, λέγοντες οὕτως· Ἀμφὶ δὲ πόρκις χρύσεος ἀστράπτει, καὶ ἐπ' αὐτῷ δίκροος δὶν * *. ἢ ζάκοτόν φησι, κατὰ μετωνυμίαν τοῦ φέροντος, καὶ αὐτὸ συμπνέον τῇ ὀργῇ. ἀπὸ τοῦ παρ' Ὁμήρῳ· Πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χρόα λευκὸν ἐπαυρεῖν, Ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι. [Καὶ ταύταν μὲν παλαιότεροι.] καὶ ταύτην μὲν τὴν ὁδὸν τὴν τῶν ἐπαίνων, ἥτις ἐστὶ τὸ λοιπὸν κατημαξευμένη, οἱ παλαιότεροι ἡμῶν καὶ οἱ πρεσβύτεροι ἐξεῦρον. ἀντὶ τοῦ, καὶ οἱ πρότεροι ἡμῶν, ἐπῄνεσαν τοὺς Αἰακίδας. ἀκολουθήσω οὖν καὶ αὐτὸς ἔχων ταύτην τὴν μελέτην καὶ σπουδὴν, τὸ ἐπαινεῖν τοὺς ἀγαθοὺς ἄνδρας ἀεί. μελέτην φησὶ τὴν ἐπιμέλειαν. Ὅμηρος. Μελέτη δέ τοι ἔργον ὀφέλλει. [Τὸ δὲ παρ' ποδὶ ναὸς ἑλισσόμενον.] πόδας μὲν νεώς, τὸ πηδάλιον. τὸ δὲ κῦμα τὸ παρὰ τῷ πηδαλίῳ ἑλισσόμενον, δονεῖ καὶ ταράσσει τὸν ἑκάστου θυμόν. οὐ τὸ παρεληλυθὸς οὖν ταράσσει, ἀλλὰ τὸ ἔτι εἰλούμενον. λέγει δὲ τοῦτο ὁ Πίνδαρος, ὅτι παρεξέβη εἰς τὸ ὑμνεῖν τοὺς Αἰακίδας. ἔργον δὲ οὐκ ἐξέλαβε τοῦτο. ἀλλ' εἰς τὸ ὑμνῆσαι τὸν Ἀλκιμίδην. διὸ, φησὶν, αὐτὸν ὑμνήσω. ὁ δὲ νοῦς. παραπεμψάμενος οὖν, φησὶ, τὰ παλαιὰ, τῶν νέων καὶ παρόντων ἕξομαι. καὶ γὰρ ἐπὶ τῶν πλεόντων, ἀεὶ τὸ παρὰ τῷ πηδαλίῳ κῦμα παρὸν καὶ ὁρώμενον, τοῦ κυβερνῶντος ἀνδρὸς ταράσσει τὴν ψυχήν. [Ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων δίδυμον ἄχθος.] μεταφορᾷ κέχρηται τῇ τῶν ὑποζυγίων σημαίνει γὰρ, ὅτι ἑκουσίως ἐγὼ τοῦτο τὸ μέρος ὑπέμεινα δίδυμον ὑπάρχον τοῦτο δέ φησιν, ἢ ὅτι σὺν τῷ τὸν Ἀλκιμίδην ὑμνῆσαι συμπαραλαμβάνειν μέλλει καὶ ἔπαινον τοῦ ἀλείπτου Μελησίου, ἢ τὸ τοῦ Ἀλκιμίδου καὶ τὸ τῶν Αἰγινητῶν. καὶ γὰρ ἐκεῖνος, καὶ ἔτι πεῖτον τοὺς Αἰακίδας ὕμνησε, καὶ αὐτὸν τὸν Ἀλκιμίδην. ὁ δὲ νοῦς. ἑκὼν γὰρ ὑπεδεξάμην

Νώτῳ μεθέπων δίδυμον
Ἄχθος, ἄγγελος ἔβαν, πέμ-
πτον ἐπ᾽ εἴκοσι τοῦτο γαρύων

ἐπῳδὸς γ΄. κώλων ια΄.

Εὖχος ἀγώνων ἄπο, τοὺς
Ενέποισιν ἱερούς·
Αλκιμίδας τό γ᾽ ἐπάρκεσε
Κλειτᾷ γενεᾷ. Δύο μὲν
Κρονίου πὰρ τεμένει
Παῖ, σέ τ᾽ ἐνόσφισε Τιμίδαν
Κλᾶρος προπετὴς ἄν-
θε᾽ Ολυμπιάδος. Δελφῖνι κεν
Τάχος δι᾽ ἅλμας ἴσον εἴποι-
μι Μελησίαν, χερῶν τε καὶ ἰ-
σχύος ἁνίοχον.

Dorso subiens geminum
Onus, præco adveni, quin-
tum supra viginti hoc celebrans

METAPH.

Decus è certaminibus, quæ
Vocant sacra:
Alcimidas quod præstitit
Inclyto generi. Duos quidem
Saturnii apud delubrum tibi
O *Alcimida* adolescens, tibiq; eripuit Timidæ
Sors temeraria flo-
res Olympiadis. Delphini utique
Velocitate in mari similem dixe-
rim Melesiam, manuumque & ro-
boris aurigam.

PARAPHRASIS.

At nihilominus duplicem provinciam suscipio, & duplici oneri humeros subjicio, quum hoc carmine non solum præsentem victoriam Alcimidæ prædico, sed & Bassidarum ejus majorum omnes simul complector, & nuntiatum venio, quatuor & viginti majorum Alcimidæ victoriis, quas ex Græciæ certaminibus quæ sacra vocant, reportarunt, hanc illius vigesimam quintam accessisse, illumque hoc decus inclyto suo generi peperisse & suppeditasse. Duas autem victorias ex præstantissimo Olympiorum certamine, apud Jovis Saturnii delubrum, ô adolescens Alcimida, tuque consanguineus ejus Timida, uterque videlicet unam reportassetis, nisi forte, cujus temerarius est delectus, exclusi à certamine fuissetis: atque Hellanodicæ, vobis quibus prima lanugo à genis prorumperet, cum aliis impubibus adolescentibus certandi facultatem denegassent. Is autem qui vestras manus, vestrumque robur direxit, & formavit, est Melesias unctor & athleta præstantissimus, qui reliquis omnibus athletis agilitate & celeritate antecellit, quemadmodum marinis piscibus delphin: quique sua arte sic discipulorum manus & robur moderatur, ut aurigæ equorum currus trahentium frænos & habenas.

NOTÆ.

99 Τὸ πέμπτον Schmid. 103 Αλκιμίδα ὅ γ᾽ ἐπάρκεσε Κλειτᾷ γενεᾷ, hab. Schmid. vertens, Alcimidæ quod suppeditat Inclytum genus. Nos Codd. non deserimus. 106 Παῖδ᾽ ἔτ᾽ [pro ἔτι] ἐνόσφισε Τιμίδαν Crat. & Brub. ut sensus sit de solo Timida. Ενόσφισε Eripuit tibi, ut Od. Δ, 263. ubi Helena ait, Venus me abduxit, Παῖδά τ᾽ ἐμὴν νοσφισσαμένη, θάλαμόν τε πόσιν τε. Ibi tamen Accusativus rei non adjicitur. 107 Κλᾶρος] Aretio, Judicum voluntas. Ita & Schmid. In sortem hæc rejicit, ne Ελλανοδίκας videatur intelligere, quos tamen Scholiastes intelligit, & recte reprehendit, quum eos, quorum alter (Alcimidas) jam in Nemeis inter παῖδας certare posse judicatus fuit, aliquot annis ante, ex numero παίδων tanquam adultiores temere rejecerint. Ideo nunc Alcimidam in certamen παίδων in Nemeis admissum, etiamnum voce Παῖ compellat. 108 Δελφῖνι] Vide P. 2, 93. 109 Αλμας] Saltu, Lon. & Phil. Male, ut alias annotavimus ad hanc vocem. 111 Ανίοχον] Frænitenentem, ad verbum, Schmid.

ὑποδεξάμενος ὅτι τοῖς ἐμαυτοῦ νώτοις, τοῦτο τὸ φορτίον τὸ διπλοῦν. ἄγγελος καὶ κῆρυξ βουληθεὶς γενέσθαι τῆς ἀρετῆς τῶν ἀνδρῶν Αλκιμίδου καὶ Μελησίου. περὶ γὰρ αὐτῶν ἑξῆς φησίν. ὡς εἰκοσιπέντε στεφάνους εἰληφότων τῶν ἀπὸ ταύτης τῆς φατρίας. ἢ καθόλου τῶν Αἰγινητῶν. [Αλλως.] φησὶν αὐτὸ τὸ προφθάσαν γένος, εἰκοσιτέσσαρας ἐσχηκέναι νίκας. τὸν δὲ Αλκιμίδην, εἰκοστὴν πέμπτην ταύτην νενικηκέναι. τοῦτο οὖν τὸ εἰκοστὸν πέμπτον σεμνολόγημα ἐξαγγέλλων, ὅπερ ἀπὸ τῶν ἀγώνων ἐδέξαντο. ἀγώνων δὲ τούτων, οὓς ἱεροὺς καλοῦσιν. ἤτοι τοὺς περιοδικοὺς εἰκοσιτέσσαρας, φησίν. ὅπερ εὖχος καὶ σεμνολόγημα τὸ εἰκοστὸν πέμπτον ὁ Αλκιμίδης προσέθηκε, καὶ ἐπήρκεσε παρασχὼν, νικήσας τὸν ἀγῶνα τῇ ἐνδοξοτάτῃ αὐτοῦ γενεᾷ. [Δύο μὲν Κρονίου πὰρ τεμένει.] ἐν Ολυμπίᾳ, φησὶν, ἐνόσφισεν αὐτοὺς καὶ ἐχώρισεν ἡ προεξάνθησις τῶν τριχῶν. ἀπηνέχθη γὰρ, ὡς οὐ παιδικὴν ἔχοντος ἡλικίαν διὰ τὸ προεξηνθηκέναι τὰς τρίχας. αὐτὸ ἄρα γοῦν τὸ ἄνθος αὐτῆς τῆς ἥβης, φησὶ, συνεκληρώθη. οὐδὲ γὰρ κλῆρος ἄνθους. ὁ δὲ Πολυτιμίδας, οἰκεῖος τοῦ Αλκιμίδου. κληρωθέντες οὗτοι παίδων ἀγωνίσασθαι, μεταξὺ ἡβήσαντες ἐξεκρίθησαν τοῦ ἀγῶνος. ὁ δὲ νοῦς. δύο δὲ ἄνθη καὶ νίκας τῆς Ολυμπίας, τῆς οὔσης παρὰ τῷ Κρονίῳ τεμένει, ὁ προπετὴς κλῆρος ὑμᾶς ἀπεστέρησεν, ὦ Αλκιμίδη. [Δελφῖνι κεν τάχος δι᾽ ἅλμας ἴσον εἴποιμι Μελησίαν.] Μελησίας, εἷς τῶν ἐνδόξων ἀλειπτῶν· ἐπαινεῖ δὲ αὐτοῦ τὸ τάχος. ἐπεὶ ταχὺ αὔξει τοὺς ὑπ᾽ αὐτοῦ ἀλειφομένους, καὶ προάγει εἰς τοὺς ἀγῶνας. καὶ τοσοῦτον, φησὶ, διαφέρει τῶν ἄλλων ἀλειπτῶν τῷ τάχει τοὺς ἀλειφομένους καταστῆσαι εὐχειρίας καὶ ἰσχύος ἡνίοχον ὄντα, ὅσον ὁ δελφὶς τῶν ἄλλων ἰχθύων τῷ τάχει διαφέρει. ἀντὶ τοῦ, ἴσον ἂν εἴποιμι καὶ τὸν Μελησίαν τῷ τάχει δελφῖνι, τῇ τε ἰσχύϊ καὶ τῇ τέχνῃ.

Τέλος τοῦ ἕκτου τῶν Νεμείων εἰδῶν.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΕΒΔΟΜΟΥ ΤΩΝ ΝΕΜΕΩΝ ΕΙΔΟΥΣ.

ΤΗΣ ἑβδόμης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ιβ'. Τὸ α', ἀντισπαστικὸν τρίμετρον ὑπερκατάληκτον. Τὸ β', ἐγκωμιολογικόν, λεῖπον τῷ ἐσχάτῳ ἰάμβῳ. † Τὸ γ', ἐπιωνικόν, ὅπερ ἀντιπαθεῖ τῷ ἰάμβῳ. Τὸ δ', περίοδος δευτέρα. ‡ καὶ ἡ μὲν προτέρα, ὑπόδοσις ἐστὶ μέσος ἴαμβος. ἡ δὲ δευτέρα, διπλῆς τροχαίου. λείπει. Τὸ ε', ἰαμβικὸν δίμετρον καταληκτικόν. ὁ τρίτος πούς, δάκτυλος συναλειφόμενος. Τὸ ς', χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ζ', Ἀνακρεόντειον. ἐκ δευτέρου πενθημιμεροῦς, καὶ ἰαμβικῆς συλλαβῆς καταληκτικόν. Τὸ η', Ἰωνικὸν δίμετρον καταληκτικόν. ἡ γὰρ πρὸ συλλαβῆς, βραχεῖα. Τὸ θ', τροχαϊκὸν Εὐριπίδειον διαλυθέν. Τὸ ι', ἐπιωνικόν. ὅμοιον τῷ τρίτῳ. Τὸ ια', Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ', ἰαμβικὸν πενθημιμερές. *

† Ed. Brub. ἢ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. ‡ Fortassis δὶ πλῆ. * Ἑφθημιμερές.

Περὶ τῆς ἐπῳδῆς αὐτῆς.

Η ἐπῳδὸς κώλων ἑπτά. Τὸ α', χοριαμβικόν, † καὶ ἴαμβος, καὶ συλλαβή. Τὸ β', Ἰωνικὸν δίμετρον ἀκατάληκτον. ἡ προτέρα συζυγία τροχαῖος. εἶτα Ἰωνική. Τὸ γ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ', φερεκράτειον, ἢ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ε', γλυκώνειον. ἡ μία ὑπόδοσις, ἀντὶ τῆς ἰαμβικῆς συζυγίας, τὴν χοριαμβικὴν ὡς συγγενῆ. Τὸ ς', τροχαϊκὸν δίμετρον ἀκατάληκτον ‡. Τὸ ζ', τροχαϊκὸν δίμετρον * βραχυκατάληκτον. ἢ Ἀρχιλόχειον παρὰ μίαν συλλαβήν.

Περὶ τῆς ἐπιγραφῆς αὐτῆς.

Σωγένει Αἰγινήτῃ.] προεῖτος ὁ Σωγένης Αἰγινητῶν, ἐνίκησε παῖς ὤν, πεντάθλῳ, κατὰ τὴν τεσσαρεσκαιδεκάτην Νεμεάδα. ἐτέθη δὲ ὁ πένταθλος πρῶτος κατὰ τὴν τρεισκαιδεκάτην Νεμεάδα.

† Eadem Ed. Δίμετρον videtur deesse. ‡ Καταληκτικόν, ἢ ἡ περίοδος. * Τρίμετρον.

Ratio vero metrica ita se habet:

στροφὴ & ἀντιστροφή.

1. u - - u   u - u -   - u - u   -
2. - u u -   u u u u   - u
3. - - u u   - u - -   u - u -
4. - u u -   u - - u   - u - u   -
5. u - u -   - u u u   -
6. - u u -   u - -
7. u - u u   - - u -   u u u u   -
8. - - u u   - u -
9. u u u u   u u - u   -
10. - - u u   - u - u   u u - u   -
11. - - u u   - u - u
12. u - u u   - u - u

ἐπῳδός.

1. u - u -   - u u -   u u u -
2. u u u -   u u - -   u u
3. - u - u   u - u u   u -
4. u u -   u u -   u
5. u - u u   u - u u
6. u u u -   u u - u   -
7. u u u -   u u - u   - u - u

ΣΩΓΕΝΕΙ

ΣΩΓΕΝΕΙ ΑΙΓΙΝΗΤΗ ΠΑΙΔΙ ΠΕΝΤΑΘΛΩ.

ΕΙΔΟΣ Ζ'.

SOGENI ÆGINETÆ JUVENI QUINQUERTIO VICTORI.

ODE VII.

ARGUMENTUM.

Sogenes Adolescens Ægineta Thearionis filius victoriam Quinquertio Nemeade vigesima quarta adeptus laudatur à Lucinæ beneficio; à patria Ægina, à consequente victoriam laudis præconio, à patre Thearione, à majorum studiis & virtute illi quasi hæreditaria. Digreditur autem ad Historiam Neoptolemi, & concludit conversa oratione ad Herculem quem pro felicitate Sogenis cupit esse intercessorem.

Στροφὴ α'. κώλων ιϛ'.

Ελείθυια, πάρεδρος Μοιρᾶν βαθυφρό-[νων,
Παῖ μεγαλοσθενέος, ἄκουσον,
Ηρας, γενέτειρα τέκνων. Ανευ σέθεν

ΜΕΤΑΦΡ.

O Lucina, assidens Parcis profunda cogi-[tantibus,
Filia præpotentis, audi,
Junonis, genitrix liberorum. Absque te

PARAPHRASIS.

O Lucina, Junonis magna potentia præditæ filia, quæ parturientibus opem fers, ut liberos in lucem edant, eorumque generationi præes, tumque assides Parcis, quæ nativitati hominum intersunt, illisque nent obscuram & incognitam fati necessitatem: absque tuis auspiciis

NOTÆ.

1 Ελείθυια] Quare Lucinam invocet Poëta, quærit Schol. & ex sententiis quas affert, potius quartæ adstipulandum est, uti videtur Schmidio. Etsi enim (inquit) aliorum indolem naturalem prædicans, Lucinæ Poëta non meminit; arbitrii tamen hoc fuisse scimus, non necessitatis. Sed tamen neque de hac re cum quopiam disceptabimus, quum rationem consilii vel instituti Poëtici in particularioribus ab unoquoque post tot sæcula introspici, nec possibile semper sit, nec necesse. Solent in Encomiis, Exordia liberiora esse, ut & Rhetoricæ artis magistri monent. Hæc ille. Eadem canit Bened. nec diversam affert rationem, nimirum, Exordia Poëtis liberiora esse quam Oratoribus. Melius quidem Lon. & Aret. quorum posterior ita: Exordium illustre est ad Lucinam deam parturientium; quod ad Sogenem accommodat, qui Puer videbatur peculiari fato natus ad certamina. Ελείθυια, Nonnulli, Πάρεδρε, Schmid. Similis locus Ol. 6, 72.

[Ειλείθυια πάρεδρος † Μοιρᾶν.] Ζητεῖται διὰ τί ἀπὸ τῆς Ειλειθυίας εἰσβέβληκε. καὶ τί δήποτε τῇ Ειλειθυίᾳ προσδιαλέγεται. ἔνιοι μὲν οὖν φασι, νέον ὄντα τὸν Σωγένη, ἑτέρου νικήσαντος, αὐτὸν κατὰ χάριν ἀναγγέλλεσθαι τοῦ παιδὸς Θεαρίωνος, εἰς τοῦτο φιλοτιμηθέντος. τὸν δὲ ἀγωνισάμενον Νεοπτόλεμον τοὔνομα Αχαιόν. παρὸ καὶ εἰς τοὺς ὑπὲρ Νεοπτολέμου τοῦ Αχιλλέως τὸν ποιητὴν παρεκβῆναι λόγους. αὐτοσχέδιον δέ φησι τοῦτο εἶναι ὁ Δίδυμος. οὐδεὶς γὰρ ἀφ' ἑτέρου ὀνόματος κηρύττεται. μόνον δὲ ἐν τοῖς ἱππικοῖς ἀγῶσι νενόμισται τὸ ἔθος. ὥστε τοὺς βασιλέας καὶ τυράννους ἀναγράφεσθαι. πλούτου γὰρ καὶ χορηγίας τὴν ἱπποτροφίαν ἐπίδειξιν εἶναι καὶ οὐ ῥώμης. ἔνιοι δέ φασι, πρὸς τοὔνομα τοῦ Σωγένους παρειληφέναι τὴν Ειλείθυιαν. εἶναι γὰρ αὐτὴν Σωγένη. τινὲς, διὰ τὸ τὰ γινόμενα ἀνασώζειν. τὸν οὖν Πίνδαρον ψυχρευσάμενον πρὸς τοὔνομα, τῆς Ειλειθυίας μεμνῆσθαι. καὶ τοῦτο δὲ οὐκ εὖ. τότε γὰρ καταφέρεται εἰς τοῦτο ὁ Πίνδαρος, ὅταν ὑπάρχῃ τις ὁμωνυμία. οἷον ὀλβίων ὁμώνυμε, Δαφναφόρε παῖ Θρασύμηδες Αμυντα. καὶ συνίεις ὅτι λέγω. βαθέων ἱερῶν ὁμώνυμε πάτερ κτίστορ Αἴτνας. νῦν δὲ, οὐδὲν τοιοῦτον ἐστίν. ἔνιοι δὲ πατέρα τοῦ Σωγένους Θεαρίωνα, τῇ Ειλειθυίᾳ ἔφασαν ἱερᾶσθαι· ἀμάρτυρον δὲ καὶ τοῦτο. οἱ δὲ, ὅτι ἐν γειτόνων ἦν τῷ Σωγένει ἱερὸν Ειλειθυίας. οὐδὲ τοῦτο δὲ ἱστορεῖται. ἄλλοι δὲ ἔφασαν, ὅτι τοὺς ἐκ φύσεως ἀγαθοὺς ἐπαινεῖ πάντοτε ὁ Πίνδαρος, μᾶλλον τῶν ἐκ διδασκαλίας. καὶ ἡ Ειλείθυια οὖν τὸν Σωγένην, εὐθέως ἐπὶ τὴν γένεσιν ἐπιτήδειον κατεσκεύασε πρὸς ἄθλησιν. οἱ μὲν γὰρ ἄλλοι τῶν θεῶν αὔξανομένοις ἀγαθὰ δωροῦνται. ἡ δὲ Ειλείθυια κατ' αὐτὴν τὴν πρώτην καταβολήν. ἔστι δὲ καὶ πρὸς τοῦτο λέγειν· τί δήποτε τὴν Ειλείθυιαν, ἰδίως ἐπὶ τοῦ Σωγένους παρέλαβεν, ἀλλ' οὐχὶ καὶ ἐπ' ἄλλων εὐφυΐᾳ διενεγκόντων. Αριστόδημος δὲ ὁ Αριστάρχου μαθητὴς, βέλτιον οὕτω φησίν. ὀψέ ποτε τῷ Θεαρίωνι καὶ παρὰ τὴν ἡλικίαν ἤδη προήκοντι, εὐξαμένῳ τῇ θεῷ Σωγένη τεκνωθῆναι. καὶ τὴν τοῦ παιδὸς αὐτοῦ γένεσιν, οἷον Ειλειθυίας εἶναι χάριν. διὰ τὴν ἰδιότητα γοῦν τῆς γενέσεως τοῦ ἀθλητοῦ, περὶ τὴν θεὸν ταύτην ἐπήρεισε τὸν λόγον. ἐπιστοῦτο δὲ τοῦτο, ἐξ ὑπογράμματος Σιμωνίδου. ἑνικῶς δὲ εἶπε Ειλείθυια, ὡς καὶ Ησίοδος· Η δ' Ηβην καὶ Αρηα καὶ Ειλείθυιαν ἔτικτεν. ὁ δὲ Ομηρος ἑκατέρως. ὅτι δὲ τῆς Ηβης ἀδελφὴ ἡ Ειλείθυια, πρόσκειται τὰ Ησιόδου. ὁ δὲ νοῦς. ὦ Ειλείθυια, παῖ μὲν τῆς μεγαλοσθενοῦς καὶ ἰσχυρᾶς Ηρας, πάρεδρε δὲ τῶν συνετῶν Μοιρῶν. τοῦτο δέ φησιν, ἐπεὶ δοκοῦσι παρὰ τὸν τῶν ὠδίνων καιρὸν παρεστάναι, καὶ ἐπικλώθειν τὰ τῆς εἱμαρμένης. [Ανευ σέθεν, οὐ φάος.] ἄνευ γὰρ σοῦ, ὦ Ειλείθυια, οὔτε τὴν νύκτα οὔτε τὴν ἡμέραν θεωρήσαντες ἠδυνήθημεν τῆς σῆς ἀδελφῆς Ηβης τυχεῖν. εἰκότως. οὐ γὰρ οἷόν τε καὶ * γεννηθέντα, καὶ ταῦτα ἰδεῖν καὶ αὐξηθῆναι. ἢ οὕτως. ‡ ἢ γὰρ ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ γεννώμεθα οὐκ ἄνευ σοῦ τὴν σὴν ἀδελφὴν ἐλάβομεν τὴν Ηβην. οἷον, εἰ μὴ ἐγεννήθημεν, οὐδ' ἂν ἠκμάσαμεν. ἀγλαόγυιον δὲ αὐτήν φησιν, ἐπεὶ ὃν ἡβῶμεν χρόνον, εὐπρεπέστεροι αὐτοὶ ἑαυτῶν γινόμεθα. κἂν γὰρ αἰσχροὶ ὦσι τινὲς τὰς φύσεις, εὐπρεπέστεροι ἑαυτῶν γίνονται κατὰ τὸν τῆς ἀκμῆς χρόνον.

† Μοιρᾶν, Edd.

* Deest, μή. ‡ Ισ. εἰ γάρ.

[Αναπνέομεν

Οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρό-	Non lucem, non nigram intuiti noctem,
Τεὰν ἀδελφεὰν ἐλάχομεν [ναν,	Tuam sororem sortiti-sumus
Ἀγλαόγυιον Ἥβαν·	Pulchrimembrem Pubertatem.
Ἀναπνέομεν δ' οὐκ ἅπαντες ἐπὶ ἴσα.	Aspiramus autem non omnes ad paria.
Εἴργει δὲ πότμῳ ζυγὸν	Arcet autem nos à-fato jugum
Θ' ἕτερον ἑτέρα. Σὺν δὲ τὶν	Aliud alio. Tuo vero auspicio
Καὶ παῖς ὁ Θεαρίωνος ἀρετᾷ κριθεὶς	Etiam filius Thearionis *ex* virtute judicatus
Εὔδοξος ἀείδεται Σω-	Nobilis cantatur So-
γένης μετὰ πενταέθλοις.	genes inter quinquertiones.
ἀντιστροφὴ α'. κῶλον ιβ'.	Μεταφρ.
Πόλιν γὰρ φιλόμολπον οἰκεῖ δορικτύπων	Nã urbẽ cantui-amicã colit bello-strepentium
Αἰακιδᾶν. Μάλα δ' ἐθέλοντι	Æacidarum. Valde vero cupiunt *cives illi*
Σύμπειρον ἀγωνίᾳ θυμὸν ἀμφέπειν.	Conterminum certamini animum retinere.
Εἰ δὲ τύχῃ τις ἔρδων, μελίφρον' αἰτίαν	Quod si quis *præclarum* egerit, mellitã materiã

PARAPHRASIS.

non modo non nascimur, & vitæ limen attingimus, in qua per vices claram diei lucem, & atras noctis tenebras videmus, sed neque etiam sororem tuam Pubertatem pulchris membris decoram sortimur, & ad florem ætatis, qua omnibus numeris & decore absoluta sunt corporis membra, pervenimus. Ac tum quidem alii alio studio ducimur, neque ad similia aspiramus, siquidem alius alio fato addictus ad diversa sese confert: & unusquisque vario naturæ instinctu compulsus, a similium amore communi prohibetur. Cæterum, Sogenes Thearionis filius, te favente & auspice, factus virtute eximius, suæ fortitudinis inter quinquertiones specimen edidit, indeque parta gloria, carmine encomiastico celebratur. Eoque magis quod Æginam, in qua plerique sunt poetæ, victoribus epinicia scribere amantes, urbem bellicosorum Æaci posterorum incolit, qui animi generosi studium exercitio certandi conclusum & terminatum conservare magnopere avent. Quod si quis in certamine rem prospere gesserit, & victor evaserit, dulcem materiam laudis

NOTÆ.

4 Οὐ φάος κ. λ.] Aretius intelligit per, Lucem videre, Nasci; & per, Nigram noctem, Mortem. Schmidius ita explicat Scholiastæ sententiam, quam amplectitur; Sine te non possumus ad pubertatem pervenire, sive diurni sive nocturni nati simus; nisi scilicet in primo ortu faveas vitæ nostræ. Melius Paraphrastes. 5 Ἀδελφεάν, Schmid. Λάχομεν, Ald. quam lect. nec rejicit metrum. 7 Ald. hab. ἐπὶ ἴσα. 8 Hic locus maxime exercuit Intt. ingenia, quorum opiniones recensebimus. Sunt qui legunt cum Editt. omnibus præter Ald. & Rom. ἕτερα. Lon. vertit, Aliæ res alio nos jugo à felicitate separant. Ed. Lugd. Alia alteram stateram arcent à felicitate. Phil. Aliud jugum alios separat à beatitudine. Qua ratione admissa hujus interpretatione consistat Syntaxis, alii viderint. In Singulari Portus, Aliud alia Statera arcet à felicitate. Aretius, Jugum hoc loco necessitatem vitæ, quam Deus nobis imponit, appellat, & vitæ conditionem, ad quam quilibet natura nascitur. Illud jugum varium & multiplex est: itaque ἕτερον ζυγὸν appellat: arcet nos id πότμῳ ἑτέρᾳ, ab alia felicitate. Exponit vero, Semper vicini pecus, pinguius uber habet, & aliena seges felicior apparet: ea dum admiramur, nostra quodammodo contemnimus. Admonet ergo nos; quemque in ea conditione, in quam natura & Deo jubente natus est, contentum vivere oportere: ac cogitare, ut quilibet calceus non cuique pedi accommodari potest, ita minus quodvis vitæ genus cuique competere. Hæc ille prolixius, pia quidem, sed quæ huc nil faciunt. Schmidius ad conjecturam confugit; scil. legendo, ζυγένθ' ἕτερον ἕτερα, quæ ita habenda sunt, Prohibent fato peculiari copulatum, alium alia. Hanc conjecturam firmat auctoritate Scholiastæ, qui ei videtur ita legisse, exponens, διαζεύγνυσιν ἡμᾶς ἀπ' ἀλλήλων quod an verum sit, dispiciant qui volent. Tale Participium dari ex I. 7. 26. evincit, ubi τὸ ζυγὲν reperias. Nempe id non negamus, sed experiendum, an hæc verba sensum fundant idoneum, Textu eodem manente. Si igitur nostrum esset tantas lites componere, hanc σύνταξιν proponeremus, ζυγὸν ἕτερον εἴργει πότμῳ ἑτέρᾳ, ubi πότμῳ est Dor. pro πότμου & ἑτέρα pro ἑτέρου· & sæpe observat Schmid. Intt. circa Genit. Doricum hallucinatos fuisse. Lexica docebunt, hanc Constructionem τοῦ εἴργω esse probam. Quippe aliud est jugum fatale hujus, aliud alterius; alia nimirum est εὐφυΐα, ad quam hic à natura fatorum voluntate idoneus est, alia vero ἀφυΐα, cui ille necessitate naturæ sociatur. Et hæc cum superioribus recte cohærent. Aretio nobiscum convenit quoad versionem, licet non constructionem (Ille enim τὸ πότμῳ & ἑτέρᾳ ι subscript. habet tanquam Dativ.) aut sensum. Fatendum tamen est τὸ τε fere παρέλκειν, si ita ordinemus, quod non est inauditum consulentibus Autorem nostrum, ad cujus plures locos hoc ipsum monet Schol. Potest & γ' legi, pro θ'. Si quid tandem sit mutandum, amplectendum τὸ ζυγέντα Schmidii, quod sensum minime corrumpit. De qua re judicent Lectores. 10 Κριθεὶς] Κριτὸς hoc sensu, alibi. 11 Εὔδοξος Ald. Perinde. 15 Σύμπειρον ἀγωνίᾳ] Reddiderunt Intt. fere omnes ante Schmid. Una [cum majoribus] peritum certaminis animum; quasi esset Genitiv. ἀγωνίας. Vulg. Una experientem certamina, qu. esset ἀγωνιῶν. Schol. exponit συμπεπειρασμένον τῇ νίκῃ, quod non est. Finitum, absolutum & perfectum, ut Aretius reddit, in victoriis; sed, Vicinum τῇ ἀγωνίᾳ, h. e. animum certaminibus deditum; animum, cujus omnes operationes sunt ὅμοροι ἀγωνίαις, ad certamina collimant; quod quidem est Schmidii judicium. Aliter etiam postea explicat Scholiastes. Τύχῃ Aret. Feliciter, qui igitur accipit pro Nomine. 16 Μελίφρον' αἰτίαν] Non pertinent ad ἔρδων, ut male distinguit Ed. Brub.

[Ἀναπνέομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσα.] ζῶμεν δὲ οὐχ ὁμοίως πάντες, φησὶν, ἀλλ' οἱ μὲν πλουτοῦσιν· οἱ δὲ, οὔ. καὶ οἱ μὲν ἐρῶνται, οἱ δὲ, οὔ. εἶτα ἔξωθεν προσληπτέον τὸ, πράγματα. διακωλύει γὰρ ἕτερον ἑτέρα. καὶ διαζεύγνυσιν ἡμᾶς ἀπ' ἀλλήλων, ἢ ἀπ' ἄλλων πραγμάτων, τὰ συγκεκληρωμένα ἡμῖν πράγματα. [Σὺν δὲ τὶν καὶ παῖς ὁ Θεαρίωνος.] σὺν σοὶ δὲ, ὦ Εἰλείθυια. ἀντὶ τοῦ, διὰ σὲ γεννηθεὶς, ἤτοι, ὁ τοῦ Θεαρίωνος παῖς Σωγένης ἔκκριτος γινόμενος, ἔνδοξος καὶ ἀγωνιστικὸς ὑμνεῖται, καὶ πένταθλος ἀγωνίζεται. εἰκότως δὲ οὕτως ἐστὶν ἔνδοξος, ἐπειδὴ καὶ τὴν εὔυμνον Αἴγιναν τὴν τῶν γενναίων Αἰακιδῶν οἰκεῖ, [Φιλόμολπον] δὲ ταύτην καλεῖ, διὰ τοὺς γράφοντας τοῖς νικῶσιν ἐπινίκους. [Σύμπειρον] δὲ, τὸ συμπεπερασμένον. σφόδρα δὲ ἀεὶ θέλουσι, φησὶ, τὴν ἑαυτῶν ψυχὴν συμπεπερασμένην ἔχειν τῇ νίκῃ τῇ πενταθλιστικῇ. [Εἰ δὲ τύχῃ τις ἔρδων.] εἰ δὲ ἐπιτύχῃ τις πράσσων, τὴν ἡδεῖαν αἰτίαν τοῦ αὐτὰ ἐπιτετυχηκέναι, τὰς πνοὰς τῶν Μουσῶν ἐνέβαλε.

Ῥοαῖσι Μοισᾶν ἐνέβαλεν.	Fluentis Musarum *is* injecit.
Ταὶ μεγάλαι γὰρ ἀλκαὶ	Magnæ enim strenuitates
Σκότον πολὺν, ὕμνων ἔχοντι δεόμεναι·	Caliginem multam habent, *si* hymnis careant:
Ἔργοις δὲ καλοῖς ἔσο-	Operibusque præclaris specu-
πτρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ,	lum novimus unico modo, [vittatæ
Εἰ Μνημοσύνας ἕκατι λιπαράμπυκος	Si *scilicet* Mnemosynes voluntate splendide-
Εὕρηται τις ἄποινα μόχθων	Invenerit aliquis remunerationem laborum
Κλυταῖς ἐπέων ἀοιδαῖς.	Inclytis carminum cantibus.
ἐπῳδὸς α'. κώλων ζ'.	METAPH.
Σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον	Sapientes vero futurum perendinum ventum
Ἔμαθον, οὐδ' ὑπὸ κέρδει βάλον.	*Ante* cognoscunt, neque post lucro ponunt.
Ἀφνεὸς πενιχρός τε θανάτου	Dives pauperque mortis
Παρὰ σᾶμα νέονται.	Ad sepulcrum tendunt.

PARAPHRASIS.

suppeditat præclaris poëtis: ex quorum ingeniis, tanquam ex perenni flumine carmina copiose fluunt: sicque viri præstabiles fiunt illustres. Etenim obscuri manent quicunque re præclare gesta, hymno encomiastico non celebrantur. Ac sane probe scimus unico modo contemplanda tanquam in speculo nobis subjici præclara facta, nimirum si qui eà præstitit, poëtam inclytum nanciscatur, à quo præconium laudis, quæ merces est laborum, accipiat: ita ut Mnemosynes beneficio in perpetuum commemorentur. Quod cum ita sit, par est ut qui virtutis & famæ sunt studiosi, prudentes navium gubernatores imitentur. Quemadmodum enim hi præsentis lucri quod se offert, & futuri quod sperant, non adeo sunt avidi, ut temere navim solvant, non prius explorata cœli constitutione, ex qua prævideant quis ventus intra triduum sit spiraturus, ut suarum rerum securitati consulant. Sic illi non debent tam soliciti esse de suarum opum conservatione & amplificatione, quam mature prospicere ut ex præclare factis posteritati innotescant, nullisque sumptibus parcere, quo sibi poëtices præconium concilient, unde nominis immortalitatem adipiscantur: sine qua divitum & pauperum vita functorum memoria pariter deletur.

NOTÆ.

17 Ἔβαλεν leg. Codd. Schmid. ex Schol. reponit ἐνέβαλεν, quod retinemus. 23 Εὕρῃ Schmid. Lon. duplicem hujus loci sensum exponit: Vel enim per Τὶς notatur Aliquis victor, aut alias virtute insignis: per μόχθων, labores & exercitia virtutis: per ἄποινα, præmia virtutis, victoria videlicet & gloria immortalis: per κλυταῖς ἐπέων ἀοιδαῖς, celebratio Poëtica: ut sit sensus, Unicum hunc esse modum, exemplum, & speculum virtutis aliis proponendi, siquis nimirum laborum suorum præmia, carminibus inveniat: Vel per τὶς notatur, Poëta; per μόχθων, labores scribendi carmina, & celebrandi virtute insignes; per ἄποινα, præmia laboris Poëtici; h. e. Unicum hunc esse modum, exemplum & speculum virtutis suæ aliis proponendi, si scilicet Poëta condigno afficiatur præmio: Ita enim carminibus ille suis virtutem celebrare, & ceu speculum omnium oculis exponere poterit. 27 Ἀφνεός τε Codd. pleræque. Hor. *Pallida mors æquo pulsat pede pauperum tabernas Regumque turres.* 28 Σᾶμα] Ald. hab. σῶμα. Νέονται] Lon. redd. Commorantur: Phil. Habitant, qu. esset, ναίονται.

ἐνέβαλε. τουτέστι, τοῖς ὕμνοις τοῖς εἰς αὐτὸν γραφομένοις. ἢ οὕτως. οἶδε, μὴ ἀπείρατοι τῶν ἀγώνων εἶναι. τουτέστι πειρᾶσθαι θέλουσι τῶν ἀγώνων. ἐνεργεῖν θέλουσι διὰ τῆς πείρας. δύναται δὲ καὶ ἰδίως ἀκούεσθαι. ὡς φιλοπεντάθλων ὄντων τῶν Αἰγινητῶν. ἐπειδὴ Πηλεὺς δοκεῖ εὑρηκέναι τὸν πένταθλον Αἰγινήτης ὑπάρχων, καὶ Αἰακίδης. ὁ δὲ νοῦς. ἐὰν δέ τις σὺν εὐτυχίᾳ εἴη τι πράττων ἡδεῖαν πρόφασιν τοῖς τῶν Μουσῶν ῥεύμασιν ἔδωκεν. [Ταὶ μεγάλαι γὰρ ἀλκαί.] αἱ γὰρ μεγάλαι δυνάμεις, καὶ τὰ μείζονα κατορθώματα ὕμνων χρήζοντα, σκότον καὶ ἀφάνειαν ἔχουσιν. ἢ οὕτως· αἱ μεγάλαι ἀλκαὶ ὕμνων δεόμεναι, σκότον πολὺν ἔχουσι. τουτέστιν ἀφανεῖς γίνονται, ἐὰν μὴ ὑμνηθῶσιν. [Ἔργοις δὲ καλοῖς ἔσοπτρον.] τοὺς ἀγαθόν τι πράξαντας, φησὶ, φιλοτιμεῖσθαι δεῖ τὰ ἴδια ἔργα διὰ τῶν ποιημάτων, καὶ παραδιδόναι ἔπειτα λαμπρότατα. [Ἄλλως.] ἔσοπτρον, φησὶ τῶν καλῶν ἔργων, τὸν ὕμνον εἶναι. ὅτι ὥσπερ ἡμεῖς διὰ τοῦ κατόπτρου γινώσκομεν, οὕτω τὰ καλὰ ἔργα διὰ τῶν ὕμνων θεωρεῖται, ὡς δι' ἐσόπτρου. κἂν τελευτήσωσιν οἱ πράξαντες, ἐμβλέψαντες εἰς κάτοπτρον ἀρετῆς, τοὺς ὕμνους ἀντιλαμβανόμεθα τῶν καλῶν ἔργων. ὁ δὲ νοῦς. τοῖς δὲ καλοῖς ἔργοις, λαμπρότητα ἴσμεν ἑνὶ τρόπῳ γινομένην, διὰ δὴ τῶν ὕμνων. [Σοφοὶ δὲ μέλλοντα τειταῖον ἄνεμον.] οἱ μὲν, οὕτως. ὥσπερ τῶν κυβερνητῶν οἱ σοφοὶ ἐπιτηδείου πνέοντος ἀνέμου οὐχ ὑπαλιοῦνται πρὸς τὸ παρὸν ἀγαθὸν, ἀλλὰ μετὰ τρεῖς ἡμέρας ἐσόμενον ἄνεμον προγινώσκουσι, καὶ προορῶσι τὸ μέλλον· οὕτω καὶ τοὺς ἀνθρώπους τοὺς συνετοὺς προσῆκόν ἐστι, μὴ τῷ παρόντι πλούτῳ βουκολεῖσθαι τὰς ἐλπίδας, ἀλλὰ φροντίζειν τῶν μετὰ ταῦτα, καὶ ἄξιόν τι δρᾷν. ὅπως καὶ μετὰ ταῦτα ὑμνηθέντες, ἀθάνατον ἔχωσιν τὴν εὐδοξίαν. καὶ γὰρ οἱ πλούσιοι, καὶ οἱ πένητες, ὁμοίως τελευτῶσιν. διὸ δεῖ τῆς μετὰ ταῦτα μελλούσης εὐδοξίας φροντίζειν. οἱ δὲ οὕτως. ὥσπερ γὰρ τῶν διαπλεόντων οἱ σοφοὶ, καὶ τῶν μετὰ ταῦτα ἀνέμων φροντίζουσι, καὶ οὐχὶ διὰ τὸ παρὸν κέρδος· κέρδος δὲ τὸ τοῦ πλοῦ εὔδιον· οὐκ ἐζημιώθησαν τὸν μετὰ ταῦτα πλοῦν, οὐδὲ ἀπώλοντο ἀμελήσαντες. ἀλλὰ καὶ μετὰ ταῦτα προορώμενοι καὶ ἀσφαλιζόμενοι ἐσώθησαν. οὕτω δέον μὴ φιλοκερδεῖς εἶναι, ἀλλὰ προΐεσθαι τοῖς ποιηταῖς μισθὸν, ὅπως ἂν σχῶσι τῆς ἀρετῆς ἀδιάλειπτον τὴν μνήμην. ὅτι δὲ φιλοκερδὴς πανταχοῦ ὁ Πίνδαρος ἐκ τῶν φθασάντων δῆλός ἐστι. οἰκειοτέρα δὲ αὕτη ἡ ἐκδοχὴ, ὡς ἐξ ὧν ἐπάγει. φησὶ γὰρ, ὅτι ὁμοίως καὶ ὁ πλούσιος, καὶ ὁ πένης τελευτᾷ. διὸ δεῖ τὸν πλούσιον τῆς μετὰ ταῦτα εὐδοξίας φροντίζειν. οὐ γάρ ἐστιν ἀργυρίῳ τὸν θάνατον παραιτήσασθαι. ὁ δὲ νοῦς. οἱ σοφοὶ δὲ τῶν κυβερνητῶν, προορῶνται, τίς ἐπὶ τρεῖς ἡμέρας πνεύσεται ἄνεμος. ἢ τίς εἰς τρίτην ἡμέραν πνεύσεται.

[Ἐγὼ

Ἐγὼ δὲ πλέον ἔλπομαι	Ego vero amplius arbitror
Λόγον Ὀδυσσέος, ἢ πάθεν,	Historiam Ulyssis, quam passus-fuit,
Διὰ τὸν ἀδυεπῆ γενέσθ' Ὅμηρον.	Propter suaviloquum factam-fuisse Homerum.
στροφὴ ς'. κώλων ιϛ'.	Μεταφρ.
Ἐπεὶ ψεύδεσσίν οἱ ποτανᾷ γε μαχανᾷ	Quandoquidē figmentis ejus volucri artificio
Σεμνὸν ἔπεστί τι· σοφία δὲ	Grave inest quiddam: solertiaque *ejus*
Κλέπτει παράγοισα μύθοις. Τυφλὸν δ' ἔχει	Decipit seducens fabulis. Cœcum autem habet
Ἦτορ, ὅμιλος ἀνδρῶν ὁ πλεῖστος. Εἰ γὰρ ἦν	Cor, multitudo hominū maxima. Nam si liceret
Ἐὰν ἀλάθειαν εἰδέμεν·	Genuinam veritatem cognoscere:
Οὔ κεν ὅπλων χολωθεὶς	Non sane armorum *causa* iratus
Ὁ καρτερὸς Αἴας ἔπαξε διὰ φρενῶν	Fortis Ajax transfixisset per pectus
Λευρὸν ξίφος· ὃν κράτι-	Latum ensem: quem fortissi-
στον, Ἀχιλέος ἄτερ, μάχᾳ	mum, Achille excepto, *ad* bello
Ξανθῷ Μενέλᾳ δάμαρτα κομίσαι θοαῖς	Flavi Menelai conjugē reducendum, velocibus
Ἐν ναυσὶ, πόρευσαν εὐθυ-	In navibus, miserunt recta - flan-
πνόου Ζεφύροιο πομπαί	tis Zephyri impulsus

PARAPHRASIS.

Hanc autem carminis esse vim ut viros præclaros immortalitate donet, Ulyssis exemplo comprobatur; cujus labores Homerus tam suavi stylo cecinit, ut plus laudis ex illius præconio consequutus sit, quam ipse suis virtutibus promeruerit. Etenim suæ poëtices artificium, qua vir ille per hominum ora volitat, ingeniosis fictionibus variegatum, ea gravitate condivit, eaque solertia fabulas inseruit, ut sub veri specie, vulgi cæcas mentes decipiat. Ac sane nisi hominum mentes cææ essent, sed genuinam rerum ut se habent veritatem scire possemus omnes, Græcorum exercitus per imperitiam male judicans, Achillis arma Ulyssi potius, quam robusto Ajaci non adjudicasset. Quam ob injuriam furore correptus, proprio gladio ipse se non confodisset: vir utique omnium Græcorum, excepto Achille, in pugna strenuissimus, eorum scilicet, qui flavo Menelao, conjugem quam Paris abduxerat, repetenti opem ferentes in navali expeditione delati sunt à recta spirante Zephyro,

NOTÆ.

29 Πλέον' pro πλέονα leg. Schmid. referens ad λόγον, Majorem famam. 30 Λόγον] Aliqui redd. Sapientiam. 32 ψεύδεσίν οἱ Schmid. contra Codd. fidem, qui & γε add. post ποτανᾷ] Lon. reddit, Desiderabili, qu. ποθεινᾷ. 36 Sensum Phil. expressit; Si veritatem sciremus, non propter arma iratus Ajax fixisset in præcordiis latum ensem; qu. dicat. si genuinam historiam de Ajace nossemus (Schmid.) forte longe aliter αὐτοχειρία ejus se haberet, atque vulgo nunc commemoratur. Ἰδέμεν leg. Schmid. 39 Λευρὸν] Hesychio, λεῖον, Læve. Ὃν κράτιστον κ. λ. Lon. Quem optimum Achillis in prælio comitem. 40 Ἀχιλλέος vel -λέως, Alii.

[Ἐγὼ δὲ πλέον ἔλπομαι.] ἐγὼ δέ φησιν ἐλπίζω αὐτὸν, μὴ τοσαῦτα πεπονθέναι, μηδὲ τοιαῦτα, τὸν Ὀδυσσέα, οἷα Ὅμηρος κεκήρυχε περὶ αὐτοῦ. ἀγαθοῦ γὰρ τυχὼν ποιητοῦ, ἐνδοξότερα καὶ μείζονα ἔσχεν ἔργα ἢ κατόρθωσε. δυνατοὶ γάρ εἰσιν οἱ ποιηταὶ, τὰ τυχόντα ἔργα μεγαλύνειν καὶ αὔξειν. διὸ καὶ σὺ φρόντιζε τῆς ὑμνῳδίας. ὁ δὲ νοῦς. ἐγὼ δὲ μᾶλλον ἐλπίζω διὰ τὴν Ὁμήρου ποίησιν, ζῆν ἐπιπλέον καὶ θρυλλεῖσθαι τὴν Ὀδυσσέως εὐδοξίαν. τοῖς γὰρ περὶ Ὀδυσσέως κεκηρυγμένοις, σεμνότης τις ἐπήνθη(?). ποτανὴν δὲ μηχανὴν τὰ ποιήματα εἶπε, καθὸ ὕψοι καὶ μετεωρίζει τὰς ἀρετὰς τῶν ὑμνουμένων. ἢ καθὸ τὰ ἔπη κοινῶς λέγεται παρ' Ὁμήρῳ πτερόεντα· ἢ διὰ τὸ, οὕτω μεμηχανῆσθαι, ὥστε κατὰ πᾶσαν χώραν πέτεσθαι καὶ διϊκνεῖσθαι. [Σοφία δὲ κλέπτει, παράγοισα μύθοις.] ἡ τοῦ Ὁμήρου σοφία κλέπτει τὸν νοῦν ἡμῶν. ὥστε τὰ ψευδῆ δοκεῖν ἀληθῆ εἶναι διὰ χάριν καὶ σεμνότητα. ἡ ἀπόστασις(?), πρὸς τὰ ἑξῆς ἱστορήματα περὶ τοῦ Αἴαντος. καθόλου ἡ σοφία, ἔχει κλέψαι τὸν νοῦν τῶν ἀνθρώπων. ἢ οὕτως. ἡ δὲ σοφία καὶ ὁ λόγος, ἱκανός ἐστι τινὰ παραπείθων ἀποκλέψαι τὴν ἀλήθειαν. τυφλὸν γὰρ καὶ ἀνόητον ἦτορ ἔχει ὁ πολὺς τῶν ἀνδρῶν ὄχλος. βούλεται δὲ τὸν δημώδη λέγειν. [Εἰ γὰρ ἦν ἐὰν ἀλάθειαν εἰδέμεν.] ἔνιοι μὲν ἀνέγνωσαν ἑὰν, δασέως, ἀντὶ τοῦ τὴν ἑαυτοῦ. βέλτιον δὲ ψιλῶς, ὡς καὶ Διονύσιος ὁ τοῦ Χαρμίδου. [Ἄλλως.] εἰ γὰρ ἦν τοῦ ὄντος καὶ [illegible] ἀλήθειαν πάντας γινώσκειν, οὐκ ἂν οὐδὲ ὁ Αἴας τῶν ἀριστείων ἐστερήθη, εἰ μὴ διὰ τὴν τῶν κρινάντων ὄχλων ἀμαθίαν. καὶ διὰ τὴν ὀργὴν ἐνέπηξε κατὰ τῶν φρενῶν ἑαυτοῦ τὸ ξίφος. [Λευρὸν ξίφος.] λευρὸν οἱ μὲν, τὸ πλατύ. βέλτιον δὲ, τὸ πλάγιον ἀκούειν. ἵνα νοήσωμεν οὐχὶ τὸ καθ' ἑαυτὸ πλαγίως ἔχον, ἀλλὰ τὸ κατὰ τὴν πληγὴν πλαγίως ἐνεχθέν. οὕτω γὰρ καὶ ὁ Εὐφορίων τὴν πληγὴν ὑπεστήσατο· Πλευρᾶς τε καὶ θώρηκα διήρηκεν ἰνίου ἄχρις. τὸ δὲ, [Ὃν κράτιστον,] καὶ ἑξῆς· ὁ νοῦς οὕτως. ὅν τινα ἤγαγον αἱ τοῦ Ζεφύρου πνοαὶ, τῷ ξανθῷ Μενελάῳ τὴν δάμαρτα κομίσαι εἰς Ἴλιον. Ὅμηρος· Ἀνδρῶν δ' αὖ μέγ' ἄριστος ἔην Τελαμώνιος Αἴας Ὄφρ' Ἀχιλεὺς μήνιεν.

ἀντιστροφὴ ϛ'. κώλων ιϛ'.	Μεταφρ.
Πρὸς Ἴλου πόλιν. Ἀλλὰ κοινὸν γὰρ ἔρχεται	Ad Ili urbem. At communis enim venit
Κῦμ' Ἀΐδα, πέσε δ' ἀδόκητον	Fluctus Orci, caditque in non-exspectantem
Ἐν καὶ δοκέοντα. Τιμὰ δὲ γίνεται	Atq; in exspectantẽ. Honor vero contingit *iis*,
Ὧν θεὸς ἁβρὸν αὔξει λόγον, τεθνακότων	Quorum Deus jucundã auget famã, mortuorũ
Βοαθόων. Τοὶ γὰρ μέγαν	Defensorum. Etenim *ad* magnum
Ὀμφαλὸν εὐρυκόλπου	Umbilicum latum - sinum - habentis
Ἔμολε χθονός· ἐν Πυθίοις δὲ δαπέδοις	Profectus - est terræ: in Pythiis vero campis
Κεῖται, Πριάμου πόλιν	Jacet, Priami urbem
Νεοπτόλεμος ἐπεὶ πράθεν·	Neoptolemus postquam evertit:
Τᾷ καὶ Δαναοὶ πόνησαν. Ὁ δ' ἀποπλέων,	*In* qua & Danai laborarunt. Is vero renavigans,
Σκύρου μὲν ἅμαρτεν· ἵκον-	A-Scyro quidem aberravit: vene-
το δ' εἰς Ἔφυραν πλαχθέντες.	runt autem in Ephyram erroribus-acti.

PARAPHRASIS.

ad Ilium, urbem ab Ilo rege denominatam. Sed enim ut fluctus maris omnes qui eadem navi vehuntur, nullo dignitatis discrimine in discrimen conjicit: sic & mors eadem caligine promiscue cum ignobilem, tum existimatione præditum involvit. Quod si quibus strenuis bellatoribus honorifica nominis immortalitas post mortem contingit, hanc Deo acceptam ferre debent, à quo afflatus poëta scripsit encomiasticum hymnum, æternæ clarorum virorum memoriæ parentem. Ita Neoptolemi virtus vivit post funera: qui postquam Priami urbem (cujus excidio operoso cum Græcis, fatali necessitate, debebat Æacidarum aliquis interesse) subvertit, aliquando Delphos se contulit, & Pythiis in campis sepultus jacet. Is autem ad Scyrum maris Ægæi insulam, ubi natus & educatus fuerat, ab Ilio renavigans, aberravit, & cum sociis erroribus actus, Ephyram Epiri urbem delatus est.

NOTÆ.

45 Ἀΐδαο hab. Codd. Ald. πετ' ἀδόκητον, quod Rittershusius & Schmid. volunt esse σφάλμα τυπικὸν pro πεδ' ἀδόκητον. idem quod πεδὰ vel μετὰ ἀδόκητον· quod tamen sine ratione dicitur. 46 Ἐν Schmid. putat pro εἰς Dorice haberi. Schol. vero connectit cum πέσε. 47 Ἁβρὸν λόγον] Præclaram orationem, vel Teneram prudentiam, Lon. 48 Suspicatur Schmid. τοὶ γὰρ corruptum pro οἵ ποτε vel simili. Vide Schol. qui ἔμολον legi docet in Plurali, ut ordo sit, οἳ ἔμολον. 50 Μόλεν leg. Schmid. & Πυθίοισι. 51 Πριάμοιο hab. omnes præter Ald. 53 Τᾷ] Aldus τῇ. Πόνησαν] Vulg. Labores pertulerunt. 55 Πλαγχθέντες Codd. præter Ald.

[Ἀλλὰ κοινὸν γὰρ ἔρχεται] πάντες γὰρ ἀποθνήσκομεν, καὶ οἱ ἄξιοι, καὶ οἱ μή. καὶ τὸ κῦμα, φησὶ, τοῦ ᾅδου, ἐνέπεσε τῷ ἀδοκήτῳ, τῷ μὴ δοκοῦντι νῦν τελευτήσειν. ἀλλὰ μετὰ ταῦτα ἐξαίφνης ἐμπίπτει ὁ θάνατος. ἢ ἀδόκητον κέκληκε, τὸν ἄδοξον. δοκέοντα δὲ, τὸν ἔνδοξον. δοκεῖν γὰρ καὶ δοξάζειν, ταυτόν. ἐπεὶ οὖν ὁ θάνατος, καὶ τὸν ἔνδοξον καὶ τὸν ἄδοξον συναναιρεῖ, σὺ ὁ μεγάλα κατεργασάμενος, τῷ αἰῶνι παρακατατίθεσο τὴν μνήμην διὰ τῶν ποιημάτων. [Ἄλλως. Ἀδόκητον,] τὸν νεώτερόν φησιν. οὐ γὰρ προσδοκᾷ ταχέως τὸ ἀποθανεῖν. δοκέοντα δὲ, τὸν πρεσβύτην. προσδοκᾷ γὰρ τὸ ἀποθανεῖν. ἐμπίπτει, φησὶν, ὁ θάνατος, ὁμοίως καὶ πρεσβυτέροις καὶ νεωτέροις. τὸ δὲ σύμπαν τῆς διανοίας, τοιοῦτόν ἐστι. τὸ μὲν ἀποθανεῖν, καὶ τοῖς νεωτέροις καὶ τοῖς πρεσβυτέροις ἐμπίπτει. ἐκείνων δὲ ἡ τιμὴ καὶ ἡ δόξα αὔξεται, ὧν ἂν ἡ Μοῦσα αὐξήσῃ † τὸν ἐγκωμιαστικὸν λόγον. βούλεται δὲ εἰπεῖν, ὅτι ἀθάνατος ἡ μνήμη τῶν ἐγκωμιαζομένων. [Τιμὰ δὲ γίνεται, ὧν θεὸς ἁβρὸν αὔξει λόγον.] ἁβρὸν λόγον, τὰ ἐγκώμια φησί. θεὸν δὲ, τὴν Μοῦσαν. ὁ δὲ νοῦς. τούτων δέ τι μὴ γίνεται τεθνηκότων, ὧν ἂν θεὸς αὔξῃ λόγον. τουτέστιν ὁ ποιητὴς ἐμπνευσθεὶς ὑπὸ τῶν θεῶν. τινὲς δὲ τὸ τεθνακότων, πρὸς τὸ ἑξῆς. [Τεθνακότων βοαθόων.] πρὸς τὸ ἐν ἀκυσέον, ἄχει τῶν, ἐπεὶ πράθε. καὶ γραπτέον ἐν τῷ ε, ἔμολεν, ὡς Δίδυμος. καὶ ὑφ' ἓν ἀπὸ τοῦ, τεθνακότων, ἕως τοῦ, πράθεν, ἀναγινώσκει. τὸ δὲ ὅλον τοιοῦτον. ἔμολε παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου χθονὸς Νεοπτόλεμος, Πριάμου πόλιν ἐπεὶ πράθεν. τεθνηκότων δὴ τῶν βοηθῶν, ἐν Πυθίοις δαπέδοις κεῖται. ποίων δὲ βοηθῶν; τῶν περὶ τὸν Εὐρύπυλον. οὓς αὐτὸς ὁ Νεοπτόλεμος ἀνελὼν, ἐπόρθησε τὸ Ἴλιον. οὕτω γὰρ ἴδιος ὁ πόνος ἔσται τοῦ ἥρωος. δοκεῖ δὲ ὁ Νεοπτόλεμος, ἐν Δελφοῖς ἀνῃρῆσθαι, καὶ τεθεῖσθαι ἐν τῷ ναῷ. ἐὰν δὲ ἐπὶ τῶν περὶ τὸν Ἕκτορα καθὼς Ἀρίσταρχός φησιν, ἀναδράμωμεν, πρῶτον μὲν μακρόθεν ἔσται τὴν πόρθησιν συνάπτων. δεύτερον δὲ ἐπὶ τὴν κοινότητα μεταβησόμεθα, δι' ἧς τὸ ἐγκώμιον οὐκ ἔσται. εἰ δὲ γράφεται ἔμολον, τῷ πληθυντικῷ, ἀντὶ ἑνικοῦ χρῆται. ὥστε ὅμοιον εἶναι τῷ, ὁ δὲ ἀποπλέων Σκύρου μὲν ἅμαρτεν. ἵκοντο δὲ εἰς Ἔφυραν, ἀντὶ τοῦ ἵκετο. εἰς δὲ τὸ προκείμενον τείνων παρέθηκε τὴν τοῦ Νεοπτολέμου ἀπώλειαν, ὅτι ἀδοκήτως αὐτῷ συνέβη. [Τᾷ καὶ Δαναοὶ πόνησαν.] ὑφ' ἧς, φησὶ, καὶ οἱ Ἕλληνες ἐταλαιπώρησαν. ἢ ἐφ' ᾗ, ἢ ἐν ᾗ, ἢ ταύτῃ καὶ οἱ Δαναοὶ πόνησαν, ἢ καὶ ὁ Νεοπτόλεμος. παρ' ὅσον ἀπονοστοῦντες οἴκαδε, χειμῶνι ἐχρήσαντο, καὶ ὁ Νεοπτόλεμος καὶ οἱ Ἕλληνες. Ἔφυραν δὲ εἶπε νῦν, τὴν ἐν Ἠπείρῳ, ἣν Κίχυρον, φησὶ, μετωνομάσθαι, ἀπὸ Κιχύρου τοῦ Μερμέρου. τέσσαρας δὲ ἀναγράφει τὰς Ἐφύρας. πρώτην μὲν, τὴν αὐτὴν Κόρινθον ὀνομασθεῖσαν. Ὅμηρος· Ἔστι πόλις Ἐφύρη. ἑτέραν δὲ, τὴν περὶ Θεσσαλίαν. Ὅμηρος· Ἐξ Ἐφύρης ἀνιόντι παρ' Ἴλου Μερμερίδαο. τρίτην δὲ, περὶ * Ἤλιν ἧς Ἱππίας μνημονεύει. τετάρτην, τὴν ἐν Θεσπρωτοῖς. συνήθως δὲ ὁ Πίνδαρος, τῷ τῆς λέξεως κέχρηται σχήματι, συντάξας τῷ ἑνικῷ, πληθυντικόν· ὁ δὲ ἀποπλέων, Σκύρου μὲν ἅμαρτεν, ἑνικόν· ἵκοντο δὲ, οὐκ ἀπήνεγκεν ἑνικὸν, ἀλλὰ πληθυντικὸν ἑνικῷ.

† Alias, αὐξήσει.

* Palmerius ex Strabone Ἤλιν legit.

[Μολοσσία

ἐπῳδὸς ς'. κώλων ζ'.	Μεταφρ.
Μολοσσίᾳ δ' ἐμβασίλευεν ὀλίγον	Molossiæ autem imperavit breve
Χρόνον· ἀτὰρ γένος αἰεὶ φέρεν	Tempus: sed genus ejus semper reportavit
Τοῦτό οἱ γέρας. Ὤιχετο δὲ πρὸς	Hoc decus *regium*. Profectus-est autem ad
Θεὸν, κτέατ' ἀνάγων Τρω-	Deum, opes advehens è - Tro-
ϊαθεν, ἀκροθινίων θ'	ja manubiales etiam
Ἵνα κρεῶν νιν ὕπερ, μάχας	Ubi propter carnes eum, pugnæ
Ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ.	Obviam factum transfixit vir gladio.
στροφὴ γ'. κώλων ιε'.	Μεταφρ.
Βάρυνθεν περισσὰ δὲ Δελφοὶ ξεναγέται.	Gravati sunt valde Delphi hospitum-ductores.
Ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν.	At quod fatale *fuit* exsolvit.
Ἐχρῆν δέ τιν' ἔνδον ἄλσει παλαιτάτῳ	At oportebat quendã intra lucum vetustissimũ
Αἰακιδᾶν κρεόντων τὸ λοιπὸν ἔμμεναι	Æacidarum regum in - posterum esse
Θεοῦ παρ' εὐτειχέα δόμον,	Dei juxta bene - munitam domum,
Ἡρωΐαις δὲ πομπαῖς	Heroicisque pompis
Θεμίσκοπον οἰκεῖν ἐόντα πολυθύτοις.	Inspector qui esset habitare, refertis hostiis.

PARAPHRASIS.

Hinc Epiri imperium tenuit, aulamque regiam in ejus parte quæ ab ejus & Andromaches filio Molosso Molossia dicta est, ad breve tempus habuit: sed longa nepotum series ei successit, regium decus obtinens. Etenim paulum ibi commoratus, ad Apollinem Pythium profectus est, illi quas de manubiis Troja allatis primitias devoverat, oblaturus Et cum hic orta esset contentio pro carnibus victimarum, quas sacrificuli suo more certatim rapiebant, isque illos indecenter agentes arcere vellet, quidam ipsum pugna aggressus est, & resistere volentem gladio peremit. Quod ægerrime tulerunt Delphi, qui hospites sacrificatum venientes tecto excipiunt. Verum quod erat in fatis, ut quemadmodum ad Jovis Hercæi aram Priamum ante occiderat, sic & ipse ad aram Apollinis occideretur, exolvit. Porro oportebat ut aliquis ex regibus Æaci stirpe oriundis intra vetustissimum Delphorum delubrum inhumatus in Apollinis æde muris præclare cincta in posterum esset & habitaret, qui in festo solennique multarum victimarum epulo, ad quod solos heroës Deus ille convocabat, sacrorum inspector esset ut omnia recte fierent.

NOTÆ.

56 Μολοσσίᾳ δ' ἐν βασίλευεν Codd. Aldino excepto. 57 Αὐτὰρ & αἰεὶ, Ald. φέρειν, Ed. Brub. 58 Πρὸς θεὸν ut alibi ἐς Θεὸν, licet Schmid. ibi Θεῷ legat. 59 Εὔκτ' legit Schmid. id est, Votiva dona pro κτέατ' sine ratione. Idem hab. Τρωΐαθεν, aliter quam Codd. Hinc & alia emendanda eidem occurrunt. Ἀκροθινίων enim mutato puncto referendum est ad εὖκτα, & θ' sequens expungendum; Ut totus hic locus Schmidii sit, non vero Poëtæ. 60 Ἀκροθινίων κ. λ.] Vulg. In qua *profectione* propter rixam de manubialibus carnibus vir confodit eum gladio. Itaque ὑπὲρ connectit interpres cum μάχας. 61 Κρεῶν Ald. 63 Βάρυνθεν] Vulg. Indignati sunt. Δὲ περισσὰ leg. Schmid. 64 Lon. τὸ μόρσιμον est Nominat. & Dativus subauditur; qui exponit, Fatum ei reddidit. 65 Ἐχρῆν δέ τι Ald. 67 Εὐτεχία] Lon. reddit, Fortunatam, qu. εὐτυχία.

[Μολοσσίᾳ δ' ἐν βασίλευεν ὀλίγον χρόνον.] ἀνάγει τοὺς χρόνους. ὕστερον γὰρ ἀπὸ Μολοσσοῦ τοῦ Νεοπτολέμου καὶ Ἀνδρομάχης, τοὔνομα ἔλαβεν ἡ Μολοσσία. παρεκβαίνει δὲ εἰς τὰ Νεοπτολέμου. ὡς μὲν Δείσαρχος, ὅτι νικήσας καὶ χειρωσάμενος τὴν ἀνάζευξιν ποιεῖται σὺν ἡμῖν. Νεοπτόλεμος ἦν τοὔνομα, Ἠπειρώτης τὸ γένος. ὅπερ οὐχ οὕτω φησὶν ἔχειν ὁ Δίδυμος· ὡς δὲ Δείσαρχος, ὅτι ἀλείπτῃ ἐκέχρητο τῷ Νεοπτολέμῳ. διὸ εἰς ἔπαινον τοῦ ὀνόματος, τῇ ἡρωϊκῇ κέχρηται παρεκβάσει. ὁ δὲ νοῦς. τὸ γένος τοῦ Νεοπτολέμου, τὸ τῆς βασιλείας γέρας ἔχειν αἰεί. δοκοῦσι γὰρ οἱ ἀπὸ Νεοπτολέμου βεβασιλευκέναι ἐπὶ πλεῖον. [Ὤιχετο δὲ πρὸς θεόν.] διάφοροι αἰτίαι, δι' ἃς ἦλθεν εἰς Δελφοὺς ὁ Νεοπτόλεμος. καὶ οἱ μέν φασιν, ὅτι παίδων αὐτῷ οὐ γινομένων ἐξ Ἑρμιόνης, ἦλθε περὶ τοῦ θεοῦ πευσόμενος ὡς παιδοποιήσηται. οἱ δὲ, ὅτι ἐπιτιθέμενος τοῖς Πελοποννήσου πράγμασι, διαρπάσαι πρῶτον ἐπέβαλε τὸ ἐν Δελφοῖς ἱερὸν ἤτοι χρηστήριον. ἄλλοι δὲ, ὅτι δίκας αἰτήσων τοῦ πατρὸς, τὸν θεόν· Ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων, Ἐσθλὸν ἐόντ' ὀλέσωσιν ἐπὶ σκαιῇσι πύλῃσιν. οὐκ ἔοικε δὲ συγκατατίθεσθαι ὁ Πίνδαρος ταύταις ταῖς αἰτίαις. ἀλλ' ὅτι τιμήσων ἦλθε τὸν θεόν. [Ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ.] φησὶ, τοῦ Νεοπτολέμου θύοντος τοὺς Δελφοὺς † ἁρπάζειν τὰ θύματα ὡς ἔθος αὐτοῖς. τὸν δὲ Νεοπτόλεμον δυσανασχετοῦντα ἔχοντα, διακωλύειν. αὐτοὺς δὲ διαχρήσασθαι αὐτὸν ξίφη ἔχοντας. [Ἄλλως.] Ἀσκληπιάδης διὰ τῶν τραγῳδουμένων, φησὶν, οὕτως. περὶ μὲν οὖν τοῦ θανάτου, σχεδὸν ἅπαντες οἱ ποιηταὶ συμφωνοῦσι. τελευτῆσαι μὲν αὐτὸν ὑπὸ Μαχαιρέως. ταφῆναι δὲ τὸ μὲν πρῶτον, ὑπὸ τὸν οὐδὸν τοῦ νεώ. μετὰ δὲ ταῦτα Μενέλαον ἐλθόντα ἀνελεῖν. καὶ τὸν τάφον ποιῆσαι ἐν τῷ τεμένει. τὸν Μαχαιρέα φησὶν υἱὸν εἶναι Δαίτα. τρεῖς δὲ αἰτίας ὑπὲρ τοῦ θανάτου τοῦ Νεοπτολέμου ποιεῖται. πρῶτον μὲν, ὅτι τὸ πεπρωμένον αὐτῷ ἀπέδωκε. δεύτερον, ὅτι πρέπον ἦν τῶν Αἰακιδῶν καὶ ὀφειλόμενον σύνοικον εἶναι τῷ Ἀπόλλωνι. ἐτάφη γὰρ ὑπὸ τὸν οὐδὸν τοῦ ἱεροῦ. ἡ δὲ τρίτη, ὅτι ἐπισκοπεῖ τὰς τελουμένας θυσίας τοῖς ἥρωσι. λέγεται γὰρ ὅτι μετὰ τὸ θῦσαι, ἐναγισμοὺς ἐπιτελεῖσθαι. [Ἡρωΐαις δὲ πομπαῖς.] γίνεται ἐν Δελφοῖς ἥρωσι ξένια. ἐν οἷς δοκεῖ ὁ θεὸς ἐπὶ ξένια καλεῖν τοὺς ἥρωας. ἦν οὖν μόρσιμον, ἐν ταῖς πομπαῖς ταῖς ἡρωΐαις, καὶ ταῖς πανηγύρεσιν ἐν αἷς ἐκήρυσσον τοὺς ἥρωας, θυσίαις ταῖς πολυθύτοις ἐπισκοπεῖν μετὰ Θέμιδος. καὶ τὰ νομίμως γινόμενα αὐτοῖς ξένια ἐφορῶντα. ὁ δὲ νοῦς. ταῖς δὲ ἡρωϊκαῖς πομπαῖς καὶ πανηγύρεσι ταῖς πολυθύτοις, οἰκεῖν προσῆκον τὸν Νεοπτόλεμον· ὄντα δίκαιον ἔφορον.

† Alias, τοῖς Δελφοῖς.

 [Εὐώνυμον

Εὐώνυμον ἐς δίκαν
Τρία ἔπεα διαρκέσει.
Οὐ ψεῦδις ὁ μάρτυς ἔργμασιν ἐπιστατεῖ.
Αἴγινα, τεῶν Διός τ' ἐκ-
γόνων, θρασύ μοι τόδ' εἰπεῖν,

ἀντιστροφὴ γ'. κώλων ιβ'.

Φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων
Οἴκοθεν. Ἀλλὰ ἀνάπαυσις,
Ἐν παντὶ γλυκεῖα ἔργῳ. Κόρον δ' ἔχει
Καὶ μέλι, καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια.
Φυᾷ δ' ἕκαστος διαφέρο-
μεν βιοτὰν, λαχόντες [νατον
Ὁ μὲν τὰ, τὰ δ' ἄλλοι. Τυχεῖν δ' ἕν' ἀδύ-
Εὐδαιμονίαν ἅπα-
σαν ἀνελόμενον· οὐδ' ἔχω
Εἰπεῖν, τίνι τοῦτο Μοῖρα τέλος ἔμπεδον
Ὤρεξε. Θεαρίων, τὶν
Δ' ἐοικότα καιρὸν ὄλβου

Honestam ad causam
Tria verba sufficient.
Non mendax testis factis præest.
O Ægina, tuorum Jovisque fili-
orum, audacia mihi *fuerit* hæc, dicere,

Μεταφ.

Illustribus virtutibus viam propriam laudum
E-domo *factam esse*. Atenim requies
In omni dulcis *est* opere. Satietatemque habet
Et mel, & suaves flores Venerei.
Indole-naturali vero singuli differi-
mus *quoad* vivendi-rationem, sortiti
Alius quidem hæc, alia vero alii. At assequi u-
Felicitatem o- [num impossibile
mnem reportantem : Neque habeo
Dicere, cui nā hanc Parca perfectionē stabilem
Præbuerit. O Theario, tibi
Vero consentaneam opportunitatē felicitatis

PARAPHRASIS.

Quem ut suscepta honesta ejus causa pro meritis laudem, tria verba poterunt sufficere, quum dicam eum veracem testem inspiciendis sacrificantium factis præfectum esse. Verumenimvero ut ad Æginetarum laudes redeam : audacter & confidenter dixero, ô Ægina, Æacidas & Æginetas qui à te & Jove ortum ducunt, nativis ac domesticis virtutibus inclaruisse, eaque via propria familiæ nominis celebritatem obtinuisse. Sed à laudandis illis jam ante multum laudatis, ne sim tædiosus, in præsentia mihi tempero, & laborem hunc paulum intermitto. Etenim in omni re grata est cessatio & requies. Et rerum jucundissimarum, utpote Veneris & mellis, sic & laudum satietas paritur. Neque singulorum multiplicem indolem ac naturalem propensionem referre vacaret : qua fit ut cum alius alii sorti sit obnoxius, vitæ instituto singuli differamus: variamque fortunam experiamur. Fieri autem non potest ut unus aliquis perfecta fœlicitate omnibus in rebus potiatur, quantumvis magno studio eam adipisci contendat : nulliusque mihi suppetit exemplum, cui stabilem illam ad extremum Parca præstiterit. Quod autem ad te attinet, Theario, tempore opportuno fœlicitatem tibi Parca, si non omnem, saltem tempestivam

NOTÆ.

72 Μάρτυς] Aliqui leg. μάντις. 78 Μέλι] Erasmus Chil. 2. Cent. 1. Ad. 50. citans hunc locum, legit μέλη, & de Carminibus interpretatur. 80 Βιοτὰν connect. cum superioribus Codd. omnes. Schmid. tamen puncto distinguit ante βιοτὰν, & refert ad λαχόντες. 81 Erasm. loco laudato, legit. ὁ μὲν τὰν, τὰν δ' ἄλλοι. Ed. Brub. hab. ἐν ἀδύνατον. 83 Erasm. post ἅπασαν distinguit, ibid.

[Εὐώνυμον ἐς δίκαν.] Ἀρίσταρχος οὕτως. ἐπεὶ μέμψις τοῖς Αἰγινήταις πρὸς τὸν ποιητὴν ἦν, χάριν τοῦ Νεοπτολέμου, εἰς τὴν ἀπολογίαν τὴν περὶ Νεοπτόλεμον δικαίως διαρκέσει τρία ἔπεα φησίν. ὅτι μόρσιμον ἦν αὐτῷ τελευτῆσαι, καὶ ὅτι πεπρωμένον ἦν, ἕνα τῶν Αἰακιδῶν ἀποθανόντα, τεθῆναι ἐν τῷ ναῷ. τρίτον, ὅτι ταῖς ἡρωΐαις πομπαῖς, ἕνα τῶν Αἰακιδῶν, θεμίσκοπον εἶναι. τρεῖς οὖν, φησὶ, λόγους ἱκανοὺς εἶναι εἰς τὴν εὐώνυμον δίκην. οἷον, ἱκανὰς εἶναι τρεῖς αἰτίας, ἃς ἐξαριθμεῖται, τοῦ δικαίως αὐτῷ συμβεβηκέναι τὸν θάνατον. ἔνιοι δὲ οὕτως ἀπολογοῦνται περὶ τῆς τοῦ Νεοπτολέμου τελευτῆς, τρία φέροντες ταῦτα, ὅτι τὸ ὑπὲρ τῶν κρεῶν εἰπεῖν ἀνῃρέθη, καὶ ὅτι οἱ Δελφοὶ ἐβαρύνθησαν ἐπὶ τῇ ἀπωλείᾳ αὐτοῦ. καὶ ὅτι πεπρωμένον ἦν αὐτὸν ἀναιρεθῆναι. ὁ δὲ Ἀριστόδημος, ἔπεα τρία τὰς τριάδας ἀκούει. τὴν γὰρ ἀρχὴν, ἔπος προσηγόρευον τὴν στροφὴν, καὶ τὴν ἀντιστροφὴν, καὶ τὴν ἐπῳδόν. τρεῖς δὲ λοιπὸν ὑπεῖναι τῷ ἐπινικίῳ τριάδας. [Αἴγινα, τεῶν Διός τ' ἐκ προγόνων.] ὦ Αἴγινα, τῶν τεῶν καὶ τοῦ Διὸς ἐκγόνων. τῶν Αἰακιδῶν δὲ λέγει, τὸ ταῖς λαμπραῖς ἀρεταῖς, αἷς οἴκοθεν ἔχετε, ὁδὸν κυρίαν, λόγον ἀντάξιον κυρίως ἔχουσαν εἰπεῖν, ἀδύνατόν μοι καὶ τολμηρὸν τυγχάνει. τοῦτο δέ φησιν, ὡς οὐ δυνησόμενος θρασέως τὴν τῶν Αἰακιδῶν ἀρετὴν διεξιέναι. πολλοῖς γὰρ ἀνήνυτον φησὶ τοῦτο. [Ἀλλὰ γὰρ ἀνάπαυσις ἐν παντί.] βούλεται ἤδη λῆξαι τῆς περὶ Νεοπτόλεμον παρεκβάσεως. ἀναπαύσομαι ἤδη λέγων περὶ αὐτοῦ. ἐπεὶ κόρος ἔπεστι πᾶσι. κόρον γὰρ ἔχει καὶ τὸ μέλι φησὶ, καὶ τὰ Ἀφροδίσια. παρὰ τὸ Ὁμηρικὸν· Πάντων μὲν κόρος ἐστί. [Φυᾷ δ' ἕκαστος διαφερόμεθα.] διαφερόμεθα, φησὶν, ἄλλοι ἄλλων τῇ φύσει. οὐ πρὸς πάντα πάντες εὐφυεῖς ἐσμὲν, ἀλλ' ἄλλοι περὶ ἄλλα. Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις. τὸ δὲ τυχεῖν πάντων ἀγαθῶν ἕνα καὶ παραμεῖναι αὐτῷ μέχρι τέλους ἀδύνατον. [Θεαρίων τὶν δ' ἐοικότα.] σοὶ δέ, φησιν, ὦ Θεαρίων, ἡ τύχη, καιρὸν εὐδαιμονίας ἁρμόδιον δωρεῖται. ὅτι γεγηρακότι, ἀνακουφίζεταί σοι τὸ γῆρας ταῖς τοῦ παιδὸς εὐδοξίαις.

[Τόλμαν

ἐπῳδὸς γ'. κώλων ζ'.

Δίδωσι· τόλμαν τε καλῶν ἀρχομένῳ
Συνέσις οὐκ ἀποβλέπει φρενῶν.
Ξεῖνός εἰμι, σκοτεινὸν ἀπέχων
Ψόγον. Ὕδατος ὥστε
Ροὰς, φίλον ἐς ἄνδρ' ἄγων
Κλέος ἐτήτυμον, αἰνέσω.
Ποτίφορος δ' ἀγαθοῖσι μισθὸς οὗτος.

στροφὴ δ'. κώλων ιϛ'.

Εὼν δ' ἐγγὺς Ἀχαιὸς, οὐ μέμψεταί μ',
Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων. [ἀνὴρ,

ΜΕΤΑΦΡ.

Tribuit: & audaciam honestorum suscipientē
Prudentia non aversatur mentis.
Hospes sum, tenebricosum summovens
Vituperium. Aquæ velut *puræ*
Rivos, amicum ad virum afferens
Decus verum, laudabo.
Conducibilis vero bonis merces hæc

ΜΕΤΑΦΡ.

Existens autem prope Achæus non reprehen-
Ionium supra mare habitans. [det me vir,

PARAPHRASIS.

impertit, cui jam seni natus est Sogenes, isque juvenis Nemeorum victor renunciatus: quique vir fortis es & prudens, magno quidem animo ad res præclaras suscipiendas, & prudenti mente ad earum executionem promovendam, & exitum providendum. Hæc autem mea laus suspicione caret. Etenim sum peregrinus: ideoque nulla est ansa vituperandi me, quod aliqua ratione adductus eum immeritum laudem. Hoc autem sum ingenio, ut vel amicum laudaturus, encomio meo nihil commentitii permisceam, sed genuinas tantum recte factorum laudes, tanquam aquæ puræ limpidos rivos ad decus ipsi conciliandum deducam. Viris autem generosis laus debetur, tanquam virtuti accommodata merces. Quod si aliquis supra Ionium mare versus Septentrionem habitans,

NOTÆ.

87 Ἀρχομένῳ reposuit Schmid. cum tamen ad τὴν referatur. Quando vero ἀποβλάπτει ex Aldo edere constituisset, oportuit & hanc vocem mutare. 88 Οὐκ ἀποβλέπει] Hunc locum juxta Vulg. vers. exponimus; licet sit fatendum, eam Græcarum vocum vim non satis expressisse. 89 Σκοτεινὸν ἀπέχων ψόγον] Obscurum seu clancularium & occultum vituperium summovens, h. e. neminem tecte sugillans, aut sub prætextu laudis vituperans. Quod interdum noti & vicini facere solent, qui vel beneficiis vel amicitia inducti laudant aliquando non laudanda, aut odio & offensione moti vituperant non vituperanda. Aretius. 92 Κλέος κ. λ.] Lon. redd. Encomio parato ad supera convexa eveham, qu. legeret, κλέος ἕτοιμον. Portus. Laudabo gloriam virtutemque veram, ducens eam, ut aquæ rivos, amicum ad virum.

[Τόλμαν τε καλῶν ἀρχομένῳ.] ὅλως ἀποδέχεται ὁ Πίνδαρος, τὴν μετὰ συνέσεως τόλμαν. Τόλμα τε μὲν ζάμενής, καὶ προόσκοπος ἐστίασιν. ἡ μὲν σύνεσις, περισκοποῦσα πῶς ἐκβήσεται. ἡ δὲ τόλμα, ἐγχείρησις ἐστι. Θαῤῥαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων. ἐν τοῖς ἰδίοις δημόταις καταφανὴς εἰμὶ, ὡς ἂν οὐδενὶ ἐνεχόμενος ἀτόπῳ πράγματι. [Ξεῖνός εἰμι σκοτεινὸν ἀπέχων ψόγον.] ξένος εἰμί, φησι, τῶν Αἰγινητῶν, τὸν ἐπισκοποῦντα ψόγον ἀπέχων. οὐδεὶς με ψέγει, ὅτι ἐπαινῶ τοὺς Αἰγινήτας. οὐ γὰρ πολίτας ὄντας ἐμαυτοῦ, διὰ τοῦτο ἐπαινῶ. προσχαρίζεσθαι γὰρ ἂν ἐδόκουν διὰ τὴν οἰκειότητα ἐγκωμιάζων. ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται. νῦν δὲ, οὐκ ὢν ἐξ οἴκου, ἐπαινῶ αὐτούς. διὸ οὐ φθονήσομαι. Δίδυμος δὲ, οὐδένα ψέξω, φησί. καὶ ὅτι τοῦτο οὐκ ἀλλότριον τοῦ Πινδάρου, ἀλλα † πολλὰ γὰρ αὐτῷ τοιαῦτα εἴρηται. τοῦτο δὲ λέγει, παρὸ εἰώθασιν οἱ πολῖται ἀεὶ φθονεῖν τοῖς κατά τι προέχουσι. διὰ τοῦτό φησιν ὁ Πίνδαρος ξένος εἶναι, καὶ τὸν σκοτεινὸν ψόγον ἄποθεν ἔχειν, καὶ οὐδένα, φησὶ, ψέξω. μᾶλλον δὲ τὸ κλέος τὸ ἀληθὲς, ὥσπερ ὕδατος ῥοὰς εἰς τὸν φίλον ἄγων ἄνδρα αἰνέσω, ὡς ὕδωρ ὀχετηγὸς. ὡς γὰρ ἐκεῖνος ἀμφυτὰ ἄγων τὸ ὕδωρ ἐπὶ τὰ δένδρα τρέφει αὐτὰ, οὕτω κἀγὼ τὰς τοῦ ὕμνου ῥοὰς ἐπὶ τὸν φίλον ἄνδρα, ἐπαινέσω καὶ αὐξήσω τὸ κλέος. ὁ δὲ νοῦς. ξένος ὢν, λέγω τἀληθῆ. τοῦ φθόνου ἐκτὸς ὢν τῶν πολιτῶν. ἔμφυτον γὰρ τοῖς πολίταις, τὸ ἀλλήλοις διαφθονεῖν. καὶ ὥσπερ τὰ ὕδατα ὀχετηγὸς ἀψαύστως, οὕτω καὶ ἐγὼ διαπορθμεύσω τὴν ἀνδρὸς τὴν ἀρετὴν τοῖς ὕμνοις, καὶ τὴν περὶ τοὺς ἀγῶνας αὐτοῦ εὐδοξίαν, ἀψευδῶς καὶ ἀληθῶς. πρόσφορος γάρ ἐστι τοῖς ἀγαθοῖς καὶ ἀνδρείοις, ὁ μετὰ τοῦ ἀληθοῦς ὕμνος. [Εὼν δ' ἐγγὺς Ἀχαιὸς, οὐ ψεύσεταί με ἀνήρ.] Ἀχαιὸν ἄνδρα τὸν Ἠπειρώτην, ἢ αὐτὸν τὸν Νεοπτόλεμον, ἢ ἕνα τῶν Ἠπειρωτῶν. Ἀχαιὸς γὰρ οὐ καθάπαξ ὁ Ἠπειρώτης, ἀλλὰ Μυρμιδών. Ἀχαιοὶ γὰρ οἱ ἀπὸ τῆς Θεσσαλίας ταχθέντες ὑπὸ Νεοπτολέμῳ, ἀπεπλάγχθησαν εἰς τὴν Μολοσσίαν καὶ κατῴκησαν εἰς τὴν Ἤπειρον. οὐ μέμψοιτο ἂν οὖν με Ἀχαιὸς ἀνὴρ ἐπὶ τὸ δοκεῖν μικρολόγον παρεστακέναι τὸν Νεοπτόλεμον, ὅτι εἶπον αὐτὸν περὶ κρεῶν μεμαχῆσθαι, καὶ διὰ τοῦτο ἀπολωλέναι. καθόλου γὰρ ἀπολογεῖσθαι βούλεται περὶ τοῦ Νεοπτολέμου θανάτου πρὸς τοὺς Αἰγινήτας. ἐκεῖνοι γὰρ ᾐτιῶντο τὸν Πίνδαρον. ὅτι γράφων Δελφοῖς τὸν παιᾶνα, ἔφη· Ἀμφιπόλοισι μαρνάμενον μυρίαν περὶ τιμὰν, ἀπολωλέναι. ἀπολογούμενος γάρ τι ἀντεισήνεγκε τοῦτο ὁ Πίνδαρος, ὅτι οὐκ ἔφησε περὶ χρημάτων γεγονέναι τῷ Νεοπτολέμῳ τὴν μάχην, ἀλλὰ περὶ τῶν νομιζομένων τιμῶν τοῖς Δελφοῖς. ὃ οὖν λέγει, τοιοῦτόν ἐστι. παρὼν δέ τις ἐνταῦθα Δωδωναῖος, οὐ μέμψεταί μοι ὡς ἐνυβρίσαντι τῷ Νεοπτολέμῳ. ἢ οὕτως. ἐγγύς μου γενόμενος, καὶ ἀκούσας αὐτὸς ὁ Νεοπτόλεμος ὧν εἶπον, ἢ ἕτερος Ἠπειρώτης, οὐκ ἂν μέμψοιτο. [Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων.] δοκεῖ ὁ Νεοπτόλεμος τὴν τοῦ πατρὸς ἀρχὴν διαδέξασθαι τῶν Μυρμιδόνων, καὶ ἡγήσασθαι ἐν Τροίᾳ. οὗτοι δὲ καὶ Ἀχαιοὶ ἐκαλοῦντο, καθά φησι καὶ Ὅμηρος· Μυρμιδόνες δὲ καλοῦντο, καὶ Ἕλληνες, καὶ Ἀχαιοί. οὗτοι δὲ κατὰ τὸν Ἰόνιον πόντον ᾤκησαν. καθὰ καὶ αὐτὸς Πίνδαρος σημαίνει λέγων· Νεοπτόλεμος δ' Ἀπείρῳ διαπρυσίᾳ· βουβόται τόθι πρῶνες ἔξοχοι κατάκειν(ται) Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόντον. γράφεται καὶ, πέρον. τὸ δὲ [Προξενίᾳ,] ἀμφίβολον, πότερον φησὶν ὁ Πίνδαρος μὴ μεμφθῆναι ἂν ὑπὸ τῶν Αἰακιδῶν. πρόξενον γὰρ ὄντα, μὴ ἄν ποτε κατὰ Νεοπτολέμου εἰπεῖν. καὶ ὅτι πρόξενος ὢν αὐτοῖς, ὑπ' οὐδενὶ μεμφθήσομαι. θαῤῥῶ γὰρ αὐτοῖς. ὅθεν, οὐδείς με μέμψεται. ἢ πεποιθότα τῇ προξενίᾳ τῇ πρὸς τοὺς Ἠπειρώτας, ἢ πιστεύων καὶ τῇ συγγενείᾳ, ἣν ἔχομεν Θηβαῖοι πρὸς τοὺς Αἰγινήτας. διὸ οὐ μέμψονταί μοι οὐδὲ οὗτοι.

† Ἄλλ', Alias.

[Ὄμματι

Καὶ προξενίᾳ πέποιθ᾽· ἔν τε δαμόταις	Et amicitia-hospitali fretus-sum:interq; popu-
Ὄμματι δέρκομαι λαμπρὸν, οὐχ ὑπερ- [βάλλων,	Oculo video serenũ,non excedens modũ,[lares
Βίαια πάντ᾽ ἐκ ποδὸς ἐρύ-	Violenta omnia pede remo-
σαις. Ὁ δὲ λοιπὸς εὔφρων	vens. Sed insequens lætum
Ποτὶ χρόνος ἕρποι. Μαθὼν δέ τις ἂν ἐρεῖ,	Adveniat tempus.Noscens autem aliquis dicet;
Εἰ πὰρ μέλος ἔρχομαι	An ad carmen accedam,
Ψέγιον ὄαρον ἐννέπων.	Vituperatorium sermonem proferens.
Εὐξενίδα πάτραθε Σώγενες, ἀπομνύω	O Euxenida quoad-familiam Sogenes, juro
Μὴ τέρμα προβὰς, ἄκονθ᾽ ὥσ-	*Me* non terminum transgressum, jaculi in-
τε χαλκοπάραον, ὄρσαι	star æreas-malas-habentis, vibrasse
ἀντιστροφὴ δ΄. κῶλον ιβ΄.	**Μεταφρ.**
Θοὰν γλῶσσαν· ὃς ἐξέπεμψας παλαι-	Celerem linguam:qui eduxisti è-luctationibus
Αὐχένα καὶ σθένος ἀδίαντον, [σμάτων	Cervicem, & robur sudore-non-aspersum,

PARAPHRASIS.

hic adesset Epirota, Achæus etiam dictus, quia Achæi Thessalici Neoptolemo duce in Epirum migrarunt, non reprehenderet me, quod Neoptolemum ob Delphici templi compilationem cæsum fuisse dixissem. Confido autem unumquemque ea in sententia de me futurum, quod cum jure hospitii cum Æacidis & eorum posteris utantur Thebani, verisimile non sit me Thebanum, offendere voluisse Æacidam virum. Præterea quod candido sim animo, ut ex vultu & oculo colligere est, quo semper sereno inter cives meos versor, nulla in re modum excedens, omnemque injuriæ speciem procul à me summovens. Cujus candoris mihi sum conscius, quemque in posterum lætus servabo. Denique quod quicunque bene me novit, dicere possit me neminem præter decorum & importune vituperare solere. Jam vero quod ad te attinet Sogenes, juro me veritatis terminum non prætergressum, celeris meæ linguæ præconium, tanquam jaculum ferro cuspidatum in te vibrasse, qui priusquam meridianus æstus ingrueret, & sol ardentior in membra incideret, matutino statim tempore tuos antagonistas superasti: quo factum est ut siccam cervicem, & nullo sudore dejectum robur

NOTÆ.

96 Καὶ προξενίᾳ πέποιθα] Utor cum Epirotis jure hospitii, Schmid. Phil. vero, Nam & hospites honore afficio. 97 Δέρκομαι λαμπρὸν] Phil. Lætus aspicio cives: Lon. Dextrum video. Vulg. Sum aspectu splendido. Portus. Oculo aspicior splendide, & ab omnibus magnifice suspicior. Οὐχ ὑπερβαλὼν leg. Schmid. Phil. vertit. Non superbus: Lon Neque super me cæteros erigo. 98 Lon. Violenta omnia à pedibus removens. 100 Ἐρεῖ Ald. i. e. Dicat. 101 Vulg. An decorum prætergrediar: Erasm. ad Adag. Nihil ad Bacchum, An secus quam convenit, loquar. 102 Ψέγιον] Lon. Falsum. Ὄαρον] Ald. hab. ὄναρον. 106 Ἐξέπεμψε Ald. Ita & Schol. qui ideo addit, ἀπὸ τοῦ πρὸς αὐτὸν λόγου, εἰς τὸν περὶ αὐτοῦ μετέστη, quasi jam in tertia persona de eodem loquatur. 107 Ἀδίαντον] Lon. Intrepidum, qu. esset, ἀδείμαντον.

[Ὄμματι δέρκομαι λαμπρόν.] καὶ ἐν τοῖς ἱεροῖς μου πολίταις ὁρῶ οὐχ ὑπέρλαμπρον καὶ ὑπερόπτικόν. ἀλλὰ μέτριός τις καὶ χρηστὸς τυγχάνω. ἢ δὲ, ὑπὲρ, συναπτέα τῷ, βάλλων. ἵν᾽ ᾖ, οὐχ ὑπερβάλλων. ἢ οὕτως. οὐδὲ μὴν ἄλλως, φησὶν, ἐν τοῖς πολίταις, ὑπερόπτικός εἰμι καὶ ὑπέρογκος, οὐ προσβλέπων τοὺς πολίτας ὄμματι λαμπρῷ, καὶ ὑπερηφάνῳ, ἀλλὰ προσμειδιῶντι, καὶ προσηνεῖ. ὥστε καὶ δι᾽ αὐτοῦ, τὸ ἄμεμπτος εἶναι. [Βίαια πάντα ἐκ ποδὸς ἐρύσαις.] διάγω, φησὶ, κατὰ τὰς Θήβας μετειάζων τὰ βλάσφημα καὶ ὑπεροπτικὰ ἐκποδὼν ἀφελκύσας. ἤτοι, μακράν μου χωρίσας. ἢ οὕτως. οὕτω φησὶ ζῶ, τὰ βιαστικὰ πάντα ἐκ ποδῶν μου ἄρας. τουτέστιν, οὐδένα βιαζόμενος ζῶ. [Ὁ δὲ λοιπὸς εὔφρων.] ὁ δὲ λοιπὸς χρόνος, προσέρποι καὶ βαίνοι, πρᾶος ὢν καὶ εὔφρων. ὁ δὲ νοῦς ὅλος. εἴθε μοι τὸ ὅλον τοῦ βίου οὕτω μετ᾽ εὐφροσύνης συμπερανθείη. τὸ δὲ [Ποτὶ ἕρπει,] ἀντὶ τοῦ προσέρπει. [Μαθὼν δέ τις ἂν ἐρεῖ.] τις σοφὸς μαθών. ἔτι γὰρ καὶ ταῦτα προσαπολογεῖται ὑπὲρ τοῦ Νεοπτολέμου. τὸ δὲ, ἂν, ὑπερβιβαστέον πρὸς τὸν δὲ σύνδεσμον. ἵν᾽ ᾖ, μαθὼν δέ τις εἰ παρὰ τὸ προσῆκον λέγω. ἀντὶ τοῦ, εἰ ψεύδομαι. ὁ δὲ νοῦς. γνώριμος δέ τις, καὶ πολίτης εἴποι ἄντις ἔνδοξα καὶ οὐκ ἀληθῆ λέγων ἐμοῦ τοῦ. [Εὐξενίδα πάτραθε Σώγενες.] πρὸς αὐτὸν τὸν Σωγένην ἀπέστρεψε τὸν λόγον. Εὐξενίδην δὲ εἶπεν, ὡς ἀπό τινος Εὐξένου τῆς ὅλης φατρίας ἀφηγουμένου. ὡς Κοπάδας καὶ Ἀλευάδας εἰώθει καλεῖν, τοὺς Θεσσαλοὺς. καὶ Εὐμολπίδας, τοὺς ἐπὶ Σικελίας· ἢ Εὐξενίδας, ἀντὶ τοῦ, εὐξένους. πανταχοῦ δὲ τοὺς Αἰγινήτας, φιλοξένους προσαγορεύει. καὶ νῦν εὐξενίδα, ἀντὶ τοῦ εὔξενε. [Ἄλλως.] φατρία ἐν Αἰγίνῃ, ἀπὸ Εὐξένου, ἧς ἐστιν ὁ Σωγένης. ὁ δὲ λόγος, ὦ Σώγενες, ἀπομνύω τῇ Εὐξενίδᾳ πάτρᾳ, μὴ τέρμα προβὰς, θοὰν ὄρσαι γλῶσσαν, ὡς ἀκόντια χαλκοπάρηον. τοῦτο δὲ ἀπὸ τῶν πεντάθλων μετενήνοχε, τῶν τὸ ἀκόντιον παρὰ τὸ ὡρισμένον τέρμα βαλλόντων διὰ τῶν ἐξ ἄθλων γινομένων. ἐγώ, φησι, καθίημι τοῦ σκοποῦ, ἡ γλῶσσά μου ἐπὶ τὸν σκοπὸν ἀνήνεκται. οὐκ ὑπερπέπτωκε τὸ τέρμα, ὡς ἀκόντιον. τοῦτο δὲ εἶπεν, ἐπειδὴ πένταθλος ἐστιν ὁ Σωγένης. ὁ νοῦς. ὄμνυμι τῇ φατρίᾳ τῶν Εὐξενιδῶν περὶ σοῦ λέγων, μὴ, ὥσπερ ἀκοντισταὶ, οἳ δι᾽ ἀπληστίαν ἰσχύος, ὑπερβάλλουσι τὸ τέρμα, καὶ τὸ ὡρισμένον, καθ᾽ ὃ δεῖ πέμψαι. οὕτω κἀγὼ τῇ ἀληθείᾳ. [Ὃς ἐξέπεμψας παλαισμάτων αὐχένα.] ἀπὸ τοῦ πρὸς αὐτὸν λόγου, εἰς τὸν περὶ αὐτοῦ μετέστη. ὅστις, ὁ Σωγένης, τῶν τοῦ πεντάθλου ἀγωνισμάτων ἐξέπεμψεν ἑαυτοῦ τὸ γυῖον, ἄνευ ἱδρῶτος, πρὶν ἐπιπεσεῖν τὴν τοῦ ἡλίου ἀκτῖνα. ἐκ δὲ τούτου, τὸ τῆς ἀθλήσεως ἐράσμιον καὶ ταχὺ χαρακτηρίζει. ἔνιοι δὲ, ὡς νικήσας φασὶ τὸ ἀκόντιον ἐστέφθη. οὐκέτι μὲν τοι ἐπάλαισε, παραιτησαμένων αὐτὸν τῶν ἄλλων. ἐπεὶ δὲ οἱ παλαίοντες χρονοτριβοῦσι, καὶ τὸν πλείονα χρόνον ἐν τῷ ἡλίῳ μένουσι, διὰ τοῦτο, φησὶ, πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν. τουτέστι, πρὸ τοῦ ἐκλυθῆναι τὸ σῶμα ὑπὸ τοῦ ἡλίου διὰ τὴν πάλην. ἀντὶ τοῦ εἰπεῖν, πρὶν παλαῖσαί σε.

[Εἰ

Αἴθωνι πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν.	Ardentē priusquā *in* solē membra inciderent.
Εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρχεται.	Si labor fuit; delectatio *eo* major accedit.
Ἔα με, νικῶντί γε χάριν	Sine me, victori gratiam
Εἴ τι πέρ ἂν ἀερθεὶς	Si qua in-altum-sublatus
Ἀνέκραγον. Οὐ τραχύς εἰμι καταθέμεν.	Vociferatus-sum. Non asper sum ad-persolvendum.
Εἴρειν στεφάνους ἐλαφρόν, ἀναβάλλεο. Μοῖσά τοι	Nectere coronas leviter, omitte. Musa utique
Κολλᾷ χρυσόν, ἔν τε λευκὸν ἐλέφανθ' ἅμα,	Conglutinat aurū, in*serit*q; candidū ebur una,
Καὶ λείριον ἄνθεμον ποντίας ὑφελοῖσ' ἐέρσας.	Et suavem florem à marino decerptum rore.
ἐπῳδὸς δ'. κώλων ζ'.	Μεταφ.
Διὸς δὲ μεμναμένος ἀμφὶ Νεμέᾳ,	Jovis vero memor occasione Nemeæ,
Πολύφατον ὕμνων θρόον δόνει	Celebrem hymnorum sonum volvito
Ἡσυχῆ. Βασιλῆα δὲ Θεῶν	Placide. Regem vero Deorum
Πρέπει δάπεδον ἂν τόδε γαρυέμεν θυμερᾷ	Decet solo in hoc ce prædicare divina

P a r a p h r a s i s.

luctationibus subduxeris. Quanquam non sine labore rem gessisti, unde plus voluptatis ex victoria percepisti. Quisquis autem es, qui me sublata voce victorem altius decantare audis, nihil obstes quò minus illi gratiosum hymnum impertiam. Ego utique non ægre adducor ad deponendum victoribus honorificum laudis pignus. Quare anime mi noli levem coronam cuiquam nectere, & à vulgari laudatione abstine. Solet Musa firmam ex auro coronam connectere, eique album ebur, & suavem coronarii rorismarini florem decerptum inserere, hoc est, encomiis splendidis fortium virorum res bene gestas ornare. Age vero hac occasione, duplici nomine Jovis mentionem facito, dum placidum celebrium hymnorum sonum volvis: tum quia de Nemeis agitur, quæ certamina ipsi sunt sacra: tum quia victor Æginensis laudatur. Decet autem in hoc solo Æginetico, illum Deorum regem voce mansueta decantare:

N O T Æ.

108 Πρὶν] Ald. πρίν. 111 Ἀν γ' Schmid. Hæc verba usque ad καταθέμεν aliqui παρενθετικῶς interpretantur, & ἐλαφρὸν ad ἀναβάλλεο referunt. 114 Ἀναβαλέο Schmid. 115 Λευκὸν] Χαλκὸν leg. Ed. Lugd. Intertexit auro Æs. 116 Λείριον κ. λ.] Vulg. Lilium floridum à rore marino decerpens. Λείριον vero est Hesychio, ἰσχνὸν ἢ ὠχρὸν· sonat etiam, Suave, Apollonio l. 4. Λείριος Ἀπόλλων· Hinc λειριόφθαλμος Suidæ exponitur, ὁ πρᾳότητας ἔχων τοὺς ὀφθαλμοὺς, Qui miti & placido aspectu est. Λεύκιον habent Edd. Rom. & Brub. Est vero τὸ ἄνθεμον Substantive sumendum, ut Ol. 2, 130; non vero Adjective, ut vult Portus in Lex. Pind. Per ποντίας ἐέρσας cum Schmidio intelligendum, Rorem marinum Coronarium. 119 Ald. πολυφάτων, quem sequitur Schmid & verba transponit. Sed nil opus est. Pindarus enim scripsit πολύφατον ὕμνων θρόον· nec metrum turbatur. 121 Rursus transponit voces πρέπει δάπεδον, Schmid. 122 Miretur Lector quomodo θυμερᾷ displicere potest Autori sæpius nominato. Sed metri ratio subinde recurrit Ideo ἀθρόα suffecit in textum.

[Εἰ πόνος ἦν.] εἰ καὶ κάματος ἦν, φησὶν, ἐν τῷ ἀγωνίζεσθαι, ἀλλὰ μείζων ἡ ἐκ τῆς νίκης ἡδονή. ὁ ἀγὼν, φησὶν, αἴτιος ὁ γενόμενος τῆς παντελοῦς νίκης, οὐκ ἐποίησε χρείαν σε ἔχειν τῆς διὰ πάλης σε γενέσθαι τῶν ἀνταγωνιστῶν. ἀλλά σου ἄβρεκτον τὸν αὐχένα, ἐξέπεμψε τὸν ἀγῶνος. [Ἔα με νικῶντί γε χάριν.] τὸ ὑπερβατὸν οὕτως. ἔα με εἴ τι περ ἂν ἀερθεὶς ἀνέκραγον, νικῶντί γε χάριν φέρειν. [Οὐ γὰρ τραχύς εἰμι καταθέμεν.] οὐ γάρ εἰμι ἀηδὴς, φησι, καὶ ἀπηνὴς τοῖς νικῶσι τὰ ἐγκώμια θέσθαι. [Εἴρειν στεφάνους ἐλαφρόν.] πρὸς αὐτὸν διαλέγεται. ὁ δὲ νοῦς. ὅτι τούτοις τοῖς κατορθώμασιν ἐλαφρῶς συντιθέναι καὶ πλέκειν στεφάνους παραιτοῦ. ἀντὶ τοῦ, μέγα τι, καὶ ἀξιοπρεπὲς ἐφάρμοζε τῇ νίκῃ ἐγκώμιον. [Ἀναβάλλεο· Μοῖσά τοι κολλᾷ χρυσόν.] ἤτοι ἡ Μοῦσα ἡ ἐγκωμιαστικὴ, ποικίλως κοσμεῖ τοὺς ἐπαινουμένους. οἷον, ἡ Μοῦσα πᾶσι χρῆται τοῖς ἐγκωμίοις. [Ἄλλως.] λέγειν τι ἐλαφρὸν περὶ τῶν ἱερῶν στεφάνων ἀναβάλλου. οἷον, μὴ λέγε κοῦφα περὶ τῶν νικώντων, ἀλλὰ μᾶλλον μεγάλα λέγων, αὔξανε αὐτοὺς. ἀντὶ τοῦ, ἀνακρούου καὶ ἄρχου τι λέγειν ἐλαφρῶς περὶ τῶν στεφάνων. εἰ μείζονα εἴρηκας αὐξητικὸς ὢν, νῦν ἐλαφρῶς ἄρχου τι λέγειν περὶ αὐτῶν. [Καὶ λείριον ἄνθεμον.] τινές φασιν εἶναι κουράλιον. εἴρηται δὲ αὐτὸ ποντίαν ἐέρσαν, διὰ τὸ δοκεῖν ἕως μὲν ὅτι κατὰ βάθους, ἁπαλὸν εἶναι, καὶ φυτῷ ὅμοιον. ὅταν δὲ ἀνασπασθῇ, καὶ γένηται ἔξω τοῦ ὕδατος, ἀπολιθοῦσθαι, τοῦ ἡλίου καταλάμψαντος αὐτό. οἱ δὲ, ποντίαν δρόσον, τὴν πορφύραν φασὶ, διὰ τὸ τῆς κοχλίου βαφήν. λείριον δὲ ἄνθος, τὸ ἔριον. ἀναφέρει δὲ ταῦτα, ὅτι τὴν τῶν ὑφαινομένων ποικιλίαν παύτην. ἐπεὶ τὸ ποίημα, ὑφάσματι παρέοικεν. ὡς καὶ αὐτὸς ἐν ἄλλοις· Ὑφαίνω δ' Ἀμυθαονίδαις ποικίλον ἄνδημα. [Διὸς δὲ μεμναμένος.] τοῦ Διὸς εἰς ὑπόμνησιν ἐλθὼν, πολυθρύλλητον λόγον ἐκ τῶν ὕμνων ἀνακίνει, εὐμούσως καὶ πελαγμένως περί τε τὴν Νεμέαν, καὶ τὸν Δία. τοῦτο δὲ λέγει, ἐπεὶ Νεμεονίκης ὁ Σωγένης. [Βασιλῆα δὲ θεῶν.] τὸν τῶν θεῶν βασιλέα Δία, κατὰ τοῦτο τὸ ἔδαφος ὑμνεῖν προσήκει, ἤτοι, τὸ τῆς Νεμέας. ἀνάκειται γὰρ ὁ Νεμεαῖος ἀγὼν τῷ Διΐ. ἢ κατὰ τὸ τῆς Αἰγίνης. ὃ καὶ μᾶλλον, διὰ τὰ ἐπιφερόμενα. διατί δὲ πρέπει τὸν Δία ἐν τῇ Αἰγίνῃ ὑμνεῖν, αὐτὸς ἐποίησε.

Οπί. Λέγοντι γὰρ Αἰακόν	Voce. Aiunt enim Æacum
Μιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι,	Ipsum sub à-matre-excepto semine sevisse,
στροφὴ ε'. κώλων ιβ'.	Μεταγη.
Εμᾷ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ,	Meæ quidem gubernatorem illustris patriæ,
Ηράκλεες, σέο δὲ προπρεῶνα	O Hercules, tuum vero benevolum
Μὲν ξεῖνον ἀδελφεόν τ'. Εἰ δὲ γεύεται	Quidem hospitem fratremque. Si vero fruitur
Ανδρὸς ἀνήρ· τί φαμέν κε γείτον' ἔμμεναι	Viro vir: quid diceremus vicinum esse
Νόῳ φιλήσαντά γ' ἀτενεῖ,	Animo diligentem serio,
Γείτονι; χάρμα πάντων	Vicino? Gaudium omnibus
Επάξιον. Εἰ δ' αὐτὸ καὶ Θεὸς ἂν ἔχοι·	Præferendū. Si v. id-ipsum etiam Deus præstet:
Εν τίν κ' ἐθέλει, γίγαν-	Apud te utique vult, ô qui Gigan-
τας ὃς ἐδάμασσας, εὐτυχῶς	tas domuisti, feliciter
Ναίειν, πατρὶ Σωγένης, ἀταλὸν ἀμφέπων	Habitare, *ut* patrem Sogenes, juvenilē fovens
Θυμὸν, προγόνων εὐκτή-	Animum, *secundum* majorum opulen-
μονα ζαθέαν ἀγυιάν.	tum & divinum tramitem.

PARAPHRASIS.

quandoquidem illius recepto semine, ut aiunt, Ægina Æginensium authorem Æacum peperit: qui tecum, ô Hercules, celebris meæ patriæ, videlicet Thebarum, tutor & præses esset, tuusque hospes, & ex eodem patre frater, vir tui studiosissimus, utpote hospitalitatis & sanguinis jure tibi conjunctus. Quæro autem, siquidem vir viro uti solet ad res vitæ necessarias, quid possimus dicere vicino esse vicinum qui constanti amore illum prosequitur. Dicemus utique hoc esse gaudium aliis omnibus æquiparandum merito. Quoniam vero hoc ipsum vicinitatis gaudium potiori ratione præstat Deus, Sogenes generosum animum, quo est hac tenera ætate, fovens & sequens, quinetiam insistens tramiti majorum, qui magna facinorum copia & præstantia claruerunt, tecum, ô Gigantum domitor Hercules, fœliciter tanquam in paterna domo habitare vult.

NOTÆ.

124 Γοναῖς] Lon. Sub maternis genibus, qu. esset γόνασι. 125 Πολύαρχον habent Edd. plurimæ. 127 Δεύεται leg. Edd. multæ, Æolicum pro δεῖται, Indiget. Non male. 128 Εμμεν Alii omnes præter Ald. 132 Εν τίν] Vulg. Tecum. Portus, Prope te. Schmid In tua æde. Perinde. 133 Εδάμασας, Nonnulli.

[Λέγοντι γὰρ Αἰακόν] τουτέστι, διὰ τὸ, τὸν Δία πατέρα εἶναι Αἰακοῦ, ὅς ἐστι πολίαρχος ἡμῶν. Διὸς γὰρ καὶ Αἰγίνης Αἰακός. ἰδίως δὲ φαίνεται ἐπὶ ταύτης τῆς ᾠδῆς ἀνεστραμμένος ὁ Πίνδαρος. ὅτε μὲν γὰρ, αὐτὸς ἐκ τοῦ ἰδίου προσώπου διαλέγεται πρὸς τοὺς μεμφομένους περὶ τοῦ Νεοπτολέμου· ὅτε δὲ περιάγει τὸν χορὸν τῶν Αἰγινητῶν διαλεγόμενον. [Εμᾷ μὲν πολίαρχον.] οὐ γὰρ ὁ Πίνδαρος Αἰγινήτης. φασὶ δὲ, τὸν Δία ὑπὸ τοῖς γονεῦσι τῆς Αἰγίνης πεφυτευκέναι τὸν Αἰακόν. ὁ δὲ νοῦς. ἔφυσε δὲ ὁ Ζεὺς τὸν Αἰακόν, ὦ Ηράκλεις, τῇ μὲν ἐμῇ πόλει, βοηθόν· σοὶ δὲ, πρόθυμον ἀδελφόν. μνημονεύει δὲ τοῦ Ηρακλέους, ἐπειδὴ ὁ τοῦ νικηφόρου οἶκος, ἑκατέρωθεν Ηρακλείοις περιέχεται τεμένεσιν. ἀπέστρεψε δὲ τὸν λόγον πρὸς τὸν Ηρακλέα, ὡς τοῦ Αἰακοῦ ὑποδεδεγμένου, καὶ ἐξενικότος. [Προπρεῶνα] δὲ, ἀντὶ τοῦ, πρόθυμον. φησὶ δὲ καὶ, ὅτι ἀδελφὸς Ηρακλέους ὁ Αἰακός. [Εἰ δὲ δεύεται ἀνδρὸς ἀνήρ.] εἰ θιγγάνειν, φησὶ, τῇ ψυχῇ, καὶ ἐπιδεῖται ἀνδρὸς ἀνὴρ εἰς τὰς βιωτικὰς χρείας, τί ἂν φαίμεν χρῆμα τούτου μεῖζον εἶναι, ἢ τοὺς φιλοῦντας, εὐθὺς καὶ γειτνιᾶν; ὁ γὰρ γείτων, τάχιον χρείας ἀπαιτούσης ἀπαντᾷ. Ησίοδος· Γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί. ἢ οὕτως. ἐπεὶ δεῖται ἄνθρωπος ἀνθρώπου εἰς βίον, τί ἂν εἴη τούτου μεῖζον τοῦ εὑρεῖν γείτονας ἀλλήλους φιλοῦντας; Αρίσταρχος, οὕτως. ἐπεὶ δὲ κατὰ τὰς συνουσίας καὶ γειτνιάσεις, ἕτερος ἄνθρωπος ἀφ' ἑτέρου γεύεταί τι καὶ ἀπολαύει ἀφομοιούμενος, ὥσπερ ἡ παροιμία ἔχει. Παροιμία. Χωλῷ παροικεῖς, κἂν ἐνὶ σκάζειν μαθοις. εἴποιμεν ἂν τὸν ὠφεληθέντα γείτονα ἀπὸ γείτονος, ἀξιόχρεων εἶναι χάρμα. παρὸ καὶ Ησίοδος· Πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ. [Αλλως.] ὁ δὲ λόγος κατ' ἐρώτησιν καὶ ἀπόκεισιν. εἰ δὲ κατὰ τὰς γειτνιάσεις γεύεται καὶ ἀπολαύει γείτονος γείτων δεξιοῦ τε καὶ προθύμου, τί ἂν εἴποιμεν τῷ φιληθέντι τὸν φιλήσαντα; εἶτα ὡς κατὰ σύγκεισιν, γείτονα πάντων χρημάτων ἐπάξιον. [Εἰ δ' αὐτὸ καὶ θεὸς ἂν ἔχοι.] εἰ δὲ τοῦτο οὕτως ἔχει, ὅτι οἱ φιλοῦντες γείτονες μεγάλως ἀλλήλους ὠφελοῦσι, καὶ παρὰ θεῶν τοῦτ' ἂν εἴη, καὶ θεὸς τοῦτ' ἂν ἀγαθὸν· γειτνιῶν ἀνθρώπῳ φιλοῦντι, ὥστε πολλὰ αὐτῷ συμβαλέσθαι. τοῦτο δὲ ἀναφέρει ἐπὶ τὸν Σωγένη καὶ τὸν Ηρακλέα. ἦν γὰρ Ηράκλεια τεμένη, ἑκατέρωθεν τῆς οἰκίας Σωγένους. μέγα οὖν ἔχει ἀγαθὸν ὁ Σωγένης, τὸ ἔχειν σε γείτονα, ὦ Ηράκλεις, φιλοῦντα αὐτόν. οὐ γὰρ ἐνίκησεν ἂν, εἰ μὴ ἐκ τῆς ἰδίας ἐπινοίας. ὁ δὲ νοῦς. εἰ δὲ αὐτὸ τοῦτο καὶ θεὸς παρέχει τὸ τῆς γειτνιάσεως ἀγαθὸν, σὺν σοὶ ἂν, ὦ Ηράκλεις, ὅστις ἐδάμασας τοὺς γίγαντας, ὁ Σωγένης εὐτυχῶς βούλοιτο διαζῆν, τὴν σὴν καὶ δικαίαν τοῦ πατρὸς αὐτοῦ θεραπεύων ψυχὴν, καὶ τῶν προγόνων τὴν θείαν καὶ πλουσίαν ὁδὸν, ἀπὸ κοινοῦ, ἀμφέπων.

[Επεὶ

ἀντιστροφὴ ε'. κώλων ιβ'.

Ἐπεὶ, τετραόρεσσιν ὥθ' ἁρμάτων ζυγοῖς,
Ἐν τεμένεσι δόμον ἔχει τέ-
οῖς, ἀμφοτέρας ἰὼν χερός. Ὦ μάκαρ,
Τὶν δ' ἐπέοικεν Ἥραν πόσιν τε πειθέμεν,
Κόραν τε γλαυκώπιδα. Δύνα-
σαι δὲ βροτοῖσιν ἀλκὰν
Ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν.
Εἰ γάρ σφισιν ἐμπεδο-
σθενέα βίοτον ἁρμόσαις,
Ἥβᾳ λιπαρῷ τε γήρᾳ διαπλέκοις
Εὐδαίμον' ἐόντα· παίδων
Δὲ παῖδες ἔχοιεν αἰεὶ

ἐπῳδὸς ε'. κώλων ζ'.

Γέρας τὸ περ νῦν, καὶ ἄρειον ὄπισθεν.
Τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ
Ἀτρόποισι Νεοπτόλεμον ἑλ-

METAPH.

Quoniam, quadrijugis velut curruum *in* jugis,
Inter delubra domum habet tu-
a, *in* utramvis procedens manum. O beate,
Tibi v. convenit Junonē, Maritumq; exorare,
Puellamque cæsiam. Po-
tes autem mortalibus remedium
Difficultatum inextricabiliū frequenter dare.
O si enim ipsis stabile-robur-ha-
bentem vitam accommodans,
Juventuti lautæque senectuti intertexas
Felicem existentem: filiorum-
que filii habeant semper

METAPH.

Honorē præsentē, & præstantiorem deinceps.
Meum vero nunquam cogitabit cor
Perversis Neoptolemum lace-

PARAPHRASIS.

Ideoque quemadmodum temo medius est inter quadrijugi currus juncturas: sic ille domum habet in medio tuorum delubrorum, sive à dextra, sive à sinistra manu progrediatur. Quare cum ea illius in te sit pietas, ô beate Hercules, par est ut Junonem, ejusque maritum Jovem, cæsiisque oculis virginem Minervam, præcipuos Deos, ei ejusque posteris propitios reddas. Quod æque tibi possibile est, atque identidem remedia mortalibus suppeditare, quum ad difficultates inextricabiles rediguntur. Utinam ipsis vitam robore constanti firmam accommodans, huic & in florenti juventute, & in lauta senectute fœlicitatem intertexas; hujus vero natis, & iis qui nascentur ab illis, dignitatem conserves, unde eundem semper possideant honorem quem in præsentia habent; imo etiam in posterum præstantiorem. Cæterum nunquam objiciet mihi mea conscientia me Neoptolemo verbis asperis detraxisse.

NOTÆ.

138 Τεμένεσι Schmid. 139 Χειρὸς, Schmid. Lon. Utrinque tua manu circundatus: Phil. Utra manū te prehendens: Vulgata, Ab utraque manu incedens. 144 Σφιν, Edd. præter Ald. 147 Παίδων] Lon. reddit, Pueris & juvenibus semper juvenum fungentibus officio, & nunc posthac melius. Retulit vero τὸ παίδων non ad παῖδες· sed ad γέρας, quasi esset, καὶ παῖδες αἰεὶ ἔχοιεν γέρας παίδων κ. λ. 149 Ὄπιθεν Schmid.

[Ἐπεὶ τετραόροισιν, ὥσθ' ἁρμάτων ζυγοῖς.] ἐπειδή, φησιν, ὥσπερ τῶν τετρώρων ἁρμάτων ὁ ῥυμὸς μεταξύ· οὕτω καὶ ἐν τοῖς τοῦ Ἡρακλέους τεμένεσιν ὁ νικηφόρος, ἐν μέσῳ τὸν ἑαυτοῦ οἶκον ἔχει. ὁ δὲ νοῦς. ἐπεὶ ἐν τοῖς σοῖς τεμένεσιν, ὦ Ἡράκλεις, τὸν δόμον ἔχει μέσον. ὡς ἐπὶ ἁρμάτων ὁ ῥυμὸς μέσος ἐστὶν, οὕτως ὁ Σωγένους οἶκος, ἐξ ἀμφοτέρων τῶν χειρῶν, καὶ ἀριστερᾶς καὶ δεξιᾶς, ἔχων τὰ σὰ τεμένη, μέσος ἐστὶν, ὡς ὁ ῥυμὸς ἅρματος τετρώρου. [Δύνασαι δὲ βροτοῖσιν ἀλκάν.] δύνασαι δὲ καὶ αὐτὸς τῶν ἀπόρων καὶ ἀμηχάνων εὕρεσιν δοῦναι· ἀπὸ κοινοῦ γὰρ τὸ, διδόμεν. καὶ δύνασαι τοὺς ἄλλους θεοὺς πεῖσαι δοῦναι οὓς προσεῖπεν. ὁ δὲ νοῦς. δύνασαι, φησὶν, ἀπαλλάξειν τὰς ἀμηχανίας καὶ τὰς ἀτυχίας τῶν ἀνθρώπων. ἀλεξίκακος γὰρ ὑπάρχεις. [Εἰ γάρ σφιν ἐμπεδοσθενέα.] εἴθε γὰρ αὐτοῖς ἀσφαλῆ καὶ ἀδιάπτωτον ἁρμόσαις, τῇ τε ἥβῃ, καὶ τῷ λιπαρῷ γήρᾳ αὐτῶν διαπλέξαις. [Ἄλλως.] εἴθε γὰρ αὐτῷ ἐμπεδοσθενῆ τοῦτον τὸν βίον ἁρμόσαις, ἐν τῇ ἀκμῇ καὶ τῷ λιπαρῷ γήρᾳ διαπλέκοις τὸν βίον εὐδαίμονα. [Παίδων δὲ παῖδες ἔχοιεν.] ὡς τιμήν τινα ἐχόντων αὐτῶν, ἢ ἱερωσύνην, ἢ ἄλλο τι τοιοῦτον παρὰ τοῖς Αἰγινήταις. ἔχοιεν οὖν τοῦτο τὸ γέρας, φησὶν, οἱ παῖδες τῶν παίδων, ὅπερ νῦν ἔχουσι, καὶ ὄπισθεν αὐτὸ ἄρειον. [Τὸ δὲ ἐμὸν, οὔ ποτε φάσει κέαρ.] οὐκ ἀτόπως, φησὶν, οὐδ' ἀπεοικότως, εἰς μνήμην ἐληλυθέναι Νεοπτολέμου. ὁ μὲν οὖν Καλλίστρατος ἐπέφησε, τὸν Σωγένην γείτονα εἶναι τοῦ Ἡρακλέους, καὶ ὁ Νεοπτόλεμος δὲ γειτνιᾷ τῷ θεῷ τῷ ἐν Δελφοῖς. κατὰ τοῦτο, φησὶν οἰκείως μεμνῆσθαι τοῦ Νεοπτολέμου, διὰ τὴν ἀμφοτέρων γειτνίασιν. ὁ δὲ Ἀριστόδημος, ὅτι μεμφθεὶς ὑπὸ Αἰγινητῶν ἐπὶ τῷ δοκεῖν ἐν παιᾶσιν εἰπεῖν, τὸν Νεοπτόλεμον ἐπὶ ἱεροσυλίᾳ ἐληλυθέναι εἰς Δελφοὺς, νῦν ὥσπερ ἀπολογεῖται εἰπών· ὅτι οὐχ ἱεροσυλῶν ἐτελεύτησεν, ἀλλ' ὑπὲρ κρεῶν φιλοτιμηθεὶς ἀνῃρέθη. διὸ καὶ ἐπιφέρει

κύσαι ἔπεσι. Ταῦτα
Δὲ τρὶς τετράκις τ' ἀμπολεῖν,
Ἀπορία τελέθει, τέκνοι-
σιν ἅτε μαψυλάκας, Διὸς Κόρινθος.

rasse verbis. Hæc
Vero ter quaterque revolvere,
Inopia est, pue-
ris velut nugas-effutiens, Jovis Corinthus.

PARAPHRASIS.

Sed ter quaterque hanc adversus accusatores meos apologiam revolvere, est argumenti & verborum inopia laborare: & perinde facere atque is qui nugatorem & blateronem agens apud pueros, illud ipsis notissimum, videlicet Jovis Corinthus, tædiose multoties repetit & regerit.

NOTÆ.

152 Ελκύσαι, Pingat. Lon. Ελκύσ' ἔπεσι & τοιαῦτα sunt conjecturæ Schmidii, ut & τετράκιτι in proximo κώλῳ. Alii τ' αὐτά, quasi pro τὰ αὐτὰ legunt. 154 Απορία τελέθει] Dubium liberis ingerunt, Lon. 155 Μαψιλάκας hab. Ed. Commel. Nulla forsan auctoritate, nisi etymologia, à μάψ & λακεῖν. Quia enim Μάψιδιος & μαψιδίως à μάψ deducantur, inserto ι, volunt Portus, & eum secuti Schmidius & Ben. ita legendum; quam sane nullam esse rationem arbitramur; nec tamen cum Grammaticis, pro μαψυλάκας pugnandum.

[Ταῦτα δὲ τρὶς τετράκις τ' ἀμπολεῖν, ἀπορία τελέθει.] ἤδη, ἀπολελόγημαι ἱκανῶς περὶ τοῦ Νεοπτολέμου. τί οὖν ἔτι μέλλω τὰ αὐτὰ ἀναπολεῖν; ἀπορεῖν γάρ ἐστι λόγων, τὸ ἀναπολεῖν τὰ αὐτά, ὥσπερ παρὰ νηπίοις τοῖς τέκνοις. τὸ δὲ [Ελκύσαι,] ἀντὶ τοῦ ἐνυβρίσαι φησίν. ἡ δὲ μεταφορά, ἀπὸ τῶν κυνῶν τῶν ἑλκόντων τὰ σώματα. ὁ δὲ νοῦς. διορίζεται, φησί, καὶ πέποιθεν ἑαυτῇ ἡ ἐμὴ ψυχή, μηδέποτε τῷ Νεοπτολέμῳ ἐνυβρίσαι. [Ατε μαψυλάκας Διὸς Κόρινθος.] μαψυλάκας, ὁ μάτην φλυαρηθείς. Διὸς Κόρινθος δέ, παροιμία ἐστίν, ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων. ἡ γὰρ παροιμία, ἐντεῦθεν ἔρρει. Αλήτης ἐλθὼν περὶ τῆς ἐν Κορίνθῳ βασιλείας, προσῆλθε τῷ μαντείῳ τῷ ἐν Δωδώνῃ ὅ ἐστι τοῦ Διός, καὶ ἔχρησεν αὐτῷ τότε κρατήσειν, ὅτε τις δῷ βῶλον γῆς. ἐπιθέωξ δὲ ἡμέρᾳ πολυστεφάνῳ. ἐλθὼν οὖν ἐν Κορίνθῳ, ᾔτει τινὰ ἀγροῖκον ἄρτον ὁ Αλήτης. ὁ δὲ λαβὼν βῶλον ἔδωκεν. ἐτελεῖτο δὲ καὶ θυσία τοῖς νεκροῖς ἐν Κορίνθῳ. διὰ τὴν τῆς πόλεως ἐν μνήμασιν οὔσης, ἐπέρχεται ὁ Αλήτης, καὶ εὗρε Κρέοντος θυγατέρας περὶ συνθήκας γινομένας. ἔφησέ τε ἐὰν κρατήσῃ, ἕξειν τὴν νεωτέραν αὐτῶν πρὸς γάμον. καὶ πείθεται ἡ κόρη, καὶ προδίδωσι τὴν πόλιν, τὰς πύλας ἀνοίξασα, καὶ κρατεῖ ὁ Αλήτης, καὶ ὠνόμασεν αὐτὴν, Διὸς Κόρινθον. ἐπειδὴ διὰ τῆς μαντείας τοῦ Διός, ἡ ἀρχὴ εἰς αὐτὸν ἦλθε. [Αλλως.] παροιμία ἐστὶ ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων ὁ Διὸς Κόρινθος, ὅταν δυσεξελέγκτως ἀναπολῶσι τὰ αὐτὰ πολλάκις. ἐγὼ οὖν, φησιν, οὐκ εἰμὶ Διὸς Κόρινθος. δοκεῖ οὖν ἀπὸ τοιούτου τινὸς εἰρῆσθαι ἡ παροιμία. Μεγαρέας φησὶ Κορινθίων ἀποίκους, καὶ πολλὰ τοῖς Κορινθίοις κατ' ἰσχὺν τῆς πόλεως ὑπείκειν. ἀλλά τε γὰρ πλείονα τοὺς Κορινθίους προστάσσειν, καὶ τῶν Βακχιαδῶν εἴτις τελευτήσοι (διώκουν δὲ αὐτοὶ τὴν πόλιν) ἔδει Μεγαρέων ἄνδρας καὶ γυναῖκας ἐλθόντας εἰς Κόρινθον, συγκηδεύειν τὸν νεκρὸν τῶν Βακχιαδῶν. ὡς δὲ ὕβρεως οὐδὲν ἀπέλειπον οἱ Κορίνθιοι· τὰ δὲ τῶν Μεγαρέων ἔρρωτο, καὶ πρὸς ἐλπίσι τοῦ μηδὲν παθεῖν ἀποστάντας αὐτοὺς, ἀλλ' ἀφεῖναι, πέμπουσι δῆτα πρέσβεις οἱ Κορίνθιοι κατηγορήσοντας τῶν Μεγαρέων. οἱ προσελθόντες εἰς τὴν ἐκκλησίαν, ἄλλά τε πολλὰ διεξῆλθον, καὶ τέλος, δικαίως στενάζει ὁ Διὸς Κόρινθος, εἰ μὴ λήψοιτο δίκην παρ' αὐτῶν. ἐφ' οἷς παροξυνθέντες οἱ Μεγαρεῖς, τοὺς πρέσβεις λίθοις ἔβαλον. καὶ μετὰ μικρὸν ἐπιβοηθησάντων τινῶν τοῖς Κορινθίοις, καὶ μάχης γενομένης νικήσαντες, φυγῇ τῶν Κορινθίων ἀποφυγόντων, ἐφαπτόμενοι κτείνοντες ἅμα, πα . . . . τὸν † Διὸς Κόρινθον ἐκέλευον. ὅθεν, φησὶν ὁ Δήμων, ἔπι καὶ νῦν ἐπὶ τῶν ἄγαν σεμνυνομένων, καὶ δὲ ἐλῶς ἀπαλλαττόντων, τὴν παροιμίαν ταύτην τετάχθαι.

† Alias. διωκόμενοι & -θεν.

Τέλος τῆς ἑβδόμης τῶν Νεμέων εἴδους.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΟΓΔΟΟΥ ΤΩΝ ΝΕΜΕΩΝ ΕΙΔΟΥΣ.

ΤΗΣ ὀγδόης ᾠδῆς ἡ στροφή, καὶ ἀντίστροφος, κώλων ἐννέα. Τὸ α΄, ἥμισυ ἔπους καταληκτικόν ‡. Τὸ β΄ ἰαμβέλεγος. * Τὸ γ΄, στησιχόρειον. Τὸ δ΄, ἐγκωμιολογικόν, μετὰ πλεονάζον, ἐν ἀρχῇ τοῦ πενθημιμεροῦς ἰαμβικοῦ. ἢ χοριαμβικὸν τρίμετρον, τῆς ἐναντίαις καταλειβόμενον. Τὸ ε΄, ἰαμβέλεγος, λειπούσης τῆς ἀρχῆς. Τὸ ϛ΄, λογαοιδικὸν ἀρχεβούλειον, ἢ ἐπιωνικὸν ἀπ' ἐλάττονος, ἄτακτον διὰ τὸ σπονδεῖον. Τὸ ζ΄, ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ η΄, Εὐριπίδειον. Τὸ θ΄, τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτῆς.

Ἡ ἐπῳδὴ κώλων ἕνδεκα. Τὸ α΄, προσοδιακὸν ἀπὸ ἰωνικοῦ ἀπὸ μείζονος. Τὸ β΄, Εὐριπίδειον. Τὸ γ΄, ἰαμβέλεγος, λείπων τῇ ἀρχῇ. Τὸ δ΄, Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, τῆς ἐναντίαις καταχλειδὸν, ἄτακτον, Ἀλκμαϊκῷ ζήλῳ. Τὸ ε΄, χοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ϛ΄, ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ζ΄, ὅμοιον τῷ γ΄, τῆς ἐπῳδῆς. Τὸ η΄, μικτὸν ἐκ τροχαίου πενθημιμεροῦς, καὶ δακτυλικοῦ πενθημιμεροῦς. Τὸ θ΄, ἰαμβέλεγος, ἐπιτιθεμένης τοῦ τέλους. Τὸ ι΄, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ια΄, τροχαϊκὸν τρίμετρον καταληκτικόν, ὅμοιον τῷ, Ζεῦ πάτερ χάμον μὲν ὐκ ἐδασάμαν.

Περὶ τῆς ἐπιγραφῆς αὐτῆς.

Δεινίᾳ † υἱῷ Μέγα, σταδιεῖ. ἔνιοι φασὶ σταδιεῖς αὐτόν τε τὸν Δεινίαν καὶ τὸν πατέρα, καὶ τοῦτο βλέποντα τὸν Πίνδαρον, Δεινίδος διαύλων σταδίων, καὶ πατρός, εἰπεῖν. παρέχει δέ, φησιν ὁ Δίδυμος, τοῦτο ἀπορίαν, τὸ μηδένα ἕτερον αὐτῶν ἐν τοῖς Νεμεακαῖς νίκαις ἀναγεγράφθαι.

‡ Ed. Biub. ἢ φιριχράτειον. * Τῆς πρώτης ἐπὶ τὸ τέλος μετατιθεμένης, ὃ καὶ Πινδαρικὸν καλοῦσι.

† Δεινίᾳ hab. omnes Edd. ubi tamen Schmid. (cui consentit Ben.) reposuit Δεινίδι, ex V. 26. quem vide. Arbitratur vero pro ΔΕΙΝΙΔΙ facile legi potuisse, ΔΕΙΝΙΑι.

Ratio vero metrica ita se habet:

στροφὴ & ἀντιστροφή.

1. - - - ∪ ∪ - -
2. - ∪ - - - ∪ ∪ - ∪ ∪ - -
3. - ∪ - - - ∪ - - - ∪ - -
4. - ∪ ∪ - - ∪ - - - ∪ - -
5. - ∪ - - - ∪ ∪ - ∪ ∪ -
6. ∪ ∪ - ∪ ∪ - - - ∪ - -
7. ∪ ∪ - ∪ ∪ - ∪
8. - ∪ - ∪ - ∪ -
9. - ∪ - ∪ - ∪ - ∪

ἐπῳδός.

1. - - ∪ ∪ - ∪ ∪ -
2. - ∪ - - - ∪ ∪
3. - ∪ - - - ∪ ∪ - ∪ ∪ -
4. ∪ ∪ - - ∪ - - - ∪ -
5. - ∪ ∪ - ∪ - ∪ -
6. - - ∪ - - - ∪ - ∪ -
7. - ∪ - - - ∪ ∪ - ∪ ∪ -
8. - ∪ - ∪ ∪ - - - ∪ ∪ -
9. - ∪ - ∪ - ∪ ∪ - ∪ ∪ - -
10. - ∪ - - - ∪ - -
11. - ∪ - - - ∪ - ∪ - ∪ -

ΔΕΙΝΙΑ ΥΙΩ ΜΕΓΑ ΑΙΓΙΝΗΤΗ ΣΤΑΔΙΕΙ.

ΕΙΔΟΣ Η'.

DINIÆ FILIO MEGÆ ÆGINETÆ STADII-CURSORI.

ODE VIII.

ARGUMENTUM.

Dinias Ægineta laudatur à Forma, à stadii cursu, quo vicit. Deinde quædam de Invidia profert, ubi suos & Diniæ æmulatores sugillat; postea in Poëtices laudes fertur; quippe quæ viros præclaros donat nominis immortalitate, & labores reddit dulciores.

στροφὴ α'. κώλων θ'.

Ὥρα πότνια, κάρυξ
Ἀφροδίτας ἀμβροσιᾶν φιλοτάτων,
Ἅτε παρθενίοισι καὶ παίδων ἐφίζοι-
σα βλεφάροις, τὸν μὲν, ἀμέροις Ἀνάγκας
Χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέραις.
Ἀγαπατὰ δὲ, καιροῦ μὴ πλαναθέν-
τα πρὸς ἔργον ἕκαστον,
Τῶν ἀρειόνων ἐρώ-
των ἐπικρατεῖν δύνασθαι.

ΜΕΤΑΡΗ.

Pulchritudo veneranda, præco
Veneris immortalium amorum,
Quæ virgineis & puerorum insi-
dens palpebris, aliū quidē mitibus Necessitatis
Manibus gestas, alium vero aliis.
Optabile est autem, ab-opportunitate non a-
tem ad opus quodlibet, [berran-
Præstantioribus amo-
ribus potiri posse.

PARAPHRASIS.

O veneranda florentis ætatis pulchritudo, quæ velut præco aliquis, dulcium instar ambrosiæ amorum Veneris tempus denuntias, quum & puellarum, & adolescentum decoris oculis & faciei insides: alium quidem blandis necessitatis à natura inditæ, scilicet ad honestam & legitimam generis propagationem, blandis, inquam, talis necessitatis manibus gestas, & ad amandum impellis: alium autem aliis utpote violentis, potissimum ad libidinis expletionem trahis. Verum res est optabilis, opportunitatem captando, quæ in omni negotio est observanda, nosse ab indecentibus amoribus abstinere, eosque qui sunt honesti, consequi posse.

NOTÆ.

2 Αμβροσίων hab. Ald quod esse commune pro ἀμβροσιᾶν volunt. Port. in Lex. Pind. & Schmid. Aret. vero Dor. esse pro ἀμβροσιῶν ab ἀμβροσία. Lon. quem plerique Intt. sequuntur, vertit. Dulcium; & monet Homero esse ἀνθηρῶν, Floridarum. Bened. existimat male reddi, ἀθανάτων, ut & θαυμαστῶν à Schol. Prius etiam sentit Schmid. At θαυμαστῶν quidem huic loco optime convenit: & qui Ἀφροδίτας attendit, forte non male vertendum, Immortalium. putabit. 3 Ἐφίζοισα] Lon. Assidens. 4 Ἀμέροις, Schmid. auctore nullo. Phil. reddit, Coactum. Sed Schmid conjecturæ indulgendum censet, quippe cui non liquet, qui ἀνάγκη ad ἀμέρυς χεῖρας congruat. Ideo ἀναγκᾶς leg Adverbialiter, In ulnis.

[Ὥρα πότνια κάρυξ Ἀφροδίτα.] συντάττει τὸ προοίμιον ὁ Πίνδαρος, εἰς τὸ τῆς ὥρας ἄνθος τοῦ νικηφόρου. εἶτα ἐπικωμιαστικῶς, τῶν πατρίων ἐφάπτεται. λέγων τὴν Αἴγιναν δι' ὡραΐσματος ὑπὸ Διὸς ἀνηρπάσθαι. ὁ δὲ νοῦς. ὦ ἀκμὴ ἐντιμοτάτη, ἄγγελε τῶν Ἀφροδισίων, καὶ θαυμαστῶν φιλιῶν, ἥτις, τοῖς τε τῶν παρθένων βλεφάροις, καὶ τοῖς παιδικοῖς ἐπικαθεζομένη, πρᾳέσιν ἔρωσι τὸν τῆς ἀνάγκης χερσὶ βαστάζεις, ἕτερον δὲ φαύλοις πόθοις. πράξεσι δὲ, φησι, τὸν τῆς Ἀνάγκης χερσὶν, ὅτι ἐξ ἀνάγκης ἡμῖν οἱ ἔρωτες παραγίνονται. ἑτέραις δὲ προσδεκτέον χερσὶν. οἷον, τὸν δὲ, μὴ πρᾳείαις, ἀλλὰ σκληραῖς. πρὸς ἀμφότερα δὲ τὰ μέρη τοῖς τῶν παρθένων καὶ παίδων. τουτέστι, τοῖς παιδικοῖς, τὸ, βλεφάροις, ἀκουστέον. ἵν' ᾖ, τὸ τῆς ἑρμηνείας κατάλληλον. [Ἀγαπατὰ δὲ καιροῦ.] ἀγαπητὸν δέ ἐστι καὶ εὔτακτον, τῆς εὐκαιρίας καὶ τοῦ δέοντος καιροῦ μὴ ἀποσφαλέντα, πρὸς ἕκαστον ἔργον τῶν βελτιόνων ἐρώτων, ἐπιθυμεῖν δύνασθαι, καὶ ἐπικρατεῖν, τῶν δὲ φαύλων ἀπέχεσθαι. τοιούτων οὖν ἐρώτων ἐπικρατεῖν δύνασθαί, φησι, καλόν ἐστιν· οἷοι ἦσαν ἐπὶ Διός τε, καὶ Αἰγίνης. ἔστι δὲ καὶ θαυμαστικῶς ἐκλαβεῖν τὸ, οἷοι. ὁποῖοι ἀγαθοὶ ἔρωτες. πιθανῶς δὲ ποιμένας δώρων Ἀφροδίτης τοὺς ἔρωτάς φησιν. ὡς γὰρ ὁ ποιμὴν νέμει τὴν ἀγέλην, οὕτω καὶ ὁ ἔρως τὰς συνουσίας. οἱ οὖν Διὸς Αἰγίνης, περιεπόλησαν ἔρωτες τὸ λέκτρον. ὁ γὰρ Ζεὺς, οὐ μόνον δι' ἐπιθυμίαν ἐμίγη τῇ Αἰγίνῃ, ἀλλ' ἵνα καὶ σπερμήνῃ τοὺς ἀρίστους ἐξ αὐτῆς, Αἰακὸν, Πηλέα, Ἀχιλλέα, Νεοπτόλεμον. οὗτοι οὖν οἱ ἔρωτες ἄριστοι, οἱ μὴ μόνον ὀρεγόμενοι τῆς ἀπολαύσεως καὶ τῆς ὥρας αὐτῆς, ἀλλ' ἀποτελεσμάτων ἀξιολόγων, καὶ ἔργων ἐπιφανῶν τελεσιουργοί.

[Ἔβλαστε

ἀντιστροφὴ α'. κώλων θ'.

Οἷοι ϗ Διὸς Αἰγί-
νας τε λέκτρον ποιμένες ἀμφεπόλησαν
Κυπρίας δώρων· ἔβλασεν δ' ὑιὸς, Οἰνώ-
νας βασιλεὺς, χειρὶ ϗ βουλαῖς ἄριστος.
Πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν.
Αβοατὶ γὰρ ἡρώων ἄωτοι
Περιναιετάοντων
Ηθελον κείνου γε πεί-
θεσθ' ἂν ἀξίαις ἑκόντες,

Μεταφρ.

Quales etiam Jovis Ægi-
næque lectum custodes circumierunt
Cypriæ donorum: effloruit autẽ filius, OEno-
næ rex, manu & consiliis præstantissimus.
Sæpe eum multi præcabantur videre.
Sine-pugna enim Heroum flores
Circumhabitantium
Volebant illius pa-
rere majestati voluntarii,

ἐπῳδὸς α'. κώλων ια'.

Οἵ τε κρανααῖς ἐν Αθά-
ναισιν ἅρμοζον στρατὸν,
Οἵ τ' ἀνὰ Σπάρταν Πελοπηϊάδαι.
Ικέτας Αἰακοῦ σεμνῶν γουνά-
των, πόλιός θ' ὑπὲρ φίλας,

Μεταφρ.

Cum qui asperis in Athe-
nis gubernabant populum,
Tum qui in Sparta *erant* Pelopeiadæ.
Supplex Æaci veneranda genu-
a, cum urbe pro chara,

PARAPHRASIS.

Quales utique fuerunt illi qui Jovem ad Æginæ complexus impulerunt: siquidem illum cum ea copularunt, non tam ut pulchritudinis ejus florem decerperet, quam ut ex ea prolem, quod Veneris est donum, susciperet. Itaque cum ætatis opportuno tempore amores istiusmodi lectum illorum circumvolitarent, satus est & natus filius Æacus, OEnonæ insulæ alias Æginæ rex, fortitudine & prudentia præstantissimus: quem ob nominis claritudinem videre plerique multum optabant. Etenim lectissimi heroës ejus vicini, quum Græcia siccitate laboraret, & ab oraculo Æacus dictus esset omnium hominum dignissimus qui Jovem patrem exoraret, ejus mandatis citra repugnantiam obtemperare, ultro parati fuerunt, tum qui asperarum Athenarum populum regebant, & remp. administrabant: tum Pelopidæ qui Spartam gubernabant. Ut autem illi pro universæ Græciæ salute obtinenda supplices venerunt: sic ego nunc ad veneranda ejusdem Æaci genua procumbo suppliciter orans, ut & suæ urbi dilectæ Æginæ,

NOTÆ.

11 Αμφεπόλησαν] Versati sunt. Vulg. 12 Εβλασεν] Lon. Schol. secutus. Visus est. Rectius Vulgata, Germen emisit: Phil. & Aret Natus est quasi ex germine Υἱὸς, Οἰνώνας] Alii referunt Οἰνώνας ad ὑιὸς, & puncto distingunt post Οἰνώνας. 20 Αρμοζον στρατὸν] Conscribebant exercitum, Lon. Schmid. interpret. de Theseo, quia hæc illius tempore acciderunt. Ille enim 12. πόλεις Atticæ in unum locum coëgit; & in Rep. Attica Democratiam instituit, in qua populus summam rerum in sua potestate haberet; ipse vero tantum belli Dux atque Legum custos esset. Distinxit etiam populum in tres ordines, Εὐπατρίδας seu Patricios, Γεωμόρους seu Agricolas, & Δημιουργοὺς seu Opifices. Inter quos etsi principem locum obtinerent Patricii, ut quibus rerum divinarum cognitio esset attributa, & ex quibus magistratus crearentur, tamen eos cum reliquis civibus, ὥσπερ εἰς ἴσον κατέστησε. quippe quantum οἱ Εὐπατρίδαι δόξῃ cæteris præibant, tantum οἱ Γεωμόροι χρείᾳ & usu, & Δημιουργοὶ πλήθει. Hæc vero est ἅρμοσις Populi Atheniensis. Neque obstat quod Pluraliter effertur. οἵ τε. quo minus de Theseo accipiatur, quum Pindarus similibus locutionibus passim utatur. 21 Πελοπηϊάδαι hab. Edd sed conjecturam illius qui adornavit Ed. Brub admisimus metri gratia. Ικέτας pro ἱκέται. Phil. & Lon. accipiunt in Acc. Plur. & ita ordinant ac distinguunt, οἵ τ' ἀνὰ Σπάρταν Πελοπηϊάδαι ἱκέτας Αἰακοῦ σεμνῶν γουνάτων [repetentes ἀπὸ κοινοῦ τὸ ἅρμοζον] πόλιός θ' ὑπὲρ φίλας ἀστῶν θ'. Υπὲρ τῶν δ' ἄπλοιμαι φέρων κ. λ. & Lon. reddit, Quique cum Spartanis Peloponnesii, supplices Æaci genubus armabant, pro chara tum urbe, tum civibus. Quos nunc celebro ferens &c. Phil. vero, Quique per Spartam Pelopidæ, supplices ordinabant ad genua Æaci, pro Urbe & civibus. Propter hæc gero &c. Γονάτων Comm. leg Schmid.

[Εβλαστε δ' ὑιὸς Οἰνώνας.] τὸ, ἔβλαστεν, ἀντὶ τοῦ, ὤφθη, φησίν. ἀπὸ δὲ τῆς νήσου, καὶ τὴν ἡρωΐδα ὠνόμασεν. ὑιὸς γὰρ τῆς Οἰνώνης, τῆς Αἰγίνης, ὁ Αἰακός. [Χειρὶ, ϗ βουλαῖς, ἄριστος βασιλεύς.] τουτέστιν, ἀνδρείᾳ καὶ φρονήσει. Ομηρος· Αμφότερον· βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής. [Πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν.] πλεῖστοι δὲ, φησι, πολλοὶ ἠξίουν θεάσασθαι τὸν Αἰακὸν, περιεχόμενοι τῇ τοῦ ἀνδρὸς εὐδοξίᾳ. καὶ γὰρ τὰ ἀναθήματα τῶν ἡρώων, οὐχ οἱ τυχόντες, ἀλλ' οἱ ἄκροι τῶν περιοικούντων, ἀμαχητὶ πείθεσθαι αὐτῷ ἤθελον, καὶ χωρὶς τῆς κρατηθῆναι μάχῃ. οὕτω διέπρεπε, φησὶν, ὥς τε τοὺς περιοικοῦντας, ἑκουσίως πείθεσθαι ταῖς ἀξίαις. τουτέστι, ταῖς ἀρχαῖς καὶ ταῖς βασιλείαις αὐτοῦ. [Οἵ τε κρανααῖς ἐν Αθάναισιν, ἅρμοζον στρατόν.] οἵ τινές, φησι, διῴκουν τὰς Αθήνας, ἢ εἰς συμφωνίαν ἦγον τὸ πλῆθος. ταῦτα δὲ ἀνάγεται εἰς ἐκεῖνα. ὅτι † ἀχμὸς κατεῖχε τὴν Ελλάδα, καὶ δεξαμένου τοῦ Αἰακοῦ ὄμβρος ἐγεγόνει. ὁ δὲ νοῦς. καὶ οἱ ἐν ταῖς τραχείαις Αθήναις, ἥρμοζον καὶ παρεσκεύαζον. καὶ ἤτοι συμμαχοῦντες αὐτῷ παρεῖχον δύναμιν, ἢ ὑπὸ τῆς αὐτοῦ ἀρχῆς ὄντες, ὁμοίως παρεσκεύαζον αὐτῷ ἀπὸ κοινοῦ, καὶ οἱ Πελοποννήσιοι, καὶ οἱ Λακεδαιμόνιοι.

† Leg. αὐχμός.

[Υπὲρ

Αστῶν θ' ὑπὲρ τῶνδ', ἅπτομαι, φέρων
Λυδίαν μίτραν καναχηδὰ πεποι-
κιλμέναν, Δεινία διοσῶν σταδίων,
Καὶ πατρὸς Μέγα Νεμέαιον ἄγαλμα.
Σὺν Θεῷ γάρ τοι φυτευθεὶς
Ολβος, ἀνθρώποισι παρμονώτερος.

Tum civibus pro hisce, attingo, afferens
Lydiam mitram sonore varia-
tam, Diniæ duplicium stadiorum,
Et patris Megæ Nemeum ornamentum.
Cum Deo namque plantata
Felicitas, hominibus durabilior *est*.

στροφὴ ϛ'. κώλων θ'.

Οσπερ καὶ Κινύραν ἔ-
βρισε πλούτῳ ποντίᾳ ἔν ποτε Κύπρῳ.
Ισταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων
Τε πρίν τι φάμεν. Πολλὰ γὰρ πολλᾷ λέλε-
κται. Νεαρὰ δὲ ἐξευρόντα δόμεναι
Βασάνῳ ἐς ἔλεγχον, ἅπας κίνδυ-
νος· ὄψον φθονεροῖσιν.

ΜΕΤΑΡΗ.

Quæ *felicitas cum Deo* etiam Cinyram au-
xit divitiis marina olim in Cypro.
Consisto sane pedibus celeribus, respiransque
Antequã aliquid dicã. Nam multa multis dicta
Sunt. Nova vero comminiscentem dare
Examini ad explorationem, totum pe-
riculum *est* obsonium invidis.

PARAPHRASIS.

hisque duobus civibus faveat, Dinidi nimirum, ejusque patri Megæ. Quod equidem eadem opera facio, dum illis pro victoria gemina, quarum alter alteram diversis temporibus Nemeæi stadii cursu reportavit, hymnum affero Lydia harmonia contextum, eumque varium ac sonorum; quo tanquam pretioso diademate redimiantur, & tanquam statuæ monumento decorentur. Illo autem apud Jovem intercessore ut illi, uti volo, quo fœlicitatem ipsis obtineat. Nam quæ fœlicitas à Deo plantatur, durabilior esse solet. Quæ fœlicitas à Deo concessa Cinyram Cypri insulæ in sinu Issico regem durabilibus divitiis cumulatissime auxit. Cujus historiæ narrationem, ego qui alioqui sum velocibus ad currendum pedibus, hoc est, ad dicendum promptus, hic præcido: & priusquam aliquid præterea dicam, paulum respiro, ut consilium capiam. Etenim multi multa de ipso hactenus dixerunt: quæ nota cum sint, tædiose repeterem. At quæ publice non innotuerunt, veluti incestum quem cum Myrrha filia commisit, commemorare, non est consultum. Nova autem aliisque non nota comminisci & examini subjicere, ut accurate & plane explorentur, omnino periculosum est: daturque invidis materia calumniæ, qua tanquam telo feriant.

NOTÆ.

26 Δείνιδος hab. Edd. Δεινία pro Δεινίε tamen Schol. Vide Not. ad Inscriptionem. 27 Μέγαν leg. Schmid. Νέμεον Alii. Nos sequimur lect. ad marg. Ed. Brub. 30 Ωσπερ Ald. 32 Αμπνέων γε leg. Schmid. in hoc κώλῳ & explicat. Ulterius de Cinyra nihil addens. 33 Πολλὰ γὰρ πολλοῖν λέλεκται legit Schmid. in hoc κώλῳ, vertitque, Multa à multis dicta sunt. Ei subscribit Paraphrastes. Nos ἔλλειψιν esse τῆ κατὰ arbitramur. 34 Δ' leg. Alii. Εξευρόντα σαφῆ δόμεναι Schmid. & vocem σαφῆ inseruit etiam Bened. Sed nullus hiatus cernitur, quo hæc vox pertinet. Ita & πᾶς γε κίνδυνος paulo post iidem legunt. 36 Οψον δὲ λόγοι hab. Edd. pleræque ut & Schol. Item φθονεροῖς.

[Υπὲρ τῶνδε ἅπτομαι φέρων Λυδίαν μίτραν.] ἀλληγορικῶς τὸν ποικίλον ὕμνον, οὕτω φησίν. ὅτι ἐντεχνεῖς οἱ Λυδοὶ περὶ τὴν μουσικήν. τὸ γὰρ Λύδιον μέλος, ποικίλον. [Αλλως.] οὕτως εἶπε τὸ ποίημα αὐτοῦ, ὡς Λυδίῳ ἁρμονίᾳ γεγραμμένον. [Δείνιδος διοσῶν σταδίων καὶ πατρός.] τοῦ Δείνιος, ἤτοι τοῦ Δεινίου. Μέγας ὁ τοῦ Δεινίου πατήρ, φησί. διοσῶν δὲ σταδίων, ὅτι διαυλοδρόμος. [Νέμεον] δὲ ἄγαλμα, τὸ γεγραμμένον εἰς Νεμεακὴν νίκην ποίημα. [Σὺν θεῷ γὰρ φυτευθεὶς ὄλβος ἀνθρώποισι, παρμονώτερος.] ὁ γὰρ γνώμη θεοῦ, φησιν, ὄλβος τοῖς ἀνθρώποις ἐμφυτευθεὶς καὶ δοθεὶς, μονιμώτερός ἐστιν. ὅστις ὄλβος, ἐπλούτισε καὶ εὐδαίμονα πεποίηκε τῷ πλούτῳ τὸν Κινύραν ἐν Κύπρῳ τῇ νήσῳ. τούτου καὶ Ομηρος μνημονεύει Τὸν ποτέ οἱ Κινύρας δῶκε ξεινήιον εἶναι. [Ισαμαι δὴ ποσὶ κούφοις.] ἐπειδὴ τὸ Κινύρου ἐν ὑποδείγματι τὸν διὰ θεὸν τὸν πλοῦτον ὀνησιφόρον ποιουμένων, ἐπιλαμβάνεται ἑαυτοῦ ὁ Πίνδαρος. ἵνα μὴ παρεκβῇ, πλείονα εἰς τὸν περὶ Κινύρα λόγον μεταφέρων ἀπὸ τῶν πεντάθλων, φησὶν, ἵσαμαι πρὶν παλαῖσαι, εἰ τύχοι, τὸ πνεῦμα συλλεγόμενος. [Αλλως.] ἀντὶ τοῦ, παύομαι. πάλιν δὲ ἐπιχειρεῖν τοῖς τῶν Αἰγινητῶν πατρίοις μέλλων, καὶ ἀγῶνα τὴν ἐπιχείρησιν γινώσκων, ἀναπνεῖν βούλεται. καὶ ὥσπερ ἐκ διαλείμματος, πάλιν ἀγωνίζεται. ὃν τρόπον οἱ τὰ πένταθλα καρτεροῦντες, καὶ κατορθοῦντες. [Αλλως.] οἱ μεγάλα φωνεῖν θέλοντες, οἷον τραγῳδοὶ, προαναπνέουσιν ἐπὶ πολύ. ἵν' ὅταν ἀναφωνήσωσιν, ἐξαρκέσῃ ἐπιπλέον ἡ φωνή. πολλαὶ οὖν, φησὶ, περὶ τοῦ Κινύρου καταβέβληνται ἱστορίαι καὶ διάφοροι. διὸ ἀναπνέω πρὶν εἰπεῖν. πολλὰ γάρ μοι περὶ τῶν Αἰακιδῶν λέγεται ἡ πολλή μοι ἐστὶ μελέτη καὶ φροντὶς ὑπὲρ τῶν εἰς Αἰακίδας ἐγκωμίων. [Νεαρὰ δ' ἐξευρόντα δόμεναι βασάνῳ εἰς ἔλεγχον.] ἐμὲ δὲ νῦν, φησὶ, † κοινολογῆσαι περὶ τοῦ Κινύρου. παρώσαντα τὰ κοινῶς ἱστορούμενα, κινδυνῶδές ἐστιν. ἐὰν γάρ τι καινουργῶ, ἀπιστηθήσομαι. ἢ οὕτω. νεώτερα δὲ ἐγκώμια ἐξευρόντα καὶ ἐπινοήσαντα, τῇ τῶν ἀκροατῶν κρίσει δοῦναι πρὸς διάκρισιν καὶ δοκιμασίαν, ἐπικίνδυνον. βασάνῳ δὲ, ἤτοι διαβολῇ, κρίσει. βασανίζοντες γὰρ οἱ ἀκροαταὶ τὰ λεγόμενα, κρίσιν διδόασιν. [Οψον δὲ λόγοι φθονεροῖσι.] τοῦτο πρὸς τοὺς ἀντιτέχνους. τοῖς φθονεροῖς οἱ λόγοι εἰς διαβολὴν τῶν κατηγορουμένων, ὄψον εἰσίν· ἤτοι προσόψημα. τουτέστιν, οὐχ ἑτέρῳ χρῶνται προσοψήματι οἱ φθονεροὶ, ἢ τοῖς εἰς διαβολὴν λόγοις.

† Lege, καινολογῆσαι.

[Απτεται

Ἅπτεται δ' ἐσλῶν αἰεί,
Χειρόνεσσι δ' οὐκ ἐρίζει.

Attingit vero bonos semper *periculum ex In-*
Cum-deterioribus vero non contendit. [*vidia,*

ἀντιστροφὴ β'. κῶλων θ'.

Κεῖνος καὶ Τελαμῶνος
Δάψεν υἱόν, φασγάνῳ ἀμφικυλίσαις.
Ἦ τιν' ἄγλωσσον μέν, ἦτορ δ' ἄλκιμον, λά-
θα κατέχει λυγρῷ νείκει· μέγιστον
Δ' αἰόλῳ ψεύδει γέρας ἀντέταται.
Κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ
Δαναοὶ θεράπευσαν.
Χρυσέων δ' Αἴας στερη-
θεὶς ὅπλων, φόνῳ πάλαισεν.

METAPH.

Illud *periculum* & Telamonis
Absumpsit filium, gladio circumvolvens.
Sane aliquẽ lingua-carentẽ quidẽ, at corde stre-
livio detinet molesta rixa: maximũ [nuũ ob-
Vero multiplici mendacio præmiũ obtentũ-est.
Clancularis enim in suffragiis Ulyssem
Danai demulserunt:
Aureis vero Ajax defrau-
datus armis, *cum* cæde luctatus-est.

ἐπῳδὸς β'. κῶλων ια'.

Ἦ μὰν ἀνόμοιά γε δαΐ-
οισιν ἐν θερμῷ χροΐ
Ἕλκεα ῥῆξαν, πολεμιζόμενοι

METAPH.

Certe dissimilia *Ulysses & Ajax* ho-
stibus in calido corpore
Vulnera inflixerunt, militantes

PARAPHRASIS.

Invidia autem solummodo bonos & fortunatos petit, cum deterioribus & infælicioribus non contendit. Illa utique præstantissimum Ajacem Telamonis filium absumpsit, & injuriæ impatientem eo adegit, ut proprio gladio incubuerit, seseque confoderit. Ipsum sane quia lingua diserta non fuit, ad causam arte dicendam, magno animo ad pugnam fortiter obeundam præditum Græci non meminerunt, in molesta illa contentione pro Achillis armis: quin illi præmium hoc dederunt maximum, qui fortitudine non pollebat, sed callidis mendaciis veritati similibus variegatam orationem habuerat. Etenim versipellis Ulyssis eloquentia demulsi, suffragia clanculum ferri solita ejus in gratiam Danai tulerunt, eumque bellatorem ignavum, proindeque non meritum, Ajaci fortissimo viro prætulerunt, unde meritissimo armorum Achillis præmio privatus, seipsum interfecit, postquam furori, morte avertendam istam ignominiam suadenti, diu restitisset. Porro Ajacem præstantiorem Ulysse bellatorem fuisse,

NOTÆ.

40 Δάψεν] Lon. Devoravit. Phil. Absumpsit. 42 Λάθρα Ald. quod Phil. Dolo, reddere videtur. Λυγρῷ ἐν νίκει vult legi Schmid. Νίκει, Alii.

[Ἅπτεται δ' ἐσλῶν αἰεί.] ἀπὸ τῶν φθονουμένων ἐπὶ τὸν φθόνον μετήγαγε τὸν λόγον. οὐ τῶν τυχόντων, φησίν, ἅπτεται ὁ φθόνος, ἀλλὰ τῶν μειζόνων. οὐδεὶς γὰρ Θερσίτῃ φθονεῖ, ἀλλ' Ἀγαμέμνονι. χείρoσιν οὖν οὐκ ἐρίζει. ὁ γὰρ φθόνος εἰς κάλα βαίνει. τὸ [Ἀμφικυλίσαις φασγάνῳ] ἀντὶ τοῦ, ξίφει περικυλίσας. τοῦτο δὲ ἐκ τοῦ συμβεβηκότος ἀπὸ τῆς καταπλάσεως τῆς κατὰ ἀναίρεσιν φησίν. [Ἦ τιν' ἄγλωσσον μέν.] ἄγλωσσον δή τινα καὶ ἄλλον. [Ἦτορ δὲ ἄλκιμον] καὶ ἀνδρεῖον, ἐν λυγρῷ γήρει κατέχει λήθη καὶ θάνατος. τουτέστι, καὶ ἕτερός τις τῶν ὀλιγωτέρων φθονηθεὶς, ἀδίκως ἐτελεύτησεν. ἐν οἷς καὶ ὁ Αἴας. [Ἄλλως.] τοῦτο ὡς πρὸς τὸν Αἴαντα. θέλει δὲ εἰπεῖν, ὅτι φιλονεικίας οὔσης καὶ ἔριδος, τὸν ἀνδρεῖον τὸ σῶμα, ἀσθενῆ δὲ τὴν ὑπόκρισιν, λήθη κατέσχεν. ὁ δὲ νοῦς. ναὶ δή, τὸν μὴ τῷ λόγῳ μὲν ἱκανόν· ἀνδρεῖον δὲ σῶμα μόνον ἔχοντα, μεγάλη λήθη ἐν τῇ πρὸς τοὺς ἐχθροὺς μάχῃ καὶ στάσει κατέχει. καταπαλαίονται γὰρ τῷ λόγῳ καὶ οἱ πάνυ ἀνδρεῖοι, καὶ βαρύστομοι ὑπὸ φρονίμων. τὸν γὰρ ἐν τῷ λέγειν μὴ δεινὸν, μηδὲ σοφιστὴν τῷ λόγῳ, ὁ τοιοῦτος ὑπερβάλλει. [Αἰόλῳ] δὲ ψεύδει, τῷ ποικίλῳ φησὶ, καὶ πιθανῷ· μέγιστον γάρ ἐστι τῷ ποικίλῳ δόλῳ γέρας, φησὶ· διὰ τὸ τοῦ λόγου πιθανόν. ὅτι ὁ πιθανὸς λόγος, καὶ τὴν ἀλήθειαν οἶδε πολλάκις ὑποκλέπτειν. [Ἄλλως.] μέγιστον νέμεται γέρας τῷ ποικίλῳ ψεύδει. οἱ γὰρ ποικίλως ψευδόμενοι, ἀποδοχῆς τυγχάνουσι παρὰ τοῖς ἀνθρώποις. τούτου δὲ ἀπόδειξιν ἐπιφέρει τὰ ἐφεξῆς. [Κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ.] κρυφίαισιν, ἤτοι ταῖς ἀδίκοις· ἢ ταῖς κρύφα φερομέναις ψήφοις. οὕτω γὰρ φέρονται. Ὀδυσσέα γοῦν βασκήναντα τῷ Αἴαντι, οἱ Ἀχαιοὶ κρυφίας ἐνεγκόντες ψήφους περὶ τῶν Ἀχιλλέως ὅπλων, ἐθεράπευσαν οὐκ ὀρθῶς. ἔδει γὰρ Αἴαντα νικῆσαι. [Ἦ μὰν ἀνόμοιά γε.] οὐχ ὅμοια, φησὶ, τραύματα ἔλαβον, ὅ, τε Αἴας καὶ Ὀδυσσεύς. τουτέστιν, οὐ τὸν αὐτὸν τρόπον, οὐδὲ ἐξίσου τοῖς Τρωσὶν ἐπολέμησαν. ἀλλ' ὁ μὲν Ὀδυσσεὺς, δειλὸς ὤν. ὁ δὲ Αἴας ὠθεῖτο εἰς τοὺς πολεμίους. [Θερμά] δὲ ἕλκη, τὰ φλεγμαίνοντα φησί. [Πολεμιζόμενοι] δὲ ἀντὶ τοῦ πολεμίζοντες ἐνεργητικῶς, καὶ διακονοῦντες. ὁ δὲ Ἀρίσταρχος, οὕτως. ἀνόμοια πλήγματα τοῖς πολεμίοις, ὅ, τε Ὀδυσσεὺς καὶ ὁ Αἴας ὑπὸ ἀλεξιμβρότου λόγχης κινούμενοι. τῇ δὲ Αἴαντος μαρτυρίᾳ, καὶ Ὅμηρος μαρτυρεῖ· Ὅτε μοι πλεῖστα χαλκήρεα δοῦρα Τρῶες ἐπέρριψαν περὶ Πηλείωνι θανόντι.

Υπ' ἀλεξιμβρότῳ λόγχᾳ, τὰ μὲν,
Αμφ' Αχιλλεῖ νεοκτόνῳ,
Αλλων τε μόχθων πολυφθόροισιν ἐν
Αμέραις. Εχθρὰ δ' ἄρα πάρφασις ἦν
Καὶ πάλαι, αἱμύλων μύθων ὁμόφοιτος, δολοφραδὴς, κακοποιὸν ὄνειδος·
Α τὸ μὲν λαμπρὸν, βιᾶται·
Τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν.

Sub homines-defensante vexillo, partim quidē
Circa Achillem recens-interfectum, [bus in
Partim vero & aliorū laborū multos-perdenti-
Diebus. Sed odiosa nimirum versutiloquentia
Etiam olim, blandorum verborum co- [erat
mes, doli-meditatrix, maleficum opprobrium:
Quæ quidē quod splendidū *est*, violenter-depri-
Obscurorū autē gloriā obtendit putridā. [mit:

στροφὴ γ΄. κῶλα θ΄.

Εἴη μή ποτέ μοι τοιοῦτον ἦθος, Ζεῦ πάτερ. Αλλὰ κελεύθοις
Απλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς
Παισὶ κλέος μὴ τὸ δύσφαμον προσάψω·
Χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι
Απέραντον. Εγὼ δ' ἀστοῖς ἁδὼν, καὶ
Χθονὶ γυῖα καλύψαιμ', αἰνέων αἰνητὰ, μομφὰν δ' ἐπισπείρων ἀλιτροῖς.

Μεταφρ.

Sit nunquam mihi talis affectus, ô Jupiter Pater. Sed viis
Simplicibus vitā utinā attingam, defunctus ut
Liberis famam ne ignominiosam affricem.
Aurum optant *alii*, campum vero alii
Immensum. Ego vero civibus placens, etiam
Terra membra utinam-operiam, laudans laudanda, vituperium vero inspergens improbis.

P A R A P H R A S I S.

satis arguunt res ab utroque gestæ, tum quando circum Achillem recens à Paride occisum versabantur, tum per reliquum decennii tempus, quo multi sive telis, sive pestilentia extincti cecidere. Etenim per totum illud tempus Ajax & Ulysses, hastæ mortalium propulsatricis præsidio belligerantes, nec pari fortitudine fuerunt, nec rerum gestarum æquali multitudine claruerunt. Nam plures quam Ulysses & potiores hostes Ajax interemit. Quorum si nulla habita est ratio, suaque eloquentia Ulysses immerito præmium obtinuit, nihil mirum: quandoquidem odiosa viris bonis fallax orationis versutia ab omni ævo semper viguit, atque olim, uti & nunc, impostores blandis verbis fraudem obvelantes, dolosque comminiscentes, damnosi opprobrii authores extiterunt. Et certe illi captiosa loquentia claritudinem insignium virorum violenter opprimunt, & ignobilium gloriam quam præter meritum nacti sunt, sustinent: cum alioqui utpote vana & putrida facile corruitura esset. Faxis Jupiter pater, nunquam istiusmodi sim moribus, ut per invidiam de bonis male, de malis bene loquar, blandam & dolosam orationem commentus. Malim vitæ meæ stadium decurrere simplicibus candoris & sinceritatis viis insistendo, ut illud emensus, famam omni ab infamia liberam liberis meis post mortem relinquam. Alii nummorum numerum innumerum optant, alii arvorum immensum campum. At ego unicum hoc studeo, ut meis civibus placeam usque ad obitum, post quem corpus meum terra tegetur, laude digna laudibus prosequendo, & iniquis vituperium inspergendo.

N O T Æ.

51 Λόγχᾳ] Lancea. Schmidius juxta Soph, OEd. Col. Vexillum interpretatur, & ἀλεξιμβρότῳ, Homines juvante, seu ut Phil. Defensiva. Αλέγειν enim est Curare. Sed & ἀλέξειν est Propulso. Unde Vulg. Mortalium-propulsatrice, & Lon. Mortalibus-perniciosa. 52 Schmid. & Bened. Αχιλεῖ 54 Εχθρὰ] Lon. Deceptio fuit apud priscos invisa. 58 Αφάντων κ. λ.] Phil. Ignobiles levius curat. 62 Κλέα Ald. Vulg. reddit, Decus non ignominiam.

[Εχθρὰ δ' ἄρα πάρφασις ἦν.] πάρφασις, παραλογισμὸς, καὶ παράπεισις· ἡ ἀπάτη. ἐν ἔθει δὲ πρόσηκται τὸν λόγον. ἄρα φησὶ, καὶ τότε ἦν ἡ ἐχθρὰ ἀπάτη, ἡ ἀπατητικῶν λόγων σύμφυτος, καὶ δολοφραδὴς, καὶ ὄνειδος οὖσα κακοποιόν. [Αλλως.] ταῦτα φησὶ δυσαναχετῶν, ὅτι τὸ ἀδίκως ἀναιρεθῆναι τὸν Αἴαντα, διὰ τὰ ψεύδη τοῦ Οδυσσέως. διὸ καὶ φησίν. ἦν ἄρα τις καὶ παρὰ τοῖς ἥρωσιν ἀπάτη· οὐ μόνον παρ' ἡμῖν. [Τῶν δὲ ἀφάντων, κῦδος συντείνει σαθρόν.] ἀφάντων, ἀντὶ τοῦ ἀφανῶν. ἀτελῶν. τὸ δὲ [Αντείνει,] ἀντὶ τοῦ ἀνατείνει, ἐπαίρει. σαθρὸν πρὸς ὀλίγον. ὁ δὲ νοῦς. τῶν δὲ ἀδόξων τὸ κῦδος, μεγαλύνει καὶ ὑψοῖ σαθρὸν αὐτῶν τὸ κλέος. οἰκόβιος γὰρ ἡ τῶν ἀδίκων δόξα καὶ εὐκαταπαυστος. [Εἴη μή ποτέ μοι τοιοῦτον ἦθος, Ζεῦ πάτερ.] ὦ Ζεῦ, μὴ γένοιτό μοι τὸ ἦθος τοιοῦτον. ἀλλὰ τὰς τοῦ βίου μοι κελεύθους καὶ ὁδοὺς ἀπλανεῖς φύλαξον. τουτέστιν, ἁπλᾶς καὶ ἀκακοήθεις ἀνύοιμι. ὅπως μὴ τελευτήσας τοῖς παισί μου κακὴν καταλείψω φήμην. τουτέστιν, ἵνα μὴ δυσφημηθῶσιν οἱ ἐμοὶ παῖδες, ἄδικά μου προσάψαντος. [Χρυσὸν δ' εὔχονται, πεδίον δ' ἕτεροι ἀπέραντον.] ἕτεροι μὲν οὖν, χρυσὸν πολὺν εὔχονται, κτήσασθαι δηλονότι· ἄλλοι δὲ, γῆν πολλὴν πρὸς γεωργίαν. ἐγὼ δὲ εὔχομαι τοῖς πολίταις ἀρέσαι, καὶ τεθνάναι, ἐπαινῶν μὲν τὰ ἄξια τοῦ ἐπαινεῖσθαι· ψόγον δὲ καὶ μέμψιν τοῖς ἀδίκοις ἐμβάλλων.

[Αὔξεται

ἀντιστροφὴ γ'. κώλων δ'.

Αὔξονται δ' ἀρεταὶ χλω-
ραῖς ἐέρσαις, ὡς ὅτε δένδρεον ἀΐσ-
σει, σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις
Τε, πρὸς ὑγρὸν αἰθέρα. Χρεῖαι δὲ παντοῖ-
αι φίλων ἀνδρῶν· τὰ μὲν ἀμφὶ πόνοις
Ὑπερώτατα. Μαστεύει δὲ καὶ τέρ-
ψις ἐν ὄμμασι θέσθαι
Πίστιν. Ω Μέγα, τὸ δ' αὖ-
τις τεὰν ψυχὰν κομίξαι,

ἐπῳδὸς γ'. κώλων ιά.

Οὔ μοι δυνατόν. Κενεᾶν
Δ' ἐλπίδων χαῦνον τέλος.
Σοῦ δὲ πάτρα, Χαριάδαις τε λάβρον
Ὑπερεῖσαι λίθον Μοισαῖον, ἕ-
κατι ποδῶν εὐωνύμων,
Δὶς δὴ δυοῖν. Χαίρω δὲ, πρόσφορον

Μεταφ.

Crescunt autem Virtutes viridan-
tibus roribus, veluti cum arbor celeriter surgit; inter sapientes virorum exaltatæ justosque, ad liquidũ æthere. Negocia autẽ omnigena amicorũ virorũ: ea quidẽ *quæ* circa labores
Suprema *sunt*. Quærit autem etiã oble-
ctatio ante oculos ponere *suos*
Fidem. O Mega, sed rur-
sus tuam animam *ab inferis* reducere,

Μεταφ.

Non *est* mihi possibile. Vanæ
Autem spei inanis *est* exitus.
Tuæ autem tribui *possibile est* Chariadisq; ingentem
Suffulcire lapidem Musæum, ob
Pedum-victorias illustres
Bis sane duas. Gaudeo autem accommodam

Paraphrasis.

Unde præclaris in viris virtutis studium promoveam. Quemadmodum enim arbor ad liquidum aërem celeriter surgit & attollitur, quum crebro rore, unde plantæ solent virescere, irrigatur: sic virtutes inter sapientes justosque viros exaltatæ, velutque laudum humore perfusæ incrementum capiunt. Variis autem in rebus amicis viris uti solemus: qui tum quidem summum & excellentissimum sui usum præstant, quum laboribus exhaustis rem bene gestam carmine celebrant. Cupiunt autem ad capiendam ex celebratione oblectationem, celebrandam personam ob oculos ponere, ut fidem dictis faciant. Sed te, ô Mega, ad superos ab inferis revocare ego non possum, ut te videam coram. Quod si me facere posse sperarem, toto cœlo errarem: siquidem vanæ spes futilem exitum sortiuntur. At possum tuæ tribui, videlicet Chariadis, ob duas illustres victorias, quarum tu alteram, alteram Dinis reportavit, geminis uterque pedibus stadium decurrendo, carmen Musarum afflatu suggestum dare, quo famam tuæ gentis firmius suffulciam, quam ingens lapis, ædificium. Cæterum juvat me res præclare gestas encomiastico hymno jactare,

Notæ.

68 Hor. *Crescit occulto velut arbor ævo Fama Marcelli.* 70 Σοφοῖς κ. λ.] Vulg. Per justos ritus & sapientes virorum. 71 *Ὑγρὸν αἰθέρα* leg. Schmid.

[Αὔξεται δ' ἀρεταί, χλωραῖς ἐέρσαις.] ἀντὶ τοῦ, ταῖς χλωροποιοῖς δρόσοις. αὗται γὰρ τῶν φυτῶν αὐξητικαί. τὸ δὲ ἑξῆς. αὔξεται δὲ ἀρετὰ, ἐν σοφοῖς τε καὶ δικαίοις τῶν ἀνδρῶν ἀνθεῖσα, ὡς ὅτε δένδρον χλωραῖς ἐέρσαις πρὸς ὑγρὸν αἰθέρα. ὁ δὲ νοῦς. αὔξεται δὲ καὶ ἡ ἀρετὴ τῶν ἀνδρῶν, ὑψωθεῖσα τοῖς σοφοῖς καὶ δικαίοις λόγοις τῶν ποιητῶν. ὥσπερ καὶ φυτὸν ἐπαίρεται πρὸς αἰθέρα, καὶ αὔξεται ταῖς χλωροποιοῖς δρόσοις. ἢ οὕτως. ὥσπερ δένδρον ὕδατι ποτιζόμενον εἰς ὕψος αὔξεται. ἢ οὕτως. ἡ ἀρετὴ τῶν δικαίων ἐπιτυγχάνουσα ὑψοῦται. τὸ δὲ ἑξῆς. ὡς δένδρεον ἀΐσσει πρὸς αἰθέρα ὑγραῖς ἐέρσαις, οὕτω καὶ ἡ ἀρετὴ σοφοῖς ἀνδράσι καὶ δικαίοις αὔξεται ἀερθεῖσα. [Χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν.] καὶ πᾶσαι χρεῖαι τῶν θεοφιλῶν ἀνδρῶν, φησίν, οἱονεὶ καὶ πρᾶξις πᾶσα ἀνδρῶν θεοσφιλῶν καὶ δικαίων, αὐξάνεται τοῖς ὕμνοις. ἐξόχως δὲ τὰ περὶ πόνους κατορθώματα. [Ἄλλως.] κατὰ πολλά τις χρείαν ἔχει, φησὶ, τῶν φίλων ἀνδρῶν. οὐ διὰ παντὸς δὲ τῶν αὐτῶν εἰσιν αἱ χρεῖαι, ἀλλ' ἄλλοτε ἄλλου. πῆ μὲν ἐν τοῖς πόνοις καὶ ἔργοις· πῆ δὲ καὶ τέρπεται ὁρῶν τις τὸν φίλον. νῦν δὲ δηλαδὴ τοῦ Πινδάρου χρεία, ἵνα ὑμνήσῃ τὸν νικηφόρον. [Μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασιν.] ἐπιζητεῖ δὲ καὶ ἡ τῶν ὀμμάτων τέρψις τὸ πιστὸν, ὥστε θέσθαι ἐν ὄμμασι. τουτέστι, θεωρῆσαι. καὶ ἡμεῖς δὲ φιλοῦντες ὑμᾶς κατὰ ἀλήθειαν, θεωροῦντες τερπόμεθα. Εὐριπίδης· Εἰς ὄμματ' οὐ γὰρ φωτὸς βλέπειν γλυκύ. [Ω Μέγα.] ὡς τεθνηκότος τοῦ Μέγα οὕτω φησίν. ἐμοὶ δὲ ἀδύνατον, ὦ Μέγα, τεθνηκότος σου, τὴν ψυχὴν ὑπὸ ὄψιν καὶ πίστιν ἀγαγεῖν. [Κενεᾶν δ' ἐλπίδων χαῦνον τέλος.] τουτέστιν, ἐὰν ἐλπίσω τὰ ἀδύνατα, κενὸς ἔσομαι. ἢ οὕτω. τῶν δὲ ματαίων ἐλπίδων ἀσθενὴς καὶ ἀβέβαιος ἡ ἔκβασις. [Σοῦ δὲ πάτρα Χαριάδαις τε.] Χαριαδῶν φυλὴ, ἀφ' ἧς ὁ νικηφόρος. τὸ δὲ ἑξῆς. τῇ δὲ σῇ πατρίδι, καὶ τοῖς Χαριάδαις, ἀναστῆσαι καὶ ὑπερεῖσαι εὔτονον μουσικὴν στήλην βούλομαι, ἕνεκα τῶν δυνατῶν σου ποδῶν, καὶ νικηφόρων. δρόμῳ γὰρ ἐνίκησαν. ὁ δὲ νοῦς ὅλος. τὸ μὲν ἀναστῆσαι τὸν τεθνεῶτα, φησὶν, ἀδύνατόν μοι ἐστί. τῇ δὲ πατρίδι καὶ τῇ φυλῇ ἥ ἐστι Χαριάδαι, ὑπερεῖσαι λίθον Μουσαῖον, τουτέστι στήλην ἀπὸ Μουσῶν, ἤγουν τὸν ὕμνον, δυνατός εἰμι, ἐφ' οὗ ἠνδρασμένοι ἔσονται ἔνδοξοι. [Λάβρον] δὲ τὸν λίθον τῶν Μουσῶν ἀλληγορικῶς, τὴν ἀπὸ τῶν λόγων εὔτονον στήλην φησί. λάβρον δὲ διὰ τὸ ῥεύματι χρῆσθαι τοὺς ποιητάς. [Χαίρω δὲ πρόσφορον.] χαίρω ὅταν ᾖ, φησὶ, τὰ πεπραγμένα πρόσφορα τῷ λόγῳ. χαίρει δὲ περὶ τῶν διὰ τῶν ὕμνων κόμπων. ποιητὴς δέ τις

Ἐν μὲν ἔργῳ κόμπον ἱείς. Ἐπαοι-	Operi jactantiā injiciens. Incantatio-
δαῖς δ' ἀνὴρ νώδυνον καί τις κάματον	nibus autē vir doloris-expertē etiā aliquis laborem
Θῆκεν. Ἦν γε μὰν ἐπικώμιος ὕμνος	Facere-potest. Erat certe laudatorius hymnus
Δὴ πάλαι, καὶ πρὶν γενέσθαι	Utique olim, etiam antequam fieret
Τὰν Ἀδράστου, τάν τε Καδμείων ἔριν.	Adrasti & Cadmæorum bellum.

PARAPHRASIS.

quo, quemadmodum incantationibus morborum dolores sedantur, sic susceptorum laborum molesta gravitas allevatur: quique jam olim in usu fuit, etiam ante bellum illud quod cum Polynice *genero* Adrastus *adversus* Eteoclem, *&* Thebanos Cadmi *gentem, gessit.*

τοῖς ὕμνοις, ἀνώδυνον τίθησι τὸν πόνον τοῦ νικηφόρου. [Ἄλλως.] τῶν ἐπῳδαῖς, φησὶν, ἀνώδυνον τις ἔθηκε τὸν κάματον. ἐδόκουν γὰρ οἱ ἀρχαῖοι, ταῖς ἐπῳδαῖς ἴασιν καὶ θεραπείαν εὑρίσκειν. Ὅμηρος· Ἐπαοιδῇ δ' αἷμα κελαινὸν ἔσχεθον. πρὸς τί δὲ τοῦτο εἶπεν; ὅτι ὡς ἐπαοιδῇ τις χρησάμενος κουφίζει τὸν κάματον, οὕτω καὶ ἐγὼ ὡς ἐπῳδῇ χρησάμενος τῷ ὕμνῳ, κουφίσω τὴν κακοπάθειαν τοῦ ἠθληκότος. [Ἦν γε μὰν ἐπικώμιος ὕμνος δὴ πάλαι.] τουτέστι, τὰ ἐγκώμια ἐγράφετο καὶ πάλαι. πρὶν καὶ τοὺς Ἀργείους ἐπιστρατεῦσαι τῇ Θήβαις. τουτέστι, πρὶν τὰ Νέμεα τεθῆναι, ἦν ἐγκώμια. στρατευσάντων γὰρ τῶν περὶ Ἄδραστον ἐπὶ Θήβας, ὁ Ἀρχέμορος ὑπὸ τοῦ δράκοντος διεφθάρη. οἱ δὲ ἐπ' αὐτῷ τῷ μόρῳ ἄρξαντι τὰ Νέμεα ἔθηκαν.

Τέλος τῆς ὀγδόης τῶν Νεμέων εἰδοῦς.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΟΥ ΑΥΤΟΥ ΕΙΔΟΥΣ.

Ἡ ἐννάτη ᾠδὴ, μονοστροφική ἐστι κατὰ δυωδεκάδας διῃρημένη. Τὸ α', δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ β', τὸ αὐτό. Τὸ γ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ', δακτυλικὸν πενθημιμερές. Τὸ ε', ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς', δακτυλικὸν πενθημιμερές. Τὸ ζ', ἐγκωμιολογικὸν, μετατεθείσης τῆς προτέρας ἐπὶ τὴν ἐσχάτην. Τὸ η', ἰαμβέλεγος. μεταπεθειμένης τῆς τελευταίας ἐπὶ τὴν ἀρχήν. Τὸ ἔννατον, πενθημιμερὲς δακτυλικόν. Τὸ ι', δίμετρον ἰαμβικὸν ἀκατάληκτον. Τὸ ια', τὸ αὐτό. Τὸ ιβ', πενθημιμερὲς ἰαμβικόν.

Περὶ τῆς ἐπιγραφῆς.

Χρομίῳ Αἰτναίῳ.] ὁ Χρόμιος οὗτος φίλος ἦν Ἱέρωνος καταστεθεὶς ὑπ' αὐτοῦ τῆς Αἴτνης ἐπίτροπος. ὅθεν καὶ Αἰτναῖος ἐκηρύχθη. αὗται δὲ αἱ ᾠδαὶ, οὐκέτι Νεμεονίκαις εἰσὶ γεγραμμέναι. διὸ κεχωρισμέναι φέρονται.

Typi vero metrici, hi sunt.

1. - ∪ ∪ - ∪ ∪ - ∪	7. - - ∪ ∪ - ∪ ∪ - - - ∪ ∪
2. - ∪ ∪ - ∪ ∪ - ∪	8. - ∪ - - - ∪ ∪ - ∪ ∪ - -
3. - ∪ - - - ∪ - -	9. - ∪ ∪ - ∪ ∪ -
4. - ∪ ∪ - ∪ ∪ -	10. - - ∪ - - - ∪ -
5. - - ∪ - - - ∪ -	11. - - ∪ - - - ∪ -
6. - ∪ ∪ - ∪ ∪ -	12. - - ∪ - -

ΚΡΟΜΙΩ

ΧΡΟΜΙΩ ΑΙΤΝΑΙΩ, ΑΡΜΑΤΙ.

CHROMIO ÆTNÆO, CURRU.

ΕΙΔΟΣ Θ'. — ODE IX.

ARGUMENTUM.

Celebratur Chromius Ætnæus à Pythiaca victoria, non quidem Delphis, sed Sicyone parta. Quos ludos cum instituerit Adrastus, ad eum, Thebanumque bellum digreditur. Postea laudat Ætnæos cives à victoria contra Phœnices: à fortitudine, sapientia, verecundia: Chromiumque etiam fortissimum dicit, ejusque juvenilis ætatis pudicitiam commendat.

Στροφὴ α'.

Κωμάσομεν παρ' Ἀπόλλω-
νος Σικυωνόθε Μοῖσαι,
Τὰν νεοκτίσταν ἐς Αἴτναν·
Ἔνθ' ἀναπεπταμέναι
Ξείνων νενίκανται θύραι,
Ὄλβιον ἐς Χρομίου
Δῶμ'. Ἀλλ' ἐπέων γλυκὺν ὕμνον πράσσετε.
Τὸ κρατησίππον γὰρ ἐς ἅρμ' ἀναβαίνων,

METAPH.

Festivitatem-hymno-ducemus ab Apolline è-Sicyone *proficiscentes* ô-Musæ,
Recens-conditam in Ætnam:
Ubi apertæ
Ab-hospitibus victæ-sunt fores;
Beatam in Chromii
Domum. At carminũ dulcem hymnum facite.
Equis-vincentem enim in currum ascendens,

PARAPHRASIS.

Instituimus ô Musæ encomiasticum & chorealem hymnum canere, Sicyone, à Pythiis ludis eo in loco Apollini sacris, proficiscentes, & recens conditam ac instauratam Ætnam petentes: ubi patentes omnibus opulentarum divitis Chromii ædium fores, ab hospitibus ita frequentantur, ut ille hospitalitatis studio quasi victus & domitus, ab hospitio neminem rejiciat. Quamobrem, cum hujusmodi laudis argumentum suscipiamus canendum, efficite ut hic noster hymnus carminum dulcedine placeat. Nam Chromius currum quo reliquos superavit, conscendens & agitans,

NOTÆ.

3 Εἰς hab. Codd. nonnulli. 4 Ἀναπεπλαμέναι] Pro ἀναπεπταμέναι. Expansæ, à πετάννυμι. Τὸ ξείνων vero vel Active sumitur, pro Hospitalium, sc. Ætnæorum; vel Passive, ut Vulg. Multitudine hospitum victæ sunt fores. Phil. leg. ἀναπεπλησμέναι, Completæ hospitibus exceptis. Quem seq. Schmid. qui ideo impegit in Canones metricos, quos ipse constituit. Ἀναπεπλαμέναι est Dor. pro ἀναπεπταμέναι, qua ratione antepenult. longa erit, ut recte monet Bened. 5 Νικᾶσθαι ξείνων recte dicitur quoad Syntaxin, pro Vinci ab Hospitibus, seu Cedere hospitibus, ut Lexica docebunt. Translata vero est hæc vox præcipue quidem ab expugnatis Urbibus, ubi Portæ ab inimicis obsessæ νενίκηνται: simili modo & Chromii Portæ; tametsi hæ apertæ sint, non clausæ ut in urbibus obsessis solent; domitæ sunt ab Hospitibus, & in eorum potestatem devenerunt. Verum & urbes non expugnari solent nisi à copiis extraneis longe superioribus numero, militibus præsidiariis; & si talis sit Metaphora, duriuscula sane & Dithyrambica videri debet. Ita vero ordinat Ben. ad vitandum illud ὑπάλληλον ad ἐς Αἴτναν præcedens, ἵνθα, τυτέστιν ἐν τῇ Αἴτνῃ, θύραι ἀναπεπλαμέναι εἰς δῶμα Χρομίου, ὑπὸ ξείνων νενίκανται. 7 Πράσσετε] Exigite, à me Poëta scil. vel χορευταῖς, Phil. Sicut alias hoc verbum sonat.

[Κωμάσομεν παρ' Ἀπόλλωνος.] ἀπὸ τοῦ χοροῦ ὁ λόγος. ἔνιοι δὲ, κωμάσομεν, εἰς τὴν Αἴτνην φασίν. [Σικυωνόθεν Μοῖσαι.] περὶ τῶν ἐν Σικυῶνι Πυθίων ὁ Ἀλικαρνασεὺς οὕτω γράφει. φησὶ δὲ ἐν τῷ πολέμῳ τῶν Κεισαίων κατὰ θάλασσαν ῥᾳδίως τὰ ἐπιτήδεια πορίζομένων. καὶ διὰ τοῦτο μακρᾶς γενομένης τῆς πολιορκίας, Κλεισθένην τὸν Σικυώνιον, ναυτικὸν ἰδίᾳ παρασκευάσαντα, κωλῦσαι τὴν σιτοπομπίαν αὐτῶν. καὶ διὰ ταύτην τὴν εὐεργεσίαν, τὸ τρίτον τῶν λαφύρων δοῦναι τῷ Κλεισθένει, καὶ Σικυωνίαν. ἀφ' οὗ καὶ Σικυώνιοι τὰ Πύθια πρῶτον παρ' ἑαυτοῖς ἔθεσαν. [Τὰν νεοκτίσταν.] νεόκτιστον δὲ ταύτην φησὶν, ἐπειδὴ ὁ Ἱέρων, νεωστὶ αὐτὴν ἀνακτίσας, πρότερον Κατάνην καλουμένην. [Ξείνων] δὲ θύραι, αἱ τῆς φιλοξενίας. τὸ δὲ [Νενίκανται.] ἀντὶ τοῦ ἥττηνται. παντὶ οὖν εἴκουσι ξένῳ, καὶ οὐδένα ἀποκλείουσι, νικῶνται τῇ φιλοξενίᾳ τοῦ νικηφόρου· ἢ νίκας ἔχουσιν ἐν οἵῳ τρόπῳ ἐστεφανώθη τόνδε· ἀντὶ τοῦ στέφανον ἔχειν. τὴν δὲ ὅλην Αἴτνην εἰπὼν, ἐπήνεγκε Χρομίου δῶμα. ὥστε ὅμοιον εἶναι τῷ· Ἡ δ' ἐς Κύπρον ἵκανε φιλομειδὴς Ἀφροδίτη Ἐς Πάφον. ὁ δὲ νοῦς οὕτω. χορεύσωμεν, ὦ Μοῦσαι, καὶ ὑμνήσωμεν ἐκ Σικυῶνος ἥκοντες. καὶ παρὰ τοῦ ἐκεῖσε Ἀπόλλωνος, εἰς τὴν καλλίστην Αἴτνην, ἐν ᾗ πᾶσιν ἀνεῳγμέναι θύραι τῆς Χρομίου τῆς οἰκίας, ἥττηνται ὑπὸ τῶν ξένων. ἔνθα πᾶσι ξένοις, ὁ πλούσιος οἶκος ἀνέῳκται, ὑπὸ φιλοξενίας ἡττηθείς. ἄγε δὴ οὖν, ὦ Μοῦσαι, διανύσατε καὶ πράσσετε τοὺς ἡδυτάτους διὰ λόγων ὕμνους. τὸ γὰρ τοὺς λοιποὺς κρατοῦν καὶ νικῶν ἅρμα ἐλαύνων ὁ Χρόμιος, τῇ τε Λατοῖ, καὶ τοῖς δυσὶν αὐτῆς παισὶ τὸ θαυμάζεσθαι δίδωσιν, οὖσιν αὐτοῖς τῆς ὑψηλοτάτης Πυθῶνος, καὶ ὁμοκλήροις καὶ ἴσοις ἐπισκόποις. [Τὸ κρατησίππον γάρ.] κρατησίππον, ἤτοι τὸ συνέχον ἐν τάξει τοὺς ἵππους, ἢ κρατοῦν καὶ νικῶν τοὺς ἐναντίους.

[Est

Ματέρι, καὶ διδύμοις
Παίδεσσιν αὐδὰν μανύει,
Πυθῶνος αἰπεινᾶς ὁμο-
κλάροις ἐπόπταις.

Δυωδεκὰς β'.

Ἔστι δέ τις λόγος ἀνθρώ-
πων, Τετελεσμένον ἐσλὸν
Μὴ χαμαὶ σιγᾷ καλύψαι.
Θεσπεσία δ' ἐπέων
Καύχας ἀοιδὰ προσφορος.
Ἀλλ' ἀνὰ μὲν βρομίαν [μεν
Φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν ὄρσω-
Ἱππείων ἀέθλων κορυφάν, ἅτε Φοίβῳ
Θῆκεν Ἄδραστος ἐπ' Ἀ-
σωποῦ ῥεέθροις. Ὧν ἐγὼ
Μνασθεὶς, ἐπασκήσω κλυταῖς
Ἥρωα τιμαῖς.

Matri *Latonæ* & gemellis
Filiis *ejus* cantum denunciat,
Pythonis excelsæ consor-
tibus Inspectoribus.

ΜΕΤΑΡΗ.

Est vero quoddam dictum homi-
num, Peractum egregium *facinus*
Non humi silentio tegere *oportere*.
Divinus autem carminum
Gloriationi cantus accommodus *est*.
Sed nunc quidem sonoram
Citharā, nunc vero tibiā ad ipsum impellamus
Equestrium certaminū cacumen, quæ Phœbo
Instituit Adrastus ad A-
sopi fluenta. Quorum ego
Mentionem - faciens, exornabo inclytis
Heroëm honoribus.

PARAPHRASIS.

denuntiat & significat Latonæ matri, geminisque ejus filiis, Apollini & Dianæ, qui pari jure & sorte Pythonis sunt præsides, & Pythiorum istorum inspectores & curatores, se carmen adepturum ipsorum in honorem. Merito autem hunc virum encomio prosequi instituimus. Nam vetus vulgatumque est hominum dictum, Non oportere rem ab aliquo præclare & cum virtute gestam, chartis inornatam silere, ita ut ille oblivioni traditus, humi jaceat obscurus, & justa laude frustratus, & ante & post funera inglorius permaneat. Accommodum autem dicendi genus ad gloriosorum facinorum laudationem, illud est quod ex carmine, Musarum divino afflatu composito, constat. Quare sonoram citharam, tibiamque excitabimus ad celebrandam insignem victoriam à Chromio, equestri certamine præstantissimo partam in Pythiis illis, quæ Adrastus in Phœbi Apollinis honorem instituit Sicyone, quam fluvius Asopus præterlabitur. Quorum Pythiorum facta nunc à me mentio, suppeditabit occasionem cohonestandi herois illius merita inclytarum virtutum prædicatione, & referendi,

NOTÆ.

10 Παίδεσσιν] Lon. & Aret. Apollinem & Mercurium intelligunt; quasi Mercurius esset Latonæ filius, non Maiæ. 13 Λόγος] Schmidio Proverbium: Lon. Prudentia, qui exponit, Non cujuslibet est, rem insigniter gestam pro decoro efferre laudibus. Hor. Carm. l. 4. Od. 9. *---Non ego te meis Chartis inornatum silebo Totve tuos patiar labores Impune Lolli carpere lividas Obliviones -.* 17 Καύχαις ex conjectura hab. Bened. h. e. Gloriationibus. Καύχας vero παραφράζει Schmid. Animo bene sibi conscio ob res praeclare gestas, scil. conveniens. Quidni legamus Θεσπεσίᾳ ἀοιδᾷ in Dativ. & πρόσφορος pro προσφερόμενος accipiamus, ut & Ol. 9, 121. πρόσφορος ἐν Μοισᾶν δίφρῳ, quem locum Portus vertit, Vectus in Musarum curru, optime quidem, & Schol. Νεωτ. ἐποχούμενος, ubi tamen vulgatam vers. ut & hoc loco in Metaphrasi exhibuimus. Constructio hujus vocis cum ἐν id fere indicat, ut & alibi apud Pindarum; & hic forsan subintelligendum, ut sit talis connectio præcedentium cum hisce, Non tacite præterire & humi jacere sinere. Ille autem in arduo & divino cantu ἐπέων καύχας, Carminum gloriationis i. e. ἐπινικίων, Vehitur. Ad ἅρμα καὶ δίφρον Μουσῶν sæpe alludit Poëta; & quamobrem illud, nemo nescit. De his judicent Lectores. 18 Βρομίαν] Bacchicam Vulg. ut & Schol. interpret. 19 Ὀρσομεν Schmid.

[Ἔστι δέ τις λόγος ἀνθρώπων, Τετελεσμένον ἐσλὸν μὴ χαμαὶ σιγᾷ καλύψαι.] ἔστι γάρ τις παλαιὰ παραίνεσις καὶ παρὰ ἀνθρώποις ᾀδομένη, ὡς οὐ δεῖ τὸ ὑπό τινος κατεργαζόμενον καλὸν, σιγῇ παραδιδόναι. ὥστε εἰς γῆν καλενεχθῆναι, καὶ ἄδοξον διὰ τῆς σιωπῆς γενέσθαι. τὸ οὖν ἐπιτελεστικὸν ἀγαθὸν, οὐ δεῖ, φησὶ, τῇ σιγῇ παραδιδόναι, οὐδ' ἀνεπισήμαντον ἀφεῖναι. [Θεσπεσία δ' ἐπέων καύχας ἀοιδὰ πρόσφορος.] τοῖς νενικηκόσι, πρόσφορός ἐστι, καὶ ἐοικυῖα, ἡ διὰ τῆς καυχήσεως ᾠδή. τίνες γὰρ ἄλλοι μέλλουσι καυχᾶσθαι, ἢ οἱ νικήσαντες; Ἀττικοὶ δὲ λέγουσι καύχην, τὴν καύχησιν, καὶ ἄνθην τὴν ἄνθησιν, καὶ βλάστην, τὴν βλάστησιν. ἢ οὕτω προσφορωτέρα ἐστὶ τῆς καυχήσεως ἡ τῶν ἐπῶν ᾠδή. ἢ πρόσφορος καὶ ἀγαθή τις, ἡ τῆς τῶν ἐπῶν καυχήσεως ᾠδὴ, ἢ καυχηλικὴ ᾠδή. ὁ δὲ νοῦς. ἀλλ' ὅτι πρόσφορος ἐστι καὶ ἁρμόζουσα τούτοις θαυμαστή τις λόγων ᾠδή. [Ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγα.] ἑαυτῷ παρακελεύεται ὑμνεῖν τὸν νικηφόρον. βρομία δὲ ἡ φόρμιγξ, ἤτοι παρὰ βρόμον, καὶ τὸν ἦχον τὸν τελούμενον κατὰ τὸν κιθαρισμόν· ἢ βρομίαν, τὴν συναναστρεφομένην τῷ Διονύσῳ. Ὅμηρος· Φόρμιγγός θ' ἣν δαιτὶ θεοὶ ποίησαν ἑταίρην. ὁ δὲ νοῦς. διὰ τοῦτο δὴ σὺν πᾶσιν ὀργάνοις μουσικοῖς· τοῦτο μὲν κιθάρᾳ, τοῦτο δὲ αὐλῷ, ὁρμήσωμεν ἐπὶ τὴν κορυφὴν τῶν ἱππικῶν ἄθλων, ἐπὶ τὸ ἐξαίρετον. τουτέστι, τὴν νίκην. [Ἅτε Φοίβῳ θῆκεν Ἄδραστος.] ἅτινα τὰ Πύθια, φησὶ, κατ' αὐτὸν τὸν Πίνδαρον. ἀνατίθησι γὰρ τὴν τῶν Πυθίων θέσιν ἐν Σικυῶνι Ἀδράστῳ, ποιητικὴν ἄγων ἄδειαν. Κλεισθένους αὐτὰ διαθέντος, καθὰ δεδήλωται. ἵνα οὖν ἐνδοξότερον ἀποφήνῃ τὸν ἀγῶνα, ὧν περ, φησὶν, ἄθλων μνημονεύσας ἐγὼ, καὶ τῶν ἐνδόξων μνησθήσομαι τιμῶν, τοῦ ἥρωος Ἀδράστου.

[Os

δυωδεκὰς γ'.

Ος τότε μὲν βασιλεύων
Κεῖθι, νέαισί θ' ἑορταῖς,
Ισχύος τ' ἀνδρῶν ἁμίλλαις,
Αρμασί τε γλαφυροῖς
Αμφαινε κυδαίνων πόλιν.
Φεῦγε γὰρ Αμφιάρη-
όν τε θρασυμήδεα, καὶ δεινὰν στάσιν
Πατρίων οἴκων, ἀπό τ' Αργεος. Αρχοὶ
Δ' οὐκ ἔτ' ἔσαν Ταλαοῦ
Παῖδες, βιασθέντες λύᾳ.
Κρέσσων δὲ καππαύει δίκαν
Τὰν πρόσθεν ἀνήρ.

METAPH.

Qui tunc quidem regnans
Ibi, novisque festis,
Et de-robore virorum certaminibus,
Curribusque politis
Illustrem-reddidit decorans urbem.
Fugiebat enim Amphiara-
umq; audacem-consilio,&gravem seditionē
Paternarum ædium, & ab Argo. Principes
Vero non amplius erant Talai
Filii, violenter oppressi lue *hac*.
Præstantior enim sedat litem
Priorem vir.

PARAPHRASIS.

ut novis celebritatibus, nimirum Pythiis ludis, in quibus viri robore certarent, & equestri certamine in pulchris curribus se exercerent, illustrarit & decorarit Sicyonem urbem, in qua tum regnavit, quum arrepta fuga ab Argivo solo patrio in Achaiam ad Polybum Corinthiorum regem (à quo mascula prole carente accepit filiam in uxorem, & sceptri successionem) concessit, Amphiarao audaci & prudenti viro cedens, & seditionem domesticam vitans, quam excitarat Amphiaraus, ut occiso Talao regnum Argivum occuparet: quod & occupavit, quum seditiones, quibus res maximæ dilabuntur, inter se exercentes illi Talai filii, illisque oppressi, suo principatu exciderunt. Sed ut est præstantioris viri litem ulterius inter contendentes progressuram coërcere & compescere: sic præstantior vir Adrastus, sua prudentia effecit, ut quæ inter se & Amphiaraum intercedebant inimicitiæ, non ulterius progrederentur.

NOTÆ.

27 Αμίλλαις] Lon. & Phil Cœtu. qu. esset ὁμιλίαις. 29 Αμφαινε κυδαίνων] Fulgebat administrans, Lon. 31 Δεινὰν στάσιν] Dirum flatum, Lon. 33 Οὐκ ἔτι] Nondum, Vulg. Neque ultra, Lon. 35 Κρέσσων] Portus. Potentior enim vir sedat jus prius, i.e. justum ac legitimum imperium alteri per vim eripit, quod alter ante obtinebat.

[Ος τότε μὲν βασιλεύων.] ὅστις Αδραστος τὸ τηνικαῦτα λοιπὸν ἐκεῖ βασιλεύων ἐν Σικυῶνι, οὐκέτι ἐν Αργει, παντοίαις ἀρεταῖς. τοῦτο μὲν ἀγωνίσμασιν ἀνδρῶν τοῖς ἐκ δυνάμεως· τοῦτο δὲ φιλοκαλίαις ἁρμάτων γλαφυρῶν καὶ ὡραίων, καὶ καινοτέραις εὐαγχίαις, ἐμφανεστάτην καὶ ἀοίδιμον ἐποίει τὴν πόλιν. καὶ Κλεισθένης μὲν, τὰ ἐν Σικυῶνι Πύθια διέθηκε πρῶτος. ἀνατίθησι δὲ τὸ ὅλον Αδράστῳ καταδοθέντι, ἐπειδὴ καὶ διωρθώσατο αὐτὸς ὕστερον. καὶ ἄλλως, ἐνδοξότερος ὁ ἀνήρ. [Φεῦγε γὰρ Αμφιάρηον.] περὶ τῆς Αδράστου εἰς Σικυῶνα μεταστάσεως, Ηρόδοτος μὲν οὕτω φησίν· Οἱ δὲ Σικυώνιοι εἰώθεσαν κάρτα τιμᾶν τὸν Αδρηστον. ἡ γὰρ χώρη αὕτη, ἦν Πολύβου. ὁ δὲ Αδρηστος ἦν Πολύβου θυγατριδέος. ἄπαις δὲ ὁ Πόλυβος τελευτῶν, διδοῖ Αδρήστῳ τὴν χώρην. Μέναιχμος δὲ ὁ Σικυώνιος, οὕτω γράφει· Χρόνου παρελθόντος πολλοῦ, Πρώναξ μὲν ὁ Ταλαοῦ καὶ Λυσιμάχης τῆς Πολύβου βασιλεύων Αργείων, ἀποθνήσκει καταστασιασθεὶς ὑπὸ Αμφιαράου καὶ τῶν Μελαμποδικῶν, καὶ τῶν Αναξαγοειδῶν. Αδραστος δὲ ὁ ἀδελφὸς τοῦ Πρώνακτος φυγὼν, ἦλθεν εἰς Σικυῶνα. καὶ τὴν Πολύβου μητροπάτορος βασιλείαν λαβὼν, ἐβασίλευσε τῆς Σικυῶνος. καὶ τῆς Ηρας τῆς Αλεξάνδρου καλουμένης, ἱερὸν καθ' ὄναρ ᾤκει τόπον ἱδρύσατο. τὴν δὲ ἐπωνυμίαν ἔλαβε ταύτην τὸ ἱερὸν, διὰ τὸ φεύγοντα τὸν Αδραστον ἱδρύσασθαι. καὶ καλέσαι ἱερὸν Ηρας Αλεξάνδρου. τὸ δὲ φυγεῖν, τινὲς ἀλᾶσθαι ὠνόμαζον. Διευτυχίδας δὲ ἐν τῷ πέμπτῳ τῶν Μεγαρικῶν, τὸ μὲν κενήριον τοῦ Αδράστου ἐν Σικυῶνι φησὶν, ἀποκεῖσθαι δὲ αὐτὸν ἐν Μεγάροις. οἱ δέ φασι, Προῖτος ἐβασίλευσε τοῦ Αργους. τῶν θυγατέρων δὲ αὐτοῦ μανεισῶν, Μελάμπους μάντις ὢν, παρεγένετο. ὁμολογηθέντος δὲ αὐτῷ μισθοῦ τῶν δυεῖν μερῶν τῆς βασιλείας, ἐκάθηρεν αὐτάς. ὡς δὲ ἐκάθηρεν, ἔλαβε κατὰ τὴν ὑπόσχεσιν. καὶ τὸ μὲν ἥμισυ, ἐκοινωνήσατο τῷ ἀδελφῷ Βίαντι· τὸ δὲ ἥμισυ κατεῖχεν αὐτός, ὥστε γενέσθαι τὴν ὅλην βασιλείαν τριμερῆ, Μελαμποδίδας, Βιαντίδας, Προιτίδας. Μελάμποδος μὲν οὖν Αντιφάτης. οὗ Οἰκλῆς· οὗ Αμφιάραος. Βίαντος δὲ Ταλαός· οὗ Αδραστος. Προίτου Μεγαπένθης. οὗ Ιππόνους· οὗ Καπανεύς· οὗ Σθένελος. διαφορὰ δὲ ἐγεννήθη τοῖς περὶ Αμφιάραον, καὶ Αδραστον. ὥστε τὸν μὲν Ταλαὸν ὑπὸ Αμφιαράου ἀποθανεῖν. τὸν δὲ Αδραστον, φυγεῖν εἰς Σικυῶνα, καὶ γῆμαι τὴν Πολύβου θυγατέρα. τελευτήσαντος δὲ τοῦ Πολύβου χωρὶς ἐπιγονῆς ἀρσενικῆς, τὸν Αδραστον ἔχειν τὴν Σικυωνίων βασιλείαν. εὐλόγως οὖν εἶπε, φεῦγε γὰρ Αμφιάρηον Αδρηστος, διὰ τὴν στάσιν τὴν πρὸς τοὺς Μελαμποδίδας. ὕστερον μέντοι συνεληλύθασι πάλιν. ἐφ' ᾧ συνοικήσει τῇ Εριφύλῃ ὁ Αμφιάραος· Ιν' εἴτι μέγ' ἔρισμα μετ' ἀμφοτέροισι γένηται, αὐτὴ διαιτᾷ. ὁ δὲ νοῦς οὕτως. ἔφυγε γὰρ περὶ τοῦτον πολέμιον ὄντα τὸν Αμφιάραον, καὶ τὴν πρὸς αὐτὸν στάσιν δεινὴν οὖσαν ἔφυγε, καὶ ἐκ τῆς πατρῴας ἑστίας, καὶ ἀπὸ Αργους. [Αρχοὶ δ' οὐκέτ' ἔσαν Ταλαοῦ παῖδες.] οὐκέτι δὲ εἰς ἄρχοντας ἠριθμοῦντο ἐν τῷ Αργει οἱ Ταλαοῦ παῖδες· οἱ περὶ Αδραστον βιασθέντες ἐν τῇ στάσει καὶ τῷ πολέμῳ τῷ πρὸς Αμφιάραον. ἔφυγε γὰρ Αδραστος. [Κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ.] ὁ δὲ ἰσχυρὸς ἀνὴρ, τὸ προϋπάρχον δίκαιον καταπαύει. ἐν ἄλλοις ὁ Πίνδαρος. Νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων, ἄγει δικαιῶν τὸ βιαιότατον, ὑπερτάτῳ χειρί. ἢ λεκτέον τοῦτο εἰρῆσθαι, διὰ τὴν ἔχθραν τὴν ἐπὶ τῷ Αδράστῳ. διὸ δὴ καὶ πρότερον ἰσχυθεὶς τότε ὑπὸ Αμφιαράου, ὕστερον αὐτὸν μετῆλθε, κρείσσων φανεὶς καὶ συνετώτερος. πῶς δὲ μετῆλθε, μέσην ποιησάμενος τὴν Εριφύλην τῶν πρὸς αὐτὸν συμφορῶν. ἔφθειρε γὰρ ἐκείνην τῇ δόσει τοῦ ὅρμου. καὶ μετῆλθεν αὐτὸν, ὥστε ἀπολέσθαι.

[Ανδρ-

συνδεκὰς δ'

Ἀνδροδάμαντ' Ἐριφύλαν
Ὅρκιον ὡς ὅτε πιστὸν
Δόντες Οἰκλείδᾳ γυναῖκα,
Ξανθοκομᾶν Δαναῶν
Ἦσαν μέγιστοι. Καί ποτ' ἐς
Ἑπταπύλους Θήβας
Ἄγαγον ἀνδρῶν στρατὸν, αἰσιᾶν οὐ κα-
τ' ὀρνίχων ὁδόν. Οὐδὲ Κρονίων,
Ἀστεροπὰν ἐλελί-
ξαις, οἴκοθεν μαργουμένους
Στείχειν ἐπώτρυν', ἀλλὰ φεί-
σασθαι κελεύθου.

METAPH.

Mariti - domitricemque Eriphylen
Fœderis - pignus ceu quando fidele
Dantes Oiclidæ uxorem,
Flavicomarum Danaorum
Fiebant maximi. Et quondam
Septiportes Thebas
Deduxerunt virorũ exercitũ, faustarũ non per
Avium viam. Neque Saturnius
Fulgur quati-
ens, è-domo furioso-impetu-concitatos
Proficisci hortatus - est, sed abstine-
re à - profectione.

συνδεκὰς ε'.

Φαινομέναν δ' ἄρ' ἐς ἄταν
Σπεῦδεν ὅμιλος ἱκέσθαι,
Χαλκέοις ὅπλοισιν, ἱππεί-
οις τε σὺν ἔντεσιν. Ἰ-
σμηνοῦ δ' ἐπ' ὄχθαισι, γλυκὺν
Νόστον ἐρυσάμενοι,

METAPH.

Manifestum vero utique in exitium
Properabat exercitus venire,
Æreis *cum* armis, equestri-
busque cum apparatibus. I-
smeni vero ad ripas, dulcem
Reditum quum-evitassent,

PARAPHRASIS.

Quum ejus suasu Talai filii, ejusque fratres, Oiclei filio Amphiarao, Eriphylen sororem nuptum collocarunt, tanquam certum pignus redintegratæ amicitiæ: tumque inter flavis capillis decoros Argivos, quorum reges à Danao ortum duxerunt, maximi extiterunt: & quondam Thebas, quæ septem portis clauduntur & aperiuntur, electum virorum exercitum, mala quidem avi & infaustis auspiciis deduxerunt: quos neque Jupiter excitato fulgure lævum tonans hortabatur, ut furioso impetu in adversarios concitati domo proficiscerentur, sed contra ut ab expeditione abstinerent. Sed exercitus ille equitibus & peditibus ære armatis constans, quanquam nullum à Jove faustum, sed infaustum potius signum acceperat, ad manifestum exitium properare maluit, quam à proposita profectione abstinere. Itaque ad Ismenum fluvium Thebas præterlabentem, ubi cum Thebanis prælium committebant, cæsi dulcem in patriam reditum amiserunt,

NOTÆ.

37 Ἀνδροδάμαν leg. Bened. omitt. τε, cujus non est opus. Quæ tamen ratio nihil valet. ἡ ἀνδροδάμη vero est in recto. Ald. Rom. & Brub. hab. Ἀνδροδάμαντ'. 38 Ὅρκιον] Ita Lon. Quum prioris mariti sui domitricem Eriphylam, qui veluti maximum pulchra cæsarie præstantium Danaorum jusjurandum fuerunt, OEclis filio Amphiarao uxorem darent; & exponit. Fuerunt maximum jusjurandum h. e. μεταφορικῶς, Res certa, fidelis, firma & perspicua. Summa, omnium reputati sunt celeberrimi, perinde ac jusjurandum firmum, sanctum ac celebre habeatur. 41 Deest υ υ -. Locum Schmid. explet legendo καὶ ποτὶ Ἑπταπύλους κριτὸν ἐς Θήβας ἄγαγον στρατὸν ἀνδρῶν - -. Conjecit legendum κριτὸν forte ob Loniceri versionem, Electum exercitum. Sed cum sensus integer videatur, quid obstat quo minus credamus, Pindarum metrum reliquisse mancum, quod & aliis Poëtis non inusitatum est. Nil saltem mutandum sine Codice. 46 Μαργουμένους à μαργόομαι, idem quod μαργάομαι alibi. 54 Ἐρυσάμενοι] Suspicatur Bened. hoc vocabulum irrepsisse pro ὀλεσσάμενοι. Nam frequens est phrasis apud Homerum, ὀλέσαι νόστον: & cogitur hujus verbi ἐρύεσθαι significatio. Et quanquam exponi possit vel Devitare vel inhibere, improprium valde judicarit quivis, non autem, Reditum amittere, præcipue in serie hujus sententiæ. Hæc ille. Quæ tamen non pariter injiciunt nobis scrupulum.

[Ἀνδροδάμαν] δὲ, τὴν τὸν ἄνδρα ἀνελοῦσαν φησίν. ἡ γὰρ Ἐριφύλη τὸν ἑαυτῆς ἄνδρα Ἀμφιάραον προὔδωκεν εἰς φόνον. μέμνηται τούτου καὶ Ὅμηρος· Στυγερήν τ' Ἐριφύλην, Ἣ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο τιμήεντα. ὁ δὲ νοῦς. συνετὸς ἀνὴρ καὶ κρείσσων τῶν λοιπῶν ὁ Ἄδραστος κατέπαυσε τὴν μάχην τὴν προτέραν, οὕτω. τὴν ἀδελφὴν αὐτοῦ τὴν Ἐριφύλην τὴν τὸν πρότερον ἄνδρα δαμάσασαν, ἔδωκε τῷ Ἀμφιαράῳ. ἥτις, ὥσπερ τις ὅρκος πιστότατος δοθεῖσα τῷ Οἴκλεος παιδὶ Ἀμφιαράῳ, καὶ γυνὴ αὐτῷ γενομένη, ἔσβεσε τὴν μάχην. καὶ οὕτω τῶν ξανθοκόμων Ἑλλήνων ἐγένοντο περιφανέστεροι, οἱ περὶ Ἄδραστον. [Καί ποτ' ἐς ἑπταπύλους Θήβας.] ἐντεῦθεν δὴ καὶ εἰς τὰς Θήβας ποτὲ τὰς ἑπταπύλους, στράτευμα ἤγαγον· οὐκ αἰσίοις οἰωνοῖς χρησάμενοι οἱ περὶ Ἀμφιάραον καὶ Ἄδραστον. οὐδὲ γὰρ ὁ Ζεὺς ἀστραπὴν δεξιὰν μηνύσας μαργῶντας αὐτοὺς καὶ ἐπειγομένους ἀπὸ τῶν φίλων ἀπιέναι, προσέταξεν, ἀλλὰ μᾶλλον ἀποσχέσθαι τῆς ἀφίξεως. οὐδὲν γὰρ αὐτοῖς δέδωκε δεξιὸν σημεῖον. εἰς δὲ φανερὰν ἄτην καὶ βλάβην, τὸ τούτων ἔσπευδε στράτευμα. καὶ πεφραγμένως σὺν τοῖς χαλκοῖς ὅπλοις φησὶ, τοῖς πεζοῖς καὶ τοῖς ἱππεῦσιν. [Ἰσμηνοῦ δ' ἐπ' ὄχθαισι γλυκὺν νόστον ἐρυσάμενοι.] τουτέστιν, ἀποθανόντες ἐπὶ τῇ τοῦ Ἰσμηνοῦ ἀναβολῇ.

[Λευκαν-

Λευκανθέα σώμασ' ἐπίαναν καπνόν.	Candide-efflorescentē corporibus pinguefecerunt fumum.
Ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους	Septē enim devorarunt pyræ juvenes-robustos
Φῶτας· ὁ δ' Ἀμφιάρηϊ	Viros: Amphiarao autem
Σχίσεν κεραυνῷ παμβίᾳ	Diffidit fulmine adversus-omnia-violento
Ζεὺς τὰν βαθύστερνον χθόνα,	Jupiter profundum-pectus-habentem Terram.
Κρύψεν δ' ἅμ' ἵπποις,	Absconditque *eum* cum equis,
Συνδυὰς ε'.	Μεταφη.
Δουρὶ Περικλυμένου πρὶν	Hasta Periclymeni antequam
Νῶτα τυπέντα μαχατὰν	Terga percussus pugnaci
Θυμὸν αἰσχυνθήμεν. Ἐν γὰρ	Animo pudefieret. Nam in
Δαιμονίοισι φόβοις,	Divinitus - immissis terroribus
Φεύγοντι καὶ παῖδες Θεῶν.	Fugiunt etiam filii Deorum.
Εἰ δυνατὸν Κρονίων,	Si possibile - est ô - Saturnie,
Πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων	Dimicationē superbam à Phœnicibus-missarū

PARAPHRASIS.

& septem rogi robustos juvenes viros concremarunt, quorum ex cadaveribus, dum cremabantur, albicans ob pinguedinem fumus emittebatur. Sed Jupiter, fulmine cujus vi res omnes absumit, terram pectorosam diffidit: quæ magno hiatu diducta, Amphiaraum cum curru & equis absorptum occultavit & sepelivit. Priusquam Periclymeno, cum quo conflicturus ille Amphiaraus aufugit, (etenim etiam fortissimi, ut Ajax, & Deorum filii, ut Titanes, divinitus immissis terroribus perculsi, fugam vitio non vertendam arripiunt,) offerretur occasio virum illum fortem & bellicosum terga dantem hasta percutiendi, & lethali vulnere dedecorandi. Sed ut ad rem redeam, & de Ætnæis Chromii gente dicam, illi Phœnicum audacem insultum sustinuerunt, oppositisque armis represserunt: qualem ô Saturni fili in posterum quam longissime rejice, si ita est in fatis, & per ea id licet: ne ab hastatis Phœnicum & Carthaginensium

NOTÆ.

55 Λευκανθέαν hab. omnes Codd. Verum vel legendum λευκανθέσι, quod cum σώμασι conjungetur, si interpretationem Scholiastæ admittas, quem ad hoc † signum vide: vel λευκανθέα, quod ex approbatione plurium rei Criticæ peritorum in Textum inseruimus. Hæc lectio minorem habet mutationem, eamque lex ipsa carminis flagitat; ut Portus in Lex. Pind. Et facile declinatur à Recto λευκανθής. Ἐπίαναν] Nidorosum fecerunt. Schmid. 57 Ἀμφιαρῆϊ Schmid. qu. à Recto Ἀμφιαρεύς. Commodior videtur lectio Codd. ab Ἀμφιάρης. 67 Πεῖραν] Experimentum bellicum, ut Schmid. Scholiastes exponit λῃστρικὴν ἐπίθεσιν, Insultum prædatorium: quasi Phœnices prædonum instar Siculos impetiverint. Sed mitius est Poëtæ vocabulum quam ut eo respiciat. Audacis & superbi conatus duntaxat illos arguit, quum πεῖραν ἀγάνορα vocat illorum insultum. Nec abs re πεῖραν dicit, quia solum conatum adhibuerunt, nec voti compotes fuerunt. Ben. Φοινικοστόλων ἐγχέων] Hastarum ornatarum more Phœnicio. Vulg. De hoc bello vide P. 1. 140.

[Λευκανθέα] † δὲ λέγει τὰ σώματα. γίνεται γὰρ τὰ σώματα τῶν καιομένων νεκρῶν λευκά· ἢ ὅτι ὁ καπνὸς διὰ τὴν πιμελὴν λευκός ἐστι καὶ βαρύς. παρὸ οὐδὲ πόῤῥω διικνεῖται μετέωρος, καθὼς ὁ ἐκ τῶν ξηρῶν ξύλων καπνός. ὁ δὲ νοῦς. τοιγαροῦν παρ' αὐταῖς ταῖς ὄχθαις τοῦ Ισμηνοῦ πεσόντες, αὐτόθι καὶ τὰς οἴκοι ἀνακομιδὴν ἀπέθεντο, θανάτῳ λυθέντες. καὶ ἑαυτῶν τὰ σώματα τροφὴν δόντες τῷ πυρί. [Ἑπτὰ γὰρ] ὅλαι πυρκαϊαὶ, τὰ τῶν νεκρῶν, ἢ τὰ τῶν νέων κατευωχήθησαν, καὶ κατέφλεξαν σώματα. τὸ δὲ ἑπτὰ πυραὶ, οὐ πρὸς τοὺς λοχαγοὺς, ἀλλὰ πρὸς τὸ τῶν νέων στράτευμα. ἐφ' ἑκάστῃ γὰρ πύλῃ πολυάνδριον ἐγένετο. [Ο δ' Αμφιάρηϊ σχίσε.] τουτέστιν, ὁ δὲ Ζεὺς τῷ Ἀμφιαράῳ διέσχισε τὴν γῆν, κεραυνὸν βαλών. ὥστε καταποθῆναι αὐτὸν τῷ πάντα βιαζομένῳ κεραυνῷ. τοῦτο οὖν λέγει, ὡς τοῦ Ἀμφιαράου συνεσταλμένου τῷ Περικλυμένῳ ὃς ἦν υἱὸς Ποσειδῶνος καὶ Χλωρίδος τῆς Τειρεσίου, ὁμωνύμως τοῦ Νηλέως. πρὶν οὖν, φησιν, ὑπὸ τοῦ Περικλυμένου τραυθῆναι τὰ νῶτα τὸν Ἀμφιάραον φεύγοντα, καταποθῆναι. ἀεὶ γὰρ ἐπεδίωκεν αὐτόν. ὁ δὲ νοῦς οὕτως. ὁ δὲ Ζεὺς τῷ Ἀμφιαράῳ διέσχισε, καὶ διέστησε τὴν γῆν τὴν πλατεῖαν, ἄνωθεν ἐπιπέμψας τὸν κεραυνὸν, τὸν πάντας βιάζεσθαι δυνάμενον. καὶ οὕτως ὑπὸ τὴν γῆν ἐκρύφθη ὁ Ἀμφιάραος, ἅμα τῷ ἅρματι τῷ ἑαυτοῦ. πρὶν ἢ τῷ τοῦ Περικλυμένου δόρατι τραυθῆναι τὰ νῶτα φεύγοντος αὐτοῦ. καὶ αἰσχύνην περιστεῖψαι τῇ ἀνδρειοτάτῃ ψυχῇ αὐτοῦ τοῦ Ἀμφιαράου, τὸν τοιοῦτον θάνατον. [Ἐν γὰρ δαιμονίοισι φόβοις.] ἐν γὰρ τοῖς μεγίστοις, καὶ ἐνθέοις, φόβοις, συνέχονται καὶ οἱ τῶν θεῶν παῖδες, καὶ φεύγουσιν. συγγνώμη οὖν, φησι, καὶ τῷ Ἀμφιαράῳ φεύγοντι. ὁ γὰρ Ζεὺς συνεμάχει τότε τοῖς Θηβαίοις. διὸ ἔφευγε τότε ὁ Ἀμφιάραος. οὕτω καὶ ὁ Αἴας ἔφευγεν ἐντροπαλιζόμενος, ὀλίγον γόνυ γουνὸς ἀμείβων, τὸν Δία ἔχων ἀντιστάτην. [Πεῖραν μὲν ἀγάνορα.] πεῖραν, τὴν λῃστρικὴν ἐπίθεσιν. [Φοινικοστόλων ἐγχέων] μεθ' ὧν οἱ Φοίνικες ἐστάλησαν δοράτων· ἤτοι ὑπὸ Φοινίκων ἐσταλμένων. ἐπειδὴ Φοίνικες ᾤκησαν τὴν Λιβύην μετὰ Καρχηδονίων. οἵτινες ἀνιόντες, ἐπολέμουν Σικελούς. διὸ νῦν εὔχεται ὁ Πίνδαρος τῷ Διῒ, ὥστε μὴ ἐμποδισθῆναι αὐτῶν τὴν ὁρμήν. [Ἄλλως.] οἱ Καρχηδόνιοι ἦσαν τότε Φοίνικες. οἵτινες μέγα ἰσχύοντες, ἐπέβαλον καὶ τῆς Ἰταλίας καὶ τῆς Σικελίας κρατῆσαι. ἀντεῖχον δὲ οἱ περὶ Γέλωνα καὶ Ἱέρωνα. διὸ καὶ φοινικόστολα εἶπεν ἔγχη, τὰ ὑπὸ Φοινίκων στελλόμενα ἐπὶ τὴν Ἰταλίαν. τὸ δὲ λεγόμενον, τοιοῦτόν ἐστιν. εἰ δυνατόν ἐστιν ἀναβαλέσθαι τὴν πεῖραν, ἀναβάλλομαι, περὶ εἰς πεῖραν τὰ Σικελικὰ, καὶ Φοινικικὰ ἔγχη συμβαλλόμενα περὶ ζωῆς καὶ θανάτου, ἀναβάλλομαι αὐτὰ, ὦ

Εγχέων ταύταν θανάτε πέρι καὶ ζω-	Hastarum hancce de morte & vi-
ᾶς, ἀναβάλλομαι ὡς	ta, rejicio quam
Πόρσιστα. Μοῖραν δ' εὔνομον	Longissime. Sortē vero bonis-legibus-præditā
Αἰτέω σε παισὶν δαρὸν Αἰ-	Rogo te, filiis diu Æ-
τναίων ὀπάζειν,	tnæorum præbeas,
Δυωδεκὰς ζ'.	ΜΕΤΑΡΗ.
Ζεῦ πάτερ, ἀγλαΐαισιν	O-Jupiter pater, ornamentis-
Δ' ἀστυνόμοις ἐπιμίξαι	que civilibus admisceas
Λαόν. Εντί τοι φίλιπποί	Populum. Sunt utique equorum-studio-
Τ' αὐτόθι, καὶ κτεάνων	si tibi, & divitiis
Ψυχὰς ἔχοντες κρέσσονας	Animas habentes præstantiores
Ανδρες. Απιστον ἔει-	Viri. Incredibile di-
π'. Αἰδὼς γὰρ ὑπὸ κρύφα κέρδει κλέπτεται,	xi. Verecundia enī, latenter lucro surripitur,
Α φέρει δόξαν. Χρομίῳ κεν ὑπασπί-	Quæ affert gloriam. Chromio armi-
ζων παρὰ πεζοβόαις,	ger-existens apud pedites
Ιπποις τε, ναῶν τ' ἐν μάχαις,	Equosque, naviumque in præliis,
Εκρινας ἂν κίνδυνον ὀ-	Judicasses periculum a-
ξείας αὐτᾶς.	cutæ pugnæ.

PARAPHRASIS.

copiis denuo petiti, rursus in discrimen veniant in quo de vita & morte agatur, & de summa rerum certare oporteat. Rogo etiam te Jupiter pater, ut iisdem eam fælicitatem impertias, quæ diutissime bonarum legum, sub quibus vivunt, constitutionem servet: utque populo occasionem consequendi gloriam civilem à generosis animis, & factis manantem impertias. Habet enim Ætna illius capaces viros, ut pote studiosos equorum, bellicososque, & divitias tam parvi facientes, ut bonorum fortunæ specie non capiantur. At putet aliquis me rem incredibilem asserere: quoniam aliquando contingit ut verecundia, quæ bonam existimationem affert, animum à rebus indecoris amovendo, furtim & sensim sine sensu lucri causa imprudenti subtrahatur. Id sane aliquando contingit. At saltem Ætnæi Chromii exemplum habeo, cujus armiger & comes si fuisses in pedestribus, equestribus, navalibusque præliis, cognovisses & indicasses quanto, quamque confidenti animo acris pugnæ periculum subiret.

NOTÆ.

69 Αναβάλλομαι] Prætereo, nunc pluribus attingere nolo, ut exponunt Aret. & Schmid. Ille tamen legit ἀναβάλλω quod ad τὸ δυνατὸν, multo aptius infertur. Quin & Philippus reddidit, Remove. Hujus lectionis sensum quære ex Paraphrasi. Rom. leg. ἀνεβάλομαι. 71 Δαρὸν] Pro δηρὸν, à δὴν, Diu. Sonat Diuturnum; & ἔλλειψις est τῷ χρόνον, ut vult Eustath. 80 Φέρει δόξαν] τῷ αἰδήμονι scil. Phil. vero, Χρομίῳ: Lon. non tantum Χρομίῳ addit, sed & seqq. ὑπασπίζων cum ἃ [αἰδὼς] connectit. 81 Πεζοβόαις] Βοὴ est Prælium, in quo militares clamores excitantur. Ut Homero, Βοὴν ἀγαθὸς Μενέλαος. Eodem modo & αὔτας utitur, ab αὔω, vociferor; 84 Αὔτας Codd. nonnulli.

Ζεῦ, καὶ ὑπερτίθεμαι. ἢ ὅτω. τὸ μὲν πόλεμον τὸν Φοινικικὸν ἀναβάλλομαι, ὦ Ζεῦ. αἰτῶ δέ σε μοῖραν εὔνομον τοῖς παισὶ τῶν Αἰτναίων δοῦναι. τουτέστιν, αἰτῶ δέ σε καὶ ἱκετεύω, ὦ Ζεῦ, ὥστε ἐπὶ πολὺν χρόνον τοῖς τῶν Αἰτναίων παισὶν, εἰρήνης μοῖραν παρέχειν. ἀπὸ μέρους δὲ τὸ πᾶν. ἀπὸ τῶν Αἰτναίων δηλοῖ τοὺς σύμπαντας Σικελιώτας. [Αγλαΐαισι δ' ἀστυνόμοις ἐπιμίξαι λαόν.] καὶ πολλαῖς εὐφροσύναις ἐπιμίξαι τοὺς ὄχλους. εὐφροσύναις δὲ ἀναστρεφομέναις κατὰ τὴν πόλιν. εἰσὶ γάρ σοι ἐνταῦθα, καὶ ἱππικώτατοι ἄνδρες, καὶ νικῶντες τῇ προαιρέσει τὸν πλοῦτον, καὶ οὐχ ἡττώμενοι χρημάτων. ἢ οὕτως. εἰσὶν ἄνδρες ἐν Σικελίᾳ, καὶ φίλιπποι, καὶ ἱππότροφοι, ὡς νῦν ὁ Χρόμιος ἵπποις νενικηκώς. εἰς τοῦτον γὰρ ἡ ἀπότασις. [Απιστον ἔειπ'· αἰδὼς γάρ.] ἄπιστον δὲ εἰπεῖν ὡς ἔοικεν, ὅτι τῶν προαίρεσιν εἰσὶ τινὲς βελτίους χρημάτων. καὶ γὰρ αἰδὼς ὑποκλέπτεται δίχα τοῦ κέρδους. ἀντὶ τοῦ, οὐκ αἰδοῦνται διὰ κέρδος τι πρᾶξαι. ἥτις αἰδὼς εὐδοξίαν φέρει. καὶ ὅτι ἡ αἰδὼς ἡ φέρουσα δόξαν, ἔστιν ὅτε παραλογίζεται ὑπὸ φιλοκερδείας. [Αλλως.] κἂν τις, φησὶν, αἰδήμων ὑπάρχῃ, ὑπὸ τοῦ κέρδους παραλογίζεται. ἕνεκα γὰρ τοῦ κέρδους, καὶ οἱ αἰδήμονες πολλάκις ἀναισχυντοῦσι. [Χρομίῳ κεν ὑπασπίζων.] τῷ Χρομίῳ συμπαρὼν ἂν, ἔν τε πεζομαχίᾳ καὶ ἱππομαχίᾳ, καὶ ναυμαχίᾳ, ἔκρινας οἷός τις ὁ κίνδυνος ὁ τῶν πολέμων. φαίνεται δὲ, ὅτι βούλεται αὐτὸν, ὡς ἀνδρεῖον καὶ διασώζοντα τοὺς συνόντας αὐτῷ ἀφόβως, παραστῆσαι. ἐπεὶ πῶς ἂν ἀγαθὸς γένοιτο κριτὴς μετὰ δέους ἀναστρεφόμενος ἐν πολέμῳ;

[Οὕνεκεν

Συνδεκὰς ν′.

Οὕνεκεν ἐν πολέμῳ κεί-
να Θεὸς ἔντυεν αὐτοῦ
Θυμὸν αἰχματὰν, ἀμύνειν
Λοιγὸν Ἐνυαλίου.
Παῦροι δὲ βουλεῦσαι, φόνου
Παρποδίου νεφέλαν
Τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν σίχας,
Χερσὶ καὶ ψυχᾷ δυνατοί. Λέγεται μὰν
Ἕκτορι μὲν κλέος ἀν-
θῆσαι Σκαμάνδρου χεύμασιν
Ἀγχοῦ. Βαθυκρημνοῖσι δ᾽ ἀμ-
φ᾽ ἀκταῖς Ἑλώρου,

METAPH.

Quoniam in bello il-
la Dea *Verecundia* incitabat ejus
Animum bellicosum, propulsare
Exitium Martis.
Pauci vero consultanda, cædis
Præsentis nubem
Convertere in hostium virorum acies,
Manibus & animo idonei *sunt*. Dicitur sane
Hectori decus flo-
ruisse Scamandri fluenta
Prope. Profunda-præcipitia-habentes vero cir-
ca ripas Helori,

PARAPHRASIS.

quoniam illa Dea, nimirum Verecundia, bellicosum ejus animum ita comparabat & instruebat, ut non lucri studio castra sequeretur, sed ut patriæ perniciem imminentem propulsaret, quam belli à Phœnicibus illati furor minabatur. Et quamvis pauci queant consilio, animi magnitudine, & corporis robore, præsens ante pedes positæ mortis periculum in hostium capita retorquere: Chromius tamen hisce virtutibus præditus hoc præstitit. Et quemadmodum apud Troianos celebris evasit Hector, quod ad Scamandrum Troiæ fluvium pro patria fortiter pugnarit; sic & Chromius Agesidami filius, qui ad ripas Helori Siciliæ fluvii, cujus ad Pachynum promontorium siti, profunda sunt præcipitia:

NOTÆ.

87 Ἀμύνειν κ. λ.] Phil. Ut depellat pugnæ malum. Lon. Ut sese de Martis peste ulcisceretur. 89 Φόνου παρποδίου] Cæde præsente, Phil. Instante pugna Lon. referri vero videtur ad νεφέλαν. Sic Hom. dixit. Θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν & Statius *Mortis opaca Nube gravis vultus.* Παρποδίου vero idem est ac alibi πὰρ ποσὶν vel πὰρ ποδί. 91 Ποδὶ hab. Ald. Crat. & Brub. pro ποτί. Lon. hunc locum reddit, Jam paucos est reperire, qui instante pugna, nubem adeoque hostium ordines à sese manu & consilio vertere queant. 96 Ἕλωρος] Est fluvius Siciliæ versus Pachynum promontorium. Vide Steph. de Urbibus.

[Οὕνεκεν ἐν πολέμῳ κεῖνα θεός.] ὁ λόγος ἐπὶ τῆς προειρημένης Αἰδοῦς. ἤδεσαι οὖν, φησίν, ὅτι ἐν τῷ πρὸς τοὺς Φοίνικας πολέμῳ ἐκείνη ἡ θεὸς, δηλονότι ἡ Αἰδὼς, παρεσκεύαζεν αὐτοῦ τὸν θυμὸν αἰχμητὴν εἶναι, ὥστε ἀμύνειν λοιγὸν Ἐνυαλίου. Ὅμηρος· Αἰδομένων δ᾽ ἀνδρῶν, πλέονες σόοι ἠὲ πέφανται. παρεσκεύαζεν οὖν ἡ Αἰδὼς τῷ Χρομίῳ, οὐχ ἵνα κτήσηται τὸ κέρδος, ὡς ἄλλοι ἀπαναισχυντοῦσιν, ἀλλ᾽ αὐτοῦ χάριν τοῦ καλοῦ, ἵνα τῇ πατρίδι ἀμύνῃ. [Παῦροι δὲ βουλεῦσαι φόνου.] ὀλίγοι, φησὶ, φόνου ἐφεστηκότος, βουλεύσασθαι δύνανται τὴν τοῦ πολέμου νεφέλην τρέψαι πρὸς τοὺς πολεμίους κλίνοντες αὐτοὺς, καὶ χερσὶ καὶ ψυχαῖς, καὶ ἐν τῷ δρᾶσαι καὶ φονεῦσαι τοὺς πολεμίους, καὶ ἐν τῷ βουλεύσασθαι, πῶς δεῖ ἀνελεῖν αὐτούς. κατορθοῦται γὰρ ὁ πόλεμος, γνώμῃ καὶ χειρί. χειρὶ, τῇ ἀνδρείᾳ· ψυχῇ, τῇ φρονήσει. ἵν᾽ ἡ ῥώμη μετὰ φρονήσεως. ἀμφότερα δὲ ταῦτα ἔχει ὁ Χρόμιος. καὶ γὰρ ἐστὶ βουλῇ καὶ χειρὶ ἐγένετο ἀγαθὸς ἐν τῷ πολέμῳ τῷ πρὸς τοὺς Φοίνικας. [Ἕκτορι μὲν κλέος ἀνθῆσαι.] ἀπεικάζει αὐτὸν τῷ Ἕκτορι. καὶ τῷ Ἕκτορι φησὶν ἀνθῆσαι τὸ κλέος, μαχομένῳ παρὰ τῷ Σκαμάνδρῳ. τοῦτο δὲ εἰς ἔπαινον παρείλκυσε τοῦ Χρομίου. τὸν δὲ Ἕκτορα παρείληφε καὶ οὐκ Αἴαντα ἢ Ἀχιλλέα, τῷ καὶ τὸν Ἕκτορα μεμαχῆσθαι ὑπὲρ τῆς πατρίδος, ὡς καὶ τὸν Χρόμιον. ὁ δὲ νοῦς. λέγεται μὲν καὶ ᾄδεται, τῷ μὲν Ἕκτορι τὴν εὐδοξίαν παρὰ τῷ Σκαμάνδρῳ. ἐν δὲ ταῖς ἀκταῖς τοῦ Ἑλώρου ποταμοῦ· ἀφ᾽ οὗ δὴ καὶ ὁ Ἀρείας πόρος καλεῖται, δέδεικται τοῦτο τὸ φέγγος τῷ Χρομίῳ, ἐν τῇ πρώτῃ καὶ νέᾳ ἡλικίᾳ. ἐνίκησε γὰρ ἐνταῦθα Καρχηδονίους, συμμαχῶν Γέλωνι τῷ τυράννῳ, τῷ Ἱπποκράτους διαδόχῳ. [Βαθυκρημνοῖσι δ᾽ ἀμφ᾽ ἀκταῖς Ἑλώρου.] περὶ τοῦτον τὸν ποταμὸν, συνέστη Ἱπποκράτει τῷ Γελώων τυράννῳ, πρὸς Συρακουσίους πόλεμος. ὁ δὲ Γέλων ἐστὶν, ἕτερος. ὃς ὑπῆρχε τότε Ἱπποκράτει. ἐν δὴ τούτῳ, φησὶ, τῷ πολέμῳ, εἰκὸς τὸν Χρόμιον ἐπιδείξασθαι πολλὰ ἔργα κατὰ τὴν μάχην. περὶ δὲ τούτου τοῦ πολέμου, Τίμαιος ἐν τῇ δεκάτῃ δεδήλωκε. καθάπαξ γάρ, φησιν ὁ Δίδυμος, οὐδεμίαν ἄλλην μάχην ἔχομεν εὑρεῖν περὶ τὸν Ἕλωρον τῶν συνηκμακότων τῷ Χρομίῳ τυράννων, ὅτι μὴ τὴν Ἱπποκράτει τοῦ Γέλωνος πρὸς Συρακουσίους. ὅτι μὲν οὖν Γέλωνα ὑπαρχεῖν κατέστησεν Ἱπποκράτης, σαφὲς ὁ Τίμαιος ποιήσει γράφων οὕτως. Ἱπποκράτης δὲ μετὰ τὴν Κλεάνδρου τελευτὴν, ἅμα μὲν τὸν Γέλωνος ἐν τῇ τεταγμένῃ μεμενηκότος, ἅμα δὲ τοῖς Γελῴοις χαρίσασθαι βουλόμενος, μεταπεμψάμενος αὐτὸν, καὶ παρακαλέσας περὶ τὰς πράξεις, ἁπάντων τῶν ἱππέων τὴν ἐπιμέλειαν ἐκείνῳ παρέδωκε. ὡς δὲ καὶ ὁ Γέλων τῷ Χρομίῳ ἐχρῆτο ἑταίρῳ, δῆλον πάλιν ἐξ ὧν φησι Τίμαιος ἐν τῇ δευτέρᾳ γράφων οὕτως. Ἐπίτροπος δὲ τοῦ παιδὸς μετ᾽ ἐκεῖνον κατέστησεν, Ἀριστόνουν καὶ Χρόμιον τοὺς κηδεστάς. τούτοις γὰρ ὁ Γέλων δέδωκε τὰς ἀδελφάς. [Ἄλλως.] Ἀρείας πόρος ἐλέγετο, πᾶς ὁ περὶ τὸν πορθμὸν καὶ τὸ Ῥήγιον τόπος. ἔχει δὲ ὁ ποταμὸς ἱεροὺς ἰχθύας· οἳ παρὰ τῶν διαβαινόντων δέχονται τροφήν. ὁ δὲ τῆς Ἀρείας πόρος, ἀνεξήγητός ἐστι. διὸ καὶ ἄδηλον εἴτε Ἀρείας, εἴτε Ῥείας λεκτέον. εἴτε ὑφ᾽ ἓν, Ἀρείαπορον. καὶ καλεῖσθαι μέχρι τοῦ νῦν, Ἀρείας πόρον, διὰ τὸ πλῆθος τῶν φονευομένων· ἢ ἀπὸ τοῦ συμβεβηκέναι ἐκεῖσε πόλεμον. Ἄρεα δὲ οἱ ποιηταὶ τὸν πόλεμον φασίν.

Δυωδεκὰς θ'.	Μεταγη.
Ενθ' Αρείας πόρον ἄνθρω-	Ubi Martium trajectum homi-
ποι καλέοισι, δέδορκεν	nes appellant, refulget
Παιδὶ τοῦτ' Αγησιδάμου	Filio hoc Agesidami
Φέγγος ἐν ἁλικίᾳ	Lumen in ætate
Πρώτᾳ. Τὰ δ' ἄλλαις ἁμέραις	Prima. Alia autem aliis diebus *facinora ejus*,
Πολλὰ μὲν ἐν κονίᾳ	Multa quidem in pulverulenta
Χέρσῳ, τὰ δὲ γείτονι πόντῳ, φάσομαι.	Terra, alia vero vicino *in* mari, commemorabo.
Εκ πόνων δ', οἳ σὺν νεότατι γένωνται,	Ex laboribus autem, qui cum juventute susce-
Σύν τε δίκᾳ, τελέθει	Cumque justitia, existit [pti fuerint,
Πρὸς γῆρας αἰὼν ἁμέρα.	Ad senectutem vita placida.
Ιστω, λαχὼν πρὸς δαιμόνων	Sciat *Chromius se* sortitum à Diis
Θαυμαστὸν ὄλβον.	Admirandam felicitatem.
Δυωδεκὰς ι'.	Μεταρη.
Εἰ γὰρ ἅμα κτεάνοις πολ-	Si enim cum opibus mul-
λοῖς ἐπίδοξον ἄρηται	tis gloriosum adeptus - fuerit
Κῦδος, οὐκ ἔτ' ἔστι πόρσω	Decus; non licitum - est ulterius
Θνατὸν ἔτι σκοπιᾶς	Mortalem, amplius speculam

PARAPHRASIS.

(Quem locum, quoniam ibi per victoriam retusæ sunt Carthaginensium minæ, Areæ, hoc est, Minarum trajectum homines exinde denominarunt) pro patriæ salute fortiter pugnavit, simile apud Siculos decus prima juventute consequutus est. Alio autem tempore multas alias res, quas terra marique præclare gesserit, carmine decantabo: post quæ si senilem ætatem attingat, placidum ævum exiget. Quandoquidem juvenilem ætatem in justis laboribus impendisse, animum viri ad senectutem provecti hac consolatione munit, quod nec in otio, nec in rebus inhonestis, sed virum fortem & probum decentibus florem vegetæ ætatis collocarit: quo fit ut emeritos annos citra pœnitentiæ tædium placide traducat. Cæterum sciat Chromius se Deorum munere admiranda fælicitate potiri. Cum enim opibus abundet, & decus gloriosis ex factis adeptus sit, summum fælicitatis culmen attigit. Ad quod quicunque pervenit, nec oculos nec pedes

NOTÆ.

97 Αρείας πόρον] Scholiastæ hic locus est inexplicabilis. Ideo lectio optimorum Codd. retinenda. Mallet Schmid. ἀρειᾶς πόρον vel ἀρειάπορον, Trajectum minarum, Trajectum illius loci, ubi minæ Phœnicum, h. e. minaces contumeliæ, in proximo bello contusæ sunt. Nam ἀρειὰ Hesychio est, βλάβη: Eidem etiam & Eustath. est ἀπειλή, ab ἀρά. Vulg. retinet Areas sc. vadum. Portus paulo immutat, Areæ. Forte quidem dici potuit Ρέιας πόρος, Rheæ transitus, ob eventum aliquem. Bened. vero conjectura est verisimilior, ita vocari ab Αρης, quia Bellum ibi accidit. Verum dum constet Loci nomen indicari, quare ita vocatus fuerit disquirere, non est operæ pretium. 106 Πρὸ γήρας ἰὼν Ed. Rom. Lon. secutus Schol. vertit, senii tempore dies ipsa transigitur. 111 Ετ'] suspecta lectio. Ετι debebat priorem producere, & alias ociose alterum ἔτι repeteretur. Quid si legeremus αὖ τ'? Hæc Schmid. Πρόσω pro πόρσω Ald.

[Πολλὰ μὲν ἐν κονίᾳ χέρσῳ] χέρσῳ, τῇ ἠπείρῳ φησί. γείτονι δὲ πόντῳ, ἀντὶ τοῦ ἐν ταῖς νήσοις, καὶ θαλασσίοις τόποις. ἐν ὑπερβατῷ δέ φησιν. ἐν δὲ ἄλλαις ἡμέραις φήσω καὶ διελεύσομαι τὰ ἐν τῇ γῇ τῆς ἠπείρου, καὶ τὰ ἐν ταῖς νήσοις αὐτῷ διηνύσμενα. ἢ οὕτως. ἐὰν κατορθώσῃ, πάλιν ἐρῶ ὕστερον τὰ ἐν τῇ γῇ τῆς ἠπείρου, καὶ τὰ ἑξῆς. [Εκ πόνων δὲ οἳ σὺν νεότατι γένωνται.] ἐκ τῶν πόνων τῶν ἐπιτελεσθέντων τῇ νεότητι, καὶ πόνων γε τοιούτων τῶν σὺν δικαίῳ τελεσθέντων, μία ἡμέρα αἰῶνος ὅλου τάξιν ἔχει εἰς εὐφροσύνην. ἐπειδὰν τινες ἐν νεότητι πεπονηκότες ὦσι, καὶ βεβιωκότες δικαίως, ἡμέρα μία ἐν τῷ γήρᾳ, συγκειτικὴ ἐστι πρὸς ὅλον τὸν αἰῶνα· τινὲς δὲ, θηλυκῶς φασιν ἐξενηνέχθαι τὴν ἡμέραν, ἀντὶ τοῦ, ἥμερος. καὶ τὸν αἰῶνα, θηλυκῶς εἰρῆσθαι. ἡ αἰὼν ἐστιν αὐτοῖς ἡμέρα. ἀντὶ τοῦ, ἥμερος καὶ πρᾶος ἐστὶν αὐτοῖς ὁ βίος πρὸς γῆρας, ὅταν ὦσιν ἐν νεότητι πεπονηκότες δικαίως. τὰ δὲ προσηνῆ, κατὰ μεταφορὰν, ἀπὸ τῆς ἡμέρας σημαίνεται, ὥσπερ τὰ χαλεπὰ ἀπὸ τῆς νυκτός. ὁ δὲ ἐκ πόνων καὶ κινδύνων αἰὼν καὶ χρόνος, οἳ τινες ἂν πόνοι μετὰ δικαιοσύνης ἐν τῇ νέᾳ ἀνυσθῶσιν ἡλικίᾳ, τούτῳ ὁ πρὸς τὸ γῆρας πᾶς χρόνος, ὥσπερ μία ἡμέρα παρατρέχει, διὰ τὸ εὐθυμεῖν καὶ μὴ ἐπαισθάνεσθαι τῶν φαύλων. τὸ δὲ ἑξῆς. ὁ δὲ αἰὼν πρὸς τὸ γῆρας τούτοις τελέθει ἀεὶ φῶς τοῖς πόνοις, οἳ ἂν ἐν νεότητι γένωνται καὶ δίκῃ. ἔστι δὲ ἐκ τοῦ ἐναντίου τὸ Ομήρου· Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν. [Εἰ γὰρ ἅμα κτεάνοισι πολλοῖς.] εἰ γὰρ ἅμα τῷ πλουτεῖν καὶ δοξασθήσεταί τις καλὰ ἐργασάμενος, οὐκ ἔστιν ὑποθέσθαι ταύτην τὴν μακαριότητα, ὅταν συνέλθῃ δόξα πλούτῳ. ὁ δὲ νοῦς. ὁ γὰρ ἅμα πλήθει περιουσίας καὶ δόξαν εὔκλεῆ καρπωσάμενος, οὐκέτι περαιτέρω, θνητὸς ὤν, ὀφείλει προσκοπεῖν. οὐδὲ ἄλλης εὐτυχίας ὁδοὺς ἐπιζητεῖν τοῖς αὐτοῦ ποσίν. ἀνυπέρβλητος γάρ, φησιν, αὕτη ἡ ἀρετή. παρέοικε δὲ τῇ ἄνω διανοίᾳ· Εἰ δὲ ὢν καλὸς, ἔρδων δ' ἐοικότα μορφᾷ, οὐκέτι πόρσω. καὶ τὰ ἑξῆς.

[Ησυχίαν

Ἄλλας ἐφάψασθαι ποδοῖν.	Aliam attingere pedibus.
Ἡσυχίαν δὲ φιλεῖ	Tranquillitatem autem amat
Μὲν συμπόσιον· νεοθαλὴς δ' αὔξεται	Quidē convivium: & recenter-florens augetur
Μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ.	Victoria, molli cum cantu.
Θαρσαλέα δὲ παρὰ	Audax vero apud
Κρητῆρα φωνὰ γίνεται.	Craterem vox est.
Ἐγκιρνάτω τίς μιν, γλυκὺν	Temperet aliquis illum, dulcem
Κώμου προφάταν·	Encomii præconem :
δυωδεκὰς ια'.	Μ ε τ α ρ h.
Ἀργυρέαισι δὲ νωμά-	Argenteisque distribu-
τω φιάλαισι βιατὰν	at phialis violentum
Ἀμπέλου παῖδ'· ἅς ποθ' ἵπποι	Vitis filium : quas quondam equæ
Κτησάμεναι Χρομίῳ,	Dum-pepererunt Chromio,
Πέμψαν θεμιπλέκτοις ἀμφὶ	Miserunt bene-textis cum
Λατοΐδα στεφάνοις	Latoidæ coronis
Ἐκ τᾶς ἱερᾶς Σικυῶνος. Ζεῦ πάτερ,	Ex sacra Sicyone. Jupiter pater,
Εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι	Opto hanc *victoris* virtutem celebrare

P a r a p h r a s i s.

ulterius circumferre debet, ut potiora quærat: cum nihil majus homini mortali obvenire possit. Cæterum quemadmodum modestia & tranquillitas in convivio postulatur ut jucundum efficiatur: sic etiam recens parta victoria suave carmen flagitat, ut lætior & gloriosior reddatur. Quod carmen ut animosius à cantoribus in victoriali convivio canatur, siquidem vini generosi potio vocem roborat, aliquis id in lætitiæ craterem, qui dulcis est prænuntius mox sequuturæ cantionis, infundat: & liquorem illum, qui à vite progignitur, cujus & vis est maxima, distribuat argenteis phialis, quas equæ Chromii hero suo partas ex sacra Cereri Sicyone Ætnam vexerunt, simul cum coronis illi textis pro justo præmio victoriæ, in Pythiis, ibi ab Adrasto Apollini consecratis, partæ. Quam viri illius virtutem hoc egregio facinore demonstratam, carmine in quo Gratiarum elegantia refulgeat, celebrare opto Jupiter pater,

N O T Æ.

114 Ἡσυχία quosdam leg. notat Cratand. in margine. Hor. *Natis in usum lætitiæ scyphis Pugnare Thracum est: tollite barbarum Morem, verecundumque Bacchum sanguineis prohibite rixis*, & paulo post *Impium Lenite clamorem sodales. Et cubito remanete presso.* 117 Epigr. Οἶνός τοι χαρίεντι μέγας πέλει ἵππος ἀοιδῷ. 125 Ἀμφὶ] Schol. vel legit ἅμα, vel saltem ita exponit. Schmid. vero omnino ita legendum censet.

[Ἡσυχίαν δὲ φιλεῖ μὲν συμπόσιον.] τῇ μὲν οὖν εἰρήνῃ καὶ ἡσυχίᾳ προσφιλές ἐστι τὸ συμπόσιον. ἡ δὲ νεωστὶ καταπραχθεῖσα νίκη, συναύξεται τῇ μαλθακῇ καὶ ἡδείᾳ ᾠδῇ. ἢ οὕτω. τὸ συμπόσιον, τὴν ἡσυχίαν φιλεῖ. καὶ ἔστιν ὅμοιον, τῷ, Ματέρ' Οἰνάνθας ὀπώραν. ἡ δὲ νικηφορία, οὐ φιλεῖ ἡσυχίαν. [Θαρσαλέα δὲ παρὰ κρατῆρα φωνὰ γίνεται.] παρὰ δὲ τὸν κρατῆρα ὃς ἵσταται διὰ τὸ τέλος τῆς νίκης θαρσαλεωτέρα ἡ φωνὴ γίνεται. καὶ δύναταί τις θαρρῶν ἐπὶ τῇ τοῦ νικηφόρου ἀνδραγαθίᾳ, μετὰ παρρησίας τὸν ὕμνον ᾄδειν ἐπὶ τῇ νίκῃ. ἢ ἄλλως. ὅταν τις νικήσῃ, μετὰ παρρησίας εἰς αὐτὸν φωναὶ γίνεσθωσαν καὶ ὕμνοι. [Ἐγκιρνάτω τίς μιν γλυκύν.] τοίνυν, τὸν κρατῆρα τὸν ἱστάμενον ἐπὶ τῇ νίκῃ, ἐγκιρνάτω τις, προηγητὴν ὄντα τοῦ ὕμνου. προηγητὴν δὲ ἔφη τοῦ ὕμνου τὸν κρατῆρα, ἐπειδὴ τῇ νίκῃ ἅμα, κρατὴρ τῆς σπονδῆς. εἶθ' οὕτως ὁ ὕμνος ᾔδετο. ὁ δὲ νοῦς. ἤδη κιρνάτω τις τὸν κρατῆρα ὅς ἐστι προοίμιον καὶ προφήτης τοῦ κώμου. κωμάζωμεν οὖν αὐτὸν καὶ ὑμνῶμεν, ὅτι νενίκηκεν. [Ἀργυρέαισι δὲ νωμάτω φιάλαισι.] μετὰ τὸ κεραννύναι τὸν κρατῆρα φησί, καὶ ἀποσαπλιζέτω τις τὰς φιάλας. καὶ διὰ

καὶ διὰ καλανειμένοις

φιάλας, ἃς ἔλαβεν ὁ Χρόμιος νικήσας ἔνθεν. ἐν γὰρ τοῖς κατὰ Σικυῶνα Πυθίοις, ἀργυραῖ φιάλαι ἔπαθλα. βιατὰν δὲ ἀμπέλου, τὸν οἶνον φησί ἤτοι τὸν βίᾳ θλιβόμενον, ἢ τὸν βιάζεσθαι εἰδότα, καὶ εἰς μέθην ἄγειν. [Ἃς ποθ' ἵπποι κτησάμενοι.] ἅς τινας φιάλας, αἱ τοῦ Χρομίου ἵπποι προσεκόμισαν διὰ τῆς νίκης τῷ δεσπότῃ. ἅμα τοῖς μετὰ δικαιοσύνης ὑπάρξασιν αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος στεφάνοις, ἐκ τῆς ἱερᾶς Σικυῶνος. οὐ παρῆν δὲ ὑπὸ τὴν νίκην, ἀλλ' * ἐπεπόμφει τὸ ἅρμα. ἃς ἤνεγκαν, φησίν, ἅμα τοῖς στεφάνοις οἱ ἵπποι· θεμιπλέκτους δὲ τοὺς στεφάνους φησίν, ἤτοι νομίμως καὶ καθηκόντως πεπλεγμένους· ἢ καθὸ πάρεδρός ἐστι τοῦ Ἀπόλλωνος ἡ Θέμις, χάριν τῆς χρησμῳδίας. καὶ γὰρ ἦν προφῆτις· ἢ ὅτι δικαίως καὶ ἄνευ δωροδοκίας ἐστέφθη. ἱστορεῖται δὲ τὰ ἐν Φωκίδι χρήματα ἀνύεσθαι. διὸ καὶ προσοικεῖται ἐνταῦθα τὰ ἐν Σικυῶνι. οἰκείως δὲ ἱερὰν τὴν Σικυῶνα προσηγόρευσεν. ἡ γὰρ Μηκώνη, ἐπ' αὐτῆς ἐστιν, ἐφ' ἧς οἱ θεοὶ διεδάσαντο τὰς τιμάς. Ἡσίοδος· Καὶ γὰρ ὅτ' ἐκρίνοντο θεοὶ θνητοί τ' ἄνθρωποι, Μηκώνῃ. καὶ Καλλίμαχος· Μηκώνην μακάρων ἕδραν ὅν αὐτῆς ἰδεῖν. [Ζεῦ πάτερ εὔχομαι ταύταν ἀρετάν.] εὔχομαι δὴ οὖν, ὦ Ζεῦ πάτερ, ταύτην αὐτοῦ τὴν ἀρετὴν ὑμνῆσαι ἐπὶ

τως ἐπὶ πολλῶν τε καὶ τὴν νίκην ἔνδοξον ποιῆσαι

τοῖς λόγοις πέμπων μου τὴν Μοῦσαν ἐγγὺς τοῦ σκοποῦ.

* Ισ. ἐπιπόμπει.

Σὺν Χαρίτεσσιν, ὑπὲρ | Cum Charitibus, ſupra
Πολλῶν τε τιμαλφεῖν λόγοις | Multaſque ingenioſe-honorare carminibus
Νίκαν, ἀκοντίζων σκοποῦ | Victoriam, jaculans proxime
Ἄγχιστα Μοισᾶν. | *Ad* ſcopum Muſarum.

P A R A P H R A S I S.

& ſupra pleraſque alias victorias verbis erudite inventis honorare, Muſæ Meæ ſagittas omnes proxime ad ſcopum torquendo, h. e. ad propoſitum laudis argumentum, videlicet Chromium, omnem meæ mentis in contexendo hymno inventionem directe conferendo.

N O T Æ.

130 Τιμαλφεῖν Poet. verb. ex τιμάω & ἀλφέω excogito. Proprie autem ſignificat rebus aliquibus excogitatis, & ingenioſe inventis aliquem honorare. Magnum Etymol. vim Verbi explicat. in voce τιμαλφέστατον. ὅ παρὰ Λυκόφρονι σημαίνει πρᾶγμα ἄγον τιμὴν, τὸ τιμὴν εὑρίσκον πλείστην· ὃ δὴ συμβέβηκε τῷ χρυσῷ· ἀλφεῖν γὰρ τὸ εὑρίσκειν. Ergo τιμαλφεῖν de rebus maximi pretii, quæ pretium maximum inveniunt, i. e. quæ propter ſuam præſtantiam maximo pretio cenſentur dignæ, & maximo pretio venduntur. Μεταφορικῶς accipitur pro magno honore proſequi, valde honorare Pind. Lex. 131 Νικᾶν hab. Edd. Ald. Rom. & Brub. quam iect. & agnoſcit Schol. 132 Μοισᾶν legiſſe videtur Schol.

οἱονεὶ, ἐπαξίως αὐτὸν ὑμνῆσαι. [Ἄλλως. Τιμαλφεῖν λόγοις,] ἀντὶ τοῦ τιμᾶν αὐτὸν λόγοις. προσβάλλων τῷ μουσικαῖς τὴν νίκην καὶ συναρμόζων αὐτὴν, τοῖς ὕμνοις βάλλων τὴν νίκην. τινὲς δὲ ἀνέγνωσαν προπαροξυτόνως, νικᾶν. ἵν᾽ ᾖ, ὑπὲρ πολλῶν νικῶν τιμᾶν τοῖς λόγοις. [Ἀκοντίζων δὲ ἐγγὺς τοῦ σκοποῦ τῆς μουσικῆς·] ἤτοι δεικνύμενος τῇ μουσικῇ.

Τέλος τοῦ θ' τῶν Νεμέων εἴδους.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΔΕΚΑΤΟΥ ΤΩΝ ΝΕΜΕΩΝ ΕΙΔΟΥΣ.

ΤΗΣ δεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ἐστὶν ια'. Τὸ α', ἀναπαιστικὸν μονόμετρον καταληκτικὸν δισύλλαβον. Τὸ β', ἰαμβέλεγος. Τὸ γ', ἰαμβέλεγος λείπων μιᾷ. ἡ περίοδος ἐν ἀρχῇ. Τὸ δ', προσοδικὸν, ἀπὸ Ἰωνικοῦ καὶ χοριαμβικοῦ. Τὸ ε', τὸ αὐτὸ τῷ τρίτῳ. Τὸ ς', περίοδος ἐσχαϊκή. ἐπίτριτος ἡ χορίαμβος διὰ τὴν ἀπόδοσιν. Τὸ ζ', Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ η', ἰαμβέλεγος. μετατιθεμένης τῆς τελευταίας ἐπὶ τὴν ἀρχήν. Τὸ θ', δακτυλικὸν πενθημιμερές. Τὸ ι', ὅμοιον τῷ, Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδασάμην. Τὸ ια', τὸ αὐτό. τὸ δὲ κολεῷ, ἀντὶ τοῦ κολῷ κατὰ συνίζησιν.

Περὶ τῆς ἐπῳδῆς αὐτῆς.

Ἡ δὲ ἐπῳδὸς, κώλων ἐστὶ δυοκαίδεκα. Τὸ α', ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ β', ὅμοιον τῷ. ζ'. τῆς στροφῆς. Τὸ γ', ὅμοιον τῷ. α'. τῆς ἐπῳδοῦ. Τὸ δ', ὅμοιον τῷ β'. τὸ δὲ χαλκέοις, ἀντὶ τοῦ χαλκοῖς κατὰ συνίζησιν. Τὸ ε', δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ ς', δακτυλικὸν πενθημιμερές. Τὸ ζ', ἐγκωμιολογικόν. Τὸ η', Εὐριπίδειον. Τὸ θ', ἀναπαιστικὸν Ἀριστοφάνειον, ἥμισυ ἀκροτελεύτου. * * *

Περὶ τῆς ἐπιγραφῆς αὐτῆς.

Ἐν Ἄργει τελεῖται τῇ Ἥρᾳ ἀγὼν ἱερὸς, Ἑκατόμβαια, ὃν καὶ Ἥραια καλοῦσιν. ἐν γὰρ τῇ τοῦ ἀγῶνος πανηγύρει ἑκατὸν βοῦς θύουσι τῇ Ἥρᾳ. ὁ δὲ Δαναὸς Βήλου παῖς ὢν, τοῦ Ἄργους ἐβασίλευσεν. ὁ δὲ Αἴγυπτος, τῆς ὁμωνύμου χώρας. ὁ δὲ Ἀγήνωρ, τῆς Φοινίκης.

Ratio metrorum hos habet typos.

στροφὴ & ἀντιστροφή.

1. υ υ -   υ υ -   υ υ
2. - - υ -   - - υ υ   - υ υ -
3. - υ - -   - υ υ -   υ υ -
4. - - υ υ   - υ υ -
5. - υ - -   - υ υ -   υ υ -
6. - υ - -   - υ υ -
7. υ υ - -   - υ -
8. - υ - -   - υ υ -   υ υ - -
9. - υ υ   - υ υ   -
10. - υ - -   - υ - -   - υ -
11. - υ - -   - υ - -   - υ -

ἐπῳδός.

1. - υ - -   - - υ -
2. - υ υ -   - - υ -
3. - υ - -   - υ υ -
4. υ υ - -   - υ -
5. - υ υ   - - υ   - υ
6. - υ υ   - υ υ   -
7. - υ υ -   υ υ - -   - υ - -
8. - υ - -   - υ -
9. - - υ υ   - υ υ -   -
10. υ υ υ -   - υ - -
11. υ υ -   υ υ -   υ
12. - υ - -   - υ -

ΘΕΙΑΙΩ

ΘΕΙΑΙΩ, ΠΑΙΔΙ ΟΥΛΙΟΥ, ΠΑΛΑΙΣΤΗ.

ΕΙΔΟΣ Ι'.

THIÆO, FILIO ULIÆ, LUCTATORI.

ODE X.

ARGUMENTUM.

Occasionem scribendi hoc encomium in Thiæi laudem dedit poetæ Hecatombæorum victoria, à qua virum hunc potissimum commendat: quanquam & aliarum victoriarum meminit, nimirum Isthmiæ, Pythiæ, & Panathenaicæ, spemque facit obtinendæ Olympicæ. Præterea laudis locos petit à patria, materno genere, & cognato Pamphae à quo ad Castorem & Pollucem digressus, Odam hanc concludit.

στροφὴ α'. κῶλον ια'.

Δαναοῦ πόλιν, ἀγλαο-
θρόνων τε πεντήκοντα κορᾶν, Χάριτες,
Ἄργος, Ἥρας δῶμα θεοπρεπὲς, ὑ-
μνεῖτε. Φλέγεται δ' ἀρεταῖς
Μυρίαις, ἔργων θρασέων ἕνεκεν.
Μακρὰ μὲν τὰ Περσέως ἀμ-
φὶ Μεδοίσας Γοργόνος.

ΜΕΤΑΦΡ.

Danai urbem, & pulchris-soliis-insiden-
tium quinquaginta filiarū, ô Charites,
Argos, Junonis domicilium Dea-dignum, ce-
lebrate. Refulget enim virtutibus
Infinitis, facinora propter animosa.
Longa quidem *sunt relatu* Persei cir-
ca Medusam Gorgonem *facinora*.

PARAPHRASIS.

Vos ô Gratiæ, carminibus Argos celebrate, cujus rex fuit, Danaus, qui diversis ex uxoribus quinquaginta suscepit filias celebres redditas, & quasi conspicuo in loco collocatas ob perpetratum in maritos facinus: celebrate, inquam, Argos, in quo sibi sacro domicilio, tanquam numini suo convenienti habitat tutelaris Dea Juno. Civitas enim illa illustris reddita est ob sexcenta audacia facinora. Quale est illud Persei, qui ut Medusam Gorgonem neci dederit, longius esset referre.

NOTÆ.

1 Δαναοῦ πόλιν] Vide Pauf. in Cor. si integram velis historiam; nos enim ea, quæ ad Poetæ enarrationem spectant, sola attingemus. Ἀγλαοθρόνων] Famosarum, vel cum Schmid. Divitum ob possessionem Argolidis cum Patre, unde πόλις dicitur non tantum Danaï sed & 50 filiarum. Emisit enim Danaus (post cædem maritorum) qui proclamarent nullum se à viris sponsalium nomine munus poscere, verum optionem puellis daturum, ut earum qualibet sibi eum deligeret, cujus maxime esset complacita forma. 6 Τοῦ Περσέος leg. Schmid.

[Δαναοῦ πόλιν, ἀγλαοθρόνων τε.] ἔνιοι φασὶν εἰς πλείους νίκας τὸν ἐπίνικον πεπρᾶχθαι. λαβεῖν γὰρ αὐτὸν Ἴσθμια, καὶ Πύθια, καὶ Νέμεα. περὶ δὲ τῶν Ὀλυμπίων εὔχεται, ὅτι φησὶ, Ζεῦ πάτερ τῶν γε μὰν ἔραται. ὁ δὲ Πίνδαρος ὅτε βούλοιτο ἐπαινεῖν τὰς πατρίδας τῶν νενικηκότων, ἀθροΐζειν εἴωθε τὰ πανηγυρόμενα τῇ πόλει περιφανῆ. καθὼς ἐν τῇ ᾠδῇ, ἧς ἡ ἀρχὴ, Ἰσμηνὸν, ἢ χρυσηλάκατον Μελίαν. ὁ δὲ λόγος, ὑμνεῖτε, ὦ Χάριτες, τὴν τοῦ Δαναοῦ πόλιν, καὶ τὰς πεντήκοντα αὐτοῦ θυγατέρας. ὁ δὲ νοῦς ὅλος. τὴν τοῦ Δαναοῦ πόλιν, καὶ τῶν πεντήκοντα θυγατέρων αὐτοῦ. φημὶ δὲ τὸ Ἄργος. ἥτις πόλις Ἀργείων, οἰκητήριον θεοδέγματόν ἐστι τῆς Ἥρας, ὑμνήσατε, ὦ Χάριτες. σὺ δὲ παράθου τὸ Ὁμηρικόν· Ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες Ἄργος τε Σπάρτη τε, καὶ εὐρυάγυια Μυκήνη. καὶ Καλλίμαχος· Ταὶ μὲν ἀεισιμώδεις ὦνες ἀνῆκα Διὸς Ἄργος ἔθειν, ἴδιον περὶ ἐὸν λάχος. ἀλλὰ γενέθλη Ζηνὸς ὅπως σκοπίη τρηχὺς ἄεθλος ἔοι. τὸ δὲ [Φλέγεται,] ἀντὶ τοῦ λάμπεται, καὶ δοξάζεται. ἐκλάμπει χάριν τῶν ἀρετῶν ὧν ἔχει. [Μακρὰ μὲν τὰ Περσέως.] ἀπὸ Περσέως ἄρχεται. Ἀργεῖος γὰρ ἦν. μακρὰ οὖν φησὶ τὰ διηγήματα τὰ περὶ Περσέως, ἃ ἔπραξε κατὰ τὴν Γοργόνα. μακρὰ δὲ αὐτὰ εἶπεν, ἤτοι ὅτι πολλά ἐστι τὰ λεγόμενα, ἤγουν, ἀπὸ πολλοῦ χρόνου μήκους διῆκται εἰς ἡμᾶς, ἢ μακρὰ, ἤγουν, ὑψηλὰ καὶ ἔνδοξα· ἢ καὶ τρίτον, μακρά ἐστι τὰ διηγήματα, ἐὰν ἄρξωμαι εἰπεῖν τὰ περὶ Περσέως. μακρὰ τοίνυν ἂν εἴη λέγειν καὶ διηγεῖσθαι τὰ Περσέως καὶ Μεδούσης τῆς Γοργόνος. καὶ ἐπιεικῶς δὲ τοῦτο ποιεῖ. δοκῶν παραιτεῖσθαι τὸ λέγειν καθ' ἕκαστα τῶν Ἀργείων ἀνδραγαθήματα, λεληθότως καταριθμεῖται αὐτά. Ἔστι δὲ ἡ ἱστορία αὕτη· Μέδουσα, μία δὲ τῶν Γοργόνων αὕτη, ἤρισε ποτὲ περὶ κάλλους τῇ Ἀθηνᾷ. ἡ δὲ πρὸς τὴν πρόσκλησιν ἀγανακτήσασα, πέμπει Περσέα εἰς τὸν Ὠκεανὸν διαβῆναι, παρασχοῦσα αὐτῷ καὶ τὴν Ἄϊδος κυνέην. εἴη δ' ἂν ἡ ἀορασία, καὶ ἀποτεμεῖν τῆς Γοργόνος τὴν κεφαλήν. ὁ δὲ, τῷ αὐτοῦ τάχει διαξέων, καὶ τῇ τῆς Ἀθηνᾶς συμμαχίᾳ, ἐπὶ τὸν ἆθλον στέλλεται. καὶ καταλαβὼν τὰς Γοργόνας, καὶ ἰδὼν διαδούσας ἀλλήλαις τὸν ὀφθαλμὸν (ἑνὶ γὰρ αἱ πᾶσαι ἐχρῶντο) ἁρμοζόμενον τὸ διδόμενον πρὸς τὸ ἐγχείρημα σκοπήσας, ἀποτέμνει τῆς Μεδούσης τὴν κεφαλὴν, καὶ δίδωσι τῇ Ἀθηνᾷ. ἡ δὲ δεξαμένη, ἀνέθηκε τοῖς ἑαυτῆς στήθεσι, ὅπως ἂν ἐν τῇ παραθέσει ἡ τοῦ κάλλους εἴη διάκρισις. ἐδυνήθη δὲ καὶ τῇ τῆς Γοργόνος κεφαλῇ τὴν Ἀνδρομέδαν τοῦ κήτους ἀπολυτρῶσαι. δείξας γὰρ τῷ κήτει τὴν Γοργόνα, καὶ ἀπολιθώσας αὐτὸ, ἀπέλυσε τῆς βορᾶς τὴν παρθένον. οἱ γὰρ ὁρῶντες τὴν κεφαλὴν τῆς Γοργόνος ἀπελιθοῦντο.

[Πολλὰ

Πολλὰ δ᾽ Αἰγύπτῳ κατῴκισθεν ἄστη,
Ταῖς Ἐπάφου παλάμαις.
Οὐδ᾽ Ὑπερμνήστρα παρεπλάγχθη, μονό-
ψαφον ἐν κολεῷ κατασχοῖσα ξίφος.

ἀντιστροφὴ α΄. κῶλον ια΄.

Διομήδεα δ᾽, ἄμβροτον
Ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν.
Γαῖα δ᾽ ἐν Θήβαις ὑπέδεκτο, κεραυ-
νωθεῖσα Διὸς βέλεσιν,
Μάντιν Οἰκλείδαν, πολέμοιο νέφος.
Καὶ γυναιξὶν καλλικόμοι-
σιν ἀριστεύει. Πάλαι

Multa vero in-Ægypto condita-fuerunt op-
Epaphi manibus. [pida
Neque Hypermneſtra aberravit, aliis-non-con-
ſentientem in vagina dum-retinuit gladiũ.

Metaph.

Diomedem autem, immortalem
Flava quondam *Dea* Cæſia fecit Deum.
Terra vero Thebis excepit percuſ-
ſa Jovis telis,
Vatem Oicliden, belli nubem.
Et fœminis pulchrico-
mis excellit. Olim

Paraphrasis.

Qualia & Epaphi filii Jovis & Ius filiæ Inachi Argivi: qui cum à matre in Ægyptum tranſlata in lucem editus eſſet, ibi multas urbes, ut pote Memphim, aliaſque condidit. Quale etiam illud memorabile Hypermneſtræ factum, quæ ſola clemens in nuptias non peccavit, quando cum reliquis ſororibus non conſentiens, traditum à patre gladium, quo prima nocte ſponſum interficeret, è vagina non eduxit, & marito pepercit. Hoc quoque nomine illuſtris reddita eſt civitas, quod Diomedem Tydei filium, flava & cæſiis oculis Minerva, immortalitate donatum in numerum Deorum retulit. Quod & Amphiaraum vatem Oiclei filium, fortem & bellicoſum virum, qui nubis inſtar in hoſtes ingruere ſoleret, terra telis Jovis, ſcilicet fulmine percuſſa Thebis, diffiſſaque abſorpſit, ne turpiter ab hoſte occideretur. Quod etiam capillitio decoris, formaque præſtantibus mulieribus alias urbes antecellit.

Notæ.

8 Κατῴκισθεν ἄρ᾽ ἄστη leg. Schmid. Lon. Sub Epaphi manibus habitatæ, forſan vertens ὑπὸ in Schol. Sub, male; & οἰκίζειν cum οἰκεῖν confundens. 16 Πολέμοιο νέφος vocat Hom. Hectorem. Referri poteſt ad exercitus magnitudinem. Schmid. 17 Lon. redd. Et pulchre comatis mulieribus olim dominatus eſt Jupiter, ad Alcmenam Danaamque perveniens hanc rationem demonſtravit. Refert igitur ἀριστεύει ad Ζεὺς, quaſi ἀριστεύειν eſſet, Dominari; & τὸ πάλαι ad ἀριστεύει non κατέφανε pertineret; & λόγος hic ſonaret Ratio.

Πολλὰ δ᾽ Αἰγύπτῳ κατῴκισθεν ἄστη.] πολλὰ δ᾽ ἂν εἴη λέγειν, ὅπως ἐν τῇ Αἰγύπτῳ κατῳκίσθησαν πόλεις, ὑπὸ τῶν τοῦ Ἐπάφου χειρῶν. Ἔπαφος δὲ, Διὸς καὶ Ἰοῦς. Ἰὼ δὲ Ἰνάχου τοῦ ἐν Ἄργει ποταμοῦ καὶ νύμφης. οὗτος οὖν ὁ Ἔπαφος ἐβασίλευσε Αἰγύπτου, Ἀργεῖος ὢν ἀπὸ μητρός. [Οὐδ᾽ Ὑπερμνήστρα παρεπλάγχθη.] τί δ᾽ ἄν τις φήσειε περὶ τῆς Ὑπερμνήστρας, ἥτις οὐκ ἐσφάλη φεισαμένη τοῦ αὐτῆς ξίφους, καὶ μὴ ἀνελοῦσα τὸν Λυγκέα. παρεπλάγχθη δὲ, ἀντὶ τοῦ, τοῦ δέοντος ἀπεπλανήθη λογισμοῦ. [Ἄλλαις.] καὶ τοῦτο εἰς ἔπαινον φησί. τῶν γὰρ ἄλλων Δαναΐδων κοινῇ γνώμῃ ἐπιθεμένων τοῖς Αἰγυπτιάδαις, μόνη ἡ Ὑπερμνήστρα ἐπεὶ διεφύλαξεν αὐτὴν ἁγνὴν καὶ παρθένον ὁ Λυγκεὺς, οὐκ ἐφαίνετο ἰσόψηφος ταῖς ἀδελφαῖς, ἀλλὰ μονόψηφος ἐγένετο. ψῆφον ἤνεγκε μόνη κατ᾽ ἑαυτὴν ἀπολυτικὴν τινα ταύτην ἐν κολεῷ κατασχοῦσα τὸ ξίφος· τουτέστι, μόνη παρὰ τὰς ἄλλας Δαναΐδας, ἰδίᾳ ψήφῳ χρησαμένη, οὐκ ἐσπάσε κατὰ τοῦ Λυγκέως τὸ ξίφος. [Διομήδεα δ᾽ ἄμβροτον.] καὶ οὗτος Ἀργεῖος. ὃς δι᾽ ἀρετὴν ἀπηθανατίσθη. καὶ ἔστι περὶ τὴν Ἀδρίαν, Διομήδεια νῆσος ἱερά· ἐν ᾗ τιμᾶται ὡς θεός. καὶ Ἴβυκος οὕτω· Τὴν Ἑρμιόνην γήμας ὁ Διομήδης, ἀπηθανατίσθη σὺν τοῖς Διοσκούροις. καὶ γὰρ συνδιαιτᾶται αὐτοῖς, καὶ Πολέμων ἱστορεῖ. Ἐν μὲν γὰρ Ἀργυρίπποις, ἄγιον ἐστὶν αὐτοῦ ἱερόν. καὶ ἐν Μεταποντίῳ δὲ, διὰ πολλῆς αὐτὸν αἱρεῖσθαι τιμῆς ὡς θεόν. καὶ ἐν Θουρίοις, εἰκόνας αὐτοῦ καθιδρῦσθαι ὡς θεοῦ. [Ἄλλως.] οὐχὶ δὲ καὶ τὸν Διομήδην ἡ Ἀθηνᾶ θεὸν ἐποίησε. κατὰ γὰρ τὸν Θηβαϊκὸν πόλεμον, Μελάνιππος (ἦν δὲ οὗτος ἥρως Θηβαῖος) ἔτρωσε τὸν Τυδέα. ὁ δὲ πρὸς τὴν πληγὴν θυμήνας, καθικέτευσε τὸν Ἀμφιάραον, ἀνελεῖν τὸν Μελάνιππον, καὶ προσαγαγεῖν αὐτῷ τὴν κεφαλήν. προσαχθείσης δὲ αὐτῷ τῆς κεφαλῆς, καὶ τῆς ὀργῆς νικησάσης τὸν δέοντα λογισμὸν, ἀπεγεύσατο τῶν Μελανιππείων κρεῶν, ὡς καὶ Εὐελπίδης ἐν τῷ Μελεάγρῳ φησίν· Εἰς ἀνδρόβρωτας ἡδονὰς ἀφίξεται, χάρματα Περσεὺς γεύσει Μελανίππου σπάσας. τετρωμένῳ οὖν τῷ Τυδεῖ, ἡ Ἀθηνᾶ τὴν ἀθανασίαν παρῆγε, καὶ οὐκ ἀπέλαυσε τῆς δωρεᾶς ἔτι, διὰ τὴν τῶν ἀνθρωπείων κρεῶν βρῶσιν, εἶτα ὡς αὐτὸς οὐκ ἠδυνήθη τῆς ἀθανασίας τυχεῖν, ἠξίωσε τὴν θεὸν ἐπὶ τὸν Διομήδην τὸ δῶρον μεταθεῖναι. τιμᾶται γοῦν καὶ παρὰ Θουρίοις καὶ Μεταποντίοις ὡς θεὸς, Διομήδης. καὶ οὐκ ἔστι παρὰ τοῖς ἱστορικοῖς εὑρεῖν αὐτοῦ τὸν θάνατον. [Γαῖα δ᾽ ἐν Θήβαις ὑπέδεκτο.] καὶ ὁ Ἀμφιάραος Ἀργεῖος. Θηβαῖοι οὖν οὐκ ἔχουσιν ὡς θεὸν τὸν Οἰκλέος παῖδα Ἀμφιάραον· σχισθείσης ὑπὸ κεραυνοῦ τῆς γῆς, καὶ δεξαμένης αὐτόν. ὁ γὰρ Ζεὺς εἰς τιμὴν αὐτοῦ σχίσας τὴν γῆν τῷ κεραυνῷ καταχθῆναι ἐποίησεν αὐτὸν σὺν τῷ ἅρματι. καὶ ἐποίησεν αὐτὸν ἀθάνατον. ἀφ᾽ οὗ δὴ μέχρι νῦν, τὸ τοῦ Ἀμφιαράου μαντεῖον, ἐνδοξότατον τῶν ἐπὶ τῆς Ἑλλάδος. ἀμφίβολον δὲ, πότερον τὸν Ἀμφιάραον ἐδέξατο ἡ γῆ, πολέμου ὄντα νέφος· ἢ ὅτε τὸ τοῦ πολέμου νέφος τοῖς Ἀργείοις ἐπῆλθε τὸ ἀπὸ Θηβῶν· τότε ὁ Ζεὺς κηδόμενος τοῦ Ἀμφιαράου ἐκέλευσεν αὐτὸν ὑπὸ τῆς γῆς δεχθῆναι, καὶ εἶναι ἀθάνατον. [Καὶ γυναιξὶ καλλικόμοισι.] προεξαριθμησάμενος τὰς τῶν Ἀργείων ἀρετὰς, φησὶ, μὴ μόνον ἥρωσι διαπρέπειν αὐτοὺς, ἀλλὰ καὶ ἡρωΐσι γυναιξὶ διαπρέπειν πάλαι ἀρχῆθεν. τίς ἀπόδειξις ὅτι καὶ γυναιξί; Ζεὺς ἐπ᾽ Ἀλκμήναν Δανάαν τε μολών. τοῦτον κατέφηνε τὸν λόγον, ὅτι καὶ γυναιξὶν ἀριστεύει τὸ Ἄργος. οὐχ ἕτερος μάρτυς, ἀλλ᾽ ὁ Ζεύς. ὃς καὶ πρὸς Ἀλκμήνην ἀφίκετο, καὶ Δανάην, Ἀργείας οὔσας.

[Πατεῖτ᾽

Ζεὺς ἐπ' Ἀλκμάναν Δανάαν τε μολὼν,	Jupiter ad Alcmenen Danaenque profectus,
Τὸν κατέφανε λόγον.	Hanc declaravit famam.
Πατρί τ' Ἀδράστοιο, Λυγκεῖ τε φρενῶν	Patrique Adrasti, Lynceoque mentis
Καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ.	Fructum cum-recta adaptavit justitia *Jupiter*.
ἐπῳδὸς α'. κώλων ιβ'.	ΜΕΤΑΡΗ.
Θρέψεν δὲ αἰχμὰν Ἀμφιτρύ-	Aluit autem bellum Amphitry-
ωνος. Ὁ δ' ὄλβῳ φέρτατος	onis. Is autem felicitate præstantissimus
Ἵκετ' ἐς κείνου γενεὰν,	Venit *hac ratione* in illius affinitatem,
Ἐπεὶ καὶ ἐν χαλκέοις ὅπλοις	Quando & in æreis armis
Τηλεβόας ἔναρεν, οἱ	Teleboas interfecisset, ei
Ὄψιν εἰδόμενος	Faciem assimilatus
Ἀθανάτων βασιλεὺς, αὐλὰν ἐσῆλθεν,	Immortalium rex, aulam intravit,
Σπέρμ' ἀδείμαντον φέρων	Semen generosum afferens
Ἡρακλέος. Οὗ κατ' Ὄλυμπον	Herculis. Cujus in cœlo
Ἄλοχος Ἥβα, Τελείᾳ	Uxor Hebe Perfectricem-nuptiarum
Παρὰ ματέρι βαίνοι-	Apud matrem *Junonem* ince-
σ' ἔστι, καλλίστα Θεῶν.	dens est, pulcherrima Dearum.
στροφὴ β'. κώλων ια'.	ΜΕΤΑΡΗ.
Βραχύ μοι στόμα πάντ' ἀνα-	Arctum *est* mihi os *ad* omnia recen-

PARAPHRASIS.

Quam famam veram esse Jupiter suo facto comprobavit: quum Alcmenam & Danaën Argivas amavit & adivit. Quod & Talaum Adrasti patrem, & Lyceum Ægypti filium Hypermnestræ maritum habuit reges, quibus Jupiter prudentiam & justitiam conjunctim largitus est. Quod & Amphitryonem tulit, cujus idem Jupiter hastam sustentavit, scilicet ipsi favendo in bello. Atque is quoque Amphytrio fœlicitate præstantissimus in Dei illius affinitatem venit, quando rex ille Deorum immortalium æneis armis indutus, & assimilatus Amphitryoni Taphiorum seu Teleboarum victori (quos qui vicisset, raptumque Electryonis boum, & ejusdem filiorum necem ultus esset, Alcmena filia & soror sui conjugium promiserat) ingressus est aulam & Alcmenam compressit, ex qua generosum, ad omniaque pericula intrepidum Herculem genuit, cujus uxor Hebe Dearum formosissima cum matre Junone pronuba Dea & nuptiarum perfectrice in cœlo versatur. Sed quid infinitas res apud Argivos memorabiles exponam? Sane non possim omnia præclara recensere,

NOTÆ.

10 Τοῦτον κατέφανε leg. Schmid. 22 Δίκα] Lon vert. Modo. 23 Θρέψεται leg. Ald. quod Schmid. corruptum esse vult pro Θρέψατο, quia Futuri hic nullus est usus. Θρέψε δ' αἰχμὰν Edd. Prolongavit bellum, ut uno die Amphitryonem prævertere posset. & cum Alcmene congressus quæ Amphitryoni postea nupsit, affinitate aliqua cum eo conjunctus fuit. Hæc est Schmidii interpretatio. Vulg. vero Promovit bellum. Vide quomodo accipit Paraphrastes. 26 Τὸ καὶ expungit Schmid. 27 Ἐναρόντι ὄψιν εἰδόμενος leg. conjecit Rittershusius, quem sequuntur Schmid. & Paraphr. Codd. tamen, cum sensum congruum præbeant, non sunt deserendi. Cum tamen nostram lect. ratione sensus æque ac metri rejiciendam asserit Bened. judicio lectoris Codd. tuemur. 32 Vide Schol. ad hoc † signum, ubi αὐτὴ legendum censet Stanleius in Comment. ad Æschylum. 35 Virg. *Non mihi si linguæ centum sint, oraque centum*, &c.

[Πατρί τ' Ἀδράστοιο Λυγκεῖ τε.] οὐχὶ δὲ καὶ τῷ τοῦ Ἀδράστου πατρὶ Ταλαῷ, καὶ τῷ Λυγκεῖ ἄριστον λογισμὸν παρέσχε, καὶ μετὰ δικαιοσύνης συνήρμοσε. καρπὸς δὲ φρενῶν ὁ λογισμός. τίς δὲ συνήρμοσεν; ὁ Ζεύς. ὁ δὲ νοῦς. καὶ ὅτι Ταλαῷ γοῦν καὶ Λυγκεῖ, τὸν τῶν φρενῶν καρπὸν εὐθὺν ἐποίησεν. ὅ ἐστι δίκαιον αὐτῶν τὸν νοῦν ἐποίησεν ὁ Ζεύς. ἀπὸ Λυγκέως δὲ, οἱ περὶ Περσέα. [Ὁ δ' ὄλβῳ φέρτατος.] κοινωσάμενος τῷ Ἀμφιτρύωνι τὴν γενεὰν ὁ Ζεύς. [Ἵκετ' ἐς ἐκείνου γενεάν.] πῶς δὲ παρεγένετο συγγενὴς; ὁ μὲν γὰρ Ζεὺς τῇ προτέρᾳ ἡμέρᾳ ἐγέννησε τὸν Ἡρακλέα. ὁ δὲ Ἀμφιτρύων, τῇ ἑξῆς τὸν Ἰφικλέα. καὶ ἐμίχθη τὰ γένη ἀμφοτέρων. καὶ οὕτως εἰς τὸν οἶκον ἐλθὼν τῆς Ἀλκμήνης, ἐπλησίασεν αὐτῇ, καὶ τὸν Ἡρακλέα ἔσπειρεν. ἆθλον γὰρ ἡ Ἀλκμήνη, τὸν ἑαυτῆς γάμον προὔθηκε τῷ τοὺς Τηλεβόας καταπολεμήσαντι. ἐπέραινε τοῦτο ὁ Ἀμφιτρύων. καὶ ἐκείνου πρὸς πόλεμον ἀσχολουμένου, ὁ Ζεὺς ἀφομοιωθεὶς, συνῆλθεν αὐτῇ. [Ἀδείμαντον] δὲ ἔφη τὸ σπέρμα, ὃ ἔμελλεν εἰς τὴν τοῦ Ἡρακλέος γένεσιν καταβαλεῖν ὁ Ζεύς. ὅ ἐστιν ἄριστον. ὁ γὰρ ἐξ αὐτοῦ γεννηθεὶς ἦν ἄριστος Ἡρακλῆς. [Οὗ κατ' Ὄλυμπον ἄλοχος.] οὗτινος Ἡρακλέος ἡ γαμετὴ κατὰ τὸν Ὄλυμπον Ἥβη, παρὰ τῇ τελείᾳ ἑαυτῆς μητρὶ προϊοῦσα πορεύεται τῶν θεῶν ἐκπρεπεστάτη. λέγει δὲ μητέρα τελείαν τὴν Ἥραν, καὶ Αἰσχύλος· Ἥρα τελεία, Ζηνὸς εὐναία δάμαρ. ἔστι γὰρ † αὐτὴ γαμηλία, καὶ ζυγία. ἔστι δὲ ὁ γάμος τέλειος, διὰ τὸ τελειότητα βίου κατασκευάζειν. [Βραχύ μοι στόμα πάντ' ἀναγήσασθαι.] ἥττηταί μοι, φησὶ, τῶν Ἀργείων ἀνδραγαθημάτων ὁ λόγος, καὶ ἀδυνάτως ἔχει πάντα διηγήσασθαι τὰ τοῦ Ἄργους καλά.

γήσαιϑ', ὅσων Αργεῖον ἔχει τέμενος
Μοῖραν ἐσλῶν. Εστι δὲ καὶ κόρος ἀν-
θρώπων βαρὺς ἀντιάσαι.
Αλλ' ὅμως εὔχορδον ἔγειρε λύραν,
Καὶ παλαισμάτων λάβε φρον-
τίδ'. Αγών τοι χάλκεος
Δᾶμον ὀτρύνει ποτὶ θυσίαν Η-
ρας, ἀέθλων τε κρίσιν,
Ουλία παῖς ἔνθα νικάσαις δὶς, ἔ-
σχεν Θεαῖος εὐφόρων λάθαν πόνων.

ἀντιστροφὴ β'. κώλων ια'.

Εκράτησε δὲ, καὶ ποθ' Ελ-
λανα στρατὸν Πυθῶνι, τύχᾳ τε μολὼν
Καὶ τὸ Ισθμοῖ, καὶ Νεμέᾳ στέφανον,
Μοίσαισί τ' ἔδωκ' ἀρόσαι.

sendum, quotcunq; Argivum habet delubrũ
Sortem bonorum. Est vero etiam Satietas ho-
minum gravis occursu. [lyram,
Sed tamen ô *Musa* chordis-bene-sonorã excita
Et luctarum suscipe cu-
ram. Certamen utique æneum
Populum exhortatur ad sacrificium Ju-
nonis, præmiorumque judicium,
Uliæ filius ubi quum-vicisset bis, consecu-
tus-est Thiæus facilium oblivionẽ laborum.

METAPH.

Obtinuit vero, etiam ad Græ-
cum populum Delphis, fortunateq; profectus
Et in-Isthmo, & in-Nemea, coronam,
Musisque dedit excolendam.

PARAPHRASIS.

quæ de Argo virtutibus suorum incolarum bene fortunato referenda sese offerunt, adeo mihi angustum est os, & imbecilla dicendi facultas: præterquam quod ex enumeratione longiori devitare volo hominum fastidium, in quod incidere mihi foret molestum. Quanquam autem iis de causis longiorem narrationem præcidam, quod attinet ad priscorum Argivorum res memorabiles: nihilominus virum Argivum recens Hecatombæorum victorem celebrabo. Quare accipe lyram fidibus tensis bene sonantem, & curam suscipe laudandi illum palæstritam. Robustum certamen quod Junoniorum tempore quo æneis armis indici solet, Argivum populum hortatur ut ad Hecatombes sacrificium Junoni fieri solitum, & ad præmiorum jud cium se conferat. In quo certamine Thiæus Uliæ filius jam secundo victoriam adeptus præmio donatus est: quem ob successum, nullo difficilium quos exhausit laborum sensu afficitur. Præter quas victorias, fæliciter profectus ad multitudinem Græcorum, quorum alii ad certandum, alii ad spectandum, Pythonem, Isthmum & Nemeam adeunt, Pythiorum, Isthmiorum & Nemeorum coronam obtinuit: Musisque materiam carminis suppeditavit, quo victorias cohonestent: unam quidem Delphis partam,

NOTÆ.

36 Τίμενος] Ager æque ac Delubrum. 40 Πάλης ἄϑλων leg. Schmid. vertens, Luctæ Certaminum. 42 Ποτὶ τὰν θυσίαν, Schmid. 43 Αἐϑλων] Certaminum, Phil. Αεϑλος enim est Certamen, ut ἄεϑλον, Præmium. 44 Αλία hab. Ald. ut & Comm. Ηλία in Inscriptione. Non multum refert, utrum Ουλίας vel Αλίας vel Ηλίας dictus fuit Pater Thiæi. 45 Pro εὐφόρων Schmid. leg. vult δυσφόρων Difficilium, auctoritate destitutus, nec favente metro; quamvis & ille & Ben. id affirment. Quod autem attinet ad sensum istius lectionis, si lectori arrideat, Paraphrasis tradit. Licet enim primo intuitu putaret quivis, neminem velle oblivisci facilium laborum, sed potius difficilium, tamen honori cedit Heroï labores aliis arduos sine difficultate tolerare; ut λήϑη fit τῶν πόνων, qui tamen πόνοι non erant δύσφοροι. Si tamen liceat libere quod sentiamus, proferre, εὐφρόνων (quod habet Schol.) commodius reponi posse dicendum est. Εσχεν enim λήϑην τῶν πόνων τῶν εὐφρανϑέντων, δηλονότι διὰ τῆς νίκης. Vel ita exponas εὐφόρων. Is recte dicitur laborum suorum oblivisci, qui per & propter illos gaudio perfusus est. 46 Ordo est. Μολὼν δὲ καὶ ποϑ' Ελλανα στρατὸν, τύχᾳ τε ἐκράτησε [τὸν] Πυθῶνι, καὶ τὸν Ισθμοῖ, καὶ [τὸν] Νεμέᾳ στέφανον. 49 Musis tradidit arandam. Pindarus sæpe Poësin arationi comparat. Vide P. 6. 2. & N. 6. 56.

διατί δὲ εἰς ταῦτα παρεκβέβηκεν; ὅτι ὁ ἀγὼν ὃν ἐνίκα ὁ Θειαῖος, τὰ ἑκατόμβαια, ἐκ ἦν ἐπίσημος, οὐδ' ἐκπρεπὴς ἦν. ἵν' οὖν ἔχῃ μῆκος περιποιῆσαι τῇ ᾠδῇ, ἐπὶ τὴν κοινότητα τῶν ἐπαίνων τῆς πατρίδος αὐτοῦ κατηνέχθησεν. [Εστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς ἀντιάσαι.] ἔστι μὲν γὰρ ὁ τῶν ἀνθρώπων φθόνος βαρὺς πρὸς ἐναντίωσιν. οὐχ ἡδέως γὰρ ἀκούουσιν ἀλλοτρίων θαυμάτων οἱ ἄνθρωποι, ἀλλ' εὐθὺς κόρον ἔχουσι τῶν ἐπαίνων διὰ βασκανίαν. [Αλλως.] ὁ κόρος βαρύς ἐστιν ὁ ἀπὸ τῶν ἀνθρώπων ἀντιάσαι καὶ συναντῆσαι. τουτέστιν ἀντίος γενηθεὶς ὁ κόρος τῶν ἀνθρώπων, βαρύς ἐστι καὶ δυσβάστακτος. διὸ τὸν ὕμνον τῶν Αργείων καταλείψας, τὸν κόρον φεύξομαι· ὅ ἐστι τὸν φθόνον. [Αλλ' ὅμως εὔχορδον ἔγειρε λύραν.] πρὸς ἑαυτόν φησι ταῦτα ὁ Πίνδαρος. ὅμως μέντοι τὴν εὐάρμοστον λύραν λάμβανε. καὶ τὴν [φροντίδα] τῶν παλαισμάτων δέξαι. τουτέστιν ἐπαίνει τὸν παλαιστήν. [Χάλκεον] δέ φησι τὸν ἀγῶνα. τουτέστιν ἰσχυρόν. ἢ ὅτι χαλκοῦν ὅπλον τὸ ἔπαθλον. ὁ τοίνυν ἀγὼν ὁ στερρότατος τὸν δῆμον παρορμᾷ εἰς τὴν τοῦ θεοῦ θυσίαν, εἴς τε τὴν τῶν ἄθλων κρίσιν τὸν δῆμον ὁ τοῦ Οὐλίου παῖς Θειαῖος παρορμᾷ. τὸ παρορμᾷ δὲ ἀπὸ κοινοῦ. δὶς δὲ αὐτόν φησι νενικηκέναι τὰ Εκατόμβαια, καὶ ἐσχηκέναι εὐφόρων λήθην πόνων. ἐπιλανθάνονται γὰρ οἱ ἄνθρωποι τῶν κατὰ τὴν ἄθλησιν πόνων, ὅταν νικήσωσι. γράφεται δὲ καὶ εὐφρόνων. εὐφόρων μὲν, ἐπεὶ εὔφοροί εἰσιν οἱ τοιοῦτοι πόνοι, τουτέστιν, ἀεὶ τὰ ἆθλα ἐνηνοχέναι. εὐφρόνων δὲ τῶν, εὐφραντικῶν. [Εκράτησε δὲ καὶ ποθ' Ελλανα στρατὸν Πυθῶνι τύχᾳ.] τὸ πλῆθος στρατὸν εἶπεν, ὡς καὶ Πύθια νενικηκότος αὐτοῦ, καὶ Ισθμια, καὶ Νέμεα. ἢ οὕτω. παραγέγονε δὲ καὶ ἐκράτησε πάντων τῶν ἀνταγωνιστῶν ἐν τοῖς Πυθίοις. ὁ δὲ νοῦς, σὺν εὐτυχίᾳ δὲ παραγενόμενος, ἐκράτησε πάλιν, καὶ τοὺς ἐν Ισθμῷ καὶ Νεμέᾳ στεφάνους. [Μοίσαισί τ' ἔδωκ' ἀρόσαι.] τουτέστι, ταῖς Μούσαις ἔδωκεν ἀρόσαι καὶ σπεῖραι τοὺς στεφάνους, διὰ τὸν ὕμνον. ἢ ὡς ἑτέρων ποιησάντων καὶ ὑμνησάντων αὐτὸν ἐπὶ ταῖς νίκαις ἐκείναις, τοῦτο, φησίν, ὁ δὲ νοῦς. καὶ παρέσχε πρόφασιν ταῖς Μούσαις. τρίτον μὲν γὰρ κληρωθεὶς, ἐνίκησε τὰ Ισθμια. Πόντου γὰρ πύλας εἶπε τὸν Ισθμὸν, διὰ τὸ στενόν.

[Τεὶς

Τρὶς μὲν ἐν ποντίοιο πύλαισι λαχὼν,	Ter quidem in maris portis sortitus,
Τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις	Ter vero etiam venerandis *in* campis
Ἐν Ἀδραστείῳ νόμῳ.	In Adrastea ditione.
Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενὶ, σιγᾷ	Jupiter pater, quæ quidē desiderat animo, reti-
Οἱ στόμα. Πὰν δὲ τέλος	Ipsi os. Omnis vero eventus [cet
Ἐν τὶν ἔργων. Οὐδ' ἀμόχθῳ καρδίᾳ,	In te *est* operum. Neque segni corde,
Προσφέρων τόλμαν, παραιτεῖται χάριν.	Afferens temeritatem, à-te-petit beneficium.
ἐπῳδὸς ϛʹ. κώλων ιϛʹ.	METAPH.
Γνώτ' ἀείδω Θεῷ τε,	Nota cano Deoque,
Χ' ὥς τις ἀμιλλᾶται περὶ	Et *illi* quisquis certat de
Ἐσχάτων ἀέθλων κορυφαῖς.	Supremorum præmiorum cacuminibus.
Ὕπατον δ' ἔσχεν Πίσα	Summum vero accepit Pisa
Ἡρακλέος τεθμόν. Ἀδεῖ-	Herculis ritum. Sua-
αί γε μὲν ἀμβολάδαν	vesque quidem per- intervalla

PARAPHRASIS.

tres autem in Isthmo Corinthiaco, qui est veluti porta maris propter angustiam: tres quoque in venerabili Nemeæ solo, quod ex Adrasti vicinæ Sicyonis regis ditione fuit. Nunc autem, Jupiter pater, ille quiddam optat quod silentio premit, nec proloqui audet. Interno animi voto beneficium petit à te penes quem est rerum omnium successus: nec tamen id temere cogitat, ut citra laborem obtinere velit: sed suo merito tuaque ope id consequi expetit. Neque me comminisci hoc illi esse in votis, te & illum testem appello: siquidem dico rem tibi ut pote Deo omniscio notam, illique ipsi summopere optanti victoriam Olympicam, quæ omnium est suprema: siquidem Hercules certaminis hujus præ aliis honorati ritum in Pisa sanxit. Porro idem bis Panathenæa Minervæ sacra vicit, non continenter quidem, sed interjecto temporis intervallo,

NOTÆ.

52 Alii ἐν Ἀδραστείῳ νόμῳ; Portus vertit ex Adrastea lege, & explicat, Quæ in ludis ab Adrasto illic institutis observabatur. 53 Τῶν μὰν Commune leg. Codd. Schol. vero ad init. Odæ μὲν, quod retinuimus. Sensus est, Desiderium animi sui modestia & verecundia proloqui non finit. Schmid. Phil. Interrogationem facit, Quid amplius optet? 57 Γνώτ' pro γνωτὰ, non vero γνῶτ'. ut Alii. Γνώτ' ἀείδω τὶν Θεῷ τι, τῷ - Θ' ἐστις leg. Schmid. qui etiam scribit Poëtam velle innuere, hæc secreta esse, quod Deo & Thiæo optime sint nota. 59 Κορυφᾶς legendum conjicit Phil quia de Olympico certamine sermo est, quod est quasi vertex cæterorum, i. e. Præstantissimum. Rittershusius idem statuit nisi quod retinuit Doricum κορυφᾶς, Schmid. qui conjecturas nimis amat, credidit mendam, quæ sane nulla est, inserendo τὸ ι in Codd. irrepsisse. Eum sequitur Ben. Verum est, Schol. exponere κορυφῆς τῶν ἀέθλων, idque recte; sed nec eum ita legisse hinc magis patet, quam ex altera ista expositione, οἵ εἰσι κορυφαὶ ἐσχάται τῶν ἄθλων, eum legisse ἐσχάταις ἀέθλων κορυφαῖς, quam tamen lectionem, si aliquid mutandum esset, mallemus. Schmid. vero retinuit cacuminibus in Versione, per incuriam. Sæpe annotavimus, Pindarum Plurali uti, quum majestatem aliquam & dignitatem rei, quam describit, conciliare studet.

[Τρὶς δὲ] τὰ Νέμεα κατὰ τὴν Ἀδράστου διοίκησιν καὶ νομοθέτησιν τελούμενα. οἱ γὰρ ἑπτὰ ἐπὶ Θήβαις, ἀνενεώσαντο τὰ Νέμεα· ὧν εἷς Ἄδραστος. ἐπεὶ οὖν καὶ αὐτὸς τῶν ἐν Ἄργει ἐπιφανῶν, διὰ τοῦτο Ἀδραστείῳ νόμῳ φησὶ, χαριζόμενος καὶ διὰ τούτου πλέον τι τοῖς Ἀργείοις. [Σεμνοῖς] δὲ δαπέδοις, τοῖς Νεμείοις φησὶν ὁ Δίδυμος. πλησίον γάρ ἐστι Σικυῶνος. Ὅμηρος· Ἔνθ' Ἄδρηστος πρῶτ' ἐμβασίλευσεν. ἐτίθετο δὲ πάλαι ἐν τῇ Σικυῶνι τὰ Νέμεα. οὐ γὰρ ἂν σημαίνοι τὰ Πύθια τὰ ἐν Σικυῶνι ἀγόμενα. οὐ γάρ ἐστιν ἐκεῖνος περιοδικὸς ὁ στέφανος, ἀλλ' ὁ τῶν Νεμέων. βούλεται δὲ νῦν, τοὺς περιοδικοὺς εἰπεῖν. τὸ λοιπὸν γὰρ ἐπιφέρει, τὸν Ὀλυμπιονίκον· εὐχόμενος τελειωθῆναι ὑπ' αὐτοῦ τὴν περίοδον. [Ζεῦ πάτερ, τῶν μὲν ἔραται.] διὰ τούτων φανερὸν ὅτι περὶ τῶν Ὀλυμπίων λέγει, φάμενος αὐτὸν ἐπιθυμεῖν, καὶ τοῦτον τὸν στέφανον λαβεῖν. ἵν' ἐκπληρώσῃ τὴν περίοδον· σιγᾷν δὲ καὶ ἐπιτρέπειν τῷ θεῷ. διὰ δὲ τοῦ, [Παραιτεῖται χάριν,] ὑπακουστέον ὅτι παρὰ σοῦ αἰτεῖται τὴν χάριν. ἀλλὰ καὶ τολμῶν καὶ μοχθῶν τι πράττειν τῶν πρὸς τὸ ἔργον συντεινόντων. ὁ δὲ νοῦς. ὧν γε μὴν ἐπιθυμεῖ τυχεῖν, ἐν τῇ διανοίᾳ κρύπτει, σιωπῶ διὰ τὸ νεμεσητόν. βούλεται δὲ λέγειν τὰ Ὀλύμπια. διὸ καὶ τῷ Διῒ εὔχεται. ἐὰν οὖν, φησι, σὺ θέλῃς, καὶ τὰ Ὀλύμπια ἕξει. παντὸς γὰρ πράγματος τέλος, ἐν σοί ἐστιν, ὦ Ζεῦ. [Οὐδ' ἀμόχθῳ καρδίᾳ.] οὐ χωρὶς μόχθων αἰτεῖται τὰ Ὀλύμπια, ἵνα ἀμόχθως αὐτὰ λάβῃ· ἀλλὰ μοχθήσας καὶ πονήσας, παλαίων, παραιτεῖται τὴν χάριν. οὐ συνήθως δὲ τὸ παραιτεῖται, ἀντὶ τοῦ αἰτεῖται. ὅ ἐστιν ἐπικαλεῖται. ἐπιφέρει γὰρ, παρὰ σοῦ αἰτεῖται τὴν χάριν ταύτην καὶ τὴν δωρεὰν, ὦ Ζεῦ, τὰ Ὀλύμπια νικῆσαι. [Γνώτ' ἀείδω θεῷ τε.] σύγνωστα δὲ λέγω αὐτῷ τῷ θεῷ, καὶ τῷ Θεαίῳ. ὅστις Θεαῖος, ἀμιλλᾶται καὶ σπουδάζει, περὶ τῆς κορυφῆς τῶν ἐσχάτων ἄθλων. ἐσχάτων δὲ τῶν τὸ τέλειον ἐχόντων τῆς δόξης. ἢ οὕτω. φανερὰ δὲ λέγω τῷ τε Διῒ, καὶ τῷ βουλομένῳ παντὶ ἀμιλλᾶσθαι καὶ σπουδάζειν περὶ τῆς κορυφῆς τῶν τελευταίων ἄθλων. ἄθλων δὲ κορυφὴ καὶ τέλος τὰ Ὀλύμπια. εἰκότως δὲ φησιν ἐπιθυμεῖ τῶν Ὀλυμπίων. τὸν γὰρ ἐνδοξότατον καὶ ὑπερέχοντα θεσμὸν ἔχει ἀπὸ τοῦ Ἡρακλέος τὰ Ὀλύμπια. ἢ οὕτως. ἐπεὶ προεῖπεν αἰνιγματωδῶς, ὅτι οὐ δύναμαι εἰπεῖν τίνων ἐρᾷ, ἦν δὲ τῶν Ὀλυμπίων, ἐπεῖπε· ταῦτα γνωστὰ λέγω καὶ σοὶ ὦ Ζεῦ. καὶ σοὶ τῷ ἐπιθυμοῦντι ἀμιλλήσασθαι περὶ τούτων τῶν ἄθλων. οἵ, εἰσι κορυφαὶ ἔσχαται τῶν ἄθλων. καὶ γὰρ τὸ πρῶτον, ἔσχατόν ποτε δύναται γενέσθαι, καὶ τὸ ἔσχατον πρῶτον. κέχρηται καὶ Σοφοκλῆς τῷ ἐσχάτῳ, ἀντὶ τοῦ πρώτου. Ἥδη γὰρ ἕδρα Ζεύς φησιν ἐν ἐσχάτῳ θεῶν. ἀντὶ τοῦ ἐν πρώτῳ. [Ἀδεῖαι γε μὲν ἀμβολάδαν.] ὡς δὶς αὐτοῦ νενικηκότος τὰ Παναθήναια, ταῦτά φησιν. ὀμφαὶ οὖν ἡδεῖαι τῶν Ἀθηναίων ἐκώμασαν αὐτόν.

Εν τελεταῖς δὶς Αθαναίων μιν ὀμφαὶ	In sacrificiis bis Atheniensium ipsum voces
Κώμασαν. Γαίᾳ δὲ καυ-	Decantarunt. Terræ vero adu-
θείσᾳ πυρὶ καρπὸς ἐλαίας	stæ igni *infusus* fructus oleæ
Εμολεν Ηρας τὸν εὐά-	Venit *ad* Junonis for-
νορα λαὸν, ἐν ἀγγέων	tem populum, in vasorum
Ερκεσιν παμποικίλοις.	Septis admodum-variegatis.
στροφὴ γ'. κώλων ια'.	Μεταρн.
Επεῖαι δὲ Θειαῖε ματ-	Sequitur autem ô-Thiæe majorum-ma-
τρώων πολύγνωτον γένος ὑμετέρων	ternorum *quoad* illustre genus vestrorum
Εὐάγων τιμὰ Χαρίτεσσί τε καὶ	Certaminibus-congruus honor *cum* Gratiis &
Τυνδαρίδαισι θαμάκις.	Tyndaridis frequenter.
Αξιωθείην κεν, ἐὼν Θρασύκλου	Quam-digne-vellem, si-essem Thrasycli
Αντία τε σύγγονος, Αρ-	Antiæque cognatus, Ar-
γεϊ μὴ κρύπτειν φάος	gis non occultare lumen

Paraphrasis.

atque illi suo more Athenienses suavi voce carmen cecinerunt: necnon pro præmio accepit oleum fictili vasi ex assata terra conflato infusum, quod in patriam Argos, cujus populi generosi Juno tutelaris est Dea, intus vasorum picturatas thecas asportavit. Hic autem fœlix certaminum successus tibi ô Thiæe à materni generis fortitudine manat. Nam tuorum progenitorum maternorum agilitate valentium genus nobilissimum creber honor Gratiarum & Dioscurorum beneficio sequitur. Adeo ut quamvis nihil ipse præclari præstitisses, dignus tamen censereris, qui apud Argos oculos & faciem non occultares, tanquam non ignobilis, & à non ignavis oriundus, cum Thrasycli & Antiæ sis consanguineus.

Notæ.

63 Μιν] Aldus γάρ. 64 Quia Dores sæpe omitt. τὸ ι Subscribendum, Lonic. pro Nominat. habet. h. e. Γαῖα καυθεῖσα [καὶ] καρπὸς ἐλαίας; conjungit enim cum καρπός. 67 Εν ἀγγέων ἕρκεσιν] Schmid. interpretatur, In Urceolorum arculis, quibus illa vascula inclusa dabantur, picturis variis ornatis. Vide Schol. 70 Πολυγνώτῳ γένει Schmid. referens ad ἕπεται. Vide Schol. 71 Εὐαγῶν leg. Ben. & exponit. Agilium. 72 Τυνδαρίδαις omnes præter Ald. Schmid. vero addit σὺν Τυνδαρίδαις, uti exponit Schol. 73 Αξιωθείην] Schmid. hæc à Poëta vult dici. Schol. & Paraphr. aliter. 74 Ξύγγονος, Schmid.

αὐτόν. [ἀμβολάδαν.] τουτέστιν, ἀναβεβλημένως τῇ φωνῇ, καὶ λαμπρῶς. ἢ ἀμβολάδην ἀνακρουόμενοι. καθὸ προαναβολὰς λέγουσι, τὰ περὶ τῶν προοιμίων. δὶς οὖν ὑμνήθη καὶ ἐκωμάσθη φησὶν, ᾀδόντων καὶ ὑμνούντων αὐτοῦ τὴν νίκην τῶν Αθηναίων ἐν ταῖς τελεταῖς. ἔστι δὲ καὶ οὕτω προενέγκασθαι. τὸ ἁδείᾳ ἐν τελετῇ. ἐν ἡδείᾳ τελετῇ ἐκώμασαν αὐτὸν αἱ τῶν Αθηναίων ὀμφαὶ δίς. τινὲς δὲ τὸ ἀμβολάδην, οὕτως ἀκούουσιν. ὅστις δὶς μὲν ἐνίκησε τὰ Παναθήναια. οὐκ ἐφεξῆς δὲ, ἀλλὰ ἀναβολάδην. τουτέστιν, ἀναβολῆς τινὸς γενομένης μεταξύ. [Γαίᾳ δὲ καυθείσᾳ πυρὶ, καρπὸς ἐλαίας ἔμολε.] Γαῖαν δὲ κεκαυμένην εἶπε τὴν ὑδρίαν ἐν ᾗ τὸ ἔλαιον. ὀπτᾶται γὰρ ὁ κέραμος. διὰ δὲ τούτου σημαίνει τοὺς τὰ Παναθήναια νενικηκότας. τίθενται γὰρ ἐν Αθήναις ἐν ἐπάθλου τάξει, ὑδρίαι πλήρεις ἐλαίου. διὸ καὶ Καλλίμαχος. Καὶ παρ᾽ Αθηναίοις γὰρ ἐπὶ τέγος ἱερὸν ἧνται Κάλπιδες· οὐ κόσμου σύμβολον, ἀλλὰ πάλης. γῆ οὖν διὰ πυρὸς καυθείσῃ, ὁ καρπὸς τῆς ἐλαίας ἔμολε, τὸ ἔλαιον. Ηρας δὲ εὐάνορα λαὸν, τὸ Αργος. ὁ γὰρ Θειαῖος, Αργεῖος, οὐκ ἔστι δὲ ἐξαγωγὴ ἐλαίου ἐξ Αθηνῶν, εἰμὴ τοῖς * νικῶσι, φησὶν, ἦν, τὴν ὑδρίαν πλήρη ἐλαίου κεκομικέναι ἐξ Αθηνῶν εἰς Αργος τὸν Θειαῖον νικήσαντα. τοῖς γὰρ ἀθληταῖς τοῖς τὰ Παναθήναια νενικηκόσι, δίδοται ὑδρία ἐλαίου πλήρης. [Εν ἀγγέων ἕρκεσι παμποικίλοις.] ἐν πεποικιλμένοις ἀγγείοις. ἐζωγράφηντο γὰρ αἱ ὑδρίαι. [Αλλως.] ἐν ἀμφιφορεῦσι χαλκοῖς, ἔλαιον ἐπεμῶντο οἱ ἀγωνιζόμενοι Αθήνησι τὰ Παναθήναια. ἐπεὶ τὴν ἐλαίαν εὗρεν ἡ θεός. τὰ δὲ χαλκᾶ ταῦτα ἀγγεῖα, ἐκ γῆς καιομένης γίνεται. ἡ οὖν γῆ καιομένη, δίδωσι τὸν χαλκόν. ἐκ δὲ τοῦ χαλκοῦ, γίνεται τὰ ἀγγεῖα, ἐν οἷς βάλλεται τὸ ἔλαιον. ταύτην οὖν φησι τὴν διάνοιαν. τούτοις γὰρ ἐτιμῶντο. [Επεῖαι δὲ Θειαῖε.] ἐπακολουθεῖ δέ φησι κατὰ τὸ πολύγνωτον ὑμέτερον γένος τὸ ἀπὸ τῆς μητρός. μήτρωες γὰρ οἱ τῆς μητρὸς πρόγονοι [Εὐάγων τιμή.] τουτέστιν, ἡ ἐπὶ τοῖς ἀγῶσι τοῖς εὖ ἀγωνισθεῖσιν, ἢ εὖ καὶ καλῶς τιμὴ, σὺν Χάρισι καὶ Τυνδαρίδαις. τὴν δὲ αἰτίαν, διὰ τῶν ἑξῆς ἀποδίδωσιν. [Αξιωθείην κεν.] ἐγώ φησι καταξιωθείην τὸν περὶ Θράσυκλον καὶ Αντίαν συγγενὴς ὢν, ἐν τῷ Αργει διάγειν καὶ ζῆν ἔνθα οὐκ ἂν ἀπαρρησίαστος διετέλεσα, οὐδὲ κάτω βλέπων καὶ κρύπτων ἐμαυτοῦ τὸ ἐλεύθερον. οἱ γὰρ νικῶντες, μετὰ παρρησίας ἄνω βλέποντες βαδίζουσιν. οἱ δὲ ἡττημένοι, οὐχ οὕτως. [Αλλως.] τοῦτο εἶπεν ὡς ἐκ τοῦ Θειαίου προσώπου, ὡς αὐτοῦ περὶ ἑαυτοῦ διαλεγομένου. τοῦ γὰρ Θρασύκλου καὶ τοῦ Αντίου συγγενὴς ὢν, ἐν τῷ Αργει, οὐ κρύψω τὸ φῶς τῶν ὀμμάτων. τουτέστιν, οὐκ ἀπαρρησιάστως ὄψομαι ὡς οὐ νενικηκὼς, ἀλλὰ μετὰ παρρησίας. νενίκηκα γάρ. ἄξιος οὖν ἂν εἴην μὴ κρύπτειν τὸ τῶν ὀμμάτων φάος, μηδὲ κατηφὴς εἶναι. [Αντία τ᾽ ὢν καὶ Θρασύκλου σύγγονος. νικαφορίαις γὰρ ὅσαις ἱπποτρόφον.] πόσαις γὰρ ἱπποτροφίαις, φησὶν, αὕτη ἡ πόλις οὐκ ἔθαλεν ἡ τοῦ Προίτου. τοῦτο μὲν ἐν τῷ Κορινθίῳ Ισθμῷ· τοῦτο δὲ ἐν τῇ Νεμέᾳ, τετράκις νικήσασα. ἀπὸ Σικυῶνος δὲ, καὶ τῶν ἐκεῖσε Πυθίων ἀργυραῖς φιάλαις τιμηθέντες, ἀνεχώρησαν ἐπὶ τὸ Αργος οἱ πρόγονοι τοῦ Θειαίου.

* Ισ. νικῶσι. φησὶν οὖν κ. λ.

[Ex

Ὀμμάτων. Νικαφορίαις γὰρ ὅσαις ἱπ-
ποτρόφον ἄστυ τὸ Προί-
τοιο θάλησεν. Κορίνθου τ' ἐν μυχοῖς,
Καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις.

Oculorum! Victoriis enim quot equo-
rum-altrix urbs Prœ-
ti floruit! Corinthique in recessibus,
Et Cleonæos apud viros quater.

ἀντιστροφὴ γ'. κώλων ια'.

Σικυωνόθε δ' ἀργυρω-
θέντες σὺν οἰνηραῖς φιάλαις ἐπέβαν.
Ἐκ δὲ Πελλάνας, ἐπιεσσάμενοι
Νῶτον μαλακαῖσι κρόκαις.
Ἀλλὰ χαλκὸν μυρίον, οὐ δυνατὸν
Ἐξελέγχειν. Μακροτέρας
Γὰρ ἀριθμῆσαι σχολᾶς.
Ὅν τε Κλείτωρ, καὶ Τεγέα, καὶ Ἀχαιῶν
Ὑψίβατοι πόλιες,
Καὶ Λύκαιον πὰρ Διὸς θῆκεν, δρόμῳ
Σὺν ποδῶν, χερῶν τε νικᾶσαι σθένει.

METAPH.

E-Sicyone vero argento-do-
nati cum vinariis phialis processerunt.
Eque Pellene, induti
Tergum mollibus filis.
At æs infinitum non possibile-est
Recensere. Majoris
Enim *illud* numerare, ocii *est*.
Quodque Clitor, & Tegea, & Achivorum
Excelsæ urbes,
Et Lycæum juxta Jovis *aram* præstitit, cursu
Cum pedum, manuumque vincendo robore.

ἐπῳδὸς γ'. κώλων ιβ'.

Κάστορος δ' ἐλθόντος ἐπὶ
Ξενίαν πὰρ Παμφάη,
Καὶ κασιγνήτου Πολυδεύ-
κεος, οὐ θαῦμα σφίσιν

METAPH.

Quum Castor autem venerit ad
Hospitandum ad Pamphaën,
Et frater Pol-
lux; non mirum-est, illis

PARAPHRASIS.

Nam quot illorum victoriis equorum altrix urbs Prœti floruit & illustris fuit! Nam in Isthmo Corinthiaco, Isthmia, & Cleonæos apud viros, scilicet in Nemea Cleonarum vicina, Nemea quater vicerunt. E Sicyone autem, Pythiorum ab Adrasto institutorum certamine decertato, poculis vinariis argento conflatis donati: & ex Pellene, devictis Theoxeniis, chlamyde laneo stamine contexta, quod illorum est præmium, induti advenerunt. At non possim recensere quot lebetes æneos, quot ænea scuta lucrati sint, adeo illorum infinitus est numerus, ut longiori mihi opus esset otio ad recensenda præmia, quæ ex Clitorio & Tegea Arcadiæ urbibus, & ex aliquot celsis Achaiæ civitatibus, ex Lycæo Jovi sacro monte, pro pedum cursu, lucta, pancratio & pugilatu, dari solita victoribus, acceperunt. Enimvero cum Dioscuri Castor & Pollux fratres gemini, à Pamphaë ex Thiæi majoribus maternis uno fuerint excepti hospitio, non mirum est illi stirpi

NOTÆ.

78 Θάλλησεν mallet Schmid. ut & N. 4. 90 Χειρῶν Commune Ald. & eum secutus Schmid. 91 Schmid. hic ἐλθόντων leg. referens ad utrumque Κάστορος & Πολυδεύκεος. Sed non necesse est fingere Alcmanicam Syntaxin, ubi Codd. non agnoscunt. 92 Ξυνοσύναν & πὰρ lego. Arripuit aliquis Scholion pro Textu. Schmid. Id quidem verum esset, si cum Schmidio legeremus.

[Ἐκ δὲ Πελλάνας.] ἀντὶ τοῦ καὶ ἐν Πελλήνῃ ἐνίκησε. Τίθεται δὲ παχέα ἱμάτια ἐν Πελλήνῃ ἄγναφα. † δυσχείμεροι δὲ οἱ τόποι. περιφραστικῶς δὲ τὴν χλαμύδα, μαλακὴν κρόκην εἶπε. καὶ ἑτέρωθι. ψυχρᾶν ὁπότε εὐδιανὸν φάρμακον αὔραν Πελλάνα παρέχει. ὁ δὲ ἀγὼν Διὸς, καλεῖται δὲ Δῖια. ἢ οὕτως, ἐκ τῆς Πελλήνης δὲ τὰ θεοξένια νικῶντες, χλανίσιν ἐπιτηδειοτάταις κοσμηθέντες, ἀπὸ κοινοῦ τὸ ἀνεχώρησαν. λέγεται δὲ ὅτι καὶ ἐξωμίδας ἐπιμωνίο. [Ἀλλὰ χαλκόν.] τὸ δὲ τοῦ χαλκοῦ πλῆθος, οὐ δυνατὸν εἰπεῖν ἁπλῶς. μακροτέρας γὰρ οἶμαι δεῖται σχολῆς. λέβητα γὰρ ἐπιμῶντο ἐν πολλοῖς τῶν ἀγώνων, καὶ ἀσπίδας χαλκᾶς. [Ὅν τε Κλείτωρ.] ὅντινα χαλκὸν, αἱ περὶ Κλείτορα καὶ Τεγέαν πόλεις Ἀργολικαὶ ἆθλον ἔθηκαν. ὃν καὶ τὸ Λύκαιον ἔθηκε χαλκὸν παρὰ τῷ τοῦ Διὸς βωμῷ, τοῖς δυναμένοις νικῆσαι σὺν ποδῶν δρόμῳ, καὶ χειρῶν σθένει, πάλῃ, καὶ παγκρατίῳ, καὶ πυγμῇ. [Κάστορος δ' ἐλθόντος.] τοῦ δὲ Κάστορος ξενωθέντος παρὰ τῷ Παμφάῃ τῷ προγόνῳ σου ὦ Θειαῖε σὺν τῷ ἀδελφῷ Πολυδεύκει, θαυμαστὸν οὐδὲν, ἀγαθοὺς καὶ θαυμαστοὺς γεγενῆσθαι τοὺς προγόνους σου ἀγωνιστάς. ἐπόπται γάρ εἰσι τῶν ἀγώνων οὗτοι. διὰ τοῦτο γοῦν ἐν τοῖς ἐπάνω εἶπε, Χαρίτεσσί τε καὶ σὺν Τυνδαρίδαις, τὴν νίκην αὐτῶν ἐληλυθέναι τῷ γένει.

† Ισ. δυσχείμεροι.

[Ἐπεὶ

Εγγενὲς ἔμμεν ἀθλη-	Ingenitum-esse, ut-sint athle-
ταῖς ἀγαθοῖσιν. Επεὶ	tæ boni. Quoniam
Ευρυχώρου ταμίαι Σπάρτας, ἀγώνων	Spatiosæ patroni Spartæ, certaminum
Μοῖραν Ερμᾶ καὶ σὺν Η-	Sortem cum Mercurio & Her-
ρακλεῖ διέποντι θάλειαν,	cule administrant florentem,
Μάλα μὲν ἀνδρῶν δικαίων	Valde quidem virorum justorum
Περικαδόμενοι. Καὶ	Curam-gerentes. Et
Μὰν Θεῶν πιστὸν γένος.	Sane Deorum fidele genus *est*.
στροφὴ δ'. κώλων ια'.	Metaph.
Μεταμειβόμενοι δ' ἐναλ-	Alternantes autem per-vi-
λὰξ, ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ	ces, diem unum quidē apud patrem charum
Διῒ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαί-	Jovem degunt; alterum vero sub latebris ter-
ας, ἐν γυάλοισι Θεράπνας,	ræ, in convallibus Therapnæ,
Πότμον ἀμπιπλάντες ὁμοῖον. Επεὶ	Fatum explentes simile. Siquidem
Τοῦτον, ἢ πάμπαν Θεὸς ἔμ-	Hanc, quam omnino Deus es-
μεναι, οἰκεῖν τ' οὐρανῷ,	se, habitareque *in* cœlo,
Εἵλετ' αἰῶνα, φθιμένου Πολυδεύκης	Elegit vitam, interfecto Pollux

PARAPHRASIS.

insitam esse à natura bene certandi facultatem, ut inter strenuos athletas recenseantur: siquidem cum Mercurio & Hercule florentem certaminum sortem administrant illi Spartæ spatiosæ præsides, qui virorum justorum, ut pote Pamphais, exindeque ejus generis, sunt studiosi. Qui sane laudem hocquoque nomine merentur, quod fidem datam, ut Deos decet, alter alteri optime servent. Etenim alternis vicibus, alter apud superos in cœlo, quæ Jovis patris est domus, unum diem vivit, alter apud inferos sub latebris terræ in convallibus Therapnes, unum diem mortuus degit, ut simili fato sint obnoxii. Is enim Pollucis erga Castorem fratrem fuit amor, ut maluerit ipsum alterna morte redimere, quam prorsus immortalis factus in cœlo

NOTÆ.

97 Εὐρυχόρου Schmid. 99 Θάλειαν] Vulg. vert. Florentem. sc. sortem. Schmid. Θαλειάν, ob ὁ θάλειος, idem quod θαλερὸς, Floridus, accentu in penult. retracto, nec sensu mutato, exempla non licet deserere. Ed. Brub. hab. ad marg. θαλείαν. Dor. pro θαλειῶν ab ἡ θαλεία, idem quod θαλία, Convivium. Inde intelligas Schol interpretationem, † τῆς εὐωχίας. 101 Ald. hab. περικαδόμενοι. Καὶ μάν] Phil. Quippe Deorum genus fidele est; Dei est, fideliter homines curare. Lonicer. Fida Deorum soboles existunt, q. d. Vere ex Diis geniti sunt, quum tamen alter, Castor nimirum, non Jovis sed Tyndari filius fuerit. Unde Schmid. hanc interpret. rejiciendam censet. Postea tamen in Deorum numerum relatus fuit Castor beneficio Pollucis; ideoque vix constat, quomodo ea de causa improbanda est Lon. sententia. Paraphr. hæc & inferiora connectit. Recte, ut patet inspicienti κῶλ. 152. 104 Ald. μὲν & παρὰ non habet. Quem secuti Lon. & Phil. Alterum diem Jovi tribuunt, reddiderunt. 105 Aldus, qui τὸ μὲν caret, habet τὰν δ'. 106 Εν γυάλοις Edd. nonnullæ. Θεράπνας] sunt qui hic pro Lacedæmone Therapnen accipiunt, ut Lon. notat. Vide etiam P. 11. ad finem. 107 Αμπιπλάντες] Quod tempus morti Castoris defuit, Pollux explevit, & vice versa. Ομοῖον] Monet Schmid. Posse intelligi κοινὸν ut Hom. vocat θάνατον ὁμοίιον, πᾶσιν ὁμοίως ἐπερχόμενον. Lon. Eandem subeunt mortem. 110 Πολυδεύκης] Ald. Corrupte, Πολυσιύκης.

[Επεὶ εὐρυχώρου ταμίαι.] ἐπεὶ οἱ τῆς εὐρυχώρου Σπάρτης ταμίαι καὶ δεσπόται Διόσκουροι, σὺν τῷ Ερμῇ καὶ Ηρακλεῖ, τὴν τῶν ἀγώνων μοῖραν † τῆς εὐωχίας διέπουσι καὶ διοικοῦσι. [Μάλα μὲν ἀνδρῶν.] πάνυ μὲν ὑμεῖς τῶν ὄντων δικαιοτάτων ἀνδρῶν φροντίζοντες διὰ τὸ τῆς ξενίας δίκαιον. καὶ ἄλλως δὲ καὶ κατὰ φύσιν οἱ θεοὶ, πιστοί τινες καὶ φιλάνθρωποι περὶ τοὺς εὐσεβοῦντας ὄντες. ἢ οὕτως. ὅτι πίστιν σώζοντες, πρὸς τὸν πρόγονον φησὶ τὸν ὑποδεξάμενον αὐτοὺς, νίκην τούτῳ νῦν ἐδωρήσαντο. ἢ οὗτοι, φησὶ, περισσῶς κηδόμενοι τῶν δικαίων ἀνδρῶν. δοκοῦσι γὰρ ἐπιφαινόμενοι κατὰ τὸ πέλαγος σώζειν τοὺς δικαίους. [Μεταμειβόμενοι δ' ἐναλλάξ.] μεταλαβόντες δὲ αὐτοὶ οἱ Διόσκουροι, καὶ ἐκ διαδοχῆς ἐναλλάσσοντες τὰς ἡμέρας, μίαν μὲν διάγουσιν ἐν τῷ οὐρανῷ ὡς θεοί. μίαν δὲ ἐν τοῖς ὑπογείοις τῆς Θεράπνης, ὁμοίαν καὶ ἴσην ἐκπληροῦντες τύχην. Ιστέον δὲ ὅτι περιπέπλωκε τοῖς ἐν τῇ νεκυομαντείᾳ λεγομένοις περὶ τῶν Διοσκούρων, Αλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε Τεθνᾶσιν. τιμὴν δὲ λελόγχασιν, ἶσα θεοῖσι. φησὶ γὰρ τοὺς Διοσκούρους, μίαν μὲν ἡμέραν ὑπὲρ γῆς εἶναι, ἑτέραν δὲ ὑπὸ γῆν. ὥστε κατὰ μὲν τὸν διεσκευακότα παρ' Ομήρῳ, παρ' ἡμέραν αὐτοὺς ἀποθνήσκειν. κατὰ δὲ Πίνδαρον, μίαν μὲν ἡμέραν παρὰ τοῖς ἀθανάτοις διαιτᾶσθαι. μίαν δὲ ἡμέραν ὁρῶντες τὰ παρ' ἀνθρώποις, σὺν αὐτοῖς εἶναι. [Επεὶ τοῦτον, ἢ πάμπαν θεὸς ἔμμεναι,] ἐπειδὴ μᾶλλον τοῦτον εἵλετο τὸν αἰῶνα, φησὶ, Πολυδεύκης, τὸν ἀδελφὸν ἔχων μεθ' ἑαυτοῦ, ἐκ διαδοχῆς θεὸς γενέσθαι, καὶ πάλιν ἄνθρωπος, ἤπερ μόνος ἐν οὐρανῷ θεὸς κατοικεῖν, Κάστορος τοῦ ἀδελφοῦ αὐτοῦ φθαρέντος ἐν πολέμῳ. αὐτοῦ γὰρ τρωθέντος καὶ μέλλοντος ἀπόλλυσθαι, εἵλετο Πολυδεύκης ὁ τούτου ἀδελφὸς αὐτὸς ἀθάνατος ὢν, μᾶλλον παρ' ἡμέραν ἄνθρωπος εἶναι ἅμα τῷ ἀδελφῷ, καὶ πάλιν θεὸς, ἅμα τῷ ἀδελφῷ ἀπολλυμένου αὐτοῦ. καὶ οὕτως ἐποίησαν οἱ θεοί.

[Τὸν

Κάστορος ἐν πολέμῳ.
Τὸν γὰρ Ἴδας, ἀμφὶ βουσίν πως χολω-
θείς, ἔτρωσεν χαλκέας λόγχας αἰχμᾷ.

ἀντιστροφὴ δ'. κώλων ια'.

Ἀπὸ Ταϋγέτου πεδαυ-
γάζων ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει
Ἥμενον. Κείνου γὰρ ἐπιχθονίων
Πάντων γένετ' ὀξύτατον
Ὄμμα. Λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ
Ἐξικέσθαν, καὶ μέγα ἔρ-
γου ἐμνήσατ' ὠκέως,
Καὶ πάθον δεινὸν παλάμαις Ἀφαρητί-

Castore in bello.
Hunc enim Idas, propter boves forte ira-
tus, vulneravit æreæ hastæ cuspide.

METAPH.

A Taygeto *enim* è-longinquo-con-
spicatus vidit Lynceus, quercus in trunco
Sedentem *Castorem*. Illius enim, hominum
Omnium fuit acutissimus
Visus. Velocibus autem pedibus statim
Accesserunt, & valde ope-
ris recordati sunt celeriter,
Et passi-sunt grave-malum consiliis Aphareti-

PARAPHRASIS.

habitare. Mortalis autem Castor in bello fuit occisus. Ipsum enim Idas vulnere cuspidatæ hastæ peremit, iratus quod sibi & fratri Lynceo desponsatæ virgines ab ipsis Castore & Polluce ad nuptias invitatis fuissent raptæ. A Taygeto autem speculans & obtuens Lynceus Castorem in trunco quercus sedentem vidit. Is enim fuit omnium hominum visu acutissimus. Tum Lynceus & Idas fratres velocibus pedibus accesserunt confestim, & magnum facinus, scilicet necem Castoris perpetrarunt: ipsique Apharei filii grave etiam malum Jove opem suis ferente passi sunt.

NOTÆ.

112 Ἀμφὶ βουσὶν] Raptum Virginum, quem apud Schol. habes, agnoscit Pauf. in Lac. & Lycophron obscure, v. 546. Vide P 4,253, ubi βοῦς pro Fœmina acceptum legis. Interim hoc Philologis dijudicandum offero, An non hic βοῦς pro Fœmina accipiatur, nescio tamen quo Tropo, etiamsi non nescire mihi videar. Verba sunt Schmid. Cujus verecundiam recentiores utinam Grammatici imitarentur. 114 Πεδαυγάζων] Æol. pro μεταυγάζων. Πέδα enim est μετά, ut alibi diximus. Transpiciens, per intervallum conspicatus, quæ lectio Aldina optime convenit Lyncei oculo. Alii, πηταυγάζων leg. pro προσαυγάζων, i. e. προσβλέπων, Obtuens, fixis oculis aspiciens. Nec male. Alii ποδαυγάζων, quod Phil. vertit, Pede speculans: Lon. vero, Pede radians, & in Scholiis exponit, Pede fulgens, propter velocitatem, per Metaphoram. Ed. Rom. hab. διακλυμένως, πόδ' αὐγάζων, sensu eodem. 116 Ἡμένως Dor. pro ἡμένους, Ald. Rom. & Brub. Sedentes, Castorem & Pollucem simul; nisi Dualis fuerit, ἡμένω. Vide κῶλ. 123, ubi Pollucem venisse legas, quasi non adesset antea. Inde firmatur nostra Lectio. 119 Ald. hab. μέγα ἔργον ἐμνήσαντο ὠκέως. Schmid. ex conjectura leg. μέγα ἔργον ἐμήσαντ' ὠκέως. & vertit, Magnum opus moliti sunt. Quis enim hic usus Recordationis, ait autor laudatus? Ad fulciendum infaustam conjecturam congerit plura ex Homero, quæ ostendunt eum dixisse, μήσατο ἔργον. Verum in mentem non venit, eundem expressisse, Animari ad pugnam, per μνήσασθαι χάρμης: & Erigi animo, per μνήσασθαι ἀλκῆς. Ejusmodi enim locutionibus Homerus passim utitur. Si quis tamen rogaret, Quid opus esset ibi Recordatione; qui respondere potest Schmidius? Eum facile sequutus est Ben. Vulg. versio, Ad ingens facinus animum adverterunt: Philipp. Ingens opus fecerunt: Lonicer. Magnum opus conati sunt. Vertas vero, Raptim valde concitato animo ad facinus se accinxerunt. Μέγα enim Adverbialiter sumitur, quod & nobiscum sentit Portus. 121 Παλάμαις Διὸς] Lon. redd. A Dioscuris. Sed eorum alter jam ante mortuus fuit.

[Τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως.] Ἡ ἱστορία ἐστὶ τοιαύτη. Λυγκεὺς καὶ Ἴδας οἱ Ἀφαρέως παῖδες, ἐμνηστεύσαντο τὰς Λευκίππου θυγατέρας, Φοίβην καὶ Ἐλάειραν. κατὰ δὲ τὴν τῶν γάμων εὐωχίαν, τοὺς Διοσκούρους εἰς ἑστίασιν ἐκάλεσαν. οἱ δὲ τὰς κόρας ἀφαρπάσαντες, ἀπέφυγον. οἱ δὲ ἐπεδίωκον. καὶ συνίσταται τοῖς Ἀφαρητιάδαις καὶ τοῖς Διοσκούροις μάχη περὶ τῶν γάμων. καὶ ἀναιρεῖται Κάστωρ. εἶτα Πολυδεύκης ἀνεῖλεν ἀμφοτέρους, συμπράξαντος τοῦ Διὸς, καὶ κεραυνὸν αὐτοῖς ἐπιπέμψαντος. ὁ δὲ Πίνδαρος, οὐ διὰ τὰς νύμφας, φησὶν, αὐτοῖς γεγενῆσθαι τὴν στάσιν, ἀλλὰ διὰ βοῶν ἀπελασίαν. ψυχορραγοῦντος οὖν τοῦ Κάστορος, Πολυδεύκης ὢν ἀθάνατος, πρὸς τὸν ὄντα φθαρτὸν εἵλετο καταμερίσασθαι τὴν ἀθανασίαν, τῇ τῆς φύσεως ἐκνικώμενος ἀνάγκῃ. οὕτως οὖν αὐτοὺς καὶ Ὅμηρος, ἑτερημέρους καλεῖ. ὁ δὲ νοῦς. τὸν Κάστορα γάρ, φησι, τῆς τῶν βοῶν ἀφαιρέσεως ἕνεκεν ὁ Ἴδας ὀργισθείς πως ὁ Ἄρεως παῖς, ἔτρωσε. [Ἀπὸ Ταϋγέτου.] ὁ μὲν Ἀρίσταρχος ἀξιοῖ γράφειν, ἥμενον· ἀκολούθως τῇ ἐν τοῖς Κυπρίοις λεγομένῃ ἱστορίᾳ. ὁ γὰρ τὰ Κύπρια συγγράψας, φησὶ τὸν Κάστορα ἐν τῇ δρυῒ κρυφθέντα, ὀφθῆναι ὑπὸ Λυγκέως· τῇ δὲ αὐτῇ γραφῇ καὶ Ἀπολλόδωρος κατηκολούθησε. πρὸς οὓς φησι Δίδυμος, ἀμφοτέρων ὑπὸ τῇ δρυῒ λοχώντων τοῦ Κάστορος καὶ τοῦ Πολυδεύκους, μόνον ὁ Λυγκεὺς τὸν Κάστορα εἶδε. μή ποτε οὖν δεῖν ἀναγινώσκειν τὴν παραλήγουσαν συλλαβὴν ὀξυτόνως τὸ ἡμένως ὡς ἡρμένως, ἵνα κατ' ἀμφοῖν ἀκούηται. ὁ δὲ Λυγκεὺς, δρυὸς ἐν στελέχει ἡμένως, ἀντὶ τοῦ ἡμένους. δηλονότι τοὺς Διοσκούρους· ὡς ἀπὸ ἄλλου τρόπου, καὶ τρίτου. οὐχ εἶδεν ὅτι γέρας ἀντὶ τοῦ οὐκ εἶδες. παρατίθενται δὲ καὶ τὸν τὰ Κύπρια γράψαντα, οὕτω λέγοντα. Αἶψα δὲ Λυγκεὺς Ταΰγετον προσέβαινε, ποσὶν ταχέεσσι πεποιθώς. Ἀκρότατον δ' ἀναβὰς, διεδέρκετο νῆσον ἅπασαν Ταντα λίδου Πέλοπος· τάχα δ' εἴσιδε κύδιμος ἥρως, Εἶν ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης Κάστορά θ' ἱππόδαμον καὶ ἀεθλοφόρον Πολυδεύκη. Νύξε δ' ἄρ'. Ἀγχίστωρ ἐλόχα τὸν Ἴδαν, φησίν, ἐν κοίλῃ δρυῒ κρυφθεὶς, καὶ τὸν Λυγκέα. ὁ δὲ Λυγκεὺς ὀξυδερκὴς ὢν, ὡς καὶ διὰ λίθων, καὶ διὰ γῆς τὰ γινόμενα βλέπειν, ἰδὼν διὰ τῆς δρυὸς τὸν Κάστορα, ἔτρωσε λόγχῃ. ἀπὸ γὰρ τοῦ ὄρους σκοπῶν ὁ Λυγκεὺς, ἐθεάσατο αὐτοὺς ἐγκαθεζομένους ἐν στελέχει δρυὸς, καὶ ἐλλοχῶντας. τοῦ γὰρ Λυγκέως ὑπὲρ πάντας ἀνθρώπους ὀξύτατον ἦν τὸ ὄμμα. [Λαιψηροῖς δέ.] τάχιστα δὲ ἐκ τοῦ ὄρους πρὸς τοὺς Διοσκούρους δραμόντες, παρεγένοντο. καὶ μέγιστον ἔργον κατεπράξαντο, τρώσαντες τὸν Κάστορα τάχιστα. ἀλλὰ μὴν καὶ ὑπέστησαν δεινὸν ἔργον, οἱ προειρημένοι τοῦ Ἀφαρέως παῖδες ὑπὸ τῶν Διοσκούρων. εὐθέως γὰρ ἦλθεν ὁ Πολυδεύκης τοῦ ἀδελφοῦ πεσόντος. οἱ δὲ ἐλθόντι αὐτῷ, ἀνθυπέστησαν ἐξ ἐναντίας περὶ τὸν τάφον τοῦ πατρὸς αὐτῶν Ἀφαρέως. καὶ ἐνέβαλον τῷ στέρνῳ τοῦ Πολυδεύκους στήλην ἑνὸς τῶν κειμένων ἁρπάσαντες, καὶ πέμψαντες τῷ Πολυδεύκῃ, ἀπὸ τοῦ τύμβου τοῦ πατρὸς αὐτῶν Ἀφαρέως. ἀλλ' οὔτε αὐτὸν ἔπληξαν τὸν Πολυδεύκην, οὔτε ὑποχωρῆσαι ὑπὲρ τοῦ πατρὸς πεποιήκασιν οἱ Ἀφαρητιάδαι.

[Εὐφρανθεὶς

δαι Διός. Αὐτίκα γὰρ	dæ Jovis. Statim enim
Ηλθε Λήδας παῖς διώκων. Τοὶ δ' ἐναν-	Venit Ledæ filius persequens. Illi vero con-
τα στάθεν τύμβῳ σχεδὸν πατρῴῳ.	tra steterunt, sepulcrum prope paternum.
ἐπῳδὸς δ'. κώλων ιβ'.	Μ Ε Τ Α Ρ Η.
Ενθεν ἁρπάξαντες ἄγαλ-	Inde quum - corripuissent sta-
μα Αΐδα, ξεστὸν πέτρον,	tuam Plutonis, politum saxum,
Εμβαλον στέρνῳ Πολυδεύ-	Injecerunt pectori Pollu-
κεος· ἀλλ' οὔ νιν φλάσαν,	cis: sed non eum colliserunt,
Οὐδ' ἀνέχασαν. Εφορμα-	Neque repulerunt. Irru-
θεὶς δ' ἄρ', ἄκοντι θοῷ	ens vero *Pollux*, jaculo acuto-&-veloci
Ηλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν.	Adegit Lyncei in latera æs.
Ζεὺς δ' ἐπ' Ιδᾳ πυρφόρον	Jupiter vero in Idam, igniferum
Πλᾶξε ψολόεντα κεραυνόν·	Contorsit fuliginosum fulmen:
Αμᾶ δὲ καίοντ' ἔρημοι.	Simul autem comburebantur deserti *ab aliis.*
Χαλεπὰ δ' ἔρις, ἀνθρώ-	Difficilis autem contentio, homini-
ποις ὁμιλεῖν κρεσσόνων.	bus negocium-habendo cum-potentioribus.
στροφὴ ε'. κώλων ια'.	Μ Ε Τ Α Ρ Η.
Ταχέως δ' ἐπ' ἀδελφεοῦ	Statim vero ad fratris
Βίαν πάλιν χώρησεν ὁ Τυνδαρίδας,	Robur rursus accessit Tyndarides,
Καί μιν οὔπω τεθναότ', ἄσθματι δὲ	Et eum nondum mortuum, sed anhelitu
Φρίσσοντ' ἀναπνοὰς κίχεν.	Cum-rigore-efflantem animam invenit.

PARAPHRASIS.

Nam Pollux Ledæ filius repente accessit illos persequens. Illi vero prope Apharei patris sepulchrum stantes venienti restiterunt. Quo ex sepulchro politum lapidem, cui insculptum erat Plutonis simulachrum, corripuerunt, eumque in Pollucis pectus projecerunt, quem tamen non offenderunt, nec inhibuerunt quin impetu facto in Lynceum, cuspide munitum ænea acutum jaculum in latus ejus adegerit. Tum etiam Jupiter ignifero fulmine fuliginoso Idam percussit: & ambo scilicet Lynceus & Idas omni auxilio destituti, combusti sunt. Ex quo apparuit exitialem esse hominibus contentionem quæ cum præstantioribus intercedit: quales fuere Castor & Pollux, quorum defensionem Jupiter pater suscepit. His prostratis protinus ad fortem fratrem Tyndarides ille Pollux denuo accessit: quem nondum extinctum, sed frigido anhelitu adhuc respirantem invenit.

NOTÆ.

124 Πατρωΐῳ Schmid. 125 Ενθεν γὰρ leg. Schmid. Αγαλμ' Alii. Αγαλμα] Lon. & Aret. exponunt, non de statua Plutonis effigiem referente, sed de columna quadam lapidea quacunque, defuncto & jam in Plutonis regia versanti, erecta. 129 Ανέσχασαν] σχάω & σχάζειν est Scarificare, Scalpro aperire. Item Deducere, Transferre. Inde ἀνασχάζειν, Inhibere. Εφορμαθεὶς] Impetum in eum faciens, vel ut Phil. Incitatus. Non vero cum Lon. Excandefactus, qui & ad Lynceum refert exponens, Lynceus ferro Pollucis trajectus. 133 Ψολόεντα] Aristot. Meteor. l. 1. c. 3. duplices κεραυνοὺς facit. ἀργῆτα, quem nominat, πάνυ λεπτὸν, qui non accendit ea quæ ferit: & ψολόεντα, quem vocat βραδύτερον, qui accendit percussa solida. Verum hæc duo nomina ἀργῆτα καὶ ψολόεντα Homerus confundit, qui idem fulmen, quo Navis Ulyssis fuit perdita, modo ἀργῆτα, Od. θ. modo ψολόεντα, Od. ψ nominat. Schmid. 134 Schmid. leg. ἅμα. 135 Vide similem locum, Ol. 10, 47. Ανθρώποις ὁμιλεῖν κρεσσόνων, pro, Ανθρώπων κρέσσοσιν ὁμιλεῖν. Vide Schol. ad hanc notam * ad quem locum Schmid. annotat, Scholiasten ἔλλειψιν facere, pro ὁμιλεῖν κατὰ κρεσσόνων; quem tamen deceptum esse, dum ea ex Scholiis proferret, monet Bened. Id quidem recte, Scholiastes enim nunquam dixisset ὁμιλεῖν κατὰ; Verum illic παραφράζει potius Scholiastes, quam Syntaxin explicat. Sed hæc non est sola illius expositio, ideoque comparata hac cum seq. quid sit decernendum facile videas. 140 Φρίσσοντα πνοὰς ἔκιχεν Schmid. Vulg. Palpitatione rigentes respirationes habentem invenit.

[Εφορμηθεὶς δ' ἄρ' ἄκοντι θοῷ.] ὁ δὲ Πολυδεύκης, φησίν, ἐφορμήσας τῷ τάχει, δόρατι ἐνέβαλε τὸν τοῦ Λυγκέως πλευραῖς τὸν σίδηρον. [Ζεὺς δ' ἐπ' Ιδᾳ πυρφόρον.] οἱ μὲν, ἐπὶ τῷ Ιδᾳ φασίν, οἱ δὲ ἐν τῷ ὄρει τῇ Ιδῃ. ἵνα Ιδην πᾶν ὄρος ὑψηλὸν ἀκούσωμεν. οὐδὲ γὰρ νῦν τοῖς κατὰ τὴν Αρκαδίαν τελουμένοις ἡ κατὰ Τροίαν συντελεῖ. ὁ δὲ νοῦς, οὕτως. ὁ δὲ Ζεὺς πυρφόρον καὶ τεφρώδη κεραυνὸν προσέῤῥηξεν ἀμφοτέροις. ὁμοῦ δὲ ἐκαίοντο ἐρημωθέντες. χαλεπὴ δὲ καὶ δεινοτάτη ἡ ἔρις τοῖς ἀνθρώποις, ἡ * κατὰ τῶν κρειττόνων. ἡ γὰρ πρὸς τοὺς κρείττονας, φησίν, ἔρις, χαλεπή ἐστιν ὥστε ὁμιλεῖν αὐτοῖς καὶ προσφέρεσθαι. ἀποδιοπομπεῖσθαι δεῖ οὖν τὴν ἔριν πρὸς τοὺς κρείττονας. ἡ μὲν πρὸς τοὺς ἴσους ὁμιλία, εὐκτή. ἡ δὲ πρὸς τοὺς κρείττονας, χαλεπή. οἱ γοῦν Αφαρητιάδαι ἐρίσαντες κρείττοσι τοῖς Διοσκούροις, ἀπώλοντο. [Ταχέως δ' ἐπ' ἀδελφεοῦ.] ταχέως δ' ἐπὶ τὸν ἀδελφὸν ὁ Πολυδεύκης ἦλθεν ὑποστρέψας. καὶ δὴ αὐτὸν οὔπω τεθνηκότα, πνευστιῶντα δὲ κατέλαβεν. οὔπω φησὶ τὸν Κάστορα εὗρε τεθνηκότα. τὰς δὲ πνοὰς ἀποψυχρούμενον ὑπὸ τῆς φρίκης. καταψύχονται γὰρ οἱ νεκρούμενοι.

[Πάτερ

Θερμὰ δὲ τέγγων δάκρυα στοναχαῖς,	Calidas autem aspergens lacrimas suspiriis,
Ὄρθιον φώνασε· Πάτερ	Altum clamavit: Pater
Κρονίων, τίς δὴ λύσις	Saturnie, quænam tandem liberatio
Ἔσσεται πενθέων; καί μοι θάνατον σὺν	Erit à-luctibus? etiam mihi mortem cum
Τῷδ' ἐπίτειλον, ἄναξ.	Hocce immitte, ô-Rex.
Οἴχεται τιμὰ, φίλων τατωμένῳ	Perit honor amicis orbato [talium
Φωτί. Παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν,	Viro. Pauci vero in ærumna *sunt* fideles mor-
ἀντιστροφὴ ε'. κώλων ια'.	METAPH.
Καμάτου μεταλαμβάνειν.	*Ita ut* laboris participes-sint.
Ὣς ἤνεπε· Ζεὺς δ' ἀντίος ἤλυθέν οἱ,	Sic dixit. Jupiter vero obvius processit ei,
Καὶ τόδ' ἐξαύδασ' ἔπος. Ἐσσί μοι υἱ-	Et hoc prolocutus-est verbum: Es mihi Fi-
ός. Τόνδε δ' ἔπειτα πόσις	lius. Hunc vero postea maritus,
Σπέρμα θνατὸν, ματέρι τεᾷ πελάσαις,	Semen mortale, matri tuæ congressus,
Ἔσταξ' ἥρως. Ἀλλ' ἄγε τῶν-	Stillavit heros. Sed age, ho-
δέ τοι ἔμπαν αἵρεσιν	rum tibi tamen optionem
Παρδίδωμ'· Εἰ μὲν, θάνατόν τε φυγὼν καὶ	Trado: Si quidem mortemque evitans &
Γῆρας ἀπεχθόμενον,	Senectutem odiosam,
Αὐτὸς Οὔλυμπον ἐθέλεις,	Ipse Olympum vis,
Σύν τ' Ἀθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει,	Cum Minerva, & atram-gerente-hastam Marte;

PARAPHRASIS.

Tum utique simul lachrymas fundens & ingemiscens, alta voce clamavit. O pater Jupiter fili Saturni, qua ratione potero liberari gravi luctu quem excitat mors fratris? Mortem etiam mihi ô rex immitte ut cum hoc vita defunctus jaceam. Perit honor illi qui privatus est amicis. Nec tam fidum reperire possim, cum pauci mortales in re incerta fidi sint: adeo ut participes alieni laboris & ærumnarum esse velint. Sic locuto Jupiter obviam processit, & hoc illi respondit. Tu Pollux meus es filius. Sed Castorem hunc Tyndarus cum tua matre congressus, ut pote maritus, mortali semine mortalem genuit. Verum age, quanquam tu es immortalis, ille mortalis ratione parentum, horum tibi optionem concedo tamen. Si velis mortem fugiens, & odiosam senectutem devitans, incola cœli mecum esse, cum Minerva, & cum Marte qui funestam gerit hastam,

NOTÆ.

141 Δὴ leg. Schmid. Τέγχων leg. Alii. Perinde. Intell. vero. Miscens lacrimis suspiria. 144 Ald. καὶ ἐμοί, quem sequitur Schmid. 146 Τατωμένῳ] Qu τητωμένῳ, à Τητοῦ, Privo. ἡ Τήτη, ἀπορία. Hesychio. 152 Πελάσαις Ald. Ita & Schmid. qui & ἔσταξ' κώλῳ seq. sine auctoritate habet. 157 Schmid. metri gratia, leg. αὐτὸς Οὔλυμπον κατοικῆσαι θέλεις, vertens, Ipse Olympum inhabitare cupis. Ista vero tam languida est sententia, ut Pindari non esse crederes, magis quam ipsius Jovis, qui hæc locutus fingitur. Ben. eo melius, quod non recedit à verbis Scholiastis, quibus tamen dum sensum fusius expresserit, vim orationis neglexit; quasi ita Poëta, Αὐτὸς Οὔλυμπον θέλεις οἰκεῖν σὺν ἐμοί. 158 Nominat hic Minervam & Martem præ aliis Diis, puta rei bellicæ præfectos, cujus & Pollux studiosus fuerat. Schmid.

Πάτερ Κρονίων.] ὦ πάτερ Ζεῦ. τίς δὴ λόγος γενήσεται τούτων τῶν πενθῶν. καί μοι θάνατον ἐπίθες, καὶ δεῖξον ὦ βασιλεῦ. [Οἴχεται τιμὰ φίλων τατωμένῳ.] ἀντὶ τοῦ, στερισκομένῳ. οὐδεὶς συμπονεῖ φησιν, ἐὰν μὴ φίλος ᾖ καὶ ἀγαθὸς ἀδελφός. στερηθεὶς δὲ τούτου, τίνα ἕξω κοινωνὸν τῶν πόνων. ἢ οὕτως αὐτὸ δεῖ νοεῖν. τὸ, τατωμένῳ φησὶ Δωρικῶς. ἀνδρὶ γὰρ τῷ φίλων στερισκομένῳ, πᾶσα διέφθαρται τιμή. ἢ οὕτως. ἐάν τις καθυστερήσῃ τοῦ προσφιλοῦς, ἀποστερεῖται τοῦ συμπράσσοντος. ἀπρακτὴς δὲ γινόμενος, οὐ τιμᾶται ὑπ' οὐδενός. [Παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν.] ἀντὶ τοῦ οὐδὲ ὀλίγοι. ὡς καὶ παρ' Ὁμήρῳ. Ἠ ὀλίγον οἱ παῖδ' ἐοικότα γείνατο Τυδεύς. ὁ δὲ νοῦς. οὐδὲ ὀλίγον δὲ ἀνθρώπων ἐστὶν, ἐν τοῖς ὑπερβάλλουσι κινδύνοις, τῶν δεινῶν, κοινωνεῖν. ἢ οὕτως. οὐδὲ ὀλίγοι δὲ τῶν ἀνθρώπων πιστοὶ κατὰ τοὺς πόνους· πάσχουσι τοῖς ἑταίροις, τοῦ καμάτου κοινωνεῖν. [Ἐσσί μοι υἱός.] ὁ μὲν Ἡσίοδος ἀμφοτέρους Διὸς εἶναι γενεαλογεῖ. ὁ δὲ Πίνδαρος ἑτέροις τῶν ἰσορικῶν ἐξακολουθήσας, τὸν μὲν Πολυδεύκην ἐκ Διός. τὸν δὲ Κάστορα, ἐκ Τυνδάρεω εἶναι φησίν. ὡς καὶ Ἡρακλῆς μὲν ἐξ Ἀλκμήνης καὶ Διός. Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος. λέγεται γὰρ τοῦτο. ὅτι Πολυδεύκης καὶ Ἑλένη, ἐκ Διός εἰσι καὶ Λήδας. Κάστωρ δὲ ἐκ Τυνδάρεω. Ὁ μέντοι Ἡσίοδος, οὔτε Λήδας οὔτε Νεμέσεως δίδωσι τὴν Ἑλένην, ἀλλὰ θυγατέρα Ὠκεανοῦ καὶ Διός. τὸ δὲ σαφὲς οὕτως. σὺ μὲν ὦ Πολύδευκες τυγχάνεις μοι υἱός. τὸν δὲ Κάστορα μετὰ ταῦτα ὁ Τυνδάρεως, σπέρμα θνητὸν ὄντα, τῇ σῇ μητρὶ συνελθὼν, ἔσπειρεν. [Ἀλλ' ἄγε τῶν δέ τοι] ἀλλ' ὅμως τούτων ἀμφοτέρων σοι τὴν κρίσιν καὶ τὴν αἵρεσιν ἐπιδίδωμι. εἰ μὲν γὰρ τὸν θάνατον ἐκφυγὼν, καὶ τὸ γῆρας τὸ ὀδυνηρὸν αὐτὸς βούλει τὸν οὐρανὸν οἰκεῖν σὺν ἐμοὶ, καὶ Ἀθηνᾷ, καὶ Ἄρει, ἔστι σοι τούτων μερίς. εἰ δὲ ὑπὲρ τοῦ ἀδελφοῦ Κάστορος διαμάχῃ, πάντων τε τῶν καλῶν βούλει αὐτῷ ἀπομερίσασθαι τὸ ἴσον, τὸ μὲν ἥμισυ τοῦ χρόνου ἕξεις ὑπὸ τὴν γῆν διατρίβων. τὸ δὲ ἥμισυ ἐν τῷ οὐρανῷ, καὶ τοῖς τιμίοις τῶν θεῶν οἴκοις.

ἐπῳδὸς ε'. κῶλον ιϛ'.

Ἐστί σοι μὲν τούτων λάχος·
Εἰ δὲ κασιγνήτου πέρι
Μάρνασθαι, πάντων δὲ νοεῖς
Ἀποδάσσασθαι ἴσον,
Ἥμισυ μέν κε πνέοις γαί-
ας ὑπένερθεν ἐών,
Ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν.
Ὣς ἄρ' αὐδάσαντος, οὐ
Γνώμᾳ διπλόαν θέτο βουλάν.
Ἀνὰ δ' ἔλυσεν μὲν ὀφθαλ-
μὸν, ἔπειτα δὲ φωνὰν
Χαλκεομίτρα Κάστορος.

METAPH.

Est tibi sane horum sors:
Si vero pro Fratre
Pugnare, omniumque in - animo - habes
Dividere *cum eo* æqualem - portionem;
Dimidium quidem spirare-debes sub
Terra existens,
Dimidium vero cœli in aureis domibus.
Sic sane *Jove* locuto, non *in*
Sententia duplicem fecit deliberationem:
Sed resolvit ocu-
lum, deinde & vocem
Æream-mitram-gestantis Castoris.

PARAPHRASIS.

hac sorte frui tibi licet. Quod si pro Castore tuo fratre contendis, omniumque rerum tuarum æquali portione concessa dimidium impertire cupis: dimidia quidem temporis parte debes in terra jacere, dimidia vero in splendido cœlo, scilicet alternis diebus vivere & mori, modo sub terra, modo in aereis cœli domibus versando. Quare postquam Jupiter sic locutus est, non diu ancipiti mente ambigens deliberavit utrum eligeret: sed impetrata hac venia, ut alternis ambo viverent & morerentur, Castoris aurea mitra insignis, primum quidem oculum, deinde vero vocem obscuris mortis vinculis liberavit: & sic fratrem ad vivos revocavit.

NOTÆ.

161 Μάρνασαι Ald. i. e. Pugnas, quam veram esse lectionem contendit Schmidius. 166 Αὐδάσαντος. Ald. 170 Χαλκομίτρα leg. Schmid. & eum secutus Ben. quod Schol. ita habeat.

[Ὣς ἄρ' αὐδάσαντος.] οὕτω ταῦτα τοῦ Διὸς εἰπόντος, οὐ κατεμερίσθη τὴν γνώμην ὁ Πολυδεύκης. ἀλλ' εὐθέως ἐπὶ τὸ ἕτερον ἐχώρησεν. ἐπὶ τὸ τὴν εὐδαιμονίαν τῷ ἀδελφῷ μερίσασθαι. [Ἀνὰ δ' ἔλυσε μὲν ὀφθαλμόν.] ὁ Ζεὺς δηλονότι. οὗ ἤδη μύοντα καὶ κλειόμενον διὰ τὸν θάνατον, ἀναβλέψαι ἐποίησεν. ὁ δὲ νοῦς. ἀνέλυσε μὲν, καὶ πάλιν ὁρᾷν παρεσκεύασε τὸν τοῦ ἀδελφοῦ ὀφθαλμόν. ἔπειτα καὶ τὴν φωνὴν ἐνέβαλε τοῦ χαλκομίτρα Κάστορος.

Τέλος τοῦ δεκάτου τῶν Νεμέων εἴδους.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΙΑ'· ΤΩΝ ΝΕΜΕΩΝ ΕΙΔΟΥΣ.

ΤΗΣ ἑνδεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ἕξ. Τὸ ᾶ, Πινδαρικόν. ἔστι δὲ ἰαμβέλεγος, λείπων τῇ ἀρχῇ. καὶ πάλιν ἰαμβικὸν πενθημιμερὲς, λεῖπον τῷ τέλει ὃ καλεῖται ἀμφιλειπές. ἐπεὶ καὶ ἐν ἀρχῇ καὶ ἐν τῷ τέλει λείπει. ἡ δὲ ἀπόδοσις τὸ, ἀοιδαῖς, ᾠδαῖς ποιεῖ. Τὸ β', συνθέσιν ἀπὸ διμέτρου τροχαίου, καὶ ἡμίσεος ἔπους. Τὸ γ', ἔπος παρὰ συλλαβήν. Τὸ δ', ὅμοιον τῷ, Ζεῦ πάτερ γάμον μὲν οὐκ ἐδασάμην. Τὸ ε', χοριαμβικὸν δίμετρον καταληκτικόν. ἢ πενθημιμερὲς δακτυλικὸν πλεονάζον μιᾷ συλλαβῇ. Τὸ ϛ', ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτοῦ.

Η ἐπῳδὸς κώλων ἐννέα. Τὸ ᾶ, δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ β', δακτυλικὸν πενθημιμερές. Τὸ γ', ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ δ'. δακτυλικὸν πενθημιμερές. Τὸ ε', Ιωνικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ϛ', δακτυλικὸν πενθημιμερές. Τὸ ζ', Ιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ η', ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ θ', σύνθετον ἐκ πενθημιμεροῦς τροχαίου, καὶ ἑφθημιμεροῦς δακτυλικοῦ.

Ratio autem metrorum talis eſt.

στροφὴ & ἀντιστροφή.

1. - υ - -   - υ υ -   υ υ - -   - υ -
2. - υ - -   - υ - -   - υ υ -   υ υ - -
3. - υ υ -   υ υ - -   - υ υ -   υ υ -
4. - υ - -   - υ - -   - υ -
5. - υ υ -   - υ υ
6. - υ - -   - υ υ -

ἐπῳδός.

1. - υ υ   - υ υ   - υ
2. - υ υ   - υ υ   -
3. - υ - -   - υ υ -   υ υ - -   - υ -
4. - υ υ   - υ υ   -
5. - - υ υ   - υ υ -   -
6. - υ υ   - υ υ   -
7. - - υ υ   - - υ υ
8. - υ - -   - υ - -   - υ -
9. - υ - -   υ - - -   υ υ - υ   υ υ

ΟΤΙ ΟΥΚ ΕΧΡΗΝ ΤΗΝ ΩΔΗΝ ΤΑΥΤΗΝ ΕΙΣ ΕΠΙΝΙΚΟΥΣ ΣΥΝΕΝΩΣΘΑΙ.

ΟΥ δὲ ὅλως, φησὶν, ὁ Δίδυμος ἐχρῆν τὴν ᾠδὴν ταύτην εἰς τοὺς ἐπινίκους συνενῶσαι. οὐ γὰρ ἱερὸν ἀγῶνα νενίκηκεν ὁ Αρισταγόρας, ἀλλὰ περὶ χώρους γεγράφθαι, φησὶ, τὴν ᾠδὴν εἰς πρυτανεύοντα, καὶ τῆς πόλεως προεστῶτα τὸν Αρισταγόραν. σαφὲς δὲ τοῦτο ἐξ ὧν φησιν. Αλλὰ σὺν δόξᾳ τέλος δυωδεκάμηνον περάσαι. ἠπατῆσθαι δέ, φησιν, ὁ Δίδυμος ἐνίους, ὡς δοκεῖν ἱεροὺς στεφάνους αὐτὸν ἀνῃρῆσθαι. διὰ τῆς ᾠδῆς δὴ σημαίνεται ὅτι στεφάνους ἔσχεν ὡς δεκαέξ. ἀλλ' οὐχὶ περιοδικούς. ὡς ἐπλανήθησαν ἐκ τοῦ λέγεσθαι, Ελπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι, καὶ Ολυμπίᾳ ἀέθλων. οὐ γὰρ σημαίνει διὰ τούτων, ὡς Ισθμια καὶ Νέμεα νενικηκότος αὐτοῦ, ἀλλὰ τοὐναντίον. οἱ γονεῖς δι' εὐλάβειαν συγγενικὴν, οὐκ ἀπέστειλαν αὐτὸν ἐπὶ τοὺς ἱεροὺς στεφάνους. ἐπεὶ κἂν Ισθμια καὶ Νέμεα εἰλήφει. Εποίσει γὰρ, Ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν παρὰ Κασταλίᾳ καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου, κάλλιον ἂν δηριώντων ἐνόστησαν ἀντιπάλων. ὀμνύει γὰρ ὁ Πίνδαρος, ὅτι κατὰ τὴν ἑαυτοῦ δόξαν εἰ ἐξεδήμησε εἰς Πυθῶνα, καὶ Ολυμπίαν, κάλλιον ἂν τῶν ἀνταγωνιστῶν ἐπανεληλύθει εἰς τὴν πατρίδα. τουτέστιν, ἐνίκησεν ἄν. νῦν δὲ ἐλπίδες ὀκνηρότεραι κατέσχον τῶν γονέων αὐτόν. διὸ οὐδ' ὅλως ἐξεδήμησεν. συντακτέον οὖν, φησὶν, ὁ Δίδυμος εἰς τὰ παροίνια, καθὰ καὶ τοῖς περὶ τὸν Φασηλίτην ἀρέσκει. ὅλως οὖν, οὐδὲ δεῖ τετάχθαι τὴν ᾠδήν. οὐ γὰρ ἐστὶ Νεμεονίκης ἐστίν. ἀλλ' οὐδ' ὅλως ἀθλοῦντι γέγραπται ἔτι, ἀλλ' ἀνδρὶ τελείῳ πρυτανεύοντι τῆς πατρίδος. εἰ δὲ παραμιμνήσκεται ὅτι περὶ χώρους ἀγῶνας ἐνίκα παῖς ὢν, διὰ τοῦτο ἀθλητής, καθὸ οὐκ ἀθλητῇ γέγραπται, ἀλλὰ πρυτάνει, καθὸ ἐπρυτάνευεν. ἔτυχε δὲ ἐπὶ τῆς παιδικῆς ἡλικίας, ἄθλων, διὸ δὴ καὶ ὡς πρυτανεύοντος τὴν Εστίαν προσφωνεῖ. ἔοικε δὲ ὁ Αρισταγόρας, μὴ νῦν νενικηκέναι. φασὶ γὰρ οἱ ἱστορικοὶ παιδὶ μὲν ὄντι πολλὰς ὑπεισελθεῖν νίκας. ἀνδρωθέντι δὲ νῦν καὶ πρυτανεύοντι, τὸν Πίνδαρον προσχῆμα μὲν ἐπίνικον γράψαι. τὸ δὲ ἀληθὲς, προσφωνητικὸν εἰς τὴν πρυτανείαν. Τένεδος δὲ ἐστι, καὶ τῆς Λιβύης, καὶ τῆς Τροίας.

ΑΡΙΣΤΑΓΟΡΑ, ΠΡΥΤΑΝΕΙ ΤΕΝΕΔΙΩ, ΥΙΩ ΑΡΚΕΣΙΛΑ.

ARISTAGORÆ, PRÆSIDI TENEDIO, FILIO ARCESILÆ.

ΕΙΔΟΣ ΙΑ'. — ODE XI.

ARGUMENTUM.

Occasionem laudandi Aristagoram præbuit Poëtæ magistratus annuus ab eo in patria Tenedo susceptus quia ut sit fortunatus Vestam rogat. Interim virum hunc celebrat à recta ipsius & Collegarum administratione, pietate & hospitalitate. Item à Patre Arcesilao, & à Juvenilibus certaminibus, à Majoribus Pisandro & Melanippo, & quia nunquam se commisit majoribus certaminibus culpam rejicit in Parentes qui Juvenem istis committere non sunt ausi; atque hinc arripit occasionem damnandi audaciam & metum, eorumque medium laudandi.

στροφὴ α'. κώλων ς'. — Μεταφρ.

Παῖ Ῥέας, ἅγε Πρυτανεῖα λέλογχας, Ἑστία,	Filia Rheæ, quæ Prytanea consecuta-es, Vesta,
Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου Ἥρας,	Jovis altissimi soror & throni - sociæ Junonis,
Εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον,	Bene quidē Aristagorā suscipe tuū in thalamū,
Εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας,	Bene vero Collegas splendidū prope sceptrū,
Οἵ σε γεραίροντες ὀρθὰν φυλάσσοισι Τένεδον,	Qui te honorantes rectam custodiunt Tenedum,

ἀντιστροφὴ α'. κώλων ς'. — Μεταφρ.

Πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν Θεῶν,	Sæpe quidem libationibus venerantes *te* primam Dearum,

PARAPHRASIS.

O Saturni & Rheæ filia, proinde Jovis supremi Dei, regnique sociæ Junonis soror Vesta, quæ curias publicas sortita es, in quibus sacer ignis tibi consecratus asservatur, & statuæ eriguntur: quæso te benigno animo in prytaneum Tenedium, qui tuus est thalamus, prope tuum insigne sceptrum, excipe cum Aristagoram, tum ejus collegas, qui te honore prosequentes, operam dant ut justitiam per quam rectæ stant respublicæ, insula Tenedus observet. Ac sæpenumero te Dearum primam modo libationibus,

NOTÆ.

1 Πρυτανεῖα] Athenis in Πρυτανείῳ alebantur viri de Rep. bene meriti, sumptibus publicis. Erantque ibidem decem tribus ex quibus quotannis quinquageni sorte creabantur πρυτάνεις, ut ita Athenis in universum essent πρυτάνεις quingenti. Vide Ulp. in Demosth. contra Androtionem. Hic vero respicit Tenedum. Casaub. ad Athenæum l. 15. c. 19. Ubi Vesta, ibi necessario Prytaneum. In omnibus autem urbibus culta fuit Vesta. Λελογχῦ Ἑστία leg. Schmid. 4 Ἀγλαῷ σκάπτῳ] Genitivi Dor. pro ἀγλαοῦ σκάπτου. Ideo τὸ ι non subscribitur. licet Ald. inter alios id appingat. Sceptrum vero erat σημεῖον βασιλείας, καὶ λόγου, καὶ δίκης, ut not. Eustath. Sceptrum Regium, Oratorium & Judiciale. 5 Ὀρθὰν] Incolumem, quo nunc est statu, quave Opulentia; quod monuit vir Clarissimus Dr Edv. Bernardus.

[Παῖ Ῥέας, ἅτε πρυτανεῖα λέλογχας.] πρυτανεῖα, φησὶ, λαχεῖν ἑστίαν, παρόσον αἱ τῶν πόλεων ἑστίαι, ἐν τοῖς πρυτανείοις ἀφίδρυνται. καὶ τὸ ἱερὸν λεγόμενον πῦρ ἐπὶ τούτων ἀπόκειται. εἴη δ' ἂν πρυτανεῖον, κατὰ τὸ ἔτυμον, πυροταμεῖον κατὰ συγγένειαν τοῦ μ εἰς τὸ ν. ὡς τὸ, μίν, νίν. ἢ κατὰ κοινωνίαν τοῦ β, πρὸς τὸ π. βρυτανεῖον παρὰ τὸ βρύειν, ὅ ἐστιν αὔξειν καὶ θάλλειν. ἀφ' οὗ, καὶ τὸ ἔμβρυον τὸ ἐν τῇ γαστρὶ αὐξανόμενον. καί τε βρύει ἄνθεϊ λευκῷ, Ὅμηρος. ὁ δὲ νοῦς. ὦ Ἑστία τῆς Ῥέας παῖ, ἥτις ἔλαχες τὰ πρυτανεῖα, τοῦ ὑψίστου Διὸς ἀδελφὴ τυγχάνουσα, καὶ τῆς Ἥρας τῆς ὁμοθρόνου καὶ τῆς συμβασιλευούσης τῷ Διΐ, καλῶς μὲν τὸν Ἀρισταγόραν ὑπόδεξαι εἰς τὸ πρυτανεῖον, καλῶς δὲ γὰρ τοὺς ἑταίρους τοὺς συμφυλακεύοντας αὐτῷ, τοῦ σοῦ σκήπτρου πέλας. ἐκ τούτου οὖν πρόδηλον, ὡς εἰς τὴν πρυτανείαν γράφεται. ἵδρυται δὲ ἐν τοῖς πρυτανείοις ἡ ἑστία. [Οἵ, σε γεραίροντες.] οἵ τινές σε τιμῶντες οἱ πρυτάνεις, ἐν δικαιοσύνῃ διαφυλάσσουσι τὴν Τένεδον· πολλάκις μὲν σπονδαῖς καὶ θυσίαις ἐξιλεούμενοι πρώτην τῶν ἄλλων θεῶν. πολλάκις δὲ ταῖς θυσίαις. πρώτην δὲ ταύτην εἶπε, καθόσον ἀπ' αὐτῆς ἤρχοντο. καὶ Σοφοκλῆς. Ὦ πρῶρα λοιβῆς ἑστία. ἀπὸ οὖν τῆς κνίσσης, ὅ ἐστι τῆς πιμελῆς, καὶ τὰς θυσίας.

[Λύρα

Πολλὰ δὲ κνίσσᾳ. Λύρα δέ σφιν βρέμεται καὶ ἀοιδά,	Sæpe vero nidore. Lyra vero apud-ipsos perstrepit & cantus;
Καὶ Ξενίου Διὸς ἀσκεῖται θέμις ἀενάοις	Et Hospitalis Jovis exercetur ritus-justus per-
Εν τραπέζαις. Αλλὰ σὺν δόξᾳ τέλος	In mensis. Sed gloriose magistratum [petuis
Δυωδεκάμηνον περά-	Duodecim-mensium ad-finem-per-
σαι, σὺν ἀτρώτῳ κραδίᾳ.	ducat, cum invulnerato corde.
ἐπῳδὸς α΄. κώλων θ΄.	ΜΕΤΑΓΗ.
Ανδρα δ' ἐγὼ μακαρίζω	Virum autem ego beatum prædico
Μὲν πατέρ' Αρκεσίλαν,	Quidem patrem Arcesilam,
Καὶ τὸ θαητὸν δέμας, ἀτρεμίαν τε σύγ-	Et admirandum corpus, & audaciam.
Εἰ δέ τις ὄλβον ἔχων, [γονον.	Si vero quis opes possidens
Μορφᾷ παραμεύσεται ἄλλων	Forma superaverit alios,
Εν τ' ἀέθλοισιν ἀρι-	Inque certaminibus fortiter-rem-ge-
στεύων ἐπέδειξεν βίαν,	rens specimen-edidit roboris;
Θνατὰ μεμνάσθω περιστέλλων μέλη,	Mortalibus meminerit se-amictum membris,
Καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος.	Et postremā omnium terram induturum esse.
στροφὴ β΄. κώλων ς.	ΜΕΤΑΡΗ.
Εν λόγοις δ' ἀστῶν ἀγαθοῖσι μὲν αἰνεῖσθαι χρεών,	In verbis vero civium bonis quidem laudare *Aristagoram* oportet,

PARAPHRASIS.

modo nidore sacrificiorum venerantur. Quos etiam delectat Musica, ipsis tum voce tum lyra in celebritatibus resonare solita. Qui præterea Jovis hospitalis in honorem jus hospitalitatis studiose colunt, ac sine intermissione paratas hospitibus mensas habent. Velim igitur ut omnis molestiæ immmuni corde magistratum annuum gloriose transigat Aristagoras: cujus patrem Arcesilam eo nomine beatum prædico, quod cum admiranda corporis statura & forma, congenitam animi intrepidi fiduciam habet. Quæ corporis animique dotes faciunt ut homo plerunque caducæ conditionis suæ obliviscatur. Quanquam par est, ut quicunque opibus & forma præstat aliis, suique roboris præstabile specimen in certaminibus edidit, ulteriorem fælicitatem non quærat, seque nimium efferat: sed agnita fragilitate humana meminerit animam suam mortalibus membris involvi, sibi mortem ultimam rerum lineam esse oppetendam, tandemque cadaveri terram in sepulchro induendam. Porro par est ut boni cives laudibus prosequantur,

NOTÆ.

8 Πολλὰ καὶ Schmid. 9 Ξενίου] Synesius Epist. 57. Τράπεζα μὲν ἱερὸν χρῆμα, δι' ἣν ὁ Θεὸς τιμᾶται Φίλιός τε καὶ Ξένιος. 10 Τέλος δωδεκάμηνον leg. Schmid. Spatium duodecim Mensium vers. vulgata. 11 Περάσαι quomodo omnes legunt, est Indef. 1. Opt. 3. pers. Lonicer. exponit, Perage: Philipp. Efficito: Vulgata, Da illis transigere; quasi esset πέρασαι in Imperativo. Quos igitur, & Schol. quem secuta est Versio Vulg. intelligit Bened. cum nonnullos ita legisse ait. Non enim alios inspexit Codd. præter Vulgatos; quatenus saltem nobis ex Commentario illius innotescere potest. 12 Καρδίᾳ habent Codd. præter Ald. 15 Ατρεμίαν ξύγγονον hab. Schmid. Animositatem à natura insitam. Ita vocat, quasi Fortitudo hæreditaria esset in ista familia. Vide στροφὴν γ΄. 17 Παραμεύσετ' Edd. quædam. 21 Επιεσσάμενος Hysychio. λαβόμενος, qui huc respicere videtur: nam ἐπιέσασθαι γῆν proxime præcedit; estque ei, ταφῆναι. Omnes Edd nobiscum legunt. Επιεσσάμενοι tamen eodem sensu vide v. 82. præcedentis ᾠδῆς. ut hic non male cum Hesychio legas.

[Λύρα δέ σφιν βρέμεται.] λύρα δὲ αὐτοῖς κατὰ τὰς πανηγύρεις ἠχεῖ καὶ ᾠδή. καὶ τοῦ ξενίου Διὸς θέμις ἀσκεῖται καὶ ἀποσώζεται παρ' αὐτοῖς διαπαντὸς ἐν ταῖς τραπέζαις. ἀντὶ τοῦ, φιλόξενοί εἰσιν. [Αλλὰ σὺν δόξᾳ τέλος.] εὔχεται τὴν ἀρχὴν μετὰ δόξης αὐτὸν τελέσαι, σὺν ἀτρώτῳ καὶ ἀλύπῳ καρδίᾳ. τουτέστιν ἀπταίστῳ καὶ ἀβλαβεῖ, τὴν ἐνιαυσίαν ἀρχὴν διανύσειεν. δῆλον δὲ καθὼς καὶ προειπομένη διὰ τούτων, ὅτι οὐκ ἔστιν ἐπίνικος ἡ ᾠδή. ὁ δὲ νοῦς. παράσχου οὖν αὐτοῖς διανύσαι σὺν εὐδοξίᾳ τὴν πρυτανείαν, καὶ σὺν ἀλύπῳ καρδίᾳ. [Ανδρα δ' ἐγὼ μακαρίζω.] τὸν δὲ ἄνδρα ἐγὼ μακαρίζω Αρκεσίλαν τὸν σὸν πατέρα, καὶ τὸ ἐκείνου ἀνδρεῖόν τε καὶ ἐπήρατον σῶμα. τὸν πατέρα αὐτοῦ Αρκεσίλαν μακαρίζω. [Αλλως.] θαυμαστὸν ὄντα τὸ σῶμα, καὶ τὴν σύγγονον αὐτοῦ Ατρεμίαν. ὡς ἀδελφοῦ αὐτοῦ ὄντος Ατρεμίου, ἢ ὡς ἀδελφῆς. ἀμφίβολον γάρ. ἢ τὴν συγγεγενημένην αὐτοῦ ἀφοβίαν. [Εἰ δέ τις ὄλβον ἔχων.] εἴ τις δὲ πλούσιος καὶ καλὸς, καὶ ἐν ἀέθλοις διήνεγκε τῶν ἄλλων, γινωσκέτω ὅτι θνητός ἐστι. καὶ μηκέτι παρὰ ταῦτα εὐδαιμονίαν μείζονα ζητείτω. μὴ ὡς θεὸς τῶν μειζόνων ὀρεγέσθω. ἢ οὕτως. εἰ γὰρ ἀνθρώπων τις εὐδαιμονίαν κεκτημένος, καὶ τῷ εἴδει παρέρχεται τοὺς ἄλλους, καὶ ἐν τοῖς ἄθλοις ἀριστεύουσαν ἐφανέρωσε τὴν ἑαυτοῦ ἰσχὺν, γινωσκέτω μέλλων ἀποθνήσκειν. ἡ δὲ τοῦ νοῦ φαντασία, τοιαύτη. μὴ διὰ τὸ ὑπερβεβλημένον τῆς εὐδαιμονίας, θεοῖς ἑαυτὸν καταριθμείτω. γινωσκέτω δὲ, ὅτι ἀνθρωπίνην ἔχει τὴν φύσιν. [Εν λόγοις δ' ἀστῶν ἀγαθοῖς.] ἐν δὲ τῇ τῶν ἀγαθῶν γνώμῃ ἐπαινεῖσθαι τοὺς ἀγαθοὺς προσήκει φησίν. ἢ οὕτω. τοὺς τοιούτους καὶ τοιαῦτα ἠσκηκότας ἄρχοντας, δεῖ ὑπὸ τῶν ἀγαθῶν, καὶ λόγοις ἐπαινεῖσθαι καὶ κοσμεῖσθαι ποιήμασιν.

Καὶ μελιγδούποισι δαιδαλθέντα μελιζέμεν ἀοιδαῖς.	Et mellisonis ornatum celebrare cantibus.
Ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισταγόραν	Ex circumhabitantibus vero sedecim Aristagoram
Ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον,	Splendidæ victoriæ, patriamque claram
Ἐστεφάνωσαν πάλᾳ,	Coronarunt lucta,
Καὶ μεγαλαυχεῖ παγκρατίῳ.	Et valde-gloriabundo pancratio.
ἀντιστροφὴ β'. κώλων ϛ'.	Metaph.
Ἐλπίδες δ' ὀκνηρότεραι γονέων, παιδὸς βίαν	Spes autem segniores Parentum, filii robur
Ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων.	Impedierunt in Pythone periculum-facere & in Olympia certaminum.
Ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν, παρὰ Κασταλίᾳ,	Per jusjurandum enim, *juxta* meam sententiam, ad Castaliam,
Καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου,	Et ad arboribus-bene-consitum profectus collē [Saturni,
Κάλλιον ἂν δηριώντων ἐνόστησ' ἀντιπάλων,	Pulchrius quam pugnantes rediisset adversarii,

PARAPHRASIS.

& dulcibus carminibus ornatum Aristagoram decantent, qui ex vicinarum urbium certaminibus sexdecim insignes victorias lucta valdeque glorioso pancratio reportavit, quibus sibi, claræque patriæ coronarum decus peperit. Et nisi parentes, qui magis ignominiam victi metuebant, quam victoris gloriam sperabant, filium, alioqui necessariis corporis dotibus ad obeunda celebriora certamina instructum, impedivissent quominus Pythia Delphis, & Olympia in Elide celebrari solita tentaret, asseverare ausim futurum fuisse, saltem mea sententia, ut inde victorias reportasset, & ex Castalia, colleque Saturni honorificentius quam luctatores adversarii in patriam rediisset,

NOTÆ.

24 Ἑκκαίδεκα] Pertinet ad τὸ ἀγλααὶ νῖκαι, q. d. sedecim victoriæ diversæ, ex circumhabitantibus, vicinis, privatæ scil. & ignobiliores, coronaverunt. Philipp. Nec aliter vulgata. Lonicer. tamen secutus Schol. ἑκκαίδεκα, conjungit cum τῷ περικτιόνων, redditque, Quum ex vicinis sedecim essent colluctatores, solum Aristagoram, patriamque ejus, lucta & magnifico pancratio celebrem, splendidæ victoriæ coronaverunt. Verum hæc Interpretatio Schmidio aliisque displicet, Quod non tantum Plurale νῖκαι, sed etiam enumeratio diversorum certaminum, πάλης & παγκρατίου arguat, hic non intelligi victoriam unam, de sedecim antagonistis reportatam; Quodque τὸ solum nullum habeat in Textu fundamentum; & quia τὸ πάλᾳ καὶ παγκρατίῳ, ad πάτραν εὐώνυμον detorqueantur; quum in certaminibus hisce excellentia non fuerit peculiaris & propria Tenedi, sed personæ; & Tenedus non hinc esse εὐώνυμος cæperit. Ex quibus sane id conficitur, ut Scholiastæ expositio valde coacta videatur. 27 Μεγαλαυχεῖ παγκρατίῳ] Ita vocat παγκράτιον, quia plurimum roboris requirebat & duobus certaminibus constabat; ideoque major ex tali victoria honos enascitur. Μεγαυχεῖ est mutilatio Schmidii. 28 Ἐλπίδες δ' ὀκνηρότεραι] Quoniam jam de sedecim victoriis obscurioribus dixerat, nec sacris certaminibus se commiserat Aristagoras, Poëta omnem suspicionem ignaviæ tollit, rejiciens culpam in Parentum affectus. Schmid. interpret. Timiditas, quali sensu vides in Paraphrasi. Vide quæ Schol. hab. ad ἔχθιστον νόστον Ol. 8. στροφὴ γ'. Ea enim hanc sententiam saltem illustrant. Quod hic Poëta loquitur, Schmid. conciliari posse censet, cum iis, quæ 15 κώλῳ dixit, cum prædicaret ἀτρεμίαν σύγγονον, si concipis patrem fortem quod attinet ad facinora propria, & sibi ipsi subeunda pericula; sed circa educationem filii ita indulgentem & delicatum, ut nimis filio metueret. Quidni sumamus, Spes tardiores, quæ non pari passu procederent, cum crescente filii robore? Timiditas enim à fortibus longissime abesse debet; neque illius umbra in imagine tali conspicienda est. Παιδὸς βίαν] h. e. Παῖδα. Schmid. ἔμφασιν inesse docet; quasi innuat, Adminicula naturalia filio non defuisse, modo institutio justa accessisset. Oppositio quædam est inter ἐλπίδες ὀκνηρότεραι & βίαν παιδός. Hæc autem verba cum seq. versu Ald. non habet, qui & spatium ad notandum defectum reliquit. 29 Ἔσχον] Abstinuerunt Schmid. 30 Ἐμὰν δόξαν] Lonicer. partem Juramenti facit, q. d. Per meam existimationem. Schmid. tamen censet. Schol. interpretationem magis modestiæ Poëtæ inservire, conditionaliter jurantis, quatenus hoc de Aristagora speret; quum interim hæc levitatis, à qua Poëta est alienissimus, haud obscurum argumentum contineat. Quod judicium in medio relinquimus, ut cætera omnia. 33 Ἐνόστησ' ἀντιπάλων] Ald. ἐνοστήσαντ' ἀντιπάλων.

[Ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισταγόραν.] ὡς τῶν ἀγωνιστῶν τοῦ Ἀρισταγόρου τοσούτων ὄντων τῷ ἀριθμῷ. ὁ δὲ νοῦς. ἐκ δὲ τῶν περιοίκων ἀνταγωνιστῶν ἑκκαίδεκα ὄντων, τὸν Ἀρισταγόραν αἱ νῖκαι καὶ τὴν τούτου πατρίδα ἐστεφάνωσαν τὴν ἐπίδοξον, πάλῃ καὶ παγκρατίῳ νικήσαντα. [Ἐλπίδες δ' ὀκνηρότεραι γονέων.] παιδὸς δὲ ὄντος τοῦ Ἀρισταγόρου φησὶν, αἱ τῶν γονέων ἐλπίδες ὀκνηρότερον διατεθεῖσαι, ἐνεπόδισαν, εἴς τε τὴν Πυθῶνα καὶ τὴν Ὀλυμπίαν σταλῆναι τῶν ἄθλων εἵνεκα. [Καὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν.] ἐνταῦθα ὄνομα οὐ προσέθηκε. ἰδίως γὰρ οἱ παλαιοὶ, κατ' αὐτοῦ τοῦ ὅρκου ὤμνυον. ὡς καὶ Ἡσίοδος. Ὅρκον θ' ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ. [Ἄλλως.] εὐλαβείᾳ τοῦ ὀμνύειν, οἱ ἀρχαῖοι παρελίμπανον τὰ ὀνόματα τῶν θεῶν. διὸ καὶ ψιλῶς εἶπε, ναὶ μὰ γὰρ ὅρκον, τὴν ἐμὴν δόκησιν, ἐν τῇ Πυθῶνι, καὶ ἐν τῷ εὐδένδρῳ ὄρει τοῦ Κρόνου. ὅ ἐστι, καὶ ἐν τῇ Ὀλυμπίᾳ. κάλλιον ἂν τῶν ἀγωνιζομένων ἐπανῆλθεν ὁ Ἀρισταγόρας τῇ πατρίδι, τὴν πενταετηρικὴν πανήγυριν, διατάξιν καὶ νόμον θέντος Ἡρακλέους, κωμάσας καὶ ἀναδησάμενος τὸν κλάδον. [Καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου.] εὐδένδρῳ διὰ τὰ τῶν ἐλαιῶν φυτά. ἅπερ Ἡρακλῆς ἐξ Ὑπερβορέων κομίσας, ἐνεφύτευσε τῇ γῇ. τὸ δὲ παρ' ὄχθῳ Κρόνου, ἀντὶ τοῦ καὶ τῷ λόφῳ, τῷ κατὰ τὴν Ὀλυμπίαν ἀνιερωθέντι τῷ Κρόνῳ.

[Ἄλλ

ἐπῳδὸς β'. κώλων θ'.	Metaph.
Πενταετηρίδ' ἑορτὰν	Quinquennale festum
Ἡρακλέος τέθμιον	Herculis ad - ritum - institutum
Κωμάσαις, ἀνδησάμενός τε κόμαν ἐμπορφυρέοις	Canens , redimitusque comam purpureis
Ἔρνεσιν. Ἀλλὰ βροτῶν	Ramis. Sed mortalium
Τὸν μὲν κενόφρονες αὖχαι	Alium vana - sapientes gloriationes
Ἐξ ἀγαθῶν ἔβαλον·	Ex honestis ejicere - solent :
Τὸν δ' αὖ καταμεμφθέντ' ἄγαν	Aliũ vero contra reprehendentẽ nimium *suum*
Ἰσχὺν, οἰκείων παρέσφαλεν καλῶν,	Robur, à-propriis aberrare-facit bonis,
Χειρὸς ἕλκων ὀπίσω, θυμὸς ἄτολμος ἐών.	Manu trahens retro, Animus audacia carens.

στροφὴ γ'. κώλων ς'.	Metaph.
Συμβαλεῖν λίαν εὐμαρὲς ἦν, τό, τε Πεισάνδρου πάλαι	Conjicere valde facile erat, Pisandri antiquum
Αἷμ' ἀπὸ Σπάρτας· Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ,	Sanguinem è Sparta (ab-Amyclis enim profectus-est cum Oreste,
Αἰολέων στρατιὰν χαλκεντέων δεῦρ' ἀνάγων.	Æolensiũ exercitũ ære-armatorum huc adducens)
Καὶ παρ' Ἰσμηνοῦ ῥοὰν κεκραμένον	Et ad Ismeni fluxum, mixtum

Paraphrasis.

cum hymno choreali ob successum accepto festum quinquennale ab Hercule institutum decorasset, & comam purpureis oleastri ramis redimitam retulisset. Hoc pacto cum parentes Aristagoræ de viribus ejus & dexteritate dubitassent, à præclaris certaminibus ad quæ natura erat idoneus ipsum averterunt. Hoc autem inter mortales homines usu venit, ut alius qui magnifice nimis de se sentit & inanis gloriæ œstro percellitur, majora suis viribus aggrediens, præclarorum cœptorum successu excidat: alius qui nimis humiliter de se sentit, & se ipso minorem sese judicat, animo fiat pusillo, qui cum audacia careat, virum alioqui ad res præclaras natura comparatum, tanquam manu à tergo trahens, eas capessere non sinit. Quod autem dico, Aristagoram nisi à parentibus qui de ipsius viribus dubitabant, Pythia & Olympia decertare prohibitus fuisset, victorem meo judicio ex Pythone, & Olympia rediturum fuisse, conjicere perquam facile mihi est, cum paternum genus à prisco Pisandro Lacone ducat (qui Amyclis profectus cum Oreste coloniam Æolensium in Lesbum, Tenedumque proinde Insulam deduxit) & maternum à Melanippo Thebano, qui ad Ismenum

NOTÆ.

36 Ald. & Rom. ἐν πορφυρίοις. Schmid. ἐμπορφύροις. 38 Schmid. leg. κενεόφρονες, ut & Schol. 40 Καταμεμφθέντ' κ. λ. Vulg. Conquestum nimium de viribus. 43 Συμβαλεῖν] Aret. existimat Poëtam ad superiora referre, Arcesilao facile fuisse cognoscere virtutem filii ex majorum virtutibus. 45 Χαλκεντέα leg. Schmid. 46 Κεκραμένον] Lonicer. & Philipp. exponunt tanquam à κρεμάω, Pendentem, vel Pendere.

[Ἀλλὰ βροτῶν μὲν κενεόφρονες αὖχαι.] αἱ καυχήσεις. ἀλλὰ τῶν ἀνθρώπων τὸν μὲν αἱ ματαιόφρονες καυχήσεις καὶ ἀλαζονεῖαι, ἐκ τῶν παρὰ ποδῶν καλῶν ἀποτυχεῖν παρεσκεύασαν, τῷ τῶν μειζόνων παρὰ δύναμιν καὶ τὸ προσῆκον ὀρέγεσθαι. ἕτερον δὲ ἰσχυρὸν ὄντα κατὰ φύσιν, μετριάζοντα δὲ, καταμεμφόμενον τὴν ἑαυτοῦ δύναμιν, τῶν προσόντων καλῶν σφαλῆναι πεποίηκεν ἡ ψυχὴ, ἄτολμος οὖσα, καὶ τῆς χειρὸς αὐτὸν εἰς τοὐπίσω ἕλκουσα. τουτέστιν, ἄτολμον ποιοῦσα. [Συμβαλεῖν λίαν εὐμαρὲς ἦν.] ἐκ δὲ τῆς Ἀρισταγόρου ἀρετῆς, εὐμαρὲς ἦν διαγνῶναι, συμβαλόντας ὅτι τοῦ Λακωνικοῦ Πεισάνδρου ἀπόγονος ἦν, τοῦ ποτὲ σὺν τῷ Ὀρέστῃ ἀποικίαν ἀπὸ τῆς Λακεδαίμονος εἰς Λέσβον στειλαμένου τὸ τῶν Αἰολέων γένος. τὸ δὲ δεῦρο, ὡς πρὸς τὴν Τένεδον τὴν τῆς Λέσβου. ἦν δὲ συμβαλεῖν καὶ τὸ μητρῷον αὐτοῦ γένος, περὶ τὰ Ἰσμηνοῦ ῥεύματα κεκραμένον τῷ Θηβαίῳ Μελανίππῳ. ἢ οὕτω. συμβαλεῖν λίαν εὐμαρὲς καὶ σημειώσασθαι τὸν ἰδόντα τὸν Ἀρισταγόραν, ὅτι τὸ πάλαι αὐτοῦ αἷμα καὶ τὸ γένος, ἦν ἀπὸ Πεισάνδρου τοῦ Σπαρτιάτου. ὡς ἀπό τινος τῶν παλαιῶν Πεισάνδρου, ὄντος τοῦ Ἀρισταγόρου. οὗτος δὲ, φησι, σὺν Ὀρέστῃ, ἀπῴκησεν ἐκ Σπάρτης, καὶ τὴν Τένεδον κατῴκησε. Τενέδιος γὰρ ὁ Ἀρισταγόρας. περὶ δὲ τῆς Ὀρέστου εἰς τὴν Αἰολίδα ἀποικίας, Ἑλλάνικος ἐν τῷ πρώτῳ περὶ Αἰολικῶν ἱστόρηκεν. Ὁ δὲ Μελάνιππος οὗτος Θηβαῖος ἦν ἐπὶ τοῦ πολέμου συστὰς τῷ Τυδεῖ. τούτου δοκεῖ διὰ τὴν ὀργὴν λαβὼν ὁ Τυδεὺς τὴν κεφαλὴν καὶ ῥήξας, ἐκροφῆσαι τὸν ἐγκέφαλον. διὸ καὶ ἀπεστράφη ἡ Ἀθηνᾶ τότε κομίζουσα αὐτῷ τὴν ἀθανασίαν. τὸ μὲν οὖν ἀπὸ πατρὸς γένος εἰς Πείσανδρον· τὸ δὲ ἀπὸ μητρὸς, εἰς τοῦτον τὸν Μελάνιππον. μήτρωες γὰρ οὗτοι οἱ κατὰ μητέρα πρόγονοι.

[Ἀρχαῖαι

Ἐκ Μελανίπποιο μά-	Ex Melanippo materno-pro-
τρωος. Ἀρχαῖαι δ' ἀρεταὶ	genitore. Priscæ autem virtutes
ἀντιστροφὴ γ'. κώλων ϛ'.	Metaph.
Ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀν-	Recolligunt-se, permutantes generationibus
δρῶν σθένος.	hominum, robur.
Ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδω-	In continua-serie vero neque nigra fructum
καν ἄρουραι·	dare-solent arva:
Δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων πε-	Arborésque non volunt omnibus annorum
ριόδοις	recursibus
Ἄνθος εὐῶδες φέρειν, πλούτῳ ἶσον,	Florem odoratum ferre, divitiis parem,
Ἀλλ' ἐν ἀμείβοντι. Καὶ	Sed per vices. Et
Θνατὸν οὕτω σθένος ἄγει	Mortale sic robur ducit
ἐπῳδὸς γ'. κώλων θ'.	Metaph.
Μοῖρα. Τὸ δ' ἐκ Διὸς ἀνθρώ-	Fatum, At ex Jove homi-
ποις σαφὲς οὐχ ἕπεται [ἐμβαίνομεν,	nes certus non sequitur
Τέκμαρ. Ἀλλ' ἔμπαν μεγαλανορίαις	Exitus. Et tamen in-superbiis incedimus,
Ἔργα τε πολλὰ μενοι-	Operaque multa moli-
νῶντες. Δέδεται γὰρ ἀναιδεῖ	entes. Vincta-sunt enim impudenti

Paraphrasis.

Bœotiæ fluvium habitavit. Nam clarorum progenitorum antiquæ virtutes, quæ illis natura insitæ fuerunt referri & recuperari solent, postquam per aliquot generationes intermissæ fuerunt, & posterorum nonnulli avitum robur cum ignavia commutarunt. Quemadmodum enim arva nigra, proindeque natura fœcunda, fructum continua serie annorum non ferunt: nec singulis, sed alternis annorum periodis & recursibus odoratum florem, quæ ipsarum sunt divitiæ, producere queunt. Sic & divina providentia facit ut mortales homines progeniem habeant nunc degenerem, nunc patria virtute pollentem. At vero consilium Jovis quem ad exitum tendat, mortalium nulli est perspicuum. Et quanquam futuri eventus præscii non sumus, animos tamen attollimus, inque superbiam illabimur, opera multa molientes quorum certum successum nobis pollicemur. Tam arctis enim spei vinculis toti obligamur,

Notæ.

47 Μάτρωος] Plerique redd Avi materni. 49 Ἀμφέροντ' sive in Activa ἀμφέροντι sive in Passiva vel Media ἀμφέρονται, Recreantur, reficiuntur. Philippus, Propagantur. Aret. Certis viabus recurrunt. Lonicer. Auferuntur. Ἀλλασσόμεναι] Permutatæ generationibus Lon. Passive, ut & Schol & σθένος, per Appositionem ad ἀρεταὶ refert. Portus ita Antiquæ virtutes hominum, quæ permutantur seculis, recuperant robur; qui non multum abest à vulgata. 50 Ἐν σχερῷ] Ἐν σχερῷ δὲ omnes præter Brub. hab. Casaubonus in Athenæum l. 13. leg. Adverbialiter ἐνσχερῷ, sicut ἐπισχερῷ, apud Homerum. 51 Πάσαις hab. Ed. Rom. Περόδοις Schmid. 55 Τὸ δ' ἐκ Διὸς] Lonicer. & Aret. de incertitudine horæ Mortis exponunt.

[Ἀρχαῖαι δ' ἀρεταί.] αἱ ἀρχαῖαι τῶν προγόνων φύσει ἀρεταὶ, ὕστερον ἐκλάμπουσιν. ἐνίοτε γάρ τις γέγονεν ἀπὸ πατρικοῦ τινος ἀνδρός. εἶθ' οἱ ἐκείνου ἀπόγονοι, ἄπρακτοι ὤφθησαν· ἕως διὰ πολλῶν ἐτῶν πάλιν εἷς ἐξέλαμψεν. οὗτος οὖν, φησὶ, ἀπὸ Μελανίππου γεγονὼς καὶ Πεισάνδρου, δρασηείων γεγονότων. τὸ δὲ μεταξὺ ἠμαυρωμένον, αὐτὸς ἐξέλαμψε τῶν ἐκείνων ἀρετῶν. αὐτὸς ἐφ' ἑαυτοῦ ἔδειξε τὸ γένος οἷον ἦν. ἢ οὕτως. αἱ δὲ παλαιαὶ ἀρεταὶ, ἀποφέρονται σθένος ἐναλλασσόμεναι ταῖς τῶν ἀνθρώπων γενεαῖς. οὔτε γὰρ ἐφεξῆς αἱ ἄρουραι καρπὸν δυνατὰς ἀποδιδόασιν, οὔτε μὴν τὰ φυτὰ βούλεται ἐν ἁπάσαις ἐτῶν περιόδοις καρπὸν καὶ βλαστὸν εὐώδη καὶ ἐπικερδῆ φέρειν, ἀλλ' ἐξ ὑπαλλαγῆς καὶ διαστήματος ταῦτα δίδοται. καὶ τὸ τῶν ἀνθρώπων γένος τὸν αὐτὸν τρόπον τοῖς φυτοῖς καὶ ταῖς ἀρούραις ἀναδέχεται. [Τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς, οὐχ ἕπεται τέρμα.] τὸ ἀποβησόμενον τέλος ἐκ τοῦ Διὸς, φησὶν, οὐ προγινώσκομεν οἱ ἄνθρωποι, ἀλλὰ μεγαληγοροῦμεν μεγάλα τε μενοινῶντες καὶ φροντίζοντες ὑπὲρ ἑαυτούς. τείνει δὲ πρὸς Ἀρισταγόραν. ἐπειδὴ τότε ἦρχε καὶ ἐπρυτάνευε παραινῶν αὐτῷ μὴ ὑπερηφανεύεσθαι, ἀλλὰ μετρίως βιοῦν. πρᾴως τε καὶ ἐν ἀρετῇ διάγειν. [Δέδεται γὰρ ἀναιδεῖ ἐλπίδι γυῖα.] τουτέστιν, ἐμπέφυκεν ἡμῖν ἐλπὶς ἄποθεν. ἀναιδῆ δὲ τὴν ἐλπίδα εἶπεν, ὅτι οἱ πολλοὶ ἡμῶν ἀδύνατα ἐλπίζουσιν. ἢ ἀναιδῆ τὴν ἐλπίδα εἴρηκε, διὰ τὸ πολλάκις τοὺς ἐλπίζοντας ἀποτυγχάνειν, καὶ πάλιν ἐλπίζειν. ἢ οὕτω. συνδέδεται δὲ τὰ ἡμέτερα σώματα ἀναιδεστάτῃ ἐλπίδι. τὸ δὲ προβουλεύεσθαι καὶ μανθάνειν μακρὰν ἡμῶν ἀπῴκισεν. ἤτοι, τῆς δὲ προγνώσεως αἱ ὁδοὶ, ἄποθεν ἡμῶν κεῖνται. ἀντὶ τοῦ οὐ δυνάμεθα ἄνθρωποι ὄντες, τὰ μέλλοντα προγινώσκειν.

Ἐλπίδι γυῖα. προμα-	Spe membra: præſcien-
θείας δ' ἀπόκειντ) ῥοαί.	tiæque longe-remoti-ſunt fluxus.
Κερδέων δὲ χρὴ μέτρον θηρευέμεν.	Lucrorũ vero oportet *certum* modum venari.
Ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι μα-	Non-aſſequendarum vero cupiditatum acrio-
νίαι.	ores *ſunt* inſaniæ.

PARAPHRASIS.

ut quicquid in mentem venit, quantumvis impoſſibile ſit, ſperare non pudeat. Itaque quod temere aggreſſi ſumus, non conſequimur. Nec mirum: ſiquidem etiam eorum quæ cum deliberatione & conſilio, difficultatibus prudenter prævisis ſuſcepimus, eventus non ſtatim ſequuntur, ſed in temporis theſauro reconditi differuntur. Cæterum laboribus noſtris mediocre lucrum captare debemus: nec rerum quas aſſequi impoſſibile eſt, ſtudio capi: quas nihilominus plerique in vetitum nitentes, & negata cupientes, inſaniore deſiderio perciti aucupantur.

NOTÆ.

60 Προμαθείας] Deliberationis ante factum. Schmid.

[Κερδέων δὲ χρὴ μέτρον θηρευέμεν.] οὐ δεῖ φησι ζητεῖν ὠφελείας ὑπερμέτρους. οὐδὲ κερδαίνειν τὰ ὑπὲρ ἡμᾶς. ἀπροσίκτων δὲ, ἀντὶ τοῦ ἀμηχάνων. ὧν οὐκ ἔστι θιγεῖν. τῶν γὰρ ἐρώτων σκληραί εἰσιν αἱ μανίαι, καὶ σύντονοι αἱ ἐπιθυμίαι. τῶν οὖν ἀμηχάνων ἐρώτων, φησὶν, ἐπιθυμίαι, ὀξυτέρας ἔχουσι τὰς μανίας. πρὸς τί δὲ τοῦτο λέγει; ἀντὶ τοῦ εἰπεῖν, ὦ Ἀρισταγόρα οἷς ἔσχηκας καὶ ἔλαβες δεκαὲξ στεφάνοις, πλούτοις. ἀρχῇς. πρυτανείαις. ἀρκοῦ τούτοις. μηκέτι ὑπὲρ ταῦτα ζήτει.

Τέλος τοῦ ἑνδεκάτου καὶ τελευταίου τῶν Νεμέων εἴδους.

ΥΠΟΘΕΣΙΣ ΙΣΘΜΙΩΝ.

ΕΤελοῦντο μὲν οἱ παλαιοὶ πάντες ἀγῶνες ἐπί τισι τετελευτηκόσιν. ἐτελεῖτο γὰρ ὁ μὲν Ολυμπιακὸς τῷ Διῒ διὰ τὸν Πέλοπα. ὁ δὲ Πυθικὸς, τῷ Απόλλωνι, διὰ τὸν δράκοντα, ὃν ἀπέκτεινε Πυθοῖ. ὁ δὲ Νεμεακὸς κατά τινας, τῷ Ηρακλεῖ ὑπ' αὐτοῦ, ἐπὶ τῇ τοῦ λέοντος ἀναιρέσει. ὁ δὲ Ισθμικὸς οὗτος, τῷ Ποσειδῶνι. ἔστι δὲ ἡ ἱστορία, αὕτη. Ινοῦς καὶ Αθάμαντος παῖδες, Λέαρχος καὶ Μελικέρτης. τὸν μὲν δὴ Λέαρχον μανεὶς ὁ Αθάμας, ἀπέκτεινεν. εἶτα ἡ μήτηρ αὐτοῦ καθῆκεν αὐτὸν εἰς λέβητα ὕδατος ζεστοῦ. μανεῖσα δὲ καὶ αὐτὴ, τὸ τελευταῖον ἥλλετο μετὰ τοῦ Μελικέρτου εἰς θάλασσαν. καὶ ἐγένετο μὲν ἡ Ινὼ, μία τῶν Νηρεΐδων. ἧς καὶ ὁ ποιητὴς μέμνηται. ἔστι δὲ αὕτη Λευκοθέα. ὁ δὲ Μελικέρτης, μετεβλήθη εἰς δαίμονα. ἔστι δὲ οὗτος ὁ Παλαίμων. χορεύουσαι τοίνυν ποτὲ αἱ Νηρεΐδες, ἐπεφάνησαν τῷ Σισύφῳ, καὶ ἐκέλευσαν εἰς τιμὴν τοῦ Μελικέρτου ἄγειν τὰ Ισθμια.

ΑΛΛΩΣ ΥΠΟΘΕΣΙΣ ΤΩΝ ΑΥΤΩΝ.

ΤΟΝ τῶν Ισθμίων ἀγῶν, οἱ μὲν, ἐπὶ Σίνιδι τῷ Προκρούστῃ διαθεῖναι φασὶ τὸν Θησέα, ἀνελόντα αὐτόν. ὥσπερ καὶ τοὺς ἄλλους ὥς φησι Σοφοκλῆς, λέγων περὶ αὐτοῦ. Ος περιακτίαν στείχων, ἀνημέρωσα κνωδάλων ὁδόν. ὁ δὲ Σίνις, Ποσειδῶνος παῖς. ὃς δένδρα κάμπτων, εἶτα συνδεσμῶν εἰς ταῦτα τοὺς παριόντας, ἀθρόως ἀφιεὶς τὰ δένδρα, οὕτω διέφθειρεν. οἱ δὲ, ἐπὶ Μελικέρτῃ, ὅτε τῷ Ισθμῷ ἄταφος προσεπελάσθη. καὶ μεταξὺ λιμοῦ τὴν Κορινθίων πόλιν καταλαβόντος, τοῦ θεοῦ εἰπόντος, οὐκ ἄλλην ἔσεσθαι τῶν κακῶν λύσιν, ἢ τὴν ἐκείνου κηδείαν, καὶ τιμὴν δι' ἀγῶνος ἐπιταφίου. ταῦτα δὲ πρὸς ὀλίγον ποιησάντων τῶν Κορινθίων, λιμὸς πάλιν ἐπέθετο. καὶ ἔχρησεν ὁ θεὸς αἰώνιον τὴν εἰς τὸν ἥρωα τιμὴν ὑπάρχειν. καὶ στέφανον σελίνου, διὰ τὸ καταχθόνιον εἶναι τὸ φυτόν. ὕστερον μέντοι, καὶ τῷ θεῷ προσένειμαν τὸν ἀγῶνα ἐναλλὰξ ἐπιτελοῦντες. καὶ πίτυϊ λοιπὸν ἐστεφάνουν, διὰ τὴν πρὸς τὴν θάλασσαν ὁμοειδίαν τοῦ φυτοῦ. καὶ διὰ τὸ ἄκαρπον αὐτὴν εἶναι, ὥσπερ τὴν θάλασσαν. διὸ καὶ ἀτρύγετος. εἶτα σημαίνοντες ὡς οὐδὲν κέρδος τοῖς νικῶσιν ἀπὸ τοῦ στεφάνου πλὴν δόξης, ὥσπερ καὶ ἐν Ολυμπίᾳ ἐποίησαν, κοτίνῳ στεφανοῦντες. πάντας δὲ εἰκότως τοὺς γενομένους ὑπερηφάνους καὶ γυναῖκας, Ποσειδῶνος παῖδας φασὶν οἱ ποιηταὶ εἰς τὸ τῆς θαλάσσης ἄγριον καὶ στερεὸν ἀναφέροντες. ὥσπερ καὶ Ομηρος ὑποδηλῶν λέγει. Γλαυκὴ δέ σ' ἔτικτε θάλασσα, Πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής. οἱ δὲ κομίσαντες τὸ σῶμα τοῦ Μελικέρτου ἀπὸ τῆς Σχοινοουντίας, ἐκεῖ γὰρ ἐξερρίφη, Αμφίμαχος καὶ Δονακῖνος ἐκαλοῦντο.

ΑΛΛΩΣ.

ΤΟΝ Ισθμιακὸν ἀγῶνα τεθῆναι φασὶ δι' αἰτίαν τοιαύτην. Ινὼ, ὑπὸ Αθάμαντος ἀναιρεθῆναι μέλλουσα, κατὰ μανίαν προανῃρημένου τοῦ υἱοῦ αὐτῆς Λεάρχου, καὶ αὐτὴ μανεῖσα, τὸν λοιπὸν παῖδα Μελικέρτην ἁρπάσασα, διὰ Γερανείας τοῦ ὄρους τοῦ Μεγαρικοῦ φυγοῦσα, καὶ στᾶσα ἐπὶ τῆς καλουμένης Μελουρίδος πέτρας, ἥλλετο σὺν τῷ βρέφει, εἰς τὴν ὑποκειμένην θάλασσαν. αὐτοὺς μὲν οὖν λόγος ἔχει ἀποτεθεῶσθαι. καὶ τὴν μὲν, μετονομάσαι ἀντὶ Ινοῦς, Λευκοθέαν. τὸν δὲ, ἀντὶ Μελικέρτου, Παλαίμονα. τὸ δὲ τοῦ παιδὸς σῶμα ἐκκυμανθὲν ὑπὸ δελφῖνος εἰς τὸν Ισθμὸν, εὗρε Σίσυφος ὁ τότε τῆς Κορίνθου βασιλεύων. καὶ ἔθαψε διὰ τὴν συγγένειαν. ἦν γὰρ Αθάμαντος παῖς. ἕτεροι δὲ, ὁ Σίσυφος τε, καὶ Αθάμας, Αἰόλου παῖδες τοῦ Διός. ἐκάλεσε δὲ τὸν ἀγῶνα Ισθμια, ἀπὸ τοῦ διείργεσθαι τὰς δύο θαλάσσας, δι' Ισθμοῦ. στέφος δὲ ἐπὶ τοῦ ἀγῶνος, πίτυς. τὸ δὲ ἀνέκαθεν, σέλινα καὶ αὐτοῦ ἦν ὁ στέφανος.

ΑΛΛΩΣ.

ΑΘάμαντος μανέντος διὰ χόλον τῆς Ηρας, καὶ σφάξαντος ἕνα τῶν παίδων τὸν Λέαρχον. μέλλοντος δὲ ἅμα εἰς λέβητα βαλεῖν τὸν Μελικέρτην, προλαβοῦσα ἡ Ινὼ κλέπτει. διωκομένη δὲ ἅλλεται εἰς θάλασσαν μετὰ τοῦ παιδός. Νηρεΐδες δὲ αὐτὴν ἔσωσαν. αἳ καὶ θεὸν αὐτὴν ἐποίησαν. φανεῖσα δὲ μία τῷ Σισύφῳ, εἶπεν ἄγειν τὸν ἀγῶνα. ἐσιωπήθη δὲ πρὸς χρόνον διὰ τοὺς λῃστάς. Θησεὺς δὲ ἐλθὼν, ἐκάθηρε τοὺς τόπους, καὶ ἦγε δεύτερον.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΤΟΥ ΠΡΩΤΟΥ ΤΩΝ ΙΣΘΜΙΩΝ ΕΙΔΟΥΣ.

ΤΗΣ πρώτης τῶν Ισθμίων ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ἑπτά. Τὸ α, ἐγκωμιολογικόν. Τὸ β', ἐγκωμιολογικὸν, παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ γ', Ιαμβέλεγος. τὴν τελευταίαν συλλαβὴν μετατιθέμενον ἐπὶ τὴν ἄρχουσαν. γεγένηται δὲ καὶ παρὰ τὸ Σαπφικὸν συστεῖλαν τὸ παρατέλευτον πλεονάσαν μίαν συλλαβήν. Τὸ δ', ὅμοιον τῷ δευτέρῳ. Τὸ ε', προσοδικόν. Τὸ ς', Πινδαρεικόν. ἐκ Σαπφικοῦ πλεονάσαν χοριάμβῳ. καὶ συστεῖλαν τὸ παρατέλευτον. Τὸ ζ', Ευειπίδειον.

Περὶ τῆς ἐπῳδῆς αὐτῆς.

Η ἐπῳδὸς, κώλων ἕνδεκα. Τὸ α, ἰαμβέλεγος. ἡ πεντάμετρον καταληκτικόν. δακτυλικόν. Τὸ β', ἰαμβικὸν μονόμετρον, καταληκτικὸν, δύο συλλαβαῖς. Τὸ γ', δακτυλικὸν τρίμετρον, ἀκατάληκτον. Τὸ δ', δακτυλικὸν τετράμετρον βουκολικόν. Τὸ ε', δακτυλικὸν, πενθημιμερές. Τὸ ς', τροχαϊκὸν, ἡ ἐπίτριτος. Τὸ ζ', ἰαμβέλεγος. Τὸ η', ἰαμβικὸν πενθημιμερές. Τὸ θ', ὅμοιον τῷ, Τίς σὰς παρήειρε φρένας. Τὸ ι', προσοδικὸν ἑνδεκάσημον, ἐνδέον συλλαβῇ, τοῦ Αρχιλοχείου. ἡ τοῦ, Ερασμονίδη χαρίλαε. Τὸ ια', Στησιχόρειον.

Περὶ τῆς ἐπιγραφῆς αὐτῆς.

Ηροδότῳ Θηβαίῳ.] Γέγραπται ἡ ᾠδὴ Ηροδότῳ τῷ Θηβαίῳ. τινὲς δὲ, Ορχομενίῳ. βέλτιον Θηβαίῳ ἐπιγεγράφθαι. καὶ γὰρ ταῖς Θήβαις προσδιαλέγεται. καὶ ἑξῆς δὲ, φησὶν, ἐπεὶ στεφάνους ἓξ ὤπασε Κάδμου στρατῷ. τουτέστι τοῖς Θηβαίοις. καὶ πάλιν περὶ αὐτοῦ λέγων φησί. τιμὰν ἑπταπύλοις Θήβαισι τεύχοντα. τὸ δὲ ἐξαπατῆσαι τοὺς γράφοντας Ορχομενίῳ, ἔστι τὸ, Ορχομενοῖο πατρώαν ἄρουραν. πρὸς ὃν φησὶ Δίδυμος, ὅτι εἰκὸς εἶναι τὸν πατέρα Ηροδότου Ασωπόδωρον, διά τινας πολιτικὰς στάσεις εἰς τὸν Ορχομενὸν μεταστάντα, ὕστερόν τε εἰς Θήβας κατελθόντα, ἐπίτιμον γεγενῆσθαι. τοῦτο γοῦν καὶ τὸν Πίνδαρον αἰνιττόμενον, φάναι. Α νιν ἐρειδόμενον ναυαγίαις, ἐξ ἀμετρήτας ἁλὸς, ἐν κρυοέσσᾳ δέξατο συντυχίᾳ. ναυαγίαν γὰρ εἶπε τὴν ἐκ τῆς πατρίδος εἰς τὸν Ορχομενὸν φυγήν. [Αλλως.] Οἱ Κεῖοι Δηλιακὸν παιᾶνα ἠξίουν τὸν ποιητὴν γράψαι. ἀρχομένου οὖν γράφειν, ἐκείνοις ἐπῆλθεν ἡ νίκη Ηροδότου Θηβαίου πολίτου, εἰς ὃν προέκεινε μᾶλλον σκέψασθαι. ἀναβαλλόμενος τὸ τοῦ θεοῦ καὶ τῶν Κείων. διὸ καὶ τὴν εἰσβολὴν πεποίηται τοῦ ἐπινίκου ὁ Πίνδαρος, συγγνῶναι παρακαλῶν τὴν Δῆλον αὐτῷ, προυργιαίτερον θέμενος τὴν πατρίδα, τὰς Θήβας, διὰ τὸ Ηροδότῳ βέλτιον τὸ ἐπίνικον συντάξαι Θηβαίῳ ὄντι. μέλλοντος γὰρ Κείοις γράφειν προσοδιακὸν παιᾶνα, καὶ ὑπογύου ὄντος τοῦ χρόνου καθ' ὃν ἔδει συντετελέσθαι τὸ ποίημα τὸ Δηλιακὸν, ἔτι περὶ τὴν γραφὴν ἀσχολούμενος μεταξὺ Ηροδότου Θηβαίου ὄντος, καὶ νικήσαντος τὰ Ισθμια, ἐάσας ἀσυμπέραστον τὸ εἰς Δῆλον ποίημα, συντάττει τῷ Ηροδότῳ τὸ ἐπίνικον τὰ Ισθμια ἢ διὰ τὴν πατρίδα ἄγεται.

Typi vero metrici ita ſe habent:

στροφὴ & ἀντιστροφή.

1. -uu- uu-- -u--
2. -uu- uu-- -u-
3. -u-- -uu- uu--
4. -uu- uu-- -u-
5. --uu -uu-
6. -u-- -uu- uu-- uu-
7. -u-- -u-

ἐπῳδός.

1. --u- --uu -uu-
2. --uu
3. -uu- uu-- -
4. uu-u u--- uu
5. -uu -uu -u
6. -u-- -uu-
7. --u- --uu --uu
8. --u- -
9. --u- --u-
10. --uu -uu- -
11. -u-- -u--

ΠΙΝΔΑΡΟΥ

ΙΣΘΜΙΟΝΙΚΑΙ.

ΗΡΟΔΟΤΩ ΘΗΒΑΙΩ, ΑΡΜΑΤΙ.

ΕΙΔΟΣ Α'.

HERODOTO THEBANO, CURRU.

ODE I.

ARGUMENTUM.

Herodotus Thebanus laudatur ab Isthmica victoria, à Patre Asopodoro. Comparatur etiam cum Castore & Iolao. Tandem Poëta precatur in peroratione ut Dei benignitate, posthac etiam Pythiorum & Olympiorum victoriam adipiscatur.

στροφὴ α'. κώλων ζ'.

Μᾶτερ ἐμὰ, τὸ τεὸν, χρύσασπι Θήβα,
Πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον
Θάσομαι. Μή μοι κραναὰ νεμεσάσαι
Δᾶλος, ἐν ᾇ κέχυμαι. Τί φίλτερον
Κεδνῶν τοκέων ἀγαθοῖς; [ρίτων
Εἶξον ὦ Ἀπολλωνιάς. Ἀμφοτέραν τοι χα-
Σὺν θεοῖς ζεύξω τέλος·

Μεταφ. [Theba,

O Mater mea, tuum, aureo-utens-clypeo
Negotiū etiā occupatione *mea* superius
Ponam. Ne mihi aspera succensere-velit
Delus, in qua effusus sum. Quid charius
Quam venerandi Parentes, bonis *est*?
Cede ô Apollinaris. Utrarumq; sane gratiarum
Cum Diis conjungam persolutionem:

PARAPHRASIS.

O bellicosis viris clara Thebe, mea patria, quam matris instar colo, quanquam me detinet compositio carminis quod Deliis promisi, tamen tuum negotium quod interim sese offert, cuivis alii occupationi anteponam. Verum ô Dele aspera, in qua celebranda toto animo sum effusus, noli mihi succensere propterea quod cœptum hymnum differo tantisper dum patriæ satisfecero. Quid enim viris bonis charius esse debet quam venerandi parentes & patria, quibus prius quam aliis obsequi & officia præstare tenemur? Cede paulisper, ô Apollini sacra Dele, & da priorem locum meæ patriæ. Ego utique persolvam beneficium ad quod erga utramque sum devinctus:

NOTÆ.

1 Τεὸν] Quia Herodotus tuus filius Isthmia vicit, quæ gloria non ad Te minus quam ad ipsum pertinet: quum in certaminibus sacris non tam victori quam patriæ corona dabatur. Plin. 16. c. 4. 3 Θήσομαι Commune leg Edd. plurimæ. Κραναὰ propter montem Cynthum excelsum & asperum. Strab l. 10. Νεμεσᾶσαι leg. Ben. In Infin. nullo auctore. 4 Κέχυμαι] Active exponit Schol. legitque cum Ed. Rom. sine interrogatione, κέχυμαί τι, φίλτερον κ. λ. Ita & Phil. In qua fudi aliquid gratum bonis parentibus, qu. ἀγαθοῖς τοκέων Att. pro ἀγαθοῖς τοκεῦσι poneretur; cum τοκέων sit Genit. relatus ad φίλτερον. Similiter. Lon. In qua nunc composui, quiddam bonis inclytisque parentibus amabilissimum, & per τοκέας vult intelligi Cives Deli & seniores, qui liberos propagant, adolescentumque suorum curam gerunt. 6 Ἀμφοτέραν Comm. leg. omnia exempla præter Rom. & Ald. quod posterius hab. ἀμφοτέρων τοι. Τὸ τοὶ Vulg. accipit ut Pronomen. Tibi. Schmid post alios Adverb. pro utique; quod non debuerit ἀμφοτέραν χάριν uni Delo, sed μίαν.

Ἐξήγησις παλαιὰ πάνυ ὠφέλιμος.

[Μᾶτερ ἐμά.] παρόσον καὶ ὁ Πίνδαρος Θηβαῖος. τοῦτο γὰρ τὸ πρὸς τὸν Ἡρόδοτον δίκαιον, καθίστησι τὸν λόγον πρὸς τὴν Θήβην. καὶ τὸν ἐν χερσὶν ἀφέμενον, παρέθηκε καὶ τῆς τοῦ ἐπινίκου γραφῆς φροντίσαι. ἐν ταυτῷ δὲ καὶ πρὸς τὴν πατρίδα, καὶ πρὸς τὴν ἡρωΐδα ἀφ' ἧς ἡ πόλις καλεῖται, τοὺς λόγους ποιεῖται. ἡ γὰρ χρύσασπις, ἐπὶ τῆς ἡρωΐδος. τὴν Ἀσωποῦ καὶ Μετώπης τοῦ Λάδωνος φασίν. ὁ δὲ νοῦς. ὦ Θήβη ἐμὴ μῆτερ, τὸ σὸν πρᾶγμα, πάσης ἀσχολίας κρεῖσσον προτίθημι καὶ κείνω. μηδαμῶς μοι ἡ τραχεῖα καὶ πετρώδης Δῆλος νεμεσήσειεν. ἐφ' ᾗ νῦν πᾶς ἔγκειμαί τι, βέλτιον ἢ προσφιλέστατον τοῖς ἀγαθοῖς τῆς ἑαυτῶν πατρίδος φησί. τὸ γὰρ κεδνῶν τοκέων, ἀντὶ τῆς πατρίδος. χρύσασπις ἀντὶ τοῦ τιμία κατὰ τὰ ὅπλα. ἐκ δὲ τούτου, ὦ γυναῖκες ἔχουσα ἄνδρας. [Κραναά.] τραχεῖα καὶ πετρώδης ἡ νῆσος. ἔστι δὲ μία τῶν Κυκλάδων, κατὰ τὸ Αἰγαῖον πέλαγος. ἐκ τούτου δῆλον, ὅτι εἰς Δῆλον ἔγραφε Κείοις. ὥστε καὶ ὑποβαίνων φησὶν, ἐν Κέῳ ἀμφιρρύτῳ· ἐν ᾗ κέχυμαι. τουτέστιν, ἐφ' ᾗ νῦν τῇ Δήλῳ, τὴν σπουδὴν εἶχον τῆς γραφῆς. [Εἶξον ὦ Ἀπολλωνιὰς ἀμφοτέρων τοι χαρίτων.] δύο χαρίτων. μιᾶς μὲν ὅτι αὐτῇ τὸ ἀσυμπέραστον γράφει ποίημα. δευτέρας δὲ, ὅτι πεισθεῖσα, ὑπεχώρησε τῷ νῦν τοῦ Ἡροδότου ἐγκωμίῳ. τὸ δ' ἑξῆς, ὑποχώρησον ὦ τῷ Ἀπόλλωνι τιμωμένη, καὶ τετιμημένη Δῆλε, ὅτι κατ' αὐτὴν ἐγένετο ὁ θεός. δύο γὰρ χαρίτων ἕνεκεν συμπεραινόντων τῶν θεῶν, παρασκευάσω σοι ὕμνον. ἔνιοι δὲ οὕτως. ἀμφοτέρων τῶν χαρίτων τὸ τέλος συζεύξω· καθ' ἣν

ἀντιστροφὴ α΄. κῶλων ζ΄.	ΜΕΤΑΦΗ.
Καὶ τὸν ἀκειρεκόμαν Φοῖβον χορεύων	Et coma-intonſum Phœbum choro-celebrans
Ἐν Κέῳ ἀμφιρύτῳ σὺν ποντίοις	In Ceo circumflua cum maritimis
Ἀνδράσιν, καὶ τὰν ἁλιερκέα Ἰσθμοῦ	Viris, & mari-ſeptum Iſthmi
Δειράδ΄. Ἐπεὶ στεφάνους ἓξ ὤπασε	Collum. Quoniam coronas ſex præbuit
Κάδμου στρατῷ ἐξ ἀέθλων,	Cadmi populo ex certaminibus
Καλλίνικον πατρίδι κῦδος. Ἐν ᾇ καὶ τὸν ἀδεί-	Victoriale patriæ decus. In qua & in-
μαντον Ἀλκμήνα τέκε	trepidum Alcmena peperit

ἐπῳδὸς α΄. κῶλων ια΄.	ΜΕΤΑΦΗ.
Παῖδα, θρασεῖαι τόν ποτε Γηρυόνα	Filium, feroces quem quondam Geryonæ
Φρίξαν κύνες.	Horruerunt canes.
Ἀλλ΄ ἐγὼ Ἡροδότῳ τεύχων	At ego Herodoto fabricans
Τὸ μὲν ἅρματι τεθρίππῳ γέρας,	Hoc quidem currui quadrijugo honorarium,
Ἁνία τ΄ ἀλλοτρίαις οὐ	Habenaſque non alienis
Χερσὶ νωμάσαντ΄, ἐθέλω	Manibus quum-adminiſtrarit; volo

PARAPHRASIS.

& intonſam comam ferentem Phœbum in Ceo mari cincta Inſula cum viris Inſularibus, & mari vallatum Iſthmum Corinthiacum, hymno meo qui à choro canetur, celebrabo. Quoniam locus ille ex certaminibus ſuis, ſex coronas Thebanis, apud quos regnavit olim Cadmus, præbuit, ad decus & honorem patriæ ob præclaras victorias Qua quidem fuit natale ſolum intrepidi Herois Herculis Alcmenæ filii, quem olim ferox Geryonæ canis perhorruit, quum ipſius herum occidit, ejuſque boves in Græciam abegit. At ego cum honorarium carminis munus Herodoti victoriæ, quam adeptus eſt quadrigis, componere ſtatuerim: ſiquidem non habuit aurigam à quo regerentur equorum habenæ, ſed eas propria dexteritate rexit, hymnum ipſi adornare volo,

NOTÆ.

17 Ἡροδότῳ leg. Schmid. qu. pro Ἡροδότου Dor. omiſſo ι alias ſcribendo.

τέ σοι χαριστέον ἐστί· καὶ κατ΄ ἐμὴν τῇ πατρίδι. οἱονεὶ, ἀμφότερα ποιήσω. καὶ τὸν Ἀπόλλωνα ᾧ δεῖ καιρῷ ὑμνήσω, καὶ τὸν ἐπινίκιον πληρώσω. τὸ δὲ χορεύων, ἀντὶ τοῦ μετὰ χοροῦ ὑμνῶν. ἐπεὶ οἱ χοροὶ ἀπαγγέλλουσι τὰ ποιήματα ἐν Δήλῳ εἰς τὸν Ἀπόλλωνα. πῶς οὖν τὸ Δηλιακὸν ποίημα, φησὶν, ᾄδειν ἐν Κέῳ. μή ποτε οὖν προαναλαμβάνονται ἐν τῇ πατρίσιν, οὗ οἱ χορευταὶ ἐμελέτων τὰς ᾠδὰς, καὶ οὕτως ἀπήεσαν. ἀπὸ οὖν τοῦ παρακολουθοῦντος τοῖς ὕμνοις τοῦτό φησιν, ἀντὶ τοῦ ὑμνῶν. ὅτι μετὰ χορείας ἐλέγοντο οἱ ὕμνοι. [Ἐν Κέῳ ἀμφιρύτῳ σὺν ποντίοις ἀνδράσι.] τοῖς κατὰ τὴν Κέω φησί. ποντίους δὲ αὐτοὺς ἔφη, ὡς νησιώτας. τὸ δὲ ἑξῆς. καὶ τὸν ἄτμητον τὰς κόμας Ἀπόλλωνα ὑμνῶν ἐν τῇ Κέῳ σὺν τοῖς νησιώταις ἀνδράσι. καὶ τὸν περιβεβλημένον, καὶ ὑπὸ θαλάσσης περιορίζομένην τοῦ Ἰσθμοῦ ἐξοχήν. ἵν΄ ᾖ ὅλον, ὅτι ὑμνήσω καὶ τὴν Κῶ, καὶ σὲ ὦ Δῆλε. καὶ τὸν Ἰσθμόν. καὶ ὕστερον, σοὶ πάλιν τὸν ἐπινίκιον ἀποδώσω. [Στεφάνους ἕξ.] καταχρηστικώτερον ἀπὸ τῶν πλειόνων. [Ἄλλως.] Ἤτοι ἀριθμητικῶς ἕξ, ἢ καταχρηστικώτερον ἐπὶ πολλῶν. [Ἐπεὶ στεφάνους ἓξ ὤπασε Κάδμου στρατῷ.] Διαπορεῖται, τίς ἐνεχείρισε τῷ Κάδμου στρατῷ, τουτέστι τοῖς Θήβαις τοὺς στεφάνους. Ἔνιοι μὲν οὖν τὸν Ἰσθμὸν ἀκούουσιν. ὡς ἓξ νενικηκότων τῶν Θηβαίων τὰ Ἴσθμια. ἔνιοι δὲ, αὐτὸν Ἡρόδοτον. τοῦτον γὰρ ἑξάκις Ἴσθμια νενικηκέναι Θηβαῖον ὄντα. τούτων δὲ οὐδέτερον ἐν ταῖς Ἰσθμιακαῖς ἀναγραφαῖς ὁμολογεῖται, δι΄ ἣν αἰτίαν οἱ Ἀριστάρχειοι φιλοῦντες, καὶ ἐπὶ τοῦ νικηφόρου ἐκλαμβάνονται τὸ λέξον. περιττὴν εἶναι λέγοντες τὴν ἕξ, πρόσθεσιν, ποιητικῇ συνηθείᾳ. τὸ γὰρ ὅλον εἶναι. ἐπὶ ὤπασεν, ὅ ἐστι περιεποίησεν. ἄλλως τε, οὐκ ἀναγκαῖον ἀριθμὸν κεῖσθαι. πολλῷ γὰρ μᾶλλον κυδαίνεσθαι τὸν νενικηκότα. Ἀριστόδημος δὲ ὁ Ἀλεξάνδρου διαιρῶν, τὸ μὲν ἓξ ἐπὶ τοῦ Ἡροδότου ἀκούει. τὸ δὲ ὤπασεν, ἐπὶ τοῦ Ἀπόλλωνος. προστάτης γὰρ τῶν ἀγώνων ὁ θεός. ἐξ οὗ προνοίᾳ, φησὶ, τοῦ θεοῦ νενικηκέναι τὸν Ἡρόδοτον, οὐκ Ἰσθμιακοὺς ἀγῶνας, ἀλλὰ συμμίκτους, οὓς καὶ αὐτὸν ἐπιλέγειν Πίνδαρον. ἐν μὲν Θήβαις, Ἰόλεια, ἢ Ἡράκλεια. ἐν δὲ Ὀρχομενῷ, Μινύεια. ἐν δὲ Εὐβοίᾳ, Βασίλεια. ἐν δὲ Θετταλίᾳ, Πρωτεσίλεια. καὶ ἐν Ἰσθμῷ νῦν. καὶ ἄλλους δὲ περιχωρίους, οὓς διὰ μακρῶν παρῆλθεν ὁ Πίνδαρος. [Ἐν ᾇ.] ἐν ᾗ, τῇ Θήβῃ, χαριεστάτην ἑαυτοῦ τῶν πατρίων εἰσβολὴν παρέσχετο. [Θρασεῖαι.] συλληπτικὸς ὁ τρόπος. εἷς γὰρ ἦν ὁ Γηρυόνου κύων. Ἡσίοδος εἶπεν. Ὄρθον μὲν πρῶτον. εἰς τὸ αὐτό. ἄκος τοῦ Πινδάρου πρὸς τὸ ἑαυτοῦ συμφέρον, καὶ τὰς ἱστορίας βιάζεσθαι. ἑνὸς γὰρ ὄντος τοῦ Γηρυόνου κυνὸς, ὥς γε καὶ Ἡσίοδος μαρτυρεῖ, Ὄρθον τε κτείνας, καὶ βουκόλον Εὐρυτίωνα. ὥστε τῷ πληθυντικῷ καταχρησάμενος, κύνες φησί. καὶ μή ποτε ἀνάξιον Ἡρακλέους ἡγήσατο πρὸς ἆθλον καὶ κατόρθωμα τοῦ ἥρωος, ἀντιπαρατάξαι τὸν κύνα. [Ἀλλ΄ ἐγὼ Ἡροδότῳ τεύχων.] ἀλλ΄ ἐγὼ τῷ Ἡροδότῳ κατασκευάζων τὸν μὲν ὕμνον, ὅτι τεθρίππῳ αὐτὸς ἀγωνισάμενος δι΄ ἑαυτοῦ ἐνίκησε. τὸ δὲ, ὅτι καὶ ἱπποτρόφησεν, αὐτὸν βούλομαι ἐφαρμόσαι, ἢ Κάστορος, ἢ Ἰολάου ὕμνῳ. ὁ δὲ λέγει, τοιοῦτόν ἐστι. τὸν Ἡρόδοτον ἱπποτροφήσαντα, καὶ δι΄ ἑαυτοῦ ἀγωνισάμενον, καὶ νενικηκότα, ὁμοίως Κάστορι καὶ Ἰολάῳ ἁρμόσαιμι. διὰ τούτων δὲ συνίστησιν, ὅτι αὐτὸς ἡνιόχησεν ὁ Ἡρόδοτος κατὰ τὸν ἀγῶνα. ὁ δὲ λόγος, ἐγὼ δὲ τὸ μέλος τῷ Ἡροδότῳ τεύχων. τὸ μέν τι, καθόσον ἐνίκησε. τὸ δέ τι, καθὸ αὐτὸς ἱπποτρόφησε. τὸ μὲν ἅρματι, τεθρίππῳ ὡς ἱπποτροφήσαντα, καὶ ἐλάσαντα. [Ἀνίατ΄ ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντ΄ ἐθέλω.] ἐλλείπει διὰ τὸ νωμᾶσθαι.

Η Καστορείῳ ἢ Ἰολάου ἐναρ-
μόξαι μιν ὕμνῳ.
Κεῖνοι γὰρ ἡρώων διφρη-
λάται Λακεδαίμονι καὶ Θή-
βαις ἐτέκνωθεν κράτιστοι·

στροφὴ β'. κώλων ζ'.

Εν τ' ἀέθλοισι θίγον πλείστων ἀγώνων
Καὶ τριπόδεσσιν ἐκόσμησαν δόμον,
Καὶ λεβήτεσσιν, φιάλαισί τε χρυσοῦ
Γευόμενοι στεφάνων νικαφόρων.
Λάμπει δὲ σαφὴς ἀρετὰ [δοῦ-
Εν τε γυμνοῖσι σταδίοις σφίσιν, ἔν τ' ἀσπιδο-
ποισιν ὁπλίταις δρόμοις.

ἀντιστροφὴ β'. κώλων ζ'.

Οἷά τε χερσὶν, ἀκοντίζοντες αἰχμαῖς,
Καὶ λιθίνοις ὁπότε δίσκοις ἵεν!
Οὐ γὰρ ἦν πένταθλον ἔτ' ἀλλ' ἐφ' ἑκάστῳ

Aut Castoreo aut Iolai adaptare ipsum hymno.
Illi enim *inter* heroas, aurigæ Lacedæmone & Thebis geniti - sunt præstantissimi:

Metaph.

Inque præmiis attigerunt plura certamina,
Et tripodibus ornaverunt domum
Et lebetibus, phialisque aureis,
Gustantes coronas victrices.
Fulget vero manifesta virtus
Inque nudis stadiis, illis, inque scutistrepis armatis cursibus.

Metaph.

O! Qualiter manibus, jaculantes hastis,
Et saxeis quando discis, emiserunt! [libet
Nam non erat quinquertium adhuc: at in quo-

PARAPHRASIS.

qualem meriti sunt olim Castor aut Iolaus, qui inter priscos heroas præstantissimi aurigæ fuerunt, ille apud Lacedæmonios, hic apud Thebanos: quique plurima experti certamina, præmia quoque plurima reportarunt: quo factum est ut partis pro multiplici victoria coronis, ædes suas tripodibus, lebetibus, aureisque phialis ornarint. Porro certamina in quibus illorum virtus patefacta est & inclaruit, sunt gymnici ludi, quibus in stadio nudi athletæ exercentur: est & cursus qui ab armato athleta & scutum gestante perficitur. Neque vero solum illis excelluerunt, sed etiam aliis. Nam qualiter, quantaque cum laude jacula lapideosque discos manibus emiserunt! Nondum enim tum temporis institutum erat quinquertium, quod quinque certaminibus, videlicet jaculo, disco, cursu, saltu, & lucta constat, quibus omnibus sigillatim erat vincendum, proque omnibus simul præmium accipiendum: sed singula certamina

NOTÆ.

30 Λάμπει] Vide Schol. † Ἐν γὰρ τῷ ἐπὶ Πελίᾳ ἀγῶνι, quem Locum Lon. & Aret. exponunt in Pelio monte, quorum interpretationem corrigit Schmid. In ludo, quem Jason ob Peliam instituit. 31 Γυμνοῖσι σταδίοις] Non solum intelligi potest, Ludis Gymnicis cum Schol. sed & Ludis sine armis, quia τῷ ὁπλιτῶν δρόμῳ opponitur. Schmid. 34 Ὁπότε] Quia metri ratio communis requirit ultimam esse longam, ideo Schmidio suspectus est locus tanquam corruptus. Insuper Autor laudatus. vertit, Quandoque, nonnunquam & suspicatur leg. ποτὲ ἄν, vel ἐνίοτε. Unde Bened. hanc etiam causam affert, quare corruptus est Textus. Nos non videmus cur ita vertendum sit. Ita enim expedire licet, cum Porto, Qualiter manibus jaculantes [erant] quum jacularentur jaculis, & saxeis discis. Verum ἵεν ἀπὸ κοινοῦ sumitur, οἷα χερσὶν κ. λ. ἵεν, καὶ ὁπότε δίσκοις ἵεν. 35 Ετ' omitt. Edd. nonnullæ, quod tamen legisse Schol. videtur, qui οὔπω exponit. Ἀλλ' ἐφ' ἑκάστῳ] Vulg. sed unicuique facto positum erat præmium. Exponunt item, τέλος, Corona, & Merces. Cuilibet vero certanti ἐφ' ἑκάστῳ ἔργματι κεῖτο τέλος· interim non omnibus dabatur præmium, sed victori soli. Ut monet Schmid. qui ita παραφράζει. Quodlibet exercitium simplex erat, & in & cum seipso integre terminabatur. Postea vero τὸ πένταθλον compositum quoddam fuit, ubi ἐφ' ἑνὶ ἔργματι οὐ κεῖτο τέλος, sed 5 certamina simplicia in eo conjuncta erant, ἐφ' ὧν πέντε συζευγμένων κεῖτο τέλος, q. d. si hoc πένταθλον Castoris & Iolai ætate fuisset introductum, in eo etiam sese exercuissent & vicissent.

[Η Καστορείῳ] ἢ Κάστορος ἱππικοῦ ὄντος. [Η Ιολάου.] Ἰόλαος δὲ ἦν Ἡρακλέους ἡνίοχος. ἀλλ' εὑρήματα Πινδάρου ἐν ὑπορχήμασιν. ὡς καὶ εὕρημα Κάστορος, ὡς αὐτὸς λέγει. [Κεῖνοι γάρ.] εἰ καὶ μὴ ἡ ἱστορία συγχωρεῖ, ἀλλ' οὖν γε αὐτὸς σχηματίζει τὸν λόγον. ὅταν γὰρ λέξῃ, κεῖνοι γὰρ ἡρώων διφρηλάται, τὴν αἰτίαν αὐτὸς ἐπιφέρει. ἐπεὶ οὗτοι οἱ ἥρωες διέπρεψαν ἐπὶ ἱππικῇ, αὐτοὶ ἡνιοχοῦντες. ἰδίως δὲ ὁ λόγος κατὰ τοῦ Ἰολάου εὑρέθησεται τοῦ Ἡρακλέους ἡνιόχου. κατὰ δὲ τοῦ Κάστορος, οὐκέτι. ἀλλὰ τὸ χωρὶς συμβεβηκὸς τῷ Κάστορι καὶ Ἰολάῳ, κατ' ἀμφοτέρων κοινῶς εἴρηκε. Λακεδαιμόνιος μὲν γὰρ ὁ Κάστωρ. Θηβαῖος δὲ ὁ Ἰόλαος. καλλίων δέ ἐστιν αὕτη ἡ ἐκδοχὴ, ἵνα ἐπαμφοτερίζοντα τὸν λόγον νοήσωμεν. ἐκεῖνοι γὰρ, Κάστωρ τε καὶ Ἰόλαος, ὑπὲρ πάντας ἥρωας ἄριστοι γεγόνασιν. [Εν τ' ἀέθλοισι.] κατὰ τὸ ἐναντίον ἀπέδωκεν. οὐδεὶς γὰρ ἐν ἄθλοις ἀγώνων τυγχάνει, ἢ ἐν ἀγῶσι, τῶν ἄθλων. ἀρχαιοπρεπὴς οὖν καὶ ποιητικώτατος ὁ λόγος. ὥστε κατὰ τὸ Ὁμηρικὸν σχῆμα. Ὁ δὲ χαζόμενος πελεμίχθη. ἔστι γὰρ, πελεμιχθεὶς, ἀνεχώρησεν. [Αλλως.] ἀντὶ τοῦ, καὶ ἐν τοῖς ἀγῶσι πλείστων ἔψαυσαν ἄθλων. καὶ τοῖς τρίποσι καὶ ταῖς χρυσαῖς φιάλαις. ἃ ἦν ἔπαθλα τῶν ἀγώνων, τὸν ἑαυτῶν ἐκόσμησαν οἶκον, τῶν τῆς νίκης στεφάνων μεταλαβόντες. [Λάμπει δὲ σαφὴς ἀρετά.] σαφῶς, ἐπιρρηματικῶς. τὸ δὲ ἑξῆς, λάμπει δὲ σαφῶς ἡ ἀρετὴ, ἔν τε γυμνικοῖς σταδίοις, καὶ ἐν τοῖς τῶν ὁπλιτῶν δρόμοις. ὡς πᾶν ἀγώνισμα τούτων ἀγωνισαμένων. ἐπισυλληπτικῷ δὲ κέχρηται τῷ σχήματι. † ἐν γὰρ τῷ ἐπὶ Πελίᾳ ἀγῶνι, ὁ Ἰόλαος τὸν ὁπλίτην νικᾷ. ἓν κοινὸν ἐπ' ἀμφοτέρων ἔθηκεν. ὁ δὲ Κάστωρ, τὰ δευτερεῖα ἔλαβε, δισκεύων καὶ ἀκοντίζων. καὶ τοῦτο κοινὸν ἔταξε. τὸ δὲ οἷα, θαυμαστικῶς. ὁποῖα γὰρ ἦσαν ἀκοντίζοντες τὰ δόρατα. καὶ λιθίνοις ὁπότε δίσκοις ἵεν. ἃς ἀποτομάδας καλοῦσι. παρ' ὅσον οἱ ἀρχαῖοι τοῖς νικῶσιν ἀκοντίῳ, τοσοῦτον ἀπετέμνοντο τῆς γῆς ἔπαθλον, ὅσον ὁ νικηφόρος ἠδύνατο βαλεῖν. [Οὐ γὰρ ἦν πένταθλον.] οὐκ ἦν φησι τότε ὁ πένταθλος ἀγών. τὸ ἐκ πέντε ἀγωνισμάτων συνεστηκὸς ἄθλημα. κατ' ἰδίαν δὲ

ἑκάστῳ

Ἔργμασι κεῖτο τέλος. Τῶν ἀθρόοις	Exercitio positus erat finis. Quorum crebris
Ἀνδησάμενοι θαμάκις	Redimiti frequenter
Ἔρνεσιν χαίτας, ῥεέθροισί τε Δίρκας ἔφανεν	Frondibus comas, & fluenta apud Dirces appa-
Καὶ πὰρ Εὐρώτᾳ πέλας,	Et apud Eurotam prope, [ruere,
ἐπῳδὸς β'. κώλων ια'.	Μεταφρ.
Ἰφικλέος μὲν παῖς, ὁμόδαμος ἐὼν	Iphiclis quidem filius popularis existens
Σπαρτῶν γένει,	Satorum generi;
Τυνδαρίδας δ᾽, ἐν Ἀχαιοῖς ὑ-	Tyndarides vero inter Achæos alti-so-
ψίπεδον Θεράπνας οἰκέων ἕδος.	lii Therapnes inhabitans sedem.
Χαίρετ᾽. Ἐγὼ δὲ Ποσειδά-	Salvete. Ego vero Neptu-
ωνι, Ἰσθμῷ τε ζαθέᾳ,	noque, Isthmoque divino,

PARAPHRASIS.

propriam habebant victoriam, eratque præmium pro unoquoque separatim & privatim victori constitutum. Et cum uterque horum suo in solo, alter Thebis ubi Dirce fons est, alter in Laconia ubi fluvius Eurotas, certamina prospere crebroque exhausisset, plurimis coronis redimitum caput retulerunt, ob quas apud suos conspicui fuerunt. Jam autem Iolaë Iphiclis fili, qui popularis es Thebanorum originem habentium à viris illis Chthonio, Hyperenore, Peloro, Udæo, & Echione, quos dentium draconis satu Cadmus creasse fertur. Tu quoque Castor nate Tyndaro, qui inter Lacones, Achæos olim dictos ab Achæo rege, incolis excelsam Therapnes sedem, valete. Hæc de vobis in præsentia dixisse sat est. Nunc ego Neptuno qui præest Isthmiis, divinæ Isthmo ubi illa celebrantur,

NOTÆ.

36 Τῶν] Sc. ἐργμάτων ἑκάστων. Lon. redd. Siquidem. Phil. Propter quæ. 38 Ἔφανεν leg. Codd. omnes Vett. Quod si non esset alia causa, cur desereremus hanc lect. præter eam, quam suppeditat Schmid. nimirum τὸ σόλοικον alias futurum ratione Sing. numeri pro Plur. vix sequi oporteret conjecturam Porti, Autoris Pind. Lexici. Exemplum enim talis συντάξεως vide Ol. 11, 5. Quod vero hanc lectionem minime geminam esse persuadet, est significatus Passivus in Aor. 2. Activo, quem non invenias apud Pindarum; quanquam non plane rejiciendum sit quod Autor laudatus in suo Lex. habet, Nonnunquam Neutral. accipi φαίνειν ab aliis scriptoribus. Vide I. 4, 4. ubi Active hæc ipsa vox sumitur, præsertim si cum exemplaribus legis. Conjicit vero vir doctissimus ἔφανεν legendum Bœot. pro ἐφάνησαν Aor. 1. Pass. uti paulo superius ἐπέκλωθεν pro ἐπεκλώσθησαν, sic hoc loco de viris iisdem agens eadem Dialecto usum fuisse. Quibus addi potest explicatio Scholiastæ, ὤφθησαν, eodem Indef. Aliquid etiam momenti ad hanc conjecturam hinc accedit quod Scholiastes nullius difficultatis meminerit, quum tamen Grammatici non facile permittant suas regulas violari, de qua re inspicias Schol Νεωτ. ad locum Pindari supra allegatum. Vulg. hab. Conspicui fuerunt, quæ interpretatio non convenit τῷ ἔφανεν. Lonicer. Id quod apparuit. qu. esset ἐφάνη At nulla ratio fulcit eam constructionem. Quidam Interpp. existimarunt ἀνακόλουθον εἶναι, & verb. ἔφανεν ad Virtutem detorquere constituerunt. Ideo supplenda aliquomodo esset vox ἀρετή, & tandem ἔφανεν neutraliter accepere, ut esset, Virtus eorum fulsit. 40 Lon. post πέλας punctum ponit, & Ἰφικλέος initium novæ sententiæ facit, τὸ μὲν per, Enim, seu μὲν γὰρ exponens, & Participia ἐὼν & οἰκέων, redd. Erat, Incolit. Αἰτιολογίαν vero esse vult. 41 Σπαρτῶν γένει] Creditum enim fuit, Cadmo Thebarum autori ex satu Dentium Draconis homines è terra enatos fuisse, qui tamen mutuis statim ictibus ceciderint, adeo ut 5 superstites remanserint, quorum nomina quære apud Schol. & Paus. in Bœot. Lon. redd. Spartanorum generi contribulis erat. Quem errorem pluribus tradit, & ostendi putat. Nonnihil societatis & necessitudinis inter Spartanos & Thebanos viguisse, & à Sparta relictos Thebarum factos fuisse exstructores. Nec ab eo dissentit Aret. Aliter vero I. 7. sumpsere Declinatur ab ὁ Σπαρτός, non Σπάρτης 42 Ἀχαιοῖς] Olim soli Lacones & Argivi ex Peloponnesi incolis Achæi fuere dicti ab Achæo utrorumque populorum Rege. Quomodo vero in Achaiam devenere, vide Schol. & Paus. in Ach.

ἑκάστῳ τέλος ὑφειστήκει. τέλος δὲ λέγει, τὸ νικηφορῆσαι. ἢ τὸν ἐφ᾽ ἑκάστῳ τιθέμενον στέφανον. [Ἄλλως.] οὕτω γὰρ ἦν ἐπὶ Κάστορος καὶ Ἰολάου τὸ πένταθλον. στάδιον ἦν, ἅλμα. δίσκος. ἀκόντιον. δρόμος καὶ πάλη. ἀλλὰ διακεκλεισμένως ἐφ᾽ ἑκάστῳ ἀγωνίσματι καὶ ὁ στέφανος ἦν. [Ἕρκματι κεῖτο τέλος.] καὶ Ὅμηρος. Βόμβησε δὲ λίθος. κατὰ δ᾽ ἔπληξαν ποτὶ γαίῃ. τὸ δὲ κεῖτο τέλος, ἀντὶ τοῦ ἦν ἰδιάζων καὶ ὁ στέφανος. [Τῶν ἀθρόοις.] ὧν τινων στεφάνοις πλείστοις ἀναδησάμενοι βλαστήμασι τὰς κεφαλὰς, ἔνδοξοι ὤφθησαν κατὰ τὰς Θήβας καὶ Λακεδαίμονα. πάλιν δὲ πρὸς αὐτὸ συγκέκρικε τὸ. ἑκατέρῳ συμβεβηκός. εἰπὼν αὐτοὺς φανῆναι νενικηκότας πέλας τῆς Δίρκης, καὶ τοῦ Εὐρώτα. Ἰόλαος μὲν γὰρ παρὰ τῇ Δίρκῃ. ἔστι δὲ αὕτη, Θηβῶν. Κάστωρ δὲ παρὰ Εὐρώτα. ἔστι γὰρ Λακεδαιμόνιος ποταμός. [Ῥεέθροισί τε.] πρὸς τοῦ Εὐρώτα, τὸ ῥεέθροις ἀκουστέον. ἔδει δὲ ἕκαστον οἰκείως ἐπὶ τῶν ἰδίων χωρίων ἀκοῦσαι. [Ἰφικλέος μὲν παῖς.] τὸ ἑξῆς. ὁ μὲν τοῦ Ἰφικλέος παῖς Ἰόλαος, πολίτης ὢν Θηβαίοις. ὁ δὲ τοῦ Τυνδάρεω Κάστωρ, ἐν τοῖς Ἕλλησι τὴν ἐπίδοξον καὶ ὑψηλοτάτην οἰκῶν Λακεδαίμονα. καὶ ἀπὸ κοινοῦ, τὸ ἐπίδοξοι ὤφθησαν. [Σπαρτῶν γένει.] οἱ γὰρ ὑπὸ Σπαρτῶν ὑπολειφθέντες, οἰκισταὶ τῶν Θηβαίων γεγόνασιν, Ὑπερήνωρ, Χθόνιος, Πέλωρος, Οὐδαῖος, Ἐχίος. [Τῶ ὑψίπεδον Θεράπνας οἰκέων ἕδος.] Θεράπνης, τῆς Λακεδαίμονος. Θεράπνα γὰρ, κώμη αὐτόθι. τὸ δὲ ὑψίπεδον ἕδος, δοκεῖν ἐναντίως εἰρῆσθαι τῷ Ὁμηρικῷ. φησὶ γάρ. Οἳ δ᾽ εἶχον κοίλην Λακεδαίμονα κητώεσσαν. ἀλλ᾽ ἀπολυσόμεθα οὕτως. ὑψίπεδος, ἡ Λακεδαίμων, καθ᾽ ἑαυτήν. κοίλη δὲ, ὡς πρὸς τὰς πλησίον πόλεις. ἢ ὑψίπεδον αὐτὴν φησὶ, διὰ τὰς τῶν οἰκούντων ἀρετάς τε καὶ εὐδοξίας. [Ἄλλως.] τουτέστι Σπαρτιάτης ὤν. ἡ γὰρ Θεράπνη τῆς Σπάρτης. Ἀχαιοὺς δὲ εἴρηκε, τοὺς Σπαρτιάτας, ἐπειδὴ πρότερον οἱ Ἀχαιοὶ τὴν Σπάρτην ᾤκουν. αὖθις δὲ τῶν Ἡρακλειδῶν μετὰ Δωριέων ἀφικομένων, Δωριεῖς προσωνομάσθησαν. ἱστέον ὅτι τῆς Λακωνικῆς ἐν Θεράπναις, τὸ ἱερόν ἐστι τῶν Διοσκούρων. [Χαίρετ᾽. ἐγὼ δέ.] ὁ λόγος παρὰ τοῦ Πινδάρου, πρὸς τοὺς ἥρωας. τὸ δὲ ἑξῆς. ἰληκοίητε ὦ ἥρωες, ἐγὼ δὲ τῷ Ποσειδῶνι καὶ τῇ Ἰσθμῷ τῇ θείᾳ, καὶ τῷ Ὀγχηστῷ, τὸν ὕμνον ἐπιμελῶς παρέχων ἐν ταῖς τιμαῖς καὶ τοῖς κατορθώμασι τῶν νικηφόρων ὑμνήσω τοῦ πατρὸς αὐτοῦ Ἀσωποδώρου τὴν εὐδαιμονίαν. Ὀγχηστὸς δὲ, τῆς Βοιωτίας χωρίον πάραλον ἀνιερωμένον Ποσειδῶνι. ὡς καὶ Ὅμηρος μαρτυρεῖ. Ὀγχηστόν θ᾽ ἱερὸν Ποσιδήϊον ἀγλαὸν ἄλσος. αἰώνιον δὲ εἶπεν, ἐπειδὴ παράκειται τῇ Ὀγχηστῷ πόλει τῆς Βοιωτίας ἡ Κωπαΐς λίμνη.

[Περιστέλλων

Ογχηστίαισίν τ' ἀϊόνεσσιν περι-
στέλλων ἀοιδὰν,
Γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν
Τιμαῖσιν ἀγακλέα τὰν Α-
σωποδώρου πατρὸς αἶσαν,

στροφὴ γ'. κώλων ζ'.

Ορχομενοῖό τε πατρῴαν ἄρουραν·
Α νιν ἐρειδόμενον ναυαγίαις
Εξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ
Δέξατο συντυχίᾳ. Νῦν δ' αὖτις ἀρ-
χαίας ἐπέβασε πότμος
Συγγενὴς εὐαμερίας. Ο πονήσαις δὲ, νόῳ
Καὶ προμάθειαν φέρει.

ἀντιστροφὴ γ'. κώλων ζ'.

Εἰ δ' ἀρετᾷ κατάκειται πᾶσαν ὀργὰν
Αμφότερον δαπάναις τε καὶ πόνοις,

Oncheſtiiſque ripis concin-
nans cantionem,
Celebrabo hujus viri inter
Honores perinclytam A-
ſopodori Patris ſortem,

METAPH.

Orchomenique patriam terram:
Quæ ipſum ſuffultum naufragii-tabulis,
Ex immenſo mari in horrendo
Excepit caſu. Nunc vero rurſus pri-
ſtinæ reſtituit *eum* fortuna
Congenita felicitati. At qui laboravit, *in* mente
Etiam providentiam reportat.

METAPH.

Si vero Virtus poſita-eſt *in* quovis ſtudio,
Tam in ſumptibus quam in laboribus:

PARAPHRASIS.

Oncheſtoque Bœotiæ oppido eidem Neptuno ſacro, ſitoque ad Copaidis ſeu Ceſiphi ripas, carmen componens, volo hujus victoris Herodoti laudibus interſerere præconium celebris fortunæ, quæ patrem ipſius Aſopodorum comitata eſt, Volo & Orchomenum laudare, ubi Aſopodorus tanquam in patria terra habitavit, quum illum in calamitoſa fortuna verſantem hoſpitio excepit, graviſſima ſeditione Thebis expulſum, & exiguis duntaxat ſuarum facultatum partibus ſuffultum, quas ut naufragii reliquias colligere potuerat. Sed poſtea ſors ipſi congenita effecit, ut redintegrata fœlicitate in priſtinum ſtatum reſtitutus fuerit, tranquillamque vitam Thebis exegerit, hac calamitate prudentius ſe gerere edoctus: ſiquidem piſcator ictus ſapit, & nocumenta ſunt documenta. Quod ad Herodotum autem attinet, is nullis ſumptibus neque laboribus pepercit, ut ſpecimina ſuæ virtutis ederet: obidque non eſt invidendus, ſed laudandus. Nam ſi virtus ut in lucem prodeat, facit ut generoſus animus tum laboribus incumbat, tum impenſis nullis parcat, cum ſine utroque incognita manere ſoleat,

NOTÆ.

48 Τοῦ δ' ἀνδρὸς ἐν τιμαῖσι] Victoris hujus nomine. Lon. 51 Ορχομενοῖο] Non quod Victor ibi natus fuerit, ſed quod ibi bene eſſet. Hinc quidam Intt. cenſuerunt in ἐπιγραφῇ legi Ορχομενίῳ. 52 Schmid leg. ναυαγίοις. Τὰ ναυάγια enim apud Thucyd, ſonant Reliquiæ navis fractæ. Nos nihil mutamus quippe qui putemus, auctoritatem Pindari æque hunc ſignificatum poſſe tribuere ταῖς ναυαγίαις, ac Thucydidis teſtimonium τοῖς ναυαγίοις. Ita & Latine, dixit Cicero, Naufragium Reip. colligere. Vulg. vert. Quod ipſum extruſum naufragio ex immenſo ſalo, in horrendo excepit caſu. Lon. Naufragio gravatum, explicans Schol. βαρυνόμενον ἐπὶ ναυαγίας. Schmid. tamen mallet, φερόμενον; Potius βαρυνόμενον ὑπὸ τῆς ναυαγίας, ſi aliquid ſit mutandum. Cur enim locutio iſta, βαρυνόμενον ἐπὶ τῆς ναυαγίας non exprimit, Paſſum gravia naufragio, non intelligimus. 55 Επέβασε] Επιβαίνω, præſertim quum tempora à Βάω mutuetur. ut hic ἐπέβασε vel ἐπέβησε, in Activa διαθέσει, cum Genitivo conſtructum ſignificat, Potiri facio. Colloco Schmid. Metaphoram continuat, q d. Conſcendere fecit in Tranquillitatem. Πότμος συγγενὴς idem quod δαίμων γενέθλιος Ol. 13. Fortuna uniuſcujuſque genuina, qua alter altero felicior eſt natura. Lon. Cognatum priſtinæ felicitatis fatum acceſſit. 56 Εὐαμερίας] Tranquillitati, Schmid. Ο πονήσαις] Vulg. Qui ærumnas pertulit. Schmid. optime, Qui labores exantlavit. 58 Εἰ δ' ἀρετά] Hic irregularem Syntaxin quidam fuiſſe volunt; ſine ratione. Ideo Vulg. hab. Quod ſi virtus repoſitum habet omne ſtudium pariter in ſumptibus &c. Ariſtarchus apud Schol. Εἰ δ' ἀρετᾷ, i. e. Schmidio interprete, ſi hoc virtuti adjacet, vel ut alii, ſi ipſe Herodotus incumbit virtuti. Πᾶσαν ὀργὰν] Id eſt, κατὰ πᾶσαν ὀργὰν, ſeu τρόπον, ut Ariſtarchus. Lon. Omni ſua ratione & modo. Phil. omni modo. 59 Pariter I. 6, 15. & Ol. 5, 35.

[Περιστέλλων ἀοιδάν.] θεραπεύων τὸν ὕμνον· τουτέστιν, ἐπιμελείας καὶ σπουδῆς ἀξιῶν. [Ορχομενοῖό τε πατρῴαν ἄρουραν.] προείρηται ὅτι ὁ τοιοῦτος μὲν, Θηβαῖος. ὁ δὲ πατὴρ, Ορχομένιος. ἢ οἱ μὲν τοῦ πατρὸς γονεῖς, Ορχομένιοι, ὁ δὲ πατὴρ Θηβαῖος. διὰ τὸ ἐκεῖ γεγεννῆσθαι. καὶ Ορχομένιος, διὰ τὸ οἴκοι ὑπὸ μητρὸς τεθρέφθαι ἐκπεσόντα. ἡ γὰρ μήτηρ Ορχομενία· ὁ δὲ πατὴρ, Θηβαῖος. ἢ κατά τινας, ὅτι Θηβῶν μέν ἐστιν Ορχομενὸς ἡ πόλις. ἐγκωμίου τρόπῳ δὲ, Θηβαῖον γράφει. [Α νιν ἐρειδόμενον.] φυγαδευθεὶς γὰρ ὁ Ασωπόδωρος Θήβηθεν, ἐν Ορχομενῷ ἐπολιτογραφήθη. [Αλλως.] ναυαγήσας ὁ Ασωπόδωρος, ἐν Ορχομενῷ ἐξεβράσθη. [Α νιν ἐρειδόμενον.] ἥτις ἡ Ορχομενὸς αὐτὸν, ἐπὶ ταύτῃ γὰρ ὁ λόγος, βαρυνόμενον ἐπὶ τῆς ναυαγίας ἐδέξατο. ἀλληγορεῖται δὲ τὴν ἔκπλωσιν θαλάσσῃ καὶ χειμῶνι παραβάλλων. ἀμφίβολον δέ φησιν ἐστιν ὁ Δίδυμος, πότερον τὸν Ηρόδοτον, ἢ τὸν Ασωπόδωρον λέγει. δύναται γὰρ ἐπ' ἀμφοτέρων ἀκούεσθαι συντυχία. καὶ Αλκαῖος τὴν δυστυχίαν, χειμῶνα καὶ τρικυμίαν λέγει τῇ φυγῇ. κοινὸν γὰρ ἡ συντυχία. [Ο πονήσαις δὲ νόῳ.] ὁ Χρύσιππος ἐμφαίνειν φησὶν, ὡς καὶ πρότερον μὲν συνετῶς ἐξηχρήσαντα, ὡς μὴ κινδυνεύσῃ. καὶ μετὰ τὴν κάθοδον ἠσφαλισμένον τὰ καθ' ἑαυτόν· τοῦτο οὖν φησιν. ὁ παθὼν καὶ τῷ νῷ προμαθὴς γίνεται. Αλκμάν. Πεῖρά τοι, μαθήσιος ἀρχά. καὶ Ομηρος. Παθὼν δέ τε νήπιος ἔγνω. [Εἰ δ' ἀρετά.] ὅτι ἀρεταὶ κατάκειται, εἴρηκεν ἐπιζεύξας πληθυντικῷ ἑνικὸν ῥῆμα, τὸ, κατάκειται. καὶ ὅτι ὀργὰν, τὸ ἦθος λέγει. [Εἰ δ' ἀρετὰ κατάκειται.] Αρίσταρχος σὺν τῷ ι γράφει, καὶ προσπᾷ. καὶ Αττικὴν δέχεται τὴν σύνταξιν. ἵν' ᾖ ὁ λόγος, εἰ τῇ ἀρετῇ κατὰ τρόπον, ἔντε τῷ πονεῖν αὐτὸν τῷ ἰδίῳ σώματι καὶ τῷ δαπανῶν.

Χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον
Μὴ φθονεραῖσι φέρειν γνώμαις. Ἐπεὶ
Κοῦφα δόσις ἀνδρὶ σοφῷ,
Ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰπόντ' ἀ-
Ξυνὸν ὀρθῶσαι καλόν. [γαθὸν,

Oportet eam nactis, magnificam gloriationem
Non invidis tribuere animis. Siquidem
Leve donum *est* viro sapienti,
Pro laboribus omnigenis verbum dicendo bo-
Communem erigere dignitatem. [num,

ἐπῳδὸς γ'. κώλων ια'.

Μεταφρ.

Μισθὸς γὰρ ἄλλοις ἄλλος ἐφ' ἔργμασιν ἀν-
θρώποις γλυκύς,
Μηλοβότᾳ τ', ἀρότᾳ τ', ὀρνι-
χολόχῳ τε, καὶ ὃν πόντος τρέφει.
Γαστρὶ δὲ πᾶς τις ἀμύνων
Λιμὸν αἰανῆ τέταται.
Ὃς δ' ἀμφ' ἀέθλοις, ἢ πολεμίζων, ἄρη-
ται κῦδος ἁβρὸν,

Merces enim alios alia ob labores ho-
minibus dulcis *est*,
Pastorique, aratorique, aucu-
pique, & *illi* quem mare alit.
Ventri autem *horum* quivis depellens
Famem tetram occupatus - est.
Qui vero in certaminibus, aut prælians, repor-
tarit decus splendidum;

PARAPHRASIS.

æquum est ut quicunque virtutis specimen edidit his præstitis, citra omnem invidiam carmine magnifico laudem & gloriam consequatur à poëta docto; siquidem facile est illi leve hoc munus impertire, bonaque verba pro laboribus omnigenis dare, quibus commune victori & concivibus erigat & excitet ornamentum. Cum autem hominum alii aliam mercedem, exantlatorum laborum dulce solatium exigant: aliis quidem lucrum, aliis honor placet. Ita pecudum pastores, agricolæ, aucupes, & quicunque maritimo negotio victitant, nautæ, piscatores, mercatores, victum comparare, ventrisque famem propulsare contendunt: quod si effecerint, sat jucundam laborum mercedem acceperint. Sed athletæ militesque per virtutis templum ad templum honoris aditum habere conantur: & re præclare gesta unicam laudis mercedem captant. Quoniam quicunque vel in certaminibus, vel in bello strenue se gessit, & laudes per carmina historiam-ve, splendidum ornamentum

NOTÆ.

60 Ita ordines, χρὴ [τοὺς ποιητὰς vel ἡμᾶς] φέρειν κόμπον ἀγάνορα εὑρόντεσσιν νιν, sc. ἀρετάν. Lon. vero aliter, qui vertit, Æquum est, ut ii, qui ipsum consecuti fuerint, eximiam laudem ferant, Eodem tamen sensu. 62 Δόσις Codd. nonnulli, quam lect. esse corruptam acriter contendit Schmid 64 Ὀρθῶσαι καλὸν] Vulg. Constabilire bonum. Portus exponit καλὸν, Publicam honestatem. Exempla scilicet virtutis laudando, & eadem simul ad imitandum proponendo. Schmid. Et Ben. Nam Toti civitati unius civis laus honori cedit. 67 Plutarch. de Pyth. oraculis, hab. ἀρόται τε, ὀρνιθολόγοι τε, quod posterius Intt. redd. Augures. Ὀρνιθολόχῳ] Vulg. hab. Avium insidiatori, vocis etymon exponens. 68 Τρέφει] Educat, Vulg. 69 Non est alius vitæ generis ad priora adjectio: sed præcedentium omnium generalis declaratio, quoad finem eorum, qui omnibus communis est, γαστρὶ ἀμύνειν λιμόν. Schmid. Lon. vero, connectit. Et ei qui à ventre suo famem dispellere molitur. Sed reclamat Casus, ὀρνιχολόχῳ τε, καὶ [τῷ] ὃν πόντος τρέφει, καὶ πᾶς τις, non παντί τινι. Aret. exponit μηλοβότης Opilio, suum habet finem, gregis sui incrementum, agnos pulcherrimos ducit. Ἀρότης suas miratur segetes: ὀρνιχολόχος avium capturam præfert &c. Nam singula singulis sunt μισθός. Solus venter errat incertis præmiis. Sic ordo eleganter succedit: μισθὸς ἄλλοις ἄλλος h. e. non omnes eundem finem respiciunt: γαστρὶ δὲ πᾶς scil. μισθὸς, ὅσις τέταται, Quicquid conatur famam sedare, hoc ille respicit. Locus est de gula & ventris ingenio. Recte dicitur carere auribus. Hæc ille. Eligat Lector. 70 Τέταται] Metaph. sumpta ab iis, quæ intenduntur ad aliquid perficiendum. Sic Diod. Sic. l. 1. εἰς ταῦτα ἐπιταθέντες, In hæc incumbentes; Pariter Livius, Intentus operi.

νᾶν. τοῦ μὲν δαπανᾶν, καθόσον ἱπποτρόφησε. τοῦ δὲ πονεῖν, καθόσον ἡνιόχει. χρὴ τοῖς εὑροῦσι τὴν τοιαύτην ἀρετὴν, τὸν ἀγήνορα κόσμον, μὴ φθονεραῖσι γνώμαις φέρειν. τουτέστι τὸ σεμνὸν αὐτῶν καύχημα, μὴ φθονερῶς φέρειν, ἀλλ' ἐπαινεῖν. ἔνιοι δὲ, οὕτως. εἰ οὖν ἐν ἀρετῇ κεῖται καὶ δαπανῶν καὶ πονῶν, δεῖ τὴν τοιαύτην τοῖς εὑροῦσιν ἀρετὴν μὴ φθονεῖν, μηδὲ βασκάνους ἐπιφέρειν λόγους. ἔσται δὲ ἄκυρον τὸ μιν. [Χρή μιν εὑρόντεσσι.] καὶ ταῦτα περὶ Ηροδότου τοῦ λόγου ὄντος. καὶ ἐπαναλαμβάνοντος τοῦ Πινδάρου τὴν ἀρετὴν τοῦ Ηροδότου. ἔνιοι δὲ πληθυντικῶς ἀναγινώσκουσιν. εἰ δὲ ἀρεταὶ κατάκεινται. κατὰ τὴν Πινδάρου συνήθειαν. ἵν' ᾖ εἰ αἱ ἀρεταὶ κατάκεινται. ὃ καὶ μᾶλλον. βέλτιον δέ φησιν ὁ Δίδυμος τὸ εὑρόντεσσι τὸν ἀγάνορα κόμπον, τουτέστι τὸν ὕμνον, εἰς τοὺς δαπάνῃ, καὶ ἔργῳ κεκλημένους τὴν ἀρετὴν μὴ φθονεῖν· ὥστε καὶ τὸν Πίνδαρον μὴ δεῖν φθονεῖν διὰ τοὺς εἰς τὸν Ηρόδοτον ἐπαίνους. λέγοι δ' ἂν ἀγάνορα κόμπον, τὸν ἐκ τῶν ἀγαθῶν ἔπαινον, τὸν ἐκ τῶν ποιημάτων. τοῦτο δὲ σαφὲς ἐκ τοῦ ἐπιφερομένου. [Ἐπεὶ κοῦφα δόσις ἀνδρὶ σοφῷ.] σοφὸν δ' ἂν εἴη λέγων καὶ τὸν τοὺς ἀγαθοὺς ἐπαινοῦντα. τοῦ γὰρ σοφοῦ κούφη ἐστὶ δόσις φησὶν, ἀντὶ παντοίων μόχθων ἐπαινέσαντα τὸ κοινῇ νομιζόμενον καλὸν ἀνορθῶσαι. [Ἄλλως.] κοῦφα δόσις ἀνδρὶ σοφῷ. ἐπεὶ τοῦ σοφῷ ἀνδρὶ, ῥᾳδία φησὶ καὶ ἀνεπαχθής ἐστιν ἡ τῶν λόγων δόσις. κοινὸν δὲ καλὸν τὸν ἔπαινον φησίν. ἐπιδιατείνει γὰρ εἰς τοὺς ἐκτός. κόσμος γάρ ἐστι καὶ τῶν ἄλλων πολιτῶν, τὸ περὶ ἕνα γινόμενον ἐγκώμιον. [Μηλοβότᾳ τ', ἀρότᾳ τ', ὀρνιχολόχῳ τε.] τοῦ τὰ μῆλα νέμοντι, τοῦ ποιμένι, καὶ τοῦ τὴν γῆν ἀροῦντι, καὶ τοῦ τὰς ὄρνις θηρεύοντι, καὶ ὃν πόντος τρέφει. Χρύσιππος, τὸν ἔμπορον. Δίδυμος δὲ, τὸν ἁλιέα φησί. [Γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμόν.] πᾶς γὰρ τὸν λιμὸν ἀποθεραπεύων φησὶν, ἐπίκειται τοῖς ἔργοις, καὶ κάμνει. αἰανῆ δὲ, οἱ μὲν τὴν χαλεπὴν. παρὰ τὸ αἶ, αἶ. οἱ δὲ τὸν διηνεκῆ λιμὸν, παρὰ τὸ αἰέν. τὸ δὲ τέταται, ἀντὶ τοῦ σπεύδει. [Ὃς δ' ἀμφ' ἀέθλοις.] ὅστις γὰρ ἂν τῶν ἀνθρώπων, ἐν ἀγῶνι καὶ πολέμοις ἀνέληται δόξαν ἀνθηρὰν ἐγκωμιασθεὶς, μισθὸν ὑψηλὸν καὶ ἐπίδοξον δέχεται παρὰ τῶν πολιτῶν καὶ τῶν ξένων τὴν γλώσσης τὴν εὐφημίαν. γλώσσης γὰρ ἄωτόν φησι τὸ ἐγκώμιον.

Εὖ ἀγορηθεὶς κέρδος ὕ-
ψιστον δέχεται, πολιατᾶν
Καὶ ξένων γλώσσας ἄωτον.

στροφὴ δ'. κώλων ζ'.

Ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν
Γείτον' ἀμειβομένοις, εὐεργέταν
Ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι,
Καὶ σέθεν Ἀμφιτρύων παῖδας προσει-
πεῖν, τὸν Μινύα τε μυχὸν,
Καὶ τὸ Δάματρος κλυτὸν ἄλσος Ἐλευσῖνα καὶ Εὔ-
βοιαν ἐν γναμπτοῖς δρόμοις.

ἀντιστροφὴ δ'. κώλων ζ'.

Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν Ἀχαιῶν
Ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι.
Πάντα δ' ἐξειπεῖν, ὅσ' ἀγώνιος Ἑρμᾶς

Bene laudatus lucrum summum accipit, civium
Et peregrinorum linguæ florem.

METAPH.

At nos decet Saturni terræ-quassatorem filium
Vicinum, vices-reddentes, beneficum
Curribus, cursuũ-equestriũ-præsidẽ celebrare,
Et tuos ô-Amphitryo filios compella-
re, Minyæque recessum,
Et Cereris inclytum lucum Eleusinem, & Eu-
bœam in inflexis curriculis.

METAPH.

O-Protesilaë, tuum quoq; virorum Achivorum
In Phylace sacellum addo.
Sed omnia eloqui, quæ ludorum-præses Mercurius

PARAPHRASIS.

accepit, lucrum fecit maximum: siquidem laus, quam scriptis mandata fortium virorum præclara facinora, tum peregrinorum tum civium linguis suppeditant, virtutis amplissimum est præmium. Porro decet nos gratiam referentes Neptuno Saturni filio terram tridente quatienti, vicinumque Onchesti oppidum tenenti, eum equi artisque equestris inventorem, ac de curru Herodoti, cui victoriæ fuit author, bene meritum hoc hymno celebrare. Decet etiam tuos filios compellare Amphitryo, scil. Herculem, & nepotem Iolaum: siquidem Herculea & Iolaia certamina Thebis obtinuit. Præterea par est Orchomeni Minyei meminisse, ubi Minyea; & celebris Eleusinii luci Cereri sacri, ubi Demetria: & Eubœæ ubi Basilea prospere exercuit curruli certamine, quod flexis duodecies ad metam rotis perficitur. Addo etiam ô Protesilaë funebre certamen, quod in dedicato loco Græci ab excidio Troiano reduces tibi Phylacæ instituerunt, ut te primum in bello Troiano interfectum meminissent, cum primus, nemine id audente, è navi desiliisti. Multas præterea victorias enumerare possem, quas Herodoti equis Mercurius

NOTÆ.

74, 75. Nonnulli Codd male distinguunt hæc κῶλα, & transfer. ultimam -τᾶν in init. seq. 77 Ἀμειβομένοις] Gratitudine & cultu Vulg.

[Ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱόν.] Χρύσιππος, παρείληφε, φησὶ, τὸν Ποσειδῶνα, διὰ τὴν γειτνίασιν τῆς Ὀγχηστοῦ. καθὼς συμβέβηκεν ἱπποδρομίου Ποσειδῶνος ἱερὸν ἐν Θήβαις εἶναι. ὁ δὲ νοῦς. ἡμῖν δὲ προσήκει, ἀμειβομένοις τὸν ἱππικώτατον Κρόνου παῖδα Ποσειδῶνα, εὐεργέτην ὄντα τῶν ἁρμάτων, ἀναμνῆσαι· ἀντιδιδόντας τῷ θεῷ τὸν ὕμνον, ἀντὶ τῆς εἰς τὸ νικηφόρον εὐεργεσιῶν. ἐντεῦθεν δὲ λεληθότως, καταλέγει τὰς ἐξ αὐτοῦ νίκας. [Γείτον' ἀμειβομένοις.] γείτονα, τὸν Θηβαῖον, ὡς πρὸς τὸν Ὀγχηστόν· καὶ γὰρ αὕτη, τῆς Βοιωτίας. [Καὶ σέθεν.] κατὰ σύλληψιν Ἀμφιτρύωνος ἔφη παῖδας, τόν τε Ἡρακλέα, καὶ τὸν Ἰόλαον, ὃς ἦν Ἰφικλέους τοῦ Ἀμφιτρύωνος υἱός. Ἰολάεια δὲ, ἐν Θήβαις ἀγὼν καὶ Ἡράκλεια. Μινύα δὲ μυχὸν, τὸν Ὀρχομενὸν εἶπεν. οὕτω γὰρ λέγεται, καὶ Ὀρχομενὸς Μινύειος. ταύτῃ γὰρ ἐνῴκησεν ὁ Μινύας. τοῦτον δὲ τὸν Μινύαν, οἱ μὲν Ὀρχομενοῦ γενεαλογοῦσιν. ὡς Φερεκύδης. ἔνιοι δὲ ἔμπαλιν τὸν Ὀρχομενὸν, Μινυοῦ. ἔνιοι δὲ ἀμφοτέρους Ἐτεοκλέους γενεαλογοῦσι. Διονύσιος δὲ τὸν Μινύαν, Ἄρεος ἀναγράφει. Ἀριστόδημος δὲ Ἀλέου τὸν Μινύαν. καὶ τοὺς Ἀργοναύτας δὲ Μινύας ἐντεῦθεν γράφει προσηγορεῦσθαι. [Καὶ τὸ Δάματρος.] ὅτι ἐν Ἐλευσῖνι Δήμητρος ἐστὶν ἀγὼν, καὶ στέφανος ἦν κεῖσθαι. ἀπὸ κοινοῦ γὰρ, πάντων τῶν ἀγώνων, τὸ προσειπεῖν ἀκουστέον, ἵνα ἔχῃ οὕτω. προσήκει προσειπεῖν, καὶ τὸ Δήμητρος τὸ ἱερὸν ἄλσος τὴν Ἐλευσῖνα καὶ τὴν Εὔβοιαν, καθ' ἣν νικηφόρος ἐνίκησεν. [Ἄλλως.] ἐν τοῖς δρόμοις τούτοις καὶ ἀγωνίσμασι, προσῆκον ἡμῖν ἐστιν, ἀναμνῆσαι Ἐλευσῖνα καὶ Εὔβοιαν. τὸ δὲ γναμπτοῖς δρόμοις, πρὸς πάντα ληπτέον τὰ λεγόμενα. καὶ γὰρ τὸν Ποσειδῶνα φησὶ καὶ τοὺς ἄλλους, Εὔβοιάν τε, καὶ Ἐλευσῖνα. διὰ τοὺς δρόμους, καὶ τοὺς ἐν αὐτοῖς ἀγῶνας, καθ' οὓς ἐνίκησεν ὁ ἐγκωμιαζόμενος. [Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν Ἀχαιῶν.] τὸ ἑξῆς, καὶ τὸ σὸν δὲ τέμενος ὦ Πρωτεσίλαε τὸ ἐν Φυλάκῃ, συγκαταριθμοῦμαι τῇ τοῦ Ἡροδότου νίκαις. ἔστι δὲ Πρωτεσιλάου τέμενος ἐν Φυλάκῃ. τέμενος δὲ λέγεται, οὐ μόνον τὸ ἱερὸν, καὶ ὁ ναός. ἀλλὰ καὶ ἡ ἀφωρισμένη χώρα. Ὅμηρος. Καὶ μὲν οἱ Λύκιοι τέμενος τάμον ἔξοχον. αὐτοῦ δὲ τοῦ Πρωτεσιλάου, κατὰ τὴν Φυλάκην ἐπιτάφιος ἀγὼν, καθ' ὃν ὁ νικηφόρος ἐνίκησε. [Πάντα δ' ἐξειπεῖν.] πάντα γὰρ διεξελθεῖν φησὶν, ὅσα ὁ τῶν ἀγώνων προστάτης Ἑρμῆς τῷ Ἡροδότῳ ἐχαρίσατο στέμματα, βραχὺς ὢν ὁ λόγος ἵπποις ἀγωνιζομένοις, ἐξασθενεῖ εἰπεῖν. ἤτοι ὅτι πρὸς τὸν διδόμενον μισθὸν, καὶ τὰς ᾠδὰς ἐξέτεινεν. ἵν' ᾖ οὕτω. πάντα αὐτοῦ τὰ ἀγωνίσματα εἰπεῖν, βραχὺν μισθὸν ἔχων ὁ ὕμνος, οὐ συγχωρεῖ μοι. ἢ ὅτι ἡ συμμετρία τῶν εἰρημένων λόγων ἀφαιρεῖται τὴν ἔκτασιν καὶ τὸ μῆκος. Ἀριστόδημος δὲ καὶ τοῦτο λαμβάνων, πρὸς τὸ, μόνων τῶν ἐπισήμων αὐτὸν μνημονεύειν, τοὺς δὲ λοιποὺς παραδεδυκέναι, βραχύ φησι μέτρον εἰρηκέναι τὸν ὕμνου, διὰ τὸ τὰς ἐκδόσεις τῶν ἐπινίκων πρὸς ἀριθμὸν εἰπεῖν, καὶ τοιαύτας ἔχειν τοὺς μισθούς. παρὸ καὶ ἑαυτοῦ ἐπιλαμβάνεται.

[Ἡ μάν

Ἡροδότῳ ἔπορεν ἵπποις, ἀφαι-	Herodoto dedit equis, au-
ρεῖται βραχὺ μέτρον ἔχων [ὕ-	fert brevem mensuram habens
μνος. Ἦ μὰν πολλάκι καὶ τὸ σεσωπαμένον,	Hymnus. Certe sæpe etiã silentio-præteritũ vo-
εὐθυμίαν μείζω φέρει.	luptatem majorem affert.
ἐπῳδὸς δ'. κώλων ια'.	Μεταγη.
Εἴη μιν εὐφώνων πτερύγεσσιν ἀερ-	Contingat ipsum bene-vocalium alis sub-
θέντ' ἀγλααῖς	latum splendidis
Πιερίδων, ἔτι καὶ Πυθό-	Pieridum, adhuc & ex-Py-
θεν, Ὀλυμπιάδων τ' ἐξαιρέτοις	thone, Olympiadumque eximiis
Ἀλφεοῦ ἔρνεσι φράξαι	Alphei ramis munire
Χεῖρα, τιμὰν ἑπταπύλοις	Manum, gloriam septiportibus
Θήβαισι τεύχοντ'. Εἰ δέ τις ἔνδον νέμει	Thebis parantem. Si vero quis intus fovet
Πλοῦτον κρυφαῖον,	Divitias occultas,
Ἄλλοισι δ' ἐμπίπτων γελᾷ,	Aliisque insultans ridet ;
Ψυχὰν Ἀΐδᾳ τελέων οὐ	*Is suam* animam Orco *se* pendere non
Φράζεται, δόξας ἄνευθεν.	Animadvertit, sine gloria.

PARAPHRASIS.

impertivit: sed proposita hymni brevitas prohibet quominus id faciam. Ac certe sæpe etiam fit, ut hoc lectori jucundius laudatoque viro gloriosius sit, quum laudum multitudo paucis perstringitur, & rerum præclare gestarum nonnihil reticetur. Cæterum optem ut contingat ipsi ut splendidis carminibus vocalium Musarum afflatu dictatis evehatur, quibus tanquam alis in altum attollatur, & per virorum ora volitet, quum Pythone victoriam reportarit, & Olympiorum præmium lucratus, eximiis oleastri ad Alpheum plantati ramis, unde coronæ contexuntur, manum impleverit, non in proprium duntaxat sed etiam patriæ Thebarum septem portis insignium honorem. Hujusmodi autem gloriam consequutus est, ut post funera etiam sit victurus, quandoquidem nec laboribus nec opibus pepercit, quo insitum virtutis studium exercitatione promoveret. Quod quicunque non facit, sed domi conclusas divitias servare, quam iis ad rerum præclararum studia uti mavult, aliisque irridere gaudet, qui ad bonam existimationem per præclara facinora consequendam iis liberali manu utuntur, non intelligit se animam ingloriam orco in tributum debitam exhalaturum, nec beneficio virtutis post funera victurum.

NOTÆ.

86 Ἡροδότῳ pro Ἡροδότου rursus sumit Schmid. Potius cum Codd. retinendum ι subscriptum: ἔπορεν Ἡροδότῳ [ἐν] ἵπποις. 88 Σεσιωπαμένον leg. exempla quædam. 90 Ἀερθέντα Lon. vert. Excitatus, quasi esset ἐγερθέντα. 91 Ἀγλααῖσι, legentibus exemplis nonnullis syllaba abundat. 94 Φράξαι] ἐμφατικῶς stipare, implere manum, ut plures coronas notet. Schmid. 97 Πλοῦτον κρυφαῖον] Hor. *Nullus argento color est avaris Abdito Terris*.

[Ἡ μὰν πολλάκι καὶ τὸ σεσωπαμένον.] Διὰ τούτων ἔνιοι φασὶν ὑπαινίττεσθαι τὸ περὶ τὴν Νεμέαν αὐτῷ συμβεβηκὸς ἐλάττωμα. ὡς νικηθέντος αὐτοῦ τὸν ἀγῶνα. περὶ γὰρ τῶν ἄλλων εὐχόμενος αὐτῷ νίκην ἀγώνων, τοῦτον ἡσύχασε. παρὸ σεσιγηκέναι τὴν ἧτταν. ἡσυχασθεῖσι γὰρ ἐνίοτε τοῖς φαύλοις ὑπομεῖναι χάριν, ἤπερ λεχθεῖσιν. ἔνιοι δὲ λέγουσι ταῦτα ὡς εἰς τὴν χάριν τοῦ ἐγκωμιαζομένου δυνάμενος μὴ αὐτὸ ἐκτείνειν τὸ ἐγκώμιον καταλέγοντα τῆς νίκης. ἐπεὶ δὲ ἀνάξιοι ἦσαν νοῆσαι. παρὸ καὶ γνωμικῶς ἐπιλέγειν. τὸ σιωπηθὲν καλῶς, μείζονα παρέχει τῷ ἐγκωμιαζομένῳ χάριν. [Ἄλλως.] καὶ γὰρ δὴ καὶ τὸ σεσιωπημένον μείζονα τὴν εὔκλειαν φέρει· φησὶ δὲ τοῦτο, ὡς καὶ ἀδυνάτως ἔχων λόγῳ τὰ τοῦ νικηφόρου ἑρμηνεῦσαι κατορθώματα. [Εἴη μιν.] εὔχεται ὥσπερ ἐν τοῖς προειρημένοις ἀγῶσιν ἐπέτυχεν, οὕτω καὶ Πύθια, καὶ Ὀλύμπια· καὶ τυχεῖν αὐτὸν τῶν Μουσῶν ὕμνων. ὁ δὲ νοῦς. εἴη δὲ αὐτὸν εὐφώνων Μουσῶν τοῖς ἐγκωμίοις μέλεσιν ἐπίδοξον γεγονότα, καὶ ἐκ τῆς Πυθίας, καὶ ἐκ τῆς Ὀλυμπίας, τοῖς ἐξαιρέτοις καὶ πρέπουσι τοῦ Ἀλφειοῦ στεφάνοις πληρῶσαι τὴν χεῖρα. ἔρνος δὲ Ἀλφειοῦ, τὴν ἐλαίαν λέγει, ἀφ' ἧς ὁ στέφανος τοῖς Ὀλυμπιονίκαις, τιμὴν καὶ δόξαν τῇ ἑπταπύλοις Θήβαις ἀπεργαζόμενον. ἐντεῦθεν οὖν ἐπὶ τούτοις ἐπισφραγίσαι ὅτι Θηβαῖος ἦν ὁ Ἡρόδοτος. [Ἄλλως.] ἔρνεσι φράξαι φησὶ χεῖρα, ἀντὶ τοῦ στεφανωθῆναι. ἀπὸ τοῦ παρακολουθοῦντος· οἷς, τοὺς στεφάνους κατέχειν. [Εἰ δέ τις ἔνδον νέμει πλοῦτον.] εἰ δέ τις τῶν ἀνθρώπων ἔνδον ἀποταμιευσάμενος ἄδοξον πλοῦτον, τοῖς δι' εὐδοξίαν ἀναλίσκουσιν ἐπεμβαίνων καταγελᾷ, οὐ διαλογίζεται τὴν ἑαυτοῦ ψυχὴν ἄδοξον ᾅδῃ προστέλλων καὶ πέμπων. ἤτοι, οὐ διανοεῖται τῷ ᾅδῃ τηρῶν τὴν ἑαυτοῦ ψυχὴν ἄνευ δόξης. οἷον, οὐ νοεῖ, ὅτι ἄνευ δόξης τελευτήσει. Χρύσιππος δὲ γράφει, ἀλαοῖσιν. ἐξ οὗ σημαίνει τυφλοῖς. ἐπειδὴ ὁ πλοῦτος τυφλός.

Τέλος τοῦ πρώτου τῶν Ἰσθμίων εἰδοῦς.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΩΝ ΙΣΘΜΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ δευτέρου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ὀκτώ. Τὸ α΄, προσοδιακὸν καταληκτικόν. Τὸ β΄, ἑφθημιμερὲς τροχαϊκὸν Εὐριπίδειον. Τὸ γ΄, τὸ αὐτὸ Εὐριπίδειον. Τὸ δ΄, Πινδαρικὸν ἐκ Σαπφικοῦ. Τὸ ε΄, τροχαῖον δίμετρον ἀκατάληκτον. Τὸ ς΄, τρίμετρον δακτυλικὸν ἀκατάληκτον. Τὸ ζ΄, ἐγκωμιολογικόν. Τὸ η΄, Στησιχόρειον.

Περὶ τῆς ἐπῳδῆς αὐτοῦ.

Η ἐπῳδὴ, κώλων ἑπτά. Τὸ α΄, πενθημιμερὲς δακτυλικόν. Τὸ β΄, Πινδαρικόν. Τὸ γ΄, πραξίλλειον. Τὸ δ΄, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ε΄, τρίμετρον τροχαϊκὸν εἰς ἴαμβον. Τὸ ς΄, Πινδαρικὸν ἐκ Σαπφικοῦ. Τὸ ζ΄, τροχαϊκὸν δίμετρον.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

Ξενοκράτει Ακραγαντίνῳ.] ἔστιν ὁ ἐπίνικος γέγραπται μὲν εἰς Ξενοκράτην Ακραγαντῖνον. πέμπεται δὲ Θρασυβούλῳ, διά τινος Νικασίππου. ὥς τε εἶναι ἐπιστολικὸν αὐτόν. τὸν δὲ Ξενοκράτην τοῦτον, οἱ μὲν προϋπομνηματισάμενοι, Θήρωνος ἀδελφὸν εἶναι φασίν. ὁ δὲ Αρτέμων σφόδρα τι περὶ τοὺς Σικελιώτας πεπολυπραγμονηκὼς, αὐτὸν μόνον συγγενῆ φησιν εἶναι Θήρωνος. ἔστι δὲ ὁ Ξενοκράτης, οὐ μόνον Ισθμια νενίκηκεν ἵπποις, ἀλλὰ καὶ Πύθια, τὴν εἰκοστὴν τετάρτην Πυθιάδα, ὡς Αριστοτέλης ἀναγράφει. καὶ Σιμωνίδης δὲ ἐπαινῶν αὐτὸν, ἀμφοτέρας αὐτοῦ τὰς νίκας κατατάσσει. Θρασύβουλοι δὲ, Σικελιῶται διττοί. ὁ μὲν Δεινομένους νεώτατος ἀδελφὸς τῶν περὶ Ιέρωνα, καὶ Γέλωνα. ὁ δὲ, τῆς γυναικὸς τοῦ Ιέρωνος ἀδελφὸς, οὗ νῦν μνημονεύει Πίνδαρος. ὁ δὲ Αρίσταρχος, ἀδελφὸν ὑπείληφε τοῦ Ξενοκράτους τὸν Θρασύβουλον. ἔνιοι δὲ υἱὸν Ξενοκράτους. ὁ δὲ Ασκληπιάδης κατ᾽ εἰσβολὴν, λέγων ὅτι τετελευτηκότι τῷ Ξενοκράτει, τοὺς λόγους εἶναι ἐκ τοῦ πολλοῦ ἐν τῇ ᾠδῇ ὅτι παρῳχημένου χρόνου λέγεσθαι, λεχθησόμενα ἂν ὅτι τοῦ παρόντος, εἴπερ παρῆν ἔτι. Καλλίστρατος δέ φησι τὸν Πίνδαρον μὴ τυχόντα κατ᾽ ἀξίαν μισθοῦ, διά τινα μικρολογίαν τοῦ Ξενοκράτους, προσδιαλέγεσθαι Θρασυβούλῳ τῷ υἱῷ αὐτοῦ, καὶ οὐκ εἰς Ξενοκράτην φησὶ γέγραφε τὴν ᾠδὴν, ἀλλ᾽ εἰς Θρασύβουλον. καὶ γὰρ ἡ εἰσβολὴ περὶ ἀργυρείου μέμψεώς ἐστιν. ὡς θέλοντος αὐτοῦ τὸν κατ᾽ ἀξίαν μισθὸν κομίσασθαι. βέλτιον δὲ, ἀδελφὸν εἶναι τοῦ Ξενοκράτους, ἢ υἱὸν τὸν Θρασύβουλον. οὐχ ὡς τινες πατέρα.

Ratio autem metrorum talis eſt.

στροφὴ & ἀντιστροφή.	ἐπῳδός.
1. - - υ υ - υ υ - -	1. - υ υ - υ υ -
2. - υ - - - υ -	2. - - υ υ - υ υ - υ - υ -
3. - υ - - - υ - -	3. - υ υ - υ υ - - - υ - -
4. υ - - - υ υ - υ υ -	4. - υ - - - υ - -
5. - υ - - - υ - -	5. - υ - υ - υ - - - υ υ -
6. - υ υ - υ υ - υ	6. - υ - - - υ υ - υ υ -
7. - υ υ - υ υ - - - υ - -	7. - υ υ υ - - υ - -
8. - υ - - - υ - - - υ - -	

ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩ.

ΕΙΔΟΣ Β'.

XENOCRATI AGRIGENTINO.

ODE II.

ARGUMENTUM.

Hunc hymnum in Xenocratis Isthmionicæ laudem ad Thrasybulum scribit & mittit Pindarus per Nicasippum. In limine mercenariam Musam esse dicens, tacite beneficium muneris pro laudis officio poscit. Tum Xenocratem laudat 1. ab Isthmia, 2. à Pythia victoria. 3. ab Olympica. 4. ab auriga Nicomacho. 5. à majoribus. 6. liberalitatem in præcones certaminum commendat, & hospitalitatem. 7. Morum facilitatem. 8. equestre studium. 9. pietatem. 10. hospitalitatis constantiam: quas virtutes una cum suis hymnis æternitate dignas esse judicat.

στροφὴ α'. κώλων η'.

Οἱ μὲν πάλαι, ὦ Θρασύβουλε,
Φῶτες, οἱ χρυσαμπύκων
Ες δίφρον Μοισᾶν ἔβαινον,
Κλυτᾷ φόρμιγγι συναντόμενοι,
Ῥίμφα παιδείους ἐτόξευ-
ον μελιγάρυας ὕμνους,
Ος τις ἐὼν καλὸς εἶχεν Αφροδίτας
Ευθρόνου μνάστειραν ἁδίσταν ὀπώραν.

METAPH.

Prisci quidem, ô Thrasybule,
Viri, qui aurea-redimicula-habentium
In currum Musarum ascenderunt,
Inclytæ citharæ obviantes,
Celeriter pusionibus-factos ejaculaban-
tur mellisonos hymnos,
Quicunq; exiltens formosus habebat Veneris
Pulchrithronæ procam, suavissimâ maturitatē.

PARAPHRASIS.

Prisci quidem poëtæ lyrici, quales Ibicus, Anacreon, Alcæus, quando Musarum aureis redimiculis insignium currum conscendebant, ut versus ad lyram, qua inclyti erant, canendos componerent, ex mente celeri mellisonos hymnos ejaculabantur in gratiam pusionum suorum, quum aliquis illorum forma decorus, venustatem illam, qualis in pomis autumnalibus apparet, corpore vultuque præ se ferebat, & se ad Veneris formosæ jucundissimas voluptates maturum admonebat.

NOTÆ.

1 Φῶτες, quod leg. Schol. pro φῶτες, refer ad πάλαι i. e. Qui olim nati Poëtæ. Vulg. Editt. leg. ὅσοι, metro perturbato; sequimur igitur Schmidii emendationem. 4 Φόρμιγγι συναντόμενοι] Carmina ad Citharam canentes & accommodantes. Schmid. Philippus, Citharam tenentes, qui vix expressit vim vocis, Lonicerus, Citharæ Participes. Interpr. Vulg. Obviam procedentes cum Cithara. Intelligit vero Lyricos veteres, qui Lyræ quasi responderunt, eique conformes fuerunt. Pindar. Lex. Συναντόμαι pro communi ἀπαντάω intelligit; cujus vocis significatus est, Respondeo, sive congruo, consentio. 5 Ῥίμφα] Citra laborem & molestiam. Amor enim eos docebat Musicam. Schmid. Ετόξευον] Hac Metaphora valde delectatur Poëta noster, ut sæpius vidimus. 6 Plutarch. in Commentario, Quare Pythia oracula versibus ediderit, habet μελιγηρύας. 8 Ὀπώραν] i. e. Tempus fructuum maturorum. Notat proinde, Schmidio explicante, maturæ ætatis colorem gratum in facie; ut κάλλος Justam membrorum ad se invicem proportionem.

[Οἱ μὲν πάλαι ὦ Θρασύβουλε φῶτες, ὅσοι χρυσαμπύκων.] οἱ τῶν Μουσικῶν ἐπέβησαν ἁρμάτων, καὶ τῆς λύρας μετέχον. οὗτοι ῥαδίως τοῖς μουσικοῖς τόξοις ἔβαλον τοὺς παιδικοὺς ὕμνους. εἴτις ἂν καλὸς εἶχε τὴν τοῦ σώματος ὥραν τὴν μνήμην ἐμποιοῦσαν τῆς Ἀφροδίτης. ὅτι δὲ περὶ παιδικοῦ ἔρωτος ἦν τοῖς λυρικοῖς ἡ τῶν ποιημάτων σπουδὴ, δημώδης ὁ λόγος. ἐξειργάσατο δὲ τὸ προοίμιον ὁ Πίνδαρος πάλαι, ἑαυτῷ τῆς τῆς ἐπινίκου γραφῆς μισθὸν ποριζόμενος. φησὶ δὲ ὅτι τῶν λυρικῶν οἱ πολλοὶ, ἀμισθὶ πρὸς τὰ καλὰ τὴν σπουδὴν εἶχον. ἐπὶ δὲ τοῦ παρόντος, ἀργυρίου πιπράσκεται τὰ ποιήματα. ταῦτα δὲ τείνοι, καὶ εἰς τοὺς περὶ Ἀλκαῖον καὶ Ἴβυκον καὶ Ἀνακρέοντα, καὶ εἴ τινες τῶν περὶ αὐτοὺς δοκοῦσι περὶ τὰ παιδικὰ ἠσχολῆσθαι. οὗτοι γὰρ παλαιότεροι Πινδάρου. Ἀνακρέοντα γοῦν ἐρωτηθέντα, φασὶ, διατί οὐκ εἰς θεοὺς γράφει ὕμνους ἀλλ' εἰς παῖδας; εἰπεῖν ὅτι οὗτοι ἡμῶν θεοί εἰσι. [Χρυσαμπύκων.] ἄμπυξ μὲν κυρίως, κόσμος τις περὶ τὰς γυναικείας κεφαλάς. Ὅμηρος. Ἄμπυκα καὶ κρύφαλόν τε. νῦν καὶ ἀπὸ μέρους, τὰς τιμίας λέγει. [Ὅστις ἐὼν καλὸς.] ὅστις οὖν τις καλὸς ἦν, καὶ ἀκμαῖος ἦν. ὀπώραν μὲν οὖν ἂν εἴη λέγων Ἀφροδίτης, τὴν τοῦ σώματος ὥραν, καὶ τὸ τοῦ κάλλους ἄνθος. τὸ δὲ μνάστειραν, πρὸς τὸ Ἀφροδίτας. τουτέστι τὴν τοῦ σώματος ὀπώραν. τὴν τῆς Ἀφροδίτης μνήμην ἐμποιοῦσαν.

ἀντιστροφὴ α'. κώλων η'.

Α Μοῖσα γὰρ οὐ φιλοκερδής
Πω τότ' ἦν, οὐδ' ἐργάτις.
Οὐδ' ἐπέρναντο γλυκεῖαι
Μελίφθογγοι ποτὶ Τερψιχόρας,
Αργυρωθεῖσαι πρόσωπα,
Μαλθακόφωνοι ἀοιδαί.
Νῦν ἐφίητι δὲ τ' Ὠργείου φυλάξαι
Ῥῆμα, τῆς ἀλαθείας ἄγχιστα βαῖνον,

ΜΕΤΑΡΗ.

Musa enim nondum lucri-cupida
Tunc erat, neque mercenaria:
Neque vendebantur dulces
Mellisoni à Terpsichore
Deargentati facies,
Mollem-vocem-habentes cantus.
Nunc permittit vero Argivi servare
Dictum, veritatem proxime accedens,

ἐπῳδὸς α'. κώλων ζ'.

Χρήματα, χρήματ' ἀνήρ.
Ος φᾶ, κτεάνων θ' ἅμα λειφθεὶς καὶ φίλων.
Εσσὶ γὰρ ὦν σοφὸς, οὐκ ἀγνῶτ' ἀείδω

ΜΕΤΑΡΗ.

Pecuniæ, pecuniæ, vir.
Qui dixit, opibus una destitutus fuit & amicis.
Sed enim es sapiens, non ignaro cano

PARAPHRASIS.

Nondum enim Musa lucri amans erat, nec quemadmodum operarii operam mercede locabat. Neque à Terpsichore Lyricorum magistra dulces cantilenæ, molli vocis sono pronuntiandæ, suaque suavitate adblandientes, atque argenti in fronte mentionem facientes vendebantur. Sed hoc tempore permittit ut Aristodemi Lacedæmonii apophthegma observetur, qui pauper factus, & ab amicis derelictus, verissimum esse comperit tanti quemque fieri quantum possidet; unde merito dixit, Pecuniæ, pecuniæ vir, maximum homini sunt præsidium, quas qui habet in pretio est. Quo autem hæc tendant, scilicet ad mercedis petitionem, lubens dicerem, nisi tibi sapienti verbum sat esset.

NOTÆ.

10 Πω] Lonicerus reddidit, Aliquo pacto, quasi esset πώς. 12 Ποτὶ Τερψιχόρας] A præside scil. Lyricorum. Lonicerus. 13 Αργυρωθεῖσαι πρόσωπα] i. e. Argenti amorem ex vultu vel facie etiam ostendentes. Schmid. Metaphora sumpta est à vasis, quibus illinitur argentum, ut decora videantur. Benedictus. 15 Alii leg. Νῦν δ' ἐφίητι. Τ' Ὠργείου pro τοῦ Αργείου Dor. Χεάσις. Tacite in Simonidem invehitur Poëta ob Avaritiam & calliditatem, unde Adagium, Σιμωνίδου μέλη, h. e. Carmina varia, & malæ artis. Is enim primus in Poëticam astutiam & quæstum induxit. 18 Editt. Vulg. leg. λειφθεὶς, ut & Schol. refer. ad ὅς. Schmid. vero λείφθη Æol. pro ἐλείφθη. Et sane Scholiastes cum antea λειφθεὶς explanasset per στερηθεὶς, posterius etiam per ἐστερήθη juxta alios interpretatur hoc modo, Qui λειφθεὶς seu destitutus nummis, etiam ἐλείφθη sive derelictus fuit ab amicis. Ex hac ratione interpretandi, licet vix constet eos, qui hunc sensum elicerent, λεῖφθη legisse; attamen ea vox supplenda est, si ita ordines; citra quam nec metrum etiam consistit.

[Α Μοῖσα γὰρ, οὐ φιλοκερδής.] νῦν φησὶ μισθοῦ συντάττουσι τοὺς ἐπινικίους, πρῶτου Σιμωνίδου προκαταρξαμένου. οὐδ' ἐργάτις, ὅ ἐστιν αἰτοῦσα μισθὸν ἐφ' οἷς ἔπραττεν. ἔνθεν καὶ Καλλίμαχός φησιν. Οὐ γὰρ ἐργάτιν τρέφω τὴν Μοῦσαν ὡς ὁ Χῖος ὑλλιχου ἔπους. λέγει δὲ ταῦτα πρὸς Σιμωνίδην, ὡς φιλάργυρον διασύρων τὸν ἄνδρα. τὸ δὲ ἑξῆς, ἡ γὰρ Μοῦσα τὸ παλαιὸν, οὔπω φιλοκερδὴς ἦν. οὐδὲ μισθοῦ συντάττουσα τὰ ποιήματα. οὐδὲ παρὰ τῆς Τερψιχόρης ἐπιπράσκοντο αἱ γλυκεῖαι καὶ εὔφθογγοι ἀποκαλυψάμεναι τὴν παῤῥησίαν ᾠδαί. ἤτοι πρόσωπον κεκοσμημέναι καὶ λαμπρυνθεῖσαι. ὡς τὰ ὤνια ὅτι τῶν πωλούντων τὰ πρόσωπα ἐκοσμοῦντο, ἵνα δοκῇ παρέλκειν, καὶ ἀργυρείου αὐτὰς περιφαίνουσαι καὶ μισθοῦ λεγόμεναι. περιφραστικῶς οὖν εἴρηκεν, ἀπὸ τοῦ γράφοντος, ἀργύριον λαμβάνειν. τοιοῦτον δέ τι καὶ Ανακρέων εἴρηκε. καὶ μή ποτε ἡ ἀπότασίς ἐστιν εἰς τὰ ὑπ' ἐκείνου εἰρημένα. φησὶ γάρ. Οὐδ' ἀργυρέη κώ ποτ' ἔλαμπε Πειθώ. [Νῦν δ' ἐφίητι τ' ὠργείου φυλάξαι ῥῆμα.] νῦν δ' ἐφίητι, τίς; ἡ Μοῦσα δηλονότι. τείνει δὲ καὶ ταῦτα εἰς τὸν Σιμωνίδην. ἀντὶ τοῦ, ἐνδίδωσιν ἡμῖν λέγειν ὁ καιρός. τὸ δὲ ἑξῆς. ἐπεὶ δὲ τοῦ παρόντος ἡ φιλοκέρδεια, ἐφίησι καὶ ἐνδίδωσι λέγειν τὸ τοῦ Αριστοδήμου ῥῆμα, ἐγγὺς ἀληθείας βαῖνον. [Χρήματα, χρήματ' ἀνήρ.] ὁ μέν τοι Πίνδαρος ὄνομα οὐ δεδήλωκεν. ἐστὶ οὖν ὁ Αριστόδημος Σπαρτιάτης ὢν, πένης γεγονὼς, καὶ συναπολέσας τὴν τῶν φίλων ἑταιρείαν, ἔφη, χρήματα χρήματ' ἀνήρ. οὐδὲν δὲ θαυμαστὸν, εἰ Σπαρτιάτην ὄντα τὸν Αριστόδημον Αργεῖον ἔφη. ἔστι καὶ παρ' Ομήρῳ τὸ τοιοῦτον εὑρέσθαι. καὶ γὰρ Αργείην Ελένην φησί. καίτοιγε Λακεδαιμονίαν οὖσαν. [Αλλως.] Χρήματα χρήματ' ἀνήρ. τοῦτο ἀναγράφεται μὲν εἰς τὰς παροιμίας ὑπ' ἐνίων. ἀπόφθεγμα δὲ ἐστιν Αριστοδήμου, καθάπερ φησὶ Χρύσιππος ἐν τῷ περὶ παροιμιῶν. τοῦτον δὲ τὸν Αριστόδημον, Πίνδαρος μὲν οὐ τίθησιν ἐξ ὀνόματος ὡς δήλου ὄντος. ὅς ἐστιν ὁ τοῦτο εἰπών. μόνον δὲ ἐσημειώσατο τὴν πατρίδα, ὅτι Αργεῖος. Αλκαῖος δὲ καὶ τὸ ὄνομα, καὶ τὴν πατρίδα τίθησιν, οὐκ Αργος, ἀλλὰ Σπάρτην. Ως γὰρ δήποτέ φασιν Αριστόδημον ἐν Σπάρτᾳ λόγον οὐκ ἀπάλαμνον εἰπεῖν. χρήματ' ἀνήρ. πενιχρὸς δὲ οὐδεὶς πέλετ' ἐσλὸς οὐδὲ τίμιος. καὶ τάχα ἂν τὸν Σπαρτιάτην εἴρηκε Πίνδαρος Αργεῖον, παρόσον ἡ πᾶσα Πελοπόννησος, Αργος καλεῖται ὁμωνύμως τῇ πόλει. Ομηρος οὖν τὴν Ελένην Αργείαν φησὶν, ἀντὶ τοῦ εἰπεῖν Λακεδαιμονίαν. Αργείαν δὲ εἶπεν, ἀντὶ τοῦ Πελοποννησιακήν. Σπαρτιάτην δὲ Αριστόδημον, ἐν τοῖς ἑπτὰ σοφοῖς ἀναγράφεται Ανδρων ὁ Εφέσιος. [Ος φᾶ, κτεάνων θ' ἅμα λειφθεὶς καὶ φίλων.] ὅς τις Αριστόδημος ἐφθέγξατο τὸ τοιοῦτον. ἅμα τε τοῦ πλούτου, καὶ τῶν φίλων στερηθείς· ἔνιοι δὲ οὕτως ἀκούουσιν. ὅς τις Αριστόδημος τῶν χρημάτων ἐνδεὴς γενόμενος, καὶ τῶν φίλων ἐστερήθη. [Εσσὶ γὰρ ὦν σοφός.] ταῦτα οἱ περὶ Καλλίστρατον συνεργεῖν φασὶν ἑαυτοῖς. φανερὸν γὰρ ὡς μισθὸν αἰτῶν τὸν Θρασύβουλον, τότε ἀπόφθεγμα προσήνεγκε τὸ περὶ τῶν χρημάτων, καὶ προσεπιλέγει. οὐκ ἀγνῶτ' ἀείδω. σοφὸς γὰρ εἶ, καὶ συνήσεις πρὸς τί ταῦτα εἴρηται. ἔνιοι δὲ τὸ ἄγνωτα προσπαροξύνοντες, οὐ κατὰ συναλοιφὴν ἀκούουσιν. ἀντὶ τοῦ, οὐκ ἀγνῶτι ἀείδω. ἀλλ' ἐπεὶ αὐτοῦ καὶ τοῖς Ισθμικοῖς φασὶ νίκης λέγειν αὐτὸν, οὐ περὶ ἀγνώτων φησὶν ᾄδω. ὁ δὲ Δίδυμος, μειοῦσθαί φησι τὸ ἀξίωμα

τοῦ

Ισθμίαν ἵπποισι νίκαν,	Isthmiam equis victoriam,
Τὰν Ξενοκράτει Ποσειδάων ὀπάσαις,	Quam Xenocrati Neptunus largitus,
Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ	Doricorum ipsi coronamentum *ad* comam
Πέμπεν ἀναδεῖσθαι σελίνων,	Misit redimiendum Apiorum,
στροφὴ β'. κώλων η'.	ΜΕΤΑΦΡ.
Εὐάρματον ἄνδρα γεραίρων,	Curru-præstantem virum honorans,
Ακραγαντίνων φάος.	Agrigentinorum lumen.
Εν Κρίσᾳ δ' εὐρυσθενὴς εἶ-	In Crisa vero præpotens respe-
δ' Απόλλων μιν, πόρε τ' ἀγλαΐαν·	xit Apollo ipsum, præbuitque splendorem:
Καὶ τόθι κλειναῖς Ερεχθει-	Et ibi inclytis Erechthi-
δᾶν χαρίτεσσιν ἀραρὼς	darum gratiis applicatus
Ταῖς λιπαραῖς ἐν Αθάναις, οὐκ ἐμέμφθη	Splendidis in Athenis, non vituperavit
Ρυσίδιφρον χεῖρα πλαξίπποιο φωτὸς,	Currus-gubernatricem manum equestris viri,
ἀντιστροφὴ β'. κώλων η'.	ΜΕΤΑΦΡ.
Τὰν Νικόμαχος κατὰ καιρὸν	Quam Nicomachus tempestive
Νώμε πάσαις ἁνίαις·	Adhibuit omnibus habenis:

PARAPHRASIS.

Cæterum statui rem tibi notissimam encomio celebrare, scilicet Isthmiacam victoriam equis curru junctis à patre tuo Xenocrate partam: cujus largitor fuit Neptunus, qui coronam ex sicco apio, apud Corinthios, qui Doriensium colonia constabant, decerpto misit ipsi ad redimiendum comatum caput, ut virum curuli certamine præstantem, Agrigentinorumque decus ad lumen honore cumularet. Quinetiam in Pythone prope quam est Crisa, late potens Apollo vidit ipsum, ipsique Pythicæ victoriæ decus impertivit. Eodem etiam fere tempore cum apud splendidas egregiis civibus Athenas, Atheniensium quondam Erechthei subditorum inclytos honores, ex re illorum sacris in ludis præclare gesta reportasset, non vituperavit aurigæ sui Nicomachi equestris viri manum currus gubernatricem, qua in tempore, ut que res postulare videbatur, omnes habenas quadrigarum versabat.

NOTÆ.

20 Ιπποισι] i. e. Curru, ut patet V. 24 23 Αναδεῖσθαι leg. Editt. Vulg. 26 Εὐρυσθενὴς] Lonicer. de Apolline accepit, dum reddidit, Crisæ late potens apparuit, idque Apollinis nomine. Εἶδέ μιν] Propitius eum aspexit. 28 Τόθι] Tum, scil. post victoriam Pythicam, ex sententia Schmidii. 29 Αραρὼς] Pro ἀρηρὼς ab ἄρω. Apto, unde & media producitur. Philippus reddidit, Accommodatus. Lonicerus, In altum sublevatus, quasi esset ab ἄρω, à quo tamen per reduplicationem Atticam Præteritum Medium formari non potest. De Xenocrate vero cum Schmidio accipimus. Etsi autem ideo Xenocratem ἀρηρότα χαρίτεσσιν Ερεχθειδᾶν velint Intt. quod Nicomachus auriga Atheniensis fuerit, qui in Olympiis victoriam Xenocrati (vel ex ipsorum sententia Theroni) conciliavit: & proinde non Atheniensem aliquam victoriam intelligi debere contendant: reclamat tamen illis aperte loci determinatio, ταῖς λιπαραῖς ἐν Αθάναις, ubi, non Olympiæ, Nicomachus hero suo victoriam reportavit. Schmid. 30 Λιπαραῖς] Non propter soli naturam, quo spectat κραναᾶις, sed propter cives, quomodo *Doctæ Athenæ* Ovidio dicuntur. 31 Ρυσίδιφρον] Trahentem currum. Est enim à Ρύω, Traho. Lonicerus & Philippus, Laxam, reddiderunt. Πλαξίππου est, equos plagis regentis. Φωτὸς] Schmid. intell. de Nicomacho, non Therone, uti Scholiastes: & de Attica victoria, non Olympica. 33 Νωμᾶ Editt quædam. Νώμα Ed. Steph. Regebat. Nos cum Schmidio leg. νῶμε pro νένωμε Præt. Med. χεῖρα omnibus habenis distribuit, i. e. seorsim & distincte applicuit, & quidem tempestive, nunc has nunc illas tractando.

τοῦ ποιητοῦ, εἰ μηδέπω τοῦ ἐπινίκου συντεταγμένου, γνώριμός ἐστιν ἡ τοῦ Ξενοκράτους νίκη. ἔμπαλιν γὰρ ὁ Πίνδαρος, ἀφανεῖς καὶ ἀδόξους φησὶν εἶναι τὰς νίκας, εἰς ἃς αὐτὸς μηδὲν γέγραφε, γελοίως. ὁ δὲ νοῦς. τυγχάνεις οὖν σοφὸς ὦ Ξενόκρατες, καὶ συνορᾷς τὸ τοῦ λόγου αἴνιγμα. οὐ γὰρ ἄγνωστον λέγω. εἶτα ἀπὸ κοινοῦ τὸ, ἀείδω. ᾄδω καὶ τὴν Ισθμιακὴν νίκην, τὴν τοῖς ἵπποις ἀγωνιζομένῳ τῷ Ξενοκράτει, ὁ Ποσειδῶν δωρησάμενος, ἀπὸ Κορινθιακῶν αὐτῷ σελίνων στέφανον αὐτοῦ τῇ κόμαις ἐπιτεθῆναι παρέχετο, τιμῶν τὸν ἱππικώτατον ἄνδρα, δόξαν καὶ φῶς ὄντα τῷ τῶν Ακραγαντίνων δήμῳ. ἀπὸ δὲ τοῦ πρὸς αὐτὸν λόγου, εἰς τὸν περὶ αὐτοῦ ἐπηνέχθη. Δωρίων οὖν στεφάνωμα φησὶν, ἀντὶ τοῦ, Ισθμίων. Δωριεῖς ἐπεὶ γὰρ ἐπῴκησαν τὴν Πελοπόννησον. ἢ Δωρίων σελίνων, τῶν Κορινθιακῶν. ὅτι Δωριεῖς ἐπῴκησαν τὴν Κόρινθον. ἡ δὲ Κόρινθος, πύλαι τῆς Πελοποννήσου. Αλήτην γὰρ αὐτὴν φασιν οἰκίσαι. ὅθεν καὶ Αλητίδαι οἱ Κορίνθιοι. τοῖς οὖν τὰ Ισθμια ἀγωνιζομένοις, σέλινον ξηρὸν ὁ στέφανος. ὑγρὸν δὲ, τοῖς τὰ Νέμεα. [Εν Κρίσᾳ δ' εὐρυσθενής.] τοῦτό φησιν, ὡς τὰ Πύθια νενικηκότος αὐτοῦ. ἡ γὰρ Κρίσα, τῆς Φωκίδος ἐστὶ χωρίον. ὁ δὲ νοῦς. ἐν δὲ τῇ Κρίσᾳ, εὐμενῶς ὁ Απόλλων ἐθεάσατο τὸν Ξενοκράτην. καὶ ἀγωνιζομένῳ τὴν νίκην ἐδωρήσατο. [Καὶ τόθι κλειναῖς Ερεχθειδᾶν.] καὶ ὅπου τῶν ἐνδόξοις φησὶ τῶν Αθηναίων χάρισιν ἡρμοσμένος, ἐν ταῖς λιπαραῖς Αθήναις, οὐκ ἐμέμψατο τὴν ἡνιοχικὴν χεῖρα. [Αλλως.] τόθι, τοπικῶς. ἐν ἐκείνῳ τῷ τόπῳ. ἐν ταῖς Αθήναις ὁ ταῖς χάρισιν ἡρμοσμένος Απόλλων. ἀπὸ κοινοῦ γὰρ τοῦτο, οὐκ ἐμέμφθη τὴν ῥυσίδιφρον χεῖρα, ἀπὸ τοῦ πληξίππου φωτός. τουτέστι, τοῦ Θήρωνος. ὁ γὰρ Νικόμαχος Αθηναῖος ὢν, ἀμφοτέροις ἡνιόχει, Θήρωνι καὶ Ξενοκράτει. ὅτι μὲν οὖν τοῦ Ξενοκράτους, οὐχ οἷόν τε ἀκούειν. οὐ γὰρ ἀνῄρητο Ολυμπικὴν νίκην, ἀλλ' ὁ Θήρων. κοινοποιεῖ δὲ τὰς νίκας ἀμφοῖν ὁ Πίνδαρος συνήθως αὐτῷ. τὸν δὲ Νικόμαχον, φησὶν, ἀρηρέναι ταῖς λιπαραῖς Αθήναις, παρόσον Αθηναῖος ἦν. ὃν διὰ τὸ φιλοφρονήσασθαι τοὺς Ηλείων σπονδοφόρους Αθήναζε ἥκοντας, ἀντησπάζοντο Ηλεῖοι παρ' αὐτοῖς ὅτε Θήρων ἡνιόχει. ῥυσίδιφρον δὲ χεῖρα, ἀπὸ μέρους. ἀντὶ τοῦ ῥαδίως καὶ ἀμεταγώγως τὰς ἡνίας εὐθύνοντα.

[Ουτε

Ον τε καὶ κάρυκες ὡρᾶν	Quem etiam præcones horarum
Ανέγνων, σπονδοφόροι Κρονίδα	Recognoverunt, Sacerdotes Saturnidæ
Ζηνὸς Αλείου, παθόντες	Jovis Elei, affecti
Πού τι φιλόξενον ἔργον·	Alicubi aliquo hospitali officio:
Αδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ,	Et suave-spirante ipsum salutarunt voce,
Χρυσέας ἐν γούνασιν πιτνόντα Νίκας	Aureæ incumbentem genibus Victoriæ
ἐπῳδὸς β'. κώλων ζ'.	Μεταφρ.
Γαῖαν ἀνὰ σφετέραν,	Terra in sua,
Τὰν δὴ καλέοισιν Ολυμπίου Διὸς	Quam sane vocant Olympii Jovis
Αλσος· ἵν' ἀθανάτοις Αἰνησιδάμου	Lucum: ubi immortales Ænesidami
Παῖδες ἐν τιμαῖς ἔμιχθεν.	Filii honores assecuti sunt.
Καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι	Etenim non ignaræ vobis sunt domus
Οὔτε κώμων, ὦ Θρασύβουλ', ἐρατῶν,	Vel hymnorum, ô Thrasybule, amabilium,
Οὔτε μελικόμπων ἀοιδᾶν.	Sive mellito-sono-superbarum cantionum.
στροφὴ γ'. κώλων η'.	Μεταφρ.
Οὐ γὰρ πάγος, οὐδὲ προσάντης	Neque enim scopulus, neque ardua
Α κέλευθος γίνεται,	Via est,
Εἴ τις εὐδόξων ἐς ἀνδρῶν	Si quis illustrium ad virorum *ædes*
Αγοι τιμὰς Ελικωνιάδων.	Adducat honores Heliconiadum.

PARAPHRASIS.

Quem etiam Saturni Jovis Elei sacerdotes, præscriptum certaminis tempus alta voce indicere soliti agnoverunt, ab ipso alicubi in Sicilia hospitio benigne excepti: & ad veneranda victoriæ genua prolapsum, gratulabunda voce salutarunt, sua in terra, quam Olympii Jovis appellant delubrum: ubi Theron & Xenocrates Ænesidemi filii victoriam consequuti, immortales honores acceperunt. Atque ideo vestræ familiæ, ô Thrasybule, nec amabilium chorealium hymnorum, nec magnifica dulcedine sublimium carminum expertes sunt. Neque enim salebrosa est, arduaque via, quum quis honorifica præconia ducere vult ad illustrium virorum familias: imo illos carmine cohonestare facillimum est.

NOTÆ.

34 Οντι] Sensus est, Quem Sacerdotes Jovis Olympii, de nota meliore noverunt, ex Victoria scilicet. Schmidius. 38 Αδυπνόῳ φωνᾷ] Gratum sermonem proferente; quæ auribus, ut odor suavissimus naribus, grata erat. 39 χρυσέοις leg Editt. Vulg. refer. ad γόνασι. Apud Schol. vero legas τιμίας, pro χρυσέας, νίκης. Unde Schmid. Observat, eum retulisse χρυσέας ad νίκας, ideoque in Genitivo legisse, quem & nos sequimur; licet perinde sit, si χρυσέοις retineas. Sensus est, Victoria eum potitum fuisse. 43 Παῖδες] Thero videlicet & Xenocrates, non Dinomenes, ut Scholiastes. Schmidius. Εν τιμαῖς ἔμιχθεν pro τιμαῖς ἐνεμίχθησαν, partim Tmesi, partim Æol. formatione. 44 Οὐκ ἀγνῶτες κ. λ.] Philippus reddidit. Non ignotæ vel incognitæ sunt vobis ædes hymnorum. Non expertes sunt, qu. dicat, Ædes vestræ encomiis assuefactæ sunt, iisque sæpius ornatæ. Syntaxis est, Δόμοι ἐντὶ ὑμῖν οὐκ ἀγνῶτες οὔτε κώμων οὔτε ἀοιδᾶν. Similes vero Locutiones Ol. 6. & 7. occurrunt. Δόμοι autem intelliguntur Thrasybuli, qui hic appellatur, & Xenocratis patris. 47 Προσάντης] Ab ἀντάω, Quæ eunti propter acclivitatem, qu. obvia fit. 49 Ες ἀν- Claud. hoc κῶλον in Editt. Vulg. Intellige vero δόμον.

[Οντε καὶ κάρυκες.] ὅν τινα τὸν νικηφόρον οἱ κήρυκές φησιν οἱ τὸν καιρὸν καὶ τὴν ὥραν τοῦ Ολυμπιακοῦ ἀγῶνος κηρύσσοντες, καὶ σπονδοφόροι ὄντες τοῦ ἐν Ηλιδι Διὸς, ἐγνώρισαν προσπαθόντες τι ἡδὺ παρ' αὐτοῦ διὰ τὸ φιλόξενον τῆς ὑποδοχῆς. καὶ τῇ ἡδείᾳ αὐτῶν φωνῇ, ἠσπάζοντο τὸν Ξενοκράτην τῆς τιμίας νίκης τοῖς γόνασι προσελθόντα. ἐκ δὲ τούτου νικῶντα. ἠσπάζοντο δὲ, κατὰ τὴν Ολυμπιακὴν αὐτῶν γῆν. ἣν τινα, καλοῦσι Ολυμπίου Διὸς ἄλσος. ἔνθα ταῖς ἀθανάτοις τῆς νίκης τιμαῖς, καὶ οἱ τοῦ Αἰνησιδάμου παῖδες Θήρων καὶ Δεινομένης, ἐμίγησαν. [Αλλως.] οἱ κήρυκες, οἳ τὰς ὥρας καὶ τὸν καιρὸν τοῦ Ολυμπιακοῦ ἀγῶνος ἐκήρυσσον καθ' ἃς ἐτελεῖτο. [Ζηνὸς, Αλείου.] τοῦ Ηλείου Διὸς, τοῦ ἐν Ηλιδι τιμωμένου. Ηλις δὲ χώρα τῆς Ολυμπίας. [Φιλόξενον ἔργον.] ὑπεδέξατο γὰρ αὐτὸν, καὶ φιλοξένως ἐξένισεν. [Ιν' ἀθανάτοις Αἰνησιδάμου.] Αἰνησιδάμου παῖδες, Θήρων, καὶ Δεινομένης. ὧν κυρίως μνημονεύει, ὡς Σικελιωτῶν τυράννων. Σικελιώτης δὲ ὁ νικηφόρος. [Καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι.] καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν εἰσιν οἱ οἶκοι. ἀντὶ τοῦ ἄπειροι ὦ Θρασύβουλε. οὔτε ὕμνων ἐρασμίων, οὔτε ὑψηλῶν ᾠδῶν. πάλιν δὲ ἐκ τούτου ὕμνον φησίν. [Αλλως.] ἤτοι περιφραστικῶς αὐτὴν Ολυμπίαν δόμους εἶπεν, ἢ οὐκ ἀγνῶτες ὑμῶν εἰσιν οἱ δόμοι τῆς φιλοξενίας. ὅπερ ἄμεινον. τὸ δὲ ἐντὶ, ἀντὶ τοῦ εἰσὶ Δωρικῶς. [Οὐ γὰρ πάγος, οὐδὲ προσάντης ἁ κέλευθος.] οὐ τραχεῖα φησὶν ἡ ὁδὸς γίνεται τοῖς τοὺς ἐνδόξους ἐπαινοῦσιν ἄνδρας. τοὐναντίον δὲ, ῥάδιος καὶ εὐεπίφορος. αὐτοὶ γὰρ ἀφορμὰς εἰς τοὺς ἐπαίνους διδόασι. τιμὰς γὰρ Ελικωνιάδων, τὰς τῶν Μουσῶν φησί. τουτέστι τοὺς ὕμνους καὶ τὰς ᾠδάς.

[Μακρὰ

Μακρὰ δισκήσαις ἀκοντί-	Longe jacto - disco jacu-
σαιμι τοσοῦθ', ὅσον ὀργὰν	ler tantum, quantum indolem
Ξεινοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν	Xenocrates supra homines jucundam
Ἔσχεν. Αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν,	Habuit. Et colendus erat cũ civibus versando.
ἀντιστροφὴ γ'. κῶλον η'.	Metaph.
Ἱπποτροφίας τε νομίζων	Equorumque-alturam observans
Ἐν Πανελλάνων νόμῳ·	Juxta omnium-ordinum-Græciæ legem:
Καὶ θεῶν δαῖτας προσέπτυ-	Et Deorum convivia amplexaba-
κτο πάσας· οὐδέποτε ξενίαν	tur omnia: neque unquam hospitalem
Οὖρος ἐμπνεύσαις ὑπέστει-	Ventus-violentus inspirans contra-
λ' ἱστίον ἀμφὶ τράπεζαν·	xit velum circa mensam:
Ἀλλ' ἐπέρα, ποτὶ μὲν Φᾶσιν θερείαις,	Sed trajiciebat ad Phasin quidem æstivis *horis*,
Ἐν δὲ χειμῶνι Νείλου πρὸς ἀκτάς.	In hyeme vero navigans Nili ad ripas.

PARAPHRASIS.

Atque utinam suavitate & excellentia mei carminis respondere possem meritis Xenocratis, qui morum præstantia reliquos homines longe superavit. Is quidem cives in conversatione reverebatur, eratque inter ipsos venerabilis. Equorum nutritionem curabat juxta Græcorum omnium legem, qua divites omnes in reip. utilitatem equos alere tenebantur. Sacra autem Diis convivia omnia religiose & sedulo observabat. Nihil vero sinistri unquam ipsi accidit, ut mensam hospitalem adornare desineret. Sed ea fuit ipsius fortuna, ut tum æstivo tum hyberno tempore, tecto dapibusque commodis & convenientibus hospites excipere & recreare posset.

NOTÆ.

52 Ὀργὰν γλυκεῖαν] Affectus suaves, Mores suaves. Lonicer. reddidit ὀργὰν, Convictus rationem. 53 Aliqui leg. Ξενοκράτης. 54 Ἔσχεν] Loquitur, ut de mortuo, licet non juxta nobiscum sentiat Scholiastes. Sic προσέπτυκτο, ὑπέστελ, ἐπέρα. 55 Ἱπποτροφίας νομίζων [Philippus, In Græcis conventibus equestria certamina regit. Lonicerus vero reddidit, Curabat. Unde Schmidius ex conjectura, quasi eum secutus, legit κομίζων. Quod ad nos attinet, nullatenus conjecturæ cedendum existimamus, nisi corruptionis aliquod indicium compareat. Benedicto vero, qui huic conjecturæ maxime favet, facile respondere licet. Verba ejus sunt, Clarior ita fiet locus: & facile fuit in graphicum istiusmodi errorem incidere, à quo torquetur Scholiastes. Sæpius quidem advertet Pindari Lector, eum raro, quæ nobis clariora videntur, proferre; quo minus facilitas syntaxeως objiciatur. At vero non videtur esse erratum scribæ. Et rariuscule lapsus librariorum sensum congruum fundunt. Verum hæc omnia hic vix locum habent. Qui enim innotescit, κομίζειν ἱπποτροφίας esse Pindaricum, non vero νομίζειν. Certe Aristophani in Nubibus, hoc Verbum est, usurpare pro more, sensu non longe diverso. Forte vero nulli dubium esse potest, quin hæc sit vera lectio, qui cogitat, Pindarum voce quasi ludere, νομίζων νόμῳ. Et recte observat Pind. Lex. Poëtam hic aperte nobis indicasse τὸ τοῦ νομίζειν ἔτυμον. Imo vero Eustathium legenti, antiquos Poëtas tali vocum structura delectari, abunde constabit. 56 Νόμῳ] Erat Græcis communis lex, qua ditioribus necessum erat equos alere ad communem patriæ utilitatem. Ita Aretius, sed nulla ejus rei testimonia adducit. 57 Διαίτας quædam Editt. quas secutus Philippus reddidit, Festos dies. 58 Ξενίοις leg. Edd. quædam, subaudiendo ἔργοις, i. e. Officiis hospitalibus. 59 Οὖρος] Lon. Felicior aura. Schmidius existimat esse Metaph. à navibus vento impetuosissimo petitis, quæ vela contrahunt damni vitandi causa. Ita & inhospitales viri, magnum damnum se sustinere putant, si benefice hospitem excipiant, ideoque vela contrahunt, sive aditum præcludunt. Longe aliter Scholiastes. 60 Ὑπέστελλεν ἱστίον leg. Edd. nonnullæ. 61 Φᾶσιν] ὁ Φᾶσις fluvius, & ἡ Φᾶσις, urbs Colchorum. Antithesis vero, Νείλου πρὸς ἀκτάς, non fluvium sed Phasin urbem, & Synecdochice Colchidem notari arguit. Dicit ergo, Xenocratem æstate ad Phasidem Terram frigidiorem navigasse; hyeme ad Ægyptum calidiorem, h e explicante Schmidio. Hospitibus sese omnibus accommodasse: fovisse algentes, qui fotu opus habuerunt, refrigerasse æstuantes, & in anxietate constitutos, qui refrigerio indiguerunt. Erasmus Chil. 2. Cent. 4 plane hæc sensu alio interpretatur, de Terris videlicet à Græcia remotioribus, quas adiisse aliquis dici potuit.

[Μακρὰ δισκήσαις ἀκοντίσαιμι.] μακρῶς καὶ μεγάλως τὸν ἐμὸν λόγον ῥίψας φησὶ, καὶ τὸν νικηφόρον ἐγκωμιάζων, ὑπερβαλοῦμαι τοὺς ἄλλους, ὁπόσον καὶ ὁ Ξενοκράτης τρόπον γλυκὺν καὶ σπουδαιότερον πάντων ἀνθρώπων ἔσχεν. [Αἰδοῖος μὲν ἦν ἀστοῖς.] ἀμφίβολον. ἤτοι γὰρ αὐτὸς ἦν, φησιν, ἐντροπῆς ἄξιος ὁμιλῶν τοῖς ἀστοῖς, ἢ αὐτὸς ἐνετρέπετο, ἐν τῷ τοῖς ἀστοῖς ὁμιλεῖν. Δίδυμος δὲ ὁ Ἀριστοφάνειος, μὴ νοήσας ὅτι ἐπὶ τοῦ παρεληλυθότος χρόνου κεῖται τὸ ἦν, θρηνῶν φησὶ γεγράφθαι. οὔτε ἐκεῖνο νοήσας, ὅτι παρὰ τοῖς ποιηταῖς ἐναλλάττονται οἱ χρόνοι, οὔτε τὸ ἐπὶ τέλους λεγόμενον, τὸ, Νικάσιππ' ἀπόνειμον, ὅταν ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς. πρὸς τὸν ζῶντα, οὐ πρὸς τὸν τετελευτηκότα. ἢ ἔστιν οὕτως. αἰδέσιμος ἦν τοῖς πολίταις συναναστρεφόμενος. [Ἱπποτροφίας τε νομίζων.] ἤτοι, ἱπποτροφεῖν ἐν Ἕλλησιν αὐτὸς νομοθετῶν. ἢ νόμιμον ἐν Ἕλλησιν εἰδὼς τὸ ἱπποτροφεῖν. ἀπὸ κοινοῦ δὲ τὸ ἦν. ἢ οὕτως. ἱπποτροφίας νομίζων καὶ τρέφων, τῷ τῶν Ἑλλήνων νόμῳ καὶ ἔθει. ἤτοι, κείνων καὶ νομιζομένων τοῖς Ἕλλησιν. ἢ ἐπισήμους ποιῶν ἀεὶ τὸ νόμισμα. [Καὶ θεῶν διαίτας.] καὶ πάσας θεῶν πανηγύρεις ἐπιτηδείως προσεδέχετο. ἐκ δὲ τούτου δῆλον, ὅτι εὐσεβῶς καὶ πρὸς θεοὺς διέκειτο. ἢ οὕτω. κατὰ διάνοιαν προσήγετο καὶ ἠσπάζετο. οὐδὲ νόμιμον καὶ ἔθος ἦγε τὰς ἑορτὰς, ἀλλ' οἰκείως ἔχων πρὸς τοὺς θεούς. [Οὐδέποτε ξενίαν οὖρος.] ἀλληγορικώτερον ἐχρήσατο τῷ λόγῳ ἀπὸ μεταφορᾶς τῶν οὐριοδρομούντων, καὶ μὴ συστελλουσῶν τὰ ἱστία νεῶν· τὸν γὰρ φθόνον ἀνέμῳ εἴκασε· τὴν δὲ τῶν ξένων τράπεζαν, νηὶ οὐρίως καὶ ἀβλαβῶς πλευσάσῃ. οὐδέ ποτέ φησι τὸ ἱστίον τῆς τραπέζης ὁ Ξενοκράτης, ᾗ τοὺς ξένους ὑπεδέχετο, συνέστειλεν οὔριος ἄνεμος πνεύσας, ἀλλ' ἀεὶ πλήρεσι τοῖς ἱστίοις πρὸς τὰς τῶν ξένων ἑστιάσεις ἐποιήσατο. Χρύσιππος οὕτω. Ξενοκράτης δὲ, οὐδέποτε οὕτως ἐχειμάσθη ὥστε μὴ διομαλίσαι τὴν τράπεζαν. ὁ δὲ νοῦς, οὕτως. οὐδέποτε δὲ περὶ τὴν φιλόξενον αὐτοῦ τράπεζαν, ἐν ᾗ τοὺς ἐπιφοιτῶντας ἐδεξιοῦτο ξένους, φθόνος τις ἐπιπνεύσας, τὰς τῆς φιλοξενίας ἔπαυσεν ἑστιάσεις, ἀλλὰ πλήρεσι τοῖς ἱστίοις τοὺς πάντας ἐφιλοφρονεῖτο. [Ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις.] Φᾶσις, ποταμὸς τῆς Σκυθίας. ψυχρότατα δὲ τὰ περὶ αὐτὸν πνεύματα ἔχει. τὸ δὲ, Νείλου πρὸς αὐ-

γὰς,

ἐπῳδὸς γ'. κώλων ζ'.	Μεταφρ.
Μή νυν, ὅτι φθονεραὶ	Ne igitur, quoniam invidæ
Θνατῶν φρένας ἀμφικρέμανται ἐλπίδες,	Mortalium mentes circumpendent ſpes,
Μήτ' ἀρετάν ποτε σιγάτω πατρώαν,	Neque virtutem unquam ſileas paternam,
Μηδὲ τούσδ' ὕμνους· ἐπεί τοι	Neque hoſce hymnos : quandoquidem
Οὐκ ἐλινύσοντας αὐτοὺς εἰργασάμαν.	Non inertes eos feci.
Ταῦτα Νικάσιππ' ἀπόνειμον, ὅταν	Hæc Nicaſippe diſtincte-expone, quando
Ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς.	*Ad* hoſpitem meum venerandum veneris.

PARAPHRASIS.

Cæterum quia mortalium hominum mentes ad invidendum eximiis viris ſunt propenſæ, nolim ut ad improborum illorum vitandam invidiam Thraſybulus paternam virtutem ſilentio prætereat, ſervatis in privata domo, itaque ſuppreſſis hymnis meis. Neque enim ea mente Xenocratis laudes carmine ſum proſecutus, ut illud, quemadmodum impoſita ſuæ baſi ſtatua, loco non moveatur : ſed ut undiquaque perferatur, omnibuſque laudati viri virtus innoteſcat, meaque poëſis inclareſcat. Tu vero Nicaſippe, hæc ad Thraſybulum, hoſpitem familiaritate mihi conjunctum præconia laudum perfer, & redde quum ad eum perveneris.

NOTÆ.

63 Μὴ νῦν leg. Alii neglecto metro. Eodem autem modo lege καί νυν alibi. 64 Αμφικρίμανται Edd. Commel. & Lutet. Et Portus qui Commelin. adornavit, in aliquo Cod. ſe ita ſcriptum reperiſſe ait. Utrum vero σφάλμα Typographicum ſit, vel Dialectus aliqua pro ἀμφικρίμανται ſubdubitat; erratum tamen potius agnoſcit; nec opus fuit de hac lectione laborare cum omnes vulgati Codd. hab. ἀμφικρίμανται. Invidi vero conatus opprimendi virtutes aliorum, ſuſpenſi ſunt circa pectora hominum. h. e. Schmidio interprete, Facile obſcurat invidia virtutes, niſi encomiis in apertam lucem expoſitæ fuerint. Merito igitur hymni, qui virtutes ab invida obſcuratione vindicant, præmiis dignis afficiuntur. 65 Σίγατον leg. Schmid. ex conjectura, quia hæc pars etiam directa eſt ad Thraſybulum. Nemo tacere poteſt virtutes illius, qui ornatur hymnis, vel, Neque quis citius taceat virtutem paternam, quam hos hymnos, qui ejus laudes poſteris tradent. 66 Ὕμνους] Hunc præſentem ſcil. & alterum P. 6. 67 Ελινύσοντας leg. Schmid. ob -νυ- brevem. Ελινύσοντας Ben. ob eandem cauſam. Sed υ ante σσ poteſt eſſe brevis, ut alibi patet. Ideo Codd omnium lect. non mutavimus. Vide Nem. 5. ad init. Vult autem Poëta, Non feci hymnos meos otioſos, ſicut ſtatua aliqua, ſimul ac effecta eſt, immobilis, & ſine efficacitate manet; ſed laudes celebratorum, per plurimas regiones promoventes, & ad poſteritatem omnem propagantes, ut Schmidius παραφράζει. 69 Ἠθεῖον legendum conjicit Schmid. quod ἠθαῖον nulla auctoritate confirmatur. Quod ſi verum ſit, quod Etymol. Magn. in Εταῖρος habet, ἠθαῖος Dorice formatum ab ἠθεῖος Comm. Poëtico tamen, retinendum eſt ἠθαῖος· quod quamvis ab ἦθος deducat Etym. M. ut ſit, Familiaris; tamen cum Schmidio etiam à Θεῖος formare licet per Protheſin τοῦ η. ut ἠθαρὸς à θαρὸς ut ſignificet Avunculus : item Frater vel ſocius natu major : item Colendus. Lonicer. ideo redd. Divinum. Sic Od. Ξ. Eumæus de Ulyſſe dicit. Αλλά μάλ' ἠθεῖον καλέω Cratandr. Ed. leg. Αἰτναῖον. Αἰτναῖοι vero οἱ Καταναῖοι dicti fuerunt. ut ſæpius in hoc autore, non vero Agrigentini. Αἰτναῖον ξεῖνον alias legis; qua ratione forte hæc vox in Textum irrepſerit.

γάς, ἢ ἀκτάς, τινὲς μὲν τὰς τοῦ Νείλου ῥύσεις. τινὲς δὲ ὅτι ἀπὸ ἀναπλῶν ἡ ῥύσις αὐτοῦ γίνεται. διὸ καὶ θερμοτάτης καὶ ὑγιεινῆς κράσεως μετέχει τὸ χωρίον. διὰ τούτων δέ, τὴν περὶ τοὺς καιροὺς δεξιότητα τοῦ Ξενοκράτους παρίστησιν ἀλληγορῶν. οὕτω γὰρ εὖ πρὸς τοὺς καιροὺς ἥρμοσο, καθάπερ οἱ ἐν μὲν τῷ θέρει, πρὸς τὰ χειμερινὰ ὠθούμενοι. τῷ δὲ χειμῶνι, πρὸς τὰ θερινά. ὁ δὲ νοῦς, πάλιν ἐπὶ τῆς φιλοξενίας τοῦ Ξενοκράτους, οὕτως ἔχει. ὁ Ξενοκράτης φιλοφρονούμενος τοὺς ξένους, ἔπλει τῷ τῆς τραπέζης ἱστίῳ, θέρους, πρὸς τὰ ψυχρότερα· χειμῶνος δέ, πρὸς τὰ θερμότατα. ὥστε πανταχόθεν αὐτοῦ τὸ εὔκρατον καὶ προσηνὲς τῆς φιλοξενίας δηλοῦσθαι. ἢ καὶ ἐπὶ τῶν ξένων τὴν διάνοιαν ἀκουστέον. ἵν' ᾖ. ἕκαστός φησι τῶν ξενιζομένων, ἐκ μὲν θερμότητος καὶ καμάτων, πρὸς ψυχρότητα καὶ ἀνάκτησιν, ὥσπερ πρὸς αὐτὸν ἔσπευδεν. ἐκ δὲ χειμῶνος, πρὸς θερμότητα. [Μὴ νῦν ὅτι φθονεραί.] μὴ δι' ὅτι φησὶ περὶ τὰς φρένας τῶν ἀνθρώπων φθονεραὶ κρέμανται ἐλπίδες καὶ διαθέσεις. τουτέστι, μὴ διότι φθονεροί εἰσιν οἱ ἄνθρωποι, περὶ τοῦτο σειλάμενος, τὴν τοῦ πατρὸς ἀρετὴν, σειλάτω. σιγάτω. λεγέτω δέ, τῶν φθονούντων ἀφροντιστῶν. τὰς γὰρ ἐλπίδας, ἀντὶ ἑνὸς τούτων φροντίδος. διανοίας. διαθέσεως. μὴ οὖν φησι τὴν τοῦ πατρὸς ἀρετὴν σιγῇ παραδότω, ἀλλ' εἰς τὸ κοινὸν φερέτω. τυχὼν γὰρ τῆς νίκης, τὴν τοῦ πατρὸς ἀρετὴν, συμπροήγαγε τῇ ἑαυτοῦ δόξῃ. Ἰστέον ὅτι τὸν εἰς Ξενοκράτην ὕμνον, εἰς Ακράγαντα διὰ Νικασίππου πέμπει πρὸς Θρασύβουλον, τὸν Ξενοκράτους ἀδελφόν. τὸ γὰρ ἀπόνειμον, ἀντὶ τοῦ ἀνάγνωθι. Σοφοκλῆς ἐν Αχαιῶν συλλόγῳ. Σὺ δ' ἐν θρόνοισι γραμμάτων πτύχας ἔχων, ἀπόνειμον. νέμει τίς, ὃ πάρεστι τίς ξυνώμοσε. καὶ Παρθένιος ἐν τῇ Αρήτῃ τὸ ἄνειμε, ἀντὶ τοῦ, ἀνάγνωθι. καὶ ἀνείμη Δωριεῖ βουκόλος..

Τέλος τοῦ δευτέρου τῶν Ἰσθμίων εἴδους.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΤΡΙΤΟΥ ΤΩΝ ΙΣΘΜΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ τρίτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ἐστὶ δέκα. Τὸ πρῶτον, τροχαϊκὸν, δίμετρον ἀκατάληκτον. Τὸ δεύτερον, τὸ αὐτό. Τὸ τρίτον, τροχαϊκὸν ἐπίτριτον. Τὸ τέταρτον, ἀνακλώμενον Ἰωνικὸν, δίμετρον ἀκατάληκτον. Τὸ πέμπτον, ἐγκωμιολογικόν. Τὸ ἕκτον, τὸ αὐτό. Τὸ ἕβδομον, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ὄγδοον, ἑφθημιμερὲς δακτυλικόν. Τὸ ἔννατον, δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ δέκατον, τὸ αὐτό.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η ἐπῳδὸς κώλων ἐστὶν ἕνδεκα. Τὸ πρῶτον προσοδιακὸν, δωδεκάσημον. Τὸ δεύτερον, μονόμετρον Ἰωνικὸν, ἢ ἀναπαιστικόν. Τὸ τρίτον, δίμετρον δακτυλικὸν ἀκατάληκτον. Τὸ τέταρτον, Εὐριπίδειον. Τὸ πέμπτον, ὅμοιον τῷ, Τίς σὰς παρῄειρε φρένας. Τὸ ἕκτον, ὅμοιον τῷ, Βρασμονίδου χαρίλας. Τὸ ἕβδομον, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ὄγδοον Εὐριπίδειον. Τὸ ἔννατον, προσοδιακὸν δωδεκάσημον. Τὸ δέκατον, Εὐριπίδειον. Τὸ ἑνδέκατον, ἴαμβος.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

Μελίσσῳ, Θηβαίῳ.] Γέγραπται Μελίσσῳ Θηβαίῳ. οὗτος ἐνίκησεν Ἴσθμια καὶ Νέμεα. πρόσκειται δὲ τῇ ᾠδῇ ἵπποις, διὰ τὸ μὴ δηλοῦν τὸν Πίνδαρον τὸ τοῦ ἀγωνίσματος εἶδος, πότερον, κέλητι, ἢ τεθρίππῳ. μόνον δὲ ἱπποδρομίᾳ λέγει ἐστεφανῶσθαι.

Ratio autem metrorum talis eſt.

στροφὴ & ἀντιστροφή.

1.	- ∪ - -	- ∪ - -		
2.	- ∪ - -	- ∪ - -		
3.	- ∪ - -	- ∪ ∪ -		
4.	∪ ∪ - -	- ∪ ∪		
5.	- ∪ ∪ -	∪ ∪ - -	- ∪ - -	
6.	- ∪ ∪ -	∪ ∪ - -	- ∪ - -	
7.	- ∪ - -	- ∪ - -		
8.	- ∪ ∪	- ∪ ∪	- ∪ ∪	-
9.	- ∪ - ∪	- ∪ - ∪		
10.	- ∪ - -	- ∪ - -		

ἐπῳδός.

1.	- - ∪ ∪	- ∪ ∪ -	
2.	- - ∪ ∪	-	
3.	- ∪ ∪	- ∪ ∪	- ∪
4.	- ∪ - ∪	- ∪ -	
5.	- - ∪ -	- - ∪ -	
6.	- - ∪ ∪	- ∪ ∪ -	-
7.	- ∪ - -	- ∪ - -	
8.	- ∪ - -	- ∪ -	
9.	- - ∪ ∪	- ∪ ∪ -	
10.	- ∪ - -	- ∪ -	
11.	- - ∪ -	- - ∪ -	- - ∪ -

ΜΕΛΙΣΣΩ ΘΗΒΑΙΩ, ΙΠΠΟΙΣ.

ΕΙΔΟΣ Γ'.

MELISSO THEBANO, EQUIS.

ODE III.

ARGUMENTUM.

Melissus Thebanus laudatur à Pythia & Isthmia Victoria, à Patris & Matris majoribus Cleonymo & Labdacidis. Item à Divitiis quas cum animi moderatione possidebat.

στροφὴ α'. κώλων ι'.

Εἴ τις ἀνδρῶν εὐτυχάσαις,
Ἢ σὺν εὐδόξοις ἀέθλοις,
Ἢ σθενεῖ πλούτου, κατέχει
Φρασὶν αἰανῆ κόρον,
Ἄξιος εὐλογίαις ἀστῶν μεμίχθαι.
Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται
Ἐκ σέθεν. Ζώει δὲ μάσσων
Ὄλβος ὀπιζομένων· πλαγίαις
Δὲ φρένεσσιν οὐχ ὁμῶς πάν-
τα χρόνον θάλλων ὁμιλεῖ.

ἀντιστροφὴ α'. κώλων ι'.

Εὐκλέων δ' ἔργων ἄποινα.

METAPH.

Si quis hominum felicitatem-nactus,
Aut cum illustribus certaminibus,
Aut vi divitiarum, cohibet
In animo tetram petulantiam;
Dignus *is est* præconia civium adipisci.
O-Jupiter, magnæ autem virtutes mortales se-
Tuo-beneficio. Vivitq; diuturnior [quuntur
Felicitas provide-agentium: perversis
Vero mentibus non simul per-
petuo florens conversatur.

METAPH.

Illustrium vero factorum præmia *sunt*.

PARAPHRASIS.

Quisquis hominum bene fortunatus, celebribus certaminibus inclaruit, & potentia propter amplam divitiarum possessionem pollet: nec tamen istiusmodi bonorum satietate ita turget, ut animo fiat insolenti, dignus est qui apud cives bene audiat, & laudibus decoretur, qualis Melissus istiusmodi virtutibus instructus. Cum autem, ô Jupiter, mortales homines magnis virtutibus à te donentur, æquum est ut eas tibi acceptas ferant, quo diutius illarum beneficio fœlices maneant. Nam eorum qui numen reverentur solet fœlicitas esse diuturnior: contra vero non eodem modo cum impiis, quorum obliquæ sunt mentes, florendo perseverat. Et cum laudes sint præmia rerum præclare gestarum,

NOTÆ.

1 Εὐτυχάσαις leg. Erasm. ad 13 Cent. 3. Chil. 2. Εὐτυχήσαις Edd. Vulg. 3 Κατέχει] Phil. Retinet: Lon. Continet: Erasm. loco laudato. Obtinet. 4 Φρασὶν. Dor. pro φρεσίν. Erasm. leg. φατὶν, redditque, ut aiunt. Ἐαινῆ Brub. & Rom. quod vertit Erasm. Magnificam. Κόρον] Non sonat, Tranquillitatem animi, ut Aret. nec Abundantiam & satietatem rerum seu divitiarum, ut Lon. & Phil. sed Contumeliam & injuriandi studium. Schmid. Et Vulg habet, Petulantiam ex saturitate provenientem. 6 Ζεῦ κ. λ.] Lon. τὸ Ζεῦ connect. cum præcedentibus qu. illa per ἀποστροφὴν ad Jovem fuerint dicta. Frequens vero est Poëtis, post compellationem personæ τὸ ἀλλά, vel δέ, vel γὰρ addere, ut recte ad hunc locum Schmid. 8 Verbum Ὀπίζομαι vertit Paraphr. Revereor, ut sit ἀντίθεσις in πλαγίαις φρένεσσι. 11 Εὐκλεῶν Codd Schmid. tamen credendum, qui Pindarum semper ab εὐκλεὴς declinare, statuit. Lon. & Phil. cum seqq. connectunt hanc sententiam, qu. Syntaxis esset, χρὴ τὸν ἐσλὸν, ὑμνῆσαι ἄποινα ἔργων εὐκλεῶν. Vulg. oportet laudare [virum] fortem [quæ laudationes sunt] præmia illustrium virorum, Duriuscule; unde correxit Port. & reposuit, Factorum. Ἄποινα enim sunt Præmia Pindaro, ut Homero Il. A. λύτρα.

[Εἴ τις ἀνδρῶν εὐτυχήσαις.] ὁ λόγος, εἴ τις εὐτύχησεν ἐν ἀέθλοις, ἢ ἐν πλούτῳ. ὡς τὸ ἐν εὐπραγήμασι δυνάμενος φέρειν κόρον μὴ ἐξυβρίζων, ἄξιός ἐστιν εὐλογεῖσθαι ὑπὸ τῶν πολιτῶν. διατί δὲ, αὐτὸς ἐποίσει. [Ζεῦ μεγάλαι δ' ἀρεταὶ σέθεν ἕπονται.] Ἐκ σέθεν εὐτυχοῦσιν οἱ ἄνθρωποι. καὶ γὰρ οὐ δι' αὐτοὺς, ἀλλὰ διὰ θεῶν πρόνοιαν. ἐξ ὧν αὐτοῖς καὶ μεγάλαι ἀρεταὶ ἕπονται. [Ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων.] ὅτις μὲν ἡ τοῦ μέλλοντος ἐπιστροφὴ, καὶ τὸ μετὰ ταῦτα ἐσομένους. Ὅμηρος. Οὐκ ὄπιδα φρονέοντες. ὁ δὲ λόγος, ζῇ δὲ ἐπὶ πλείονα χρόνον ὁ ὄλβος, καὶ συναυξανόμενος παραμένει, τοῖς ὀπιζομένοις καὶ ἐντρεπομένοις. κομίζονται γὰρ ἀντὶ τῶν πόνων ἐπαίνους, οἱ μὴ ὑπεροπτικοί. τοῖς δὲ σκολιόφροσι καὶ παρανόμοις ἀνθρώποις, οὐχ ὁμοίως ἀκολουθεῖ ὁ ὄλβος. οὐδ' οὐδέποτε ὁμιλήσει τοῖς κακοῖς ἡ θάλλουσα εὐδαιμονία. [Εὐκλεῶν δ' ἔργων ἄποινα.] τῶν δὲ εὐδόξων κατορθωμάτων φησὶν ἀμοιβὴν τοῖς ἀγαθοῖς, προσήκει τὸν ἐγκωμιαστικὸν λόγον παρασχεῖν. χρὴ δὲ τὸν τοιοῦτον ὑμνῆσαι, καὶ μετεωρίσαι ταῖς χάρισιν.

[Ἐσ-

Χρὴ μὲν ὑμνᾶσαι τὸν ἐσλόν.	Oportet *itaque* celebrare *virum* bonum.
Χρὴ δὲ κωμάζοντ' ἀγαναῖς	Oportet vero *etiam* epulum-victoriale-exhi-
Χαρίτεσσι βαστάσαι.	Gratiis extollere. [bentem blandis
Ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ	Est vero & geminorum certaminum Melisso
Μοῖρα, πρὸς εὐφροσύναν τρέψαι γλυ-	Sors ad hilaritatem convertendi dulcem
Ἦτορ, ἐν βάσσαισιν Ἰσθμοῦ [κεῖαν	Cor, *partim* in semitis Isthmi
Δεξαμένῳ στεφάνους, τὰ δὲ κοί-	Adepto coronas, partim in ca-
λᾳ λέοντος ἐν βαθυστέρ-	vo Leonis pectoro-
νου νάπᾳ, κάρυξε Θήβαν	si nemore, proclamavit Thebam
ἐπῳδὸς α'. κώλων ια'.	ΜΕΤΑΦΡ.
Ἱπποδρομίᾳ κρατέων.	Cursu - equestri vincens.
Ἀνδρῶν δ' ἀρετὰν	Virorum vero virtutem
Σύμφυτον οὐ κατελέγχει.	Congenitam non dedecorat.
Ἴστε μὰν Κλεωνύμου	Scitis sane Cleonymi
Δόξαν παλαιὰν ἅρμασι·	Gloriam antiquam curribus *partam*:
Καὶ ματρόθεν Λαβδακίδαισι	Et ex-materna-linea Labdacidis
Σύννομοι, πλούτου διέστι-	Conjuncti, divitias perambu-
χον τετραοριᾶν πόνοις.	larunt quadrigarum laboribus.
Αἰὼν δὲ κυλινδομέναις	Tempus vero *vel Fortuna* revolutis

PARAPHRASIS.

operæ pretium est ut vir strenuus hymno cohonestetur, illumque gratulabundo sermone extollat & evehat, qui choreali carmine illum celebrat. Itaque mihi laudandus est Melissus, qui prospera sorte usus, animum ad dulcem hilaritatem convertit, quando duorum certaminum coronas accepit, alteram quidem in Isthmo Corinthiaco; alteram in Nemea leonis pectorosi ab Hercule occisi nemore: atque ita præconi occasionem præbuit Thebas proclamandi equestris cursus certamine victoriam adeptus: & se à congenita majorum virtute non degenerare, re ipsa comprobavit. Scitis utique ut olim curuli certamine gloriam consequutus est Cleonymus paternus ejus avus. Constat etiam maternum ejus à Labdaco genus quadrigis certasse, quorum crebris victoriis divitias acquisiverunt. Sed illorum tamen variabilis fuit fortuna, perque vices immutata: nec mirum: quandoquidem is rerum humanarum est status, ut ætas, dum volvuntur

NOTÆ.

12 *Ὑμνᾶσαι ἐσλόν*] Ut laudetur vir bonus, non ut laudet, ut ex Syntaxi supra tradita sequeretur. Lon. redd Pro bona re debita. 14 *Χαρίτεσσι ἀγαναῖς*] Animo congratulante, Schmid. *Χαρίτεσι* Rom. & Brub. *τὸ ν ἐφελκυστικὸν* add. Schmid. 17 *Ἐν βάσσαισιν*] Supple, *τὰ μέν*. 18 *Στεφάνους*] Hinc Schmid. colligit, non unam sed plures victorias Isthmicas notari Id vero non apparet. Solet enim Poëta, quando Victorem ornat, in Pluralem numerum delabi. *Τὰ δὲ*] Alii vert. nunc. Quo sensu sequeretur, hymnum hunc non in Isthmiam sed præcipue in Nemeam victoriam scriptum fuisse, ante quam tamen victor Isthmicas duas vel plures retulerit. Schmid. Quod si Nunc, antea suppleant Intt. id vix constabit. 26 Brub. leg. *μακρόθεν*, optime, ut ex *παλαιὰν* in κώλ. priore patet. 27 *Σύννομοι*] Vel Affinitate, vel Gloria, & *ἀρετῇ συμφύτῳ* prout legis vel *ματρόθεν*, vel *μακρόθεν*. 29 Nota sunt infortunia domus Labdacidarum, scil. Laii & OEdipi &c. Ideo hæc subjungit Poëta, ne familiæ infelicitas in heroa redundare videretur. Nam *Tempora mutantur, & nos mutamur ab illis.*

[Ἔστι δὲ καὶ διδύμων ἀέθλων.] ἤτοι διπλῶν ἄθλων καὶ νικῶν τῷ Μελίσσῳ μοῖρα. ὥστε πρὸς εὐφροσύνην γλυκυτάτην τρέψαι αὐτοῦ τὴν ψυχήν. τοῦτο μὲν, ἐν τοῖς βασίμοις τόποις τοῦ Ἰσθμοῦ δεξαμένῳ τοὺς στεφάνους, ἀντὶ τοῦ, νικήσαντι τῷ Ἰσθμῷ. τὰ δὲ ἐστιν ἐν τῇ κοίλῃ καὶ βαθυστέρνῳ νάπῃ τοῦ λέοντος. τουτέστι, τῇ Νεμέᾳ. ἵππων δρόμον νικήσαντι. ἀνεκήρυξε γὰρ Θήβην φησί. τοῦτο οὖν λέγει, ὡς καὶ Ἴσθμια καὶ Νέμεα νενικηκότος αὐτοῦ, ἱπποδρομίᾳ. [Ἴστε μὰν Κλεωνύμου.] γινώσκετε μὲν τὴν περὶ τὰ ἅρματα τοῦ Κλεωνύμου ἀρχαιοτάτην ἀρετήν τε καὶ δόξαν. τούτου δὲ τοῦ Κλεωνύμου, ὡς προγόνου τοῦ Μελίσσου κατὰ πατέρα μέμνηται. ὁ μὲν γὰρ πατὴρ αὐτοῦ, Τελεσιάδας ἐστίν. ἐν δὲ τῇ ἑξῆς ᾠδῇ, καθόλου τοὺς συγγενεῖς αὐτοῦ Κλεωνυμίδας κέκληκε. [Καὶ ματρόθεν Λαβδακίδαισι σύννομος.] ὡς κατὰ μητέρα ἀπὸ Λαβδάκου καὶ Οἰδίποδος τοῦ Κλεωνύμου ὄντος. διό φησι, καὶ μητρόθεν σύννομοι πλούτου. τὸ γὰρ πρὸς μητρὸς τοῦ Μελίσσου καὶ Κλεωνύμου γένος, συνάπτεται τοῖς Λαβδακίδαις, διαπρέψασι κατὰ τὴν ἡνιοχικήν. τὸ δὲ σαφές. τὸ δὲ μητρῷον γένος, εἰς τοὺς Λαβδακίδας ἀνάγονται. καὶ κοινωνοὶ τῆς ἐκείνων ὄντες εὐδοξίας πλοῦτον ἱκανὸν προεκτῶντο· ἅρμασιν ἀγωνιζόμενοι. τὸ γὰρ πλούτου διέστιχον, ἀντὶ τοῦ, διὰ πλούτου ἤρχοντο. τουτέστι, πλοῦτον ἐκτῶντο. [Αἰὼν δὲ κυλινδομέναις ἁμέραις.] ὑποφαίνει διὰ τούτων, ὡς ποικίλαις χρωμένων τέχναις τῶν τοῦ Μελίσσου προγόνων. ὁ γὰρ βίος φησὶν ἐν ταῖς ἡμέραις εἰλούμενος, καὶ

Αμέραις ἄλλ᾽ ἄλλοτ᾽ ἐξάλλαξεν. Ατρωτοί γε μὰν παῖδες Θεῶν.

Diebus alia alias per-vices-attulit. Invulnerabiles utique filii Deorum.

P A R A P H R A S I S.

dierum rotæ, alia aliam, modo in bonum, modo in malum, mutationem advehat : solisque Diis parcat, qui extra fortunæ aleam sunt, nec ejus telis sauciari possunt.

N O T Æ.

31 Ατρωτοι] Schmid. exponit, qu. diceret, Nihil ab humana conditione alienum passi sunt 4 Melissi propinqui. Nec fatum eorum quicquam laudibus ipsius detrahit, de quibus in seq. εἴδει. Potius tamen putandus Poëta ad Homerum respicere, qui παῖδας Ελλήνων & Θεῶν vulnerabiles exhibuit, adeo ut cum Poëta præmisisset, Tempore omnia mutari, se pro more suo hic corrigat, & Deos mutationi non obnoxios esse, subjiciat. Vide Ol. 1, 40. κ. λ. Et Ol. 12.

ἐν τοῖς ἐνιαυτοῖς, ἀλλοίας καὶ ἀλλοίας ἀπογεννῶσι περιστάσεις. ἴσως μὲν οὖν εἰς τὰ ἐπὶ τοῖς Λαβδακίδαις τεθρυλλημένα ἀποβλέπει. ἄμεινον δὲ εἰς τὰ ἐν τῇ ἑξῆς ᾠδῇ λεγόμενα. τέσσαρας γάρ φησιν κατὰ πόλεμον συγγενεῖς τοῦ Μελίσσου τελευτῆσαι.

[Ατρωτοί γε μὰν παῖδες θεῶν.] ἀντὶ τοῦ οἱ θεοί. ὡς καὶ παῖδες Ελλήνων. ὁ δὲ νοῦς. μόνοι θεοὶ οὐκ ἔχουσι μεταβολὴν εἰς κακόν. ἄτρωτοι γὰρ οὗτοι. τὰ δὲ τῶν ἀνθρώπων, σύμπαντα τρωτά φησιν εἶναι.

Τέλος τοῦ γ΄. τῶν Ισθμίων εἴδους.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ, ΚΑΙ ΤΗΣ ΕΠΩΔΟΥ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΕΙΔΟΥΣ.

Τοῦ τετάρτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος. καὶ ἡ ἐπῳδὸς, ταυτὸν μέτρον ἔχει τῷ τρίτῳ.

Hoc εἶδος rationem metricam cum præcedente eandem habet : nisi quod nonum κῶλον στροφῆς καὶ ἀντιστροφῆς in hoc εἴδει habeat duos Epitritos secundos, - υ - - - υ - - cum in præced. habeat duos Ditrochæos - υ - υ - υ - υ Tametsi nullum dubium, si Textus depravatione careret, utrobique consensum inventum iri. Schmid. Et sane hæc diversitas Scholiastæ vix cognita fuit. Neque ea major est, quam quam quod unica longa pro brevi usurpetur, modo Textus esset integer. Ultimarum enim κώλων syllabarum nulla habenda est ratio. Observandum tamen Pæonem tertium pro Ionico à minore usurpari in κώλ. 4. si nostram admittas emendationem ; 45. & 66. & 76. quæ omnia cum quarto loco annumerentur ταῖς στροφαῖς & ἀντιστροφαῖς, non committunt scribæ, ut eos accusare erroris vel negligentiæ possimus. Interim hujus rei immemores Intt. ingenium suum ad Textum depravandum adhibuerunt, sc. in κώλοις 98 & 109. Eadem enim ratione se habet metrum istis in locis. Ex κώλοις 106. & 117. patet permutationem esse Ditrochæorum cum Epitritis secundis.

ΤΩ

ΤΩ ΑΥΤΩ ΜΕΛΙΣΣΩ.

ΕΙΔΟΣ Δ'.

EIDEM MELISSO.

ODE IV.

ARGUMENTUM.

Hoc hymno eundem Meliſſum de integro celebraturus laudat à Cleonymidis majoribus, à ſplendore & antiquitate Patriæ, ab hoſpitilitate, à Juſtitia, à præclaris majorum ſtudiis, à victoriis & ab Orſeæ Aurigæ Induſtria.

ϛροφὴ α'. κώλων ι'.

Ἐστί μοι Θεῶν ἕκατι,
Μυρία παντᾷ κέλευθος
Ὦ Μέλισσ'. Εὐμηχανίαν
Γὰρ ἔφανες Ἰσθμίοις,
Ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν·
Αἷσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ
Σὺν Θεῷ, θνατὸν διέρχον-
ται τὸ βίου τέλος. Ἄλλοτε δ' ἀλ-
λοῖος οὖρος πάντας ἀνθρώ-
πους ἐπαΐσσων ἐλαύνει.

METAPH.

Est mihi Deorum beneficio,
Infinita quoquoverſum via
O Meliſſe. Facilitatem
Enim oſtendiſti *in* Iſthmiis
Veſtras virtutes hymno proſequendi:
Quibus Cleonymidæ florentes ſemper
Cum Deo, mortalem pertranſe-
unt vitæ terminum. Alias autem a-
lius flatus omnes homi-
nes ingruens agitat.

PARAPHRASIS.

Quandoquidem, ô Meliſſe, facilem aditum Iſthmiaca victoria quam adeptus es, mihi patefeciſti, ſuppetit mihi divino Muſarum & Apollinis munere immenſa via, qua me ad tuas, tuorumque majorum laudes conferam, & encomiaſtico carmine celebrem virtutes, quibus aſſiduo Dei beneficio florentes Cleonymi nepotes mortale vitæ curriculum emetiuntur. Inter quod decurrendum ſiquid ſiniſtri experti ſunt, communi hominum fortunæ tribuendum. Nam in omnes homines, citra ullius exceptionem, alias alius ventus ingruens, rerum humanarum ſtatum agitat.

NOTÆ.

1 Ἐςί μοι τοῦ θεοῦ leg. Schmid. 4 Ἔφανας ἐν leg. Schmid. 5 Ὕμνῳ Pindarus fere ſemper pro ἐγκωμίῳ ἐπινικίῳ uſurpat. Proprie aliqui volunt ὕμνον Deorum eſſe. Schmid. 7 Σὺν Θεῷ] Dei auxiliis & beneficiis. Schmid. etiam intell. Juſte & honeſte, legitimis mediis Deo placentibus. Aretius, Ut Deus, vel, æque ac Deus. 8 Ἄλλοτε] Hæc poſſunt intelligi de calamitate quatuor ex hac familia uno die cæſorum, quam poſtea attingit. Schmid. 9 Οὖρος] Ventus quem vela excipiunt, ſive ſecundus ſive adverſus. Comparatur ita noſtra vita Navigationi, quæ modo ſecundo flatu promovetur; modo adverſo impeditur; modo procellis in extrema pericula conjicitur. Schmid.

[Ἐςί μοι θεῶν ἕκατι μυρία.] θεῶν, τῶν μουσῶν, καὶ τοῦ Ἀπόλλωνος. ἡ τῶν θεῶν προνοίᾳ, ἔςι μυρία ὁδὸς εἰς τοὺς ὕμνους. πολλάς φησιν ἔχειν εὐμηχανίας καὶ ἀφορμὰς εἰς τοὺς τῶν Μελίσσου ἐπαίνους, διὰ τὸ νικῆσαι τὰ Ἴσθμια. ὁ δὲ νοῦς. οὕτως. τῶν μουσῶν ἐπιτρεπουσῶν, ἔςι μοι πανταχοῦ, οὐ προσάντης, ἀλλ' εὐμαρὴς ἡ τῶν ὕμνων ὁδὸς ὦ νικηφόρε. τὰ γὰρ Ἴσθμια νικήσας, εὐμηχανίας πεποίηκας τῷ ὕμνῳ, ἀνυμνεῖν τὰς προγονικὰς ὑμῶν ἀρετάς. [Αἷσι Κλεωνυμίδαι.] Κλεωνυμίδας κέκληκε τοὺς προγόνους τοῦ Μελίσσου, ἀπὸ προγόνου τινὸς Κλεωνύμου. τροπικῶς δὲ τὰ περὶ τῆς τύχης συμπτώματα οὕτω φησί. προεῖπον δὲ ὡς τῆς βασιλείας ἐξέπεσον ποτέ. ὁ δὲ νοῦς. αἷς τῶν ἀγωνιστικῶν ἀρετῶν οἱ σοὶ πρόγονοι διηνεκῶς λάμποντες εὐδαιμονίᾳ τύχης, τὸ θνητὸν διαπορεύονται τοῦ βίου τέλος. [Ἄλλοτε δ' ἀλλοῖος οὖρος.] ὅμοιόν ἐστι τῷ, αἰὼν δὲ κυλινδομέναις ἁμέραις, ἄλλ' ἄλλοτ' ἐξάλλαξε. καὶ γὰρ ἐκ τούτων ἐπιφαίνει τὴν περὶ τὸν οἶκον τοῦ Μελίσσου δυσπραγίαν. ὁ δὲ νοῦς, οὕτως. ἄλλοτε ἀλλοῖος καὶ οὐχ ὁ αὐτὸς περὶ τῆς τύχης ἄνεμος ἐπιπνεύσας, πάντας ἀνθρώπους συμφέρεσθαι πράγμασι παρέχει.

[Τοὶ

ἀντιστροφὴ α'. κώλων ι'.

Τοὶ μὲν ὦν Θήβαισι τιμά-
εντες ἀρχᾶθεν λέγονται,
Πρόξενοί τ' ἀμφικτιόνων
Κελαδεννᾶς τ' ὀρφανοὶ
Ὕβριος. Ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται
Μαρτύρια φθιμένων τε φωτῶν
Ἀπλέτου δόξας, ἐπέψαυ-
σαν κατὰ πᾶν τέλος. Ἀνορέαις
Δ', ἐσχάταισιν οἴκοθεν στά-
λαισιν ἅπτονθ' Ἡρακλείαις.

ΜΕΤΑΡΗ.

Illi igitur *Cleonymidæ* Thebis in-pre-
tio-fuiſſe antiquitus memorantur,
Hoſpiteſque circum-habitantium,
Famoſæque expertes [ſpirantur
Contumeliæ. Quotcunq; vero inter homines
Teſtimonia defunctorum virorumque
Immenſæ gloriæ,*ea omnia* attige- [tibus
runt ſecundũ omnẽ perfectionẽ. Strenuita-
Vero, ad-extremas inde-uſque-à domo co-
lumnas pertingunt Herculeas.

ἐπῳδὸς α'. κώλων ια'.

Καὶ μηκέτι μακροτέραν
Σπεύδειν ἀρετάν.
Ἱπποτρόφοι τ' ἐγένοντο,
Χαλκέῳ τ' Ἄρει ἅδον.

ΜΕΤΑΡΗ.

Et *ſane* ne longius extenſam
Affectes virtutem.
Equorumque-altores fuerunt,
Ferreoque Marti placuerunt.

PARAPHRASIS.

Tui autem progenitores ex antiqua Labdaci Thebarum regis familia oriundi Thebis in pretio fuiſſe feruntur. Hi vicinarum regionum peregrinos hoſpitio excipere ſolebant, hi moderato animo viri, à clamoſa ſtreperaque invidia prorſus erant alieni. Quinetiam omni in negotio perfecta virtute adminiſtrato tantam gloriam adepti ſunt, quantam quivis defunctorum & ſuperſtitum virorum, de quorum præclaris factis teſtimonia per homines feruntur. Rebus autem ſtrenue geſtis ita excelluerunt ut ſummum virtutis culmen attigerint: adeo ut quemadmodum nulla via eſt ultra Herculis columnas: ſic non longius in virtute progredi detur, & altiorem ad gradum promoveri. Præterea equorum alturæ ſtudioſi fuerunt, atque ita Marti placuerunt, ut bello præſtantes apparuerint.

NOTÆ.

11 Τιμάεντες] Pro Communi τιμήεντες. Hæc vox ab Homero tribuitur τῷ χρυσῷ· ut idem ſonare apud Pindarum crederes, ac χρύσεος, alibi; quod epitheton ſuo genere excellentia denotat. Unde vix locus ingenio Benedicti, qui, merito ſuſpicari quemvis poſſe, ait; hic legendum eſſe τιμαθέντες pro τιμηθέντες. Nec aliam cauſam illius ſuſpicionis nos aſſignare poſſumus, quam quod Vulg. Verſio hab. Honorati; licet in Paraphraſi nobiſcum conſentiat. 12 Λέγονται] Schmid. vertit, Celebrantur, Schol. imitatus. 13 Πρόξενοι ſunt Hoſpites, qui publico alicujus civitatis nomine hoſpites delegatos accipiunt, ut docet Euſtath. ad Il. Γ. Bened. vero idem eſſe ac ξένοι alias exiſtimat. Schmid etiam eſſe vult, Amici, & Procuratores negotiorum abſentis hoſpitis. Ἀμφικτυόνων Codd. Edimus lect. Schmidii. 14 Κελαδεννᾶς, ſeu κελαδεινῆς Comm. Alii. Bened. exponit, Clamoſus, Streperus. Ol. 13. fere eodem ſenſu dicitur ὕβρις θρασύμυθος. Celebris vero eſt Pind. Lex. q. d. Infamis; quod ſi verum ſit κελαδεινῆς ſignificatum medium hab. Aliter enim pro Claro & Illuſtri ſumitur. Vulg. verſio hab. Tumultuoſæ, cui Schmid. ſubjungit Dicacis, ex ſententia ſcil. Chryſippi, quam apud Schol. videas. 15 Ἄηται] Ab ἄημαι. Verſio Lat. Volitant. 17 Ἀπλέτου] Volunt Grammatici dici pro ἀπλήτου vel ἀπλήστου, Inexplebile. Lonicer. reddens de inacceſſa & difficili virtute videtur legiſſe ἀπλάτου ſed repugnat productio τοῦ α in medio hujus vocis. Heſ. Theog. v. 153. Ἰσχὺς δ' ἄπλατος, κρατερὴ, μεγάλῳ ἐπὶ εἴδει. 20 Ἡρακλίαις leg. Alii. 21 Dehortatur Poëta à præſumptione ultra humanæ ſortis terminum excurrendi, reſpectu perſonarum virtutis ſtudioſarum; & ſimul ne ab ejuſmodi hominibus quicquam ulterius poſtuletur, reſpectu aliorum hominum. Schmid. 24 Rom. & Brub. Editt. hab. ἄδον, quod forte Schol. exponit ἤρκεσαν.

Τοὶ μὲν ὦν Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται.] τουτέστιν, ἄνωθεν ἔτι ἐπίτιμοί εἰσιν οἱ Κλεωνυμίδαι, διὰ τὸ Λαβδακίδαι εἶναι, καὶ προξενίαν παρέχειν τοῖς περιοίκοις. ὁ δὲ νοῦς, οὕτως. οἱ μὲν οὖν σοὶ πρόγονοι, ἄνωθεν καὶ ἐξ ἀρχῆς διαβεβόηνται κατὰ τὰς Θήβας ἐπίτιμοι, καὶ ἔνδοξοι γεγονέναι πάντων τῶν ἐνοικούντων, καὶ ξενισταί. τῆς, τε θορυβώδους ὕβρεως, παντελῶς ὄντες ἀλλότριοι. Χρύσιππος οὖν πιθανῶς τὴν ὕβριν, κελαδεινὴν εἴρηκε, διὰ τὸ λάλους εἶναι τοὺς ὑβριστάς. τὸ δὲ ὀρφανοὶ, οἷον ἐστερημένοι ὕβρεως. οὐκ ὄντες ὑβρισταὶ, ἀλλὰ πᾶν τοὐναντίον, ἥμεροι, καὶ ἐπιεικεῖς. [Ὅσσα δ' ἐπ' ἀνθρώπους.] ὅσα δὲ φέρεται ἐπὶ τοὺς ζῶντας ἀνθρώπους καὶ τεθνηκότας μαρτύρια ἀρετῆς κατὰ πᾶν τέλος, τούτου ἐπιψαῦσαι φησὶ Κλεωνυμίδας. [Ἄλλως.] ὁπόσα δὲ ἐν ἀνθρώποις φέρεται τῶν τετελευτηκότων, καὶ τῶν ζώντων τῆς μεγίστης εὐδοξίας μαρτύρια, ταῦτα οὗτοι ἐν παντὶ πράγματι ἀναδεξάμενοι φαίνονται. ἢ οὕτως. εἴ τις καὶ πρὶν τεθνηκὼς, ἢ νῦν ὢν, ἔσχεν ἐξαίρετόν τι, τοῦτο ἔσχον. [Ἀνορέαις δ' ἐσχάταισι.] ταῖς δ' ἀρεταῖς αὐτῶν ἀπὸ τῶν Θηβῶν μέχρις Ἡρακλείων στηλῶν, τὸ τέλος διήκται. οἷον, ἄχρι περάτων κατὰ πάντα τρόπον κεκήρυκται αὐτῶν ἡ ἀνδρεία. ὁ δὲ νοῦς. ταῖς οἰκείαις δὲ ἀρεταῖς, καὶ τῶν Ἡρακλέος ἅπτονται στηλῶν. καὶ προσήκει ταύταις ταῖς ἀρεταῖς μὴ ζητεῖν μείζονα. ὁ δὲ Χρύσιππος οὕτως. αἱ δ' ἀνδρεῖαι ὑμῶν, καὶ ἐν οἴκῳ διαφαίνονται, καὶ μέχρι τῶν Ἡρακλείων στηλῶν διικνοῦνται. στήλαις δὲ εἶπεν, ἀντὶ τοῦ στηλῶν· ὡς καὶ στεφάνοισι θίγον, ἀντὶ τοῦ στεφάνων. [Καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν.] ὑπὲρ Ἡρακλέους φησὶ στήλας μὴ δύνασθαι τὴν ἀρετὴν πέμψαι. [Ἱπποτρόφοι τ' ἐγένοντο.] καὶ περὶ ἱπποτροφίαν εἶχον. καὶ ἤρκεσαν τῷ Ἄρει, ἢ ἤρεσκον, ὃ καὶ κρεῖττον. καὶ πολέμων τουτέστιν ἦσαν ἔμπειροι. ὃ ἐστι πολεμικοί.

[Ἀλλ'

Αλλ' ἁμέρᾳ γὰρ ἐν μιᾷ,
Τραχεῖα νιφὰς πολέμοιο
Τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν.
Νῦν δ' αὖ μετὰ χειμέριον
Ποικίλων μηνῶν ζόφον,
Χθὼν ἅτε, φοινικίοισιν ἄνθησεν ῥόδοις

στροφὴ ε'. κῶλον ι'.

Δαιμόνων βουλαῖς. Ο κινητὴρ δὲ γᾶς, Ογχηστὸν οἰκέων,
Καὶ γέφυραν ποντιάδα
Πρὸ Κορίνθου τειχέων,
Τόνδε πορὼν γενεᾷ θαυμαστὸν ὕμνον,
Εκ λεχέων ἀνάγει φάμαν παλαιὰν
Ευκλεῶν ἔργων. Εν ὕπνῳ
Γὰρ πέσεν. Αλλ' ἀνεγειρομένα,
Χρῶτα λάμπει, Αωσφόρος θαητὸς ὡς ἄστροις ἐν ἄλλοις.

Sed die enim in una,
Asper nimbus belli
Quatuor viris orbavit beatam domum.
Nunc vero post hybernam
Inconstantium mensium caliginem,
Tellus velut, puniceis floruerunt rosis,

METAPH.

Deorum consiliis. Quassator autem terræ, Onchestum inhabitans,
Et pontem marinum
Ante Corinthi muros,
Huncce largitus *ipsorum* generi mirificum [hymnum,
Ex lectis reducit famam antiquam
Gloriosorum operum. Dormiens
Enim prociderat. Sed *nunc* excitata,
Corpore fulget, Lucifer conspicuus & *admirandus* ceu astra inter cætera.

PARAPHRASIS.

Sed enim non omnes in eo fœlici eventu usi sunt, cum uno die belli tempestas, nivis confertim cadentis instar aspera, beatam illam domum quatuor viris orbarit. Nunc autem vice versa post hybernam hanc variabilium mensium caliginem, hoc est, post tristem illam calamitatem ver puniceis rosis lætum ortum est, hoc est, lætitiæ suppeditata est materia ob victoriam Isthmicam Melissi, divino consilio: siquidem Neptunus qui terram tridente concutit, Onchestumque incolit, sacrumque Isthmi Corinthiaci templum quod ante Corinthi mœnia extructum est, Cleonymidarum illorum proli, videlicet Melisso, admirandam victoriam Isthmicam dedit, ob quam laudatorius hic hymnus illi contexitur: & eadem opera occasionem præbuit antiquam gloriosorum illius familiæ factorum famam obsopitam & jacentem è lecto educendi: cujus nunc excitatæ fulgor talis est inter homines, qualis luciferi inter reliqua astra conspicui.

NOTÆ.

25 Schmid. leg. γάρ τ' ἐν μιᾷ ex conjectura. 26 Νιφὰς πολέμοιο] Illustris Comparatio belli cum νιφάδι, seu nivosa tempestate, cujus quanta vis sit, & quantum hominibus noceat, norunt, qui prope Alpes habitant. Ex tenui originem capit, currendo ita excrescit, ut saxa & Arbores secum trahat, domos evertat, jumenta, homines, quicquid corripuerit, implicet ac perdat. Ea est belli facies, ut bonos cum malis rapiat & promiscue perdat omnes. Aretius. 30 Ποικίλων] Versio vulg. Mutabilium. Schmid. Inconstantium, ob tempestates jam niveas, jam grandineas, jam ventosas, jam pluvias, jam promiscuas, quasi variorum, qui & neutrum ex iis quæ Schol. hab. appositum esse vult ad hybernos in specie menses. 31 Rom. & Brub. Editt. hab. χθὼν ἅτε φοινικίοις ἄνθος ῥόδοις, quomodo Erasmus scribit, ad Adag. Sequitur ver hyemem. Sed Brubach. notat in margine aliquos legere φοινικίοισιν ἄνθησαν. Aliæ Editt. φοινικίοις ἄνθησαν Schmid. reponit ὥστε pro ἅτε· 35 Τειχέων] Potest esse Participium à verbo τειχέω, idem quod τειχίζω, Muris cingo, munio, ut ita Neptuni numini tribuatur, quod Isthmus fodi non potuit, quippe Neptuno hunc pontem ita firmiter muniente. Schmid. 38 Εὐκλεῶν hab. omnes præter Schmid. qui εὐκλέων reposuit ideo, quia Pindarus perpetuo ab εὐκλὴς declinat. 40 Χρῶτα] Philipp. & Lon. reddiderunt Colore, qu. legerunt χρῶμα. Alii hab. Commune Εωσφόρος.

[Αλλ' ἁμέρᾳ γάρ.] Χρύσιππος ἀποδέδωκεν, ὅτι δ', συγγενεῖς προπεπτώκασιν ἐν μιᾷ ἡμέρᾳ κατὰ πόλεμον αὐτῶν. καὶ τοῦτο λέγει λελυπηκέναι τὸν οἶκον. ὁ δὲ νοῦς. ἀλλ' ἐν μιᾷ ἡμέρᾳ τοῦ πολέμου τραχύτατος χειμὼν τὴν μακαριωτάτην ἑστίαν τεσσάρων ἀνδρῶν ἔρημον ἐποίησε. [Νῦν δ' αὖ.] νῦν δέ φησι καθάπερ ἐκ χειμῶνος, ἔαρ καθέστηκεν αὐτῷ νενικηκότι. ὥσπερ ἐαρίζουσα γῆ ἐκ χειμῶνος ἐκδίδωσι τὰ ῥόδα. οὕτω ἐξ ὑπαρχῆς αὐτοῖς ὁ οἶκος. Χρύσιππος δὲ, μετ' ἐκείνην τὴν ἀτυχίαν καὶ τὸν χειμῶνα λυπηθῆναι, ἀλληγορεῖ ἐπὶ τοῦ βίου. εἰς ἔαρ μετέβαλε φησὶν ἡ οἰκία Μελίσσου. τὸ γὰρ ποικίλων μηνῶν, ἤτοι καθὸ ποικίλα ἐν τῷ χρόνῳ γίνεται, ἤτοι ποικίλων τῶν καρπῶν. καθ' οὓς ὅλη ἡ γῆ ποικίλη γίνεται τῇ τῶν φυτῶν ἐξανθήσει. ὅπερ ἄμεινον. [Ο κινητὴρ δὲ γᾶς.] ὁ Ποσειδῶν. καὶ γέλοιον περὶ τὸ ἐνοσίγαιος. [Ογχηστὸν οἰκέων.] ἱερὸν γὰρ τοῦ θεοῦ τὸ χωρίον. ὡς καὶ Ομηρός φησι. γέφυραν δὲ Ποντιάδα τὸν Ισθμὸν ἔφη, διὰ τὸ ἑκατέρωθεν θάλασσαν εἶναι, καὶ τὸ διατείνουσαν ζώνην, γέφυραν ἐοικέναι. τὸ δὲ σαφὲς, οὕτως. ὁ δὲ τῆς γῆς κινητὴρ Ποσειδῶν, ὁ τὸν Ογχηστὸν οἰκῶν, καὶ τὴν θαλασσίαν γέφυραν τὴν πρὸ τῶν τειχῶν τῆς Κορίνθου. τοῦτον ἐπὶ τῇ νίκῃ χαρισάμενος τὸν ὕμνον τῷ τοῦ Μελίσσου γένει, ἐκ τῶν κοιτῶν ἀσθενήσασαν καὶ νοσηλευομένην πάλιν αὐτῶν τὴν παλαιὰν ἀναρρώννυσι δόξαν. ἣν γὰρ ἀφυπνώσασα καὶ ἀφανὴς γενομένη. [Αλλως.] ὁ θεὸς αὐτῶν τὴν καθυπνωκυίαν φήμην ἀνεγείρει καὶ ἀνανεοῦται. παρέσουν ἐν ταῖς δυστυχίαις, καὶ ὁ πλοῦτος ἠλαττώθη. καὶ ἡ ἱππικὴ ἐσιγήθη. νῦν δὲ τῆς νίκης ἐπέτυχεν. [Αλλ' ἀνεγειρομένα, χρῶτα λάμπει.] ἡ προειρημένη φησὶ φήμη ἀνεγειρομένη, λάμπει. καὶ οὕτως ὡς ὁ ἑωσφόρος συγκρινόμενος τοῖς ἄλλοις ἄστροις, διὰ τὴν τοῦ Μελίσσου νίκην. τῷ αὐτῷ τρόπῳ καὶ Ευριπίδης κέχρηται.

ἀντιστροφὴ β'. κῶλον ι'.

Ἅτε κ' ἐν γουνοῖς Ἀθανᾶν
Ἅρμα κηρύξαισα νικᾶν,
Ἐν τ' Ἀδραστείοις ἀέθλοις
Σικυῶνος, ὤπασεν
Τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδᾶν.
Οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον
Καμπύλον δίφρον· Πανελλά-
νεσσι δ' ἐριζόμενοι, δαπάνᾳ
Χαῖρον ἵππων. Τῶν ἀπειρά-
των γὰρ ἄγνωστοι σιωπαί.

ἐπῳδὸς β'. κῶλον ια'.

Ἔστιν δ' ἀφάνεια τύχας
Καὶ μαρναμένων,
Πρὶν τέλος ἄκρον ἱκέσθαι.

Metaph.

Quæ & in fertili-solo Athenarum
Currum quum-promulgasset vicisse,
Inque Adrasteis certaminibus
Sicyonis, exhibuit
Talia ejus seculi *Poëtarum* folia cantionum.
Neq; à-conventibus communibus abstinuerunt
Incurvum currum : sed cum-univer-
sis-Græcis certantes, sumptu
Gavisi-sunt equorum. Inexpertorum
Enim in-notitiam-non-venientia silentia *sunt*.

Metaph.

Est vero incertitudo Fortunæ
Etiam certamina - subeuntium,
Priusquam finis extremus adveniat.

Paraphrasis.

Quæque Melisse, cum tui majores Eleusine fertili solo Atticæ, Eleusinia, & Sicyone Pythia ab Adrasto instituta certamina curru vicissent, illorum laudes promulgavit, authorque fuit, ut quemadmodum tu nunc à me, sic ab illius temporis poëtis, inscripto foliis carmine laudarentur. Neque non hi communibus in Græciæ celebritatibus, scilicet Olympiis, Pythiis, curruli certamine fortes se præbuerunt, quando cum quibuslibet Græcis, qui ex tota Græcia certatum venerant, congredi non dubitarunt, & in comparandis equis sumptus facere gavisi sunt. Quod ni virtute & factis insignes fuissent, nulliusque rei præclaræ periculum fecissent, chartæ illos silerent, & in notitiam non venissent. Quod si qui viri præclari non fiunt illustres, sed obscuri manent, istud ob fortunam accidit, quæ antequam adveniat victoria, quo, ut ad ultimum finem, respiciunt decertantes,

Notæ.

42 Γυνοῖς] vel γονοῖς, Locis fœcundis. Athenæ alibi κρανααὶ propter solum petricosum, quod tamen fertile potuit esse quorundam fructuum, ut Olivarum & simil. vel ex Schmidii sententia referas ad quosdam tractus. circa Eleusinem Cereri sacram, & alios. 45 Σικυῶνος ὤπασε, Alii, ubi -νος produci debet. Schol post ὤπασε puncto distinguit, ut & Rom. & Brub. Edd. Schmid. vero ita ordinat. φάμα ἀγγελομένα, ἐν Ἀθήναις καὶ Σικυῶνι ὤπασε τοιάδε φύλλ' ἀοιδᾶν τῶν τότ' ἐόντων, q. d. Præbuit Cleonymidis Fama talia carmina, qualia tibi nota sunt, & vulgo circumferuntur, vel qualia ego jam tibi scribo. 46 Φύλλα ἀοιδᾶν sunt ipsa carmina foliis inscripta.

Ἰσθοῖσ' ἀϊδνοῦς συμφορὰν πολλῶ χρόνον, νῦν ὄμμ' ἐγείρει. ὁ δὲ νοῦς. ἀλλὰ πάλιν ἀνασᾶσα καὶ διαφανὴς γενομένη, οὕτω τὴν χρῶτα λάμπει, ὥσπερ ὁ ἑωσφόρος ἐν τοῖς ἄλλοις ἄστροις ἐκδηλότερός ἐστιν. [Ἅτε κεὶν γουνοῖς Ἀθανᾶν.] ἥτις φήμη καὶ δόξα ἐν Ἀθήναις καὶ Σικυῶνι κατὰ τὸν Ἀδράστου ἀγῶνα τὰ τότε ἅρματα κηρύξασα, τὴν νίκην ἐνεχείρισεν. [Ἄλλως.] ἡ φήμη φησὶν ἡ προειρημένη νικᾶν κηρύξασα τὸ ἅρμα ὑμῶν ἐν Ἀθήναις, καὶ ἐν Σικυῶνι ἐδωρήσατο ὑμῖν τοιάδε, ὁποῖα ἐγὼ νῦν γράφω εἰς σὲ διὰ τῶν ὕμνων, τοιαῦτα ἔσχον καὶ οἱ πρόγονοί σου παρὰ τῶν τότε γεγονότων ποιητῶν. ὡς καὶ εἰς ἐκείνους γεγραφότων τινῶν ἐπινίκους. τὸ δὲ ἑξῆς, τοιαῦτα τῶν ὑμετέρων προγόνων τὰ ἐγκώμια τὰ ἐπὶ τοῖς στεφάνοις καὶ ἀγῶσι. ἔνιοι δὲ, τοιαύτας ἔσχον καὶ οἱ πρόγονοί σου παρὰ τῶν τότε ποιητῶν ᾠδάς. τοῦτο δὲ Χρύσιππός φησιν, ὡς ἄλλων ἐγκωμιακότων ποιητῶν κατὰ τὸν καιρὸν τὸν πάλαι τὰς νίκας. [Οὐδὲ παναγυρείων ξυνᾶν ἀπεῖχον.] οὐδὲ τὸ κοινόν φησι πανηγύρεων, τὸ ἐπικαμπὲς αὐτῶν ἅρμα ἀπεχώριζον. ὃ δέ φησι, τοιοῦτόν ἐστιν. ὅτι οὕτω φιλαγωνιστικοὶ καὶ φιλόδοξοι ἦσαν, ὥστε καὶ ἐν τοῖς ἀγῶσι τῶν κοινῶν πανηγύρεων ἀγωνίζεσθαι. καὶ πᾶσι τοῖς Ἕλλησι διὰ ἱπποτροφίας ἐρίζοντες, ἔχαιρον. τῶν γὰρ μὴ καθιέντων αὐτοὺς εἰς ἅμιλλαν καὶ πειρωμένων ἀγῶνος, οὐδεμία μνήμη ἐστίν. ὁ ἐπισιωπᾶται ὁ βίος τῶν μὴ πονούντων ἐν τοῖς ἀγῶσιν ἀνδρῶν. Χρύσιππος δὲ, σεσημείωται φησὶν ὁ τύπος διὰ τὴν φράσιν. τὸ γὰρ ἐναντίον βούλεται εἰπεῖν. τῶν ἀπειράτων καὶ ἀπράκτων ἄγνωστοί εἰσιν αἱ λαλιαί, ὅ ἐστιν, ἄντις μὴ πειραθῇ πραγμάτων καὶ παθῶν, οὗτος ἀκλεὴς γίνεται. γελοίως. [Ἐστι δ' ἀφάνεια τύχας.] τὸ ἑξῆς, οὕτω ἐστὶ δὲ τὸ τῆς ἐκβάσεως τέλος τῶν μαχομένων ἀτελὲς, πρὶν ἐπὶ τὸ τέλος καὶ ἄκρον τῆς νίκης παραγενέσθαι, ὅ ἐστι, νικῆσαι. πολλάκις γὰρ τούτων τε κἀκείνων ἡ τύχη δίδωσι τὴν νίκην καὶ ἧτταν. ὁ δὲ νοῦς αὐτοῦ πρὸς τοῦτο παρείληπται. οἱ σοὶ πρόγονοι διηνεκῶς διετέλουν ἱπποτροφοῦντες. καί τοι, τῆς κατὰ τὸν ἀγῶνα τύχης ἄδηλον ἐχούσης τὴν ἔκβασιν· ὅπερ καὶ ἐν ἄλλοις· πρὸς ἔργον κινδυνώδει κεχαλασμένον. [Ἄλλως.] καὶ αὐτοῖς τοῖς ἀγωνιζομένοις. ὃ δή ποτε ἀγώνισμα, ἀφανές ἐστι καὶ ἀπροόρατον, τὸ ἐκ τῆς τύχης ἀποβησόμενον πρινὴ τὸ τέλος γενέσθαι. πότερον, νικήσουσιν ἢ οὔ. τὸ δὲ σαφὲς οὕτω. ἔστι δὲ καὶ τῶν μετὰ πόλεμον μαχομένων τῆς τύχης ἀφανὴς ἡ ἔκβασις, πρὶν τὸ τέλος περιγενέσθαι. ἄλλα γὰρ ἄλλοις ἡ τύχη δίδωσι. καὶ πολλάκις τὸν κρείττονα τῇ τύχῃ ἀπὸ τῶν χειρόνων, τοῦ δέοντος ἀποσφαλῆναι πεποίηκε. τὸ δὲ χαλαμάρψαι, ἀντὶ τοῦ καταμαρφθῆναι. προσεπισφραγίζεται οὖν διὰ τούτων, ὅτι πολλάκις καὶ τύχη τὸν κρείττονα, ὑπὸ τοῦ ἥττονος ἐποίησε καταγωνισθῆναι τέχνῃ. τὸ δὲ τέχνῃ νῦν ἀντὶ τοῦ δόλῳ καὶ μηχανῇ τινί.

Τῶνδε γὰρ δίδοι τέλος.	Horum enim dat eventum *Fortuna*.
Καὶ κρέσσον' ἀνδρῶν χειρόνων	Et præstantiorem virorum deteriorum
Εσφαλλε τέχνα καταμάρψαι-	Supplantare-solet ars corripi-
σ'. Ιστε μὰν Αἴαντος ἀλκὰν	ens. Nostis sane Ajacis robur
Φοίνιον, τὰν ὀψίᾳ	Martium, quod sera
Εν νυκτὶ ταμὼν περὶ ᾧ	In nocte postquam-dissecuit, suo *confossus*
Φασγάνῳ, μομφὰν ἔχει	Ense, reprehensionem exhibuit [sunt.
Παίδεσσιν Ελλάνων, ὅσοι Τρῴανδ' ἔβαν.	Filiis Græcorũ,quotquot ad-Trojam profecti-
Στροφὴ γ'. κώλων ι'.	Μετάφρ.
Αλλ' Ομηρός τοι τετίμα-	At Homerus utique *eum* honora-
κε δι' ἀνθρώπων, ὃς αὐτοῦ	vit per homines, qui ejus

PARAPHRASIS.

quibus dat quem vult eventum, obscuram incertamque sese præbet. Præterea quia quandoque etiam viri deteriores præstantiorem dolo correptum supplantant. Notissimum est vobis Ajacis Telamonii viri fortis & bellicosi exemplum, cui quantumvis tali, deterior Ulysses à Græcis est antepositus, quum judicarunt utri danda essent Achillis arma. Sed cum impatienter ferret Ajax obscuratam ab illis suæ strenuitatis gloriam, subque diei exortum præ doloris impatientia suo se gladio confodisset, hac actione Græcos quotquot militatum ad Troiam venerant, falsi judicii accusavit. Quanquam autem præmio merito virtutis defraudatus est Ajax, quum Ulyssi male præstantiori habito Græci Achillis arma dederunt: ipsum tamen Homerus utique per homines toto terrarum orbe dispersos, carmine suo reddidit honoratissimum,

NOTÆ.

55 Aliqui legunt τῶν τι γάρ, & ἐλλειπτικῶς pro τῶν τι καὶ τῶν, quod & Aldus habet, positum volunt. 57 Τέχνα Casu sexto accipit Schol. ideoque leg. καταμάρψαι. 59 Φοίνιον] Cruentum, Versio vulgata. 60 Ταμὼν] Faciens, Phil. qu. leg. καμών. 61 Μομφὰν ἔχει παίδεσσιν Ελλάνων] Philippus secutus interpretationem Chrysippi apud Schol. reddidit, Probrum reliquit omnibus Græcis. Lon. Ingentem luctum reliquit. Alii vero Schol. secuti exponunt, Culpam sustinet, & ut Portus explicationis loco addit, Ob hujusmodi facinus vituperatur ab omnibus filiis Græcorum. Μομφὰν ἔχειν τινὶ est reprehendere aliquem, & redarguere, succensere alicui, reprehensionem alicui dare. Schmid. Eurip. in Phœniss. v. 780. Ωσί μοι μομφὰς ἔχειν, i. e. Ut mihi succenseat. Sic in similibus, συγγνώμην ἔχειν τινὶ, Thucyd. l. 2. Οὔτε τῷ πολεμίῳ ἀγανάκτησιν ἔχειν, οὐδὲ τῷ ὑπηκόῳ κατάμεμψιν, Neque hosti indignari, neque subditum reprehendere.

[Ιστε μὰν Αἴαντος ἀλκάν.] τὸ, ταμὼν, πρὸς τὴν ἀλκὴν ληπτέον. τὸ δὲ ὀψίᾳ ἐν νυκτὶ, πολλαχῶς νοεῖται. ἢ γὰρ τὴν ὀψίαν τῆς ἡμέρας. ὅτε γὰρ ὀψὲ τῆς ἡμέρας ἐστὶ, τότε ἀρχὴ τῆς νυκτὸς ἀφ' ἑσπέρας· ἢ κατὰ τὸ ὀψὲ τῆς νυκτὸς, οἷον τὸ μεσονύκτιον. μετὰ τὴν ὀψίαν ὥραν τῆς νυκτός. ὥστε ὅλον ὅμοιον εἶναι, τῷ, ἐν νυκτὸς ἀμολγῷ. ὅτε ἀμέλγουσι περὶ ἑσπέρας. ἢ τὸ πρὸς ἕω, ὅτε ἐστὶ τῆς νυκτὸς ὀψὲ περὶ τοῦ ὄρθρου. τοῖς δὲ τὸν ὄρθρον ἀκούουσι, καὶ τὰ ἀπὸ τῆς ἱστορίας συνᾴδει. ὁ γὰρ τὴν Αἰθιοπίδα γράφων, περὶ τὸν ὄρθρον φησὶ τὸν Αἴαντα ἑαυτὸν ἀνελεῖν. Απορήσειε δ' ἄν τις πρὸς τί βλέπων, τὸν Αἴαντα παρεισήκται, εἰ μή ἐστιν ὅτι βραχὺς ὢν ὁ Μέλισσος, τῶν ἀλκιμωτέρων τὸ σῶμα, μειζόνων τέχνῃ περιῆν, ὅπερ καὶ ὁ Αἴας ὑπὸ Οδυσσέως ἔπαθεν ἐν τῇ κρίσει τῶν ἄθλων καὶ ὅπλων. ἀφαιρηθεὶς τούτων, καὶ νικηθεὶς ὑπὸ τοῦ δολίου. ὁ δὲ Χρύσιππος, αἰνιγματωδῶς φησὶ παρεσῆχθαι τὴν περὶ Αἴαντος ἱστορίαν. ἄδηλον γὰρ πότερον εἰς τὴν πάλιν τείνει τὴν γενομένην παρὰ τοῦ νικηφόρου· ὅτε ἐνίκησε δόλῳ, ἢ εἰς τὰ περὶ τὴν κρίσιν τῶν ὅπλων. ἄμεινον δέ φησιν ὅτι, καὶ ὡς ὁ Αἴας μείζων ὢν κατὰ τὸν ἀγῶνα βασάζων τὸν Οδυσσέα δόλῳ παρ' ἑαυτοῦ ἐλείφθη, οὕτω καὶ ὁ Μέλισσος μείζονα ὄντα τὸν ἀνταγωνιστὴν, τῇ τέχνῃ ἐνίκησε. Χρύσιππος οὕτω φησίν. ἴστε Αἴαντα· ὃς μέγας ὢν, ὄνειδος τοῖς Ελλησι περιεποίησε, τὴν κακοκρισίαν αὐτῶν φανερὰν ποιήσας. ἐπεὶ προσεχαρίσατο τῇ Αθηνᾷ. ὁ δὲ νοῦς. γινώσκετε μὲν τὴν τοῦ Αἴαντος δύναμιν τὴν φονίαν, καὶ πολεμικήν. ἣν ἐν ὀψίᾳ περὶ τῷ ἑαυτοῦ ξίφει διατεμὼν καὶ διαφθείρας, οὐκ ὀλίγην μέμψιν ἔχει ἐν τοῖς Ελλήνων παισὶ τοῖς ἐν Τροίᾳ διαβεβηκόσιν. [Αλλ' Ομηρός τοι τετίμακε.] Χρύσιππος ἀμφίβολον φησὶ τοῦτο εἶναι. πότερον, ἐπ' Αἴαντος ἢ ἐπὶ Οδυσσέως λέγει. πάντοτε γὰρ ὁ Πίνδαρος τὸν Αἴαντα θαυμάζει. νῦν δὲ ὁ λόγος συνᾴδει Οδυσσεῖ. καὶ γὰρ τὸ λέγειν ὃς αὐτοῦ πᾶσαν ὀρθώσας ἀρετὴν κατὰ ῥάβδον ἔφρασεν, ἐπ' Οδυσσέως συμφωνεῖ. ἐπεὶ καὶ μᾶλλον τῆς Ιλιάδος ἡ Οδύσσεια ῥαψῳδεῖται. καὶ ἡ Ιλιὰς μὲν, πολλῶν κοινὸν ἐγκωμίων. ἡ Οδύσσεια δὲ, μόνου Οδυσσέως. καὶ οὐκ ἂν θέλων συστῆσαι τὸν κρείττονα ὑπὸ τοῦ ἥττονος ἐλαττούμενον, διὰ τύχην καὶ τέχνην, τὸν Αἴαντα ἐγκωμιαζόμενον εἰσήγαγεν ὑφ' Ομήρου. τοῦτο γὰρ ἔλεγχον εἶχε τοῦ ἐγκωμιαζομένου ὑπ' αὐτοῦ. κατὰ δὲ τούτους ὁ μὲν ἀλλὰ κείμενος, ἔσται διασταλτικός. ὁ δὲ λόγος, καίπερ ἐλάττονα τὸν Οδυσσέα γενόμενον, Ομηρος τετίμηκε. γελοίως. δύναται γὰρ μένειν τὸ αὐτὸ ἄλογον. καὶ γὰρ ταῦτα λέγων, ἐπὶ τῆς ἰδίας μένει κρίσεως. καὶ ἐγκαλῶν μὲν ἔσται τῷ ποιητῇ, Οδυσσέα δὲ ψέγων. [Αλλως.] παρέλιπε τίνα τετίμηκεν Ομηρος. νοητέον δὲ, ὅτι τὸν Οδυσσέα. ὁ γὰρ ἀλλὰ, χωρισμὸν ἔχει, παραπλακεὶς τῷ λόγῳ. ἀλλ' ὅμως χείρονα ὄντα τὸν Οδυσσέα, τετίμηκεν Ομηρος. ὁ δὲ νοῦς, οὕτως. ἀλλ' Ομηρος τῇ ἑαυτοῦ ποιήσει, τιμιώτατον ἀπειργάσατο τὸν Αἴαντα. ὅστις αὐτοῦ πᾶσαν ἀρετὴν τοῖς ἐγκωμίοις ἀνορθώσας, κατὰ ῥαψῳδίαν, ἐξέφρασε θείων ἐπῶν συνθέσει, καὶ δέδωκε τοῖς μετὰ ταῦτα, ἐν παιδιαῖς, καὶ θυμηδίαις, ᾄδειν τὴν Αἴαντος ἀρετήν. τὸ δὲ κατὰ ῥάβδον, οἱ μὲν, ἀντὶ τοῦ κατὰ ῥαψῳδίαν. οἷον οὐκ ἐάσας χαμαὶ πεσεῖν, ἀνέστησεν ὡς ἄγαλμα, καὶ κατὰ ῥάβδον ἔφρασε. τουτέστιν ἐρραψῴδησεν. οἱ δὲ, οὐκ ἀκούουσι νῦν κατὰ ῥάβδον, ἐπεὶ μετὰ βακτηρίας οἱ ῥαψῳδοὶ τὰ ποιήματα ἀπήγγελον, ἀλλὰ κατὰ ῥάβδον, ἀντὶ τοῦ, κατὰ στίχον. τὸ δὲ ἀθύρειν, ἀντὶ τοῦ μέλπειν καὶ ὑμνεῖν. ἢ οὕτω. τοῖς μετὰ ταῦτα ᾄδειν, ὅτι τῇ θυμηδίᾳ καὶ ἡ ᾠδὴ ἕπεται. ἢ λοιποῖς ἀθύρειν, ἐπεσομένοις ἀνδράσι μέλπειν. ἢ μετὰ τοὺς εἰς θεοὺς ὕμνους. καὶ γὰρ ἐν ἑτέρῳ φησὶν, ὅθενπερ καὶ Ομηρίδαι τὰ πολλ' ἀοιδαί.

Πᾶσαν ὀρθώσαις ἀρετὰν,
Κατὰ ῥάβδον ἔφρασεν
Θεσπεσίων ἐπέων, λοιποῖς ἀθύρειν.
Τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει,
Εἴ τις εὖ εἴπῃ τι· καὶ πάγ-
καρπον ἐπὶ χθόνα, καὶ διὰ πόν-
τον βέβακεν ἐργμάτων ἀ-
κτὶς καλῶν ἄσβεστος αἰεί.

ἀντιστροφὴ γ΄. κώλων ι΄.

Προφρόνων Μοισᾶν τύχοιμεν,
Κεῖνον ἅψαι πυρσὸν ὕμνων
Καὶ Μελίσσῳ, παγκρατίου
Στεφάνωμ᾽ ἐπάξιον,
Ερνεϊ Τελεσιάδα. Τόλμα γὰρ εἰκὼς
Θυμὸν ἐριβρεμετᾶν θηρᾶν λεόντων
Εν πόνῳ· μῆτιν δὲ, ἀλώπηξ,
Αἰετοῦ ἅτ᾽ ἀναπιτναμένα

Omnem erigens virtutem,
Per seriem cecinit
Divinorum versuum, posteris ad-ludendum.
Hoc enim immortale sonans procedit,
Si quis bene dixerit aliquid: & o-
mnifrugiferam per terram & per ma-
re incedere-solet factorum ra-
dius bonorum inextinctus semper.

Μεταρη.

Promptas Musas utinam-consequeremur.
Ad-accendendum illam facem hymnorum
Etiam Melisso, pancratio
Coronam condignam,
Germini Telesiadæ. Audaciæ enim similis-est
Animositatē, graviter-frementiū bestiarū Leo-
In labore: prudentiā vero Vulpes, [num,
Aquilæ quæ supina-prolapsa

Paraphrasis.

ipsiusque virtutem quantum in Græcis erat prostratam, erexit, perque divinorum versuum rhapsodias passim memoravit, ut à posteris Homeridis & rhapsodis in lusibus animique delectationibus canerentur. Illa enim poësis quam quis præstabili metro composuit, immortaliter resonans procedit. Imo terram omnium fructuum feracem peragrat, & maria trajicit eximium carmen, cujus beneficio rerum præclare gestarum splendor manet inextinctus. Utinam propensum in me Musarum animum nanciscar, quarum afflatu, eam hymnorum facem splendidam etiam Melisso Telesiadæ filio accendam, quæ sit victoriæ pancratio reportatæ dignum coronamentum. Iis autem animi corporisque est dotibus, ut vincere possit, si certamen illud aggrediatur. Nam feris graviterque frementibus leonibus in labore certaminis sustinendo similis est, quoad animi magnitudinem; quoad consilium vero & prudentiam vulpi, quæ impetum aquilæ

NOTÆ.

65 Ορθώσαις] Lon. Colligens. 66 Κατὰ ῥάβδον ἐπέων] Pari ratione intelligas, qua, ἐπέων θέσιν, καὶ στίχας alibi. Hic Bened. novam vocem comminiscitur contra Codd. fidem, & leg. κατὰ ῥαπτὸν, sc. ἐπέων, Per consutiles versus, ut ipse interpret. quæ expositio an iis placeat qui legerint, quæ Eustath. aliique docent circa vocem ῥάβδον alii viderint. Quoad metricam rationem vide Notas ad init. Odæ. Callimachus. Τὸν ἐπὶ ῥάβδῳ Μῦθον ὑφαινόμενον 67 Αθύρειν] Lon. Celebrando. 71 Βέβακεν] Ultima debet esse longa. Εργμάτων ἀκτὶς καλῶν] Splendor virtutis, Schmid. 74 Κεῖνον ἅψαι πυρσὸν] Conr. Rittersh. ad Oppiani Κυνηγ. sic exponit, Ita per omnes Terras didere famam ejus celebratione hymnorum, sicut celerrime per dispositas φρυκτωρίας (i. e. Custodias in speculis signum datum observantes) πυρσῷ seu face signum datur. Additque esse elegantem Metaphoram à re militari. Lon. Τὸ ἅψαι reddit, Contingere. 75 Παγκρατίου στεφάνωμ᾽] Lon. & Aret. jam reportatam victoriam de Pancratio statuunt; & posterior quidem hanc vult esse speciem victoriæ, cui hic hymnus scriptus sit. 78 Intellige κατὰ ad θυμὸν, & μῆτιν in sequent. Θηρᾶν leg. Alii, & vulg. interpret. Ad venandum. 79 Εν πόνῳ] Vers. vulg. Cum labore. 80 Αναπιτναμένα] Vulpecula robustiores aves captatura humi se prosternit resupina, ac si esset mortua, unguibus & dentibus eas excipiens volantes, quum id minime observant. Aretius.

[Τοῦτο γὰρ ἀθάνατον.] τοῦτο γὰρ τὸ ἐγκώμιον, ἀθάνατον καὶ πολυθρύλλητόν ἐστιν, ὅπερ ἄν τις καλῶς εἴπῃ, ἐπί τε τὴν πολύκαρπον γῆν, καὶ διὰ θαλάσσης διαπορεύεται, τῶν καλῶν ἡ ἄσβεστος ἀκτίς. τουτέστιν ὁ ὕμνος. ἢ οὕτω. τὸ ἐγκώμιον φησίν. ὃ ἂν ῥηθῇ φωνὴν ἔχον, ἕρπει πάντη καὶ πορεύεται. οὐκ ἐφ᾽ ἑνὸς τόπου ἕστηκε. Χρύσιππος ἔφη, αὐτὸ τὸ ποίημα τοῦ Ομήρου ἀθάνατον λέγειν, ἢ τὰς τῶν ἐμπεριεχομένων πράξεις τῷ ποιήματι· [Προφρόνων μοισᾶν.] ἐπεὶ προείρηκε, τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει, ἐπήνεγκεν εὐκτικῶς, γένοιτο καὶ ἡμῖν προφρόνων τῶν μουσῶν τυχεῖν. ὥστε ὑπ᾽ ἐκείνου ἐναυγάσασθαι τὸ πυρός. ἵνα παραπλησίως Ομήρῳ, τὸ μέλος ὑμνήσω. ἢ οὕτως· εἴθε προθύμων τῶν μουσῶν τύχοιμεν, ἐκεῖνον τὸν πυρσόν. τουτέστι, τὸν τοιοῦτον πυρσὸν τῶν ἐγκωμίων ἀναφᾶναι, καὶ τῷ τοῦ Μελίσσου παγκρατίῳ· αὐτὸς γὰρ συνῳδὸς καὶ τῇ τῶν στεφάνων εὐδοξίᾳ, ἐπάξιον αὐτῶν τῶν κατορθωμάτων ὄντα στέφανον. [Ερνεϊ Τελεσιάδα.] οἱ μὲν, οὕτως Μελίσσῳ τῷ Τελεσιάδου βλαστήματι· ὡς ὄντος Τελεσιάδου πατρός· οἱ δὲ ἐν τῷ ἔρνεϊ στίζουσι. καὶ ἐπιφέρουσιν οὕτω. Τελεσιάδα τόλμα γὰρ εἰκώς. ὡς τοῦ Τελεσιάδου ἐναγωνίου προγόνου γενομένου. ὁ δὲ νοῦς. τῷ γὰρ Τελεσιάδῃ τῇ προθυμίᾳ ὅμοιος ὢν, ἐν μὲν τοῖς πόνοις καὶ τοῖς ἀνταγωνισταῖς τοιοῦτος ἦν τὴν τόλμαν, οἷοι οἱ λέοντες ἐν θηρσίν. ἐν δὲ ταῖς μηχαναῖς, τεχνικὸς ὡς ἀλώπηξ. ἥτις καὶ τὴν ἀετῶν τὴν ὁρμὴν καὶ τὸν ῥοῖζον, δολερῶς ἀνακλινομένη, πολλάκις ἀνέκρουσεν. [Αλλως.] οἰκεῖος ὢν τόλμῃ, τὸν τῶν λεόντων θυμὸν ἐν τοῖς πόνοις θηρᾷ. καὶ τῇ μὲν τόλμῃ φησὶν αὐτὸν λέοντι θηρεύοντι ἐοικέναι. κατὰ δὲ τὴν μῆτιν, ἀλώπεκι. ἥτις ἀνακεκλιμένη ὑπτία πρὸς τὸ ἑτοίμως ἀμύνασθαι, ἐπέχει τὴν τοῦ ἀετοῦ ὁρμὴν, ὅταν ἐπιπεσεῖν αὐτὴν βουλόμενος ἁρπάσαι. ἔοικε δὲ διδάσκειν αὐτοῦ τὸ πάλαισμα· ὡς χαμαὶ κειμένους, καὶ τὸν μείζονα τέχνῃ νενικηκότος. καὶ γὰρ ἡ ἀλώπηξ, ὑπτία τοῖς ποσὶν ἀμύνεται. τὰ μὲν συλλαβομένη· τὰ δὲ ἀμύσσουσα.

[Χορ

Ῥόμβον ἴσχει. Χρὴ δὲ πᾶν ἔρδοντ', ἀμαυρῶσαι τὸν ἐχθρόν.

ἐπῳδὸς γ'. κῶλον ια'.

Οὐ γὰρ φύσιν Ὠαριω-
νείαν ἔλαχεν·
Ἀλλ' ὀνοτὸς μὲν ἰδέσθαι,
Συμπεσεῖν δ' αἰχμᾷ βαρύς.
Καί τοι ποτ' Ἀνταίου δόμους
Θηβᾶν ἀπὸ Καδμηϊᾶν, μορ-
φὰν βραχύς, ψυχὰν δ' ἄκαμπτος,
Προσπαλαίσων ἦλθ' ἀνὴρ
Τὰν πυροφόρον Λιβύαν,
Κρανίοις ὄφρα ξένων
Ναὸν Ποσειδάωνος ἐρέφοντα σχέθοι,

Impetum cohibet. Oportet autem quidvis facientem, labefactare hostem.

METAPH.

Non enim staturam Orio-
neam sortitus-est :
Sed contemptibilis quidem aspectu-est,
Ad concurrendum vero *in* certamine gravis.
Et sane ad Antæi domos
Thebis à Cadmeis, statu-
ra *quidem* brevis, animo vero inflexibilis,
Colluctaturus venit vir
In triticiferam Libyam :
Craniis ut hospitum
Templum Neptuni operientem coërceret,

PARAPHRASIS.

resupinata cohibet. Quando autem cum adversario confligendum est, virtute & dolo rem gerere par est, imo quidvis tentandum & moliendum quo vincatur & profligetur. Atque hoc quidem facere possit Melissus, qui quanquam non est procerus ac ingens ut Orion, sed præ illo statura visu contemptibili, hosti tamen cum quo pugnam committeret, facile fiat gravis. Qualis Hercules Alcmenæ filius, vir statura quidem præ gigante brevis, sed animo inflexibili præditus, qui ab antiqua Cadmi ditione Thebis, in frumenti feracem Libyam ad domos Antæi profectus est ut compesceret immanem & crudelem gigantem, hospites occidere solitum, quorum craniis amputatis Neptuni templum operiret.

NOTÆ.

81 Χρὴ δὲ πᾶν ἔρδοντ'] Virgil. *Dolus, an virtus, quis in hoste requirat?* 85 Ὀνοτὸς] Ὀνομαι & ὄνομαι est Vitupero, Reprehendo. Inde ὀνοτὸς, Reprehendendus. 88 Καδμειᾶν Aliqui Codd. Καδμηϊᾶν Alii. Schmidius vero solus Καδμείων. 91 Πυροφόρον] Pyth. 4. vocat καρποφόρον.

[Χρὴ δὲ πᾶν ἔρδοντ'.] προσήκει δέ φησι πᾶσαν ἀνακινοῦντα μηχανὴν, ἄδοξον καταστῆσαι τὸν ἐχθρόν. τοῦτο δὲ λέγει, ὡς τῇ νικηφόρῳ μηχανῇ νικήσαντος. τὸ δὲ ἀμαυρῶσαι, ἐλαττῶσαι ἐστίν. Ἡσίοδος φησί. Ῥεῖα δέ μιν μαυροῦσι θεοί. διὰ δὲ τούτων παρίστησιν, ὅτι κυλιστικὸς ἦν ὁ Μέλισσος. καὶ ἑαυτὸν ἐξυπτιάσας περιεγίνετο. [Οὐ γὰρ φύσιν Ὠαριωνείαν.] τουτέστιν οὐχ ὑπερμεγέθης ἦν, ἀλλὰ τοὐναντίον, μεμπτὸς καὶ εὐτελὴς κατὰ τὴν τοῦ σώματος ὄψιν. συμπεσεῖν δὲ κατὰ τοὺς ἀγῶνας, βαρύτατος. ὑπερμεγέθη γὰρ τὸν Ὠρίωνα ἱστοροῦσιν. [Ἄλλως.] οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν. ὁ γὰρ Ὠρίων, διαβόητος ἐπὶ ἀνδρείᾳ. ὡς καὶ Ὅμηρος Τοὺς δὴ μηκίστους θρέψε ζείδωρος ἄρουρα, Καὶ πολὺ καλλίους μετά γε κλυτὸν Ὠρίωνα. καὶ πάλιν ὁ Πίνδαρος βραχὺν εἰδὼς κατὰ τὸ σῶμα τὸν νικηφόρον, τῇ ἑαυτοῦ τέχνῃ, τὸ ὑπεράγαν εὐσωματεῖν καὶ ἀνδρεῖον εἶναι, βλάβην ὑπαινίττεται. ὅτι δὴ ὁ Ὠρίων τοιοῦτος ὤν, τῶν ὑπὲρ ἑαυτὸν ἐπεθύμησε, καὶ τὴν Ἄρτεμιν ἐπεχείρει βιάζεσθαι. [Καί τοι ποτ' Ἀνταίου.] πάλιν ἑτέραν ἀπολογίαν προστίθησι τὴν κατὰ Ἀνταῖον καὶ Ἡρακλέα. ὁ γὰρ Ἀνταῖος τὴν ἔρημον τῆς Λιβύης οἰκῶν, καὶ τὴν ἐρημίαν ἐφόδιον τῆς ἀπανθρωπίας ἐσχηκὼς, πάλῃ καταγωνιζόμενος τοὺς παριόντας, ἀνῄρει. ὃν ἐπιστὰς Ἡρακλῆς, ἀπέκτεινε. τοῦτο γοῦν φησί. καὶ Ἡρακλῆς μικρὸς ὢν πρὸς σύγκρισιν τοῦ Ἀνταίου, ἦλθεν ἐπ' αὐτὸν, εἶπεν οὐ μάτην. ἀλλ' ἐπεί τινες σύμμετρον εἶναι φασὶ τῷ σώματι. Ἡρόδωρος γοῦν ἐν Οἰδίποδι φησὶ τῶν ἄλλων αὐτὸν προτελεῖν. ὥστε τὸ ὅλον σῶμα, πηχῶν εἶναι τεσσάρων καὶ ποδός. ὁ δὲ νοῦς. καί ποτε εἰς τοὺς τοῦ Ἀνταίου οἴκους ἐκ Θηβῶν, τὴν μὲν μορφὴν καὶ τὸ σῶμα, βραχὺς, τὴν δὲ ψυχὴν ἀκαταμάχητος, παλαίσων ἦλθεν εἰς τὴν σιτοφόρον Λιβύην Ἡρακλῆς. Χρύσιππος, ἀκυρώτερόν φησι τὴν Λιβύην εἴρηκε πυροφόρον. οὐ γὰρ πᾶσα τοιαύτη. μήποτε δὲ ὅτι τῇ Αἰγύπτῳ παράκειται. ἥτις ἐστὶ πολύπυρος. [Κρανίοις ὄφρα ξείνων.] ἰδίως τὸν Ἀνταῖον φησὶ τῶν ξένων τῶν ἐπιδημούντων, τοῖς κρανίοις ἐρέφειν τὸν τοῦ Ποσειδῶνος ναόν. τοῦτο γὰρ ἱστοροῦσι τὸν Θρᾷκα Διομήδην ποιεῖν. Βακχυλίδης δὲ, Εὔηνον ἐπὶ τῶν Μαρπήσσης μνηστήρων. οἱ δὲ Οἰνόμαον ὡς Σοφοκλῆς. [Ἄλλως.] ὅπως τῶν ξένων τῶν ἀναιρουμένων κεφαλαῖς, τὸ αὐτόθι τοῦ Ποσειδῶνος τέμενος ἐμφράττοντα Ἀνταῖον ἐπίσχῃ. ἐδυσύχει γὰρ ἀπανθρωπίαν ἅμα καὶ εἰς θεοὺς ἀσέβειαν. καὶ ἐπισχὼν Ἡρακλῆς, μισθὸν τοῦ κατορθώματος, τὴν εἰς Ὄλυμπον ἀνάβασιν ἐδέξατο. εἶτα παρεκβάσει τῶν Ἡρακλείων κατορθωμάτων τὸν λόγον ποιεῖται ὁ Πίνδαρος, καὶ φησὶν ὅτι πάσης τῆς γῆς, καὶ τῆς πολυβαθοῦς θαλάσσης ἀνερευνήσας καὶ κατειληφὼς τὸ τέλος. θέναρ μὲν γὰρ κυρίως, τὸ κοῖλον τῆς χειρὸς, παρὰ τὸ θένειν ἡμᾶς αὐτῷ καὶ τύπτειν. νῦν δὲ ἀπὸ τῆς κοιλότητος, ἐπὶ τοῦ πυθμένος ἔταξε. καὶ τῶν ναυσὶ τὴν ὁδὸν καὶ τὴν πορείαν ἡμέρωσ' εὐτρεπίσας, ἀπὸ κοινοῦ τὸ, εἰς Ὀλυμπίαν ἔβα. ἐκεῖνος οὖν φησιν ἐξερευνῶν τὸ πλάτος τῆς θαλάσσης, ἡμερώσας γῆν καὶ θάλασσαν, καὶ καθάρας ἀπὸ λῃστῶν καὶ θηρίων, εἰς Ὄλυμπον ἀνέβη.

στροφὴ δ'. κώλων ι'.

Υἱὸς Ἀλκμήνας. Ὃς Οὔλυμ-
πονδ' ἔβα· γαίας τε πάσας,
Καὶ βαθυκρήμνου πολιᾶς
Ἁλὸς ἐξευρὼν θέναρ,
Ναυτιλίαισί τε πορθμὸν ἁμερώσαις.
Νῦν δὲ παρ' Αἰγιόχῳ κάλλιστον ὄλβον
Ἀμφέπων ναίει, τετίμα-
ταί τε πρὸς Ἀθανάτων φίλος, Ἥ-
βαν τ' ὀπυίει, χρυσέων οἴ-
κων ἄναξ, καὶ γαμβρὸς Ἥρας.

ΜΕΤΑΡΗ.

Filius *nimirum* Alcmenæ. Qui Olym-
pum adiit: terrasque universas,
Et in-præceps-profundi cani
Maris quum-explorasset imum-fundum,
Navigationibusque fretum mansuefecisset.
Nunc vero apud Ægiochū pulcherrimā feli-
Amplectens habitat, honoratusq; [citatem
Est immortalibus, amicus *eorum existens* He-
bæque maritus-est, aurearum æ-
dium dominus, & gener Junonis.

ἀντιστροφὴ δ'. κώλων ι'.

Τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν
Δαῖτα πορσύνοντες ἀστοί,
Καὶ νεόδματα στεφανώ-
ματα βωμῶν, αὔξομεν

ΜΕΤΑΡΗ.

Cui quidem Electras supra *portas*
Epulum adornantes *nos* cives,
Et recens-facta coronamen-
ta altarium, cumulamus

PARAPHRASIS.

Qui Alcmenæ filius postquam universum terrarum orbem peragrasset, & cani maris profunda præcipitia habentis latitudinem invenisset, & navigationibus freta mansuefecisset sublatis è medio latronibus, in cœlum inter Deos relatus conscendit. Et nunc apud Jovem ægide armatum præstantissima fœlicitate fruens habitat, & à Diis immortalibus, quibus est dilectus, honore afficitur: idemque aurearum ædium dominus, Heben habet uxorem, & Junonis antea infensæ est gener. Cui supra Electridem, unam ex septem portis Thebarum, ab Electra Cadmi sorore dictam, ubi fanum habet, ejusque ex Megara filiorum est sepulchrum, nos Thebani cives epulum solenne sacrumque quotannis adornantes, recentibusque coronis aras cingentes, honore etiam augemus parentales dies,

NOTÆ.

95 Γαίας τε πάσας] Sc. ἐξευρών. Aliqui Schol. secuti Pluralem rejicientes, Genitivum Singularem esse volunt. Pluralem usurpant Autores. Odyss M. v. 404. -Οὐδέ τις ἄλλη φαίνετο γαιάων. Sicut Virgil. Æneid. 3. ---*Nec jam amplius ulla Apparent terra.* 97 Θέναρ est superficies plana quidem fere, non tamen exacte, qualis est vola manus aut pedis. Hoc loco cavitatem maris denotat, quæ tanta est, ut mare βαθύκρημνον in ea sit. Θέναρ pro aræ superficie concava in Pythiis. Ideo Schmid. existimat, non apte conjungi cum γαίας, ut idem sit ac γῆς θέναρ. 98 Ναυτιλίαισι] Dativo non sexto casu. Schmid. interprete, qui hab. Pro navigationibus. Lonicer. Ad navigationes. Πορθμὸς est angustia maris inter duas terras. Intellige vero in genere. Vel si Schmidii conjectura placeat, leg. πορθμὼς, quandoquidem ultimam oportet esse longam, ut notet Freta, quæ etiam sic Latinis usurpantur. Virgil. *In Freta dum fluvii current*---. Fortasse etiam sic appellavit respectu ingentis ausi Herculis, ut & supra in Nemeis τιναγίων ῥοὰς Hactenus Schmidius. Omnes Codd. tamen πορθμὸν leg. quod igitur retinuimus. Credimus vero Herculeum Fretum hoc loco præcipue intelligi, licet & totum mare Mediterraneum non excludatur. 102 Χρυσέων οἴκων ἄναξ] Ad Herculem referas, qui jam in Dominium Cœli receptus, hoc est, ἀποθεωθεὶς, dicitur. Lonicerus ita hunc locum reddidit, Quandoquidem & aurearum domorum rex Heben ad Junonis generum conjugavit. Et Philippus. Et Heben dedit Jupiter genero Junonis. Aretius quoque ita explicat, Jupiter rex & sponsus Junonis dicitur: Rex propter imperium Cœli: γαμβρὸς h. e. Sponsus, quia Juno & soror & conjux illi est; qui nimirum omnes, χρυσέων οἴκων ἄναξ intelligunt de Jove. 103 Γαμβρὸς Ἥρας] Junonis, cui antea erat invisissimus, jam Gener, & reconciliatus ob Heben ejus filiam Uxorem. Schmid. De honoribus τῆς ἀποθεώσεως Herculis aperte loquitur. 104 Ἀλεκτρᾶν] Sc. πυλᾶν. Ἀλεκτραὶ vel Ἀλεκτρεῖς, Dor. pro Ἠλεκτραὶ vel Ἠλεκτρεῖς, una ex septem portis Thebarum versus Platæas, dicta ab Electra sorore Cadmi. Pausan. in Bœot. 106 Νεόδματα στεφανώματα] Ornamenta ararum singulis annis recens facta. Schmid.

[Τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν.] Ἀλεκτρείδαις· πύλαι ἐν Θήβαις ἐφ' ὧν ἱερουργοῦσι Θηβαῖοι, τιμῶντες Ἡρακλέα, καὶ τοὺς ἐκ Μεγάρας τῆς Κρέοντος ὀκτὼ παῖδας αὐτῷ γεγονότας. κατὰ δὲ χόλον Ἥρας ἀναιρεθέντας ὑπ' αὐτοῦ μεμηνότος. [Ἄλλως.] Χρύσιππος πρὸς ταῖς χαλκομέναις φησὶν Ἠλέκτραις πύλαις ᾤκησεν Ἀμφιτρύων· μετὰ ταῦτα, Ἡρακλῆς. αἷς κατ' ἔτος Θηβαῖοι ἐναγίζουσί τε τοῖς παισὶ, καὶ ἀγῶνας ἐπιταφίους ἄγουσι. τῷ μὲν οὖν Ἡρακλεῖ φησὶν, αὔξομεν ἔντομα. ὅπερ φησὶν, ἔμπυρα. τουτέστι τοῖς υἱοῖς αὐτοῦ συνεχῶς ἔμπυρα κατ' ἐνιαυτὸν αὔξομεν. οὐ γὰρ διὰ παντὸς λέγει. Χρύσιππος δὲ, ἐκ περιφράσεως τοὺς βωμοὺς αὐτοὺς στεφανώματα βωμῶν εἰρηκέναι. ἢ κατὰ παραγωγὴν εἴρηκε τὰ Νέμεα νεόδματα. ὁ δὲ νοῦς, οὕτω. τῷ μὲν οὖν Ἡρακλεῖ τῶν Ἠλεκτρείδων πυλῶν ὑπεράνω τὴν θυσίαν παρέχοντες οἱ πολῖται. καὶ τὰ νεαρὰ στέμματα τῶν βωμῶν, αὔξομεν τὰς θυσίας τῶν πολεμικῶν ὀκτὼ θανόντων αὐτῷ παίδων. οὓς ἡ Μεγάρα ἡ Κρέοντος θυγάτηρ, ἔτεκεν. χαλκοαρᾶν δὲ εἶπεν, ὡς βιαιοθανάτων γενομένων τῶν τοῦ Ἡρακλέους παίδων. καὶ ὅτι ὀκτώ φησιν αὐτοὺς εἶναι. [Ἄλλως.] περὶ τῶν Ἡρακλέος ἐκ Μεγάρας παίδων, Λυσίμαχος φησί τινας ἱστορεῖν, μὴ ὑπὸ Ἡρακλέος, ἀλλ' ὑπό τινων δολοφονηθῆναι ξένων. οἱ δὲ, Λύκον τὸν βασιλέα φασὶν αὐτοὺς φονεῦσαι. Σωκράτης δὲ, ὑπὸ Αὐγέου φησὶν αὐτοὺς δολοφονηθῆναι. καὶ περὶ τοῦ ἀριθμοῦ δὲ διαλλάττουσι. Διονύσιος μὲν ἐν πρώτῳ κύκλων, Θηρίμαχον, καὶ Δηϊκόωντα. Εὐριπίδης δὲ, προστίθησιν αὐτοῖς καὶ Ἀριστόδημον. Αἰνείας δὲ ὁ Ἀργεῖος, Θηρίμαχον, Κρεοντιάδην, Δηϊκόωντα, Δηΐονα. Φερεκύδης δὲ ἐν δευτέρῳ, Ἀντίμαχον, Κλύμενον, Γλῆνον, Θηρίμαχον, Κρεοντιάδην· λέγων αὐτοὺς, εἰς τὸ πῦρ ὑπὸ τοῦ πατρὸς ἐμβεβλῆσθαι. Βάτος δὲ ἐν δευτέρῳ Ἀττικῶν ἱστοριῶν, Πολύδωρον, Ἀνίκητον, Μηκιστόφονον, Πατροκλέα, Τοξόκλειτον, Μενεβρόντην, Χερσίβιον. Ἡρόδωρος

δὲ,

Ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων,	Inferias fortium octo interfectorum,
Τοὺς Μεγάρα τέκεν οἱ Κρεοντὶς υἱούς,	Quos Megara peperit ei Creontis filios,
Τοῖσιν ἐν δυσμαῖσιν αὐγᾶν	Quibus in occasu radiorum *Solis*
Φλὸξ ἀνατελλομένα συνεχὲς	Flamma exorta continue
Παννυχίζει, αἰθέρα κνι-	Pernoctat, ætherem nidori-
σᾶντι λακτίζοισα καπνῷ·	fero feriens fumo :
ἐπῳδὸς δ'. κώλων ια'.	Μεταγη.
Καὶ δεύτερον ἆμαρ ἐτεί-	Et postera dies anniversa-
ων ἀέθλων τέρμα	riorum terminus certaminum
Γίνεται, ἰσχύος ἔργον.	Fit, roboris opus.
Ἔνθα λευκωθεὶς κάρα	Ibi dealbatus caput
Μύρτοις ὅδ' ἀνήρ, διπλόαν	Myrtis hic Vir, duplicem
Νίκαν ἀνεφάνατο, παίδων	Victoriam conspiciendam-exhibuit, Puerorum
Τὰν τρίταν πρόσθεν, κυβερνα-	*Vero* tertiam antea, Guberna-
τῆρος οἰακοστρόφου	toris clavum-versantis

PARAPHRASIS.

quibus eadem opera victimas adolemus fortibus & bellicosis octo filiis quos illi Megara Creontis Thebanorum regis filia peperit. Durat autem hoc sacrificium à solis occasu ad ortum: adeo ut per totam noctem flamma perennis exoriens nidoroso fumo sursum sublato aërem feriat. Et cum hæc celebritas constet ex sacrificiis, ludisque funebribus biduo peragendis, priori die sacra faciunt, posteriori anniversaria certamina, ubi robur corporis operatur, finem celebritatis facientes, peragunt. Atque in his quidem, Herculeis videlicet ludis, Melissus hic, myrtea corona funebribus ludis adhiberi solita ter pro tribus victoriis evasit conspicuus. Quarum duas quidem ætate virili est consequutus, scilicet secundam & tertiam: unam autem, eamque primam cum puer esset, & prudentissimo consilio aurigæ Orseæ bono temonis gubernatori

NOTÆ.

108 Ἔμπυρα] Sacra quæ ignibus comburuntur. Χαλκοαρᾶν] Ære perniciosorum Schmid ut & in proxima Od. Vulg. versio. Alii hic intelligunt Passive, Ære interfectorum. Active vero mallem interpretari (ait Benedictus) quia verisimilius est Poëtam laudare velle hos Herculis filios à bellica virtute, quam cædis illorum à patre perpetratæ mentionem facere. Deducitur vel ab ἄρω, vel ab ἄρω, Apto, ut significatus sit, Ære armatorum. Pind. Lex. 109 Μεγάρα leg. Editt. plurimæ. Ald. vero Μεγάρη, ut & Homer. Od. Λ. v. 268. Seneca in Herc. Furente, & Pausanias. Propter filios vero interfectos, apud Lycophron. Cassandra Herculem vocat τεκνοραίστην. Hanc vero Μεγάραν, ratus sibi non satis faustis auspiciis conjunctam, Hercules postea dimisit. Pausan. in Phoc. lib. 10. Schmid. metri gratia leg. Κρεοντίς, cui nec unicus Codex favet. Vide sis Not. 1 ad metrum hujus odæ. 112 Αἴρῃ κνίσσ' ἀντιλακτίζοισα καπνῷ leg. Plutarch. de Primo Frigido. 115 Schmid. transponit verba, legitque τέρμ' ἀέθλων. 117 Λευκωθεὶς Schmid. legendum conjicit λευκανθείς, quod media corripi debeat. De qua re diximus. 118 Schmid. distinguit inter ὅδ' & ἀνήρ. Ut Victoriam Virilem opponat Puerili. 121 Οἰακοστρόφου] ὁ οἴαξ est temo sive navis sive Currus. Inde οἰακοστρόφος, Gubernator clavi navis, vel temonis currus. Intelligit juxta Schmid. aliosque Orseam, aurigam, non vero, ut Schol. ἀλείπτην.

ται, καὶ δίς φησι μανῆναι τὸν Ἡρακλέα. ἐκαθάρθη δὲ ὑπὸ Σικάλου, ὥς φησι Μενεκράτης. λέγων αὐτοῦ τοὺς υἱούς, ἐστὶ δῆλον. καὶ καλεῖσθαι οὐχ Ἡρακλείδας. οὐδέπω γὰρ Ἡρακλῆς ὠνομάζετο, ἀλλ' Ἀλκαΐδας. [Τοῖσιν ἐν δυσμαῖσιν αὐγᾶν.] τοῦτό φησιν ὡς περὶ τὴν ἑσπέραν τελουμένων τῶν νομίμων τοῖς Ἀλκαΐδαις. δι' ὅλης οὖν φησι νυκτὸς τὴν πυρκαϊὰν μένειν, μέχρις ἀνατολῆς ἡλίου. [Ἄλλως.] ἔθος πρὸς δυσμὰς ἱερουργεῖν τοῖς ἥρωσι· κατὰ τὰς ἀνατολάς, τοῖς θεοῖς. καὶ συμβολικῶς ἑκάστῳ τὸ τῆς θυσίας πρός τε τὴν αὔξησιν καὶ φθορὰν ἑκατέροις ὀφειλομένην. ὁ δὲ νοῦς, οὕτω. τούτοις τοῖς Ἡρακλέους παισὶ τῶν ἡλιακῶν αὐγῶν κατὰ τὰς δυσμάς, ἡ τῶν θυῶν ἀναφαινομένη φλόξ, συνεχῶς λάμπει διὰ πάσης τῆς νυκτός, τῷ κνισῆεντι καπνῷ λακτίζουσα τὸν ἀέρα. σκληροτέρᾳ δὲ κέχρηται μεταφορᾷ. ἔχρῆν γὰρ εἰπεῖν, ψαύουσα ἢ θιγγάνουσα τοῦ αἰθέρος ἡ κνίσα τοῦ καπνοῦ. Ὅμηρος φησί. Κνίση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ. [Καὶ δεύτερον ἆμαρ ἐτείων ἀέθλων.] μετὰ δὲ τὰς θυσίας φησὶ τῇ δευτέρᾳ ἡμέρᾳ, τῶν ἐνιαυσίων ἀγωνισμάτων τὸ τέλος αὐτοῖς συντελεῖται. τοῦτο δὲ ἀνδρείας ἔργον. τελεῖται γὰρ αὐτόθι ἀγὼν τὰ Ἡράκλεια. [Ἄλλως.] ἀμφίβολον πότερον μετὰ θυσίαν τῆς ἑξῆς ἡμέραις δύο ὁ ἀγὼν τῶν Ἡρακλείων συντελεῖται. τῇ μὲν προτέρᾳ πένταθλος καὶ ἱππικός. τῇ δὲ ἐχομένῃ, γυμνικός. ἢ δεύτερον ἆμαρ, τὸ μετὰ τὴν θυσίαν ὡς τῇ ἐπιφωσκούσῃ τοῦ ἀγῶνος ἀγομένου τῇ ὑστεραίᾳ. [Ἔνθα λευκωθεὶς κάρα μύρτοις.] ἐν ᾧ ἀγῶνι στεφανωθεὶς τοῖς μύρτοις ὁ νικηφόρος, διπλῆν νίκην ἔσχε. τρίτην παίδων κατὰ τὸν φθάσαντα χρόνον εὐτυχήσας. καὶ πειθόμενος τῇ τοῦ προστάτου γνώμῃ. τὸ δὲ μύρτοις, ὅτι μυρσίνης στεφάνοις ἐν Θήβαις στεφανοῦνται, οἱ νικῶντες τὰ Ἰόλεια. μυρσίνῃ γὰρ στεφανοῦνται διὰ τὸ εἶναι τῶν νεκρῶν στέφος. [Τὰν τρίταν πρόσθεν κυβερνατῆρος.] πάσας αὐτῷ κατὰ τὸν ἐπιχώριον ἀγῶνα, τρεῖς δίδωσι νίκας, καὶ φησὶν ὅτι μετὰ παίδων προαγωνισάμενος ἐνίκησεν. ἔσχε δὲ καὶ ἑτέρας δύο κατὰ τὸν αὐτὸν ἀγῶνα μετὰ ταῦτα. [Ἄλλως.] ὡς τρὶς αὐτοῦ τοῦτον ἐστεφανωμένου τὸν ἐπιτάφιον· δὶς μὲν ἐν παισίν· ἅπαξ δὲ ὅτε ἐγένετο ἀνήρ. Χρύσιππος διασαφεῖ νῦν, ὅτι δεύτερον ἐνίκησεν ἀναβάς. ἅπαξ δὲ παῖδας τὸν ἀγῶνα. τό τε τρίτον, κεῖται ἐπὶ τοῦ προτέρου. διὸ καὶ προσέκειται τὸ πρόσθεν, ὅτι πρῶτον ἐνίκησε παῖδας.

[Σὺν

Γνώμᾳ πεπιθὼν πολυβού-	Consilio obsequutus prudentis-
λῳ. Σὺν Ορσέᾳ δέ νιν	simi. Cum Orsea autem ipsum
124 Κωμάζομαι, τερπνὰν ἀποστάζων χάριν.	Celebro, jucundam destillans gratiam.

P A R A P H R A S I S.

obtemperasset : quem simul cum ipso , ad gratiam utrique instillandam , jucundo hoc meo encomio decanto.

N O T Æ.

112 Πεπιθὼν] Augmentum Perfect. Aor. secundo præfixum, & in Participio retentum, τῷ πιθὼν, ut vult Schmidius, non πιθὼν. Πολυβούλῳ in Dativo. Plerique Intt. Schol. ad Ορσέα referre videtur. Nos cum vulgata Genit. Dor. secuti Codd. optimos. Ορσέα Schmid.

[Σὺν Ορσέᾳ δέ νιν.] σὺν δὲ τῷ τεχνικῷ Ορσέᾳ, τὸν νικηφόρον ὕμνων καὶ χορειῶν, ἀνυμνήσω. τερπνὴν ἐγκωμίαν ἐπιστάζων, τὴν παρὰ τῶν μουσῶν χάριν. Ορσέας δὲ, ὄνομα κύριον τοῦ ἀλείπτου.

Τέλος τοῦ τετάρτου τοῦ Ισθμίων εἴδους.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΠΕΜΠΤΟΥ ΤΩΝ ΙΣΘΜΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ πέμπτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ὀκτώ. Τὸ πρῶτον, Πινδαρικὸν ἐγκωμιολογικόν. τὴν τελευταίαν συλλαβὴν μετατεθὲν εἰς τὸ πρῶτον. Τὸ β', τροχαϊκὸν, εἰς ἰαμβικὸν καταλῆγον. Τὸ γ', τὸ αὐτὸ τῷ πρώτῳ. Τὸ δ', πενθημιμερὲς δακτυλικόν. Τὸ ε', τὸ αὐτὸ τῷ πρώτῳ. Τὸ ς', δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ζ', τροχαϊκὸν ἐπίτριτον. Τὸ η', τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτοῦ.

Η ἐπῳδὸς, κώλων ἕνδεκα. Τὸ α', τὸ αὐτὸ τῷ πρώτῳ τῆς στροφῆς. Τὸ β', τροχαϊκὸν τρίμετρον καταληκτικὸν Αρχιλόχειον. Τὸ γ', Πινδαρικὸν ἐκ Σαπφικοῦ. Τὸ δ', πενθημιμερὲς δακτυλικόν. Τὸ ε', τροχαϊκὸν τρίμετρον εἰς ἰαμβικόν. Τὸ ς', τὸ αὐτὸ τῷ πρώτῳ τῆς στροφῆς καὶ ἐπῳδῆς. Τὸ ζ', Πινδαρικὸν ἐκ Σαπφικοῦ. Τὸ η', πενθημιμερὲς δακτυλικόν. Τὸ θ', Ιωνικὸν δίμετρον καταληκτικόν. Τὸ ι', πενθημιμερές. Τὸ ια', πενθημιμερὲς ἰαμβικόν.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

Φυλακίδᾳ Αἰγινήτῃ.] Ταύτην τὴν ᾠδὴν Ηφαιστίων μετὰ τὴν ἑξῆς φησὶν γεγράφθαι τὴν θάλλοντος ἀνδρῶν. καὶ αὐτὴν Πυθέᾳ γεγράφθαι. ἐχρῆν οὖν καὶ προτετάχθαι. καὶ γὰρ ἐν μὲν ἐκείνῃ, τὸν Φυλακίδαν, ἅπαξ μόνον, Ισθμια φησὶ νικῆσαι. ἐν Νεμέᾳ μὲν πρῶτον ὦ Ζεῦ τίν' ἄωτον δεξάμενοι στεφάνων. νῦν αὖτ' ἐν Ισθμοῦ δεσπόταν Νηρηΐδεσσί τε. εἶτα. εἴη δὲ τρίτον. ὡς γὰρ πρῶτον καὶ ἅπαξ ἐν Νεμέᾳ νενικηκὼς, ἐν Ισθμῷ, τρίτον, εὔχεται ἐν Ολυμπίᾳ. διὰ δὲ ταύτης, δίς. Τὶν δ' ἐν Ισθμοῦ διπλόα θάλλοισ' ἀρετὰ Φυλακίδα κεῖται. διηπατῆσθαι δὲ τοὺς προτιθέντας φησὶ ταύτην. ἴσως ὅτι φησὶ, δεύτερον κρατῆρα μουσαίων μελέων κιρνάμεθα. ὑπολαβεῖν γὰρ, ταύτῃ δευτέραν ἐκείνην λέγειν. τὸ δὲ, οὐκ ἔχει οὕτως. ἀλλὰ δευτέραν αὐτῷ κατασκευάζει ἐκείνην, Νέμεα γεγράφθαι. καὶ Νεμεακὴν εἰς αὐτοὺς ᾠδήν. ἧς ἡ ἀρχή. οὐκ ἀνδριαντοποιός εἰμ' ὥς τε ἤ τις ἦν καὶ πρώτη. ὡς φανερὸν ἐκ τῶν ποιημάτων. προκατασκευάζοντες ἔνιοι, ὅτι Φυλακίδᾳ μόνῳ γεγράφθαι φασὶ τὸν Πυθέα μὴ νενικηκέναι Ισθμια. ὥς τε Ισθμιακὴν οὖσαν τὴν ᾠδὴν μὴ ἀναγεγράφθαι κἀκείνῳ. Νέμεα γὰρ κἀκεῖνος ἐνίκησεν, ὥσπερ ὁ Φυλακίδας. λανθάνει δὲ αὐτούς. ἐν γὰρ τῇ γεγραμμένῃ πρώτῃ ᾠδῇ, ὡς οἰκείῳ αὐτοῦ ἱστορεῖ, ὅτι καὶ ὁ Πυθέας Ισθμια ἐνίκησε. λέγει δὲ ἤδη τετελευτηκότα τὸν Πυθέαν. Κεῖ μοι τίν' ἄνδρα τῶν θανόντων, καὶ τὰ ἑξῆς. τὸ μὲν οὖν πρώτῳ τετάχθαι τὸ μᾶτερ ἀελίου, τὸ θάλλοντος ἀνδρῶν ὑγιές. οὐκ αἰτιατέον δὲ τοὺς διατάξαντας τὸν Πίνδαρον. οὐ γὰρ κατὰ χρόνους συνέταξαν αὐτὸν, ἀλλὰ κατὰ τὰ εἴδη. [Αλλως.] Καλλίστρατος Φυλακίδᾳ μόνῳ γεγράφθαι φησί. συμπαρειλῆφθαι δὲ ἔξωθεν τὴν τοῦ Πυθέου νίκην. καθάπερ καὶ ἐν τῇ μετὰ ταύτην τὸν Εὐθυμένους, ὄντος αὐτοῦ συγγενοῦς.

Ratio autem metrorum talis est.

στροφὴ & ἀντιστροφή.	ἐπῳδός.
1. -υ-υ -υυ- υυ--	1. -υ-- -υυ- υυ--
2. υυυ- --υ- υ-υυ -	2. -υ-- -υ-- -υ-
3. -υ-- -υυ- υυ--	3. -υ-- -υυ- υυ-
4. -υυ -υυ -	4. -υ-- υυ-
5. -υ-- -υυ- υυ--	5. -υ-- -υ-- -υυ-
6. υυυ- --υ- -	6. υυυ- --υυ -υυ- -
7. -υ-- -υυ-	7. -υ-υ -υυ- υυ-
8. -υ-- -υ--	8. -υυ -υυ -
	9. υυ-- -υ-
	10. -υυ -υυ -
	11. --υ- -

ΦΥΛΑΚΙΔΑ ΑΙΓΙΝΗΤΗ, ΠΑΓΚΡΑΤΙΩ. ΕΙΔΟΣ Ε'.

PHYLACIDÆ ÆGINETÆ, PANCRATIO. ODE V.

ARGUMENTUM.

Hoc encomium constat Phylacidæ laudibus sumptis à Victoria tum Isthmiaca tum Nemeæa, à fratre Pythea, à majoribus Æacidis, patre Lampone, patria bonis legibus instructa, majorum Æginetarum rebus præclare gestis, tandem ab Unctore Pythea.

στροφὴ α'. κῶλων η'.

ΜΑτερ Ἀλίω πολυώνυμε Θεία,
Σέο γ' ἕκατι, καὶ μεγασθενῆ νόμισαν
Χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων.
Καὶ γὰρ ἐριζόμεναι
Νᾶες ἐν πόντῳ, καὶ ἐν ἅρμασιν ἵπποι,
Διὰ τεὰν ὦ ϝάνασσα τιμὰν,

METAPH.

O-Mater solis celeberrima Thea,
Tui causâ etiã præpotens existimarunt
Aurum homines præ cæteris *metallis*.
Etenim certantes
Naves in mari, & in curribus equæ,
Propter tuum ô Regina honorem,

PARAPHRASIS.

O Thea Solis mater celeberrima, tui causa, videlicet cum hic tuus filius aurum pro symbolo habeat, homines existimarunt aurum esse possessionum cæterarum præstantissimam. Nam qui è navibus instructis in mari contendunt, quique in terris ex curribus decertant, in præliis, quorum ob veloces mutationes incertus est eventus, admirabiles fortitudine se præstant, idque ô regina studio

NOTÆ.

1 *Ἀελίω* leg. Codd. nonnulli. Πολυώνυμε] Vulg. hab. Multi nominis. Explicat vero Ben. ex Hor. apud quem *multi nominis mulier* vocatur celeberrima. Phil. Inclyta: Lon. Veneranda. Est vero, Apud multos, multis de causis & nominibus celebris. Θεία] Τὸ Θεῖον Sulphur, & Argentum vivum forte notatur per Hyperiona, unde generatur Aurum. Schmid. Alii Intt. his & aliis ejusmodi annotandis existimant se suo officio fungi. Pindarus vero Chymicus non fuit, nec Astrologus. 3 Χρυσὸν] Vide Hor. l. 3. Carm. Od. 16. *Inclusam Danaen* &c. Περιώσιον] Eximium Eustath ad Il. Δ & Od Π derivat à περιουσία, φωνῆ. ut & θαυμάσιον ex θαυμάζω· & postea abjecto υ περιουσίον fit περιώσιον. 5 Νᾶες] Hor. ibid. *Munera navium Saevos illaqueant duces.* Ἵπποι] Equæ in certaminibus usitatiores fuere. Virg. *Eliadum mittit palmas Epiros equarum.* Lonicer. exponit, spectacula quæ & Terra & Mari aguntur. 6 Crat. ὦ 'ναςσα. Rom. ὦ 'ναςα. pro ὦ ἄνασσα. Τιμὰν] Pretium, Valorem.

[Μᾶτερ Ἀελίου πολυώνυμε Θεία.] Ἀκολούθως τῷ Ἡσιόδῳ. καὶ γὰρ ἐκεῖνος Ἡλίου μητέρα τὴν Θείαν γενεαλογεῖ. Θεία δ' Ἠέλιον ‡ τίκε μέγαν, λαμπράν τε Σελήνην Γείναθ' ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι. [Ἄλλως.] Θείας γενεαλογοῦσι τὸν Ἥλιον, διὰ τὸ τῆς θέας καὶ τῆς ὄψεως ἡμῖν αἴτιον εἶναι. ὁμωνύμως τοῖς περὶ τὴν ὄψιν πάθει. καθὰ καὶ τὸν ἔρωτα καὶ τὴν ἐλπίδα· εἰσὶ δὲ, οἳ ἀπὸ τοῦ θεῖν αὐτὴν φασὶν ὀνοματοποιεῖσθαι. ἐφορᾷ γὰρ ὁ ἥλιος ἀεί. ἀφ' οὗ λέγουσι καὶ τὸν πατέρα Ὑπερίονα, διὰ τὸ ὑπὲρ ἡμᾶς ἰέναι. [Σέο γ' ἕκατι καὶ μεγασθενῆ.] ἴσμεν φιλόχρυσον ὄντα πανταχοῦ τὸν Πίνδαρον. κἀνταῦθα οὖν τὴν ἑαυτοῦ φιλαργυρίαν προαίρεσιν τεκμηριοῖ, τὸν πλοῦτον ἐγκωμιάζων. καὶ ὑπαινιττόμενος, ὡς προσήκει τοὺς ἐγκωμιαζομένους χρυσῷ ἀμείβεσθαι τὸν Πίνδαρον. [Ἄλλως.] ἐκ Θείας καὶ Ὑπερίονος, Ἥλιος· ἐκ δὲ Ἡλίου, ὁ Χρυσός. ἑκάστῳ δὲ τῶν ἀστέρων, ὕλη τις ἀνάγεται. Ἡλίῳ μὲν ὁ χρυσός. Σελήνῃ δὲ, ὁ ἄργυρος. Ἄρει, σίδηρος. Κρόνῳ, μόλιβδος. Διῒ, ἤλεκτρος. Ἑρμῇ, κασσίτερος. Ἀφροδίτῃ, χαλκός. τὸ δὲ ἑξῆς, οὕτω. πολυώνυμε καὶ τιμία Θεία, σοῦ χάριν, καὶ ἄγαν ἰσχυρὸν τὸν χρυσὸν ἐνόμισαν οἱ ἄνθρωποι· περισσῶς τῶν ἄλλων κτημάτων. καὶ γὰρ ἐν θαλάττῃ νῆες ἁμιλλώμεναι· οἱονεὶ ἐμπορευόμεναι. καὶ ὑπὸ τοῖς ἅρμασιν ἵπποι· καὶ πάλιν κατὰ κοινοῦ διαμιλλώμενοι, διὰ τὴν σὴν ὦ δέσποινα τιμὴν, τὸν χρυσὸν, τῆς κατὰ θάλασσαν ἁμίλλαις, θαυμαστοὶ καὶ ἔνδοξοι γίνονται. καὶ ἐν τοῖς ἀγωνιστικοῖς ἄθλοις, ἐπίφασον δόξαν ἐσχήκασιν. ἐάν τινα πλεῖστοι στέφανοι ταῖς χερσὶν ἀγωνισάμενοι καὶ νενικηκότες, ἀναστέφωσι κατὰ τὰς κόμας. νικήσαντα δὲ, ἢ χερσὶν ἢ ποδῶν ταχυτῆτι. [Ἄλλως.] ἐνομίσαμεν σοῦ φησιν ἕνεκα ὦ Θεία, καὶ τὸν χρυσὸν τετιμήκαμεν. καὶ νηῶν καὶ ἵππων δρόμους ἐθεασάμεθα. εἰ μὴ ἐθεώμεθα ταῦτα οὐκ ἂν ἐτεθήπειμεν.

‡ Leg Ἠέλιόν τε κ. λ.

Ὠκυδινάτοις ἐν ἀμίλ-	Volubilibus in pu-
λαισι θαυμασταὶ πέλονται·	gnis admirandæ existunt :
ἀντιστροφὴ α΄. κώλων η΄.	ΜΕΤΑΦ.
Ἐν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν	Inq; contentionibus certaminum desiderabilẽ
Κλέος ἔπραξεν, ὅν τιν' ἀθρόοι στέφανοι,	Gloriā acquisivit, quemcunq; multæ coronæ
Χερσὶ νικάσαντ', ἀνέδησαν ἔθειραν,	Manibus victoriā-adeptū, redimierunt comam,
Ἢ ταχυτᾶτι ποδῶν.	Aut velocitate pedum.
Κρίνεται δ' ἀλκὰ διὰ δαίμονας ἀνδρῶν.	Æstimatur vero Virtus per fortunas hominū.
Δύο δέ τοι ζωᾶς ἄωτον	Duo vero vitæ florem
Μοῦνα ποιμαίνοντι τὸν ἄλ-	Sola pascunt suavis-
πνιστον εὐανθεῖ σὺν ὄλβῳ,	simum, florida cum felicitate :
ἐπῳδὸς α΄. κώλων ια΄.	ΜΕΤΑΦ.
Εἴ τις εὖ πάσχων, λόγον ἐσλὸν ἀκούῃ.	Si aliquis commode vivens, bene audiat.
Μὴ μάτευε Ζεὺς γενέσθαι. Πάντ' ἔχεις,	Ne quære Jupiter fieri. Omnia habes,
Εἴ σε τούτων μοῖρ' ἐφίκοιτο καλῶν.	Si ad-te horum sors pervenerit bonorum.
Θνατὰ θνατοῖσι πρέπει.	Mortalia mortales decent.
Τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετὰ	Tibi autem in Isthmo duplex florens virtus

PARAPHRASIS.

parandi auri quod in pretio habent, quodque optando, te honorant : Sed non sunt hujusmodi athletarum vota, qui gloriam duntaxat expetunt. Nam qui vel lucta qua manuum robur exercetur, vel cursu quo pedum celeritas probatur, crebras victorias reportavit, & coronatus rediit, voti compos factus est, & ex certaminum contentionibus optatam gloriam obtinuit : in quibus Deorum ope & beneficio virorum virtus & fortitudo probatur. Duo autem sunt quæ si florentes & vigentes opes comitentur, vitæ jucundum florem alunt & fovent, videlicet cœptorum successus, & laus : ut quum quis in virtutis studio rem prospere gerit, indeque nominis celebritatem consequitur. Quorum bonorum cuicunque sors obtigerit, omnia quæ capere potest humana conditio, possidet: cumque mortales mortalia deceant, divinitatem affectare non debet. Tibi autem hæc obtigerunt, Phylacida, qui virtutis specimen edidisti partis duabus apud Isthmum pancratii victoriis

NOTÆ.

7 Ὠκυδινάτοις ἁμίλλαισι] Præliis velociter se vertentibus, ubi victoria dubia est. Schmid. Lon. Ludos intelligit, & Phil. Certamimina. 8 Θαυμαστοὶ exempla quædam. Sic ad ἵπποι Masculine acceptum referetur; Vel etiam Fœminine, ad νᾶες & ἵπποι Att. & Poët. 9 Paraphrastes, leg. ἐν δ' nullo Cod. auctore, nec Interp præcedente. 10 Ἔπραξεν] Schol. refert ad ἵππους & ἅρματα, qu. esset usitatum Pindaro ex Plurali in Sing. delabi; quod verum est, Sed non convenit huic loco. Refertur enim ad ὅπλα, ad quod Nominat. aliquis subaudiendus est, ἐκεῖνος, vel sim. Ἀθρόοι] Frequentes. Lonicer. Densa serta, imitatus Horat. apud quem, *Densentur funera*, habes, pro crebra fiunt. 13 Plerique hab. δαίμονα in sing. nos cum Aldo, in Plur. legimus. Schol. etiam exponit διὰ τοὺς θεούς. Lonicer. Fortitudo mortalium à Deo est : Phil. Victoria à Deo est. Judicatur ex specimine edito fortitudo hominum per numen Divinum. Hi omnes Schol. expositionem sequuntur, quam expressit Paraphrasis. Aret. & Schmid. Δαίμονα pro Πλοῦτον sive Δαίμονας pro Fortunis hominum accipiunt. Non enim dicere vult, Virtutem à Deo esse, sed eam judicari à Pluto; qu. diceret, Virtus ipsa æstimatur Divitiis. 14 Δύω nonnulli Codd. 15 Pro ἄλπνιστον Crat. hab. ἀνέλπιστον, quod & Explicat Schol. Ἄλπνιστον pro ἀλπνίστατον ab ἀλπνός, cujus Compositum ἐπαλπνός. Vide P. 8. Quoniam vero ἀνέλπιστον Metro non conveniret, Rom. Lut. & Commel. hab. ἄλπιστον pro ἀέλπιστον. Erasm. Ad. 57, Cent. 4. Chil. 3. scribit ἀνέλπιστον vitam. Atticis esse vitam mirificam & quam ne sperare quidem auderet quisquam, aut in qua non spes alat animum sed res ipsæ adsint Sed unde id rescierit, non docet. 16 Ὄλβῳ] Divitiis. De his enim loquitur, & his vult esse conjuncta τὸ εὖ πάσχειν, καὶ τὸ εὖ ἀκούειν. Schmid. 17 Εὖ πάσχων] Ut *-Ventri bene sit, lateri, pedibusque-* Hor. Vide Ol. 5, 54. P. 1, 191. N. 1. 46. 21 Διπλόα] Vide quæ Hephæstio annot. περὶ τῆς ἐπιγραφῆς.

[Ἐν τ' ἀγωνίοις.] τοῦτο οἰκείως ἐπὶ τῶν ἵππων καὶ τῶν ἁρμάτων. ἐπάγει δὲ, κλέος ἔπραξεν. ἔθος γὰρ Πινδάρῳ, ἀπὸ πληθυντικοῦ εἰς ἑνικὸν ἀποπίπτειν ἀριθμόν. [Κρίνεται δ' ἀλκά.] προσέστι δύναμις, διὰ τοὺς θεούς. [Ἄλλως.] ἤτοι δοκιμάζεται, ἢ χωρίζεται ἡ τῶν ἀνδρῶν ἀλκὴ, τῇ τῶν θεῶν εὐμενείᾳ. [Δύω δέ τοι ζωᾶς ἄωτον.] τὸ εὖ πάσχειν, καὶ τὸ, λόγον ἀκούειν, δύο ὄντα, ποιμαίνουσι καὶ παραθάλπουσι τὸ ἀνέλπιστον τῆς ζωῆς ἄωτον. τουτέστι τὸ δυσέλπιστον, ὡς ἀπρόσωπον, τὸ κακοπρόσωπον. γράφουσι δὲ ἔνιοι τὸν ἄλπνιστον. τουτέστι, τὸ ἥδιστον καὶ προσηνέστατον. ταύτῃ δὲ τῇ γραφῇ, καὶ τὰ τῆς ἀντιστροφῆς συνᾴδει. ὁ δὲ νοῦς, οὕτω· δύο γὰρ μόνα τῆς ζωῆς κάλλιστα ἀπαρτίσματα τυγχάνει. ἃ καὶ μόνα ποιμαίνει τὸν οἰκτρὸν τῶν ἀνθρώπων βίον ἀνθηρᾷ σὺν εὐδαιμονίᾳ. εἴ τις καλῶς πάσχων καὶ ἀγαθῶν ἀνυμνηθεὶς ἀκούει λόγων. ἤτοι δὲ καθολικώτερος ὁ λόγος πρὸς τοὺς, τὴν δὲ τὴν ψυχὴν ἔχοντας, ἢ πρὸς τὸν νικηφόρον ὡς εὐδαιμονοῦντα καὶ ἐγκωμιαζόμενον. [Μὴ μάτευε Ζεὺς γενέσθαι.] ὅτι ἀκαταλλήλως ἐπέζευξεν. ἔμπροσθεν γὰρ, περί τινος ὁ λόγος. εἴ τις εὖ πάσχοι φησὶν εἶτα ὡς πρός τινα ποιούμενος τὸν λόγον, φησὶ, μὴ μάτευε Ζεὺς γενέσθαι. ἀπόχρη γάρ σοι τῆς εὐδαιμονίας τὸ μέγεθος. ἐὰν σε τούτων τῶν καλῶν μερίς τις καταλάβῃ· τοῖς γὰρ φθαρτοῖς, ἐφάμιλλα τῇ φύσει προσήκει, καὶ τὰ τῆς εὐδαιμονίας παρεῖναι. [Τὶν δ' ἐν Ἰσθμῷ.] σοὶ δὲ ἐν τῷ Ἰσθμῷ, διπλῆ θάλλουσα ὦ Φυλακίδα ἀρετὴ εὐδόξως ἀνάκειται. ἐν δὲ τῇ Νεμέᾳ, † ἀμφοτέρας ὑμῖν· σοί,

† Leg. ἀμφοτέροις.

Φυλακίδᾳ κεῖται· Νεμέᾳ δὲ, καὶ ἀμφοῖν,	O-Phylacida reposita-est: in Nemea vero, etiā [ambobus,
Πυθέᾳ τε, παγκρατίου. Τὸ δ' ἐμὸν,	O-Pytheaque, pancratii. At meum
Οὐκ ἄτερ Αἰακιδᾶν	Non sine Æacidis
Κέαρ ὕμνων γεύεται.	Cor hymnos tractat.
Σὺν χάρισιν δ' ἔμολον	Cum Gratiis autem veni
Λάμπωνος υἱοῖς,	Lamponis filiis
στροφὴ β'. κώλων η'.	ΜΕΤΑΡΗ.
Τάνδ' ἐς εὔνομον πόλιν. Εἰ δὲ τέτραπται	Hanc in legibus-bene-instructā urbē. At si ver-
Θεοδότων ἔργων κέλευθον ἂν καθαρὰν,	Divinitus-datorum operū viā in purā; [sa est
Μὴ φθόνει κόμπον τὸν ἐοικότ', ἀοιδᾷ	Ne invide gloriationē consentaneam, hymno
Κιρνάμεν ἀντὶ πόνων.	Me-commiscere pro laboribus.
Καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ	Etenim Heroum boni bellatores
Λόγον ἐκέρδαναν· κλέονται	Famam lucrati-sunt: celebrantur
Δ' ἔν τε φορμίγγεσσιν, ἐν αὐ-	Autem inque citharis, in tibia-
λῶν τε παμφώνοις ὁμοκλαῖς	rumque omnisonis strepitibus
ἀντιστροφὴ β'. κώλων η'.	ΜΕΤΑΡΗ.
Μυρίον χρόνον· μελέταν δὲ σοφισταῖς	*In* infinitum tempus: studium quoq; Sophistis,
Διὸς ἕκατι πρόσβαλλον σεβιζόμενοι.	Jovis voluntate præbuerunt honorati
Ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς,	In Ætolorum quidem sacrificiis illustribus

PARAPHRASIS.

unaque in Nemea eodem certamine, ut & tu frater illius Pythea. Quoties autem Æginensem aliquem celebro, eo sum animo, ut Æacidarum laudes attingere velim. Itaque in gratiam & honorem Lamponis filiorum, gratioso carmine me confero ad civitatem illam Æginam bonis legibus instructam. Cujus studia cum ad puram donorum divinorum viam calcandam, nec vulgarem proinde, sed divinam virtutem exercendam sint conversa, nemo invidia percitus ægre ferre debet, quod laudes ipsius pro laboribus, ob quorum successus merito gloriari possit, meis hymnis immisceo. Et enim nihil inusitati facio, cum heroës qui bellica fortitudine claruerunt, sui nominis prædicationem lucrati sint, & carminibus quæ ad citharam, tibiamque sonorum varietate jucundam cani solent, in perpetuum celebrentur. Quinetiam encomiasticæ orationis materiam, Jovis benevolentia venerationem consequuti, disertis oratoribus præbuerunt. Exempli causa, in illustribus solennium sacrificiorum diebus,

NOTÆ.

22 Καὶ ἀμφοῖν] Tibi scil. & Pytheæ, quem mox & ipsum compellat. Phil. Duas in Nemeis ex Pancratio adeptus est Pytheas: quum sermo spectet ad utrumque. 23 Πυθέᾳ leg. Editt. recentiores. Editores enim Schol. secuti Dativum esse censuerunt. Est vero Alcmanica Syntaxis, Φυλακίδα ἀμφοῖν, Πυθέατι. 24 Αἰακιδᾶν] Simili sensu I. 6, 27. 27 Λάμπωνος υἱοῖς] In honorem & gloriam filiorum Lamponis, Lonicer. Schol. σὺν, ἀπὸ κοινοῦ repetit. 28 Εὔνομον] Phil. Honestam, & hæc verba superioribus connectit, vertens: sed meum cor. non sine Æacidis, hymnos de hac honesta urbe attingens: Veni cum Gratiis ad Lamponis filios, quum vita eorum perfecta sit in puritate operum, quæ Deus eis dedit. 30 Μὴ φθόνει] Hic Phil. novam inchoat sententiam, quum sit ἀπόδοσις ad εἰ δὲ κ. λ. Ἀοιδᾷ refertur ad κιρνάμεν, non ad ἐοικότα, ut aliqui volunt. Lonicer. vertit, Poëtæ, quasi legeret], ἀοιδῷ. 33 Ἐκέρδαναν quod habes apud Schol. legit Schmidius, metri gratia. 34 Φορμίγγεσσιν Edd. plures. 36 Σοφισταῖς] Lon. Phil. & Portus explicant, Poëtis, ut & Schol. Sed Schmid. Oratoribus. 37 Πρόσβαλεν in Aor. Schmid. Σεβιζόμενοι] Lon. Fortiter agentes, Schol. secutus, ἰσχυροί.

σοί, τε καὶ τῷ Πυθέᾳ παγκρατίου. ἀπὸ κοινοῦ, ἀρετὰ ἀνάκειται. ἡ δὲ ἐμὴ ψυχὴ, γεύεται φησὶ τῶν ἐγκωμίων. οὐκ ἄνευ τῆς τῶν Αἰακιδῶν μνήμης. Αἰγινῆται γὰρ ἀμφότεροι. οὐ γὰρ ἐπιτρέπουσί μοι οἱ Αἰακίδαι εἰς τὸ ὑμνεῖν ὑμᾶς. Αἰγινῆται γὰρ οἱ περὶ τὸν Φυλακίδαν. ἢ οὕτως. οὐ χωρὶς τοῦ τοὺς Αἰακίδας συμπεριλαμβάνειν τοῖς ὑμετέροις ὕμνοις ὑμνῶ ὑμᾶς, ἀλλὰ μεθ' ὑμῶν, κἀκείνους ὑμνῶ. σὺν γὰρ ταῖς μουσικαῖς χάρισι παραγενόμενος καὶ σὺν τοῖς τοῦ Λάμπωνος υἱοῖς, εἰς ταύτην τὴν εὔνομον πόλιν Αἴγιναν. ἀπὸ κοινοῦ δὲ, τὸ σὺν Χάρισι καὶ Λάμπωνος υἱοῖς. [Εἰ δὲ τέτραπται.] τὸν λόγον πρὸς ἑαυτὸν ἀποτείνεται ὁ Πίνδαρος. εἰ δὲ τούτων ὁ βίος καθορᾷ εἰς ὁδὸν καθαρωτάτην θείων ἔργων, μὴ φθόνει τὸ ἀντὶ τῶν πόνων καὶ κατορθωμάτων προσήκοντα τῇ ᾠδῇ ὕμνον ἀνακιρνᾷν καὶ λέγειν. οὐ γὰρ μὴ φθόνει αὐτῷ ἐν τῷ ἐπαινεῖσθαι καὶ ἀπολαμβάνειν τοὺς ἐξ ἐκείνων κόμπους, ἀνθ' ὧν ἐπόνησε. [Καὶ γὰρ ἡρώων ἀγαθοί.] καὶ γὰρ τῶν ἡρώων οἱ ἀγαθοὶ καὶ ἀνδρεῖοι, τὸν ἐγκωμιαστικὸν λόγον, καὶ μετὰ τὸν θάνατον παρὰ τῶν ποιητῶν ἐκέρδαναν. ὑμνοῦνται δὲ πάντα τὸν χρόνον ἔν τε κιθάρᾳ καὶ αὐλῷ τῶν ποικίλαις συμφωνίαις διὰ παντὸς τοῦ χρόνου. [Μελέταν δὲ σοφισταῖς.] σοφιστὰς μὲν καὶ σοφοὺς ἔλεγον τοὺς ποιητάς. Σοφοκλῆς. Μὲν εἰς σοφιστὴν ἐμόν. ὁ δὲ νοῦς. τοῖς δὲ σοφοῖς ἀνδρισάμενοι, παρέχοντο τὴν τῶν ἐγκωμίων φροντίδα. καὶ διὰ τὴν τοῦ Διὸς γνώμην τιμώμενοι τήνδε τὴν ἐγκωμίων φροντίδα καὶ σύνθεσιν. τὸ γὰρ σεβιζόμενοι, ἀντὶ τοῦ θαυμαζόμενοι, τιμώμενοι, σεβόμενοι. καὶ τὸ τοὺς θεοὺς δὲ σέβεσθαι, θαυμάζειν ἐστίν. Ὅμηρος. Σέβας μ' ἔχει εἰσορόωντα. ἀντὶ τοῦ ἔκπληξις. [Ἐν μὲν Αἰτωλῶν θυσίαισιν.] ἐν ταῖς πανηγύρεσι ταῖς ἐπιδόξοις καὶ λαμπραῖς οἱ τοῦ Οἰνέως παῖδες ἀνυμνοῦνται οἱ ἰσχυροί. ἐν δὲ ταῖς Θήβαις ὁ ἱππικώτατος

Οἰνεΐδαι κρατεροί·
Ἐν δὲ Θήβαις, ἱπποσόας Ἰόλαος
Γέρας ἔχει· Περσεὺς δ' ἐν Ἄργει·
Κάστορος δ' αἰχμὰ Πολυδεύ-
κεός τ' ἐπ' Εὐρώτα ῥεέθροις.

ἐπῳδὸς β'. κώλων ια'.

Ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ
Αἰακοῦ, παίδων τε. Τοὶ καὶ σὺν μάχαις
Δὶς πόλιν Τρώων πράθον, ἑσπόμενοι
Ἡρακλῆϊ πρότερον,
Καὶ σὺν Ἀτρείδαις. Ἔλα νῦν μοι πεδόθεν.
Λέγε, τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον,
Καὶ στράταρχον Αἰθιόπων ἄφοβον
Μέμνονα χαλκοάραν;
Τίς ἄρ' ἐσθλὸν Τήλεφον
Τρῶσεν ἑῷ δορὶ Κα-
ΐκου παρ' ὄχθαις;

Oenidæ ſtrenui :
Thebis vero equorum-agitator Iolaus
Præmium habet : Perſeus vero in Argo :
Caſtoris vero virtus-bellica Pollu-
ciſque ad Eurotæ fluenta.

Metaph.

Sed in Oenona magnanimi impetus
Æaci filiorumque. Qui & in præliis
Bis urbem Troum exciderunt, ſequentes
Herculem prius, [à-terra.
Et cum Atridis. Impelle nunc mihi *in altum*
Dic quinā Cycnum, quinā Hectorē occiderint,
Et ducem exercitus Æthiopum intrepidum
Memnonem ære-perniciosum?
Quis ſtrenuum Telephum
Vulneravit ſua haſta Ca-
ici ad ripas?

Paraphrasis.

*Oenei filii ſtrenui apud Ætolos ; equorum agitator & auriga periti*ſſ*imus Iolaus apud Thebanos, Perſeus apud Argivos, Caſtor & Pollux bellica fortitudine clari apud Lacedæmonios, quorum civitatem Eurotas fluvius præterlabitur, honore afficiuntur. In Ægina vero inſula, olim Oenone dicta, prædicantur heroes magnanimi, Æacus, ejuſque filii : qui bis idque duabus in expeditionibus, Ilium Trojanorum urbem populati ſunt. Primum quidem quando Herculem Telamon ſequutus eſt adverſus Laomedontem, qui pro liberata à ceto Heſiona promiſſos equos non dederat. Deinde quum Achilles Pelei filius, Achillis Neoptolemus, & Telamonis filii Ajax & Teucer, Atrei filios Agamemnonem & Menelaum, Menelai uxorem Helenam à Paride raptam repetentes, comitati ſunt. Cujus belli poſterioris in mentionem cum inciderim, animum excita, ô Muſa, & ex humili ſtylo in ſublimem erige, dicque mihi, quinam Cycnum (neque enim unus vir hoc præſtare potuit) quinam Hectorem, intrepidumque Æthiopum regem Memnonem æreis armis apte inſtructum interfecerunt ? Quis ſua haſta ſtrenuo Telepho in Myſia, per quam tranſit fluvius Caicus, vulnus inflixit ?*

NOTÆ.

39 Οἰνεΐδαι habent Edd. præter Schmid. quaſi ab Οἰνεύς. 40 Ἱπποσόας] Fuit auriga Herculis. 46 Δὶς] Hinc Ovid. l. 11. Met. *Bis peritura capit ſuperata mœnia Troja.* Vide Ol. 8. 48 Πεδόθεν] Phil. priorem expoſitionem Schol. ſecutus, vertit ; Per planos campos, & Portus, Per iſtam laudum planiciem : Lonicer. vero poſteriorem expreſſit, A Principio repete. 49 Τίνες] Majeſtatem addit factis, & perſonæ, dum Pluraliter efferat, quaſi vix credibile videatur, unicum hæc omnia præſtitiſſe. Schmid. 52 Τίς γὰρ Edd. præter Cratandr. quæ habet τίς δ' ἄρ'. Τὸ δ' vero metro poſtulante non expreſſimus.

Ἰόλαος τιμὴν ἔχει. ὁ δὲ Περσεὺς ἐν Ἄργει. τοῦ δὲ Κάστορος καὶ Πολυδεύκους ἡ αἰχμὴ, ἐπὶ τοῖς Εὐρώτου ῥεύμασι. πάλιν ἀπὸ κοινοῦ, τὸ, γέρας ἔχει. [Ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες.] τουτέστιν, ἐν τῇ Αἰγίνῃ. οὕτω γὰρ τὸ πρότερον ἐκαλεῖτο πρινὴ ἀπὸ Διὸς Αἴγιναν τὴν Ἀσωποῦ τοῦ Βοιωτικοῦ ποταμοῦ θυγατέρα αὐτόθι ἐνενεχθῆναι. ὁ δὲ νοῦς. ἀλλ' ἐν τῇ Αἰγίνῃ, οἱ μεγαλόψυχοι καὶ ἀνδρεῖοι τρόποι τῶν Αἰακοῦ παίδων, ἀνυμνοῦνται, καὶ τιμιώτατοι τυγχάνουσιν, οἵτινες τῇ ἑαυτῶν συμμαχίαις, τὴν τῶν Τρώων ἐπόρθησαν πόλιν. τὸ μὲν πρότερον συστρατεύσαντες Ἡρακλεῖ, διὰ τὴν Λαομέδοντος ἀδικίαν, ὡς καὶ Ὅμηρος ἱστορεῖ λέγων, Ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος. τὸ δὲ δεύτερον, σὺν Ἀτρείδαις. πάλιν δὲ τῷ συλληπτικῷ τρόπῳ κέχρηται. οὐ γὰρ αὐτοὶ δὶς ἐπόρθησαν τὸ Ἴλιον, ἀλλὰ Τελαμὼν μὲν σὺν Ἡρακλεῖ. Νεοπτόλεμος δὲ σὺν Ἀτρείδαις. τὸ δὲ ἑκατέρῳ συμβὰν, λαβὼν εἰς ἓν ἔφη. [Ἔλα νῦν μοι πεδόθεν.] ἔλα νῦν ὦ μοῦσα, ἐπ' εὐθείας ὁδοῦ, καὶ δι' ὁμαλοῦ. τοῦτο γὰρ τὸ πεδόθεν. τὰ, τε τούτων ἐγκώμια ἐξ ἀρχῆς ἀνύμνησον. καὶ λέγε τίνες τὸν Κύκνον, καὶ τὸν Ἕκτορα ἀνεῖλον, καὶ τὸν τῶν Αἰθιόπων ἡγεμόνα Μέμνονα τὸν τῷ χαλκῷ τοῖς ἐναντίοις προσομιλοῦντα. ἤτοι τὸν πολλοὺς χαλκῷ ἀνελόντα, ἢ τὸν ὑπὸ χαλκοῦ βλαβέντα. ἑκάτερον γὰρ παρὰ τὴν ἀρὴν. τίς δὲ τὸν ἀνδρεῖον Τήλεφον ἔτρωσε τῷ ἑαυτοῦ δόρατι, τοῦ τῆς Μυσίας ποταμοῦ Καΐκου παρὰ τὰς ὄχθας. εἶτα κατ' ἀπότασιν ὁ λόγος. οὗτοι τάδε καὶ τάδε ἔπραξαν. οἷς ὁ λόγος τὴν Αἴγιναν, πατρίδα δίδωσιν. [Ἄλλως.] πρὸς τὴν μοῦσαν ὁ λόγος. λέγε μοι τὰ περὶ αὐτοὺς φησιν ἐκ ῥιζῶν. ἢ ἔλα κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν νεῶν, πρόβαγε εἰς τοὔμπροσθεν, ἀρξάμενος ἄνωθεν καὶ ἐξ ἀρχῆς, λέγε τίνες εἰσὶν οἱ ἀνελόντες Κύκνον, Ἕκτορα, Μέμνονα. δῆλον δὲ, ὡς εἷς τῶν Αἰακιδῶν Ἀχιλλεύς.

[Τοῖσιν

στροφὴ γ'. κώλων η'.

Τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν.
Διαπρεπέα νᾶσον. Τετείχισαι δὲ πάλαι
Πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν.
Πολλὰ μὲν ἀρτιεπὴς
Γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων
Κελαδῆσαι· Καὶ νῦν ἐν Ἄρει
Μαρτυρήσαι κεν πόλις Αἴ-
αντος, ὀρθωθεῖσα ναύταις

METAPH.

Illi nimirũ quibus Æginã profert os patriam,
Excellentẽ Insulam. Exstructa-est vero olim
Turris, *quam* excelsis virtutibus ascendant.
Multa quidem rectiloqua
Lingua mihi jacula habet de illis
Resonandi : Et nunc in bello
Testari-possit urbs *patria* Aja-
cis, defensa à - nautis

ἀντιστροφὴ γ'. κώλων η'.

Εν πολυφθόρῳ, Σαλαμὶς, Διὸς ὄμβρῳ,
Αναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ·
Αλλ' ὅμως καύχημα κατάβρεχε σιγᾷ.
Ζεὺς τάδε καὶ τὰ νέμει,
Ζεὺς, ὁ πάντων κύριος. Εν δ' ἐρατεινῷ

METAPH.

Salamis in multum-&-multis-exitiali Jovis im-[bre,
Innumerabilium hominum grandinea cæde:
Sed tamen gloriationem irriga silentio.
Jupiter hæc & illa tribuit,
Jupiter omnium dominus. In delectabili vero

PARAPHRASIS.

Hoc utique fecerunt illi, quorum ob virtutem, patriam Æginam insulam hominum fama illustrem prædicat. Olim autem oblata sunt illis ardua negotia, quæ virtutis suæ excelsa magnitudine peragerent. Et nunc de illorum fortitudine testimonium exhibere possit urbs Ajacis Salamis, quam Æginensium classis navali prælio liberavit, quum ibi adversus Xerxem conflixere, ac inter Græcos cæteros insignes victoriam obtinuere, innumerabilibus hominibus cæsis, & tanquam copioso imbre, crebraque grandine Jovis voluntate oppressis. Unde fit ut multa laudum habeam argumenta ad illos veridica lingua celebrandos. Attamen ô Musa materiam hanc gloriandi noli nimia laudis amplificatione in præsentiarum extollere, sed potius ob invidiam paulum silentio irriga. Non enim recte gestarum rerum laus ad homines, sed ad Jovem, Jovem inquam, omnium dominum, bona malaque pro libito distribuentem, proprie pertinet. At vero victorum

NOTÆ.

55 Προφέρει] Portus leg. προφινεῖ, quod censet formatum ex προφαντινεῖ, vel ex προφάω, προφίω & προφινέω, ut à συλάω, συλίω & συλεύω. Interpretatur vero Prædicat. Attamen suspicatur legendum προφέρει, quod cæteri Codd. habent. 57 Πύργος] Paraphrastes putat hac voce denotari τὰ χαλεπὰ πράγματα quæ se virtuti exigenda offerunt. 59 Περὶ κείνων] sc. τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν. Schmid. Philippus, Circa illa trophæa, forte ad ἀρετὰς referens. Omnes Edd. præter Crat. hab. κεῖνον. Vulg. Circa illum. Lonicer. exponit Æacum. Totum hunc locum male intelligi suspicamur. 60 Κελαδῆμεν leg. Schmid. & κελαδέειν Bened. Textum ad libitum mutantes. 62 Ορθωθεῖσα] A nautis erecta vel defensa, navalique prælio servata. Port. 63, 64 Posterius colon prius explicat, quod nemo non videt. 65 Κατάβρεχε σιγᾷ] Silentio complue. i e. ut Expon. Lonicer. Non plane cela : Philip. Silentio mergito, à quibus non longe abest Schol. Σιγᾷ Adverbialiter accipit Vulg. Tacite. Aret. Irrigata pluvia fœcundiora redduntur ; adeo ut non velit eam historiam silentio opprimi, sed irrigari, & peculiari præconio reservari. Vide Isth. 1, 88. 66 Τάδε καὶ τὰ] Non ἀντιθετικῶς vult intelligi Schmid. ut hab. Schol. sed μερισικῶς Hæc & illa quæcunque sint.

[Τοῖσιν Αἴγιναν προφέρει στόμα.] τουτέστι τοῖς προειρημένοις. κατὰ ἀπόδοσιν δὲ ὁ λόγος. οὗτοι τάδε καὶ τάδε ἔπραξαν, οἷς ὁ λόγος τὴν Αἴγιναν πατρίδα δίδωσιν. ὃ δὲ βούλεται λέγειν τοιοῦτόν ἐστιν. εἴ τις ἐρωτήσειεν αὐτοὺς, τίνες εἰσὶν οἱ τὰ προκείμενα διαπεπραγμένοι, πάντες ἂν εἴποιεν, ὅτι οἱ ἀπὸ Αἰγίνης. [Τετείχισαι δὲ πάλαι πύργος.] κατεσκεύασαι δὲ ἐκ πολλοῦ τῆς τῶν Αἰακιδῶν ἀρεταῖς, πύργος ὑψηλότατος τῷ ὕμνῳ, ἀναβαίνειν, καὶ ὑψοῦσθαι, ἐφ' ὅσον βούλεται. [Αλλως.] τοσαῦται εἰσὶ περὶ τὰς Αἰακίδας ἀρεταὶ, ὥστε πύργον ἐξ αὐτῶν οἰκοδομεῖσθαι. ἀλληγορεῖ δὲ ὡς ἐπὶ τούτων πρότερον. διὸ καὶ τεῖχος ὑψηλὸν εἶπε. θέλει δὲ εἰπεῖν ὅτι ὑφέστηκεν αὐτοῖς ἡ εὐδοξία· ὥστε διὰ τῆς ἀρετῆς ἐπ' αὐτὴν ἀναβαίνειν. οἷον ὑψοῦται αὐτῶν ἡ ἀρετὴ, ὥσπερ τεῖχος. ἔστι γὰρ τὴν αὔξησιν, πύργον καὶ τεῖχος εἴωθε λέγειν. ἀφ' οὗ πυργοῦν τὸ αὔξειν καὶ ὑψοῦν λέγεται. [Πολλὰ μὲν ἀρτιεπὴς γλῶσσά μοι τοξεύματα.] τοξεύματα μεταφορικῶς λέγει, τοὺς ἐγκωμιαστικοὺς λόγους. ὡς καὶ ἐν ἄλλοις. Πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα βέλη. [Καὶ νῦν ἐν Αρεϊ.] ἤτοι, τῷ Πελοποννησιακῷ πολέμῳ. ἤκμαζε γὰρ κατὰ τὸν τούτων νίκην. ἢ ὅτι μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν προσφάτως γεγενημένην, ἐγράφη ἔστιν ὁ ἐπίνικος. ὁ δὲ νοῦς τοιοῦτος. καὶ ἐπὶ τοῦ παρόντος τῷ πολυφθόρῳ πολέμῳ τῇ τῶν Αἰγινητῶν ἀρετῇ, μαρτυρήσειεν ἂν ἡ Σάλαμις, ἀνορθωθεῖσα τῶν κινδύνων, τοῖς Αἰγινήταις κατὰ τὴν ναυμαχίαν ἀριστεύσασιν. ἐμβαλόντων γὰρ τῶν Περσῶν τῇ Σαλαμῖνι, συμμαχήσαντες οἱ Αἰγινῆται καὶ κατορθώσαντες, τὸ πλεῖον τοῦ πολέμου κατειργάσαντο. ἢ οὕτω. καὶ γὰρ ἐν τῷ Αρεϊ, καὶ τῷ χαλαζήεντι Διὸς ὄμβρῳ, καὶ τῷ πολυφθόρῳ τῶν ἀναρίθμων ἀνδρῶν φόνῳ, μαρτυρήσειεν ἡ πόλις τοῦ Αἴαντος Σαλαμὶς, ὀρθωθεῖσα ὑπὸ τῶν ναυτῶν Αἰγινητῶν. νησιῶται γάρ. [Εν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ.] ὄμβρον μὲν τὸν πόλεμον εἴρηκεν. οἷον, τὸν ὑπὸ τοῦ θεοῦ καταπεμφθέντα· διὰ τὸ τοῦ βαρβαρικοῦ στρατιᾶς πλῆθος ὑπαινίττεται τὴν περὶ Σαλαμῖνα ναυμαχίαν τῶν Ελλήνων. ἧς ἔλαβον τὰ ἀριστεῖα οἱ Αἰγινῆται. καθὰ φησὶν Ηρόδοτός τε, καὶ Εφορος. ὁ δὲ νοῦς. ἐν ᾧ, ἐν τῷ πολυφθόρῳ πολέμῳ, τὸ τῶν πεπτωκότων πλῆθος, ἰσάριθμον ἦν, τῷ χαλαζήεντι Διὸς ὄμβρῳ. [Αλλ' ὅμως καύχημα κατάβρεχε σιγᾷ.] ἀλλ' ὅμως, εἰ καὶ τηλικαῦτα εἰσὶ τῶν Αἰγινητῶν τὰ κατορθώματα, βρέχε καὶ ἐπικάλυπτε τῇ σιωπῇ, διὰ τὸν ἔξωθεν φθόνον. ὁ γὰρ δὴ Ζεὺς τὰ πάντα τοῖς ἀνθρώποις ἀπονέμει, καὶ τὰ φαῦλα, καὶ τὰ ἀγαθά. [Εν δ' ἐρατεινῷ μέλιτι.] ἔνιοι, οὕτως. ἐν τοιούτῳ μέλιτι γὰρ καὶ ἡδονῇ ὄντες, καὶ τιμῇ τοιαύτῃ, τὸ ἐπίνικον χάρμα ἀγαπῶσιν. ὅ ἐστι, τὸν ὕμνον. ἢ οὕτως, αἱ τῶν νικηφόρων τιμαὶ, τὴν ἐπινίκιον ᾠδὴν

ἀγαπῶσιν

Μέλιτι, καὶ τοιαίδε τιμαὶ	Melle, etiam hujusmodi honores
Καλλίνικον χάρμ' ἀγαπά-	Ex-hymno-victoriali gaudium a-
ζοντι. Μαρνάσθω τις ἔρδων,	mant. Contendat quispiam gerens,
ἐπῳδὸς γ'. κώλων ια'.	Μεταφρ.
Αμφ' ἀέθλοισιν, γενεὰν Κλεονίκου	Circa certamina, familiam Cleonici
Εκμαθών. Οὔ τοι τετύφλωται μακρὸς	Ubi-cognoverit. Non sane excæcatus-est longus
Μόχθος ἀνδρῶν· οὐδ' ὁπόσαι δαπάναι	Labor virorum: neque quanti sumptus
Ελπίδων, ἔκνισ' ὄπιν.	Spei *fuerint*, molestia-affecit curam *eorum*.
Αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις,	Laudo & Pytheā inter membrorū-domitores,
Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι.	*Quod* Phylacidæ plagarum cursum direxerit,
Χερσὶ δεξιόν, νόῳ ἀντίπαλον.	Manibus agilem, prudentia reluctantem.
Λάμβανέ οἱ στέφανον·	Accipe ei coronam;
Φέρε δ' εὔμαλλον μίτραν·	Ferque bene-villosam mitram;
Καὶ πτερόεντα νέον	Et alatum novum
Σύμπεμψον ὕμνον.	Una mitte hymnum.

Paraphrasis.

istiusmodi facinora honorem merita, quæ nunc silentio irrigare volo, amant carmen encomiasticum instar mellis delectabile, quo in præclaræ victoriæ laudem composito læti ovant. Cæterum alius quispiam athletices studiosus det operam certaminibus, & circa illa se occupet cognita virtute familiæ Cleonici avi paterni Phylacidæ, quæ tanquam exemplar imitatione digna est. Utique tenebris non est obvelatum quod viri illi longis laboribus gesserunt. Neque quantoscunque sumptus fecerint, hoc susceptam pro speratis cœptorum eventibus solicitudinem ulla molestia affecit, cum gratos successus obtinuerint. Porro Pytheam unctorem & magistratum inter athletas manuum dexteritate pollentem ad percutiendum adversarium, & prudentia valentem ad ei apposite reluctandum, prætermittere illaudatum nolo, quod Phylacidæ in plagis infligendis impetum & celeritatem direxerit. Accipe igitur ipsi victori coronam ex apio, vittamque flava lana contextam affer, coronæ super imponas. Cum his etiam novum hunc hymnum mitte, quo huc illuc volante virtutis ipsius fama divulgetur.

NOTÆ.

68 Τοιαῖδε Edd. omnes præter Crat. & Schmid. 73 Οὐδ' ὁπόσαι] Neque enim pœnitet eos sumptuum propter felicem successum. Schmid. Aristarchus, in prima persona ἔκνισα, apud Schol. Alii ἔκνισε vel ἔκνιξε, & volunt σχῆμα esse Πινδαρικόν, quale est Ol. 11, 5. redduntque, Nec sumptus quicunque spei sollicitudinem molestia affecerunt. Ὁπόσαι vero est Quanti non Quicunque. Ἔκνισε vero à κνίζω, Revolvere sumptus ejusmodi impensos, & gaudium quoddam in animo parit. & tamen simul etiam dolorem. Κνίζειν est, Urere, qua ratione Amor ita dicitur. 78 Λάμβανέ οἱ] Alloquitur præconem, qui victorem in cœtu publico proclamare & coronare solebat. Aret. aliter quam Schol. 79 Εὔμαλλον μίτραν] Quia Coronis vitta adaptabatur non Pectoribus, Schmid. leg. pro † τοῖς στέρνοις in Schol. τοῖς στεφάνοις. 80 Νέον] Αἰνεῖ δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων νεωτέρων. Ol. 9, 73. Unde constat νέῳ male legi à quibusdam.

ἀγαπῶσιν ὡς μέλι καὶ φιλοῦσιν. οἷον, ὡς ἐν μέλιτι γλυκύτης ἐστὶν, οὕτω καὶ τοῖς νικῶσιν οἱ ἐπινίκιοι ᾠδαί. ἢ οὕτω. καὶ αἱ τοιαῖδε τιμαὶ, καίπερ ἐν μέλιτι οὖσαι, τουτέστιν ἥδουσαι, ὅμως ἀγαπῶσι τὸ καλλίνικον χάρμα. τουτέστι, τὴν ἐκ τῶν γεγραμμένων ἐπινίκων χαρὰν ἀγαπῶσι. τιμὰς γὰρ λέγει, τὰς ἐκ τῶν νικῶν περιγινομένας δόξας. ὁ δὲ νοῦς, οὕτως. ἐν γὰρ τοιαύτῃ τῇ λόγου ἡδονῇ καὶ τῇ τῶν κατορθωμάτων νίκῃ ἡ τιμὴ, τὸ τῆς νίκης ἐγκώμιον ἀγαπητῶς καὶ οὐχ ὑπεροπτικῶς δέχονται. καί τοι παρὸν αὐτοῖς ἀλαζονεύεσθαι ἐπὶ τῇ τῶν κατορθωμάτων τιμῇ. [Μαρνάσθω δέ τις ἔρδων.] ὁ λόγος προστακτικός. ἀγωνιζέσθω φησί τις ἐν ἀγῶσι καὶ ἀντεχέσθω τῶν ἄθλων, τὸ Κλεονίκου τὸ γένος ζηλώσας. Κλεόνικος δὲ πατήρ ἐστι τοῦ Λάμπωνος. ὁ δὲ Λάμπων, τοῦ Φυλακίδα. οὐδαμῶς γὰρ ἀποκέκρυπται καὶ ἀφανής ἐστιν, ἡ τῶν πολυχρονίων πόνων σπουδή. [Οὐδ' ὁπόσαι δαπάναι.] Αρίσταρχος οὕτως. οὐδὲ ὁπόσαι δαπάναι αὐτοῖς ἐγενήθησαν ἐπὶ τῶν ἐκβεβηκυιῶν ἐλπίδων τῶν περὶ τὴν νίκην, ἔκνισα τῇ φωνῇ· οὐδὲ ἐλυπήθην· ἀλλὰ τοὐναντίον ὕμνησα αὐτούς. ἔνιοι δὲ καταλληλότερον γράφουσι σὺν τῷ νῷ. [ἔκνιξ' ὄπιν.] ἵν' ᾖ Πινδαρικὸν σχῆμα. οὐκ ἔκνιξαν αἱ δαπάναι. οὐδὲ ὁ μόχθος αὐτῶν τετύφλωται, ἀλλὰ ὀξυδερκεῖ, καὶ ἔχει καλὰ ἀποτελέσματα. ὥστε εἶναι. οὐδὲ ὁπόσαι δαπάναι τὴν τῶν ἐλπίδων ὄπιν, τουτέστι τὸ μέλλον ὀπίσω ἔσεσθαι, ἔκνισαν, καὶ ἐλύπησαν. [Αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις.] οὗτος ὁ Πυθέας ἐπεστάτησε τοῦ Φυλακίδα. ἢ καὶ ὁμώνυμός τις τούτῳ· ἐπαινῶ οὖν φησι καὶ τὸν ἀλείπτην αὐτοῦ τοῖς πόνοις τοῖς γυιοδάμαις. ποιήσαντα τὸν τῶν πληγῶν δρόμον εὐθυπορῆσαι. παγκρατιαστὴς γὰρ, διὸ εὐθυπόρουν αἱ πληγαί. ἤτοι, τὴν τῶν πληγῶν ὁρμήν τε καὶ σπουδὴν, πληγὴν δρόμου φησίν. ἵνα λέγῃ τὸ παγκράτιον. συνεχεῖς γὰρ αἱ τῶν χειρῶν ἐξορμήσεις. ἐν γυιοδάμαις δὲ, τοῖς ἀθληταῖς. τοῖς τὰ γυῖα τῇ γυμνασίᾳ καταπονοῦσιν. ἢ τοῖς καταπονοῦσι τὰ τῶν ἐναντίων γυῖα. [Χερσὶ δεξιὸν, νόῳ ἀντίπαλον.] τουτέστιν ἴσα ἐπιτάγματα ἔχοντα ἐν τῷ νοεῖν, καὶ τοῖς ἐπιτάγμασι τῶν χειρῶν. οἷον, καθ' ἑκάτερον ἐπίσης ἐπιδέξιον. [Λάμβανέ οἱ στέφανον.] οἱ μὲν τὸν λόγον πρὸς τὴν Αἴγιναν φασὶν εἶναι. ὑποδέχου αὐτοῦ τὸν στέφανον. οἱ δὲ, πρὸς τὴν μοῦσαν. καὶ στέφανον μὲν τὸν ἐπίνικον λέγει. εὔμαλλον δὲ μίτραν, τὴν ταινίαν τὴν ἐξ ἐρίου ξανθοῦ † τοῖς στέρνοις περιπλεκομένην.

Τέλος τοῦ πέμπτου τῶν Ἰσθμίων εἰδοῦς.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΕΚΤΟΥ ΤΩΝ ΙΣΘΜΙΩΝ ΕΙΔΟΥΣ.

ΤΟΥ ἕκτου εἴδους, ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ιγ'. Τὸ α', ἰαμβέλεγος. Τὸ β', τροχαϊκὸν εἰς ἴαμβον καταλῆγον. Τὸ γ', δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ δ', δακτυλικὸν ἑφθημιμερές. Τὸ ε', ἴαμβος δίμετρος ὑπερκατάληκτος. Τὸ ς', πενθημιμερὲς δακτυλικόν. Τὸ ζ', δίμετρον ἰαμβικὸν ἀκατάληκτον. μετ. τ̄ε εὑρη). Τὸ η', δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ θ', τροχαϊκὸν, ἐπίτριτος. Τὸ ι', τρίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ια', ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. Τὸ ιβ', Βακχειακόν. Τὸ ιγ', ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτοῦ.

Ἡ ἐπῳδὸς, κώλων ια'. Τὸ α', ἐκ Σαπφικοῦ τοῦ ια', Πινδαρικόν. ἤτοι, κοινή ἐστι. Τὸ β', ἰαμβέλεγος. τοῦ τέλους ἐπὶ τῆς ἀρχῆς μετατεθέντος. Τὸ γ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ', πενθημιμερές. Τὸ ε', Εὐριπίδειον. Τὸ ς', παρὰ τὸ Ἀρχιλόχειον, ἐρασμονίδη χαρίλαε. ἔστι δὲ συγκείμενον πλεονάζοντος μιᾷ συλλαβῇ, καὶ ἰθυφαλλικοῦ μεμειωμένου τοῦ ἰθυφαλλικοῦ ἑνὶ τροχαίῳ. Τὸ ζ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η', ἐγκωμιολογικόν. Τὸ θ', ἐγκωμιολογικὸν παρὰ συλλαβὴν μίαν, τοῦ πενθημιμεροῦς ἰαμβικοῦ. Τὸ ι', Τὸ ια', Σαπφικόν.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ.

Φυλακίδᾳ, Πυθέᾳ, Εὐθυμένει.] πεποίηται ὁ ἐπινίκιος οὗτος, Φυλακίδᾳ, καὶ Πυθέᾳ καὶ Εὐθυμένει, παγκρατιασταῖς, καὶ Νεμέᾳ. τῶν δὲ ῥηθέντων ὁ Εὐθυμένης ἐστὶ, μητράδελφος αὐτῶν.

Ratio vero metrica ita ſe habet :

στροφὴ & ἀντιστροφή.

1.	- - u -	- - u u	- u u -	
2.	- u - -	- u - -	- u u -	
3.	- u - -	- u - -		
4.	- u u	- u u	- u u	-
5.	- - u -	- - u -	-	
6.	- u u	- u u	-	
7.	- - u -	- - u -		
8.	- u u	- u u	- u	
9.	- u - -	- u u -		
10.	u u u -	- - u -	- u u u	-
11.	- - u -	- - u u	-	
12.	u u - -	- u u		
13.	- - u -	- - u -	-	

ἐπῳδός.

1.	- u - -	- u u -	u u -	
2.	- u - -	- u u -	u u - -	
3.	- u - -	- u - -		
4.	- u u	- u u	-	
5.	- u - -	- u -		
6.	- - u u	- u u -	u - u -	-
7.	- u - -	- u - -		
8.	- u u -	u u - -	- u - -	
9.	- u u -	u u - -	- u -	
10.	- u - -	- u u -	u u	
11.	- - u -	- u - -	- u -	

ΦΥΛΑΚΙΔΑ, ΠΥΘΕΑ ΕΥΘΥΜΕΝΕΙ ΜΑΤΡΩΙ.

ΕΙΔΟΣ ϛ΄.

PHYLACIDÆ, PYTHEÆ, EUTHYMENI AVUNCULO.

ODE VI.

ARGUMENTUM.

Tres Pancratiastas Phylaciden, Pytheam fratres, & eorum Avunculum Euthymenem laudat à Nemeæa & Isthmica Victoria; & Olympicam habet in votis; Item à Lamponis felicitate, virtute, & victoriis, à Majoribus Æacidis, à Majoribus Psalychiadis, ab avo materno Themistio, ab Ægina patria, inter quæ est Digressio ad Herculis, Telamonis & Pelei Historiam.

στροφὴ α΄. κώλων ιγ΄.

Θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου
Δεύτερον κρατῆρα μοισέων μελέων
Κίρναμεν, Λάμπωνος εὐά-
θλου γενεᾶς ὕπερ. Ἐν Νεμέᾳ
Μὲν πρῶτον ὦ Ζεῦ τὶν, ἄωτον
Δεξάμενοι στεφάνων.
Νῦν αὖτ᾽ ἐν Ἰσθμῷ, δεσπότᾳ
Νηρηΐδεσσί τε πεντή-
κοντα, παίδων ὁπλοτάτου

METAPH.

Florentis virorum ac si convivii
Secundum craterē musicorum carminum
Miscemus, pro Lamponis strenue-cer-
tante progenie. In Nemea
Quidē primum ô Jupiter tibi *miscuimus*, florē
Quum acciperemus coronarum.
Nunc autem in Isthmo, Domino *ejus Neptuno*
Nereidibusque quinqua- [minimo
ginta, *miscemus* filiorum *Lamponis* natu

PARAPHRASIS.

Quemadmodum in lauti virorum convivii progressu, secundum craterem propinare solent: sic ego florente Lamponis filiorum strenuorum athletarum virtute, secundum carmen encomiasticum illis scribo. Primum quidem Jovi, cui funditur primum poculum, inscripsimus, quum Pytheas pro Nemeæa victoria pulchre coronatus est. Nunc autem secundum Neptuno Isthmi domino, Nereidibusque quinquaginta conscribo: quandoquidem Phylacides Lamponis filiorum natu minimus

NOTÆ.

1 Θάλλοντος ἀνδρῶν] Celebrationem victoriarum filiorum Lamponis, cum crateribus convivalibus comparat. De tribus hisce Crateribus, qui sapientum sunt, ut & reliquis, qui furentium fiunt, Athenæus lib. 2. adiri potest; quem locum, licet ab interp. plerisque in Commentarios suos ad hoc κῶλον relatus sit, tamen quia nobis videtur nihil continere, nisi quod quisque, qui bonis moribus, & præsertim Temperantiæ legibus imbutus est, probe norit, plane omisimus. 2 Δεύτερον κρατῆρα Hæc verba putaruntii, qui hos hymnos collegerunt, & in ordinem redegerunt, respicere ad præcedentem hymnum, quem etiam ob hanc causam priorem in ordine esse voluerunt. Verum respiciunt ad Craterem Poëticum primum, quem ob victoriam Nemeam Pytheæ propinavit, Nem. 5. ut sequentia verba manifeste indicant: ideoque hanc ob causam ille, qui tempore posterior est, huic non erat præponendus. Schmidius. Μοισᾶν leg Schmid pro Comm. Μυσῶν, qui igitur cum Vulg. Versione reddit, Musarum; licet Lonicerum bene vertisse, Musicorum, fateatur. Ad firmandam hanc conjecturam affert, Isthm. 1, 28. Φιάλαισι χρυσοῦ, pro χρυσίαις. Benedictus vero, cui hæc sententia displicet, legit Μυσικῶν, cui quidem favet Scholiastes, qui interpretatur μυσικῶν; idem & nobis æque: qui Ionicum μοισέων juxta Codd. fidem retinendum arbitramur. Alteram causam, cur Benedictus ita legat, & suam conjecturæ Schmidii anteferat, ipsius verbis accipe. Sic durus duorum Substantivorum, quamvis Poëtæ tolerabilis concursus evitatur. Quæ si omnino pro illius sententia pugnet, de qua re dictum est alibi; pariter etiam cum nobis stet necesse est. Quod autem ad metrum attinet, est Ditrochæus pro Epitrito secundo. Vide sis not. ad Init. Od. 4. 5 Schmid. τεὶν quale est apud Homerum vel τὶν, quod Doricum est. Latina Versio redd. Tuarum sc. Coronarum, quasi τεῶν legeret Interpres. 8 Νηρεΐδεσσι leg. Schmid.

Θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου.] ὥσπερ ἀκμάζοντος φησὶ συμποσίου, καὶ δεύτερον κρατῆρα, οὕτω καὶ ἡμεῖς τοῖς Λάμπωνος υἱοῖς, θάλλουσι καὶ ἀκμάζουσιν αὐτοῖς, καὶ δεύτερον σπένδομεν κρούσμα, μουσικῶν ἐγκωμίων. τὸ δὲ Λάμπωνος εὐάθλου γενεᾶς. τουτέστιν, ὑπὲρ τῶν κατορθωμάτων τῶν Λάμπωνος. [Ἐν Νεμέᾳ μὲν πρῶτον ὦ Ζεῦ.] δεξάμενοι φησὶ τὸ ἄνθος τῶν στεφάνων ἐν Νεμέᾳ, σοὶ ὦ Ζεῦ πρῶτον κίρναμεν κρατῆρα. ὁ πρῶτος οὖν κρατὴρ, Διὸς Ὀλυμπίου· ὁ δεύτερος, γῆς καὶ ἡρώων· ὁ τρίτος, Διὸς σωτῆρος. [Νῦν αὖτ᾽ ἐν Ἰσθμῷ.] νῦν δὲ νικήσαντος ἐν Ἰσθμῷ, τουτέστι τὰ Ἴσθμια τοῦ νεωτέρου Φυλακίδου, τῷ δεσπότῃ αὐτοῦ Ποσειδῶνι, καὶ ταῖς Νηρεΐσι, κίρναμεν τὸν δεύτερον κρατῆρα.

[Εἴη

Φυλακίδα νικῶντος. Εἴη δὲ τρίτον	Phylacida vincente. Contingat autem tertium
Σωτῆρι πορσαίνοντας Ὀλυμ-	Servatori parentes Olym-
πίῳ, Αἴγιναν κατα-	pio, Æginam persun-
σπένδειν μελιφθόγγοις ἀοιδαῖς.	dere mellisonis carminibus.
ἀντιστροφὴ α'. κῶλον ιγ'.	Μεταφρ.
Εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε χαρεὶς	Si quis enim hominum sumptuque delectatus
Καὶ πόνῳ, πράσσει θεοδμάτους ἀρετὰς,	Et labore, exercet à-Deo-paratas virtutes,
Σύν τέ οἱ δαίμων φυτεύει	Simulque ei fortuna serit
Δόξαν ἐπήρατον, ἐσχατιαῖς	Gloriam amabilem; is extremitates
Ἤδη πρὸς ὄλβου βάλλετ' ἄγκυ-	Jam ad beatitatis jacit anco-
ραν θεότιμος ἐών.	ram, divinitus-honoratus existens.
Τοίαισιν ὀργαῖς εὔχεται	Talibus moribus optat
Ἀντιάσαις ἀΐδαν γῆ-	Obvians, mortem sene-
ράς τε δέξασθαι πολιὸν	ctamque excipere canam.
Ὁ Κλεονίκου παῖς. Ἐγὼ δ' ὑψίθρονον	Cleonici filius. Ego vero altithronam

PARAPHRASIS.

Isthmia devicit. Atque utinam tertium Jovi Olympio servatori, cujus tertium erat poculum, compingere contingat, & pro victoria Olympica ab illis post hac paranda, Æginam dulcibus hymnis cohonestare. Summam autem fœlicitatem nacti sunt, sumptibus & labore virtutem insitam exercentes, & gloriam ex successibus consequentes. Nam siquis hominum æquo animo sumptus facit, & labores obit ad exercendas à Deo collatas virtutes, ipsique favens Deus, gloriam, cujus vehementi amore tenentur homines, parit: divino munere honorem consequutus, ad summum fœlicitatis fastigium pervenit, in quo tanquam jacta anchora stabilitus, fortunæ fluctibus manet inconcussus. In his studiis versatus Lampon Cleonici filius, senectutis emeritæ canitiem excipere, & ad Orcum ire optat. Ego autem venerandam

NOTÆ.

10 Schmid leg. τρίταλον. 14 Χαρεὶς] Lonicer. redd. Adjutus. 16 Σὺν Schol. conjungit cum φυτεύει, ut sit Tmesis. Φυτεύει] Plantat, ex parvo initio in magnum incrementum producit. Schmid. 17 Editt. Brub. Rom. & Crat. hab. ἐσχατιᾶς in Gen. Sing. Ad summam felicitatem pervenit. Et quidem sua in tuto collocavit, ut is qui jecit ancoram. 18 Βάλλετ' pro βάλλεται, Unde exponendum videtur in Præsenti, non Jecit, ut Vulg. & Schmid. sensum attendentes. 19 Θεότιμος] A Deo honoratus. Vox hæc cum pluribus aliis quæ in hoc Autore leguntur in vulgatis Lexicis non reperiuntur. Θεοτίμητος vero non longe abest. 21 Αντιάσαις] Vel quoniam jam ante ἠντίασε, ideo nunc in Præsenti εὔχεται ἀΐδαν, tanquam suis partibus defunctus, ut exponit Lonicerus. Vel quod optet, ut in futurum hisce ὀργαῖς ἀντιάσας, ἀΐδαν καὶ γῆρας δέξηται, i.e. Ut vita tamdiu sibi frui liceat, usque dum ad hanc felicitatem pervenerit, & ut hisce moribus & tali sorte ad extremam usque ætatem, imo ad mortem usque, uti sibi liceat. Ἀΐδαν vero & γῆρας conjungit ut intelligat, Mortem in senectute. 23 Ὑψίθρονον αὖ Schmid.

[Εἴη δὲ τρίτον σωτῆρι πορσαίνοντας.] ὁ λόγος, εὐκτικός. εὔχεται δὲ τὸν δεύτερον τῶν ᾠδῶν κρατῆρα κεράσαι, νικήσαντος αὐτοῦ τὰ Ὀλύμπια. τὸν δὲ τρίτον κρατῆρα Διὸς σωτῆρος ἔλεγον. καθὰ καὶ Σοφοκλῆς ἐν Ναυπλίῳ, Ζεῦ παυσίλυπε. καὶ Διὸς σωτηρίου σπονδὴ τρίτου κρατῆρος. τὸν μὲν γὰρ πρῶτον Διὸς Ὀλυμπίου ἐκίρνασαν. τὸν δὲ δεύτερον ἡρώων. τὸν δὲ γ'. Διὸς σωτῆρος. καθὰ καὶ Αἰσχύλος ἐν Ἐπιγόνοις. Λοιβὰς Διὸς μὲν πρῶτον ὡραίου γάμου, Ἥρας τε. εἶτα τὴν δευτέραν γε κρᾶσιν ἥρωσι νέμω. εἶτα τρίτον, Διὸς σωτῆρος εὐκταίαν λίβα. Διὸς δὲ σωτῆρος ἔλεγον τὸν τρίτον, διὰ τὸ τοὺς τοῦτον πίνοντας, καθαροὺς γίνεσθαι. τοὺς δὲ μετὰ τοῦτον, εἰς ἄτην καὶ ἀνομίαν καὶ ἀσέλγειαν τρέπεσθαι. ἔλεγον δὲ αὐτὸν καὶ τέλειον, διὰ τὸ τέλειον εἶναι τὸν τρίτον ἀριθμὸν, ἀρχὴν ἔχοντα, καὶ μέσον, καὶ τέλος. ὁ δὲ νοῦς. εἴη δὲ ἡμᾶς, καὶ τρίτον τῷ σωτῆρι καὶ Ὀλυμπίῳ Διῒ στῆσαι κρατῆρα. καὶ ταῖς ἡδείαις ᾠδαῖς ἀνυμνεῖν τὴν Αἴγιναν. δύναται μὲν οὖν τοῦτο καὶ οὕτω. κατὰ Αἴγιναν σπένδειν. δύναται δὲ καὶ τὸ ἑξῆς, κατασπένδειν τὴν Αἴγιναν. χαριέντως δὲ τὸ καταπένδειν, ὡς ἐπὶ κρατῆρος καὶ σπονδῆς, διόλου τροπικῶς ἐφυλάχθη. ὁ δὲ λέγει, τοιοῦτόν ἐστι· γένοιτο αὐτὸν καὶ Ὀλύμπια νικῆσαι. [Εἰ γάρ τις ἀνθρώπων.] εἰ γάρ τις φησὶ τῶν ἀνθρώπων καὶ ἐπὶ τῷ δαπανᾶν εἰς τὰ τοιαῦτα χαρεὶς, καὶ οὐχ' ὑποστειλάμενος δαπάνην, καὶ ἐπὶ τὸ πονεῖν τῷ ἰδίῳ σώματι, τουτέστι, καὶ φιλοπονήσας πράττει τὰς θεοδμήτους ἀρετὰς, ὅ ἐστιν, ὑπὸ θεῶν δεδομημένας, καὶ κατεσκευασμένας, ὁ θεός τε αὐτῷ συμφυτεύει δόξαν. πάντων φησὶ τούτων μετέχων, πρὸς τὴν ἐσχατιαῖς τοῦ ὄλβου, βάλλεται ἄγκυραν. ὅτι, ὁρμίζει ἐπ' ἄκρον τῆς εὐδαιμονίας. ὥστε ἂν μὴ ποῤῥωτέρω δύνασθαι προελθεῖν, τῆς εἰς ἄνθρωπον πίπτούσης εὐδαιμονίας. ὁ δὲ νοῦς. εἰ γάρ τις ἀνθρώπων ἐπὶ τῇ δαπάνῃ χαρεὶς καὶ ἡσθεὶς, γλυκεῖαν ἔχει τὴν ἔκβασιν, καὶ τὰς ἐκ θεῶν ἀρετὰς κατορθοῖ, καὶ ἡ τύχη αὐτῷ ἐπιρρεῖ δόξαν ἐπέραστον, γινωσκέτω ἤδη, πρὸς τὸ ἔσχατον καὶ ἄκρον τῆς εὐδαιμονίας ἑαυτὸν προσορμίσας. [Τοίαισιν ὀργαῖς εὔχεται ἀντιάσαις.] τοιούτοις τρόποις φησὶν εὐδαιμονίας ὁ παῖς τοῦ Κλεονίκου Λάμπων συντυχὼν εὔχεται λοιπὸν τόν τε θάνατον, καὶ τὸ γῆρας δέξασθαι. [Ἐγὼ δ' ὑψίθρονον Κλωθώ.] ἐγὼ δὲ τὴν τιμίαν φησὶ Κλωθὼ, καὶ τὰς αὐτῆς ἀδελφὰς, παρακαλῶ τελειῶσαι τὰς εὐχὰς αὐτοῦ, ὅ ἐστιν ἐπακοῦσαι, καὶ ἐπακολουθῆσαι ταῖς εὐχαῖς τοῦ φίλου ἀνδρός. καὶ τέλος ἐπιθεῖναι. προσηύξατο δὲ καὶ Ὀλύμπια νικῆσαι. καὶ τρίτον κρατῆρα κεράσαι. ἐφίεμαι δὲ οὐ κυρίως αἱ εὐχαὶ, ἀλλ' αἱ ἐντολαί. εὐχὴ δὲ, ἡ παρὰ τῶν ὑπερεχόντων αἴτησις.

[Τμμετ'

Κλωθὼ κασιγνήτας τε προσεν-	Clotho sororesque *ejus* allo-
νέπω, σπέσθαι κλυταῖσιν	quor, *oro ut* sequantur nobiles
Ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς.	Viri chari Parcæ preces.
ἐπῳδὸς α'. κώλων ια'.	ΜΕΤΑΡΗ.
Ὑμμέ τ' ὦ χρυσάρματοι Αἰακίδαι,	Vosque ô aureis-curribus-insignes Æacidæ,
Τέθμιόν μοι φαμὶ σαφέστατον εἶναι,	Institutum mihi profiteor certissimum esse,
Τάνδ' ἐπιστείχοντα νᾶσον,	*Quoties* ad hanc pervenero insulam,
Ῥαινέμεν εὐλογίαις.	Aspergere *eam* laudibus.
Μυρίαι δ' ἔργων καλῶν	Infinitæ autem facinorum præclarorum
Τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι,	Sectæ-sunt centum-pedes-latæ in ordine viæ,
Καὶ πέραν Νείλοιο παγᾶν,	Et ultra Nili usque fontes,
Καὶ δι' Ὑπερβορέους. Οὐδ' ἔστιν οὕτω	Et per Hyperboreos. Neque est ita
Βάρβαρος, οὔτε παλίγγλωσσος πόλις,	Barbara, aut à-lingua-nostra-aliena civitas,
Ἅτις οὐ Πηλέος ἀΐει κλέος	Quæ non Pelei audiat gloriam
Ἥρωος, εὐδαίμονος γαμβροῦ Θεῶν·	Herois, felicis Generi Deorum:
στροφὴ β'. κώλων ιγ'.	ΜΕΤΑΡΗ.
Οὐδ' ἄλις Αἴαντος Τελαμωνιάδα,	Neq; quæ *non audiat gloriam* Ajacis Telamo-niadæ,
Καὶ πατρός· τὸν χαλκοχάρμαν ἐς πόλεμον	Et patris *ejus*: quē armis-gaudentē, ad bellum
Ἄγε σὺν Τιρυνθίοισι	Duxit cum Tirynthiis

PARAPHRASIS.

Clothonem, ejusque sorores Parcas oro ut viri illius amici mei vota pro famæ claritudine secundent. Soleo autem (& assero exploratissimum esse me id consuevisse) vos ô Æacidæ qui pulchris curribus estis insignes, laudum rore perfundere, quoties ad hanc insulam, aliquem ejus civem celebraturus venio. Sexcentæ autem, eæque amplissimæ viæ una serie sectæ sunt, quibus vestrorum præclare factorum encomia perferantur, & ad Nili fontes versus Meridiem, perque Hyperboreos ad Septentrionem. Neque adeo barbara, nostraque abhorrens à lingua civitas extat, cui sit inaudita gloria Pelei herois, & fortunati Deorum, Nerei scilicet & Doridis generi, à quibus uxorem accepit Thetidem filiam. Nulla item cui non innotuerit virtus Ajacis filii Telamonis, & patris ejus, quem promptum alacremque militiæ socium Alcmena natus Hercules ad bellum æreis armis gaudens, cum Argiva manu

NOTÆ.

24 Ποτιννέπω Schmid. 25 Κλυταῖς, Schmid. 31 Τέτμηνται] Apertæ sunt viæ infinitæ. Schmid. existimat Metaphoram desumptam esse à locis Montanis vel Glacialibus, quæ transituris perfringenda sunt, & excidenda. Ἑκατόμπεδοι] Suidas refert παρ' Ἀθηναίοις, ἑκατόμπεδον καλεῖσθαι διὰ κάλλος καὶ εὐρυθμίαν, οὐ διὰ μέγεθος. Schol. vero hoc loco exponit, μεγάλαι. Quare ex conjectura Æmil. Porti sumpsit pro ἑκατόμπεδοι. Sed aliud est, Autore eodem, πούς, unde Latinum Pes; aliud πέδη, quod Pedicam significat. Forsan tamen eruditis verisimilius videbitur, exinde quod Latini ita loquerentur, apud Dores vel Æoles etiam in usu fuisse hujusmodi voces, quales in πεδος terminantur, ejusdem nimirum significatus ac si à ποδὸς deducerentur. Unde enim ni hoc ita se habeat, hac ratione pronunciare potuissent Romani. Ex hoc vero Suidæ loco Autor laudatus statuit, ἀκυρολογίαν & κατάχρησιν esse, cum à Scholiaste ita hæc vox exponatur. 33 Πέρα Alii. 36 Πηλέως Ed. Lutet. Perinde. 38 Οὐδ' ἅτις] Lonicer. Neque si ipsa Ajacis Telamonii, ejusve Parentis urbs fuerit. 39 Χαλκοχάρμαν Latina Versio, ut & Schol. refer. ad πόλεμον.

[Ὑμμέ τ' ὦ χρυσάρματοι Αἰακίδαι.] ὑμᾶς δὲ ὦ τίμιοι κατὰ τὰ ἅρματα Αἰακίδαι, νόμιμον καὶ συνῆθες εἶναί μοι λέγω σαφέστατον. καὶ δῆλον εἰς μνήμην εἰσερχομένῳ τῆς Αἰγίνης, προότερον ἐγκωμιάζειν. ἵνα τὸ ὑπερβατὸν οὕτως ἔχῃ. ἐμοὶ δὲ τὴν δὲ τὴν νῆσον ἐπιπορευομένῳ, προτέρους ὑμᾶς ὦ χρυσάρματοι Αἰακίδαι νόμιμόν ἐστι, ῥαίνειν τοῖς ὕμνοις καὶ ἐγκωμιάζειν. [Μυρίαι δ' ἔργων καλῶν.] τῶν γὰρ ἀγαθῶν ἔργων φησὶ πολλαὶ καὶ μεγάλαι αἱ τῶν ἐγκωμίων ὁδοί. ὥστε καὶ πέρα Νείλου διαβαίνειν, καὶ εἰς Ὑπερβορέους ἀκμητὶ καὶ ἀνεμποδίστως τὸ ἐγκώμιον. [Ἄλλως.] ὁδοὶ πολλαί εἰσιν ἑκατόμπεδοι. τουτέστι μεγάλαι, καὶ κατὰ τὸ ἑξῆς φέρουσαι τῶν ὑμετέρων πράξεων εἰς τοὺς ὕμνους, ἐπὶ τὰ πέρατα ὑμῶν ἥκει ἡ εὔκλεια, μέχρι Νείλου καὶ Ὑπερβορέων. τὰ δὲ ἑκατέρωθεν παρείληφε πέρατα, τὴν σύμπασαν οἰκουμένην θέλων εἰπεῖν. τέτμηνται δὲ, κατώρθωνται. προκεῖνται. [Οὐδ' ἔστιν οὕτω βάρβαρος.] οὐδαμῶς δέ ἐστιν οὕτω βάρβαρος, οὐδὲ τὴν γλῶσσαν ἀλλόκοτος πόλις, ἥτις τοῦ Πηλέως οὐ κατακούει τὴν δόξαν. [Οὐδ' ἥτις Αἴαντος Τελαμωνιάδα.] οὐδ' ἥτις πόλις τοῦ Τελαμῶνος τοῦ Αἴαντος παιδὸς, καὶ τοῦ πατρός. εἶτα ἀπὸ κοινοῦ, οὐ κατακούει τὴν δόξαν. ὅν τινα Τελαμῶνα, εἰς ἰσχυρότατον πόλεμον συνεπήγαγε σὺν τοῖς Ἀργείοις αὐτοῦ ὑπηρέταις ὁ Ἡρακλῆς, πρόθυμον ὄντα σύμμαχον. καὶ μεγάλην βλάβην τοῖς κατὰ Τροίαν οἰκοῦσιν ἥρωσι, τῶν τῆς Λαομέδοντος ἁμαρτιῶν χάριν. ὁ γὰρ Ἡρακλῆς μετὰ Τελαμῶνος δοκεῖ κατειργάσθαι τὰ πολλά.

[Εἶμι

Πρόφρονα σύμμαχον ἐς Τροίαν,	Promptum belli-socium ad Trojam, *quæ*
Ἥρωσι μόχθον, Λαομεδοντί-	Heroibus *fuit* labor, Laomedonti-
αν ὑπὲρ ἀμπλακίαν,	um ob delictum,
Ἐν ναυσὶν Ἀλκμήνας τέκος.	In navibus, Alcmenæ filius.
Εἷλε δὲ Περγαμίαν· πέ-	Cepit vero Pergamiam : occi-
φνεν δὲ σὺν κείνῳ Μερόπων	ditque cum illo *Telamone socio* Meropum
Τ' ἔθνεα, καὶ τὸν βουβόταν, οὔρεϊ ἴσον,	Gentes ; & bubulcum monti æqualem
Φλέγραισιν εὑρὼν Ἀλκυονῆ.	Ad-Phlegras nactus Alcyonea.
Σφετέρας δ' οὐ φείσατο	Suo vero non pepercit
Χερσὶν βαρυφθόγγοιο νευρᾶς	Manibus gravisono *arcus* nervo
ἀντιστροφὴ ε'. κώλων ιγ'.	Μεταφρ.
Ἡρακλέης. Ἀλλ' Αἰακίδαν καλέων	Hercules. Æaciden autem vocans
Ἐς πλόον, κήρυξε πάντων δαινυμένων.	Ad navigandũ, citavit omnibus epulantibus.
Τὸν μὲν ἐν ῥινῷ λέοντος	Hunc quidem in exuvio Leonis
Στάντα κελήσατο νεκταρέαις	Stantem jussit nectareis
Σπονδαῖσιν ἄρξαι καρτεραίχμαν	Libationibus auspicari fortem-bellatorem ·

PARAPHRASIS.

navibus adversus Trojam duxit, ad quam, ob Laomedontis perfidiam qui equos divino semine satos, Herculi pro liberata Hesiona promissos non dederat, capiendam heroes laborarunt. Et cum illo Telamone belli socio Pergamiam arcem expugnavit : Meropum quoque gentes , quæ Coon Cariæ Insulam adjacentem incolebant , interemit : item immanissimum illum montis instar procerum gigantem Alcyoneum , qui boves Solis rapuerat, Phlegræis Thraciæ in campis factum obviam prostravit Hercules : nec arcui suo pepercit, sed validis manibus gravisonum ejus nervum intendit. Qui cum Æaci filium Telamonem ad navigationis societatem invitatum ivisset, ipsemet ut præco, eum coram convivis omnibus citavit. Ac Telamonem quidem vir præstantissimus hunc fortem bellatorem

NOTÆ.

41 Τροίαν ἤ- Alii in hoc κώλῳ. Τροίαν Schmid. 42 Μόχθων nonnulli Codd. Schmid. μόχθον ἐπεξηγητικῶς ad Τροίαν refert, quæ fuit μόχθος ἥρωσιν. Quod dicit, ait Benedictus, vel ratione heroum Trojam expugnantium, vel expugnationem patientium. Vel legendum Λαμεδοντί- vel Λαο-κατὰ συνίζησιν. 43 Ὑπὲρ] Vulg. versio, Pro. 45 Εἷλεν Editt. omnes ante Schmid. 46 Μερόπων] Vulg. Versio, Hominum. Propriam vero Coorum. Inde Insula illa, Κῶς τῆς Μεροπίδος dicitur Pausaniæ El. post. 47 Οὔρεϊ ἴσον] Sicut Virgil. *Instar montis* equum nominat. Et Oppian l. 2. Κυνηγ. v. 517. Elephantem ingentem, κορυφῇ ὄρεος παναπαλίγκιον, videri dicit. 49 Χερσὶν annectitur huic κώλῳ in Editt. plurimis. 52 Κήρυξε] Vulg versio. Navigationem indixit voce præconis. Schmidius, Prædicavit, præconio affecit, convivantibus omnibus, i. e. Coram convivis, utpote quem societate hac præ aliis dignum judicaret. Sed hæc non placent Benedicto, qui neque hic laudis locum, neque præconis voce opus fuisse putat , cum ipsemet Telamonem adiisset ; & verisimile sit Herculem honoris causa proprio ore illum magni heroïs magnum filium ad συμμαχίαν invitasse. Quem sane hinc Lector judicasset tandem in Schmidii sententiam abiisse, nisi fuisset præmonitus. Rom. & Brub. Editt. hab. κήρυσε. Ald. κύρησε. 54 Κελήσατο] Telamon scil. ut hospes excipiens, jussit Herculem initium conversationis hospitalis à libatione facere. Schmid.

[Εἷλε δὲ Περγαμίαν.] καὶ ἐπόρθησε τὴν Πέργαμον φησίν. οὕτω γὰρ τὴν τῶν πόλεων ἀκρόπολιν λεγομένην εἴπεν, ὡς καὶ Ὅμηρος μνημονεύει καί μιν ναιομένην ὁ δὲ νοῦς. σὺν δὲ τῷ Τελαμῶνι, καὶ τὰ τῶν Κώων ἔθνη καταγωνισάμενος ἀνεῖλε. [Καὶ τὸν βουβόταν οὔρεϊ ἴσον Φλέγραισιν εὑρὼν Ἀλκυονῆ.] Φλέγρα, τῆς Θράκης χωρίον. διέτριβε δὲ ὁ Ἀλκυονεὺς, κατὰ τὸν Θρακικὸν Ἰσθμόν. βουβόταν δὲ τὸν βουκόλον φησὶ παρ' ὅ τὰς Ἡλίου βοῦς ἀπήλασε

τοξεύσας ὁ Ἡρακλῆς. ὁ δὲ νοῦς. ἐν δὲ τῇ Φλεγραίᾳ ὁ Ἡρακλῆς ἰδὼν τὸν Ἀλκυονέα μέγαν, καὶ ἐκτράπελον καὶ τερατώδη τὸ σῶμα, οὐκ ἐφείσατο τοῦ ἑαυτοῦ τόξου. καὶ τὸν Αἰακοῦ παῖδα τὸν Τελαμῶνα εἰς τοῦτον τὸν πλοῦν, καὶ ταύτην τὴν συμμαχίαν ἔτυχεν ἀνευρεῖν εὐωχούμενον τὸν Τελαμῶνα. [Ἄλλως.] ταῦτα ἀπήρτισαν, τὸ κατάλληλον οὐκ ἔχοντα. ἃ δὴ ὁ Ἀρίσταρχος σημειοῦται. καὶ εἰσὶν οἳ κεχιάσθαι φασίν. ὅτι ἰδίως ἐπιβέβληκεν ὡς ἐν διαστολῇ τοῦ, οὐκ ἐφείσατο. [Ἀλλ' Αἰακίδαν καλέων.] ἀνατρέχων ἐπὶ τὴν ἀρχὴν τῆς ἱστορίας. οὐκ ἔστι δὲ ἴδιον, ἐὰν ὁ ἀλλὰ, ἀντὶ τοῦ δὴ, τάσσηται, Αἰακίδαν δὲ καλῶν. νῦν ἄρχεται τῆς ἐπὶ μέρους ἀκριβῶς τὸ ὅλον προεκτεθείς. [Τὸν μὲν, ἐν ῥινῷ λέοντος στάντα.] τοῦτο ἰδίως. οὐ γὰρ ὁ Τελαμὼν ἐκέλευσε τῷ Ἡρακλεῖ ἐμβῆναι τῷ δέρματι καὶ εὔξασθαι, ἀλλ' αὐτὸς ὁ Ἡρακλῆς, τοῦτο κατ' ἰδίαν ἔπραξε προαίρεσιν. εἴληπται δὲ ἐκ τῶν μεγάλων † ἠοιῶν ἡ ἱστορία. ἐκεῖ γὰρ εὑρίσκεται ἐπιξενούμενος ὁ Ἡρακλῆς τῷ Τελαμῶνι. καὶ ἐμβαίνων τῇ δορᾷ καὶ εὐχόμενος. καὶ οὕτως ὁ διόπομπος αἰετὸς, ἀφ' οὗ τὴν προσωνυμίαν ἔλαβεν Αἴας. ἔνιοι δὲ, οὕτως ἀκούουσι. τοῦτον μὲν ῥινῷ λέοντος ἰδὼν ὁ Τελαμὼν τὸν Ἡρακλέα ἄρνω ἐφεστῶτα ἐν τῇ δορᾷ, παρεκελεύσατο αὐτῷ, ὡς ἧκεν ἐκ τῆς ὁδοῦ, σπένδειν. τουτέστι, μὴ ἀποθέμενον τὸ δέρμα, ἀλλ' ὡς εἶχεν, ἄρξασθαι τῶν σπονδῶν. ὡς ὅμοιον ἐστὶ, τῷ, Ἥφαιστε πρόμολ' ὧδε. Θέτις νύ τι σεῖο χατίζει. ὁ δὲ νοῦς. τοῦτον μὲν οὖν τὸν Ἡρακλέα σὺν τῇ τοῦ λέοντος δορᾷ στάντα, ἐκέλευσεν ὁ Τελαμὼν, σπονδῶν ἀπάρξασθαι, καὶ θῦσαι τοῖς θεοῖς.

† Brub. leg. ἠιῶν, & hab. in margine υἱῶν.

[Οἰνοδόκον

Αμφιτρυωνιάδαν·
Ανδῶκε δ' αὐτῷ φέρτατος
Οἰνοδόκον φιάλαν χρυ-
σῷ πεφρικυῖαν Τελαμών.
Ο δ' ἀντείναις οὐρανῷ χεῖρας ἀμάχους,
Αὔδασε τοιοῦτόν τ' ἔπος· εἴ
Ποτ' ἐμᾶν, ὦ Ζεῦ πάτερ,
Θυμῷ θέλων ἀρᾶν ἄκουσας,

ἐπῳδὸς ϛ'. κώλων ια'.

Νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις
Λίσσομαι, παῖδα θρασὺν ἐξ Ἐριβοίας
Ανδρὶ τῷδε, ξεῖνον ἁμὸν,
Μοιρίδιον τελέσαι·
Τὸν μὲν ἄρρηκτον φυὰν
Ωσπερ τόδε δέρμα με νῦν περιπλανᾶται
Θηρὸς, ὃν πάμπρωτον ἀέθλων
Κτεῖνά ποτ' ἐν Νεμέᾳ. Θυμὸς δ' ἑπέσθω.
Ταῦτ' ἄρα οἱ φαμένῳ πέμψεν Θεὸς
Αρχὸν οἰωνῶν μέγαν αἰετόν.
Αδεῖα δ' ἔνδον μιν ἔκνιξεν χάρις.

Amphitryoniaden:
Porrexitque ipsi præstantissimus
Vini-exceptricem phialam au-
ro horrentem Telamon. [rabilibus,
Ille vero extensis ad-cœlum manibus insupe-
Prolocutus-est tale verbum: Si
Unquam meam, ô Jupiter pater,
Animo lubens precationem audivisti;

METAPH.

Nunc te, nunc *inquam* preces per sacras
Supplex-oro, filium animosum ex Eribœa
Viro huic, hospitem nostrum *olim futurum*
Fatalem exhibeas:
Qui quidem *sit* invulnerabilis corpore,
Quemadmodū hoc exuviū me nunc circumit
Feræ, quam omnium-primum laborum
Interfeci olim in Nemea. Animositas autem se-
Hæc sane illi locuto misit Deus [quatur.
Ducem avium, magnam aquilam.
Suavis vero intus ipsum titillavit Gratia.

PARAPHRASIS.

Amphitryonis filium in leonis exuvio stantem, vini nectaris instar suavis libationibus auspicari jussit, & deauratam asperamque cælatura phialam qua vinum excipiebatur, ei porrexit. Is autem extensis ad cœlum manibus insuperabilibus, hujusmodi preces voce alta concepit. Si unquam, ô Jupiter pater, meam precationem animo lubenti & alacri audivisti, Nunc te, nunc te inquam precibus impensis oro ut huic viro ex Eribœa conjuge animosum filium à fato impetratum, nobis qui adsumus hospitem olim futurum exhibeas: qui quidem invulnerabili sit corpore, quemadmodum hæc quæ me nunc involvit pellis leonis: quam feram, primum omnium laborum meorum obiens, in Nemæa interfeci: quique cum robore corporis, animi magnitudine simul sit præditus. Quæ cum locutus esset Hercules, Deus in signum exauditæ à se precationis, magnam aquilam avium reginam ei misit, quo augurio exhilaratus, titillantem animum lætitiam sensit.

NOTÆ.

59 Πεφρικυῖαν χρυσῷ] Virgil. Æn. *Tum geminas vestes ostroque auroque rigentes Extulit Æneas*-- Et, *Ferre jubet pallam signis auroque rigentem.* 60 Ανατείνας Commune Schmid. Αμάχους] Indefessas, Lonicer. 61 Τοιοῦτόν τι ἔπος leg. Codd. plurimi. 63 Αρᾶν] Quod prima pro longa ponatur, Schmid. conjicit legendum εὐχάν. 64 Edd. Rom. & Brub. leg. θεσπεσίαν. 65 Ἐριβοίας] Περίβοια nominatur Pausan. in Att. filia Alcathoi, Regis Megarensium, filii Pelopis. 66 Ξεῖνον ἁμὸν] Refertur ad παῖδα, 67 Μοιρίδιον refertur etiam ad παῖδα, Votis meis à fato exoratum, & fatali signo promissum exhibeas. Schmid. Philippus Schol. secutus refert ad Τελαμῶνα, redditque, Ipsi vero, Telamoni, tribuas, ut feliciter fatale tempus perficiat. In hoc tamen à Schol. discrepat, quod τὸ τελέσαι etiam ad Telamonem refert. 68 Αρρηκτον φυὰν] Fuit Ajax invulnerabilis per totum Corpus, exceptis lateribus, quæ nempe Hercules ἀτρωσίαν vovens Ajaci, pelle Leonina tegere non poterat, propter pharetram interpositam. Philippus, sit & Fortitudo invicta. 69 Με νῦν] Leg. Codd. plurimi, Μέμηνεν & μίμνει. 74 Αἰδοῖα Ed. Brub. Χάρις] Schol. videtur legisse χαρά, Gaudium quomodo redd. versio vulg. Exponit Bened. Jucundum beneficium, scil. exauditæ præcationis omen, eum intus exhilaravit.

[Οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν.] Αρίσαρχος ἐκ μεταφορᾶς τῶν κάπρων φησὶν εἰρῆσθαι. φρίξας εὖ λοφιάν. ὡς τῆς φιάλης. καὶ τετραχυμμένης τῇ ποικιλίᾳ τοῦ χρυσίου. καθαπερεὶ, πεφρικότος αὐτοῦ. ἵν' ᾖ ὅμοιον τῷ, ἔφριξε δὲ μάχη φθισίμβροτος ἐγχείῃσι. διὰ γὰρ αὐτῶν τῶν δοράτων, φρίξαι φησὶ τὴν μάχην. ἔνιοι δὲ, τὴν λαμπρὰν ἤκουσαν. ὁ δὲ νοῦς. παρέδωκε δὲ αὐτῷ ὁ ἀγαθὸς Τελαμὼν οἴνου δεκτικὴν φιάλην. ὁ δὲ, ἀνατείνας οὐρανῷ τὰς ἀκαταμαχήτους αὐτοῦ χεῖρας, τοιοῦτον ἐφώνησε λόγον. ὦ πάτερ Ζεῦ εἴποτε τῶν ἐμῶν εὐχῶν ἑκὼν καὶ μετὰ προθυμίας κατήκουσας, ἐπὶ τοῦ παρόντος θείαις εὐχαῖς καθικετεύω, ἀνδρειότατον Τελαμῶνι ἐκ τῆς γαμετῆς Ἐριβοίας γενέσθαι παῖδα. ἦν γὰρ ὁ Τελαμὼν, παιδοποιΐας ἐπιθυμῶν. [Μοιρίδιον τελέσαι.] τὸ τελέσαι, κατὰ κοινοῦ τελέσαι τῷ, παῖδα. καὶ λίσσομαί σε, τὸν ἐμὸν φίλον Τελαμῶνα εὐτυχῆ τελέσαι. τὸ δὲ περιπλανᾶται, ἀντὶ τοῦ περικινεῖται, ἢ περιλαμβάνει. διὸ καὶ εὐσυμβόλως ἐν ἀρχαῖς τὸν Ηρακλέα ἐπιστῆναι τῇ λεοντείᾳ δορᾷ ἐκέλευσε, τὸ δὲ, θυμὸς δ' ἑπέσθω, ἤτοι, ἀνδρεία δὲ αὐτῷ καὶ ῥώμη ἑπέσθω, ἴσως τῷ τοῦ λέοντος θυμῷ· ἢ οὕτως, ἑπέσθω δὲ τῷ Αἴαντι, καὶ ἡ ψυχὴ ἀνδρεία, καὶ μὴ ὑπείκουσα. καθάπερ καὶ τὸ σῶμα. [Ταῦτ' ἄρα οἱ φαμένῳ.] ταῦτα εἰπόντι φησὶ τῷ Ηρακλεῖ, ἀπέστειλεν ὁ Ζεὺς, τῶν ὀρνίθων τὸν μέγαν καὶ ἔξοχον ἀετόν. ἡδεῖα δὲ αὐτὸν διεκίνησεν ἡδονή. καὶ εἶπε τοιαῦτα ὥσπερ τις ἀκριβέστατος μάντις. ἢ οὕτω. χαρὰ ἐκέντεισε τουτέστιν ἐχάρη καὶ ἡ ψυχή.

[Εστε-

στροφὴ γ'. κῶλων ιγ'.

Εἶπέν τε, φωνήσαις ἅτε μάντις ἀνήρ·
Ἔσσεταί τοι παῖς ὃν αἰτεῖς, ὦ Τελαμών.
Καί νιν ὄρνιχος φανέντος
Κέκλετ' ἐπώνυμον εὐρυβίαν
Αἴαντα, λαῶν ἐν πόνοις ἔκ-
παγλον Ἐνυαλίου.
Ὣς ἄρα εἰπὼν, αὐτίκα
Ἕζετ'. Ἐμοὶ δὲ μακρὸν πά-
σας ἀγήσασθαι ἀρετάς.
Φυλακίδᾳ γὰρ ἦλθον Μοῖσα ταμίας
Πυθέᾳ τε κώμων, Εὐθυμένει
Τε. Τὸν Ἀργείων τρόπον
Εἰρήσεταί που κ' ἐν βραχίστοις.

ἀντιστροφὴ γ'. κῶλων ιγ'.

Ἄρνυντο γὰρ νίκας ἀπὸ παγκρατίου,
Τρεῖς ἀπ' Ἰσθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου [Νεμέας,
Ἀγλαοὶ παῖδές τε καὶ μά-
τρωες. Ἂν δ' ἄγαγον ἐς φάος οἵ-

METAPH.

Dixitque locutus, utpote vates vir:
Erit tibi filius quem petis ô Telamon.
Et ipsum avi quæ-apparuerat,
Appellavit agnominem valde-robustum
Ajacem, turmarum in laboribus stu-
pendum Martis.
Sic sane locutus, mox
Consedit. Mihi vero longum-foret o-
mnes commemorare virtutes.
Phylacidæ enim veni ô-Musa, dispensator
Pythexque hymnorum, Euthyme-
nique. Argivorum more
Dicetur utique paucissimis.

METAPH.

Reportarunt enim victorias de pancratio,
Tres ab Isthmo, alias autẽ à frondosa Nemea,
Illustres filiique & avun-
culi. Produxerunt autem in lucem qua-

PARAPHRASIS.

Et nunc, ut pote vir vaticinandi peritus, dixit. Habebis filium quem petis ô Telamon. Virum autem illum summopere robustum, & bellica fortitudine inter pugnantes turmas stupendum, Ajacem, ab avis quæ apparuerat nomine, denominavit. Itaque his dictis ilico consedit. Enimvero hic mihi in Æacidarum virtutibus narrandis subsistendum, quas si omnes enumerare vellem, justo longior esset narratio. Ad Phylaciden, Pytheam, & Euthymenem mihi jam redeundum, ô Musa. Veni enim illis encomium è meo penu prompturus, quod & Argivorum breviloquentiam imitatus, paucissimis verbis persequar. Et dicam ut illustres illi Lamponis filii, eisque materno genere conjunctus Euthymenes, pancratio tres victorias ab Isthmo, alias autem à Nemea frondosa sylva reportarunt. Quantam autem ob eas hymnorum sortem

NOTÆ.

78 Κέκλετο à κέκλομαι Jubeo, appello. Philippus reddens, Nominato, forte legit κέκλευ vel κέκλε' pro κέκλετο. Refert vero Schmid. ad Herculem, non Telamonem, quippe quod est pars Herculis narrationis, ut patet ex 81, κώλῳ. 79 Ἐν πόνοις ἔκπαγλον] Sensum expressit Philippus, Terribilem in præliis. 81 Ἄρα] Schmid. legendum conjicit ταῦτα. Peracta oratione sedit Hercules. 84 Γάρ τ' [pro τοι] ἤλυθον leg. Schmid. 91 De uno Euthymene loquitur, ideoque μάτρως legit Schmid. ut & ἀνὰ δ' ἄγαγον, & proximo κώλῳ Ψαλυχιδᾶν.

[Ἔσσεταί τοι παῖς.] γενήσεταί σοι παῖς ὦ Τελαμών. καὶ δὴ αὐτὸν τὸ θεῖον προσεκελεύσατο. τοῦ δὲ φανέντος ὄρνιθος ἐπώνυμον Αἴαντα. ἔξωθεν τὸ καλεῖσθαι τὸ ὄνομα. γενναῖον ὄντα πᾶσι τοῖς ἥρωσι τοῦ πολέμου, καὶ ἔξαρχον τῶν ἄλλων ὄχλων. ἵνα τὸ ἐσόμενον ἔξωθεν ἀκούωμεν· δῆλον οὖν, ὅτι παρὰ τὴν πτῆσιν καὶ τοῦ τοῦ ἀετοῦ ἐπιφάνειαν, Αἴαντα τὸν παῖδα κέκληκεν ὁ Τελαμών. [Ἐμοὶ δὲ μακρόν.] ἐμοὶ δὲ μέγα καὶ ἀπερίγραπτον λόγῳ, τὸ διηγήσασθαι πάσας τὰς τῶν Αἰακιδῶν ἀρετάς. ἦλθον δὲ ὦ μοῦσα, συντόμως κατὰ τὸν Ἀργείων τρόπον. τῷ Φυλακίδᾳ καὶ τῷ Πυθέᾳ, καὶ τῷ Εὐθυμένει, τῶν ἐγκωμίων δοτὴρ καὶ ταμίας. [Εἰρήσεταί που κ' ἐν βραχίστοις.] τουτέστιν, ἐπὶ βραχὺ εἰρήσεται. μακρολόγοι μὲν οὖν οἱ Ἴωνες. σύντομοι δὲ οὐ μόνον Λάκωνες, ἀλλὰ καὶ Ἀργεῖοι. Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ. Πάντ' οἶσθα πάντ' ἔλεξα τἀντεταλμένα. μῦθος γὰρ Ἀργολιστὶ, συντέμνειν βραχύς. ὁ δὲ νοῦς. ἐρηθήσεται δὲ ἐν βραχέσι λόγοις τὸ ἐγκώμιον. ἐδέξαντο νίκας ἀγωνιζόμενοι παγκρατίῳ. [Τρεῖς ἀπ' Ἰσθμοῦ.] τρεῖς μὲν ἐν Ἰσθμῷ. τὰς δὲ αὐτῶν, ἐκ τῆς ἐπιδόξου Νεμέας, οἵ τε ἀγλαοὶ παῖδες τοῦ Λάμπωνος, καὶ οἱ τούτων μήτρωες ἐδέξαντο νίκας, ἀπὸ κοινοῦ. μήτρωες δὲ, ἀντὶ τοῦ μήτρως δὲ μητρός. τῶν υἱῶν. τὸ δὲ οἵαν, θαυμαστικῶς, ἀντὶ τοῦ ὁποίαν εἴρηκεν. ὁποίαν δὲ καὶ ἡλίκην ὕμνων μερίδα ἀνήγαγον εἰς φῶς, ἐπὶ τῆς ἑαυτῶν ἀνδρείαις. ἢ οὕτως. ἀνήγαγον δέ φησιν εἰς φῶς τὴν μοῖραν τῶν ὕμνων. λέγει δὲ τὴν τοῦ αὐτοῦ μοῖραν ὕμνων. ἣν νικήσαντες, ἀνήγαγον εἰς φῶς. οἷον, οἱ ὕμνοι, οἱ εἰς τὸν Φυλακίδαν, ἐπιφανεῖς ἐγένοντο, ὅτι ἐνίκησε. Ψαλυχίδαι δὲ, φυλὴ ἐν Αἰγίνῃ, ἀφ' ἧς ὁ νικηφόρος. τὴν δὲ τῶν Ψαλυχιαδῶν πατρείαν, τῇ τῶν χαρίτων καλλίστῃ δρόσῳ καταβρέχουσι. φησὶ δὲ τοῖς ὕμνοις. [Ἄλλως.] συλληπτικῶς εἶπε τὸ χωρὶς ἑκατέρῳ συμβεβηκός. ὁ μὲν γὰρ Φυλακίδας, Ἴσθμια δὶς νικᾷ καὶ Νέμεα ἅπαξ. ὁ δὲ Πυθέας Νέμεα. ὃν δὴ μήτρωα καλεῖ τούτου, ὡς κατὰ μητέρα προσήκοντα. οὐ γὰρ πιθανὸν μητράδελφον ἀκούειν.

ἂν μοῖραν ὕμνων ! τὰν Ψαλυχια-	lem sortem hymnorum ! Psalychia-
δᾶν δὲ πάτραν Χαρίτων	darum autem tribum, Gratiarum
Ἄρδοντι καλλίστᾳ δρόσῳ.	Irrigant pulcherrimo rore.
Τόν τε Θεμιστίου ὀρθώ-	Themistiique postquam-recte-consti-
σαντες οἶκον, τάνδε πόλιν	tuerunt domum, hancce urbem
Θεοφιλῆ ναίουσι. Λάμπων δὲ, μελέταν	Deo-gratā inhabitant. Lampon autē studium
Ἔργοις ὀπάζων, Ἡσιόδου	Rebus-gerendis adhibens, Hesiodi
Μάλα τιμᾷ τοῦτ' ἔπος,	Valde honorat illud dictum,
Υἱοῖσί τε φράζων παραινεῖ,	Filiisque recensens hortator-est,
ἐπῳδὸς γ'. κώλων ια'.	METAPH.
Ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων.	Commune civitati decus suæ adducens:
Καὶ ξείνων εὐεργεσίαις ἀγαπᾶται·	Et in-hospites ob-benefacta amatur;
Μέτρα μὲν γνώμᾳ διώκων,	Mediocritatem quidem animo persequens,
Μέτρα δὲ καὶ κατέχων.	Mediocritatem vero etiam retinens.
Γλῶσσα δ' οὐκ ἔξω φρενῶν.	Lingua vero non extra mentem *est*.
Φαίης κέ νιν ἄνδρ' ἐν ἀθληταῖσιν ἔμμεν,	Diceres illum virum inter athletas, esse
Ναξίαν πέτραις ἐν ἄλλαις,	Naxiam, lapides inter alios,

PARAPHRASIS.

in lucem eduxerunt! Hinc effecerunt ut Psalychidarum tribus in Ægina unde oriundi sunt, memoriam vegetanti gratiosorum hymnorum rore præstantissime recreemus. Porro instaurata Themistii avi materni domo, hanc urbem Diis charam incolunt. Lampon autem studium rebus gerendis adhibens, hanc Hesiodi sententiam, Studium utique opus promovet, *magni à se fieri testatur, iisdemque verbis filios ad laborum studium hortatur. Ut sibi, patriæque civitati commune ornamentum, illis ad virtutem & gloriam comparatis adducat & accommodet. Idem etiam ob beneficentiam erga hospites amatur: ac mediocritatem quidem animi studio persequitur: mediocritatem vero consequutus retinet, eaque contentus manet. Ita vero ejus mens & lingua consentiunt, ut aliud in ore aliud in pectore non habeat. Recte etiam dixeris, ut Naxia cos æris domitrix, inter alias cotes præstantissima est: sic inter alios athletas virum illum excellere.*

NOTÆ.

95 Θεμιστίου] Lonicer. Appellative accipit reddens, Justitiæ administrantes domum. 101 Ἀστεϊ Schmid. qui hoc καλοῦ interpretatur, quasi Lampo bellum Persicum describens, in quo Æginetarum virtus maxime enituit per pugnam navalem ad Salaminem, summis præconiis ornavit, & ita κόσμον patriæ suæ προσήγαγεν Bened. vero Lamponem ea mente, Hesiodi præceptum, propriumque exemplum filiis proposuisse, ut rerum gerendarum essent studiosi, idque sibi, illorum patri, patriæque commune esset decus. 102 Ξεῖνων Commune leg Schmid. 103 Ex his videtur colligi posse, etiam hoc ἔπος Hesiodi Poëtam intelligere, Μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον. 105 Linguam non imprudentem habet. Lonicer. 106 Ἀεθληταῖσιν Schmid. 107 Ναξίαν ἐν πέτραις] Naxus Insula una ex Cycladibus. Naxiæ vero Cotes primam habebant laudem. Vide Plin. l. 36. c. 7. & c. 22. Aretius.

[Τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον.] καὶ τὸν τοῦ Θεμιστίου δὲ οἶκον, ταῖς ἑαυτῶν εὐδοξίαις ἀνορθώσαντες, ταύτην τὴν πόλιν οἰκοῦσι τὴν θεοφιλῆ. ἦν δὲ ὁ Θεμίστιος, πρόγονος αὐτοῦ. οὗ καὶ ἐν τοῖς Νεμεονίκαις μνημονεύει. εἰ δὲ Θεμίστιον ἵκεις ὥστ' ἀείδειν. [Λάμπων δὲ μελέταν ἔργοις ὀπάζων, Ἡσιόδου.] Μελέτη τοι, ἔργον ὀφέλλει. ὁ δὲ Λάμπων φησὶ, διηνεκῶς τοῖς ἔργοις τὴν μελέτην διδοὺς, τὸν τοῦ Ἡσιόδου τιμᾷ, καὶ ἀποδέχεται λόγον, καὶ τοῖς ἑαυτοῦ παισὶ λέγων τὸν στίχον, παραινεῖ ἆθλον καὶ εὐδοξίαν τεύχεσθαι, κοινὴν εὐδοξίαν τῇ αὐτοῦ πατρίδι συνάπτων. [Καὶ ξείνων εὐεργεσίαις ἀγαπᾶται.] τιμᾶται δὲ, καὶ ἐπὶ ταῖς τῶν ξένων εὐεργεσίαις. τυγχάνει γὰρ ὢν φιλόξενος. τὰ προσήκοντα μὲν τῇ γνώμῃ τῇ ἑαυτοῦ μετερχόμενος. τὰ προσήκοντα δὲ καὶ κατέχων εἰς ἑαυτὸν καὶ λογιζόμενος. ἢ οὕτω. διὰ τὸ φιλόξενος εἶναι, καὶ ὑπὸ ξένων, καὶ ὑπὸ πολιτῶν τιμᾶται. καὶ διανοούμενος τὰ μέτρια, καὶ ἐνεργῶν, καὶ πράττων. [Γλῶσσα δ' οὐκ ἔξω φρενῶν.] τουτέστιν, οὐδὲν ἄκαιρον φλυαρεῖ. ἀλλ' ἃ πρέπει. παρ' ἐμὲ γὰρ τὴν γλῶτταν προτρέχεται τῆς διανοίας. ἢ οὕτως. ἡ δὲ γλῶσσα αὐτοῦ καὶ ὁ λόγος, οὐκ ἔστιν ἔξωθεν τῶν δεουσῶν φρενῶν. ἀντὶ τοῦ, οὐ προπετῶς φθέγγεται. [Φαίης κέ νιν.] εἴποι δ' ἄν τις αὐτὸν τὸν Λάμπωνα εἶναι τοιοῦτον ἄνδρα ἐν τοῖς ἀθληταῖς, οἵαν ἐν πέτραις ἑτερογενέσι Ναξίαν ἀκόνην· δυνατὴν μάλιστα παραθῆξαι. νομίζονται γὰρ διαφορώταται τῶν ἄλλων ἀκονῶν αἱ κατὰ τὴν ἐν Κρήτῃ Νάξον. τοσοῦτον οὖν φησι τῶν ἄλλων ἀθλητῶν διαφέρειν ἐν τοῖς ἀθληταῖς, ὅσον ἐν ἄλλαις ἀκόναις αἱ Νάξιαι διαφέρουσιν. ὁ δὲ νοῦς. εἴποις δ' ἂν αὐτὸν τὸν Λάμπωνα ἐν τοῖς ἄλλοις ἀθληταῖς, οὕτως ἰσχυρὸν εἶναι, ὥσπερ ἐν τοῖς ἄλλοις λίθοις, ἡ Ναξία. ποιεῖ δὲ πρὸς ἀκόνην ὁ Νάξιος λίθος.

[Πίσω

Χαλκοδάμαντ' ἀκόναν. Πίσω σφε Δίρκας
Ἁγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι
Χρυσοπέπλου Μναμοσύνας ἀνέτειλαν παρ' εὐτειχέσι Κάδμου πύλαις.

Æris-domitricem cotem. Potabo eam Dirces
Limpida aqua, quam alte-succinctæ filiæ
Aurea-veste-ornatæ Mnemosynes produxerunt juxta bene-muratas Cadmi portas.

PARAPHRASIS.

Ego ipsis Dircæi fontis puram aquam dabo potandam, h. e. ipsis suarum virtutum laudes sitientibus, carmen encomiasticum exhibebo, quod alte succinctæ, proindeque expeditæ Musæ filiæ Mnemosynes aureo peplo insignis, proindeque præclaræ, ad bene muratas Thebarum Cadmi urbis portas mihi aspirantes suo afflatu dictarunt, & produxerunt in lucem.

NOTÆ.

108 Πέω σφι] Schol. interpret. σφὶ, αὐτοὺς, i. e. Tres illos supra enumeratos, cum ipsorum majoribus. Ita & versio Vulgata. Schmidius, Irrigabo Cotem i. e. Cotem Naxiam, sc. Lamponem aquis Dircæis. Laudat vero Aretium, qui Cotes inquit distingui humoribus quibus illinuntur, cum trahenda est acies in ferro. Quo igitur respicit Poëta, ex illius sententia. Πέω vero Fut. est à πιέζω, vel ut Pind. Lex. πίω. Cætera vero sunt Allegoriæ explicatio.

[Πίσω σφὲ Δίρκας.] ἀλληγορεῖ νῦν. ποτιῶ φησὶν αὐτοὺς, τὸ ἀπὸ τῆς Δίρκης ὕδωρ, ὃ αἱ μοῦσαι ἀνατεῖλαι ἐποίησαν. τουτέστι, τῷ ἐμῷ ἐοίματι. ἤτοι τῷ ποιήματι, ποτιῶ αὐτούς. Θηβαῖος γάρ. ἡ δὲ Δίρκη, ἐν Θήβαις. διὸ ἐξ αὐτῆς ἀναβεβλῆσθαί φησι τὸν ὕμνον. πίσω γὰρ, τὸ ποτίσω. καὶ τοὺς ποτίσρας δὲ, πίσας ἔλεγον.

Τέλος τῶν ἔκτου τῶν Ισθμίων εἴδους.

ΠΕΡΙ

Χαλκοδάμαντ' ἀκόναν· Πίσω σφε Δίρ-
Αγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι
Χρυσοπέπλου Μναμοσύνας ἀνέ-
τειλαν παρ' εὐτείχεσι Κάδμου πυλαῖς.

ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ ΤΗΣ ΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗΣ ΤΟΥ ΑΥΤΟΥ ΕΙΔΟΥΣ.

ΤΟΥ ἑβδόμου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος, κώλων ὀκτώ. Τὸ ά, ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. Τὸ β', Ιωνικὸν τετράμετρον, ἰαμβικῷ καταλειγόμενον, βραχυκατάληκτον. Τὸ γ', ἐκ πενθημιμερους ἰαμβικοῦ καὶ διμέτρου τροχαϊκοῦ καταληκτικόν. Τὸ δ', Ιωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ε', δακτυλικὸν τρίμετρον καταληκτικόν. ἡ τελευταία βραχεῖα. Τὸ ς', Ιωνικὸν δίμετρον καταληκτικόν. Τὸ ζ', ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, Τὸ η', ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Η ἐπῳδὸς κώλων καὶ αὐτὴ ὀκτώ. Τὸ ά, ἀντισπαστικὸν τρίμετρον, ἀκατάληκτον. Τὸ β', παλιαμβικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ', Ιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ δ', ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. Τὸ ε', δακτυλικὸν τρίμετρον, ἀκατάληκτον. Τὸ ς', Ιωνικὸν δίμετρον καταληκτικόν. Τὸ ζ', δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ η', ἐπιωνικὸν δίμετρον ἀκατάληκτον.

Ratio vero metrica ita ſe habet:

στροφὴ & ἀντιστροφή.	ἐπῳδός.
1. υ υ - υ υ - υ - υ - υ	1. - υ - υ υ - υ - υ - υ -
2. υ - υ υ - υ - υ - υ - - υ -	2. - - υ υ - υ - - υ υ - -
3. - - υ - υ - υ υ - υ - -	3. - - υ υ - υ -
4. - - υ υ - υ - υ - υ	4. υ υ - υ υ - υ - υ - υ
5. - - - υ υ - υ -	5. - - - υ υ - υ -
6. - - υ υ - υ -	6. - - υ υ - υ -
7. υ - υ - υ υ -	7. - υ υ - - υ - υ
8. - - υ - υ υ	8. υ υ - - υ - υ υ -

ΣΤΡΕ-

ΣΤΡΕΨΙΑΔῌ ΘΗΒΑΙῼ, ΠΑΓΚΡΑΤΙῼ.

ΕΙΔΟΣ Ζ'.

STREPSIADÆ THEBANO, PANCRATIO.

ODE VII.

ARGUMENTUM.

Strepsiadæ Thebani Conterranei viri laudes Pindarus petit ab Isthmiaca Pancratii victoria; à Corporis robore & Forma, ab Animi virtute, à literarum studio, ab ejusdem nominis avunculo strenuo viro qui patriam fortiter defendendo mortem oppetiit; cujus in laudibus paulum immoratus ad victorem revertitur quem ad vitæ tranquillitatem hortatur, docetque non esse affectanda nostris viribus majora. Tandem orat Apollinem ut huic Victori Pythiam quoque victoriam impertiat.

στροφὴ α'. κώλων η'.

Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα,
Καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεὸν
Εὔφρανας; ἦ ῥα χαλκοκρότου πάρεδρον
Δαμάτερος ἀνίκ' εὐρυχαίταν
Ἄντειλας Διόνυσον; ἢ
Χρυσῷ μεσονύκτιον
Νίφοντα δεξαμένα
Τὸν φέρτατον Θεῶν,

ἀντιστροφὴ α'. κώλων η'.

Ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις [ναῖς;
Σταθεὶς, ἄλοχον μετῆλθεν Ἡρακλείοις γο-

ΜΕΤΑΡΗ.

Quonam præteritorum, ô beata Theba,
Ornamentorũ patriorũ maxime animũ
Oblectasti? Nũ sane æristrepæ assessorẽ [tuum
Cereris quando laticomum
In-lucem-edidisti Bacchum? aut
Auro medinocturnum,
Ningentem quum-excepisti
Præstantissimum Deorum,

ΜΕΤΑΡΗ.

Quando Amphitryonis in valvis
Stans, uxorem accessit cum Herculeo semine?

PARAPHRASIS.

Quonam, ô beata Theba, ornamentorum, quæ olim in tuo solo extiterunt, animum tuum maxime oblectasti & recreasti? An natalibus Bacchi quem intonsum & bene comatum Jovis Semelesque filium, cum æreis cymbalis strepente Cerere coli solitum, quod hæc sicco, ille humido alimento nutricationem simul perficiant, in lucem edidisti? An Herculis ortu, quum Deorum præstantissimum Jovem, aureas etiam nives fundere valentem, media nocte excepisti, quando ille Amphitryonis ædes ingressus, uxorem ejus Alcmenam Herculea cum genitura convenit.

NOTÆ.

1 Τίνι Rei. Phil. etiam ad Personas extendit, Quo viro aut facto. Lonicer. & Aret. referunt τὸ πάρος ad εὔφρανας, i. e. Antehac exhilarasti: oblectata es hactenus. 2 Ἐπιχωρίων] Crinitus enim & juvenili forma pingitur. Aret. 6 Χρυσῷ κ. λ.] Respicit non tam determinate ad fabulam de Danaë, uti Intt. plerique censent, eamque fabulam cum fabula de Alcmena confundi putant: quam indefinite ad Jovis potentiam, quod, quando velit, possit χρυσῷ νίφειν, ut fecit non tantum cum Danaë, sed & in Rhodo, ut Ol. 7. Hæc Schmid. Quibus Bened. subjungit causam, quare Poeta putandus est, ad Danaën non respexisse, Istam fabulam apud Argivos locum habuisse, non apud Thebanos; Danaës enim Patrem Acrisium Regem Argivorum fuisse. Nihilominus Lector vix dubitabit, Pindarum hoc loco Fabulam Danaës attingere; licet ad Alcmenam referat. Et quod attinet ad locum laudatum Ol. 7. quivis dispiciet, huc non posse sine vi detorqueri. 10 Schmid. leg Ἡρακλείοισι γο- & ναῖς pertinere vult ad 11 κῶλ. Nos aliter. Vulg. habens, Cum semine generaturo Herculem, paraphrastæ partes agit.

[Τίνι τῶν πάρος ὦ μάκαιρα Θήβα.] ὁ λόγος πευστικὸς ἐπὶ τὴν Θήβην. ᾧ καὶ ἀποχρώμενος, λεληθότως αὐτῆς ἐγκώμια καταριθμεῖται. ὁ δὲ νοῦς, οὕτως. τίνι τῶν φθασάντων ἐπιχωρίων ἀγαθῶν, ὦ μακαριωτάτη Θήβη, μάλιστα τὴν σὴν ψυχὴν εὔφρανας. [Ἦ ῥα χαλκοκρότου πάρεδρον.] ἀντὶ τὰ ἐπικτυποῦντα ἐν ταῖς τελεταῖς τῆς Δήμητρος κύμβαλα. μετὰ γὰρ κυμβάλων καὶ τυμπάνων περιιοῦσα ἡ θεὸς, καὶ τούτοις ἠχοῦσα, ἐζήτει πρὸς τὸ πάντας ἀκούειν καὶ πυνθάνεσθαι ὅτι ζητεῖ. πάρεδρον δὲ Δήμητρος εἶπεν τὸν Διόνυσον, κατὰ μὲν τὸν μυστικὸν λόγον, ὅτι παρεδρεύει ἑαυτῇ, ὁ ἐκ Περσεφόνης γεγονὼς Ζαγρεὺς Διόνυσος ὁ κατά τινας, Ἴακχος. κατὰ δὲ τὸν φυσικὸν λόγον, ἐπειδὴ τῇ ξηρᾷ τροφῇ, ἣ ἀνάκειται τῇ Δήμητρι, παρέπεται ἡ τοῦ οἴνου χρῆσις· ἢ ὅτι ἡ σταφυλὴ ἐδωδίμη ἐστὶ, καὶ εἰς πόσιν ἐπιτηδεία. ὁ δὲ νοῦς. ἆρ' ἡνίκα ἀνέτειλας καὶ ἐγέννησας τὸν εὔθειρα Διόνυσον, τὸν πάρεδρον τῆς χαλκοκρότου Δήμητρος. [Ἢ χρυσῷ μεσονύκτιον.] ἢ ὅτε τὸν μεσονύκτιον χρυσῷ κατασταζοντα ἐδέξω τὸν τῶν θεῶν ἔξαρχον Δία. [Ἄλλως.] ἰδίως λέγει τὸν Δία ὕσαι χρυσὸν, ἡνίκα ἐμίγη τῇ Ἀλκμήνῃ. ἢ τὰ ἐπὶ Δανάης μυθευόμενα, ἐπὶ Ἀλκμήνην μετήγαγεν. [Ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις.] ἡνίκα τοῦ Ἀμφιτρύωνος κατὰ τὰ πρόθυρα σταθεὶς, τὴν γαμετὴν μετῆλθε ταῖς θείαις γοναῖς. κατὰ πάντων δὲ ἀπὸ κοινοῦ,

Η ὅτ' ἀμφὶ Τειρεσίαο πυκιναῖς βουλαῖς;	An quum ob Tiresiæ callida consilia?
Η ὅτ' ἀμφ' Ιόλαον ἱππόμητιν;	Aut ob Iolaum equorum-peritum?
Η Σπαρτῶν ἀκαμαντολογ-	Aut *virorum*-Satorum bello-indefa-
χᾶν; ἢ ὅτε καρτερᾶς	tigatorum *decore*? aut quando valido
Αδραστον ἐξ ἀλαλᾶς	Adrastum ex tumultu-belli
Αμπεμψας, ὀρφανὸν	Remisisti, orbatum
ἐπῳδὸς α'. κῶλον η'.	ΜΕΤΑΓΗ.
Μυρίων ἑτάρων, ἐς Αργος ἵππιον;	Infinitis sociis, in Argos equestre?
Η Δωρίδ' ἀποικίαν οὕνεκα ὀρθῷ	Aut Doricam coloniam quando recto
Εστασας ἐπὶ σφυρῷ	Constituisti in talo

PARAPHRASIS.

An ob Tiresiam vatem, cui divinandi facultas prudentissima consilia suggerebat? An ob Iolaum Herculis aurigam, regendorum equorum peritissimum? An ob Chthonium, Hyperenorem, Pelorum, Udaeum & Echionem strenuos bellatores, quos dentium draconis satu Cadmus creasse fertur? An ob victoriam de Adrasto Argivorum rege reportatam, quem ex valido belli pro genero Polynice suscepti tumultu remisisti ad equis alendis aptum Argos accepta clade gravissima qua sociis innumeris privatus est, & solus evasit? An quando Doricam Heraclidarum in firma sede apud

NOTÆ.

11 Hoc κῶλον male ominando mutilum exhibuit. Schmid. legens ἤποτ' & omitt. πυκιναῖς. Nos, qui nil mutamus sine auctore Cod. ὅτ' hic & proximo κώλῳ esse Scholion putamus. Quod si omittas, metro, & Pindaricæ brevitati consules. Bened. leg. πυκινῇ & Τείρεσία pro Τειρεσίαο Dor. quæ lectio si omitt. ὅτ' metrum tuetur. Eligat Lector. Vulg. An quum Tiresiæ callido consilio? an quum Iolao te oblectasti? 13 Σπαρτῶν] Spartorum, Vulg. Lonicerus, Spartas redd. Recte tamen annotat, non esse Lacedæmonios. Vide I. 1. 17 Ετάρων & ἵις Comm. Edd. præter Schmid. quem sequimur. ἵππιον] Hor. l. 1. Carm. Od. 7. *Argos equis aptum*. Præcipue autem Insulares initio cum Argos, tum totius Peloponnesi tractum ἵππιον vel ἱππόβοτον appellarunt, quod cum Insulæ vitæ Asperæ, καὶ οὔτε εὐλείμωνες, οὔτε ἱππήλατοι essent, ut Od. Δ. Telemachus ait, si equos alere vellent, eos extra Insulas, in Argis vel Elide, vel aliis partibus Peloponnesi, pastus causa, alere oporteret. 18 Ηνίκ' leg. Codd. ante Schmid. cum Apostrophe. Ald. vero ἥνικα Ορθῷ ἔστασας ἐπὶ σφυρῷ] Id est, Constituisti in loco & sede Lacedæmoniorum, seu in Laconia. Sic Callimachus in Dianam. Τοὺς δ' ἐξεῖης σφυρὸν ὀρθὸν ἀνέστη. Hor. lib. 2. Ep. 1. *An recto stet fabula talo*. Bened. vult Σφυρὸν esse Malleolum, non Talum; quasi cum Horatio non esset vertenda hæc vox, potius quam cum recentiori quovis Grammatico.

τὸ εὔφρανας ἀκουστέον. [Η ὅτ' ἀμφὶ Τειρεσία.] ἢ ὅτε τῶν τοῦ Τειρεσίου πυκναῖς καὶ συνεταῖς μαντείαις. ἱππόμητιν δὲ, τὸν Ιόλαον φησὶ, παρόσον ἡνιόχησεν Ηρακλεῖ. ἀπὸ κοινοῦ δὲ πρὸς πάντα, τὸ, θυμὸν τεὸν εὔφρανας. [Η σπαρτῶν ἀκαμαντολογχᾶν.] τῶν κατὰ τὰς Θήβας ἀναδοθέντων ἐκ τῶν δρακοντείων ὀδόντων, ὧν καὶ ὁ Εὐριπίδης μέμνηται. ἢ σπαρτῶν φησὶ τῶν ἄγαν πολεμικῶν. ὁ γὰρ Φερεκύδης, διπλᾶ φησιν εἶναι σπαρτῶν γένη. τὸν γὰρ Αρη καὶ τὴν Αθηνᾶν, τοὺς μὲν ἡμίσεις τῶν ὀδόντων Κάδμῳ δοῦναι. τοὺς δὲ ἡμίσεις Αἰήτῃ. Ανδροτίων δέ φησι φυγόντα ἐκ τῆς Φοινίκης τὸν Κάδμον μετὰ ἱκανῶν σποράδων, κατελθεῖν εἰς Θήβας. ὅθεν διὰ τὸ συμμιγὲς καὶ σποράδην εἶναι, σπαρτοὶ ἐκλήθησαν. οἱ δὲ Θηβαῖοι τὰ περὶ αὐτῶν, ψευδῶς ἐτερατούργησαν. [Η ὅτε καρτερᾶς Αδραστον ἐξ ἀλαλᾶς.] τῆς μάχης. διὰ τὰς θορυβώδεις φωνάς. ὅτι δὲ ἐκ τῶν ἑπτὰ λόχων ἀπεσώθη ὁ Αδραστος, δῆλον. ὁ δὲ νοῦς. ἢ ὅτε ἐκ τῆς ἰσχυροτάτης μάχης ἀπέπεμψας τὸν Αδραστον ὀρφανωθέντα ὦ Θήβη, μυρίων καὶ ἀναριθμήτων στρατῶν, εἰς τὸ ἱππικὸν Αργος. [Η Δωρίδ' ἀποικίαν.] οἱ Ηρακλεῖδαι ἔσχον παρὰ τοῦ θεοῦ χρησμὸν, συλλαβεῖν Αἰγείδας. καὶ οὕτω τῆς Πελοποννήσου κρατῆσαι. ἦσαν δὲ οὗτοι, Φλεγραῖοι ἀνέκαθεν. οἱ δὲ, δεξάμενοι, κατὰ τὸ Πυθικὸν χρηστήριον τῆς ἐλπίδος οὐκ ἐκπεσόντες. κρατήσαντες δὲ τῆς Πελοποννήσου, μετῴκισαν εἰς Θήβας, τοὺς Αἰγείδας· ἔνιοι δέ φασιν, Αἰγινήτας, Θηβαίους τὸ ἀνέκαθεν εἶναι. ἔνιοι δὲ Αἰγείδας, φυλὴν ἐν Θήβῃ. ἀφ' ἧς σύμμαχοι ἐπὶ τὴν Λακεδαίμονα ἦλθον καὶ ἐκράτησαν. ἔνιοι, ὅτι οὕτως ὀνομάζονται τινὲς ἐν Λακεδαίμονι. ἀπὸ Αἰγέως τινὸς, Θηβαίου. ὃν συνεργῆσαι τοῖς Ηρακλείδαις φασὶ πρὸς τὴν κατάκτησιν τῆς Λακωνικῆς. ἔνιοι, Αργεῖοι γράφουσι. διὰ τὸ Αργείαν ὀνομάζεσθαι τὴν Αριστοδήμου γυναῖκα τὴν ἀπόγονον τῶν Ηρακλειδῶν. ἐξ ἧς ἐγένετο Προκλῆς καὶ Εὐρυσθένης οἱ κατασχόντες τὴν Λακωνικήν. ὁ δὲ νοῦς. ἢ ὅτι τὴν Δωρίδα τῶν Ηρακλειδῶν κάθοδον, ἐπ' ἀσφαλοῦς εἶναι παρεσκεύασας. ἔλαβον γὰρ τὰς Αμύκλας οἱ σοὶ ἀπόγονοι Αἰγεῖδαι, τοῖς τοῦ Πυθίου Απόλλωνος μαντεύμασιν. [Αλλως.] Αἰγεῖδαι νῦν οὐκ ἂν εἴη λέγων τοὺς Αθηναίους. περὶ γὰρ Θηβῶν ὁ λόγος. καὶ εἰσὶν Αἰγεῖδαι, φατρία Θηβαίων. ἀφ' ἧς ἧκόν τινες εἰς Σπάρτην, Λακεδαιμονίοις βοηθήσοντες, ἐν τῷ πρὸς Αμυκλαεῖς πολέμῳ· ἡγεμόνι χρησάμενοι Τιμομάχῳ, ὃς πρῶτος μὲν πάντα τὰ πρὸς πόλεμον διέταξε Λακεδαιμονίοις. μεγάλων δὲ παρ' αὐτοῖς ἠξιώθη τιμῶν. καὶ τοῖς Υακινθίοις δὲ ὁ χάλκεος αὐτοῦ θώραξ προτίθεται. τοῦτον δὲ Θηβαῖοι, ὅπλον ἐκάλουν. ταῦτα ἱστορεῖ καὶ Αριστοτέλης, ἐν τῇ Λακώνων πολιτείᾳ. ἔνιοι δέ φασι τὸν Πίνδαρον νῦν, μὴ τοῦ πρὸς Αμυκλαεῖς πολέμου μνημονεύειν, μηδὲ τῶν σὺν Τιμομάχῳ Αἰγειδῶν. ἀλλὰ τῶν σὺν τοῖς Ηρακλείδαις εἰς Πελοπόννησον κατελθόντων. ὧν, Αριστόμαχος ὁ Κλεοδαίου, καὶ Κλεόδαιος ὁ Υλλου, ἐγένοντο. καὶ γὰρ τότε Θήβηθεν ἧκον τοῖς Δωριεῦσι, τοὺς ἀφαμένους τῆς καθόδου Αἰγείδας μετὰ τῶν Αθηναίων. εἶναι δὲ τοὺς Θήβηθεν Αἰγείδας, τὸ ἀνέκαθεν Αθηναίους. δυεῖν οὖν ἀποστάσεων ἐκ τῆς τῶν Αἰγειδῶν τῶν Θηβαίων εἰς Σπάρτην γεγονυιῶν, ἔργον ἀποφῆναι ποτέρας ὁ Πίνδαρος νῦν μνημονεύει. μή ποτε δὲ τῆς δευτέρας. Αριστοτέλης γάρ φησιν, ὅτι πολεμοῦντες οἱ Λάκωνες Αμυκλαεῦσιν, ὡς ἐπύθοντο παρὰ θεοῦ τοὺς Αἰγείδας συμμάχους λαβεῖν, εἰς Αθήνας ἐπορεύοντο. καταλύσαντες δὲ ἐν Θήβαις συναγομένης τῆς τῶν Αἰγειδῶν φατρίας, ἐκλήθησαν. ἀκούσαντες μετὰ δεῖπνον συναγομένου τοῦ ἱερέως διδόναι τοῖς Αἰγείδαις τοὺς θεοὺς τὰ ἀγαθὰ, καὶ συμβαλόντες τὸν χρησμὸν, ἐντεῦθεν ἔλαβον τὴν συμμαχίαν.

[Αλλα

Λακεδαιμονίων; ἕλον δ' Ἀμύκλας	Lacedæmoniorum? ceperuntque Amyclas
Αἰγεῖδαι σέθεν ἔκγονοι,	Ægidæ tui filii
Μαντεύμασι Πυθίοις;	Oraculis Pythicis?
Ἀλλὰ παλαιὰ γὰρ εὕδει	Sed, antiqua enim dormit
Χάρις, ἀμνάμονες δὲ βροτοὶ,	Gratia, Immemores autem *sunt* mortales *rei*.
στροφὴ β'. κώλων η'.	ΜΕΤΑΡΗ.
Ὅ, τι μὴ σοφίας ἄωτον ἄκρον	Quæ non *ad* sapientiæ florem summum
Κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν·	Inclytis carminũ fluxibus pervenerit copulata.
Κώμαζ' ἔπειτ' ἀδυμελεῖ σὺν ὕμνῳ,	Choreas-institue deinceps sane dulcisono cum [hymno
Καὶ Στρεψιάδᾳ. Φέρει γὰρ Ἰσθμοῖ	Etiã Strepsiadæ. Reportat enim apud Isthmum
Νίκαν παγκρατίου, σθένει	Victoriam pancratii, robore-
Τ' ἔκπαγλος, ἰδεῖν τε μορ-	que stupendus, aspectuque for-
φάεις· ἄγει τ' ἀρετὰν	mosus: tractatque virtutem,
Οὐκ αἶσχιον φυᾶς.	Non minus-quam-decet indolem.

PARAPHRASIS.

Lacedæmonios collocasti, & ex te oriundi Ægidæ, secundum oraculi Apollinis Delphici responsa, Amyclas oppidum Laconiæ ceperunt & occuparunt? Omnibus his ornamentis animum utique exhilarasti suo tempore. Sed, quandoquidem priscorum operum gratia dormire, nec apud posteros commemorari solet, imo rem illam homines oblivioni tradunt, quæ cum laude carminis inclyti, quod è doctissimi poëtæ vena fluxerit, non sit conjuncta, præstatque novo ornamento oblectari, deinceps omissis illis, choreas cum hoc dulcissimo hymno agitandas, lætitiæ indicium, in Strepsiadæ gratiam institue. Etenim vir ille admirabili robore & forma præstantissima præditus, pancratii victoriam Isthmicam reportavit: atque ita in virtutis studio versari solet ut præclaram indolem nullomodo dedecoret.

NOTÆ.

